Ἔστι δέ τις ἐπὶ τούτοις καὶ ἑτέρα ἐργασία, φιλανθρωπία δεσποτικὴ τῷ ἀνθρωπίνῳ μάλιστα ἐπιθεωρουμένη γένει· διπλῆ δὲ αὕτη· ἡ μὲν γὰρ τέμνεται περὶ σῶμα δι' ἧς λῶβαι τε καὶ πάθη μυρία ἄλλα τοῦ πλάσματος ἀπελαύνεται, ἃ δὴ παραγεγονὼς ὁ κοινὸς τοῦ γένους σωτὴρ ἔπραττέ τε καὶ ἐνήργει, παντοδαπῶς παθημάτων καὶ νόσων τὸ ἀνθρώπινον ἐλευθερῶν· ἡ δὲ περὶ ψυχήν· ταύτην γὰρ πολλοῖς ἁμαρτήμασι συγκεχωσμένην καὶ κατάστικτον ὅλην γεγενημένην ταῖς τοῦ πονηροῦ μυρίαις αἰκίαις, ὁ αὐτὸς ἡμῶν πλάστης καὶ δημιουργὸς ἀποκαθηράμενός τε καὶ ἀποξέσας διὰ τῆς αὐτοῦ ὑπὲρ νοῦν καὶ λόγον ἐπιδημίας, εἴς τε τὸ ἀρχαῖον ἀξίωμα ἐπανήγαγε, καὶ τὸ κατ' εἰκόνα πάλιν ἀναλαβὼν ἰσχύν τε καὶ χαρὰν παρέσχετο· αὕτη τοιγαροῦν ἡ περὶ τὸ πλάσμα τῶν χειρῶν αὐτοῦ ἐργασία τυφλοῖς τὸ βλέπειν χαρίζεται, παράλυτον σφίγγει, τεταρταῖον ἀνιστᾷ τοῦ τάφου, καὶ κρεῖσσον ἢ ἀριθμεῖσθαι, ὑπερφυῆ ἔργα ἐπεδείξατο· ἃ τοῦ δεσπότου φιλανθρωπίας ὅρῳ καὶ νόμῳ διαπραττομένου, ἐξονειδίζει μὲν τὴν εὐεργεσίαν ὁ ἀχάριστος τῶν Ἰουδαίων δῆμος, τὴν τοῦ σαββάτου τιμὴν πρόφασίν τε καὶ προκάλυμμα τοῦ φθόνου καὶ τῆς πονηρίας προβαλλόμενος· ἀκούει δὲ παρὰ τοῦ δεσπότου τοῦτο μὲν δεσποτικῶς, τοῦτο δὲ διδασκαλικῶς τε καὶ σωτηριωδῶς· ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι. Ἀλλὰ τοὺς μὲν ἀχαρίστους Ἰουδαίους τὴν περὶ τὸ σῶμα θεραπείαν ὅτι γέγονε σαββάτῳ διασύροντας καὶ δυσφημοῦντας οὕτως ὁ δεσπότης ἐπιστομίζων, τούτων τε καὶ τῶν τοιούτων ἔργων μήτε τὸν πατέρα πεπαῦσθαι, μήτε αὐτὸν τῆς ἐργασίας λήγειν τρανῶς ἡμᾶς ἀνεδίδαξεν. Ἀπὸ δὲ τῆς δεσποτικῆς ἀποφάσεως ταύτης καὶ ἃ πρὸ βραχέος διευκρίνησεν ὁ λόγος σημαινόμενα τῆς ἐργασίας εὐχερές ἐστι σοι λαβεῖν, ποίων μὲν ἔργων κατέπαυσεν ὁ πατὴρ καὶ ὁ υἱὸς, τίνα δὲ μέχρι τοῦ νῦν οὐ παύεται ἐργαζόμενος· καὶ γὰρ δημιουργῶν μὲν τὰς φύσεις πάλαι κατέπαυσεν, ἀδιάφθορα δὲ δημιουργηθέντα συντηρῶν, ὡσαύτως δὲ καὶ ἀπαραχαράκτους καὶ ἀκιβδηλεύτους τὰς ὁλότητας τῶν οὐσιωθέντων διὰ τῆς αὐτοῦ συνέχων προνοίας, καὶ τὴν ἐντεθεῖσαν εὐταξίαν τε καὶ τὸν εἱρμὸν, ἀναλλοίωτα συντηρῶν, οὐδαμοῦ φαίνεται πεπαυμένος οὔτε ὁ πατὴρ οὔτε ὁ υἱὸς, οὐ μὴν ἀλλ' οὐδὲ πνεῦμα τὸ ἅγιον· τῆς γὰρ ὑπερουσίου καὶ παντοκρατορικῆς καὶ δημιουργικῆς τῶν ὅλων οὐσίας μία τε καὶ ἡ αὐτὴ βούλησις καὶ δύναμις καὶ ἐνέργεια· δῆλον δὲ ὡς κατ' ἐκεῖνο καιροῦ καθ' ὃ τὰς θεοσημείας ὁ σωτὴρ ἡμῶν ἐπετέλει, εἰργάζεται μὲν ὁ υἱὸς, συνειργάζετο δὲ αὐτῷ ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα.

Γ. *Διὰ τί χρησάμενος πηλῷ ὁ δεσπότης, ἀλλὰ μὴ ἄλλῳ τρόπῳ, τοὺς ὀφθαλμοὺς ἐξιάσατο τοῦ τυφλοῦ.*

*Πηλῷ δὲ χρησάμενος ὁ πλάστης ὀφθαλμοὺς ἐκανούργησεν τῷ τυφλῷ, ἵνα τῶν διαπορούντων, πῶς ἀπὸ γῆς ὁ πρῶτος ἄνθρωπος ἐπλάσθη, ἐπείπερ τῆς τοιαύτης δημιουργίας οὐδεὶς ἐπόπτης οὐδὲ μάρτυς εἱστήκει, τὴν Γνώμην εἰς ἀναμφίβολον συμβιβάσῃ πίστιν· ἡ γὰρ περὶ τὸ τιμιώτατον τῶν ἐν τῷ σώματι τοῦ ἀνθρώπου μελῶν δημιουργία ὑπ' ὄψιν ἁπάντων προτεθεῖσα καὶ περὶ λοιποῦ σώματος, ᾧ πλαττομένῳ οὐδεμία ὄψις ἐφεστήκει, μὴ ἀμφιβάλλῃ μηδεὶς ἀπορουμένας διασχίζεσθαι γνώμας, μεγάλην ἰσχὺν καὶ βεβαίωσιν παρέχει· οἷς γὰρ ἄν τις τὸ ἄριστόν τε καὶ τιμιώτατον τῶν ἐν ἡμῖν ἐκ πηλοῦ τὴν πλάσιν καὶ ὑπόστασιν ὁρᾷ προαχθεῖσαν, πῶς οὗτος οὐκ ἀναντιῤῥήτῳ λογισμῷ καὶ τὸ λοιπὸν ὄργανον ἐκ τῆς αὐτῆς ὕλης καὶ δυνάμεως ἀνομολογήσει γεγενῆσθαι; ἄλλως τε δὲ ἵνα τοῦτο τρανῶς ἀναμάθῃς ὅτι περ ἐν πᾶσιν οἷς ὁ πατὴρ τὸ Θεὸς εἶναι γνωρίζεται, δυνάμει λέγω καὶ δόξῃ καὶ οὐσίᾳ καὶ κυριότητι, ἐν τούτοις καὶ ὁ υἱὸς τὸ ἴσον ἔχειν καταλαμβάνεται καὶ ἀπαράλλακτον, πηλὸν καὶ οὐκ ἄλλην ὕλην λαβὼν τοὺς ὀφθαλμοὺς ἀναπλάττει τοῦ τυφλοῦ· ὥσπερ καὶ ὁ πατὴρ πάλαι σὺν αὐτῷ ἐκ πηλοῦ τὸν ἄνθρωπον δημιουργεῖ· συναναφαίνεται δὲ καὶ τοῦτο ὅτι περ ὁ νῦν ἐν μορφῇ ἀνθρώπου χρηματίσας Θεὸς καὶ πηλὸν εἰς φύσιν μεταβάλλων ὀφθαλμοῦ, αὐτὸς ἦν καὶ ὁ πάλαι τὸν ἄνθρωπον συμπλαστουργῶν ἐκ πηλοῦ.*

Δ. *Τί ἐστι, μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα.*

*Ἔνδυμα γάμου παρὰ τῆς θείας διδασκόμεθα γραφῆς, τὸν κατ' ἀρετὴν εἶναι βίον καὶ πολιτείαν τὴν ἐλευθέραν ἁμαρτημάτων καὶ καθαράν· ἣν οἱ ἐστολισμένοι, τῆς τε μυστικῆς παστάδος παρ' αὐτοῦ Χριστοῦ τοῦ νυμφίου ἐπάξιοι κρίνονται, καὶ εἰς τὸν μακάριον ἐκεῖνον καὶ δεσποτικὸν ἀνακλίνονται δεῖπνον· οἱ δέ γε τὰ τοιαῦτα τῶν ἐνδυμάτων ῥυπώσαντες, καὶ τῆς θαυμασίας ταύτης ἀπελαύνονται ἀπολαύσεως, καὶ πικρὰν τὴν ἀτιμίαν ὑφίστανται. Εἰ δὲ τοῦτο μεμαθήκαμεν, δῆλος ἂν εἴη καὶ ὁ παρὰ τῷ θεσπεσίῳ ἀποστόλῳ ἐσπιλωμένος καλούμενος χιτὼν, ὃν καὶ μισεῖν ἡμᾶς καλῶς τε καὶ δικαίως παρακελεύεται· ὁ γὰρ ταῖς ἁμαρτίαις κατάστικτος καὶ ῥυπῶν ὅλος, οὗτος ἂν εἴη ὁ ἐσπιλωμένος χιτών. Τοῦτο δὲ σαφέστερον ἀνακαλύπτων οὐχ ἁπλῶς ἐσπιλωμένον χιτῶνα, ἀλλὰ τὸν ἀπὸ τῆς σαρκός φησιν ἐσπιλωμένον καὶ ἐῤῥυπωμένον, καὶ ὅσα ἡ σὰρξ ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, τὸν βίον ἡμῶν κεκηλιδωμένον καὶ κατάστικτον ἀποτελεῖ, ὃν ἀποστρέφεσθαι παν-*

τὶ τρόπῳ προσήκει· ὅτι τῆς μυστικῆς παστάδος τὰς θύρας ἡμῖν ἀποκλείει, ὅτι τοῦ καλοῦ νυμφίου ποιεῖ ἀναξίους, ὅτι τοῦ φρικτοῦ καὶ σωτηρίου δείπνου πόῤῥωθεν ἀπελαύνει.

Ε. Εἰ πᾶν τὸ ὑποκείμενον ἀνάγκῃ καὶ μὴ βουλόμενον ποιεῖ τὰ τῆς βίας, ἀνάγκη δὲ ἐλθεῖν τὰ σκάνδαλα ἐν τῷ κόσμῳ, οὐ δίκαιον ἀραῖς ὑποβάλλειν τὸν βιασθέντα οὐδὲ μὴν δίκας ἀπαιτεῖσθαι τοῦ ἁμαρτήματος.

Ἔχει μέν τι πιθανὸν ἡ κατασκευὴ τοῦ λόγου, πλὴν ἐπὶ θύραις καὶ τὸ δυσσεβές· εἰσπράττει γὰρ τὸν Θεὸν δίκας ἀνθ' ὅτου τὸ βιαζόμενον κολάζει, καὶ περὶ τὸ οἰκεῖον πλάσμα πικρὰν ἀφίησι τὴν ψῆφον· εἰ γὰρ ἀνάγκη φησὶ τὰ σκάνδαλα ἐλθεῖν, καὶ τὸ γένος ἡμῶν ἐξ ἀνάγκης ἁλώσεται τοῖς σκανδάλοις· εἰ δ' ἄκων ἐγὼ δουλεύω, διὰ τί τὸ βιαζόμενον παραδραμὼν, ἐμὲ τὸν βεβιασμένον ὁ κριτὴς ἀραῖς ὑποβάλλει; οὐαὶ γὰρ τῷ ἀνθρώπῳ ἐκείνῳ φησὶ δι' οὗ τὰ σκάνδαλα ἔρχεται· οὐ γὰρ ἐχρῆν ἐπαρᾶσθαι καὶ ἐπεμβαίνειν τῷ ἠδικημένῳ καὶ τυραννίδος ἅρπαγμα γεγενημένῳ, φιλανθρωπίας δὲ μᾶλλον καὶ συμπαθείας ἄξιον νομίζειν· ἵνα μὴ λέγω καὶ πρὸ τούτων ὡς ἀπαλλάττειν ἔδει τῆς βίας τὸ οἰκεῖον πλάσμα. Οὕτω μὲν οὖν ἄν τις καὶ δρυμύτερον τὴν σὴν συμπλέξειεν ἀπορίαν. Ἀρχὴ δ' ἂν εἴη φασὶ λύσεως τῆς ἀπορίας τὸ κραταιότερον· τὸ γὰρ οὐκ ἐχρῆν φᾶναι τὸ οἰκεῖον πλάσμα ἐπαρᾶσθαι, ἀλλὰ τῇ ποινῇ καθυποβάλλειν τῆς βίας τὸ αἴτιον, οὐκ ἔστιν ἄλλό τι λέγειν ἀλλ' ἐχρῆν ὑπὸ κατάραν ποιεῖσθαι τὸν ἄνθρωπον· εἰ μὲν γὰρ ἄλλοθέν ποθεν καὶ οὐκ ἀπὸ τῆς ἡμετέρας καὶ αὐτοδεσπότου γνώμης ἠπλοῦτο τὰ σκάνδαλα, εἰκότως τε ἂν ὁ λόγος ἀπῄτει μὴ δὲ ἀραῖς τινα τῶν ἀνθρώπων ὑποβάλλεσθαι· εἰ δὲ καταβάλλω μὲν ἐγὼ τῶν σκανδάλων τὰ σπέρματα, ἐπεὶ δὲ κατεβλήθη, ἀνάγκη καὶ γεωργηθῆναι καὶ καρποφορῆσαι τὴν ἄκανθαν, ὁ προξενήσας ἐμαυτῷ διὰ τῶν σκανδάλων τῆς ἀκάνθης τὸ ἐπιτίμιον, εἰκότως καὶ τῆς ἀρᾶς καὶ τῆς δίκης ἐμαυτὸν παρίστημι ἔνοχον· ἀλλ' οὐ συγγνώμην πόθεν ἀπαιτεῖν, οὐδὲ φιλανθρωπίας οὐμενουν οὐδαμοῦ κριθείης ἄξιος· σκάνδαλα δ' ἂν ἐκεῖνα εἴη ὅσα κωλύματα γίνεται τῆς πρὸς τὴν ζωὴν ἀγούσης ὁδοῦ τὴν αἰώνιον· τίνα δ' ἔστι ταῦτα; πορνεία, μέθη, κλοπὴ, καταλαλιὰ, καὶ πρὸ τούτων φόνος καὶ φιλαργυρία καὶ ὅσα ἄλλα κακὰ διὰ τούτων· ἅπερ ὁ ἀνθρώπινος κατ' εἰκόνα Θεοῦ πεπλασμένος νοῦς ῥᾳθυμίᾳ καὶ ῥαστώνῃ παρασχὼν ἑαυτὸν εἰς τὸν κόσμον ἐλθεῖν παρασκευάζει· καὶ τῶν ἀρετῶν ἐργάτης πλασθεὶς γεωργὸν ἑαυτὸν κατασκευάζει τῶν φαύλων· ῥοπὴν δὲ ἅπαξ ἐξ ἡμῶν καὶ βλάστην τὰ τοιαῦτα τῶν παθημάτων λαβόντα, ἐξ ἀνάγκης τὸ λοιπὸν ἐπιχωριάζει τε καὶ παῤῥησιάζεται τῷ ἡμετέρῳ βίῳ· εἰ γὰρ καὶ ὁ ἀρχαῖος τοῦ γένους ἡμῶν

ἐχθρὸς ἀνακινεῖ τε καὶ ἀνεγείρει πρὸς τὰ χείρονα τὴν φύσιν, ἀλλ' οὐδαμοῦ φαίνεται κρατῶν ἡμῶν μὴ πειθομένων, μηδὲ τὰ χείρονα πράττειν ὡρμημένων· ἐρεθισμοὺς δέ τινας καὶ οἷον παρακλήσεις ἀλλαλόθεν ἀναμενόντων, ἡμῶν δὲ τοῦ ἀῤῥενωποῦ τε καὶ γενναίου τῆς ἀρετῆς ὑπολισθαινόντων, λαμβάνει χῶραν ἡ τοῦ πονηροῦ συμβουλὴ, καὶ γίνεται συνεργὸς ἀλλ' οὐκ ἀρχηγὸς τοῦ παραπτώματος· δῆλον δὲ ὅτι καθάπερ τῷ κατ' ἀρετὴν βίῳ ἐπιλυμαίνεταί τε καὶ ἀνατρέπει τὰ τοιαῦτα σκάνδαλα καὶ πάθη, οὕτω δὴ οὕτω καὶ τῷ κατ' εὐσέβειαν λόγῳ ἐπιπροσθεῖ τε καὶ καταληΐζεται τὰ αἱρετικὰ καὶ παλίμφημα τῶν δυσσεβούντων δόγματα καὶ φρονήματα· οἵπερ ἐξ ἀρχῆς ταῖς πονηραῖς αὐτῶν διανοίαις συλλαβόντες αὐτὰ καὶ ἀποτεκόντες οὐκ ἐξ ἀνάγκης οὐδὲ βίᾳ, ἑκουσιότητι δὲ βουλῆς τε καὶ γνώμης, τάς τε τῶν πλησίον ἀκοὰς τῆς δυσφημίας ἐνέπλησαν, καὶ ἐξ ἀνάγκης δι' ἑαυτῶν τε καὶ τῶν παραδεξαμένων εἰς τὸν κόσμον ἐλθεῖν τὰ σκάνδαλα παρεσκεύασαν· οἷς καὶ τὸ οὐαὶ, ἀδεκάστῳ κρίσει ἡ θεία ψῆφος ἐπαφίησιν ἑαυτοὺς ἀναξίους παρεσκευακόσι παντὸς οἰκτιρμοῦ, ὥς που καὶ ἀλλαχόθι φησὶν ὅτι τοῖς τοιούτοις συμφέρει ἵνα μύλος ὀνικὸς δεθῇ περὶ τὸν τράχηλον αὐτῶν, καὶ ἀποῤῥιφῶσιν εἰς τὴν θάλασσαν. Λέλυται τοίνυν ἀπορία ἐξ ὧν ἐδόκει κρατύνεσθαι· καὶ οὐχ ὁ βιασθεὶς ἔχει τὴν ἀρὰν, ἀλλ' ὁ τῶν σκανδάλων προβολεὺς δι' οὗ προέβη τὰ σκάνδαλα· τούτου γὰρ προβαλλομένου, ἐξ ἀνάγκης λοιπὸν ἐπιδημεῖ τε καὶ παῤῥησιάζεται τῷ κόσμῳ τὰ σκάνδαλα.

Ζ. Εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν ποίοις αἰῶσιν ὁ τοῦ Χριστοῦ πλοῦτος εἰς ἡμᾶς ἐπιδειχθήσεται.

Οὐκ ἄπορον δὲ οὐδ' εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν τοῖς ἐπερχομένοις αἰῶσι τὸν πλοῦτον αὐτοῦ ἐπιδείξασθαι εἰς ἡμᾶς τὸν κοινὸν τοῦ γένους σωτῆρα καὶ λυτρωτήν· ἐπὶ μὲν γὰρ τῷ τέλει τῶν αἰώνων ἡμεῖς ἐσμὲν, ὅσοι τὸν παρόντα κόσμον ἤδη μαραινόμενόν τε καὶ καταῤῥέοντα πρὸς τέλος ἐτάχθημεν παραμετρεῖν, ἐπερχομένους δὲ αἰῶνας ἐκείνους δεῖ νοεῖν, ὅσοι τῇ τῶν μελλόντων ἀδιαδόχῳ παραπολαύσει συμπαρατεινομένην ἔχουσι φύσιν τὴν ἑαυτῶν. Ὅρα δέ μοι καὶ οὕτως· ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς ἡμᾶς τὰ τέλη κατήντησε, τὸ πρὸ τῶν αἰώνων ὁρισθὲν μυστήριον ἐπὶ κοινῇ τοῦ ἀνθρωπίνου γένους σωτηρίᾳ πέρας ἔλαβέ τε καὶ ἐτελέσθη· ὅπέρ ἐστιν ἡ τοῦ θεοῦ πρὸς ἀνθρώπους ἕνωσίς τε καὶ ἐπιδημία· ἐν δὲ τοῖς ἐπερχομένοις ἐπιτελεσθείη ἂν ἡ τῶν ἀνθρώπων πρὸς θεὸν ἄνοδός τε καὶ ὑψηλοτέρα συνάφεια· καὶ τὸ κατὰ χάριν ἡμᾶς γενέσθαι θεοὺς, μηκέτι πρὸς τὰ χείρω τὴν μεταβολὴν δεχομένους. Ἔτι δὲ ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς τὰ τέλη κατηντήσαμεν, τὴν ἐργασίαν τῶν ἐντολῶν ἀπαιτούμεθα· καὶ πρὸς τὸ γυμνάσιον

τὶ τρόπῳ προσήκει· ὅτι τῆς μυστικῆς παστάδος τὰς θύρας ἡμῖν ἀποκλείει, ὅτι τοῦ καλοῦ νυμφίου ποιεῖ ἀναξίους, ὅτι τοῦ φρικτοῦ καὶ σωτηρίου δείπνου πόῤῥωθεν ἀπελαύνει.

Ε. Εἰ πᾶν τὸ ὑποκείμενον ἀνάγκῃ καὶ μὴ βουλόμενον ποιεῖ τὰ τῆς βίας, ἀνάγκη δὲ ἐλθεῖν τὰ σκάνδαλα ἐν τῷ κόσμῳ, οὐ δίκαιον ἀραῖς ὑποβάλλειν τὸν βιασθέντα οὐδὲ μὴν δίκας ἀπαιτεῖσθαι τοῦ ἁμαρτήματος.

Ἔχει μέν τι πιθανὸν ἡ κατασκευὴ τοῦ λόγου, πλὴν ἐπὶ θύραις καὶ τὸ δυσσεβές· εἰσπράττει γὰρ τὸν θεὸν δίκας ἀνθ' ὅτου τὸ βιαζόμενον κολάζει, καὶ περὶ τὸ οἰκεῖον πλάσμα πικρὰν ἀφίησι τὴν ψῆφον· εἰ γὰρ ἀνάγκη φησὶ τὰ σκάνδαλα ἐλθεῖν, καὶ τὸ γένος ἡμῶν ἐξ ἀνάγκης ἁλώσεται τοῖς σκανδάλοις· εἰ δ' ἄκων ἐγὼ δουλεύω, διὰ τί τὸ βιαζόμενον παραδραμὼν, ἐμὲ τὸν βεβιασμένον ὁ κριτὴς ἀραῖς ὑποβάλλει; οὐαὶ γὰρ τῷ ἀνθρώπῳ ἐκείνῳ φησὶ δι' οὗ τὰ σκάνδαλα ἔρχεται· οὐ γὰρ ἐχρῆν ἐπαρᾶσθαι καὶ ἐπεμβαίνειν τῷ ἠδικημένῳ καὶ τυραννίδος ἅρπαγμα γεγενημένῳ, φιλανθρωπίας δὲ μᾶλλον καὶ συμπαθείας ἄξιον νομίζειν· ἵνα μὴ λέγω καὶ πρὸ τούτων ὡς ἀπαλλάττειν ἔδει τῆς βίας τὸ οἰκεῖον πλάσμα. Οὕτω μὲν οὖν ἄν τις καὶ δρυμύτερον τὴν σὴν συμπλέξειεν ἀπορίαν. Ἀρχὴ δ' ἂν εἴη φασὶ λύσεως τῆς ἀπορίας τὸ κραταιότερον· τὸ γὰρ οὐκ ἐχρῆν φάναι τὸ οἰκεῖον πλάσμα ἐπαρᾶσθαι, ἀλλὰ τῇ ποινῇ καθυποβάλλειν τῆς βίας τὸ αἴτιον, οὐκ ἔστιν ἄλλό τι λέγειν ἀλλ' ἐχρῆν ὑπὸ κατάραν ποιεῖσθαι τὸν ἄνθρωπον· εἰ μὲν γὰρ ἄλλοθέν ποθεν καὶ οὐκ ἀπὸ τῆς ἡμετέρας καὶ αὐτοδεσπότου γνώμης ἠπλοῦτο τὰ σκάνδαλα, εἰκότως τε ἂν ὁ λόγος ἀπῄτει μὴ δὲ ἀραῖς τινα τῶν ἀνθρώπων ὑποβάλλεσθαι· εἰ δὲ καταβάλλω μὲν ἐγὼ τῶν σκανδάλων τὰ σπέρματα, ἐπεὶ δὲ κατεβλήθη, ἀνάγκη καὶ γεωργηθῆναι καὶ καρποφορῆσαι τὴν ἄκανθαν, ὁ προξενήσας ἐμαυτῷ διὰ τῶν σκανδάλων τῆς ἀκάνθης τὸ ἐπιτίμιον, εἰκότως καὶ τῆς ἀρᾶς καὶ τῆς δίκης ἐμαυτὸν παρίστημι ἔνοχον· ἀλλ' οὐ συγγνώμην πόθεν ἀπαιτεῖν, οὐδὲ φιλανθρωπίας οὐμενουν οὐδαμοῦ κριθεὶης ἄξιος· σκάνδαλα δ' ἂν ἐκεῖνα εἴη ὅσα κωλύματα γίνεται τῆς πρὸς τὴν ζωὴν ἀγούσης ὁδοῦ τὴν αἰώνιον· τίνα δ' ἔστι ταῦτα; πορνεία, μέθη, κλοπὴ, καταλαλιὰ, καὶ πρὸ τούτων φόνος καὶ φιλαργυρία καὶ ὅσα ἄλλα κακὰ διὰ τούτων· ἅπερ ὁ ἀνθρώπινος κατ' εἰκόνα θεοῦ πεπλασμένος νοῦς ῥαθυμίᾳ καὶ ῥαστώνῃ παρασχὼν ἑαυτὸν εἰς τὸν κόσμον ἐλθεῖν παρασκευάζει· καὶ τῶν ἀρετῶν ἐργάτης πλασθεὶς γεωργὸν ἑαυτὸν κατασκευάζει τῶν φαύλων· ῥοπὴν δὲ ἅπαξ ἐξ ἡμῶν καὶ βλάστην τὰ τοιαῦτα τῶν παθημάτων λαβόντα, ἐξ ἀνάγκης τὸ λοιπὸν ἐπιχωριάζει τε καὶ παῤῥησιάζεται τῷ ἡμετέρῳ βίῳ· εἰ γὰρ καὶ ὁ ἀρχαῖος τοῦ γένους ἡμῶν

ἐχθρὸς ἀνακινεῖ τε καὶ ἀνεγείρει πρὸς τὰ χείρονα τὴν φύσιν, ἀλλ' οὐδαμοῦ φαίνεται κρατῶν ἡμῶν μὴ πειθομένων, μηδὲ τὰ χείρονα πράττειν ὡρμημένων· ἐρεθισμοὺς δέ τινας καὶ οἷον παρακλήσεις ἀλλαλόθεν ἀναμενόντων, ἡμῶν δὲ τοῦ ἀῤῥενωποῦ τε καὶ γενναίου τῆς ἀρετῆς ὑπολισθαινόντων, λαμβάνει χῶραν ἡ τοῦ πονηροῦ συμβουλὴ, καὶ γίνεται συνεργὸς ἀλλ' οὐκ ἀρχηγὸς τοῦ παραπτώματος· δῆλον δὲ ὅτι καθάπερ τῷ κατ' ἀρετὴν βίῳ ἐπιλυμαίνεταί τε καὶ ἀνατρέπει τὰ τοιαῦτα σκάνδαλα καὶ πάθη, οὕτω δὴ οὕτω καὶ τῷ κατ' εὐσέβειαν λόγῳ ἐπιπροσθεῖ τε καὶ καταληΐζεται τὰ αἱρετικὰ καὶ παλίμφημα τῶν δυσσεβούντων δόγματα καὶ φρονήματα· οἵπερ ἐξ ἀρχῆς ταῖς πονηραῖς αὐτῶν διανοίαις συλλαβόντες αὐτὰ καὶ ἀποτεκόντες οὐκ ἐξ ἀνάγκης οὐδὲ βίᾳ, ἑκουσιότητι δὲ βουλῆς τε καὶ γνώμης, τάς τε τῶν πλησίον ἀκοὰς τῆς δυσφημίας ἐνέπλησαν, καὶ ἐξ ἀνάγκης δι' ἑαυτῶν τε καὶ τῶν παραδεξαμένων εἰς τὸν κόσμον ἐλθεῖν τὰ σκάνδαλα παρεσκεύασαν· οἷς καὶ τὸ οὐαὶ, ἀδεκάστῳ κρίσει ἡ θεία ψῆφος ἐπαφίησιν ἑαυτοὺς ἀναξίους παρεσκευακόσι παντὸς οἰκτιρμοῦ, ὥς που καὶ ἀλλαχόθι φησὶν ὅτι τοῖς τοιούτοις συμφέρει ἵνα μύλος ὀνικὸς δεθῇ περὶ τὸν τράχηλον αὐτῶν, καὶ ἀποῤῥιφῶσιν εἰς τὴν θάλασσαν. Λέλυται τοίνυν ἀπορία ἐξ ὧν ἐδόκει κρατύνεσθαι· καὶ οὐχ ὁ βιασθεὶς ἔχει τὴν ἀρὰν, ἀλλ' ὁ τῶν σκανδάλων προβολεὺς δι' οὗ προέβη τὰ σκάνδαλα· τούτου γὰρ προβαλλομένου, ἐξ ἀνάγκης λοιπὸν ἐπιδημεῖ τε καὶ παῤῥησιάζεται τῷ κόσμῳ τὰ σκάνδαλα.

Ζ. Εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν ποίοις αἰῶσιν ὁ τοῦ Χριστοῦ πλοῦτος εἰς ἡμᾶς ἐπιδειχθήσεται.

Οὐκ ἄπορον δὲ οὐδ' εἰ τὰ τέλη τῶν αἰώνων εἰς ἡμᾶς κατήντησεν, ἐν τοῖς ἐπερχομένοις αἰῶσι τὸν πλοῦτον αὐτοῦ ἐπιδεῖξασθαι εἰς ἡμᾶς τὸν κοινὸν τοῦ γένους σωτῆρα καὶ λυτρωτήν· ἐπὶ μὲν γὰρ τῷ τέλει τῶν αἰώνων ἡμεῖς ἐσμὲν, ὅσοι τὸν παρόντα κόσμον ἤδη μαραινόμενόν τε καὶ καταῤῥέοντα πρὸς τέλος ἐτάχθημεν παραμετρεῖν, ἐπερχομένους δὲ αἰῶνας ἐκείνους δεῖ νοεῖν, ὅσοι τῇ τῶν μελλόντων ἀδιαδόχῳ παραπολαύσει συμπαρατεινομένην ἔχουσι φύσιν τὴν ἑαυτῶν. Ὅρα δέ μοι καὶ οὕτως· ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς ἡμᾶς τὰ τέλη κατήντησε, τὸ πρὸ τῶν αἰώνων ὁρισθὲν μυστήριον ἐπὶ κοινῇ τοῦ ἀνθρωπίνου γένους σωτηρίᾳ πέρας ἔλαβέ τε καὶ ἐτελέσθη· ὅπέρ ἐστιν ἡ τοῦ θεοῦ πρὸς ἀνθρώπους ἕνωσίς τε καὶ ἐπιδημία· ἐν δὲ τοῖς ἐπερχομένοις ἐπιτελεσθείη ἂν ἡ τῶν ἀνθρώπων πρὸς θεὸν ἄνοδός τε καὶ ὑψηλοτέρα συνάφεια· καὶ τὸ κατὰ χάριν ἡμᾶς γενέσθαι θεοὺς, μηκέτι πρὸς τὰ χείρω τὴν μεταβολὴν δεχομένους. Ἔτι δὲ ἐν μὲν τοῖς αἰῶσιν, ὧν εἰς τὰ τέλη κατηντήσαμεν, τὴν ἐργασίαν τῶν ἐντολῶν ἀπαιτούμεθα· καὶ πρὸς τὸ γυμνάσιον

ἀποδυόμεθα· ἐν δὲ τοῖς ἐπερχομένοις τά τε τῶν πρακτέων ἐπίχειρα κομιζόμεθα καὶ τῶν βραβείων ἀξιούμεθα, ὅτε δὴ ὅτε καὶ ὁ πλοῦτος τῆς δεσποτικῆς χρηστότητος καὶ φιλοτιμίας ἀῤῥήτῳ λόγῳ καὶ ἀκαταλήπτοις λογισμοῖς ἡμῖν ἐπιδαψιλεύοιτο. Εἰ βούλει δὲ ἐν μὲν τοῖς περατουμένοις αἰῶσι φθαρτῷ σώματι τὸν βίον ἡμῶν διανύομεν, ἐν δὲ τοῖς ἐπερχομένοις τῆς φθορᾶς τὴν ἀφθαρσίαν ἀμειβόμενοι, οὕτω τὸν ἀτελεύτητον διατελοῦμεν αἰῶνα. Καὶ πάλιν ἐν μὲν τοῖς παροῦσι τὴν κατεξανισταμένην ἡμῶν τὴν ἁμαρτίαν καὶ διενοχλοῦσαν ὑφιστάμεθα· ἐν δὲ τοῖς ἐπερχομένοις οὐκέτι καταστρατηγοῦσαν οὐδὲ ἐνεργουμένην, ἀλλὰ μηδὲ ὑφεστῶσαν ὅλως εὑρήσομεν, μηδὲ δυναμένην ὑφίστασθαι. Πολλὰ δ' ἄν τις καὶ ἄλλα μυρία τούτοις ἐπιθείη, δι' ὧν ἡ διαφορὰ τῶν τε πρὸς τέλος ἐπειγομένων αἰώνων καὶ τῶν εἰς ἀπέραντον διαμενόντων ῥᾳδίως καταλαμβάνεται· καὶ ὡς τὰ προκείμενα ῥητὰ οὐδὲ ἀλλήλοις ἀντινομοθετεῖ οὐδὲ διαμάχεται.

H. Πῶς τὰ τέκνα τοῦ θεοῦ λέγεται ἁμαρτίαν μὴ ποιεῖν, εἶναι δὲ ταῦτα ἡ αὐτὴ λέγει γραφὴ τὰ δι' ὕδατος καὶ πνεύματος γεννηθέντα, καὶ πάλιν πολλοὺς ὁρῶμεν τοὺς διὰ βαπτίσματος υἱοποιηθέντας τὴν ἁμαρτίαν διαπραττομένους.

Εἰ δι' ὕδατος καὶ πνεύματος οἱ γεννηθέντες τέκνα θεοῦ χρηματίζουσι, τὰ δὲ τέκνα τοῦ θεοῦ, ὡς ὁ θεσπέσιος Ἰωάννης βοᾷ, ἁμαρτίαν οὐ ποιεῖ, ἐπερωτᾷς καὶ διαπορεῖς πῶς μεθ' ὃ τοῦ λουτροῦ τῆς παλλιγγενεσίας τοῦ τηλικούτου χαρίσματος ἠξιώθημεν, πρὸς ἁμαρτίαν καταφερόμεθα. Ἀλλὰ πρό γε τῆς λύσεως τῶν δοκούντων ἔχειν ἐναντιότητα ῥημάτων, αὐτὸ καθ' αὐτὸ τὸ ἀποστολικὸν ἐπισκεπτέον ῥητόν· πῶς ὅλως ἄνθρωπος τέκνον θεοῦ γεγονὼς ἁμαρτίαν οὐ δύναται ποιεῖν; Τινὲς μὲν οὖν φασιν, ὡς αὐτὸς ἐκεῖνος ἐπιλυόμενος ἐπάγει τὸ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ· τοῦ γὰρ δεσποτικοῦ σπέρματος ἤτοι διδασκαλικοῦ λόγου· ἐξῆλθεν γάρ φησιν ὁ σπείρων τοῦ σπεῖραι· τούτου δὴ τοῦ σπέρματος ἐν τῇ ψυχῇ ῥιζωθέντος καὶ παραμένοντος οὐ δύναται ποιεῖν ἁμαρτίαν ὁ ἐκείνου τοῦ σπόρου τὴν ἀφομοίωσιν πρὸς τὸν γεγεννηκότα κτησάμενος θεόν· παραιρεθέντος δὲ τοῦ τοιούτου σπέρματος ἐκ τῆς διανοίας ἡμῶν, αὐτίκα ὁ τοῦ ἐχθροῦ ἀντικαταβάλλεται σπόρος, καὶ ἡ τῶν ζιζανίων βλάστη λαμβάνει ἀρχήν. Ἔνιοι μὲν οὕτως ὡς ἔμοιγε δοκεῖ καὶ τῆς ἀληθείας ἐγγὺς τὸ ἀποστολικὸν ῥητὸν νενοήκασιν. Οἱ δὲ ἁπλούστερον φασὶν, ὡς οὔτε ὁ δίκαιος τὴν δικαιοσύνην πράττων, οὔτε ὁ σώφρων τὴν σωφροσύνην ἐπιτελῶν, οὐ μὴν ἀλλ' οὐδ' ἄλλος παρώνυμος ἀπὸ τῆς ἀρετῆς ἐν ᾧ ταύτην τελεῖ καὶ διαπράττεται, οὔμενουν οὐκ ἄν ποτε καὶ τῆς ἁμαρτίας ὑπάρξειε δημιουργός.

Ἀλλὰ τοῦτο μὲν εἰ καί τισιν εἴρηται, οὔ μοι δοκεῖ τοῦ ὕψους τῆς ἀποστολικῆς ἐφικνεῖσθαι διανοίας· οὐδὲ γὰρ σοφὸν εἰδέναι, ἀλλ' οὐδὲ διδάσκειν, ὡς ὁ δίκαιος δικαιοπραγῶν οὐκ ἀδικεῖ, ἀλλ' οὐδὲ ὁ σώφρων οὐκ ἀκολασταίνει ἐν τῷ σωφρονεῖν· ἄμεινον δὲ ἂν ἴσως εἴη κἀκεῖνο συνιδεῖν, ὡς ὁ γεγεννημένος ἐκ τοῦ Θεοῦ καὶ τὸ σπέρμα αὐτοῦ ἐν ἑαυτῷ συλλαβὼν ἤτοι τὴν ἀρετὴν (πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον ἀπὸ τοῦ πατρὸς τῶν φώτων) καὶ τελειωθεὶς ἐν αὐτῇ ὡς καὶ ταύτης καθαρῶς εἰς ἕξιν ἐλάσαι, μὴ ἔχων ἐπιμιγνυμένην ἑαυτῷ τοῦ κακοῦ τὴν σποράν, ὁ τοιοῦτος οὐ δύναται ποιεῖν ἁμαρτίαν· τουτέστι οὐκ ἔχει τὴν γνώμην ῥέπουσαν πρὸς τὰ πάθη, οὐδὲ πρὸς ἐκεῖνα τὸν νοῦν ἐπιστρεφόμενον· ὥσπερ γὰρ ἡ ἀδίδακτος φύσις ἰσχυρὸν τὰ παρὰ φύσιν ἀποστρέφεσθαι, οὕτως ἡ ἐκ διδασκαλίας διὰ τῆς τῶν ἀγαθῶν πράξεως γυμνασίας ἐπιγινομένη ἕξις μεγάλην λαμβάνει τὴν ἰσχὺν εἰς τὸ πρὸς μηδὲν τῶν φαύλων ἐπιῤῥεπῶς ἔχειν καὶ τούτοις ἐφήδεσθαι· ἀλλ' ἡ μὲν τοῦ ῥητοῦ καθ' ἑαυτὴν σκέψις τοιαύτη τις ἂν εἴη. Ἐπιλύοιτο δ' ἂν καὶ ἡ κατὰ συμπλοκὴν τῶν ῥητῶν προκειμένη ἀπορία οὐδὲν ἔλαττον καὶ δι' ἑνὸς ἑκάστου τῶν εἰρημένων· οὐδὲν γὰρ ἄπορον οὔτε τὸν ἔχοντα τοὺς σπερματικοὺς λόγους ἐν ἑαυτῷ βλαστάνοντας, εἴτε τῶν ἀρετῶν εἴησαν, εἴτε τῆς εὐσεβείας αἱ καταβολαί, τότε μὲν μηδαμῶς ἀποδέχεσθαι τὴν ἐπισπορὰν τοῦ πονηροῦ· ἐπειδὰν δὲ τοῦ κακοῦ βλαστήματος ἔρημοι καταστῶμεν, τότε πρὸς τὴν τῶν ζιζανίων ὑποδοχὴν παρασκευασαμένους ὁρᾶσθαι· ἀλλ' οὐδὲ τὸν πράττοντα τὴν ἀρετὴν ἐπειδὰν ταύτην εἰλικρινῶς πράττῃ, ἀνενέργητον αὐτὸν πρὸς τὴν κακίαν εἶναι· ἀμελήσαντα δὲ τῶν καλῶν ἔργων πρὸς τὰ χείρονα κατενεχθῆναι, οὐδεὶς ἂν διαμφισβητήσῃ.

Λυθείη μὲν ἂν ὥσπερ εἴρηται διὰ τούτων καὶ ἡ δοκοῦσα κατ' ἀρχὰς τῶν ῥητῶν ἐναντιολογία· οἰκειωτέρα δὲ καὶ ἰδιάζουσα λύσις εἴη ἂν αὐτῇ προσαγομένη τοιαύτη. Διττός ἐστιν ὁ τῆς ἄνωθεν υἱοθεσίας τρόπος· ὁ μὲν ἐκ μόνης τῆς φιλοτιμίας τοῦ υἱοθετοῦντος ἐπιδεικνύμενος, ὁ δὲ μετὰ συνεισφορᾶς τῆς ἡμετέρας σπουδῆς, καθ' ἣν ἡ τῶν ἀρετῶν συνεισάγεται ἐργασία· καὶ ἡ δοθεῖσα τῆς υἱοθεσίας ἄνωθεν χάρις τῇ ἀπὸ τῆς γνώμης συνελθοῦσα τῶν ἀρετῶν πράξει, ὅλον ἀναμορφοῖ τὸν υἱοθετούμενον πρὸς τὴν ὁμοίωσιν καὶ τὸν χαρακτῆρα, καθ' ὅσον ἐστὶν ἀνθρώπῳ μιμήσασθαι δυνατὸν τὸν γεγεννηκότα Θεόν· οὕτως μὲν οὖν ὁ κατὰ τοῦτον τὸν τρόπον χρηματίσας τέκνον Θεοῦ, καὶ οὕτω βεβαίαν καὶ ἀμετακίνητον τὴν υἱοθεσίαν κτησάμενος, ἀναλλοίωτον λαμβάνει τὴν ἕξιν τοῦ καλοῦ, καὶ μισεῖ τὴν ἁμαρτίαν καὶ ἀποστρέφεται, καὶ οὐκ ἐθέλει ταύτην οὐδαμῆ ποιεῖν. Ὁ μέν τοι γε τῆς δεσποτικῆς ἀπολαύσας φιλοτιμίας, μηδὲν δὲ τηλικοῦτον συνεισενεγκὼν ὡς βεβαίαν τὴν υἱοθεσίαν δεῖξαι, καὶ ἑαυτὸν ἄξιον ταύτης διὰ τῶν

ἔργων παραστῆσαι, οὗτος δὴ οὗτος κἂν τῆς υἱοθεσίας ἔτυχεν, ἣν ἡ δεσποτικὴ χαρίζεται φιλοτιμία, τῷ ταύτην οἰκείᾳ γνώμῃ καὶ σπουδῇ μὴ συγκροτεῖν, εὐχερῶς φέρεται πρὸς τὰς τῶν ἁμαρτημάτων πράξεις· τὸ μὲν ἀπὸ τῆς χάριτος δοθὲν σπέρμα, οἷον ἀτελεσφόρητον καταλιπών· τὸ δὲ ἀπὸ τοῦ πονηροῦ ἐπισπαρὲν, τελεσφορούμενόν τε καὶ γεωργούμενον οἰκείᾳ ῥαθυμίᾳ· ὅπερ καὶ περιφέρων ἐν ἑαυτῷ, εἰκότως ἀντὶ τοῦ τέκνον εἶναι θεοῦ, τέκνον χρηματίζει τοῦ διαβόλου.

Θ. Πῶς τοῦ θεοπάτορος Δαβὶδ εἰπόντος, ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ καὶ ἑξῆς, ὁ τούτου παῖς Σολομὼν ἀποφαίνεται, μέγα ἄνθρωπος καὶ τίμιον ἀνήρ.

Τὴν τῶν ἀνθρώπων φύσιν ὡς τὰ πολλὰ καὶ ὁ θεῖος Δαβὶδ κατευτελίζων, καὶ ὁ σοφὸς μεγαλύνων Σολομὼν, οὐκ ἐναντίαν ἀλλήλοις ἀντεισάγουσι δόξαν· οὐ γὰρ οὗτοι μόνον τοιαύτας ἀποφάσεις περὶ τοῦ ἀνθρωπείου γένους ποιοῦνται, ἀλλὰ καὶ πολλαχοῦ τῆς θείας γραφῆς εὑρήσεις, τοῦτο μὲν ἐπαίρουσαν τὴν ἡμετέραν φύσιν, τοῦτο δὲ πάλιν κατευτελίζουσαν καὶ κάτω τιθεῖσαν· οὐ μόνον δὲ ἀλλὰ καὶ ὅσοι τῶν ἡμετέρων ἱερῶν πατέρων ἐκεῖθεν τὴν ἀληθινὴν ἐμυσταγωγήθησαν σοφίαν, καὶ οὗτοι διαφόρους δόξας θέμενοι περὶ τὸ ἀνθρώπινον, οὐκ ἐν τῷ διαφόρῳ τῶν ψηφισμάτων στάσιν ἢ μάχην πρὸς ἑαυτοὺς ἢ πρὸς ἀλλήλους φαίνονται συνεισενεγκόντες, ἀλλ᾽ ὁμόνοιάν τε καὶ συμφωνίαν ὁρῶνται διαπεπραγμένοι. Πῶς δὲ διάφορα ἀποφαινομένων οὐδεμία μάχη ἢ ἐναντίωσις πρὸς τὴν ἀλήθειαν ἐπακολουθεῖ, ἐντεῦθεν ἐστιν ῥάδιον λαβεῖν. Διπλῆν τὴν κατασκευὴν ὁ ἄνθρωπος ἔχει, καὶ διπλοῦν ἐπολιτεύσατο βίον· τὸν μὲν πρὸ τῆς παραβάσεως, τὸν δὲ μετὰ τὴν ἀθέτησιν τῆς ἐντολῆς· ἡ δὲ κατασκευὴ, τὸ μὲν αὐτοῦ πηλός ἐστι καὶ κόνις, τὸ δὲ τὴν παντοκρατορικὴν καὶ δεσποτικὴν τῶν ὄντων ἁπάντων ἐξεικονίζει φύσιν· ὅσα οὖν ἐπαίρει τὸν ἄνθρωπον καὶ ἄνω ἵστησιν, ἢ τοῦ δοθέντος αὐτῷ ἀξιώματος τὸ μέγεθος ὑπεμφαίνει, ἢ τὸν πρὸ τῆς παραβάσεως μακάριον καὶ εὐδαίμονα βίον· ὅσα δὲ εὐτελίζει καὶ κάτω τίθησι, τοῦτο μὲν τὰ μετὰ τὴν παράβασιν τίθησιν ἀλγεινὰ, τοῦτο δὲ καὶ ὅτι χοῦς ἐστι καὶ εἰς γῆν ἀναλύει, παρίστησιν σαφῶς. Ἀλλὰ ταῦτα φαμὲν οἱονεὶ τὰς πρώτας καὶ κυριωτάτας ἀναγράφοντες ἀρχάς. Ἐκ δὲ τούτων πολλὰ καὶ ἄλλα φύεται· μεθόριον γὰρ ὥσπερ ὁ ἄνθρωπος γεγονὼς καὶ δυνάμενος εἴπερ βούλοιτο θεωθῆναι, οὐκ ἔχων δὲ ἀνάγκην ἄν περ βούλοιτο πρὸς τὰ χείρω ῥέψαι ἀναστέλλουσαν τὴν ὁρμὴν, θεούμενος μὲν τῶν μυρίων ἐπαίνων ἄξιός ἐστι τυγχάνειν, ἀποθηριούμενος δὲ καὶ κτηνώδης γενόμενος, ἵνα μὴ λέγω τῇ τῶν πονηρῶν δαιμόνων παραμιλλώμενος κακίᾳ, μυρίοις ὑποβάλλεται ψόγοις· καὶ πρό γε

τούτου περὶ τὰ ἐν τῷ βίῳ τερπνὰ καὶ ἡδέα τὸν νοῦν ἐνησχολημένος, μυρίοις καθ' ἑκάστην περιαντλεῖται κακοῖς· μόλις ποτὲ τὸ ματαιότης ματαιοτων τὰ πάντα ματαιότης, δυνάμενος συνιδεῖν· ἑαυτὸν δὲ τῷ λόγῳ χωρίζων τοῦ κόσμου, καὶ τῶν ἐν τῷ κόσμῳ περιστάσεων καὶ ἀδολεσχιῶν τῆς ὅτι μάλιστα εὐδαιμονίας ἀπολαύει· καὶ πρὸ τοῦ τυχεῖν τῶν ἐκεῖθεν ὡς ἐν εἰκόνι τῷ παρόντι, καὶ ἐν προοιμίῳ πολλῆς τῆς μακαριότητος ἐντρυφᾷ. ὥστε οὔτε ὁ πατὴρ τῷ παιδὶ μάχεται, ὁ θεοπάτωρ φημὶ Δαβὶδ τῷ σοφῷ Σολομῶντι, ὁ μὲν ἐπαινῶν ὁ δὲ κατάγων τὸν ἄνθρωπον, οὔτε ἡ θεία γραφὴ διαμάχεται ἑαυτῇ, ἀλλ' οὐδὲ τῶν πατέρων ἡμῶν ὁ θεῖος χορὸς ποτὲ μὲν τὴν ἀνθρώπου ἐκθειάζοντες φύσιν, ποτὲ δὲ κατευτελίζοντες καὶ εἰς ἔσχατον συγκατακλείοντες ταπεινότητος· καὶ χωρὶς δὲ τῶν εἰρημένων τὰ περὶ τὸ σωμάτιον πάθη καὶ αἱ καθημεριναὶ λῶβαι πῶς οὐ κατευτελίζουσι τὰ ἡμέτερα; ἡ δὲ πρὸς θεωρίαν ἐπιστροφὴ τοῦ νοῦ καὶ τὸ ἐκεῖθεν τῆς ἡδονῆς καθαρὸν, πῶς οὐ μακαρίαν ἡμῶν καὶ εὐδαίμονα τὴν πολιτείαν ὑποδεικνύουσι;

I. *Τί δή ποτε τοὺς δαιμονίᾳ νόσῳ κακουμένους, σεληνιαζομένους ὁ εὐαγγελιστὴς ὀνομάζει.*

Σεληνιαζομένους ὁ εὐαγγελιστὴς τοὺς δαιμονίᾳ κατόχους ὀνομάζει νόσῳ, οὐχὶ τὴν σελήνην αἰτίαν τοῦ πάθους ἀναγράφων, οὐδ' ὅτι αὐτὴ τὸν ἄνθρωπον τοῦ ἁλῶναι τῷ κακῷ τὰς ἀφορμὰς παρέχει, ἀλλ' ἐθίμοις τῷ πλήθει καὶ γνωρίμοις ὀνόμασι τὰς τοῦ δεσπότου θαυματουργίας σπουδάζων διηγεῖσθαι· οὐ γὰρ ἦν αὐτῷ σκοπῷ ἀττικῶς εἰπεῖν ἀλλὰ σαφῶς τὴν ἀλήθειαν διδάξαι· τοῦτο δ' ἂν ὑπάρξαι, εἰ τῇ κοινῇ χρήσει τῶν ὀνομάτων καὶ ὡς ἐπιχωριάζει τὸ ἔθος τὰ γεγονότα τίς ἀπαγγελεῖ· ἄλλως τε δὲ οὐδ' ἐμπεδὼν ἦν τοῦ ῥήματος ἡ χρῆσις τῷ κηρύγματι τῆς εὐσεβείας· ἐπεὶ γὰρ πολλοὶ τῶν ἡλίῳ καὶ σελήνῃ λελατρευκότων ἔμελλον κατήκοοι τῶν δεσποτικῶν γίνεσθαι θαυμάτων, ἐκ τῆς παρ' αὐτοῖς ὑπολήψεως καὶ τῆς τῶν ῥημάτων χρήσεως, τῆς ἀρχαίας αὐτοὺς καὶ δυσσεβοῦς ἀπαλλάττει πλάνης, μονονουχὶ τούτους ἀνακαλούμενος καὶ βοῶν· ἄνθρωποι πῶς σελήνῃ καὶ ἡλίῳ τὶ σέβας ἀνάπτετε καὶ θεοὺς καὶ εὐεργέτας νομίζετε, ἐξ ὧν ὑμεῖς ὡς ἂν αὐτοὶ καὶ τῷ ῥήματι φαίητε τηλικαῦτα μὲν παθήματα φέρετε, τοσαύτη δὲ λύμη τῷ ἀνθρωπίνῳ γένει ἐπινέμεται; δέον σελήνης καὶ τῶν ἄλλων ἀπαλλάττεσθαι, οὕτως χαλεπῶς καὶ ἀθλίως, ὡς ὑπειλήφατε, διατεθέντων ὑμῶν· τῷ δὲ καὶ τούτων καὶ ἄλλων μυρίων παθῶν νέμοντι τὴν ἐλευθερίαν καὶ τὰ αἰώνια ἐπιδαψιλευομένῳ ἀγαθὰ, ἐκείνῳ καὶ τὸ σέβας ἀνάπτειν καὶ τὴν λατρείαν προσάγειν καθαρῶς· οὕτως

οὐδὲν προσίσταται τῆς κοινῆς καὶ ἐθίμου λέξεως ἡ χρῆσις τοῖς εὐσεβέσι λογισμοῖς.

Ἤκουσα δέ τινων λεγόντων ὡς ἄλλοτι τὸ σεληνιάζεσθαι παρὰ τὸ δαιμονᾷν ὁ εὐαγγελιστὴς οἶδεν· οὐ γὰρ ἂν εἰπὼν σεληνιαζομένους, ἐν ταυτῷ προσέθηκε καὶ δαιμονιζομένους· καὶ εἶναι τὸν σεληνιαζόμενον οὐχ ὑπὸ δαίμονος ἐνεργούμενον, ἀλλ' ὑπό τινος ἑτέρου νοσήματος, ὃ τὰς ἀρχὰς ἀπὸ τῶν ἐν σώματι σεσηπότων χυμῶν λαμβάνει· οὗτοι δὲ μᾶλλον αὔξοντας καὶ σφοδρότερον ἐπιτίθενται τῆς σελήνης πλησιφαοῦς οὔσης· καὶ γὰρ πολλὰ τῶν ἄλλων ὑγρῶν καὶ ἐν ὑγρῷ διαιτωμένων, ὥσπερ ὄστρεα τε καὶ τὰ τοιαῦτα, τότε μᾶλλον ὁρᾶται πρὸς αὔξιν ἐπιδιδοῦντα, οὐκ αὐτοδεσπότῳ κράτει τῆς σελήνης τοῦτο πραττούσης, ἄπαγε, ἀλλὰ τῆς ἀποῤῥήτου δημιουργίας τοῦ πάντα ἐν σοφίᾳ πεποιηκότος τοιαύτας αὐτῇ τὰς ἐνεργείας ἐγκαταθεμένου· καὶ γάρ φησιν ὡς τὸ ἐν αὐτῇ θερμὸν φύσεως χλιαρᾶς ὑπάρχον, ἐπειδὰν τῶν ἡμετέρων σωμάτων ταῖς βολαῖς ἐπιψαύοι, ἀνάχυσιν μὲν τῶν ἐν ἡμῖν ὑγρῶν παρασκευάζει, διαφόρησιν δὲ καὶ ἀπόκρισιν τῶν ἀναχυθέντων διὰ τὸ μὴ σφοδρὰν εἶναι τὴν θέρμην, ὥσπερ τὴν ἐκ τοῦ ἡλίου, οὐ ποιεῖ· τουτωνὶ δὲ τῶν χυμῶν οὕτως ἀναχυθέντων ἐν τῷ σώματι καὶ συνταραχθέντων, μᾶλλον τε τὸ νόσημα ἰσχύει, καὶ μᾶλλον ἐπιτιθέμενον τῷ ἐγκεφάλῳ καὶ τῇ κεφαλῇ, διαστρέφει τε τὸ ζῶον, καὶ ἀλλοιοῖ, καὶ τὰς φυσικὰς παραποδίζον ἐνεργείας ῥήγνυσθαί τε καὶ σπαράσσεσθαι παρασκευάζει· καὶ διὰ τοῦτο ὑπὸ τοιούτου κατόχους νοσήματος καὶ τὸ πλῆθος σεληνιαζομένους καλεῖ, καὶ καλεῖν οὐδέν ἐστιν ἐμποδών. Ἔστι δέ τις καὶ παρὰ ταῦτα λόγος ἕτερος· ὡς δαιμονιῶσι μὲν καὶ οὗτοι οὓς οἱ πολλοὶ λέγουσι σεληνιαζομένους· τὰ δαιμόνια δὲ διαβάλλειν τὰ κτίσματα τοῦ δημιουργοῦ τοῖς ἀνθρώποις ἔχοντα σπουδὴν, ἐπιτηρεῖ τὰς αὐξήσεις τῆς σελήνης· καὶ τότε τὴν ἐπίθεσιν καὶ τὸ πάθος ἐκδηλότερον ποιεῖ· ἵνα κακῶς αἴτια τὰ καλὰ τοῦ θεοῦ δημιουργήματα πείσωσιν ὑπονοεῖν, κἀκεῖθεν βλασφημήσωσιν τὸν δημιουργόν. Ἀλλ' οὗτος μὲν ὁ λόγος οὐ διὰ τί κέχρηται τοιαύτῃ λέξει ὁ θεῖος ἀπόστολος γνώμην εἰσάγει· ἀλλὰ τί δήποτε ἐφεδρεύοντα τὰ δαιμόνια τῆς σελήνης τοὺς καιροὺς, τότε καθ' ἡμῶν σφοδρότερον ἐπιπηδᾷ καὶ τὴν τυραννίδα κρατύνει. Πλὴν πολλῶν εἰρημένων καὶ οὐδενὸς τῷ εὐσεβοῦντι διαμαχομένου λογισμῷ, τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ κρατείτω.

## ΙΑ. Διὰ τί τοῦ Ἀδὰμ ἡμαρτηκότος καὶ τὸ τοῦ θανάτου δεξαμένου ἐπιτίμιον, ὁ τούτου παῖς μηδὲ ἡμαρτηκὼς προτελευτᾷ.

Ὁ μὲν βαρύτερος καὶ ὑψηλότερος περὶ τούτου λόγος ἐμφιλοχωρεῖν ἴσως εἰς τὴν τῶν θείων κριμάτων ἐθέλει ἄβυσσον, τοὺς ἀνθρωπίνους λο-

πῶν λογισμοὺς, πλὴν ὅσα καὶ εἰς ἡμετέραν γνῶσιν κατέβη. Λαμβάνει μὲν Ἀδὰμ τὸ ἐπιτίμιον, προτελευτᾷ δὲ ὁ τούτου παῖς, ἵνα τοῖς ὀφθαλμοῖς ὁ ὑπεύθυνος τὸ τοῦ θανάτου βαρὺ καὶ ἐπώδυνον καθορῶν, εἰς συναίσθησιν μὲν μᾶλλον τοῦ ἁμαρτήματος καταστῇ, εἰς φόβον δὲ καὶ ἀγωνίαν ἐμβὰς, μεταμελείᾳ καὶ πένθει τοῦ τολμηθέντος ἑαυτῷ καταπραΰνῃ τὴν ποινήν· καὶ γὰρ πᾶσα μὲν ἀπειλὴ, πᾶσα δὲ ἐπανατεινομένη δίκη τότε καθίσταται φοβερὸν, ἡνίκα πόθεν ἡ πεῖρα τῶν δεινῶν εἰς γνῶσιν ἔλθοι τῶν ὑπευθύνων· οὐδὲ γὰρ οὐδ' εἰ μὴ τεθνηκότα ὁ Ἀδὰμ ᾔδει τὸν παῖδα, οὐδ' ἂν οὐδ' ὅσα ὁ θάνατος συνεπιφέρεται φρικτὰ συνῄδει, οὐ τὸν πολὺν ἐκεῖνον καὶ ἀβοήθητον ἀγῶνα, οὐ τὸν θόρυβον τῆς ψυχῆς, οὐ τὸν μερισμὸν αὐτῆς ἀπὸ τοῦ σώματος, οὐδ' ὅσα ἄλλα ἕπεται, λύσις, καὶ σῆψις, καὶ δυσωδία, καὶ χοῦς, καὶ ἰχῶρες, καὶ σκώληκες· ὁρᾷ τοίνυν ὁ Ἀδὰμ ἐν ἑτέρῳ τοῦ ἰδίου ἐπιτιμίου τὸ φοβερὸν καὶ ἀνυπόστατον· καὶ ὁρῶν, μᾶλλον τὸ μέγεθος τοῦ πταίσματος συναισθάνεται· καὶ διὰ τοῦτο χειραγωγεῖται πρὸς τὴν μετάνοιαν· καὶ κερδαίνει λοιπὸν παιδὸς στερηθεὶς, τῆς ἑαυτοῦ ψυχῆς τὸ σωτήριον· εἰ δὲ καὶ θανάτου τις οὐδὲν ἀνεκτότερον τὴν ἀποβολὴν τοῦ παιδὸς ἐπιλογίσοιτο τῷ Ἀδὰμ, εὑρήσοι πολλοὺς πατέρας τῆς τοιαύτης διανοίας μάρτυρας, οἳ πολλῶν ἰδίων θανάτων τὴν τοῦ παιδὸς αὐτῶν πολλάκις σωτηρίαν ἀλλάσσονται· φθάνει τοιγαροῦν τὸν Ἀδὰμ κατὰ τὸν λόγον τοῦτον καὶ πρὸ τοῦ θανάτου, τοῦ παιδὸς τὸ ἀφορισθὲν αὐτῷ ἐπιτίμιον, βαρυτέρᾳ θανάτου πληγῇ, τῇ ἀφορήτῳ λύπῃ ἁλισκόμενον.

Σὺ δέ μοι καὶ τρίτον ἐπιθεώρει· τρεῖς ἄνδρας ὁ σύμπας κόσμος πολίτας εἶχε τότε· γυνὴ δ' αὐτοῖς συνεπολιτεύετο μία· ὧν οἱ μὲν γεννήτορες, οἱ δὲ παῖδες ἦσαν τῶν γεννησαμένων· ὁ μὲν Ἀδὰμ οὐχ ὑπάγεται τῇ δίκῃ, δι' ἣν ὁ λόγος ἔδωκεν αἰτίαν· καὶ ἡ Εὔα δὲ τοῦτο μὲν διὰ τὴν αὐτὴν αἰτίαν οὐχ ὑποβάλλεται τῷ θανάτῳ, τοῦτο δὲ ὅτι καὶ μιᾶς οὔσης γυναικὸς, ὁ ταύτης ἀφανισμὸς ὅλον τὸ γένος, τῆς γενέσεως ἀνῃρημένης, συνήλαυνεν εἰς φθοράν. Οὐ μὴν ἀλλὰ οὐδὲ τὸν Κάϊν ὁ ἐξ ἐπιβουλῆς εἶχε λόγον διαδέξασθαι θάνατος· χείρων μὲν γὰρ οὗτος, ἀμείνων δ' ἦν Ἄβελ· καὶ πῶς οἷόν τε ἦν τὸν καὶ δόλου καὶ φθόνου καὶ τῆς ἄλλης κακίας καθαρεύοντα μιαιφόνους ἐπαφεῖναι χεῖρας τῷ ἀδελφῷ; λείπεται δὴ ἐκεῖνον εἰς τὸν ἐξ ἐπιβουλῆς ὁρμῆσαι θάνατον τοῦ ἀδελφοῦ, ὃς καὶ πρὸ τῆς ἀθέσμου ταύτης πράξεως, ἐλύπει μὲν οἷς ἐκαρποφόρει θεὸν, εἰς φθόνον δὲ τοῦ μηδὲν ἠδικηκότος ἀνηρέθιστο, πονηρᾷ δὲ γνώμῃ καὶ βουλῇ δολίᾳ τὰς ἑαυτοῦ χεῖρας εἰς τὴν ἀδελφοκτονίαν ηὐτρέπιζε. Καὶ ὅρα μοι κἀνταῦθα τῆς προνοίας τὸ σοφόν τε καὶ ἀνεξιχνίαστον· δι' ὧν γὰρ ἐνόμιζεν ὁ πονηρὸς κρατεῖν τὰς χεῖρας κατὰ τῶν ἀμεινόνων ἐπανιστῶν, δι' ἐκείνων αὐτῷ τὰ προοίμια τῆς καταστροφῆς ἀπαντᾷ· συγχωρεῖ μὲν γὰρ ὁ

τῆς θείας τε καὶ ὑπὲρ ἔννοιαν οἰκονομίας λόγος, ἔργον ἀδίκων καὶ μιαιφόνων χειρῶν τὸν Ἄβελ γενέσθαι, καὶ προφθάνει τὸν φῦντα ἐπὶ τῷ θανάτῳ ὁ παῖς. Ἀλλὰ γίνεται τοῦ ᾅδου τὸ κράτος καὶ ἡ πρώτη καταβολὴ ἀσθενής· εἰ μὲν γὰρ τὸν Ἀδὰμ ἐδέξατο πρῶτον, ἰσχυρὸς ἂν αὐτῷ ὁ θεμέλιος ἐπήγνυτο, τὸν θείᾳ καταδικασθέντα ψήφῳ τοῦτον ὑποδεξαμένου καὶ πρῶτον· ἐπεὶ δὲ τὸν ἀναίτιον ἐξ ἐπηρείας ὑπεβάλλετο, αὐτόθεν αὐτοῦ ἀνατετραμμένον * τὸ κράτος εὑρίσκεται ὡς σαθρὸν ἐξ ἀρχῆς ὑποβαλλομένου θεμέλιον· καὶ γίνεται προοίμιον τῆς παντελοῦς καταλύσεως τοῦ ᾅδου ὁ τοῦ δικαίου ἐξ ἐπηρείας θάνατος.

* Cod. του.

ΙΒ. Περὶ τοῦ ὅτι οὐ μάχεται κἂν τισὶ δοκῇ τὸ, εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, καὶ τὸ, οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον.

Τὸ, εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, καὶ τὸ, οὐκ ἦλθον ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σώσω τὸν κόσμον, οὐ μόνον οὐδεμίαν ἐναντιότητα πρὸς ἄλληλα φέρουσιν, ἀλλὰ μᾶλλον καὶ πολλὴν τὴν ἀκολουθίαν καὶ τὴν συμφωνίαν δεικνύουσιν· εἰς κρίμα γάρ φησιν ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα· οἱ γὰρ ὀφείλοντες βλέπειν ἑκόντες τυφλώττουσιν· καὶ ὅσοι τυφλώττειν ἐνομίζοντο, πρὸς τὸ φῶς τῆς ἀληθείας ἐδείχθησάν βλέποντες· οἱ μὲν γὰρ τὴν σωτηρίαν οὐ προσήκαντο· οἱ δὲ παραγενομένῃ προσέδραμον· ὥστε κἂν ἡ ἐμή φησιν ἔλευσις ἐπὶ σωτηρίᾳ τοῦ κόσμου γεγένηται, ἀλλ' οὖν οἱ ἐθελοκάκῳ ῥοπῇ πρὸς τὴν ἰδίαν ἀπαυθαδιαζόμενοι λυσιτέλειαν, κρίμα ἑαυτοῖς τὴν ἐμὴν παρουσίαν κατεπράξαντο. Τί οὐ * πῦρ κατάγεις, οὐδὲ τὴν γῆν αὐτοῖς ἀνασείεις; οὐδὲ τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ ἀνοίγεις, καὶ βυθίζεις αὐτῶν τὴν ἀπόνοιαν; ὅτι οὐκ ἦλθον φησὶ κρῖναι τὸν κόσμον, ἀλλὰ σῶσαι, ἀλλ' ἀνακαλέσασθαι· διὰ τοῦτο μακροθυμῶ, διὰ τοῦτο ταμιεύομαι τὴν κρίσιν· οὐ γὰρ κρίσεως καιρὸς τῆς πρώτης μου παρουσίας ὁ καιρὸς, ἀλλὰ φιλανθρωπίας, ἀλλὰ συμπαθείας, ἀλλ' εὐμενείας, ἀλλὰ ἀνακλήσεως. Οὕτως οὐ μόνον οὐδεμίαν μάχην ἀλλήλοις ἐπιφέρουσιν οἱ προκείμενοι θεῖοι χρησμοὶ, ἀλλὰ καὶ πλεῖστον ὡς ὁρᾷς τὸ ἐναρμόνιον διασώζουσιν· ἄλλως τε δὲ καὶ κρίμα καὶ κρίσις συμφέρονται μὲν ἐν πολλοῖς, ἀναδέχονται δὲ καὶ διαφοράν· τὸ μὲν γὰρ κρίμα μᾶλλον δηλοῖ τὰ κατάκριμα, ἡ δὲ κρίσις εἰς τὴν τοῦ προσήκοντος ἀπονεύει διανέμησιν· εἰς κρίμα οὖν ἐλήλυθεν ὁ σωτὴρ εἰς τὸν κόσμον, τουτέστιν εἰς κατάκριμα γέγονεν ἐκείνοις ὅσοι μὴ διαβλέψαι πρὸς τὴν ἑαυτῶν ἠθέλησαν λυσιτέλειαν, μηδὲ σύνεσιν παρέσχον ἐπιγνῶναι τὴν ἑαυτῶν ἀπολύτρωσιν· τούτοις οὖν εἰς κρίμα γέγονεν ὁ κοινὸς ἡμῶν σωτὴρ· οὐκ αὐτὸς αἴτιος τοῦ δίκην ὀφεί-

* Cod. οὐν.

λειν αὐτοὺς γεγονὼς, ἀλλ' ἐκείνων τὸ σωτήριον εἰς ὀλέθριον ἑαυτοῖς μετασκευασαμένων φάρμακον. Τὸ γὰρ, ἵνα οἱ βλέποντες καὶ ἑξῆς, οὐκ αἰτίας ἐστὶν ἔνδειξις, ἀπαγγελία δὲ τῶν ἐθελοκάκῳ γνώμῃ τὰ χείρα τῶν κρειττόνων ποιησαμένων ἐπίπροσθεν· τὸ μὲν οὖν ἐνόχους ἑαυτοὺς κρίματος ἀποφῆναι καὶ μὴ παραδεξαμένους τὸν κοινὸν σωτῆρα, τῆς ἐκείνων ἐστὶ μοχθηρίας ἀπόδειξις· ἀντιπίπτει δὲ οὐδὲν πρὸς τὸν εἰπόντα ἐλθεῖν οὐκ ἐπὶ τὸ κρῖναι τὸν κόσμον ἀλλ' εἰς τὸ σῶσαι.

Τοὐναντίον οὖν μαρτυρεῖ φιλανθρωπίας πέλαγος ἄπειρον, ὅτι τε πολλοὺς τῆς πλάνης ἀνείλκυσε, καὶ ἀπειθήσαντας καὶ ὑπὸ κρίμα θέντας ἑαυτοὺς οὐκ εὐθύνει, οὐδὲ κολάζει, οὐδὲ κατακρίνει, ἀλλὰ πρὸς ἀπειθοῦντας χρηστεύεται· ὅλην γάρ φησι τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖρας μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα· κατάκριμα οὖν γίνεται παραγεγονὼς ὁ σωτὴρ διὰ μοχθηρίας τῶν παραδεξαμένων αὐτόν· οὐ κρίνει δὲ τούτους οὐδὲ τιμωρεῖται διὰ φιλανθρωπίαν ἄκραν, καὶ τὸ τὴν προτέραν αὐτοῦ παρουσίαν μὴ κρίσεως καιρὸν ἀλλ' οἰκονομίας καὶ συμπαθείας ἐπιδεῖξαι βούλεσθαι. Εἰ δέ τις ἐθέλοι νεανικώτερον ἐκβιάσασθαι, καὶ μεταλαβεῖν τὸ κρίμα εἰς διάκρισιν καὶ διαχωρισμὸν, παρὰ μὲν τοῖς ἱεροῖς γράμμασιν, οὐκ ἂν οἶμαι τὴν λέξιν τοῦτο σημαίνουσαν, κατὰ χρῆσιν ἀδιάπτωτον εὕροι· εὑρήσει δ' ἴσως διανοίας οὐδ' ἀποφαινούσας πρὸς τὰ τοιαῦτα σημαινόμενα· οἷον μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν· ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς· καὶ, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ τὸν μὲν σῖτον συνάξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ· καί τινα τοιαῦτα ἕτερα. Πλὴν οὐδ' οὕτως ἡ τῶν ἱερῶν ῥημάτων μάχη τῷ ταύτην διασκευαζομένῳ, λέγω δὴ τό τε εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον ἐλήλυθα, καὶ τὸ οὐκ ἦλθον κρῖναι τὸν κόσμον ἀλλὰ σῶσαι, οὔμενουν οὐδαμῶς συγκροτηθήσεται· ὁ μὲν γὰρ σωτὴρ εἰρηνεῦσαι τὸν κόσμον καὶ καταλλάξαι τῷ πατρὶ τοὺς ἐκπεπολεμωμένους πάλαι αὐτῷ παραγέγονε· καὶ δὴ καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ περιελὼν, τοῖς κάτω τὰ ἄνω συνῆψε τε καὶ εἰρηνοποίησεν· εἰ δέ τινες ἑαυτοῖς τὴν εἰρήνην εἰς ἔχθραν μετέστησαν, καὶ τὴν διαλλαγὴν εἰς διάστασιν ἀπειργάσαντο, οὐχὶ τοῦ τὴν εἰρήνην παρασχόντος οὐδὲ τοῦ καταλλάξαντος ἡ αἰτία, ἀλλὰ τῶν διασπασάντων ἑαυτοὺς καὶ διακοψάντων ἀπὸ τῶν καταλλαγέντων τῷ πατρὶ, καὶ τῶν τῆς εἰρήνης ἀπολελαυκότων ἀγαθῶν.

ΙΔ. Τί ἐστι τὸ, διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοί· καὶ πῶς ἡ παράβασις ἰσχὺν ἔσχε διανοίγειν ὀφθαλμούς.

Τὸ δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, οὐχ ὅτι ἡ παράβασις διήνοιξεν αὐτῶν τοὺς ὀφθαλμοὺς, ἄπαγε· οὐδὲ γὰρ οὐδ' ἐν αὐτῇ τῇ παραβάσει γέγραπται τοὺς ὀφθαλμοὺς αὐτῶν διηνοιχθῆναι, ἀλλὰ μετὰ τὴν παράβασιν· φησὶ γάρ· καὶ λαβοῦσα ἡ γυνὴ ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο· ὅπερ τοιοῦτόν ἐστι· μετὰ τὴν ἁμαρτίαν ὡς τὰ πολλὰ ἡ ἐπίγνωσις τοῦ ἁμαρτήματος γίνεται, καὶ τὸ μέγεθος τοῦ τολμήματος τότε μᾶλλον ἐπιγινώσκεται· τοῦ γὰρ ἐπιπροσωθοῦντος πάθους καὶ κινοῦντος οἴστρου πρὸς τὴν ἁμαρτίαν, μετὰ τὴν ἔκθεσμον πρᾶξιν πεπαυμένου τε καὶ ἠρεμνοῦντος, τότε δὴ τότε ὥσπερ διακύψας τῆς πολλῆς ἀχλύος ἐκείνης ὁ λογισμὸς καὶ ἀνανήψας ἐφορᾷ τὰ πεπραγμένα, καὶ εἰς οἵαν κατάστασιν καὶ ἐξ οἵας μετηνέχθη, τὴν συναίσθησιν μᾶλλον λαμβάνει, καὶ τὸ συνειδὸς τιτρῶσκον αὐτὸν καὶ διεγεῖρον ἔχων, διαβλέπει τρανῶς ἃ τοῦ πάθους ἐπιπροσωθοῦντος οὐχ ὁμοίως ἔβλεπεν· ἄλλως τε δὲ πρὸς τὴν ἁμαρτίαν ἕκαστος χωρῶν οἷς ὁ πονηρὸς διαγαργαλίζων τε καὶ ὑποθέλγων ἡμᾶς ἐκθηλύνει καὶ γνόφου πληροῖ κεκαρωμένους ὥσπερ φέρει τοὺς λογισμοὺς καὶ πεπηρωμένους τὸ ὀπτικὸν τῆς διακρίσεως· μετὰ δὲ τὴν πρᾶξιν ὑπ' ὄψιν ἄγει τὸ τολμηθὲν, καὶ ἀνακαλύπτει πικρῶς ὃ πρότερον πολλαῖς μηχαναῖς συνεκάλυπτεν· εἶτα δι' ὧν κατάφωρον τὸν ὄγκον ἀποτελεῖ τοῦ τολμήματος, πρὸς ἀπόγνωσιν ὠθεῖν πειρᾶται τὸν ἁμαρτήσαντα.

Τὸ γοῦν διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, οὐ πρὸς τὸν ἔμπροσθεν χρόνον, οὐδὲ πρὶν ἢ τῆς ἐντολῆς αὐτοὺς ἐκπεσεῖν παραληπτέον· τότε γὰρ ἠνεῳγμένους τε μᾶλλον εἶχον, μήπω τοῦ ὄφεως τοῖς ψιθυρισμοῖς ὑποκλαπέντες, καὶ συνορᾷν τὸ πρακτέον ἐγρήγορον ἔφερον τὴν διάνοιαν. Οὐκ οὖν τὸ βλέπειν οὐκ ἔχοντες, ἐπὶ τῆς ἁμαρτίας ἀνέλαβον· τοὐναντίον δὲ τὴν ἁμαρτίαν ἐν τῷ πράττειν τυφλώττοντες· πεπαυμένης, τὴν ὅρασιν ἀνεκτήσαντο· ὁ γοῦν πονηρὸς καὶ ἀρχέκακος ἡμῶν τῆς φύσεως ἐχθρὸς εἰδὼς καὶ αὐτὸς ἐξ ὧν ἐπεπόνθει, ὡς μετὰ τὴν τοῦ κακοῦ πρᾶξιν ἡ συναίσθησις ἐφίσταται τοῦ πλημμελήματος, καὶ αὐτὸς οὐκ ἐπεστράφη πρὸς τὴν ἀνάνηψιν· καὶ πείρᾳ μαθὼν ὡς ἕπεται τοῖς ἁμαρτάνουσι τὸ μετὰ τὴν ἁμαρτίαν κέντρον τῆς συνειδήσεως, καὶ τοῖς περὶ τὸν Ἀδὰμ ἁμαρτεῖν διὰ παραβάσεως ὑποτιθέμενος, ᾗ δ' ἂν φησιν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί· εἶτα κακομήχανος ὢν ἀπ' ἀρχῆς καὶ ψεύδους πατὴρ, συγκαταμιγνύει τῇ τῆς ἀληθείας θρυαλλίδι ὅλον τὸ τοῦ ψεύδους σκότος καὶ φησίν· ἔσεσθε

ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν· ἀλλ' ὡς ἐν τῷ ἁμαρτάνειν μὲν τυφλώττοντες, τῷ τῆς παραβάσεως ἔρωτι· μετὰ δὲ τὴν ἁμαρτίαν συναίσθησιν καὶ ἀνάνηψιν τοῦ τολμηθέντος ἀναλαβόμενοι· διὰ τί δὲ μετὰ τὸ διανοιχθῆναι τοὺς ὀφθαλμοὺς αὐτῶν, πρῶτον τὴν γύμνωσιν τῶν παιδογόνων μορίων αἰσθάνονται καὶ αἰσχύνονται; ὅτι τε δριμύτερον ἐπίκειται τῶν ἄλλων ἁμαρτημάτων, θεσμοῖς σωφροσύνης οὐ χαλιναγωγούμενον, τὸ διὰ τούτων πάθος· καὶ ὅτι κινηθείσης τῆς κατὰ τὰ ἀφροδίσια ἐν τῷ ζώῳ διαθέσεως, καὶ τὰ λοιπὰ τῶν παθῶν συναναφύεσθαι εἴωθε, καὶ διότι ἐξ ἐκείνου τοῦ χρόνου καὶ τὰ ἄλλα πάντα τῶν ἁμαρτημάτων ὑπὸ κρίσιν ἄγεται· τὰ γὰρ πρὸ ἐκείνου ὡς ἐπίπαν φρενῶν ἀῤῥωστίᾳ καὶ νηπιότητι ὅ τε πνευματικὸς νόμος καὶ ὁ διὰ τῆς πολιτείας ἀνατίθησιν.

## Ις. Διὰ τί ἀόρατον τὴν γῆν ὁ Μωσῆς ὠνόμασεν.

Ἀόρατον τὴν γῆν ἔφησεν ὁ Μωσῆς, ἐπεὶ τὸ τῆς θέας δίκαιον τῆς τῶν ὑδάτων πλημμύρας κεχυμένης αὐτῇ οὔπω εἶχεν ἀπολαβοῦσα· ἀλλ' ἦν ἡ ἰσχὺς καὶ τὸ κράτος τῆς ἀβύσσου, τοῦτο μὲν τὴν ἔμφυτον τῆς γῆς ξηρότητα περινοτιζούσης, τοῦτο δὲ τὸν ἴδιον κόσμον ἀπολαβεῖν οὐκ ἐώσης, ὅς δὴ φυτῶν ἦν γένη καὶ βοτανῶν καὶ ἡ ἄλλη τῶν ἀνθέων καὶ καρπῶν ὡραιότης· ἔτι δὲ ἀόρατος ἦν ἡ γῆ ὅτι μήπω παρῆν ὁ ταύτην ὁρᾷν ἄνθρωπος λαβὼν ὄψιν. Καὶ προσέτι ἀόρατος λέγοιτ' ἂν εἰκότως, ὅτι τοῦ φωτὸς οὔπω γεννηθέντος δι' οὗ τὸ ὁρατὸν τῇ ὄψει καταλαμβάνεται, οὐδ' αὐτὴ τὴν αἴγλην εἶχε δι' ἧς ἂν ὑπηρετεῖτο τῷ ὄμματι· ὥστε εἰ καὶ τοῖς οἰκείοις κόλποις ἡ ἄβυσσος καταμερισθεῖσα συνεστέλλετο, καὶ τοῖς φυτοῖς καὶ τῷ ἄλλῳ κόσμῳ ἡ γῆ ἐκεκόσμητο, καὶ ὁ μέλλων ὁρᾷν ἐφεστήκει ἄνθρωπος, οὔπω δὲ τοῦ φωτὸς ἡ φύσις ἐξέλαμπεν, οὐδ' οὕτως ἂν ἐχρημάτιζεν ὁρατή· δῆλον δὲ ὡς κατὰ τὸν ἴσον τρόπον οὐδ' αὐτὸς ἀὴρ ὃς τὴν ἀκτῖνα τοῦ φωτὸς δεχόμενος τὴν τοῦ ὁρῶντος ἐνέργειαν τῷ ὁρωμένῳ συνάπτει μέσος γινόμενος· οὐδ' αὐτὸς οὖν οὐδὲ τὸ ὕδωρ τοῦ φωτὸς οὐ λαβόντος ὑπόστασιν οὐκ ἂν ἐτύγχανεν ὁρατός· καί τοι γε μήτε ὑφ' ἑτέρων ἐπιπροσθούμενος ὥσπερ οὐδ' ἡ ἄβυσσος, μηδὲ κόσμου τινὸς οἴκοθεν ἀποστερούμενος. Διὰ τοῦτο ἄρα καὶ Μωσῆς τὸν ἀέρα εἰδὼς τῷ ὕδατι ἐποχούμενον, τὸ ἐπάνω τῆς ἀβύσσου σκότος ὠνόμασε· τῆς γὰρ φωτιζούσης αὐγῆς διὰ τῆς ἀερίου φύσεως οὐ διϊκνουμένης, οὔπω γὰρ οὐδὲ τὸ πηγάζον ταύτην εἶχε τὴν ὕπαρξιν, οὔτε αὐτὸν ὁρατὸν εἶναι τὸν ἀέρα, πολλῷ δὲ μᾶλλον οὐδὲ τὴν ἄβυσσον, ἐφ' ἧς ἐχεῖτο τὸ ἀέριον πνεῦμα ἐνεδέχετο· διὸ καὶ σκότος εἰκότως ἐπονομάζεται. Τὸ γὰρ λέγειν τὸ θεῖον εἶναι πνεῦμα τὸ τῇ ἀβύσσῳ περιφερόμενον, μήποτε καὶ περιγραφὴν τοῦ ἀπεριγράπτου συνεισάγει; καὶ τῶν ἄλλων κτισμά-

των οἷς οὐκ ἐπεφέρετο τὴν θείαν πρόνοιαν καὶ ἐποψίαν συστέλλει; ἴσως δ᾽ ἂν οὐκ ἂν εἴη θεολογίας ἐπάξιον ἐν τῇ τῆς κτίσεως καταβολῇ τῇ ἀκτίστῳ καὶ μακαρίᾳ φύσει ἤτοι τῷ παναγίῳ πνεύματι χῶραν ἐκνέμειν· εἰ δὲ καὶ σύρα γλῶσσα τὸ πανάγιον πνεῦμα τοῖς ὕδασιν ἐποχεῖσθαι βούλεται, καὶ οἷον ἐπωάζειν ταῦτα καὶ ζωογονεῖν, οὐκ ἂν καταγνοίην· ἀρκεῖν γὰρ εἰδέναι τέως τὸ πανάγιον πνεῦμα ὅθεν ἂν καὶ δύναιντο, ζωογόνου τε καὶ δημιουργικῆς ὑπάρχειν οὐσίας καὶ δυνάμεως. Ἀόρατος οὖν ἡ γῆ καὶ τὰ λοιπὰ τῶν στοιχείων κατά τε τὴν εἰρημένην αἰτίαν καὶ τὰς προδεδομένας, πλὴν μιᾶς· ὅτι τὸ ἐπιπροσθοῦν οὐκ εἶχον οὔτε τὸ ὕδωρ οὔτε ὁ ἀήρ. Τὸ μέν τοι σκότος εἴτις μὴ στέρησιν τοῦ φωτὸς ἀλλὰ τὸν ἀρχέκακον διάβολον ὑπολάβοι, ἄβυσσον δὲ τὰς ὑπ᾽ αὐτὸν πονηρὰς δυνάμεις, πόῤῥω τε τῆς ἀληθείας οὗτος πλανώμενος εἴη καὶ δυσσεβούσης ἀνάπλεως δόξης, μετὰ τοῦ μὴ δύνασθαι συνορᾷν εἱρμὸν διηγήσεως καὶ τάξιν καὶ ἀπαρίθμησιν τῶν κατ᾽ αἴσθησιν γεννητῶν, ὧν ὁ Μωσῆς τὴν ἱστορίαν συνέγραψεν, καὶ ἀσωμάτου καὶ νοερᾶς φύσεως δημιουργίαν τε καὶ θεωρίαν καὶ καιρὸν ὃς ἀφορίζειν οἶδεν εὐτάκτως τὴν περὶ τούτων παράδοσιν· πνεῦμα δὲ θεοῦ ὁ ἀὴρ εἴρηται· καθάπερ καὶ τὰ λοιπὰ οἷα δὴ κτίσμα καὶ ποίημα αὐτοῦ· ἐξαποστελεῖ γάρ φησι τὸν λόγον αὐτοῦ καὶ τήξει αὐτήν· πνεύσει τὸ πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα· περὶ τηκομένης ἐκ τῶν νοτίων πνευμάτων λέγων χιόνος ὁ Δαβὶδ· καὶ εἴη ἂν εἰρημένον πνεῦμα θεοῦ ἐν ἴσῳ τὸ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· κἀκεῖνα γὰρ θεοῦ ὡς ποιήματα, καὶ τοῦτο ὁμοίως κτίσμα θεοῦ καὶ ποίημα τοῦ αὐτοῦ· διὸ καλῶς εἴρηται πνεῦμα θεοῦ.

## ΙΖ. Διὰ τί θηριάλωτα κρέα τοὺς ἀνθρώπους ἐσθίειν ἀποκωλύει.

Παρηλλαγμένον διὰ τοῦ παρόντος προστάγματος νομοθετεῖ τὸν τῶν θηρίων εἶναι τρόπον καὶ τὸν ἀνθρώπινον βίον· οἷς γὰρ ἡ τράπεζα κωλύεται μία καὶ ἡ αὐτὴ εἶναι, τούτοις καὶ τὰ ἄλλα πάντα ἤθη τε καὶ δίαιτα καὶ ὁρμαὶ καὶ πράξεις κατὰ πολὺ διαφέρειν συνεισάγεται νόμος· ἁρπάζει τὸ θηρίον καὶ πλεονεκτεῖ, καὶ πρὸς τὰς ὁρμάς ἐστι προπετέστατον, καὶ νόμους οὐκ οἶδε φιλανθρωπίας καὶ κοινωνίας καὶ ἡμερότητος· τούτων ἁπάντων καθαρὸν καὶ ἀπηλλαγμένον προσήκει τὸν ἄνθρωπον εἶναι· ὡσαύτως δὲ καὶ κατὰ τὰ ἄλλα τῶν παθῶν, ἀκρατές ἐστι τὸ θηρίον καὶ ἀχαλίνωτον· οὐκοῦν ἡ τῶν ἀνθρώπων πολιτεία δι᾽ ἐγκρατείας καὶ παιδαγωγίας ὁδεύουσα, ταῦτα παράσχοι τῆς διαφορᾶς τὰ γνωρίσματα· καὶ τόνγε τούτοις ἀσήμαντόν τε καὶ ἀνεπίγνωστον τοῖς γνωρίσμασιν ὡς θηρίον καὶ θηριάλωτον καὶ τῆς ἡμέρου καὶ λογικῆς καταψευδόμενον φύσεως ἐκτραπήσεται. Εἰ δὲ πρὸς καθαρειότητα παιδεύειν τε καὶ ἀνάγειν φαίη τις διὰ τῆς ἀποχῆς τῶν θηρια-

λώτων τὸ κατ' εἰκόνα Θεοῦ διαπεπλασμένον φιλοτέχνημα, καὶ βδελυρίας ἁπάσης καταρκευάζειν ἀμέτοχον, ὅση τε διαμολύνει τὴν γεῦσιν καὶ ὅση διὰ τῶν ἄλλων αἰσθήσεων πρόεισιν, ἡ γὰρ ἐπὶ τῆς μιᾶς παραφυλακὴ καὶ συντήρησις, καὶ τὰς ἄλλας ὁμοίως τῆς ἀκαθαρσίας καὶ βδελυρίας καθαρεύειν δι' ἐκείνης ἀσφαλίζεται, οὐδὲ τοῦτο ἂν εἴη τῆς πολιτικῆς προνοίας καὶ ἁγιοπρεποῦς ἀλλότριον καταστάσεως.

## ΙΗ. Πῶς νοητέον τὸ, οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου.

Τινὲς μὲν οὖν φασιν ὡς ἀπιόντα προσκυνῆσαι Θεῷ δεῖ καὶ δῶρα προσάγειν ὧν ἡ χεὶρ εὔπορος, οὐχ ὡς ἐν χρείᾳ τούτων καθεστῶτος Θεοῦ· τίνος γὰρ ἂν εἴη Θεὸς προσδεής; ἀλλ' ὡς εὐεργετουμένου κἀνταῦθα τοῦ προσάγοντος· ἐν ᾧ γάρ τις ἀξιοῦται καρποφορεῖν Θεῷ, καὶ τῶν ἔνδον διὰ τῶν ἐκτὸς ἀνακαλύπτειν εὐσέβειαν, καὶ συνάπτεσθαι διὰ μέσων τῶν μειλιγμάτων τὸ πλάσμα τῷ πλάσαντι, τοῦ μὲν ἵλεω δεχομένου, τοῦ δὲ πιστῶς καὶ προθύμως φέροντος, πῶς οὐκ ἂν εἴη θαυμαστῆς προνοίας καὶ εὐεργεσίας ἀπόλαυσις; καὶ τί ἂν ἄλλο εἰ μὴ τοῦτο εἴη πρὸς εὐεργεσίαν καὶ πρόνοιαν τῷ λογικῷ ζώῳ σπουδαιότερόν τε καὶ τιμιώτερον; τί δὲ χαριέστερόν τε καὶ ἡδύτερον; εἴη δ' ἂν καὶ προσφυέστερον μᾶλλον τὰς ἀρετὰς ἐνταῦθα καὶ τὴν εὐσέβειαν ἐννοεῖν, ὧν οὐ κενὸν οὐδέποτε δεῖ κατενώπιον ὁρᾶσθαι Θεοῦ· ὁ γὰρ ἀρετῆς καὶ εὐσεβείας κεκενωμένος, κἂν δοκῇ προσιέναι Θεῷ, οὔτ' ἂν ὄψεται Θεὸν οὔτε ὀφθήσεται ὑπ' αὐτοῦ· ὁ γὰρ ἀσεβὴς οὐκ ὄψεται δόξαν Θεοῦ· οὐδὲ διηγήσεται ὁ ἁμαρτωλὸς τὰ δικαιώματα αὐτοῦ· ἀλλ' οὐδὲ γινώσκει κύριος οὐδ' εὐμενείας ὄμματι καὶ οἰκειώσεως καθορᾷ τοὺς τῆς ἀνομίας ἐργάτας. Ἀναγκαῖον οὖν ὡς δῶρα τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν ἐν ψυχῇ φέροντας, οὕτω προσιέναι Θεῷ καὶ τὸ πρόσταγμα πληροῦν τὸ δεσποτικὸν τὸ παρακελευόμενον, οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου. Πρέποι δ' ἂν κἂν τοῖς περὶ Θεοῦ καὶ θείων ζήτημα, μὴ κενὸν εὐλαβείας μηδὲ πνευματικῆς ἀνακρίσεως εἶναι· ὁ γὰρ ψυχικὸς ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος, οὐδὲ ὁ ἰταμῶς ἐπιῤῥίπτων ἑαυτὸν τοῖς Θεοπρεπέσι ζητήμασιν οὐ μένουν οὐκ ἂν ἀνιχνεύσῃ τὴν ἀλήθειαν· ζητεῖτε γάρ φησι, καὶ οὐ λαμβάνετε, διότι κακῶς ζητεῖτε. Ὁ μέν τοι πνευματικὸς σὺν εὐλαβείᾳ διασκοπῶν τε καὶ ἐπιζητῶν τὰ τοῦ πνεύματος, οὗτος εἰς εὕρεσιν τῆς ἀληθείας ἀφίξεται καὶ τῆς σπουδῆς οὐ διαψευσθήσεται· ἀψευδὴς γάρ ἐστιν ὁ ὑποσχόμενος· αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν.

ΙΘ. Πῶς οὐκ ἔστιν ἐναντίον τὸ λέγον, ἰδοὺ πάντα καλὰ λίαν, καὶ τὸ μετὰ ταῦτα ἐπιδιελεῖν, καὶ τὰ μὲν τῶν ζώων καθαρὰ λέγειν, τὰ δὲ ἀκάθαρτα.

Πολλὰ μὲν οὖν ἄν τις εἴποι περὶ ταύτης τῆς ζητήσεως· καὶ γὰρ καὶ τῶν πρὸ ἡμῶν οὐκ ὀλίγοι ταύτην ἐπελύσαντο· εἴποι δ' ἄν τις οὐ πόῤῥω τῆς ἀκριβείας φερόμενος, ὡς οὐκ ἀντικεῖται ἀλλήλοις τό τε καθαρὸν καὶ τὸ καλόν· τῷ μὲν γὰρ καλῷ τὸ κακὸν, τῷ δ' ἀκαθάρτῳ τὸ καθαρὸν διαμάχεται· ἀκάθαρτον δὲ καὶ καλὸν οὐκ ἂν εἴη γε τῇ γε ἀκριβείᾳ μαχόμενον· εἰ μὲν οὖν εἰπὼν ἔμπροσθεν πάντα καλὰ λίαν, ὕστερον ἐπήγαγε τὰ μὲν αὐτῶν εἶναι καλὰ, τὰ δὲ φαῦλα, τοῦτο ἂν εἴη παρέχον τὸ ἄπορον· ἐπεὶ δὲ καλὰ λίαν εἰπὼν, τὰ μὲν αὐτῶν ἔφησε καθαρὰ, τὰ δὲ ἀκάθαρτα τὴν μάχην διέφυγεν· ἀλλ' οὕτω μὲν ἂν κοινότερον ἄν τις εἴποι καὶ λογικώτερον. Ἐκεῖνο δὲ δεῖ συνιδεῖν, ὡς τὸ μὲν καλὰ λίαν πάντα εἶναι ἐπὶ τῆς τῶν δημιουργηθέντων φύσεως εἴρηται· τὸ δὲ καθαρὸν καὶ ἀκάθαρτον ἐπὶ τῆς παρὰ τῶν ἀνθρώπων χρήσεως· χρῆσις δὲ καὶ φύσις παμπόλλην ἔχουσι τὴν διαφοράν· πολλὰ μὲν γὰρ τῇ φύσει ἐστὶ λίαν χρηστὰ, τοῖς χρωμένοις δὲ γίνεται λίαν πονηρὰ, οὐ παρὰ τὴν ἑαυτῶν φύσιν, ἀλλὰ παρὰ τὴν τῶν χρωμένων φαυλότητα· καὶ ἵνα τοῖς προκειμένοις ἡ πίστις καὶ ἑτέρωθεν ἐπιστῇ, αὐτίκα ὁ οὐρανὸς τὸ θαυμαστὸν τοῦτο καὶ σοφὸν φιλοτέχνημα τῶν λίαν ἐστὶ καλῶν· τοῖς δὲ ζῶον ἔμψυχον αὐτὸ καὶ λογικὸν καὶ θεὸν ἀναπλάσασι, καὶ ἀντὶ τοῦ δημιουργοῦ τῷ δημιουργήματι τὸ σέβας ἀνάψασι, καὶ οἷς ἐξὸν μὲν χρῆσθαι ὡς κτίσματι τὸν ὁμόδουλον, τούτοις δὴ τούτοις τὸ κάλλιστον τῇ φύσει, ὀλέθριόν τε καὶ κάκιστον ἀναδείκνυται, οὐδὲν μὲν αὐτὸ τῆς οἰκείας καὶ ἐμφύτου καλλονῆς ἀποβαλὸν, παρὰ δὲ τὴν ἀγνώμονα τῶν ὁμοδούλων τόλμαν καὶ παράχρησιν ἔσχατον αὐτοῖς κακὸν γεγονός· οὕτως ἕτερόν ἐστι φύσεως καλλονὴ καὶ χρῆσις ἀπρόσφορος· πάντα μὲν οὖν λίαν καλὰ τῷ λόγῳ τῆς φύσεως· ἡ δὲ τούτων χρῆσις οὔτε πᾶσι καλὴ, οὔτε πάντων ὁμοία, οὐ μόνον πρὸς τὴν ἀνθρωπίνην παραβαλλομένη φύσιν, ἀλλ' οὐδὲ τῶν ἄλλων πρὸς ἄλληλα.

Τάχα δὲ οὐδ' ἡ λύσις αὕτη πρὸς τὴν ἰδιάζουσαν κατῆλθε σαφήνειαν, ἀλλ' ἔτι δεῖ κατιέναι πλησιαίτερον· διὸ φαμὲν τὸ μὲν καλὰ λίαν εἶναι πάντα, εἰς τὸν τῆς δημιουργίας καὶ φύσεως λόγον ἀναφέρεσθαι· τὸ δὲ τὰ μὲν αὐτῶν εἶναι καθαρὰ, τὰ δὲ ἀκάθαρτα, οὐδὲ εἰς τὸν τῆς δημιουργίας, οὔτε μὴν εἰς τὸν τῆς φύσεως, ἀλλ' εἰς τὸν τῆς θυσίας καὶ τῆς ἀνθρωπίνης ὑπολήψεως· δημιουργία δὲ καὶ φύσις πρὸς ὑπόληψιν καὶ θυσίαν, οὐδὲ ῥητῷ μέτρῳ διατειχίζεται, μάλιστά γε τῶν θυσιῶν καὶ τῶν ὑπολήψεων

οὐχὶ τῶν αὐτῶν διὰ παντὸς ἐπὶ τῆς αὐτῆς ἱσταμένων κρίσεως· καὶ ὅτι οὐδ' ἀπ' ἀρχῆς τῆς δημιουργίας τὰ μὲν καθαρὰ, τὰ δὲ ἀκάθαρτα διεστέλλετο· ἀπό τινος δὲ περιστάσεως τὴν διαφορὰν ταύτην ἐδέξατο. Αἰγυπτίων γὰρ ἐν οἷς τὸ Ἰσραηλιτικὸν ἔθνος ἐθήτευε πολλὰ τῶν ζώων εἰς θεῶν ἀναφερόντων σέβας, ἐπειδήπερ αὐτοῖς λίαν οὖσι καλοῖς κακῶς ἐκέχρηντο, ἵνα μὴ καὶ τὸ ἰσραηλιτικὸν γένος εἰς ἐκείνην τὴν φαύλην ἀπενεχθῇ χρῆσιν, καὶ τὸ θεῖον σέβας τοῖς ἀλόγοις περιάψῃ, ἀκάθαρτα ταῦτα νομοθετῶν ὁ Μωσῆς δικαίως ὠνόμασε· μέτοχον γὰρ ἀκαθαρσίας οὐκ ἀπὸ τῆς δημιουργίας, ἄπαγε, οὐδ' ἡ φύσις εἶχε τὸ ἀκάθαρτον, ἀλλ' ὅτι οὐ καθαρῶς, μᾶλλον δὲ βεβήλως λίαν καὶ ἀνιέρως, τὸ Αἰγυπτίων ἔθνος τούτοις ἐπεχρήσατο· εἰ δὲ καί τινα τῶν θεοποιουμένων παρὰ τοῖς Αἰγυπτίοις ὁ Μωσῆς ὥσπερ τὸν βοῦν καὶ τὸν τράγον εἰς τὴν τῶν καθαρῶν τάξιν ἀπέκρινεν, οὐδὲν οὐδὲ παρὰ τὴν προκειμένην θεωρίαν, οὐδὲ παρὰ τὸν οἰκεῖον σκοπὸν διεπράξατο· καὶ γὰρ τῶν θειαζομένων παρ' αὐτοῖς τὰ μὲν βδελυκτὰ καλέσας, τὰ δὲ σφαγῇ καὶ αἵματι καὶ ἀναιρέσει δοὺς, τῆς τούτων λατρείας τοὺς Ἰσραηλίτας καὶ τῆς αὐτόθεν αὐτοῖς ἀναφυομένης βλάβης ὁμοίως ἀπεκώλυσεν· οὔτε γὰρ τὸ βδελυκτὸν οὔτε τὸ σφαγιαζόμενον καὶ θοίνῃ προκείμενον οὐκ ἂν νομισθείη τοῖς οὕτω περὶ αὐτὰ διακειμένοις θεός.

Ἡ μὲν οὖν δημιουργία τοῦ θεοῦ τὰ δημιουργήματα πάντα λίαν καλὰ προήγαγετο· καὶ ἡ φύσις πάντων ἔχει τὸ ἄριστον· ἀνθρώπων δὲ παράλογοι καὶ ἔκθεσμοι χρήσεις πολλὰ τῶν δημιουργηθέντων βεβηλώσασαι, τὰ μὲν ἀκάθαρτα καὶ νομίζεσθαι καὶ καλεῖσθαι παρεσκεύασαν· τὰ δὲ κἂν τὴν ἀπὸ τῆς ἀκαθαρσίας κλῆσιν διέφυγεν, ἀλλ' οὖν παρέσχον τῷ θεόπτῃ αἰτίαν συνιδεῖν ἑτέρᾳ μεθόδῳ, καὶ ταῦτα τῆς βεβηλώσεως ἐκτεμεῖν· καὶ δι' ἑκατέρου τρόπου τῶν Ἰσραηλιτῶν τῆς διανοίας τό τε πολύθεον ἐξελεῖν, καὶ τὸ ἀκατάγνωστον πραγματεύσασθαι· καὶ γὰρ καὶ κλῆσις ἀκάθαρτος καὶ χρῆσις τὸ θυόμενον εἰς γαστέρα παραπέμπουσα, οὐδὲν θεῖον οὐδὲ σεπτὸν ἐννοεῖν περὶ αὐτῶν, ἀλλ' οὐδὲ ψιλήν τινα φαντασίαν παραχωρεῖ ἀναδέχεσθαι. Εἰ δέ τις ἐρεῖ πῶς οὖν τῷ Νῶε τῆς μωσαϊκῆς νομοθεσίας οὔπω δοθείσης καθαρὰ καὶ ἀκάθαρτα διακρίνειν καὶ συνεισάγειν τῇ κιβωτῷ προστετάχθαι εἴρηται; πρόληψις μὲν γάρ ἐστι τὸ σχῆμα· καὶ εἰ μὴ ἐξ ὧν τότε ἐγνωρίζοντο τὰ ζῶα, ἀλλ' ἐξ ὧν ἔσχατον ἐπεγνώθησαν ὠνομάσθησαν, οὐδὲ παρὰ τὸ τοῦ εἰρημένου λόγου ἰδίωμα· καὶ γὰρ καὶ τὴν γένεσιν οὐχὶ Νῶε γράφει, ὃς τῆς νομοθεσίας ὑπῆρχε πρεσβύτερος, ἀλλὰ Μωσῆς ὁ περὶ καθαρῶν καὶ ἀκαθάρτων νόμον ἐκθέμενος· εἰ δὲ καὶ ἃ ὁ νόμος ὕστερον ἔθετο, ταῦτα τῷ Νῶε προανεκηρύττετο, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ τοῦ κοινοῦ ναυαγίου μήπω στάντος, τὴν γνῶσιν λαβὼν εἶχεν ἀδίστακτον· πῶς οὖν συνῆκε καθαρῶν καὶ ἀκαθάρτων διαφορὰν ἐνωτιζόμενος διάκρισιν τούτων καταπράξα-

σθαι, τοῖς ἐγγὺς εἰρημένοις καὶ τοῦτο συμπεριείληπται· ὁ γὰρ τὸ παγκόσμιον ναυάγιον πρὶν ἐπιστῆναι διαγνοὺς, καὶ σπέρμα τῷ ἀνθρωπίνῳ γένει διασώσασθαι παρὰ Θεοῦ χάριν εἰληφὼς, οὗτος οὐδὲ τὴν τῶν καθαρῶν καὶ ἀκαθάρτων διάγνωσιν ἄνωθεν λαβεῖν, καὶ τῶν ὀνομάτων ἡ χρῆσις οὐκ ἐπεχωρίαζεν, οὐμενουν οὐδαμῶς ὑστερίζων ἦν.

Κ. Διὰ τί τῆς αἱρέσεως ἀφιστάμενος ὁ ἄνθρωπος τὸν βίον οὐκ ἔχων ἐπίμωμον πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποστῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος οὐκ ἀνάγεται;

Τὸ δ' εἰς ἀπορίαν προαγόμενον πρόβλημα, τί δήποτε τῶν πλημμελημάτων τὸ χαλεπώτατον λιπὼν τὴν αἵρεσιν ἄνθρωπος εἰς ἱερωσύνην, μὴ τῶν ἄλλων ἔργων μαχομένων, παραγγέλλειν δύναται· ὁ δ' ὀρθόδοξον φέρων τὸ φρόνημα, ἐμφύλῳ τὴν χεῖρα μιάνας αἵματι, ἢ τάφους ἀνορύξας, ἢ κατενεχθεὶς μέχρι σώματος εἰς κατενοχλοῦσαν ἡδονὴν, ἢ ἄλλης τινὸς οὐκ εὐαγοῦς πράξεως ἔνοχος γεγονὼς, οὐκέτι οὐδὲ πρὸς μετάνοιαν ἐπιστρεφόμενος, οὐδὲ διδοὺς πληροφορίαν μὴ διστάζουσαν τοῖς ἀδεκάστως κρίνουσι, τῶν μολυσμάτων κεκαθάρται· ἀλλὰ γὰρ οὐδεὶς τῶν τοιούτων, μηδὲ τῶν ἄλλων ἀρετῶν ἐπιμαρτυρούντων, οὐμενουν οὐ νομίζεται τῆς ἱερωσύνης ἐπάξιος.

Τὸ μὲν οὖν ζήτημα παλαιόν τε καὶ τὴν τοιαύτην προαγωγὴν οἰκειούμενον· εἰ δέ τινες ὀρθῶς ἐπελύσαντο, ἡδέως ἂν αὐτῶν μαθητὴς γενοίμην· διδάξαιμι δ' ἂν ἴσως εἰ καὶ μὴ ἄλλους, σὲ δὲ πάντως· ὡς ὅσοι μὲν δυσσεβεῖν εἴχοντο γνώμης προῆλθον οὐχ αἱρουμένης τὸ φαῦλον ἀλλ' ἐπιζητούσης τὸ ἄμεινον, ἀποσφαλέντες δὲ τοῦ ἱεροῦ τῶν κρειττόνων ἔρωτος, πρὸς τὸ χεῖρον ὃ μὴ προέθεντο ἀπηνέχθησαν· ἡ μὲν ἀπ' ἀρχῆς ὁρμὴ τούτοις ἤνθει τὸ ἀγαθόν· ἡ δ' ἀποτυχία δύναιτ' ἂν καταφεύγειν εἰς τὸ τῆς φύσεως ἀπομαραινόμενον καὶ ἀσθενές· καὶ οὗτοι μὲν τῶν χειρόνων μεταναστάντες, εὐμενῶς αὐτοῖς ὁρῶσιν τὴν συγγνώμην ἐπιβλέπουσαν· οἱ δὲ φαῦλον μὲν εἰδότες ἀπ' ἀρχῆς τὸ πραττόμενον, πρὸ ἐκεῖνο δὲ τὸν νοῦν ἀπερείδοντες, πολλὴν κατ' αὐτῶν παρέχονται τοῖς πρὸς εὐσέβειαν μεταβαλλομένοις τὴν ὑπεροχήν· οἱ μὲν γὰρ ὁρμῆς ἀντείχοντο τῆς ἀγαθῆς, εἰς τοὐναντίον δὲ μὴ τοῦτο προθέμενοι παρεσύρησαν· τοῖς δὲ τῶν τε φαύλων ἦν ἡ κατ' ἀρχὰς αἵρεσις, καὶ κατὰ σκοπὸν συνέβαινεν ἡ ἀπώλεια· καὶ τοῖς μὲν οὕτως ἐδόκει τὸ δοξαζόμενον βέλτιστον, ὡς ἐπιγαυριᾷν τε τῇ δόξῃ καὶ θάνατον ἐστὶν ὅτε προαιρεῖσθαι τῶν δεδοξασμένων τῆς ἐξομόσεως· τοῖς δὲ τὸ κακὸν ἐπὶ τοσοῦτον ἐγνωρίζετο, ὡς καὶ μηδενὸς ἔξωθεν συνειδότος, καθ' ἑαυτοὺς ἐπερυθριᾷν τῇ πράξει, καὶ εὐχῆς ἔργον εἶναι νομίζειν λαθεῖν ἅπαντας. Ἐξ

ὧν οὖν ἀπ' ἀρχῆς ἀγαθὸς ἦν ὁ σκοπὸς, πρὸς γὰρ τὸ ἄριστον ἔβλεπον, καὶ ἡ μεταβολὴ προϊοῦσα δι' ἐπιγνώσεως ἐπιστεῤῥᾶς κρηπῖδος ἐβάλλετο, τῆς ἀληθοῦς αὐτὴν πηγνυμένης διακρίσεως, ἀσάλευτον οὗτοι κατὰ τὸ πλεῖστον τηροῦσι τῆς ἐπὶ τὴν εὐσέβειαν μεταβολῆς τὸ κραταίωμα· τοῖς δὲ φαύλη τε ἦν ἐξ αὐτῆς κινήσεως ἡ ὁρμὴ· οὐ γὰρ ἠγνόουν ἀτόπων ἁπτόμενοι, καὶ τῆς μεταθέσεως γεγενημένης μὲν, οὐκ ἐχούσης δὲ τῷ ἀμεταθέτῳ στηρίζεσθαι· οὐδὲν γὰρ οὗτοι τῶν προεγνωσμένων πλέον προσειλήφεσαν, ἐν οἷς ἂν ἑδρασθεῖεν σταθερώτερον, ἀλλ' ἐπισκιρτώσης τῷ αὐτοδεσπότῳ τῆς γνώμης ἐφ' ἑκάτερα ἄδηλον τε τὴν κρίσιν παρεχομένης ἐφ' ὃ ῥέψειεν, εἰκότως οὐκ ἔστιν αὐτοῖς πίστιν ῥᾷον παρασχεῖν, ὡς οὐ μηκέτι εἴησαν εἰς τὴν προτέραν ἐπανιόντες φαυλότητα. Πρόσθες εἰ βούλει καὶ διότι τοῖς μὲν καὶ ἡ προτέρα δόξα καὶ ἡ μεταγενεστέρα κατὰ τὸν ἴσον τρόπον, ἵνα μὴ λέγω καὶ πολλάκις προέχουσα, παῤῥησιάζεται· ἀλλ' οὖν οὐκ ἔστιν ἡ δευτέρα τῆς προτέρας πρὸς τὴν τῶν πολλῶν ἐπίγνωσιν δευτερεύουσα· τοῖς δὲ τὸ μὲν ἁμάρτημα θριαμβεύεται· φίλον γὰρ ἀνθρώποις διακωδωνίζειν τὰ ἀλλότρια· ἡ δὲ μεταμέλεια ἐν ἡσυχίᾳ τε καὶ καταμόνας πραττομένη οὐχ ὅτι μόνον τῷ λανθάνοντι ἐκφεύγει τοὺς πολλοὺς, ἀλλ' ὅτι καὶ τὸν φθόνον ἔχει πικρὸν ἐξεταστὴν, οὐχ ὅτι περιφανῆ καὶ κατάδηλον τῆς καθάρσεως· δεῖ δὲ μηδὲ τῶν μικρῶν μηδένα σκανδαλίζειν· οὔμενουν οὐ παρέχεται παραπλησίαν πᾶσιν ὥσπερ δὴ τοῦ ἐλαττώμενος τὴν ἐπίγνωσιν.



ΚΒ. Τί δήποτε πρὶν διανοηθῆναι τὸν Ἰωσὴφ ἀπολύσαι τὴν Μαριὰμ, μὴ ἐπέστη ὁ ἄγγελος αὐτὴν προαναστέλλων τὴν μελέτην, ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης κατέβη, τότε κωλύσων ἐφίσταται; καὶ διὰ τί τὴν παρθένον, γυναῖκα λέγει τοῦ Ἰωσήφ;

Περὶ τοῦ προκειμένου ζητήματος καὶ τῶν μακαρίων ἡμῶν πατέρων οὐκ ὀλίγοι διέλαβον· καὶ οἶδα τινὰς αὐτῶν εἰπόντας, διὰ τοῦτο τηνικαῦτα τὸν ἄγγελον ἐπιστῆναι καὶ τῆς ὁρμῆς τὸν δίκαιον ἐπισχεῖν, ἵνα μὴ δεηθῇ πίστεως ἑτέρας κύειν ἀπαγγέλλων τὴν παρθένον, ἀλλ' ἔχῃ τὸ κυοφορούμενον μάρτυρα τῆς κυοφορίας. Τάχα δ' ἂν καὶ ἕτεροι τοιαύτας τινὰς ἀπέδοσαν αἰτίας καθόσον εἵλκυσε τῆς ἄνωθεν σοφίας. Ἐμοὶ δὲ δοκεῖ τῶν λεγομένων τε καὶ πραττομένων τότε τὴν οἰκείαν ἰσχὺν ἕκαστον παρέχειν, ὅτε τὸν οἰκεῖον καιρὸν ἀναμένει· τὸ γὰρ ἄκαιρον περιθραύειν εἴωθεν ὡς τὰ πολλὰ τῆς ἐνεργείας τὴν δύναμιν· ὅτε οὖν εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσὴφ, τότε τὴν ἔριν ὁ ἄγγελος ἐπέστη λύων τῶν λογισμῶν. Ὅτε δὲ διηπορεῖτο καὶ ταῖς τῶν διαβουλιῶν ἀντιπνοίαις ἐκυμαίνετο, δῆλον ἡ μελέτη τῆς πράξεως ποιεῖ· ἠβουλήθη γάρ φησι λάθρα ἀπολῦσαι αὐτὴν· οὐκ

ἂν οὔτε λάθρα δηλονότι οὔτε ὅλως ἐκπέμψαι βουληθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπιστο τῆς γαστρὸς· ἀλλὰ τοὐναντίον δίκαιος ὢν καὶ ἐραστὴς καὶ παρανομίαν εἴτις ἄλλος μισῶν, νόμῳ ἂν καὶ τιμωρίᾳ τοῦ γάμου τὴν κλοπὴν, λύων τε πᾶσαν ὑπόνοιαν εἰς αὐτὸν ἀναφυομένην πονηρὰν, καὶ τοῦ δικαίου τὴν προστασίαν οὐ προδιδούς· ἀλλὰ τοῦτο μὲν οὔμενουν οὐδόλως ἐπέπειστο· πολλὰς γὰρ ἡ παρθένος τὰς πίστεις, αἳ τὴν τοιαύτην αὐτοῦ ὑπόληψιν ἀφῄρουν παρεῖχε, τὴν ἀκρίβειαν τοῦ βίου, τῆς ἀναστροφῆς τὴν σεμνότητα, τὸ καθαρὸν τῆς διαίτης, καὶ πρὸ τούτων τὸ ἐκ λαμπροῦ γένους προελθεῖν, βασιλικῆς γὰρ καὶ ἱερατικῆς κατήγετο φυλῆς, τὴν ἐν ἱερῷ τῆς πρώτης ἡλικίας ἀνιέρωσιν· ταῦτα καὶ τούτων πλείονα μακρὰν ὑπονοίας οὐχὶ τῆς ὁρώσης εἰς εὐθύνας, ἀλλ' οὐδὲ τῆς τὸ ἀπρεπὲς εὐλαβουμένης τὸν πρεσβύτην ἐποίει· οὐδὲ ἐκεῖνο δὲ πάλιν ᾔδει τὴν κύησιν τῆς θείας ἐνεργείας εἶναι· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην καὶ λόγον ἅπαντα τῆς περὶ ἡμᾶς θεοῦ κηδεμονίας τὸ ἔργον ὑπῆρχε. Διόπερ τοὺς λογισμοὺς ἐνοχλούμενος οὐκ εἶχε συνορᾷν ὅπερ ἂν διαπραξάμενος τήν τε τοῦ δικαίου μὴ καθυβρίσῃ κλῆσιν, καὶ θεῷ συνδιασώζων τὸ εὐάρεστον ὀφθείη.

Ὅτε τοίνυν ἐν τοῖς τοιούτοις διεκλονεῖτο, καὶ ἡ πρὸς θάτερον ῥοπὴ τῆς ἀνθρωπίνης κρίσεως αὐτὸν ἐπελελοίπει, τότε λίαν ἁρμοδίως καὶ κατὰ καιρὸν ὁ ἄγγελος ἧκε στηρίζων αὐτοῦ τὴν κεκινημένην διάνοιαν, ἐφ' οὗπερ ἔδει μένειν ἀκλόνητον καὶ φησίν· Ἰωσὴφ υἱὸς Δαβὶδ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· μηκέτι φησὶν τῆς ἀμηχανίας ἔσο μηδέ σε δόξαι μαχόμεναι διαπορεῖν ἀναπειθέτωσαν· τὸ πρακτέον ἐκ πνεύματός ἐστιν ἁγίου τὸ ἐν αὐτῇ γεννηθὲν· ἁγίου δὲ πνεύματος παρουσία, καὶ θέλημα σαρκὸς, οὐχ οἷόν τε ἐστὶν, οὐδέ σε λέληθεν, εἰς ἓν συνελθεῖν, οὐδὲ τὴν αὐτὴν ἐξοικειοῦσθαι πρᾶξιν· παράδοξος ὁ λόγος, ἀλλὰ παραδοξοτέρου τόκου ἐστὶν εὐαγγέλιον· ἐκ πνεύματός ἐστιν ἁγίου, καὶ τέξεται υἱόν· ὅρα καὶ πρὸ τῆς γεννήσεως τὸν υἱόν· καὶ γεννηθέντος ἔστω σοι τεκμήριον τοῦ ἐκβεβηκότος ἡ πρόῤῥησις καὶ τῆς ἄλλης τῶν εὐαγγελίων ἀληθείας· ὁ γὰρ ἔτι τὸ κρυπτόμενον ἐν τοῖς θαλάμοις τῆς φύσεως καὶ εἰδὼς καὶ προανακηρύττων υἱὸν, οὗτος καὶ τεχνίτης γέγονε τῆς ἄνευ σπορᾶς ὑπὲρ λόγον δημιουργηθείσης σαρκὸς, καὶ τῆς παρθενίας φύλαξ, ὥσπερ μετὰ τὸν τόκον, οὕτω καὶ πρὸ τοῦ τόκου μὴ διαλύων τὰ σήμαντρα· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· ἀλλὰ καὶ ἡ κλῆσις ἄνωθεν ἔχει τὴν κρίσιν· Ἰησοῦς γὰρ ὅτι σώσει τὸν λαὸν αὐτοῦ. Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· ταῦτα γὰρ οὐ πάντα μόνον ἀφαιρεῖται φόβον, ἀλλὰ καὶ μεγάλης θυμηδίας καὶ ἐλπίδων ἀνελπίστων χαρίζεται πλοῦτον· μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Γυναῖκα σὴν τὴν παρθένον ἀκούων

ἔχεις ἐκ τῆς φωνῆς τὴν πρὸς πᾶσαν ἀνδρὸς ὁμιλίαν καθαρότητα. Εἰ γὰρ ᾧ συνήφθη νόμῳ τὸ τῆς παρθενίας, ἀνέπαφόν τε καὶ ἀκήρατον συνδιέσωσε, πῶς ἂν ἑτέρου τινὸς ἔρωτα παραδέξασθαι; κἂν γοῦν σκιάν τινα καταλίπῃ ὑπολήψεως, σοῦ γυνὴ νόμῳ γεγενημένη μνηστείας κρεῖττω καὶ ὑψηλοτέραν ἑαυτὴν καὶ τῶν νομίμων διετήρησεν, ἑτέρῳ παρανομεῖν πῶς ἂν ὑπέστη χῶραν παρασχεῖν; καὶ τῆς ἐκείνου χάριτος ὕβριν ἀλλάξασθαι, ἢ μηδὲ χωρὶς ὕβρεως ἀνασχομένη τῆς παρθενίας ἐξίστασθαι; Ἔχεις οὖν παρὰ σεαυτῷ τῆς καθαρότητος τὴν μαρτυρίαν ἀπαράγραπτον· διὸ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου· οἷς γὰρ πρός σε τὸ τῆς παρθενίας ἀμόλυντον διεσώσατο, τούτοις καὶ τοὺς ἀναντιῤῥήτους πορίζεσθαι· γυνή σου φησὶν ὅρα καὶ παρ' ἐμοῦ λέγεται, καὶ πεῖραν αὐτῆς οὐκ ἔχεις· εἰ δ' ἐφ' οὗ τὸ τῆς γυναικὸς ἥρμοσεν ὄνομα, τοῦτον ἡ παρθένος ἔδειξε καθαρεύοντα τῆς πρὸς αὐτὸν ὁμιλίας, πῶς οὐκ εὔδηλον ὅτι καὶ παντὸς ἄλλου, οὗ μήτε ἀνθρώπινος μήτε θεῖος λόγος ὀνομάζων ὤφθη γυναῖκα;

Οὕτω μὲν οὖν ὁ ἄγγελος διὰ τῆς προσηγορίας τῆς γυναικὸς καθαρεύειν πάσης οὐκ εὐαγοῦς ὑπολήψεως τὸν Ἰωσὴφ ἐκδιδάσκει. Ὀνομάζοι δ' ἂν ἴσως αὐτὴν γυναῖκα, καὶ διότι περὶ γυναικὸς ὅσαι φροντίδες ἔχουσιν ἄνδρα, οὐδεμιᾶς ταύτην ὁ δίκαιος ἀπεστέρει. Τά τε γὰρ ἄλλα προνοούμενος αὐτῆς οὐκ ἠμέλει, καὶ οἴκοι συνοῦσαν περιεῖπε, καὶ μώμου παντὸς καὶ διαβολῆς ἁπάσης οἷα δὴ κόσμιος ἀνὴρ γυναικὸς σωφρονούσης ἀνωτέραν ἐσπούδαζε καθορᾶσθαι. Εἰ δὲ καὶ γυναῖκα προσεῖπε, διότι μνηστῆρος τάξιν ὁ Ἰωσὴφ εἶχεν, ὥσπερ δὲ καὶ τοὺς μνηστῆρας τὸ ἔθος, κἂν οὔπω συνῆλθον εἰς εὐνὴν, οὐ κωλύει προσαγορεύειν ἄνδρας, οὕτω δὴ καὶ ὅσαι τὴν παρθενίαν ἔτι διασώζουσι, γυναῖκας αὐτῶν δίδωσι καλεῖσθαι, οὐδὲν ἐμοὶ διαφέρεσθαι προσήκει· καὶ γὰρ καὶ Ἰακὼβ ὁ πατριάρχης, ἧς οὔπω καταστὰς ἦν εἰς πεῖραν ὁμιλίας, τὴν Ῥαχὴλ λέγω, γυναῖκα αὐτοῦ περιφανῶς ὀνομάζει. Φησὶ πρὸς Λάβαν, ἤδη τὸν τῆς δουλείας ὅρον ἐκπεπληρωκὼς, ἀπόδος τὴν γυναῖκα μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν. Οὕτως ἐστὶ παλαιὸν ἔθος γυναῖκας καὶ τὰς μεμνηστευμένας ὀνομάζειν. Ὥστε κἀντεῦθεν ἐστὶ λαβεῖν ὡς μηδὲν ἡ τῆς γυναικὸς προσηγορία παραλυπεῖν ἐθέλει τὴν παρθενίαν. Ὅτι δὲ πρὸς τὴν παρθένον τὸ τῆς γυναικὸς οὐ μάχεται ὄνομα, ἥτε συνήθης τοῦ γένους διαίρεσις εἰς ἄνδρα καὶ γυναῖκα τέμνουσα τὴν φύσιν, ποιεῖ φανερόν. Τῷ γὰρ τῆς γυναικὸς ῥήματι οὐχ ὅσαι μόνον ἔλαβον γνῶσιν ἀνδρὸς, οὐδ' ὅσαις γέγονεν ἐν τῷ τῆς παρθενίας ἀπαραλλάκτῳ τὴν τῶν νεανίδων ἡλικίαν ὑπαλλάττειν, ἀλλὰ καὶ τὸ πρὸ τῆς ἀκμῆς θῆλυ μέχρι τοῦ νεογενοῦς περιλαμβάνεται· ὥσπερ δηλονότι τῆς προσηγορίας μετέχουσι τοῦ ἀνδρὸς ὅσοι τε παῖδας ἔφυσαν καὶ ὅσοι τῶν ἠϊθέων τὴν τάξιν ἐπέχουσιν, ἀλλὰ καὶ ὅσοι τῆς

ἡλικίας ταύτης μέχρι βρέφους ὑποβεβήκασιν. Οὕτω μὲν οὖν καὶ ἀπὸ τῆς εἰθισμένης χρήσεως ἐστὶν λαβεῖν ὡς ἡ τῆς γυναικὸς οὐκ ἀφαιρεῖται φωνὴ τῆς παρθενίας τὸ δίκαιον· γυναῖκα γὰρ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις τὴν Εὔαν ὀνομάζει τοῦ Ἀδὰμ ἔτι τοῖς παρθενικοῖς ἐμπρέπουσαν ὡραΐσμασιν, καὶ τοῖς ἀκηράτοις ἄνθεσι τοῦ παραδείσου ἐνεαρίζουσαν, καὶ πόῤῥω τῆς παραβάσεως καὶ τῆς δεσποτικῆς καθισταμένην ἐντολῆς καὶ τῆς γυμνώσεως καὶ τῆς τοῦ θηρίου συμβουλῆς ὑψηλότερον τὸ πολίτευμα φέρουσαν· ὅτε καὶ αὐτοὺς οὐκ ἔστι σοι ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐναργείας λογίσασθαι, ἀνενοχλήτους ἔφερε τοὺς λογισμοὺς σωματικῆς ἡδονῆς, ἡ πολλάκις ἐξονομασθεῖσα γυνὴ τοῦ Ἀδὰμ, κρείττονος ἀξιουμένη κλήσεως ἢ σαρκικῶν ἐραθισμάτων ἐνταλαιπωρεῖσθαι μάχαις.

ΚΓ. Τί σημαίνει τὸ, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν.

Οἶδα μὲν οὖν ὡς τινὲς τὸν εἴρωνα λόγον διὰ τῶν προκειμένων ῥημάτων φασὶ προενηνέχθαι, καὶ ὀνειδείζειν τὸν Ἀδὰμ ἐφ' οἷς ὑπέρογκα φαντασθεὶς καὶ ἃ φιλανθρωπία τοῦ πλάσαντος χερσὶ κατεῖχεν, ἐξ ἰδίας ἀβουλίας ἀπώλεσεν· οἱ δὲ γείτονα προκομίζοντες λόγον, ἕτερόν τι νομίζουσι λέγειν. Διασύρεσθαι γάρ φασι καὶ διαχλευάζεσθαι τοῖς παροῦσι λόγοις τὴν τοῦ Ἀδὰμ περιπέτειαν. Καὶ ἄλλοις ἔδοξεν ἐπεγγελᾶσθαι τὴν πρᾶξιν, δι' ἣν ὑψηλότερον τῆς αὐτοῦ φύσεως τοῖς λογισμοῖς ὁ ἄνθρωπος ἀναδραμὼν, καὶ ἧς ἠξιώθη τάξεως παρὰ τοῦ πλάσαντος ἐφεστᾶναι, κατηνέχθη. Παραπλήσια ταῦτα καὶ ἀπὸ τῆς αὐτῆς ἐπιβολῆς τὴν πρόοδον λαβόντα, εἰ καὶ πρὸς διαφόρους δοκοῦσι παραφυάδας ἀποσχίζεσθαι, ἐγὼ δὲ ταῦτα μὲν οὐκ ἂν οἰηθείην σοφὸν ἀποδοκιμάζειν, ἀκολουθότερον δ' ἂν φαίην καταvoεῖν ἑτέρας εἶναι διανοίας παραστατικὸν τὸ ἱερὸν ἐκεῖνο χωρίον· ποίας ταύτης; ἐπειδήπερ ὁ Ἀδὰμ ἀντὶ τοῦ νομοθετεῖσθαι, νομοθέτου ἀξίωμα ἥρπασεν· ἀντὶ τοῦ κηδεμονίας καὶ παιδαγωγίας τῆς ἄνωθεν ἀπολαύειν, τῇ ἰδίᾳ γνώμῃ καὶ προνοίᾳ τὰς τοῦ βίου πράξεις κατεπίστευσε, καὶ τὴν ῥώμμην ἔχειν ἐνόμισεν ἄνευ θείας ἐπιροπῆς καὶ τῆς τοῦ κρείττονος ἐπινεύσεως, ἐξαρκεῖν αὐτῷ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος· οὐ γὰρ ἂν μὴ ταῦτα διαθέμενος καὶ κυρώσας παρ' ἑαυτῷ, οὔμενουν οὐκ ἂν ὑψῶσαι δόξαν ἑαυτὸν ὑπέδραμεν εἰς τὸ μέγεθος τῆς πρώτης ἀρχῆς, ᾗ κρίνειν τε καὶ διακρίνειν τοῦ πονηροῦ τὸ καλὸν, σοφία ἔμφυτος καὶ ἀπερινόητος ἐξ ἀϊδίου περίεστιν, ἀλλ' οὐδ' ἂν προτάττειν ὁρμὴν ἐτόλμησεν τὴν αὐτοῦ τῆς ἁπάντων δεσποζούσης τε, καὶ πάσας χάριτας διαγνώσεως πηγαζούσης καὶ διακρίσεως· οὐδ' ἂν τὴν θείαν ἐντολὴν παρ' οὐδὲν θέμενος, ὅλην αὐτοῦ τῇ γνώ-

μὴ τῶν πρακτέων διοίκησιν ἐνεχείρισεν· ἐπεὶ οὖν, φησὶν ὁ Θεὸς, τοῖς ἔργοις παρέσχε τὸν ἔλεγχον, ἑαυτῷ καταπιστεύσας τοῦ βίου τὴν πρόνοιαν καὶ οὐκέτι τοῖς ἡμετέροις ὑποκύπτειν ἐθέλει προστάγμασιν, ἀλλὰ τό γε δοθὲν αὐτῷ αὐτεξούσιον πρὸς τὴν τοῦ δεδωκότος ὕβριν ἀπεχρήσατο, καὶ ἐνόμισεν ἑαυτὸν εἶναι ὡς ἕνα ἐξ ἡμῶν, νομοθέτην οὐ νομοθετούμενον, προνοητὴν οὐ προνοίας δεόμενον, δεσπότην οὐ δεσποζόμενον, ἄμεινόν ἐστιν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, διὰ δύο μάλιστα ταῦτα· ἓν μὲν ἵνα μὴ τρυφῆς εἰς ἄκαιρόν τε καὶ ἀπαιδαγώγητον ἀπόλαυσιν καταστὰς, χείροσι καταλισθήσῃ παραπτώμασι, καὶ δεύτερον ἵνα τοῖς τῆς ὑπερορίας κόλποις ἐνταλαιπωρούμενος, ἀπ' αὐτῶν τῶν ἔργων καὶ τῆς τῶν παθῶν πείρας μάθοι τῆς τε οἰκείας τὸ μέτρον δυνάμεως, καὶ ὡς πολὺ αὐτῷ λυσιτελέστερον ἦν, τῆς ἡμῶν προνοίας ἐξάπτειν τὰ τῆς διανοίας καὶ τῆς πολιτείας κινήματα, ὅσον τε καθέστηκεν ἐνδεὴς τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ τε τὸ καλὸν καὶ τὸ πονηρόν.

Ταύτης δὲ τῆς διανοίας οἶμαι καὶ Σύμμαχον ἐγγὺς γεγονότα τὴν περιοχὴν τοῦ ῥητοῦ ἐκδεδωκέναι· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν ἀφ' ἑαυτοῦ καλὸν καὶ πονηρόν. Αἱ δὲ ἔμπροσθεν εἰρημέναι τοῦ ῥητοῦ διηγήσεις ἐδίδασκον ἂν ἡμᾶς μὴ πρὸς ἕτερόν τι βλέπειν εἴγε σύνηθες ἡμῖν ἐνῆν ὁρᾶν τοῖς ἱεροῖς ἡμῶν λογίοις ἐν τῷ διασύροντί τε καὶ εἰρωνικῷ καὶ διαγελῶντι τρόπῳ τὰ ἀντικείμενα τοῖς προτεινομένοις παραδηλούμενά τε καὶ αἰνιγματιζόμενα καὶ . . . . ον διὰ γράμματος ἰσχύει. Οὐδὲν γὰρ ἐν πλάτει κωλύει λόγων παρεμπίπτειν κατὰ τὸ σπάνιον καὶ τὸ ἄηθες. Ἀλλὰ πῶς οὐκ ἐκλύσειε τοῦ διασύρειν καὶ εἰρωνεύεσθαι καὶ ἐπιγελᾷν τὸν τόνον ἡ κατὰ παραβολὴν γεγενημένη καὶ ὁμοίωσιν λέξις; τοὐναντίον γὰρ εἴπερ εἶχεν ἀκολουθίαν τὰ εἰρημένα, ἅπαν ἔδει παραφυλάττεσθαι ῥῆμα τὸ ἀπότομον καὶ πικρὸν διαπραΰνον τῶν ὀνειδισμῶν· ἡ δὲ, ὡς εἷς ἐξ ἡμῶν, τὸ δριμὺ τῆς εἰρωνείας ὑποτέμνεται καὶ τὴν τραχύτητα καταλεαίνει τοῦ προπηλακισμοῦ. Οὐ γὰρ ἴσον εἰπεῖν εἰς ἐπίπληξιν, οὐδὲ πολλοῦ δεῖ· ἰδοὺ γέγονεν Ἀδὰμ εἷς ἐξ ἡμῶν, καὶ ὡς εἷς ἐξ ἡμῶν· τὸ μὲν ἄκρατον καὶ σφοδρὸν ἐπάγει καὶ καίριον τὸν χλευασμόν· τὸ δὲ διὰ τῆς παραβολῆς καὶ ὁμοιώσεως κεκραμένην πως καὶ μετριάζουσαν τὴν ἐπιτίμησιν ποιεῖ, καὶ τίνα λόγον ὑφέξει χλευάζειν τε ἅμα καὶ τὴν χλεύην ὑφαιρεῖσθαι, ἐξὸν ἀπ' ἀρχῆς τὸν τρόπον μηδόλως ὑπελθεῖν τῆς χλεύης.

Ἐπὶ δὲ τούτοις κἀκεῖνο συλλογίζου· εἰ διασύροντος, εἰ διαγελῶντος, εἰ εἰρωνείας προβάλλοντος ὁ λόγος ἦν ὁ λέγων ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τίνα πρὸς αὐτὴν συνάφειαν ἢ ἀκολουθίαν ἕξει τὸ ἐπαγόμενον, οὐκ ἂν ἐθελήσῃ γνῶσιν παρασχεῖν· ὅμοιον γὰρ ὡσεὶ ἔλεγεν. Ἐπειδὴ τῶν ἐλπίδων καταπεσὼν ὁ Ἀδὰμ, αἷς ὀχούμενος τὰς ὀφρῦς ἀνέ-

Καὶ ὅρα τὸ βαθὺ καὶ περινενοημένον τῆς λέξεως· μὴ ὑστερησάτω φησὶ τὸ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου· εἰ γὰρ καὶ πολλάκις ἠλείψατο, ἐν ᾧ φησι τοῦ λιπαίνεσθαι διέστη, ὑστέρημα τοῦτο τῆς ἔμπροσθεν καθίσταται πράξεως· καὶ ἄλλως δὲ τὸ τῆς λέξεως ἐμφαντικὸν θεωρήματος εὕρεσις γίνεται· ὡς ὁ τῷ ἐλαίῳ χρώμενος οὐ τοσαύτην τοῖς ἐλεουμένοις τὴν εὐεργεσίαν εἰσάγει, ὅσον ἑαυτῷ καταβάλλεται καὶ προξενεῖ τὸ κέρδος· διὰ τοῦτο τὸ περιορᾶν τὸν εἰς τοὺς ὁμοφυεῖς ἔλεον, ὑστέρησιν τῆς ἰδίας λιπάνσεως καὶ τῆς ὠφελείας ἀποκαλεῖ· καὶ οὐχ ἁπλῶς στέρησιν μέρους τινὸς τῶν τυχόντων ἐν τῷ σώματι, ἀλλὰ τοῦ κυριωτάτου καὶ συνεκτικωτάτου τῆς κεφαλῆς· ἀλλὰ γὰρ οἷον εἴρηται τοιοῦτόν ἐστι τὸ ὑστερεῖσθαι δι' ὧν ἡ κεφαλὴ ἐπαλείφεται· πολλοὶ γὰρ οὔτε τοῦ ἐλαίου τὴν κτῆσιν οὐδὲ τὴν χρῆσιν θαυμάζοντες τῆς ἀπ' αὐτοῦ δόξης καὶ ὀνομασίας τὸν ἔρωτα ὑποδύονται· καὶ οἱ μὲν διανέμουσί τινα τῶν προσόντων, καὶ ταῦτα οὐδὲ αὐτοῖς περισπούδαστα, τὴν τοῦ ἐλαίου παρωνυμίαν συνάγειν βουλόμενοι· οἱ δὲ ἵνα τοῖς πολλοῖς δόξωσι χρημάτων κρείττους, καὶ τῶν πολὺ σπουδαζομένων ὑπερόπται· οἱ δὲ δι' ἕτερόν τι τῶν μηδὲν εἰς τῆς ἀρετῆς ἀναφερομένων λόγον· ὧν κἂν δοκῇ διαρρέειν ὁ ἔλεος, ἀλλ' οὐκ ἀπὸ τῆς κεφαλῆς οὐδ' ἐπὶ τὴν κεφαλὴν ὁ τοιοῦτος φέρεται· οὐ γὰρ ἐν κρίσει διανοίας καὶ ὀρθότητι, ἀλλὰ σαλευομένῃ γνώμῃ καὶ θεραπείᾳ παθῶν· ὃ συμφερόντως ἂν καὶ σωτηριωδῶς μάλιστα τῷ κενοῦντι διαχεῖσθαι τε καὶ δαψιλεύεσθαι εὖ μάλα ἠδύνατο, ἐπιζημίως τε καὶ ἐπισφαλῶς ἀποκενοῦται, καὶ μηδὲ σταλαγμὸν ὠφελείας τοῖς κενοῦσιν ἀνταλλαττόμενον· ὁ δὲ ἐπὶ θεραπείᾳ μόνῃ τῶν πενήτων καὶ τῷ ἱλασμῷ τῆς ἰδίας ψυχῆς καὶ τῷ τῆς ἀρετῆς νέμων τὸν ἔλεον, οὗτος ὡς ἀληθῶς ἀπὸ κεφαλῆς τε τὸ δῶρον προχέει καὶ τῆς ὀρθῆς κρίσεως, καὶ τὴν ἑαυτοῦ κεφαλὴν οὐκ ἀποστερεῖ τῆς ἀναῤῥωννυούσης τὸ ἡγεμονικὸν καὶ ἱλαρυνούσης λιπάνσεως· δῆλον δ' ὅτι τῷ τῆς ἐλεημοσύνης κατορθώματι καὶ ἄλλαι συναναφύουσι καὶ συνεξανθοῦσιν ἀρεταί· τίς γὰρ ὡς ἀληθῶς ἀκαπήλευτον φέρων ἐν ἑαυτῷ τοῦ ἐλέους τὸ πολύτιμον χρῆμα βάσκανον ὀφθαλμῷ ἐπιβαλεῖ τῷ πλησίον, ἢ τύραννον ἐπαφήσει χεῖρα καὶ ταύτην ἣν οὔπω ἔληξε προτείνειν τὸν ἔλεον ἀναβλύζουσαν; τίς δὲ λῃστὴς ἀλλοτρίων ἔσεται γάμων τῷ ἐλαίῳ περιῤῥεόμενός τε καὶ τὴν γνώμην μαλασσόμενος; ἀλλά γε τόκους πῶς εἰσπράξεται τοὺς ὀφειλέτας οὗτος ὁ καταμερίζων τοῖς ἐνδεεστέροις καὶ ὅσα κλῆρος ὁ πατρῷος εἰς αὐτὸν διεβίβασεν; οὐκοῦν διὰ μιᾶς ἀρετῆς τῆς ἀναβλυζούσης τὸν ἔλεον καὶ τὰς ἄλλας ὡς συγγενεῖς καὶ συνακολούθους ὁ τὴν ἡγεμονίαν ἐκείνης προκαταλαβὼν εἰς φάλαγγας ἑαυτῷ καὶ συμμάχους διατάξει καὶ ἐξοικειώσεται.

Τοῦ δὲ κατωρθωκότος ἐν σπουδῇ καὶ σοφίᾳ τὸν ἔλεον, τούτου δ' ἂν εἶεν καὶ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς, τουτέστιν ἡ ἐποπτική τε καὶ διακρίνουσα

τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἕξις καὶ δύναμις· τοῖς γὰρ ἀποδιϊσταμένοις τῆς κατὰ τὸν ἔλεον πράξεως καὶ συμπαθείας, οἱ ὀφθαλμοὶ καὶ ἡ διάκρισις οὐκέτι ἐπὶ τῆς κεφαλῆς, οὐδ' ὥστε φαίνειν καὶ ὁδηγεῖν τὸν αὐτοῖς χρώμενον, ἀλλ' ἐπὶ τῆς ὀσφύος ἢ τῆς γαστρὸς, μᾶλλον δὲ τῶν ποδῶν γεγόνασιν ὑποπόδιον καταπατούμενοί τε καὶ ἀχρειούμενοι, καὶ τυφλὸν καὶ πλανώμενον ἐν βαθεῖ σκότῳ καταλιπόντες τὸν ἄνθρωπον· εἰ δὲ κεφαλὴ ἀνδρὸς ὁ Χριστὸς, παραινεῖ τὸ λόγιον ἡμᾶς ἀεὶ καὶ διὰ παντὸς ἀφορᾷν πρὸς αὐτὸν, καὶ ἐν αὐτῷ πᾶσαν ἡμῶν στηρίζειν καὶ ἀνατείνειν τὴν ἐποπτικήν τε καὶ θεωρητικὴν ἡμῶν ἐπιμέλειαν· προωρώμην γὰρ τὸν κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ· ἀλλὰ γὰρ ὡς ὀφθαλμοὶ παιδίσκης φησὶν εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν· καὶ τὸ κέρδος οἷον καταλαμβάνουσιν ἡμᾶς οἱ φιλότιμοι καὶ πλούσιοι δωρεάν· καὶ μὴν καὶ διὰ παντὸς ὄντων τῶν ἡμετέρων ὀφθαλμῶν πρὸς τὸν κύριον, αἱ παγίδες ἃς ὁ ἐχθρὸς παρὰ τὰ διαβήματα ἡμῶν ἐκτείνει, ἀργαὶ καὶ ἄπρακτοι καὶ τοὺς πόδας ἡμῶν κατέχειν οὐδεμίαν ἰσχὺν ἔχουσαι· αὐτὸς γὰρ ὁ πλάστης καὶ προνοητὴς, καὶ δι' οὗ τὸ ὁρᾷν πεποίθαμεν τὲ καὶ πεπιστεύκαμεν, ἀμάχῳ ῥώμῃ τοὺς πόδας ἡμῶν ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων ἀποσπάσει, καὶ λείαν καὶ ὁμαλὴν τὴν ὁδὸν ἡμῶν τῆς σωτηρίας ἀπεργάσεται. Τὸ μὲν οὖν ἔλαιον τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, τίνα προσῆκε νοεῖσθαι τρόπον, διηγόρευται.

Εἰ δ' ἀντὶ τοῦ μὴ ὑστερησάτω, τὸ λόγιον οὐ μὴ ὑστερήσῃ τῷ γράμματι ἀπαγγέλλοιτο, εὑρίσκεται γὰρ καὶ τοιαύτη τῶν ῥημάτων ἡ προφορὰ, οὐδὲν κωλύει· καὶ οὕτω τὸ μὲν ἔστωσαν τὰ ἱμάτιά σου λευκὰ, ὡς καὶ προείρηται σύμβολον τῶν ἀρετῶν ἐκλαμβάνειν· τὸ δὲ μὴ ὑστερήσῃ ἐπὶ τῆς κεφαλῆς ἔλαιον, ὅτι τῶν κατορθωμάτων περιαυγαζόντων τὴν ψυχὴν, καὶ περιβαλλομένης αὐτῆς τὸν νοητὸν κόσμον καὶ τὴν ἐξ αὐτῶν λαμπρότητα, τὸ πολυτίμητον ἔλαιον καὶ μύρον ὃ τὴν τοῦ ἁγίου πνεύματος χάριν καὶ δωρεὰν ὑπογράφεται, οὐ μὴ ὑστερήσῃ καταρδεῦον καὶ καταμυρίζον σου τὸ ἡγεμονικὸν, καὶ πάσης ἱερᾶς καὶ μακαρίας ἀνεμπιμπλῶν θεωρίας τε καὶ τελειότητος. Εἰ δὲ καὶ κεφαλὴ τῆς ἐκκλησίας τουτέστι τῶν πιστῶν ὁ Χριστὸς λέγεται καὶ πιστεύεται, οἰκειοῦται δὲ πάλιν τρόπον ἕτερον τοὺς πένητας καὶ τὴν εἰς ἐκείνους ἐλεημοσύνην εἰς ἑαυτὸν ἀναδέχεται· ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Διὰ τῶν προκειμένων λόγων ὁ ἐκκλησιαστὴς παραινεῖ μὴ καταμελεῖν τοῦ ἀλείφειν ἡμῶν ἐλαίῳ τὴν κεφαλήν· ὅπερ ἐστὶν ἀέναον τὴν ἐλεημοσύνην τοῖς πενομένοις χορηγεῖν· διὰ γὰρ ἐκείνων εἰς τὴν ἡμῶν κεφαλὴν τὸν Χριστὸν τὸν ἔλεον ἀναφέρομεν· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Οἶδα δέ τινας ἀξιόλογον ἐν πολλοῖς ὑπόληψιν παρεχομένους τὴν

ἀποκαθαίρουσαν ἡμῶν τοὺς ἀπὸ τῆς γενέσεως μολυσμοὺς καὶ τῆς ἐνύλου προσπαθείας τὸν ῥύπον· ταύτην δὲ τὴν καθάρσιον καὶ σωτήριον ἀναγέννησιν διὰ τῶν προκειμένων ῥημάτων ὑπὸ τοῦ Σολομῶντος δηλοῦσθαι· παραινεῖν γὰρ προορῶντα Χριστοῦ τὴν ἐπιδημίαν καὶ τὰς μυστικὰς δι' αὐτοῦ τελετὰς τὸν ἄνθρωπον τὴν καθαρὰν ταύτην καὶ διαυγῆ λαμπροφορίαν καὶ μέχρι ψυχῆς ἐμβαθυνομένην λευκότητα τῶν ἄλλων ἁπάντων προαιρεῖσθαι· ἐν ᾗ καὶ ἡ κεφαλὴ τῷ ἐλαίῳ ἐπαλείφεται τῷ τετελεσμένῳ μύρῳ διὰ τοῦ ἁγίου πνεύματος· καὶ ὧν αἰσθήσεων ἡ κεφαλὴ καθηγεῖται, ἐξ αὐτῆς τὸ ῥεῦμα τῶν ἀντιλήψεων χορηγοῦσα· καὶ τὸ μὲν μικροῦ σύμπαν τῶν λέξεων περὶ πόδα εἶναι τῇ προκειμένῃ θεωρίᾳ καὶ τῶν ἄλλων πασῶν ἀναπτύξεων ἐξοικειοῦσθαι τὴν ἑρμηνείαν, οὐδενὶ δισταγμὸν μὴ οὐχὶ καλῶς καὶ εἰς τὸ ἀκριβέστατον τεθεωρῆσθαι παρέχει· τὸ δὲ ἐν παντὶ καιρῷ περιβεβλῆσθαι τῶν ἱματίων τὰ λευκὰ, καὶ τὸ μὴ ὑστερεῖσθαι μηδέποτε τῆς διὰ τοῦ μύρου χρίσεως τὴν κεφαλὴν, οὐκ οἶδα πῶς ἂν ῥαδίως συμβιβασθείη ἅπαξ ἔχοντα καιρὸν ἐπιτελεῖσθαι· ἀλλὰ καὶ τὸ παραίνεσιν εἰσάγειν μηδενὶ τηνικαῦτα μήτε συνιέναι δυναμένῳ, μήτε μὴν εἰς ἔργον ἄγειν ἀνεχομένῳ, οὐκ οἶδα πῶς ἂν ἐκ τοῦ ῥᾷστου τὸ μάταιον ἀποσκευάσασθαι κατευοδωθείη. Τάχα δ' ἂν ἐν παντὶ καιρῷ φορεῖν λευκὰ νοηθείη ὁ μετὰ τὸ καθάρσιον βάπτισμα τῇ λαμπρότητι τῶν ἀρετῶν περιστέλλων ἑαυτὸν, καὶ τὸν τῆς ἁμαρτίας ζόφον παντελῶς ἀπελαύνων πλησιάζειν ἑαυτῷ· ὁ γὰρ τοιοῦτος ἐν παντὶ καιρῷ λαμπροφορεῖ· καὶ τὸ μῦρον δὲ ὁ τοιοῦτος ἐπὶ τῆς κεφαλῆς εἴη ἂν μὴ ὑστερούμενος, ἀεὶ φρονῶν τὰ τοῦ πνεύματος καὶ τῆς ἐκεῖθεν χάριτος καταρδόμενος τοῖς ῥείθροις. Εἰ δὲ καὶ τὸ προφητικὸν ὁ Σολομὼν εἶχε χάρισμα συμπληρούμενον, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα διεξιὼν, τὸν λόγον προεῖπεν οὗ χρόνοις ὕστερον ἔμελλε τὸ ἔργον ἐκβαίνειν.

ΜΕ. Τὸ, τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου πῶς νοητέον· πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν (1).

Οὐδὲν θαυμαστὸν ἂν ὁ τὴν γνώμην ἀστήρικτος προσκόπτῃ ἐφ' οἷς ἡ σωτηρία πολλοῖς διαλάμπει καὶ ὠφέλεια· ἀλλ' ἐκεῖνο θαυμαστὸν εἰ καὶ τοὺς ἑκουσίως τυφλώττοντας, τὸ φορητὸν φῶς ἀνέχεται περιαυγάζειν τὴν γνῶσιν καὶ χειραγωγεῖν, οὐκ ἐξουθενεῖ καθορᾶν τὴν ἀλήθειαν· ἐπεὶ καὶ ὁ κύριος καὶ σωτὴρ ἡμῶν τοῖς ἀπολλυμένοις πρόσκομμα γέγονε καὶ πέτρα σκανδάλου καὶ λίθος ἀποδεδοκιμασμένος εἰς κεφαλὴν γωνίας ὑποβεβλημένος,

(1) Quaestionem hanc edisserit, sed aliis plerumque verbis, Photius etiam in epistola 132. ed. Montacut.

οὐκ αὐτὸς ταῦτα γεγονὼς ἀλλὰ τοῖς πεπλανημένοις δόξας γεγονέναι· κἀνταῦθα τοίνυν οὐκ ἀποσκευαζόμενος τὴν μητέρα, ὡς τὸ ἄθεον φρόνημα βούλεται τῶν δυσσεβούντων, τὸ τίς ἐστιν εἶπεν· ἡ μητήρ μου, οὐ δὲ παρὰ φαῦλον τὴν τεκοῦσαν τιθέμενος, ταύτην ὁ σωτὴρ ἀφῆκε τὴν φωνήν· πῶς γὰρ ὅς γε κατὰ τὸ ἀτελέστερον τῆς ἡλικίας νόμῳ φύσεως ἔτι γινωσκόμενος ὑπετάσσετό τε τῇ μητρὶ καὶ τὰ προνόμια πανταχοῦ τῇ τεκούσῃ συνδιέσωζε, πῶς οὗτος πρὸς τὴν τελειότητα τῆς ἡλικίας φθάσας ἀτελέστερον καὶ ἀγνωμονέστερον πρὸς τὴν μητέρα ἂν διετίθετο; οὔκουν οὐκ ἀποσκευαζομένου τὴν μητέρα τὰ ῥήματα, ἄπαγε, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ἑρμηνεύοντος· ποῦ γὰρ ἀκόλουθον, ποῦ δ' ἀστασίαστον, ἐξ ἧς διὰ φιλανθρωπίαν ἠξίωσε σαρκὶ προελθεῖν καὶ τῶν ἀχράντων αἱμάτων ὁ εὐδοκήσας ἑαυτῷ βροτείαν μορφὴν συμπήξασθαί τε καὶ περιέψεσθαι, ταύτην ἀπαξιῶσαι μητέρα συνομολογεῖν καὶ τῆς ἐν ῥήμασιν ἀποστερεῖν οἰκειότητος προϋποστὰς καὶ προκαταλαβὼν καὶ προδωρησάμενος τὴν ἐν τῷ πράγματι σχέσιν καὶ ἀλήθειαν· καὶ εἰ ἔμελλεν, ὦ τῆς γλωσσαλγίας, ἀπαρνήσασθαι ταύτην, τί καὶ τὴν ἀρχὴν ὅλως προσήκατο; τί καὶ σχῆμα περιέδυ, οὗ τὴν μορφὴν ὕβριν ἐνόμιζε; καὶ γὰρ καὶ μέχρι τούτου τῆς γλώσσης ἤλασε τὰ τολμήματα· ἀλλ' ἡ μὲν ἐκείνων ἀπόνοια, ταύτῃ τε καὶ ἐξ ἄλλων πλειόνων τὸν ἔλεγχον δίδωσιν.

Ἴσως δ' ἄν τις οὐ πόῤῥω τῶν εὐαγγελικῶν γνωρισμάτων διαπλαττόμενος φᾶναι τὸν σωτῆρα τὸ ῥῆμα ἐρεῖ, οὐχ ὑποτεμνόμενον μὲν τῇ μητρὶ τὴν τιμὴν, οὐδὲ πολλῷ μᾶλλον ἀπαρνούμενον τὴν ἔμφυτον σχέσιν καὶ στοργὴν, οὐδὲ πολλοῦ δεῖ γέμοντα δὲ πρέποντα τῇ γεννησαμένῃ γέρα, ὅμως τῆς περὶ αὐτὴν θεραπείας τὴν τῶν ἀνθρώπων προτιμᾷν σωτηρίαν, καὶ τὴν εἰς τοῦτο τὸ τέλος φέρουσαν διδασκαλίαν, δι' οὓς καὶ μήτηρ καὶ τόκος καὶ τῶν πατρῴων κόλπων ἀκένωτος κένωσις καὶ ἐν ἀνθρώποις ἀναστροφὴ καὶ πολιτεία καὶ σταυρὸς ἑκούσιος καὶ κακούργων θάνατος, εἶτα καὶ ταφὴ καὶ ἀνάστασις, ἐπισχύσαι δ' ἂν πειραθείη τὴν ἐπίνοιαν, καὶ ὅτι περ οὐδ' ἦν ἄλλως πράττειν τὸν Ἰησοῦν, εἰ μὴ κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸν εἱρμὸν τῆς προνοίας διετίθετο· ἐδίδασκε γὰρ ὁ σωτήρ μετὰ τῶν ἄλλων σωτηρίων μαθημάτων καὶ τὸ μὴ προτιμᾷν πατέρα ἢ μητέρα ἢ γυναῖκα, τῆς αὐτοῦ ψυχωφελοῦς διδασκαλίας καὶ τῆς πρὸς αὐτὸν ἀπονεύσεως· ὅστις γάρ φησιν οὐκ ἐγκαταλείψει πατέρα ἢ μητέρα κ. τ. λ. οὐκ ἔστι μου ἄξιος, τουτέστιν, ὃς οὐ προτιμήσει τὴν ἐμὴν καὶ σώζουσαν παραίνεσιν καὶ νουθεσίαν καὶ τὴν εἰς ἐμὲ στοργὴν, οὗτος ἐξέπεσε μὲν τῶν ἀτελευτήτων ἀγαθῶν, ἐξέπεσε δὲ τῆς μακαριότητος ἧς οἱ προτιμήσαντες τῶν συγγενικῶν θεσμῶν τοὺς ἐμοὺς νόμους καὶ τὸν θεῖον ἔρωτα διὰ παντὸς ἀπολαύουσι. Ταύτης δὲ τῆς ἐντολῆς τὸ ῥᾷον καὶ εὐκατόρθωτον καθιστῶν ὁ σωτὴρ, αὐ-

σθαι, τοῖς ἐγγὺς εἰρημένοις καὶ τοῦτο συμπεριείληπται· ὁ γὰρ τὸ παγκόσμιον ναυάγιον πρὶν ἐπιστῆναι διαγνοὺς, καὶ σπέρμα τῷ ἀνθρωπίνῳ γένει διασώσασθαι παρὰ Θεοῦ χάριν εἰληφὼς, οὗτος οὐδὲ τὴν τῶν καθαρῶν καὶ ἀκαθάρτων διάγνωσιν ἄνωθεν λαβεῖν, καὶ τῶν ὀνομάτων ἡ χρῆσις οὐκ ἐπεχωρίαζεν, οὔμενουν οὐδαμῶς ὑστερίζων ἦν.

Κ. Διὰ τί τῆς αἱρέσεως ἀφιστάμενος ὁ ἄνθρωπος τὸν βίον οὐκ ἔχων ἐπίμωμον πρὸς ἱερωσύνην ἀνέρχεται· ὁ δὲ κηλίδων σωματικῶν γεγονὼς ὑπεύθυνος, κἂν τῶν ἀθεμίτων ἀποστῇ πράξεων, πρὸς τὸ τῆς ἱερωσύνης τέλος οὐκ ἀνάγεται;

Τὸ δ' εἰς ἀπορίαν προαγόμενον πρόβλημα, τί δήποτε τῶν πλημμελημάτων τὸ χαλεπώτατον λιπὼν τὴν αἵρεσιν ἄνθρωπος εἰς ἱερωσύνην, μὴ τῶν ἄλλων ἔργων μαχομένων, παραγγέλλειν δύναται· ὁ δ' ὀρθόδοξον φέρων τὸ φρόνημα, ἐμφύλῳ τὴν χεῖρα μιάνας αἵματι, ἢ τάφους ἀνορύξας, ἢ κατενεχθεὶς μέχρι σώματος εἰς κατενοχλοῦσαν ἡδονὴν, ἢ ἄλλης τινὸς οὐκ εὐαγοῦς πράξεως ἔνοχος γεγονὼς, οὐκέτι οὐδὲ πρὸς μετάνοιαν ἐπιστρεφόμενος, οὐδὲ διδοὺς πληροφορίαν μὴ διστάζουσαν τοῖς ἀδεκάστως κρίνουσι, τῶν μολυσμάτων κεκαθάρται· ἀλλὰ γὰρ οὐδεὶς τῶν τοιούτων, μηδὲ τῶν ἄλλων ἀρετῶν ἐπιμαρτυρούντων, οὔμενουν οὐ νομίζεται τῆς ἱερωσύνης ἐπάξιος.

Τὸ μὲν οὖν ζήτημα παλαιόν τε καὶ τὴν τοιαύτην προαγωγὴν οἰκειούμενον· εἰ δέ τινες ὀρθῶς ἐπελύσαντο, ἡδέως ἂν αὐτῶν μαθητὴς γενοίμην· διδάξαιμι δ' ἂν ἴσως εἰ καὶ μὴ ἄλλους, σὲ δὲ πάντως· ὡς ὅσοι μὲν δυσσεβεῖν εἴχοντο γνώμης προῆλθον οὐχ αἱρουμένης τὸ φαῦλον ἀλλ' ἐπιζητούσης τὸ ἄμεινον, ἀποσφαλέντες δὲ τοῦ ἱεροῦ τῶν κρειττόνων ἔρωτος, πρὸς τὸ χεῖρον ὃ μὴ προέθεντο ἀπηνέχθησαν· ἡ μὲν ἀπ' ἀρχῆς ὁρμὴ τούτοις ἤνθει τὸ ἀγαθόν· ἡ δ' ἀποτυχία δύναιτ' ἂν καταφεύγειν εἰς τὸ τῆς φύσεως ἀπομαραινόμενον καὶ ἀσθενές· καὶ οὗτοι μὲν τῶν χειρόνων μεταναστάντες, εὐμενῶς αὐτοῖς ὁρῶσιν τὴν συγγνώμην ἐπιβλέπουσαν· οἱ δὲ φαῦλον μὲν εἰδότες ἀπ' ἀρχῆς τὸ πραττόμενον, πρὸ ἐκεῖνο δὲ τὸν νοῦν ἀπερείδοντες, πολλὴν κατ' αὐτῶν παρέχονται τοῖς πρὸς εὐσέβειαν μεταβαλλομένοις τὴν ὑπεροχήν· οἱ μὲν γὰρ ὁρμῆς ἀντείχοντο τῆς ἀγαθῆς, εἰς τοὐναντίον δὲ μὴ τοῦτο προθέμενοι παρεσύρησαν· τοῖς δὲ τῶν τε φαύλων ἦν ἡ κατ' ἀρχὰς αἵρεσις, καὶ κατὰ σκοπὸν συνέβαινεν ἡ ἀπώλεια· καὶ τοῖς μὲν οὕτως ἐδόκει τὸ δοξαζόμενον βέλτιστον, ὡς ἐπιγαυριᾷν τε τῇ δόξῃ καὶ θάνατον ἐστὶν ὅτε προαιρεῖσθαι τῶν δεδοξασμένων τῆς ἐξομόσεως· τοῖς δὲ τὸ κακὸν ἐπὶ τοσοῦτον ἐγνωρίζετο, ὡς καὶ μηδενὸς ἔξωθεν συνειδότος, καθ' ἑαυτοὺς ἐπερυθριᾷν τῇ πράξει, καὶ εὐχῆς ἔργον εἶναι νομίζειν λαθεῖν ἅπαντας. Ἐξ

ὧν οὖν ἀπ' ἀρχῆς ἀγαθὸς ἦν ὁ σκοπὸς, πρὸς γὰρ τὸ ἄριστον ἔβλεπον, καὶ ἡ μεταβολὴ προϊοῦσα δι' ἐπιγνώσεως ἐπιστεῤῥᾶς κρηπῖδος ἐβάλλετο, τῆς ἀληθοῦς αὐτὴν πηγνυμένης διακρίσεως, ἀσάλευτον οὗτοι κατὰ τὸ πλεῖστον τηροῦσι τῆς ἐπὶ τὴν εὐσέβειαν μεταβολῆς τὸ κραταίωμα· τοῖς δὲ φαύλη τε ἦν ἐξ αὐτῆς κινήσεως ἡ ὁρμή· οὐ γὰρ ἠγνόουν ἀτόπων ἀπτόμενοι, καὶ τῆς μεταθέσεως γεγενημένης μὲν, οὐκ ἐχούσης δὲ τῷ ἀμεταθέτῳ στηρίζεσθαι· οὐδὲν γὰρ οὗτοι τῶν προεγνωσμένων πλέον προσειλήφεσαν, ἐν οἷς ἂν ἑδρασθεῖν σταθερώτερον, ἀλλ' ἐπισκιρτώσης τῷ αὐτοδεσπότῳ τῆς γνώμης ἐφ' ἑκάτερα ἄδηλον τε τὴν κρίσιν παρεχομένης ἐφ' ὃ ῥέψειεν, εἰκότως οὐκ ἔστιν αὐτοῖς πίστιν ῥᾶον παρασχεῖν, ὡς οὐ μηκέτι εἴησαν εἰς τὴν προτέραν ἐπανιόντες φαυλότητα. Πρόσθες εἰ βούλει καὶ διότι τοῖς μὲν καὶ ἡ προτέρα δόξα καὶ ἡ μεταγενεστέρα κατὰ τὸν ἴσον τρόπον, ἵνα μὴ λέγω καὶ πολλάκις προέχουσα, παῤῥησιάζεται· ἀλλ' οὖν οὐκ ἔστιν ἡ δευτέρα τῆς προτέρας πρὸς τὴν τῶν πολλῶν ἐπίγνωσιν δευτερεύουσα· τοῖς δὲ τὸ μὲν ἁμάρτημα θριαμβεύεται· φίλον γὰρ ἀνθρώποις διακωδωνίζειν τὰ ἀλλότρια· ἡ δὲ μεταμέλεια ἐν ἡσυχίᾳ τε καὶ καταμόνας πραττομένη οὐχ ὅτι μόνον τῷ λανθάνοντι ἐκφεύγει τοὺς πολλοὺς, ἀλλ' ὅτι καὶ τὸν φθόνον ἔχει πικρὸν ἐξεταστὴν, οὐχ ὅτι περιφανῆ καὶ κατάδηλον τῆς καθάρσεως· δεῖ δὲ μηδὲ τῶν μικρῶν μηδένα σκανδαλίζειν· οὐμενουν οὐ παρέχεται παραπλησίαν πᾶσιν ὥσπερ δὴ τοῦ ἐλαττώμενος τὴν ἐπίγνωσιν.



ΚΒ. Τί δήποτε πρὶν διανοηθῆναι τὸν Ἰωσὴφ ἀπολῦσαι τὴν Μαριὰμ, μὴ ἐπέστη ὁ ἄγγελος αὐτὴν προαναστέλλων τὴν μελέτην, ἀλλ' ὅτε πρὸς τὴν πρᾶξιν ἀπὸ τῆς μελέτης κατέβη, τότε κωλύσων ἐφίσταται; καὶ διὰ τί τὴν παρθένον, γυναῖκα λέγει τοῦ Ἰωσήφ;

Περὶ τοῦ προκειμένου ζητήματος καὶ τῶν μακαρίων ἡμῶν πατέρων οὐκ ὀλίγοι διέλαβον· καὶ οἶδα τινὰς αὐτῶν εἰπόντας, διὰ τοῦτο τηνικαῦτα τὸν ἄγγελον ἐπιστῆναι καὶ τῆς ὁρμῆς τὸν δίκαιον ἐπισχεῖν, ἵνα μὴ δεηθῇ πίστεως ἑτέρας κύειν ἀπαγγέλλων τὴν παρθένον, ἀλλ' ἔχῃ τὸ κυοφορούμενον μάρτυρα τῆς κυοφορίας. Τάχα δ' ἂν καὶ ἕτεροι τοιαύτας τινὰς ἀπέδοσαν αἰτίας καθόσον εἷλκυσε τῆς ἄνωθεν σοφίας. Ἐμοὶ δὲ δοκεῖ τῶν λεγομένων τε καὶ πραττομένων τότε τὴν οἰκείαν ἰσχὺν ἕκαστον παρέχειν, ὅτε τὸν οἰκεῖον καιρὸν ἀναμένει· τὸ γὰρ ἄκαιρον περιθραύειν εἴωθεν ὡς τὰ πολλὰ τῆς ἐνεργείας τὴν δύναμιν· ὅτε οὖν εἰς ἀπορίαν λογισμῶν κατέστη ὁ Ἰωσὴφ, τότε τὴν ἔριν ὁ ἄγγελος ἐπέστη λύων τῶν λογισμῶν. Ὅτε δὲ διηπορεῖτο καὶ ταῖς τῶν διαβουλιῶν ἀντιπνοίαις ἐκυμαίνετο, δῆλον ἡ μελέτη τῆς πράξεως ποιεῖ· ἠβουλήθη γάρ φησι λάθρα ἀπολῦσαι αὐτήν· οὐκ

ἂν οὔτε λάθρα δηλονότι οὔτε ὅλως ἐκπέμψαι βουληθεὶς, εἰ νόθου γονῆς τὸν ὄγκον ἐπέπιστο τῆς γαστρός· ἀλλὰ τοὐναντίον δίκαιος ὢν καὶ ἐραστὴ ς καὶ παρανομίαν εἴτις ἄλλος μισῶν, νόμῳ ἂν καὶ τιμωρίᾳ τοῦ γάμου τὴν κλοπὴν, λύων τε πᾶσαν ὑπόνοιαν εἰς αὐτὸν ἀναφυομένην πονηρὰν, καὶ τοῦ δικαίου τὴν προστασίαν οὐ προδιδούς· ἀλλὰ τοῦτο μὲν οὔμενουν οὐδόλως ἐπέπειστο· πολλὰς γὰρ ἡ παρθένος τὰς πίστεις, αἳ τὴν τοιαύτην αὐτοῦ ὑπόληψιν ἀφῄρουν παρεῖχε, τὴν ἀκρίβειαν τοῦ βίου, τῆς ἀναστροφῆς τὴν σεμνότητα, τὸ καθαρὸν τῆς διαίτης, καὶ πρὸ τούτων τὸ ἐκ λαμπροῦ γένους προελθεῖν, βασιλικῆς γὰρ καὶ ἱερατικῆς κατήγετο φυλῆς, τὴν ἐν ἱερῷ τῆς πρώτης ἡλικίας ἀνιέρωσιν· ταῦτα καὶ τούτων πλείονα μακρὰν ὑπονοίας οὐχὶ τῆς ὁρώσης εἰς εὐθύνας, ἀλλ' οὐδὲ τῆς τὸ ἀπρεπὲς εὐλαβουμένης τὸν πρεσβύτην ἐποίει· οὐδὲ ἐκεῖνο δὲ πάλιν ᾔδει τὴν κύησιν τῆς θείας ἐνεργείας εἶναι· ὑπὲρ ἔννοιαν γὰρ ἀνθρωπίνην καὶ λόγον ἅπαντα τῆς περὶ ἡμᾶς θεοῦ κηδεμονίας τὸ ἔργον ὑπῆρχε. Διόπερ τοὺς λογισμοὺς ἐνοχλούμενος οὐκ εἶχε συνορᾷν ὅπερ ἂν διαπραξάμενος τήν τε τοῦ δικαίου μὴ καθυβρίσῃ κλῆσιν, καὶ θεῷ συνδιασώζων τὸ εὐάρεστον ὀφθείη.

Ὅτε τοίνυν ἐν τοῖς τοιούτοις διεκλονεῖτο, καὶ ἡ πρὸς θάτερον ῥοπὴ τῆς ἀνθρωπίνης κρίσεως αὐτὸν ἐπελελοίπει, τότε λίαν ἁρμοδίως καὶ κατὰ καιρὸν ὁ ἄγγελος ἧκε στηρίζων αὐτοῦ τὴν κεκινημένην διάνοιαν, ἐφ' οὗπερ ἔδει μένειν ἀκλόνητον καὶ φησίν· Ἰωσὴφ υἱὸς Δαβὶδ μὴ φοβηθῆς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ πνεύματός ἐστιν ἁγίου· τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· μηκέτι φησὶν τῆς ἀμηχανίας ἔσο μηδέ σε δόξαι μαχόμεναι διαπορεῖν ἀναπειθέτωσαν· τὸ πρακτέον ἐκ πνεύματός ἐστιν ἁγίου τὸ ἐν αὐτῇ γεννηθέν· ἁγίου δὲ πνεύματος παρουσία, καὶ θέλημα σαρκὸς, οὐχ οἷόν τε ἐστὶν, οὐδέ σε λέληθεν, εἰς ἓν συνελθεῖν, οὐδὲ τὴν αὐτὴν ἐξοικειοῦσθαι πρᾶξιν· παράδοξος ὁ λόγος, ἀλλὰ παραδοξοτέρου τόκου ἐστὶν εὐαγγέλιον· ἐκ πνεύματός ἐστιν ἁγίου, καὶ τέξεται υἱόν· ὅρα καὶ πρὸ τῆς γεννήσεως τὸν υἱόν· καὶ γεννηθέντος ἔστω σοι τεκμήριον τοῦ ἐκβεβηκότος ἡ πρόῤῥησις καὶ τῆς ἄλλης τῶν εὐαγγελίων ἀληθείας· ὁ γὰρ ἔτι τὸ κρυπτόμενον ἐν τοῖς θαλάμοις τῆς φύσεως καὶ εἰδὼς καὶ προανακηρύττων υἱὸν, οὗτος καὶ τεχνίτης γέγονε τῆς ἄνευ σπορᾶς ὑπὲρ λόγον δημιουργηθείσης σαρκὸς, καὶ τῆς παρθενίας φύλαξ, ὥσπερ μετὰ τὸν τόκον, οὕτω καὶ πρὸ τοῦ τόκου μὴ διαλύων τὰ σήμαντρα· καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· ἀλλὰ καὶ ἡ κλῆσις ἄνωθεν ἔχει τὴν κρίσιν· Ἰησοῦς γὰρ ὅτι σώσει τὸν λαὸν αὐτοῦ. Μὴ φοβηθῆς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου· ταῦτα γὰρ οὐ πάντα μόνον ἀφαιρεῖται φόβον, ἀλλὰ καὶ μεγάλης θυμηδίας καὶ ἐλπίδων ἀνελπίστων χαρίζεται πλοῦτον· μὴ φοβηθῆς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Γυναῖκα σὴν τὴν παρθένον ἀκούων

ἔχεις ἐκ τῆς φωνῆς τὴν πρὸς πᾶσαν ἀνδρὸς ὁμιλίαν καθαρότητα. Εἰ γὰρ ᾧ συνήφθη νόμῳ τὸ τῆς παρθενίας, ἀνέπαφόν τε καὶ ἀκήρατον συνδιέσωσε, πῶς ἂν ἑτέρου τινὸς ἔρωτα παραδέξασθαι; κἂν γοῦν σκιάν τινα καταλίπῃ ὑπολήψεως, σοῦ γυνὴ νόμῳ γεγενημένη μνηστείας κρείττω καὶ ὑψηλοτέραν ἑαυτὴν καὶ τῶν νομίμων διετήρησεν, ἑτέρῳ παρανομεῖν πῶς ἂν ὑπέστη χῶραν παρασχεῖν; καὶ τῆς ἐκείνου χάριτος ὕβριν ἀλλάξασθαι, ἢ μηδὲ χωρὶς ὕβρεως ἀνασχομένη τῆς παρθενίας ἐξίστασθαι; Ἔχεις οὖν παρὰ σεαυτῷ τῆς καθαρότητος τὴν μαρτυρίαν ἀπαράγραπτον· διὸ μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκα σου· οἷς γὰρ πρός σε τὸ τῆς παρθενίας ἀμόλυντον διεσώσατο, τούτοις καὶ τοὺς ἀναντιῤῥήτους πορίζεσθαι· γυνή σου φησὶν ὅρα καὶ παρ' ἐμοῦ λέγεται, καὶ πεῖραν αὐτῆς οὐκ ἔχεις· εἰ δ' ἐφ' οὗ τὸ τῆς γυναικὸς ἥρμοσεν ὄνομα, τοῦτον ἡ παρθένος ἔδειξε καθαρεύοντα τῆς πρὸς αὐτὸν ὁμιλίας, πῶς οὐκ εὔδηλον ὅτι καὶ παντὸς ἄλλου, οὗ μήτε ἀνθρώπινος μήτε θεῖος λόγος ὀνομάζων ὤφθη γυναῖκα;

Οὕτω μὲν οὖν ὁ ἄγγελος διὰ τῆς προσηγορίας τῆς γυναικὸς καθαρεύειν πάσης οὐκ εὐαγοῦς ὑπολήψεως τὸν Ἰωσὴφ ἐκδιδάσκει. Ὀνομάζοι δ' ἂν ἴσως αὐτὴν γυναῖκα, καὶ διότι περὶ γυναικὸς ὅσαι φροντίδες ἔχουσιν ἄνδρα, οὐδεμιᾶς ταύτην ὁ δίκαιος ἀπεστέρει. Τά τε γὰρ ἄλλα προνοούμενος αὐτῆς οὐκ ἠμέλει, καὶ οἴκοι συνοῦσαν περιεῖπε, καὶ μώμου παντὸς καὶ διαβολῆς ἁπάσης οἷα δὴ κόσμιος ἀνὴρ γυναικὸς σωφρονούσης ἀνωτέραν ἐσπούδαζε καθορᾶσθαι. Εἰ δὲ καὶ γυναῖκα προσεῖπε, διότι μνηστῆρος τάξιν ὁ Ἰωσὴφ εἶχεν, ὥσπερ δὲ καὶ τοὺς μνηστῆρας τὸ ἔθος, κἂν οὔπω συνῆλθον εἰς εὐνὴν, οὐ κωλύει προσαγορεύειν ἄνδρας, οὕτω δὴ καὶ ὅσαι τὴν παρθενίαν ἔτι διασώζουσι, γυναῖκας αὐτῶν δίδωσι καλεῖσθαι, οὐδὲν ἐμοὶ διαφέρεσθαι προσήκει· καὶ γὰρ καὶ Ἰακὼβ ὁ πατριάρχης, ἧς οὔπω καταστὰς ἦν εἰς πεῖραν ὁμιλίας, τὴν Ῥαχὴλ λέγω, γυναῖκα αὐτοῦ περιφανῶς ὀνομάζει. Φησὶ πρὸς Λάβαν, ἤδη τὸν τῆς δουλείας ὅρον ἐκπεπληρωκὼς, ἀπόδος τὴν γυναῖκα μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν. Οὕτως ἐστὶ παλαιὸν ἔθος γυναῖκας καὶ τὰς μεμνηστευμένας ὀνομάζειν. Ὥστε κἀντεῦθεν ἐστὶ λαβεῖν ὡς μηδὲν ἡ τῆς γυναικὸς προσηγορία παραλυπεῖν ἐθέλει τὴν παρθενίαν. Ὅτι δὲ πρὸς τὴν παρθένον τὸ τῆς γυναικὸς οὐ μάχεται ὄνομα, ἥτε συνήθης τοῦ γένους διαίρεσις εἰς ἄνδρα καὶ γυναῖκα τέμνουσα τὴν φύσιν, ποιεῖ φανερόν· Τῷ γὰρ τῆς γυναικὸς ῥήματι οὐχ ὅσαι μόνον ἔλαβον γνῶσιν ἀνδρὸς, οὐδ' ὅσαις γέγονεν ἐν τῷ τῆς παρθενίας ἀπαραλλάκτῳ τὴν τῶν νεανίδων ἡλικίαν ὑπαλλάττειν, ἀλλὰ καὶ τὸ πρὸ τῆς ἀκμῆς θῆλυ μέχρι τοῦ νεογενοῦς περιλαμβάνεται· ὥσπερ δηλονότι τῆς προσηγορίας μετέχουσι τοῦ ἀνδρὸς ὅσοι τε παῖδας ἔφυσαν καὶ ὅσοι τῶν ἠϊθέων τὴν τάξιν ἐπέχουσιν, ἀλλὰ καὶ ὅσοι τῆς

ἡλικίας ταύτης μέχρι βρέφους ὑποβεβήκασιν. Οὕτω μὲν οὖν καὶ ἀπὸ τῆς εἰθισμένης χρήσεως ἐστὶν λαβεῖν ὡς ἡ τῆς γυναικὸς οὐκ ἀφαιρεῖται φωνὴ τῆς παρθενίας τὸ δίκαιον· γυναῖκα γὰρ οὐχ ἅπαξ ἀλλὰ καὶ πολλάκις τὴν Εὔαν ὀνομάζει τοῦ Ἀδὰμ ἔτι τοῖς παρθενικοῖς ἐμπρέπουσαν ὡραΐσμασιν, καὶ τοῖς ἀκηράτοις ἄνθεσι τοῦ παραδείσου ἐνεαρίζουσαν, καὶ πόῤῥω τῆς παραβάσεως καὶ τῆς δεσποτικῆς καθισταμένην ἐντολῆς καὶ τῆς γυμνώσεως καὶ τῆς τοῦ θηρίου συμβουλῆς ὑψηλότερον τὸ πολίτευμα φέρουσαν· ὅτε καὶ αὐτοὺς οὐκ ἔστι σοι ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων ἐναργείας λογίσασθαι, ἀνενοχλήτους ἔφερε τοὺς λογισμοὺς σωματικῆς ἡδονῆς, ἡ πολλάκις ἐξονομασθεῖσα γυνὴ τοῦ Ἀδὰμ, κρείττονος ἀξιουμένη κλήσεως ἢ σαρκικῶν ἐραθισμάτων ἐνταλαιπωρεῖσθαι μάχαις.

ΚΓ. *Τί σημαίνει τὸ, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν.*

Οἶδα μὲν οὖν ὡς τινὲς τὸν εἴρωνα λόγον διὰ τῶν προκειμένων ῥημάτων φασὶ προενηνέχθαι, καὶ ὀνειδείζειν τὸν Ἀδὰμ ἐφ' οἷς ὑπέρογκα φαντασθεὶς καὶ ἃ φιλανθρωπίᾳ τοῦ πλάσαντος χερσὶ κατεῖχεν, ἐξ ἰδίας ἀβουλίας ἀπώλεσεν· οἱ δὲ γείτονα προκομίζοντες λόγον, ἕτερόν τι νομίζουσι λέγειν. Διασύρεσθαι γάρ φασι καὶ διαχλευάζεσθαι τοῖς παροῦσι λόγοις τὴν τοῦ Ἀδὰμ περιπέτειαν. Καὶ ἄλλοις ἔδοξεν ἐπεγγελᾶσθαι τὴν πρᾶξιν, δι' ἣν ὑψηλότερον τῆς αὐτοῦ φύσεως τοῖς λογισμοῖς ὁ ἄνθρωπος ἀναδραμὼν, καὶ ἧς ἠξιώθη τάξεως παρὰ τοῦ πλάσαντος ἐφεστᾶναι, κατηνέχθη. Παραπλήσια ταῦτα καὶ ἀπὸ τῆς αὐτῆς ἐπιβολῆς τὴν πρόοδον λαβόντα, εἰ καὶ πρὸς διαφόρους δοκοῦσι παραφυάδας ἀποσχίζεσθαι, ἐγὼ δὲ ταῦτα μὲν οὐκ ἂν οἰηθείην σοφὸν ἀποδοκιμάζειν, ἀκολουθότερον δ' ἂν φαίην κατανοεῖν ἑτέρας εἶναι διανοίας παραστατικὸν τὸ ἱερὸν ἐκεῖνο χωρίον· ποίας ταύτης; ἐπειδήπερ ὁ Ἀδὰμ ἀντὶ τοῦ νομοθετεῖσθαι, νομοθέτου ἀξίωμα ἥρπασεν· ἀντὶ τοῦ κηδεμονίας καὶ παιδαγωγίας τῆς ἄνωθεν ἀπολαύειν, τῇ ἰδίᾳ γνώμῃ καὶ προνοίᾳ τὰς τοῦ βίου πράξεις κατεπίστευσε, καὶ τὴν ῥώμμην ἔχειν ἐνόμισεν ἄνευ θείας ἐπιροπῆς καὶ τῆς τοῦ κρείττονος ἐπινεύσεως, ἐξαρκεῖν αὐτῷ διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος· οὐ γὰρ ἂν μὴ ταῦτα διαθέμενος καὶ κυρώσας παρ' ἑαυτῷ, οὐμενοῦν οὐκ ἂν ὑψῶσαι δόξαν ἑαυτὸν ὑπέδραμεν εἰς τὸ μέγεθος τῆς πρώτης ἀρχῆς, ᾗ κρίνειν τε καὶ διακρίνειν τοῦ πονηροῦ τὸ καλὸν, σοφία ἔμφυτος καὶ ἀπερινόητος ἐξ ἀϊδίου περίεστιν, ἀλλ' οὐδ' ἂν προτάττειν ὁρμὴν ἐτόλμησεν τὴν αὐτοῦ τῆς ἁπάντων δεσποζούσης τε, καὶ πάσας χάριτας διαγνώσεως πηγαζούσης καὶ διακρίσεως· οὐδ' ἂν τὴν θείαν ἐντολὴν παρ' οὐδὲν θέμενος, ὅλην αὐτοῦ τῇ γνώ-

μὴ τῶν πρακτέων διοίκησιν ἐνεχείρισεν· ἐπεὶ οὖν, φησὶν ὁ Θεὸς, τοῖς ἔργοις παρέσχε τὸν ἔλεγχον, ἑαυτῷ καταπιστεύσας τοῦ βίου τὴν πρόνοιαν καὶ οὐκέτι τοῖς ἡμετέροις ὑποκύπτειν ἐθέλει προστάγμασιν, ἀλλὰ τό γε δοθὲν αὐτῷ αὐτεξούσιον πρὸς τὴν τοῦ δεδωκότος ὕβριν ἀπεχρήσατο, καὶ ἐνόμισεν ἑαυτὸν εἶναι ὡς ἕνα ἐξ ἡμῶν, νομοθέτην οὐ νομοθετούμενον, προνοητὴν οὐ προνοίας δεόμενον, δεσπότην οὐ δεσποζόμενον, ἄμεινόν ἐστιν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, διὰ δύο μάλιστα ταῦτα· ἓν μὲν ἵνα μὴ τρυφῆς εἰς ἄκαιρόν τε καὶ ἀπαιδαγώγητον ἀπόλαυσιν καταστὰς, χείροσι καταλισθήσῃ παραπτώμασι, καὶ δεύτερον ἵνα τοῖς τῆς ὑπερορίας κόλποις ἐνταλαιπωρούμενος, ἀπ᾽ αὐτῶν τῶν ἔργων καὶ τῆς τῶν παθῶν πείρας μάθοι τῆς τε οἰκείας τὸ μέτρον δύναμεως, καὶ ὡς πολὺ αὐτῷ λυσιτελέστερον ἦν, τῆς ἡμῶν προνοίας ἐξάπτειν τὰ τῆς διανοίας καὶ τῆς πολιτείας κινήματα, ὅσον τε καθέστηκεν ἐνδεὴς τοῦ γινώσκειν ἀφ᾽ ἑαυτοῦ τε τὸ καλὸν καὶ τὸ πονηρόν.

Ταύτης δὲ τῆς διανοίας οἶμαι καὶ Σύμμαχον ἐγγὺς γεγονότα τὴν περιοχὴν τοῦ ῥητοῦ ἐκδεδωκέναι· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν ἀφ᾽ ἑαυτοῦ καλὸν καὶ πονηρόν. Αἱ δὲ ἔμπροσθεν εἰρημέναι τοῦ ῥητοῦ διηγήσεις ἐδίδασκον ἂν ἡμᾶς μὴ πρὸς ἕτερόν τι βλέπειν εἴγε σύνηθες ἡμῖν ἐνῆν ὁρᾶν τοῖς ἱεροῖς ἡμῶν λογίοις ἐν τῷ διασύροντί τε καὶ εἰρωνικῷ καὶ διαγελῶντι τρόπῳ τὰ ἀντικείμενα τοῖς προτεινομένοις παραδηλούμενά τε καὶ αἰνιγματιζόμενα καὶ . . . . ον διὰ γράμματος ἰσχύει. Οὐδὲν γὰρ ἐν πλάτει κωλύει λόγων παρεμπίπτειν κατὰ τὸ σπάνιον καὶ τὸ ἄηθες. Ἀλλὰ πῶς οὐκ ἐκλύσειε τοῦ διασύρειν καὶ εἰρωνεύεσθαι καὶ ἐπιγελᾶν τὸν τόνον ἡ κατὰ παραβολὴν γεγενημένη καὶ ὁμοίωσιν λέξις; τοὐναντίον γὰρ εἴπερ εἶχεν ἀκολουθίαν τὰ εἰρημένα, ἅπαν ἔδει παραφυλάττεσθαι ῥῆμα τὸ ἀπότομον καὶ πικρὸν διαπραῦνον τῶν ὀνειδισμῶν· ἡ δὲ, ὡς εἷς ἐξ ἡμῶν, τὸ δριμὺ τῆς εἰρωνείας ὑποτέμνεται καὶ τὴν τραχύτητα καταλεαίνει τοῦ προπηλακισμοῦ. Οὐ γὰρ ἴσον εἰπεῖν εἰς ἐπίπληξιν, οὐδὲ πολλοῦ δεῖ· ἰδοὺ γέγονεν Ἀδὰμ εἷς ἐξ ἡμῶν, καὶ ὡς εἷς ἐξ ἡμῶν· τὸ μὲν ἄκρατον καὶ σφοδρὸν ἐπάγει καὶ καίριον τὸν χλευασμόν· τὸ δὲ διὰ τῆς παραβολῆς καὶ ὁμοιώσεως κεκραμένην πως καὶ μετριάζουσαν τὴν ἐπιτίμησιν ποιεῖ, καὶ τίνα λόγον ὑφέξει χλευάζειν τε ἅμα καὶ τὴν χλεύην ὑφαιρεῖσθαι, ἐξὸν ἀπ᾽ ἀρχῆς τὸν τρόπον μηδόλως ὑπελθεῖν τῆς χλεύης.

Ἐπὶ δὲ τούτοις κἀκεῖνο συλλογίζου· εἰ διασύροντος, εἰ διαγελῶντος, εἰ εἰρωνείας προβάλλοντος ὁ λόγος ἦν ὁ λέγων ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τίνα πρὸς αὐτὴν συνάφειαν ἢ ἀκολουθίαν ἕξει τὸ ἐπαγόμενον, οὐκ ἂν ἐθελήσῃ γνῶσιν παρασχεῖν· ὅμοιον γὰρ ὡσεὶ ἔλεγεν. Ἐπειδὴ τῶν ἐλπίδων καταπεσὼν ὁ Ἀδὰμ, αἷς ὀχούμενος τὰς ὀφρῦς ἀνέ-

σπα, ὁρμῆς μὲν καὶ ἄκων τῆς ἀλόγου καθυφῆκε· τὸ γαυρίαμα δὲ κατήφεια διεδέξατο· καὶ αἰσχύνη τῆς γυμνώσεως αὐτὸν περιετείχισεν· εἶτα τὸ ἐπαγόμενον· διὰ τοῦτο προσῆκεν αὐτὸν ἐκβληθῆναι τοῦ παραδείσου, ἵνα μὴ τὸ περιγεγονὸς αὐτῷ θράσος καὶ τὸ ὑπέρογκον τοῦ φρονήματος θρασυτέραν τὴν χεῖρα ἀπεργασάμενα εἰς τὴν ἁρπαγὴν ἐκείνων συνελάσῃ, ὧν οὐδ' ἅπτεσθαι πρότερον οὐδεμίαν τόλμαν ἐπεδείκνυτο. Ἆρα γὰρ ἔχει τινὰ ταῦτα λόγον ἀκολουθίας, ἢ συνδιασώζει καθαρεύουσαν μάχης διάνοιαν; Καὶ μὴν οὐδὲν μᾶλλον ἕτερον τὸ ἐπαγόμενον ἢ τὸ εἰρημένον δηλοῖ· λέγει Γάρ· καὶ νῦν, μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. Πῶς γὰρ οὐκ ἐπίδηλον, εἰ ἐφ' οἷς τῆς προσδοκίας διέπεσεν ἐχλευάζετο, ὡς τούτοις ἐδείκνυτο, πᾶσαν τε δύναμιν εἰς τὸ ἀσθενὲς μεταβεβλημένος, καὶ τῆς ἐφ' οἷς ἐσοβαρεύετο παῤῥησίας ὑποστὰς ἀφαίρεσιν, καὶ οὐ περιτειχίζεσθαι συνεχόμενον οἴκοθεν, προσῆκον ἦν ὧν ἀπετειχίζετο πρότερον, ὡς αὐτῆς τῆς τοῦ βουλήματος διαμαρτίας καὶ τὸ περιθραυσθῆναι τὸ γενναῖον τοῦ φρονήματος ἱκανῶν ὄντων, δευτέρας αὐτὸν ἀπάγειν θρασύτητος; ἐμφανὲς δὲ καὶ ὡς ἡμῶν χλεύη κατὰ κατάπτωσιν αὐτοῦ τῶν νεανικῶν λογισμῶν καὶ ἀσθένειαν στηλιτεύει περιφανῶς. Τὸ δὲ κωλύειν αὐτὸν τοῦ ξύλου τῆς ζωῆς μετασχεῖν τὸ ἁ . . . . . . μετὰ τὴν παράβασιν καὶ ἀνδρίζεσθαι ποιεῖν ἃ μὴ πρότερον ἠδύνατο, μαρτυρεῖ. Οὐδεὶς γὰρ ἀπείργει τὸν οἴκοθεν ἀπειργόμενον. Ἀλλ' ἐκ πολλῶν μὲν ὀλίγα ταῦτα.

Εἴρηται μέν τοι γε τισὶ τῶν χαριεστέρων τὸ, ἰδοὺ Ἀδὰμ γέγονεν, ὡς εἷς ἐξ ἡμῶν, οὐ πρὸς τὴν τῆς τριάδος ὑπεροχὴν τὴν ἀναφορὰν ἔχειν, ἀλλ' εἰς τὸ πλῆθος ἀφορᾷν τῶν λειτουργικῶν καὶ ἀσωμάτων δυνάμεων. Ἐγὼ δὲ τοῦτον τὸν λόγον μετὰ τοῦ ἐνέχεσθαι ταῖς προειρημέναις αἰτίαις, οὐδ' ὁρῶ τίνα χῶραν ὅλως ἔχει παρεντεθῆναι ἐνταῦθα. Οὔτε γὰρ τὴν συμβουλὴν τοῦ ὄφεως διασύρει, οὐδ' ἀγγέλων φύσιν ὑπελθεῖν ἐρωτά ποθεν λαβεῖν ὁ Ἀδὰμ ἐφωράθη. Οὐδ' ἦν πολὺ πόῤῥω δόξης τῆς ἀγγελικῆς διεστὼς, κατὰ τὸν παράδεισον τὰς διατριβὰς ἔχων, καὶ τῆς ἀθανασίας ἐπί γε τῇ προνοίᾳ τοῦ πλάσαντος ἀπολαύων· διὰ ταῦτα τοίνυν οὐ ῥᾴων εἰμὶ τῇ τοιαύτῃ τοῦ ῥητοῦ συνεπινεύειν ἑρμηνείᾳ· μάλιστα δὲ καὶ διότι περ τὸ ἀντὶ ὀνόματος παραληφθὲν τοῦ λόγου μέρος εἰς τοιοῦτον σχηματίζεται τύπον. Τάχα δ' ἂν καὶ ἑτέροις τεθεώρηται τῶν εἰρημένων θειότερά τε καὶ τελειότερα. Ἐμὲ δὲ μήτε μνήμην ἔχειν τούτων ἡ τῶν πολλῶν καὶ ἀλλεπαλλήλων πειρασμῶν πληγὴ παραχωροῦσα, μηδ' εἰς ἔρευναν καθίστασθαι μηδεμίαν ἄδειαν παρεχομένη, εἰς τοῦτο γὰρ ἡμᾶς ὁ τῶν ἀνθρώπων φθόνος συνέκλεισεν, ἃ παρῆν εἰπεῖν ἐξ ὧν συνεῖδον κατὰ τὴν σὴν φιλομαθεστάτην ἀξίωσιν οὐκ ἐπέσχεν οὐδεμία· καίπερ . . . . . . σι-

γῆς πρόφασις· ἀλλὰ κατὰ μὲν ἐπιβολὴν κεφαλαιώδη καὶ σύντομον καὶ καιρὸν τοιοῦτον ἀρκέσοι τὰ εἰρημένα. Εἰ δέ τι καὶ σὺ τούτοις προσθείης οὐκ ἔλαττον σαυτῷ ἢ καὶ ἡμῖν γε τοῖς διδασκάλοις τὴν χάριν ἀνταποδοίης· ἴσως δ' ἄν τινος ἀφορμῆς παρὰ σοῦ πορισθείσης, καὶ ἡμῖν ἂν γένοιτο τῆς μωσαϊκῆς θεοπτίας οὐ πόῤῥω τὴν σπουδὴν ἡμῶν διωθουμένης, μάλιστά γε καὶ τῶν συνεχόντων παθῶν εὐμενείᾳ τοῦ κρείττονος ἐλαττουμένων, σοφώτερόν τι περὶ τῶν προκειμένων διανοηθῆναι.

ΜΔ. Τὶ δηλοῖ τὸ εἰρημένον ἐν παντὶ καιρῷ ἔστωσαν τὰ ἱμάτιά σου λευκὰ, καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, καὶ τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ ἐν τῇ κεφαλῇ αὐτοῦ.

Τὸ λευχειμονεῖν οἷς ἡ κατὰ τὰ παλαιὰ νόμιμα πολιτεία περισπούδαστον εὐφροσύνης ἱερᾶς καὶ ἁγιοπρεποῦς καταστάσεως παρελαμβάνετο σύμβολον· καὶ δὴ καὶ τὸ τὴν κεφαλὴν ἐλαίῳ ἀλείφεσθαι τῆς αὐτῆς τεκμήριον ἐποιοῦντο διαθέσεως· διὸ καὶ ὁ κύριος ἡμῶν τῆς τῶν φαρισαίων ἀπάγων ἡμᾶς μιμήσεως ἔλεγε· σὺ δὲ νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν ἐλαίῳ· οἷον μηδὲν σκυθρωπὸν μηδὲ κατηφὲς τῷ τῆς νηστείας κατορθώματι συνδιαπλέξῃς· ἐπεὶ οὖν τὰ λευκὰ ἱμάτια τοῖς ἐν τῷ νόμῳ καὶ τὸ ἔλαιον ἐκόσμει μὲν τὸ σῶμα, ἐδήλου δὲ τὴν ἐν τῇ εὐφροσύνῃ κατάστασιν τῆς ζωῆς, οὕτως ἀπὸ τῶν ἐκτὸς παραδειγμάτων ὁ λόγος αὐτὴν παρακελεύεται φαιδρὰν ἔχειν καὶ ἐξωραϊσμένην τὴν ψυχήν· φαιδρύνοιτο δ' ἂν καὶ ὡραΐζοιτο καὶ τῶν ταύτης περιβολαίων λευκῶν ὑπαρχόντων· λευκὰ δ' ἂν γίγνοιντο ἐπειδὰν τὴν καθαρότητα καὶ λαμπρότητα τῶν ἀρετῶν ἄνευ τινὸς ἐπιμελαινούσης αὐτὰ κακίας ἀποστίλβοντα εἴη καὶ διαφανῆ· ὧν οὐκ ἔστι χωρὶς οὐδ' ἡ πρὸς τὸ θεῖον εὐσέβεια· αὐτὴ γάρ ἐστιν ἡ καὶ τὰς ἀρετὰς προβαλλομένη καὶ πηγάζουσα, καὶ τὸν ἐν ἐκείνοις χορὸν ἐναρμόνιόν τε καὶ σύμφωνον ἀποφαίνουσα, καὶ τὸν νυμφικὸν χιτῶνα καὶ τῆς ἐπουρανίου παστάδος ἐπάξιον ἐξυφαίνουσά τε καὶ περιβάλλεσθαι παρασκευάζουσα τὴν ψυχὴν καὶ τῆς σωτηρίας ὑπάρχουσα πρόξενος· οἷς καὶ τοῦ ἐλαίου χρίσις μάλιστά τε προκαταβάλλεταί τε καὶ προκαταρτίζεται· καὶ ὁ λόγος φησὶ· καὶ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου μὴ ὑστερησάτω· τὴν εἰς τοὺς πλησίον ἐλεημοσύνην καὶ τὸ τῆς γηγενοῦς ἐλαίου λιβάδος ὑπογραφόμενος· ἧς μηδέποτε ὑστερεῖσθαι ἡμῶν τὴν κεφαλὴν παρακελεύεται· οὐ γὰρ εἴ τις ποτὲ ἠλέησε, τὸν ἔλεον κατωρθώσατο· ἀλλ' εἴ τις πολλάκις τὸν δεόμενον ὑπερεῖδε, τὸ προλαβὸν τῆς ἀγαθουργίας κατήγορον ἀπειργάσατο, τῆς ἀρετῆς καὶ τῆς ἐλεημοσύνης ὑπερόπτην ἑαυτὸν οὐκ ἔχων ὕβριν διελέγχεσθαι· καὶ τὸ πραχθὲν οὐκ ἀρετῆς ἀλλά τινος διελέγχει περιστάσεως.

Καὶ ὅρα τὸ βαθὺ καὶ περινενοημένον τῆς λέξεως· μὴ ὑστερησάτω φησὶ τὸ ἔλαιον ἐπὶ τῆς κεφαλῆς σου· εἰ γὰρ καὶ πολλάκις ἠλείψατο, ἐν ᾧ φησι τοῦ λιπαίνεσθαι διέστη, ὑστέρημα τοῦτο τῆς ἔμπροσθεν καθίσταται πράξεως· καὶ ἄλλως δὲ τὸ τῆς λέξεως ἐμφαντικὸν θεωρήματος εὕρεσις γίνεται· ὡς ὁ τῷ ἐλαίῳ χρώμενος οὐ τοσαύτην τοῖς ἐλεουμένοις τὴν εὐεργεσίαν εἰσάγει, ὅσον ἑαυτῷ καταβάλλεται καὶ προξενεῖ τὸ κέρδος· διὰ τοῦτο τὸ περιορᾷν τὸν εἰς τοὺς ὁμοφυεῖς ἔλεον, ὑστέρησιν τῆς ἰδίας λιπάνσεως καὶ τῆς ὠφελείας ἀποκαλεῖ· καὶ οὐχ ἁπλῶς στέρησιν μέρους τινὸς τῶν τυχόντων ἐν τῷ σώματι, ἀλλὰ τοῦ κυριωτάτου καὶ συνεκτικωτάτου τῆς κεφαλῆς· ἀλλὰ γὰρ οἷον εἴρηται τοιοῦτόν ἐστι τὸ ὑστερεῖσθαι δι' ὧν ἡ κεφαλὴ ἐπαλείφεται· πολλοὶ γὰρ οὔτε τοῦ ἐλαίου τὴν κτῆσιν οὐδὲ τὴν χρῆσιν θαυμάζοντες τῆς ἀπ' αὐτοῦ δόξης καὶ ὀνομασίας τὸν ἔρωτα ὑποδύονται· καὶ οἱ μὲν διανέμουσί τινα τῶν προσόντων, καὶ ταῦτα οὐδὲ αὐτοῖς περισπούδαστα, τὴν τοῦ ἐλαίου παρωνυμίαν συνάγειν βουλόμενοι· οἱ δὲ ἵνα τοῖς πολλοῖς δόξωσι χρημάτων κρείττους, καὶ τῶν πολὺ σπουδαζομένων ὑπερόπται· οἱ δὲ δι' ἕτερόν τι τῶν μηδὲν εἰς τῆς ἀρετῆς ἀναφερομένων λόγον· ὧν κἂν δοκῇ διαρρέειν ὁ ἔλεος, ἀλλ' οὐκ ἀπὸ τῆς κεφαλῆς οὐδ' ἐπὶ τὴν κεφαλὴν ὁ τοιοῦτος φέρεται· οὐ γὰρ ἐν κρίσει διανοίας καὶ ὀρθότητι, ἀλλὰ σαλευομένῃ γνώμῃ καὶ θεραπείᾳ παθῶν· ὃ συμφερόντως ἂν καὶ σωτηριωδῶς μάλιστα τῷ κενοῦντι διαχεῖσθαι τε καὶ δαψιλεύεσθαι εὖ μάλα ἠδύνατο, ἐπιζημίως τε καὶ ἐπισφαλῶς ἀποκενοῦται, καὶ μηδὲ σταλαγμὸν ὠφελείας τοῖς κενοῦσιν ἀνταλλαττόμενον· ὁ δὲ ἐπὶ θεραπείᾳ μόνῃ τῶν πενήτων καὶ τῷ ἱλασμῷ τῆς ἰδίας ψυχῆς καὶ τῷ τῆς ἀρετῆς νέμων τὸν ἔλεον, οὗτος ὡς ἀληθῶς ἀπὸ κεφαλῆς τε τὸ δῶρον προχέει καὶ τῆς ὀρθῆς κρίσεως, καὶ τὴν ἑαυτοῦ κεφαλὴν οὐκ ἀποστερεῖ τῆς ἀναρρωννυούσης τὸ ἡγεμονικὸν καὶ ἱλαρυνούσης λιπάνσεως· δῆλον δ' ὅτι τῷ τῆς ἐλεημοσύνης κατορθώματι καὶ ἄλλαι συναναφύουσι καὶ συνεξανθοῦσιν ἀρεταί· τίς γὰρ ὡς ἀληθῶς ἀκαπήλευτον φέρων ἐν ἑαυτῷ τοῦ ἐλέους τὸ πολύτιμον χρῆμα βάσκανον ὀφθαλμῷ ἐπιβαλεῖ τῷ πλησίον, ἢ τύραννον ἐπαφήσει χεῖρα καὶ ταύτην ἣν οὔπω ἔληξε προτείνειν τὸν ἔλεον ἀναβλύζουσαν; τίς δὲ λῃστὴς ἀλλοτρίων ἔσεται γάμων τῷ ἐλαίῳ περιρρεόμενός τε καὶ τὴν γνώμην μαλασσόμενος; ἀλλά γε τόκους πῶς εἰσπράξεται τοὺς ὀφειλέτας οὗτος ὁ καταμερίζων τοῖς ἐνδεεστέροις καὶ ὅσα κλῆρος ὁ πατρῷος εἰς αὐτὸν διεβίβασεν; οὐκοῦν διὰ μιᾶς ἀρετῆς τῆς ἀναβλυζούσης τὸν ἔλεον καὶ τὰς ἄλλας ὡς συγγενεῖς καὶ συνακολούθους ὁ τὴν ἡγεμονίαν ἐκείνης προκαταλαβὼν εἰς φάλαγγας ἑαυτῷ καὶ συμμάχους διατάξει καὶ ἐξοικειώσεται.

Τοῦ δὲ κατωρθωκότος ἐν σπουδῇ καὶ σοφίᾳ τὸν ἔλεον, τούτου δ' ἂν εἶεν καὶ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς, τουτέστιν ἡ ἐποπτικὴ τε καὶ διακρίνουσα

τὸ χεῖρον ἀπὸ τοῦ κρείττονος ἕξις καὶ δύναμις· τοῖς γὰρ ἀποδιϊσταμένοις τῆς κατὰ τὸν ἔλεον πράξεως καὶ συμπαθείας, οἱ ὀφθαλμοὶ καὶ ἡ διάκρισις οὐκέτι ἐπὶ τῆς κεφαλῆς, οὐδ' ὥστε φαίνειν καὶ ὁδηγεῖν τὸν αὐτοῖς χρώμενον, ἀλλ' ἐπὶ τῆς ὀσφύος ἢ τῆς γαστρὸς, μᾶλλον δὲ τῶν ποδῶν γεγόνασιν ὑποπόδιον καταπατούμενοί τε καὶ ἀχρειούμενοι, καὶ τυφλὸν καὶ πλανώμενον ἐν βαθεῖ σκότῳ καταλιπόντες τὸν ἄνθρωπον· εἰ δὲ κεφαλὴ ἀνδρὸς ὁ Χριστὸς, παραινεῖ τὸ λόγιον ἡμᾶς ἀεὶ καὶ διὰ παντὸς ἀφορᾶν πρὸς αὐτὸν, καὶ ἐν αὐτῷ πᾶσαν ἡμῶν στηρίζειν καὶ ἀνατείνειν τὴν ἐποπτικήν τε καὶ θεωρητικὴν ἡμῶν ἐπιμέλειαν· προωρώμην γὰρ τὸν κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν ἵνα μὴ σαλευθῶ· ἀλλὰ γὰρ ὡς ὀφθαλμοὶ παιδίσκης φησὶν εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν· καὶ τὸ κέρδος οἷον καταλαμβάνουσιν ἡμᾶς οἱ φιλότιμοι καὶ πλούσιοι δωρεάν· καὶ μὴν καὶ διὰ παντὸς ὄντων τῶν ἡμετέρων ὀφθαλμῶν πρὸς τὸν κύριον, αἱ παγίδες ἃς ὁ ἐχθρὸς παρὰ τὰ διαβήματα ἡμῶν ἐκτείνει, ἀργαὶ καὶ ἄπρακτοι καὶ τοὺς πόδας ἡμῶν κατέχειν οὐδεμίαν ἰσχὺν ἔχουσαι· αὐτὸς γὰρ ὁ πλάστης καὶ προνοητὴς, καὶ δι' οὗ τὸ ὁρᾶν πεποίθαμεν τὲ καὶ πεπιστεύκαμεν, ἀμάχῳ ῥώμῃ τοὺς πόδας ἡμῶν ἐκ τῶν τοῦ ἐχθροῦ παγίδων ἀποσπάσει, καὶ λείαν καὶ ὁμαλὴν τὴν ὁδὸν ἡμῶν τῆς σωτηρίας ἀπεργάσεται. Τὸ μὲν οὖν ἔλαιον τῆς κεφαλῆς σου μὴ ὑστερησάτω, τίνα προσῆκε νοεῖσθαι τρόπον, διηγόρευται.

Εἰ δ' ἀντὶ τοῦ μὴ ὑστερησάτω, τὸ λόγιον οὐ μὴ ὑστερήσῃ τῷ γράμματι ἀπαγγέλλοιτο, εὑρίσκεται γὰρ καὶ τοιαύτη τῶν ῥημάτων ἡ προφορὰ, οὐδὲν κωλύει· καὶ οὕτω τὸ μὲν ἔστωσαν τὰ ἱμάτιά σου λευκὰ, ὡς καὶ προείρηται σύμβολον τῶν ἀρετῶν ἐκλαμβάνειν· τὸ δὲ μὴ ὑστερήσῃ ἐπὶ τῆς κεφαλῆς ἔλαιον, ὅτι τῶν κατορθωμάτων περιαυγαζόντων τὴν ψυχὴν, καὶ περιβαλλομένης αὐτῆς τὸν νοητὸν κόσμον καὶ τὴν ἐξ αὐτῶν λαμπρότητα, τὸ πολυτίμητον ἔλαιον καὶ μύρον ὃ τὴν τοῦ ἁγίου πνεύματος χάριν καὶ δωρεὰν ὑπογράφεται, οὐ μὴ ὑστερήσῃ καταρδεῦον καὶ καταμυρίζον σου τὸ ἡγεμονικὸν, καὶ πάσης ἱερᾶς καὶ μακαρίας ἀνεμπιμπλῶν θεωρίας τε καὶ τελειότητος. Εἰ δὲ καὶ κεφαλὴ τῆς ἐκκλησίας τουτέστι τῶν πιστῶν ὁ Χριστὸς λέγεται καὶ πιστεύεται, οἰκειοῦται δὲ πάλιν τρόπον ἕτερον τοὺς πένητας καὶ τὴν εἰς ἐκείνους ἐλεημοσύνην εἰς ἑαυτὸν ἀναδέχεται· ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Διὰ τῶν προκειμένων λόγων ὁ ἐκκλησιαστὴς παραινεῖ μὴ καταμελεῖν τοῦ ἀλείφειν ἡμῶν ἐλαίῳ τὴν κεφαλήν· ὅπέρ ἐστιν ἀέναον τὴν ἐλεημοσύνην τοῖς πενομένοις χορηγεῖν· διὰ γὰρ ἐκείνων εἰς τὴν ἡμῶν κεφαλὴν τὸν Χριστὸν τὸν ἔλεον ἀναφέρομεν· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

Οἶδα δέ τινας ἀξιόλογον ἐν πολλοῖς ὑπόληψιν παρεχομένους τὴν

ἀποκαθαίρουσαν ἡμῶν τοὺς ἀπὸ τῆς γενέσεως μολυσμοὺς καὶ τῆς ἐνύλου προσπαθείας τὸν ῥύπον· ταύτην δὲ τὴν καθάρσιον καὶ σωτήριον ἀναγέννησιν διὰ τῶν προκειμένων ῥημάτων ὑπὸ τοῦ Σολομῶντος δηλοῦσθαι· παραινεῖν γὰρ προορῶντα Χριστοῦ τὴν ἐπιδημίαν καὶ τὰς μυστικὰς δι' αὐτοῦ τελετὰς τὸν ἄνθρωπον τὴν καθαρὰν ταύτην καὶ διαυγῆ λαμπροφορίαν καὶ μέχρι ψυχῆς ἐμβαθυνομένην λευκότητα τῶν ἄλλων ἁπάντων προαιρεῖσθαι· ἐν ᾗ καὶ ἡ κεφαλὴ τῷ ἐλαίῳ ἐπαλείφεται τῷ τετελεσμένῳ μύρῳ διὰ τοῦ ἁγίου πνεύματος· καὶ ὧν αἰσθήσεων ἡ κεφαλὴ καθηγεῖται, ἐξ αὐτῆς τὸ ῥεῦμα τῶν ἀντιλήψεων χορηγοῦσα· καὶ τὸ μὲν μικροῦ σύμπαν τῶν λέξεων περὶ πόδα εἶναι τῇ προκειμένῃ θεωρίᾳ καὶ τῶν ἄλλων πασῶν ἀναπτύξεων ἐξοικειοῦσθαι τὴν ἑρμηνείαν, οὐδενὶ δισταγμὸν μὴ οὐχὶ καλῶς καὶ εἰς τὸ ἀκριβέστατον τεθεωρῆσθαι παρέχει· τὸ δὲ ἐν παντὶ καιρῷ περιβεβλῆσθαι τῶν ἱματίων τὰ λευκὰ, καὶ τὸ μὴ ὑστερεῖσθαι μηδέποτε τῆς διὰ τοῦ μύρου χρίσεως τὴν κεφαλὴν, οὐκ οἶδα πῶς ἂν ῥαδίως συμβιβασθείη ἅπαξ ἔχοντα καιρὸν ἐπιτελεῖσθαι· ἀλλὰ καὶ τὸ παραίνεσιν εἰσάγειν μηδενὶ τηνικαῦτα μήτε συνιέναι δυναμένῳ, μήτε μὴν εἰς ἔργον ἄγειν ἀνεχομένῳ, οὐκ οἶδα πῶς ἂν ἐκ τοῦ ῥάστου τὸ μάταιον ἀποσκευάσασθαι κατευοδωθείη. Τάχα δ' ἂν ἐν παντὶ καιρῷ φορεῖν λευκὰ νοηθείη ὁ μετὰ τὸ καθάρσιον βάπτισμα τῇ λαμπρότητι τῶν ἀρετῶν περιστέλλων ἑαυτὸν, καὶ τὸν τῆς ἁμαρτίας ζόφον παντελῶς ἀπελαύνων πλησιάζειν ἑαυτῷ· ὁ γὰρ τοιοῦτος ἐν παντὶ καιρῷ λαμπροφορεῖ· καὶ τὸ μῦρον δὲ ὁ τοιοῦτος ἐπὶ τῆς κεφαλῆς εἴη ἂν μὴ ὑστερούμενος, ἀεὶ φρονῶν τὰ τοῦ πνεύματος καὶ τῆς ἐκεῖθεν χάριτος καταρδόμενος τοῖς ῥείθροις. Εἰ δὲ καὶ τὸ προφητικὸν ὁ Σολομὼν εἶχε χάρισμα συμπληρούμενον, τὰ θεῖα καὶ τὰ ἀνθρώπινα διεξιὼν, τὸν λόγον προεῖπεν οὗ χρόνοις ὕστερον ἔμελλε τὸ ἔργον ἐκβαίνειν.

ΜΕ. Τὸ, τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου πῶς νοητέον· πολλοὶ γὰρ αὐτὸ προσκόμματος ἔθεντο πρόφασιν (1).

Οὐδὲν θαυμαστὸν ἂν ὁ τὴν γνώμην ἀστήρικτος προσκόπτῃ ἐφ' οἷς ἡ σωτηρία πολλοῖς διαλάμπει καὶ ὠφέλεια· ἀλλ' ἐκεῖνο θαυμαστὸν εἰ καὶ τοὺς ἑκουσίως τυφλώττοντας, τὸ φορητὸν φῶς ἀνέχεται περιαυγάζειν τὴν γνῶσιν καὶ χειραγωγεῖν, οὐκ ἐξουθενεῖ καθορᾷν τὴν ἀλήθειαν· ἐπεὶ καὶ ὁ κύριος καὶ σωτὴρ ἡμῶν τοῖς ἀπολλυμένοις πρόσκομμα γέγονε καὶ πέτρα σκανδάλου καὶ λίθος ἀποδεδοκιμασμένος εἰς κεφαλὴν γωνίας ὑποβεβλημένος,

(1) Quaestionem hanc edisserit, sed aliis plerumque verbis, Photius etiam in epistola 132. ed. Montacut.

οὐκ αὐτὸς ταῦτα γεγονὼς ἀλλὰ τοῖς πεπλανημένοις δόξας γεγονέναι· κἀνταῦθα τοίνυν οὐκ ἀποσκευαζόμενος τὴν μητέρα, ὡς τὸ ἄθεον φρόνημα βούλεται τῶν δυσσεβούντων, τὸ τίς ἐστιν εἶπεν ἡ μητήρ μου, οὐ δὲ παρὰ φαῦλον τὴν τεκοῦσαν τιθέμενος, ταύτην ὁ σωτὴρ ἀφῆκε τὴν φωνήν· πῶς γὰρ ὅς γε κατὰ τὸ ἀτελέστερον τῆς ἡλικίας νόμῳ φύσεως ἔτι γινωσκόμενος ὑπετάσσετό τε τῇ μητρὶ καὶ τὰ προνόμια πανταχοῦ τῇ τεκούσῃ συνδιέσωζε, πῶς οὗτος πρὸς τὴν τελειότητα τῆς ἡλικίας φθάσας ἀτελέστερον καὶ ἀγνωμονέστερον πρὸς τὴν μητέρα ἂν διετίθετο; οὔκουν οὐκ ἀποσκευαζομένου τὴν μητέρα τὰ ῥήματα, ἄπαγε, ἀλλ' ἑτέραν τινὰ διάνοιαν ἑρμηνευόντος· ποῦ γὰρ ἀκόλουθον, ποῦ δ' ἀστασίαστον, ἐξ ἧς διὰ φιλανθρωπίαν ἠξίωσε σαρκὶ προελθεῖν καὶ τῶν ἀχράντων αἱμάτων ὁ εὐδοκήσας ἑαυτῷ βροτείαν μορφὴν συμπήξασθαί τε καὶ περιέψεσθαι, ταύτην ἀπαξιῶσαι μητέρα συνομολογεῖν καὶ τῆς ἐν ῥήμασιν ἀποστερεῖν οἰκειότητος προϋποστὰς καὶ προκαταλαβὼν καὶ προδωρησάμενος τὴν ἐν τῷ πράγματι σχέσιν καὶ ἀλήθειαν· καὶ εἰ ἔμελλεν, ὢ τῆς γλωσσαλγίας, ἀπαρνήσασθαι ταύτην, τί καὶ τὴν ἀρχὴν ὅλως προσήκατο; τί καὶ σχῆμα περιέδυ, οὗ τὴν μορφὴν ὕβριν ἐνόμιζε; καὶ γὰρ καὶ μέχρι τούτου τῆς γλώσσης ἤλασε τὰ τολμήματα· ἀλλ' ἡ μὲν ἐκείνων ἀπόνοια, ταύτῃ τε καὶ ἐξ ἄλλων πλειόνων τὸν ἔλεγχον δίδωσιν.

Ἴσως δ' ἄν τις οὐ πόῤῥω τῶν εὐαγγελικῶν γνωρισμάτων διαπλαττόμενος φᾶναι τὸν σωτῆρα τὸ ῥῆμα ἐρεῖ, οὐχ ὑποτεμνόμενον μὲν τῇ μητρὶ τὴν τιμὴν, οὐδὲ πολλῷ μᾶλλον ἀπαρνούμενον τὴν ἔμφυτον σχέσιν καὶ στοργὴν, οὐδὲ πολλοῦ δεῖ γέμοντα δὲ πρέποντα τῇ γεννησαμένῃ γέρα, ὅμως τῆς περὶ αὐτὴν θεραπείας τὴν τῶν ἀνθρώπων προτιμᾶν σωτηρίαν, καὶ τὴν εἰς τοῦτο τὸ τέλος φέρουσαν διδασκαλίαν, δι' οὓς καὶ μήτηρ καὶ τόκος καὶ τῶν πατρῴων κόλπων ἀκένωτος κένωσις καὶ ἐν ἀνθρώποις ἀναστροφὴ καὶ πολιτεία καὶ σταυρὸς ἑκούσιος καὶ κακούργων θάνατος, εἶτα καὶ ταφὴ καὶ ἀνάστασις, ἐπισχύσαι δ' ἂν πειραθείη τὴν ἐπίνοιαν, καὶ ὅτι περ οὐδ' ἦν ἄλλως πράττειν τὸν Ἰησοῦν, εἰ μὴ κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸν εἱρμὸν τῆς προνοίας διετίθετο· ἐδίδασκε γὰρ ὁ σωτὴρ μετὰ τῶν ἄλλων σωτηρίων μαθημάτων καὶ τὸ μὴ προτιμᾶν πατέρα ἢ μητέρα ἢ γυναῖκα, τῆς αὐτοῦ ψυχωφελοῦς διδασκαλίας καὶ τῆς πρὸς αὐτὸν ἀπονεύσεως· ὅστις γάρ φησιν οὐκ ἐγκαταλείψει πατέρα ἢ μητέρα κ. τ. λ. οὐκ ἔστι μου ἄξιος, τουτέστιν, ὃς οὐ προτιμήσει τὴν ἐμὴν καὶ σώζουσαν παραίνεσιν καὶ νουθεσίαν καὶ τὴν εἰς ἐμὲ στοργὴν, οὗτος ἐξέπεσε μὲν τῶν ἀτελευτήτων ἀγαθῶν, ἐξέπεσε δὲ τῆς μακαριότητος ἧς οἱ προτιμήσαντες τῶν συγγενικῶν θεσμῶν τοὺς ἐμοὺς νόμους καὶ τὸν θεῖον ἔρωτα διὰ παντὸς ἀπολαύουσι. Ταύτης δὲ τῆς ἐντολῆς τὸ ῥᾷον καὶ εὐκατόρθωτον καθιστῶν ὁ σωτὴρ, αὐ-

τὸς ταύτην μετέρχεται πρῶτος καὶ εἰς τοὺς ἀκροατὰς διδασκαλίαν τῆς μετρικῆς προκρίνει χρείας καὶ χάριτος, μονονουχὶ λέγων ὅτι καθάπερ ἐγὼ διδάσκων ὑμᾶς, καὶ περὶ τὴν ὑμῶν σωτηρίαν ἀσχολούμενος τὴν μητρικὴν ἐθέμην δευτέραν θεράπειαν, τὴν ὑμετέραν σωτηρίαν προελόμενος, οὕτω χρὴ ὑμᾶς ἁπάσης τῆς διὰ τῶν σωματικῶν δεσμῶν προϊούσης σχέσεώς τε καὶ συμπαθείας τὴν ὑμῶν αὐτῶν σωτηρίαν ἀνταλλάττεσθαι, καὶ τῶν ἐμῶν διδαγμάτων καὶ νόμων τὴν φυλακὴν καὶ συντήρησιν. Ταύτῃ τοι καὶ τὸν αἰτησάμενον ἀπελθεῖν ἐπὶ τὸ θάψαι τὸν πατέρα, οὐκ ἐπέτρεψεν· οὐ καταφρονεῖν μητρὸς, μήτι γένοιτο καὶ μάλιστα τῆς ὁσίας, οὐδὲ τοῦ πατρὸς ἐξαργεῖσθαι τὴν σχέσιν καὶ τὸν πόθον ἐνυβρίζειν ἀφορμὰς διδοὺς, ἀλλὰ πανταχοῦ παραινῶν τὴν ψυχικὴν προκρίνειν σωτηρίαν τῆς σωματικῆς ἁπάσης καὶ συναφείας καὶ διαθέσεως. Ταῦτα μὲν οὖν ἴσως ἄν τις ὥσπερ εἴρηται δοκῶν τῇ μητρὶ τῶν προνομίων τῆς τιμῆς οὐκ ἀποστερεῖν ἀλλ' ἐν τῷ ἴσῳ συντηρεῖν, διέλθοι πραγματευόμενος καὶ τὴν προσήκουσαν αἰδῶ συνδιασώζων καὶ σεβασμιότητα· καί τοι τὸ τῆς συγκρίσεως τὸν τρόπον μὲν ἑρμηνεύει καθ' ὃν πρὸς τὴν ἐλάττω τάξιν κατέβη τὸ συγκρινόμενον, οὐκ ἀπαλλάττει δὲ τῆς ἐλαττώσεως.

Οἶδα δέ τινας τῶν μακαρίων ἡμῶν πατέρων, οὓς ἐν πολλοῖς πολλάκις θαυμάσας καὶ ἀποδεχόμενος, οὐκ ἂν ἐν ταύτῃ τῇ γνώμῃ θαυμάσαιμι ἐπ' ἀθετήσει τῆς δυσσεβοῦς δόξης εἰς τοιαύτην καταβεβηκότας διάνοιαν· ὡς ἐπείπερ ἡ μήτηρ τοῦ Ἰησοῦ ἀνθρώπινόν τι παθοῦσα ἐπεσεμνύνετο μὲν τῷ παιδὶ, ἐζήτει δὲ παῤῥησιασθῆναι καὶ διαχυθῆναι τῷ ἀγαλλιάματι, ὅτι τηλικούτου παιδὸς ἐχρημάτισε μήτηρ, καὶ διὰ τοῦτο προσῄει διδάσκοντος τοῦ υἱοῦ· καὶ ὡς εἰκὸς τῇ διδασκαλίᾳ δοξαζομένου συνδοξασθῆναι καὶ τὸν ἔπαινον συμμερίσασθαι· διὸ καὶ σωτὴρ καὶ ὁ τοὺς ἄλλους ἀποκαθαίρων τῶν ψυχικῶν παθῶν καὶ τὴν μητέρα τῶν τοιούτων ἀπαλλάττειν θέλων ἐλαττωμάτων, τάξιν ἐπιτιμήσεως ἐπέχουσαν ἀφῆκε τὴν λέγουσαν φωνήν· τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου; Ἀλλ' οἷς μὲν ἐπῆλθεν ταῦτα εἰπεῖν, καί γε εἴρηται ἡ δὲ τῆς ἀκολουθίας συνεξέτασις, πρῶτον μὲν οὐχ ὁρᾷ τὴν μητέρα οὐδὲν τοιοῦτον ἐπιδεικνυμένην οὐδὲ σοβαρὸν φέρουσαν φρόνημα· οὐδὲ γὰρ οὐδὲ διδάσκοντος αὐτεπάγγελος ἐπεχωρίασεν, οὐδ' εἰς τὸ μέσον ἐπῆλθεν τοῦ συλλόγου, οὐδὲ τὸν διδασκαλικὸν λόγον περιέκοψεν, οὐδ' εἶπεν οὐδὲν ὑψηλὸν ἢ μεγάλαυχον, ἀλλ' ἔξω πανευλαβῶς ἱσταμένη τὴν παρουσίαν μόνον ἐμήνυσεν, ἢ οὐδὲ τοῦτο λόγῳ ἐμήνυσεν, ἀλλ' ἀπαγγέλλειν ἐφιλοσόφει τὴν θέαν τὸ μήνυμα· ὃ πῶς ἂν φιλοτιμουμένης τὸ δοξάζεσθαι, πῶς δὲ ζητούσης σεμνύνεσθαι καὶ τῇ τοῦ υἱοῦ ἐπιγαυροῦσθαι μεγαλειότητι; τί δ' ἂν ἕτερον καὶ θεράπων ἔπραξε χρείας αὐτὸν ἐπὶ τὸν κύριον παραγενέσθαι καλούσης; οὔκουν οὐκ ἦν ἐπιτίμησις ὁ λόγος τοῦ Ἰησοῦ τῇ μητρὶ, οὐδέ τις τρόπος ἀνακαλούμενος διὰ μέμψεως τὸ ἐλάττωμα· οὐ γὰρ

ἦν ἐλάττωμα οὐδαμοῦ, ἀλλὰ ἰουδαϊκὸν ἐπεστόμιζε τὸ εἰρημένον χλεύασμα· τῶν γὰρ κακοχόλων τε καὶ ἀγνωμόνων ἰουδαίων νῦν λεγόντων ἐπὶ διαβολῇ καὶ ὕβρει σωτῆρος, οὐχ οὗτός ἐστιν τοῦ τέκτονος υἱός; νῦν δὲ οὐχ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ παρ' ἡμῖν; καὶ πάλιν· τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν· ἔπειτα καὶ τότε διδάσκοντος καὶ τὴν ψυχικὴν σωτηρίον εἰσηγουμένου, τῷ πλήθει διεφθόνουν τε καὶ διεβάσκαινον καὶ πρὸς διαβολὰς ἀνεφλέγοντο· οὐκ ἦν δὲ πόρος ὅλως διαβολῆς ἐπὶ τὴν συνήθη λοιδορίαν καταφεύγουσι, καὶ τὴν μητέρα πάλιν καὶ τοὺς ἀδελφοὺς εἰς ψόγον καὶ ἐξουθένημα προκομίζουσι, μονονουχὶ λέγοντες· τίνα διδάσκεις; τίνα δὲ σαυτὸν κομίζεις; οὐχὶ γυναικὸς πένητος ὑπάρχεις υἱός; καὶ οἱ ἀδελφοί σου οὐδὲν διαφέρουσιν, ὧν ὁ βίος διὰ χειρῶν; ἰδοὺ οὗτοι ἑστήκασιν ἔξω ζητοῦντές σε· ἔα τὸ διδάσκειν καὶ πρὸς τοὺς συγγενεῖς ἀπότρεχε, τὴν ἐκείνοις ἴσην μετιὼν πολιτείαν, ἀλλὰ μὴ πρὸς τὸ διδασκαλικὸν ἀναβαίνων ἀξίωμα.

Ταῦτ' οὖν ἐκείνων ὡς ἔθος πονηρευομένων ὁ σωτὴρ ἀντιτιθεὶς καὶ ἀντεπεξάγων τῇ μακροθυμίᾳ καὶ πραότητι, τοσοῦτον φησὶν ἀπέχω τοῦ ἐπαισχύνεσθαι μητρὶ καὶ τοῖς ἀδελφοῖς, ὅτι οὐ μόνον ἣν ἡ φύσις ἔδωκεν καὶ οὓς εἰς γένος ἡ ὑπόληψις ἔθετο οὐκ ἀποστρέφομαι, οὐδὲ αἰσχύνην ἡγοῦμαι οὐδὲ ὄνειδος, ἀλλὰ καὶ τούτους ἅπαντας οὓς ὁρᾶτε τῶν ἱερῶν λόγων ὄντας σωτηρίων ἀκροατὰς, καὶ πατέρας καὶ ἀδελφοὺς οὐκ ἀπαξιῶ κατονομάζειν, τὸ πατρικὸν μόνον θέλημα ποιοῦντας, κἂν μήτε τῇ φύσει μήτε τῇ ὑπολήψει τὰς εἰρημένας φιλοστόργους σχέσεις ἔχωσι βοηθουμένας· τίς οὖν ἐστιν ἡ μήτηρ μου καὶ ἡ ἀδελφή μου; τί μοι τὰς κλήσεις ταύτας εἰς ὕβριν καὶ ὄνειδος μεταπλάττεις; ἐγὼ τοσοῦτον ἐπαισχύνεσθαι τούτοις διέστηκα, ὥστε καὶ τοὺς ἀληθινοὺς μαθητὰς ταῖς κλήσεσι ταύταις καὶ σχέσεσιν ἐμαυτῷ συνάπτειν προειλόμην. Καὶ ἔστιν ἐντεῦθεν συνορᾷν ὡς οὐ μόνον οὐδὲν ἀγνωμοσύνης οὐδὲ παροράσεως μητρικῆς τὰ προενηνεγμένα ῥήματα ἦν, ἀλλὰ καὶ τὴν μεγίστην αὐτῇ καὶ πρέπουσαν συγκατασκευάζει τιμήν· τοσοῦτον γὰρ αὐτῇ τὴν σεβασμιότητα καὶ τὸ γέρας ἀπονέμει καὶ τὸ δίκαιον τῆς στοργῆς, ὥστε καὶ τοὺς ἐκτελοῦντας τὸ πατρικὸν θέλημα, καὶ πρὸς τοσοῦτον ἐπαρθέντας ὕψος ἀρετῆς, ὡς εἰς μέγα τι δόξης καὶ ἐξαίρετον, εἰς τὴν μητρικὴν σχέσιν καὶ κλῆσιν τούτους ἀνάγειν, δι' ἣν καὶ ἡ τῶν ἀδελφῶν νῦν τιμῆς ἀπολαύει προσηγορία· ποῦ γὰρ ἣν ἔκρινεν, εἴπερ ἔκρινεν, ἀποσκευάζεσθαι σχέσιν, ποῦ δ' ἂν ἣν ἐδικαίου, εἴπερ ἐδικαίου, παραγράφεσθαι κλῆσιν, ταύτην ὡς κορωνίδα καὶ κεφάλαιον τῶν ἀγαθῶν τοῖς τῶν οὐρανῶν βασιλείας κληρονόμοις ἐπιφέρειν τε καὶ χαρίζεσθαι χῶραν εἶχεν; Ἐμφανέστατον οὖν οἶμαι καθὰ καὶ προείρηται γέγονεν, ὡς οὐ μόνον οὐκ ἔστιν οὐδὲ εἰς ὕβριν τῆς μητρικῆς στοργῆς καὶ αἰ-

*δοῦς τὸ τίς ἐστιν ἡ μήτηρ μου κ. τ. λ. εἰρημένα, ἀλλὰ καὶ τὴν πρέπουσαν αὐτῇ πανταχόθεν συνάγει δόξαν καὶ εὐφημίαν.*

*Οὕτω δ' ἂν περιτραπείη τοῖς ἀνοήτοις πρὸς τοὐναντίον ἢ ἐφρυάττοντο, πρὸς δὲ τὴν εὐσεβῆ καὶ οἰκείαν ἀπευθύνοιτο θεοσοφίαν καὶ τὸ τί ἐμοὶ καὶ σοὶ, γύναι; οὔπω ἥκει ἡ ὥρα μου· εἴ τις γὰρ ἐπιμελῶς ἐφ' οἷς ἐῤῥήθη ταῦτα διαμελετῴη, τῆς θείας χάριτος συνεργούσης τε καὶ τῇ μελέτῃ συναντιλαμβανομένης, εὑρήσει τῇ μητρὶ μᾶλλον δόξαν περιάπτοντα καὶ τιμὴν, ἢ παρόρασιν ὅλως ἀφιέντα· καὶ γὰρ ἐπὶ τοῖς θαύμασιν οὐδὲν ἦν κοινὸν τῇ μητρὶ καὶ τῷ υἱῷ· ἐπεὶ καὶ θεότητος μὲν ἦν τὸ θαυματουργεῖν καθ' ἑαυτὴν· ἀνθρωπίνης δὲ φύσεως οὐκέτι καθ' ἑαυτὴν, ἀλλὰ διὰ τὸν προσειληφότα λόγον. Πλὴν καὶ ἐφ' οἷς κοινὸν οὐδὲν ἦν μητρὶ καὶ υἱῷ, ὅρα πῶς τὴν ὑπερβολὴν τῆς τιμῆς καὶ ἐν τῇ διαφορᾷ συνιστᾷ· θαυματουργεῖν γὰρ τῆς μητρὸς ἀξιούσης, ἐπισημήνας μὴ εἶναι τοῦτο κοινὸν αὐτῆς τε καὶ ἑαυτοῦ, καὶ τὸν καιρὸν μὴ παρεῖναι προσθεὶς καθ' ὃν ἔδει τὰς θεοσημείας ἐνεργεῖν, τὴν πρὸς τὴν μητέρα αἰδῶ καὶ τιμὴν ἔδειξε καὶ τοῦ καιροῦ καὶ τῆς διαλλαττούσης δυνάμεως ἐπικρατεστέραν· ὥστε τοσοῦτον τὰ εἰρημένα τῆς μητρικῆς δόξης ἔνδειαν ποιεῖν, ὡς καὶ πολλαπλασίονα ταύτην ἀποτελεῖν· τὸ γὰρ καὶ καιροῦ κυριωτέραν ἡγεῖσθαι, καὶ τῆς ἐν θαύμασιν ἀκολουθίας ὑπερβαίνουσαν τοὺς νόμους, εἶτα πράττειν τὸ παρ' αὐτῆς προτεινόμενον, πόσῳ πολλαπλασίονα τὴν τιμὴν καὶ τὴν αἰδῶ κατασκευάζει; ἢ εἰ μὴ ταῦτα εἴρητό τε καὶ ἐπεδείκνυτο· μονονουχὶ γὰρ δι' ὧν ἐφθέγγετό τε καὶ ἔπραττεν, ἐπιδείκνυται λέγων· ἡ κοινωνία μὲν τῆς φύσεως, κοινωνίαν οὐ συνάγει τοῦ θαυματουργεῖν· τί ἐμοὶ καὶ σοὶ, γύναι; οὐδὲ ὁ καιρὸς πάρεστιν ὁ ἐπιτήδειος τῶν θεουργιῶν· πλὴν ἵνα γνῷς σύ τε καὶ ὅσους ὁρᾶν καὶ ἀκούειν ἡ χρεία συνήγαγεν, ὅτι καὶ τὰ μητρικὰ σοι δίκαια ἀκαινοτόμητα διασώζω, καὶ αὐτὸς ὁ νόμον θέμενος εἰμὶ μητρὶ τοὺς παῖδας τὴν σεβασμιότητα νέμειν, μᾶλλον δὲ ὅτι καὶ τῶν ἐν τῇ φύσει θεωρουμένων εἱρμῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ τὴν σὴν αἰδῶ καὶ ὑπακοὴν καὶ δόξαν ἔμπροσθεν ποιοῦμαι, ἰδοὺ μεταβάλλω τὸ ὕδωρ εἰς οἶνον, τῆς σῆς ἀξιώσεως ἐκεῖνα δεύτερα ποιησαμένης· οὐδὲ γὰρ κατὰ τὸν ἴσον τρόπον ἐνταῦθα εἴρηται τὸ τί ἐμοὶ, καὶ σοὶ, καθ' ὃν εἴρηται πρὸς τὸν ἐπιζητοῦντα διαιτητὴν αὐτῷ τοῦ πατρικοῦ κλήρου χρηματίσαι· ἐκεῖ γὰρ εἶπεν, τί ἐμοὶ καὶ σοὶ; καὶ τίς με κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ὑμᾶς; τῇ πράξει τὴν ἐν τῷ λόγῳ παραίτησιν ἐβεβαίωσε, καὶ δικαστὴς ἀμφισβητήσεως χαμαιζήλου καὶ προσύλου κέρδους οὐχ εἵλετο γενέσθαι, ἀλλὰ τὴν ἐν τοῖς ῥήμασιν ἀπαγόρευσιν, ἡ διὰ τῶν ἔργων παραγραφὴ διεδέξατο· ἐνταῦθα δὲ τῷ σχήματι χρησάμενος τῆς φωνῆς, τὴν μητρικὴν οὐκ ἀπεπέμψατο περὶ τῷ θαύματι γνώμην· οὐδὲ τῆς αἰτήσεως εἰσηγήσατο τὴν ἀθέτησιν, ἀλλ' ἐν τῇ κοινωνίᾳ τῆς*

φύσεως τὴν διαφορὰν διδαξάμενος τῶν θεουργημάτων, τὸ ἔργον σύνδρομον ἔδειξε τῇ ἀξιώσει· σαφῶς ὡς εἴρηται πολλάκις παριστῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ καὶ τῆς ἐν θαύμασιν ἰδιότητος τὴν μητρικὴν στοργὴν καὶ τὸ κλέος μεῖζον ἰσχύειν παρ' αὐτῷ.

Μϛ. Πῶς οὐ μάχεται τὸ ἐρρήθη τοῖς ἀρχαίοις ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος· ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ' ὅστις σε ῥαπίσει ἐπὶ τὴν δεξιὰν, στρέψον αὐτῷ καὶ τὴν ἄλλην.

Πρῶτον μὲν διότι ὁ εἰπὼν, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἀλλὰ πληρῶσαι, αὐτός ἐστιν ὁ ψῆφον ἑκατέραν ἐξενεγκών· οὐδεὶς δὲ ἄρα οὐδὲ τῶν τυχόντων, μήτι γε νομοθέτης, ἅμα τἀναντία λέγει ἑαυτῷ, οὐδ' ὁ λέγων καταλύειν τὸν νόμον, οὐκ ἂν τὰς καταλυούσας αὐτὸν προεκόμιζε φωνὰς, καὶ μάλιστα οὐκ ἐν ἄλλῳ καὶ ἐν ἄλλῳ χρόνῳ, οὐδ' ἐν ἑτέρᾳ φράσει καὶ ἑτέρᾳ, ἀλλ' ἐπὶ τῶν αὐτῶν ῥημάτων καὶ ἑξῆς· οὐκοῦν οὐκ ἀντίκειται ταῦτα, οὐδὲ πολλοῦ δεῖ. Ἀλλ' ἡ μὲν τῶν ἐντολῶν λόγον ἔχουσα νομοθεσίας ῥυθμίζει τε καὶ καταρτίζει τὸν κριτὴν ἀδέκαστον μὲν ἔχειν τὴν γνώμην, ἀδυσώπητον δὲ τὴν ψῆφον, ἰσόρροπον δὲ παρέχειν τοῖς δικαζομένοις τὸν τῆς δίκης ὀφθαλμόν· ἡ δὲ λέγουσα μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἐν ἴσῳ ἐστὶ τοῦ μὴ ἐπεξελθεῖν μηδ' ἀμύνασθαι κατὰ τὰ πονηρεύματα αὐτοῦ τὸν ἄρξαντα χειρῶν ἀδίκων· καὶ οὐκ ἔτι αὐτὴ πρὸς τὸν κριτὴν ἀφορᾷ, ἀλλὰ τὸ ἠδικημένον πρόσωπον εἰς ἐπιείκειαν καὶ εὐλάβειαν παρακαλεῖ. Τοῦτο γε καὶ τὸν ἠδικηκότα αἰσχύνει καὶ μετάγει τῆς θρασύτητος καὶ ἀπονοίας ἐπὶ τὸ μεταμελούμενον καὶ κατηφὲς, εἰ μήπου θηρίον ᾖ μορφὴν ἀνθρώπου περιβαλλόμενον, καὶ τὸν ἠδικημένον τῷ τῆς πρᾳότητος καὶ φιλοσοφίας στεφάνῳ κοσμεῖ· καὶ γὰρ ἐξουσίαν αὐτῷ δίδωσιν ὁ νόμος τὸν λελυπηκότα δίκην εἰσπράττεσθαι· ὁ δὲ τὴν ἐξουσίαν ἂν εἰς φιλανθρωπίαν τρέψῃ καὶ τοῦ ὁμοφύλου λάβῃ ἔλεον, εἰς μόνον τὸν ἀρχηγὸν τῶν κακῶν καὶ τὸν ἀρχαῖον πολέμιον τοῦ γένους ἡμῶν ἀποτείνων τὸν δίκαιον θυμὸν, οὗτός ἐστιν ὡς ἀληθῶς ὁ καὶ τῆς ἀνθρωπίνης φύσεως ἐξευγενίζων τὸ αὐτεξούσιον, καὶ τὸν κοινὸν δεσπότην τὰς ἀνθρωπίνας ὀφειλὰς ἔχων διαλύοντα. Οὐ γὰρ πρὸς ἄλλο τοῦ ἐναντίου φύσις συμπλέκεσθαι· ἀλλὰ διὰ τῶν αὐτῶν οἷς ἂν πρόεισιν, ἡ μάχη πρόεισιν. Ἔλαβες κράτος τὸν ἠδικηκότα νόμῳ κολάζειν· εἰ μὲν κολάσεις, ἄδηλον, εἰ καὶ μὴ λαβὼν τῇ τιμωρίᾳ τοῦ πλησίον ἐπεπήδησας, καὶ τὸ φθάσαι παθεῖν τοῦ μὴ ποιῆσαι, ἀλλὰ μὴ φιλανθρώπῳ γνώμῃ καὶ φιλαδέλφῳ τὴν πρᾶξιν ἐξήνεγκας. Εἰ δὲ μὴ κολάσεις, στήλην ἔστησας ἀνεξάλειπτον καὶ φιλανθρωπίας καὶ πρᾳότητος, καὶ τῷ

βίῳ παράδειγμα καταλέλοιπας, φιλανθρώπως τε καὶ πράως τοῖς ὁμογενέσι συναναστρέφεσθαι, μάλιστα δὲ τὸ ἐρασμιώτατον καὶ μακαριώτατον πρὸς τὴν θείαν ἐστὶν ἀναχθῆναι διὰ τῆς τοιαύτης πράξεως μίμησιν τε καὶ ἀγαθότητα, καὶ υἱὸν θεοῦ κατὰ χάριν καὶ χρηματίσαι καὶ γνωσθῆναι, ὡς ἡ ἐνυπόστατος ἐβεβαίωσε σοφία καὶ ἀλήθεια· γίνεσθε γὰρ οἰκτίρμονες καθὼς καὶ ὁ πατὴρ ἡμῶν [a] οἰκτίρμων ἐστί. Σὺ δ' εἰ βούλει καὶ ἔτι τοῖς νόμοις ἐμφιλοσοφεῖν, τὴν συμφωνίαν αὐτῶν ἐντεῦθεν ἐπόψει. Ὁ μὴν ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ τὸν κριτὴν ἐκκόπτειν ἀξιῶν, φόβῳ δηλονότι τοῦ παθεῖν ἃ μή ἐστι φυγεῖν, τὴν ἐπ' ἀδίκοις τόλμαν ἀναστέλλει· ἡ δὲ τοῦ μὴ ἀμύνασθαι ἀρετὴ τὸν ἠδικημένον κρείττω περιπαθοῦς διαθέσεως καὶ ἀνθρωπίνης ἀντιλυπήσεως καὶ θαυμάζειν ἀνακηρύττουσα ἄξιον· δι' ἑκατέρου δὲ τρόπου ἐστὶ τὴν φιλανθρωπίαν ὁρᾶν προϊοῦσαν καὶ καθαρὸν τὸν ἔλεον ἐπὶ τοῖς ὁμοφύλοις προχεόμενον· εἰ δὲ δι' ἑκατέρας πράξεως ἡ φιλανθρωπία καὶ ἡμερότης συνίσταται, δῆλον ὅτι οὐδεμία μάχεται ταῖς ἐντολαῖς, οὐδὲ παρὰ θατέρας ἡ τῆς ἑτέρας ἀναίρεσις· πῶς γὰρ ἂν παραπλησίως ἄμφω τὴν τῶν ἀνθρώπων σωτηρίαν κατεσκεύαζον; ἡ μὲν τῶν ἀδίκους χεῖρας ἐπανατεινόντων τὴν ὁρμὴν ἀνακόπτουσα· ἡ δὲ τοὺς ἠδικημένους ὑψηλότερον μικροψυχίας πάσης τιθεῖσα καὶ οὐκ ἀξιοῦσα δουλεύειν πάθεσιν ὕβρεως. Καὶ ἡ μὲν δεικνύουσα οἷος καθ' οἵου τὴν πληγὴν ἀφῆκε, καὶ ὡς ὁ παθεῖν ἄξιος τὸν κρείττω ἐτιμωρήσατο· καὶ πολλὰ ἄλλα δι' ἀμφοῖν τῶν ἐντολῶν τῶν σωτηριωδῶν καὶ ὠφελίμων εἰς ἓν συντρέχει καὶ συναπαρτίζεται.

[a] Ita cod.

ΜΖ. Τοῦ κυρίου λέγοντος, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστὲ, ζητοῦμεν τίνα λέγει διάβολον, καὶ τίνα τὸν πατέρα αὐτοῦ;

Διάφορος δόξα τοῖς πρὸ ἡμῶν περὶ τούτου προελήλυθε τοῦ ζητήματος·
α οἱ μὲν γὰρ λέγουσι πατέρα τοῦ διαβόλου, τὸν εἰς ἄκρον κακίας ἐλάσαντα· καὶ τοῦ πονηροῦ ἐν ἑαυτῷ πολλαπλασιάσαντα τὰ γεννήματα, καὶ πολλάκις πολλὰ ἀποτεκόντα τοιαύτας πράξεις, οἵας ἂν ὁ πονηρὸς οὐκ ἐτόλ-
β μησε πρότερον. Εἰ δὲ ταῦτα οὐδὲν κωλύει καὶ τὸν πατέρα τῷ τόκῳ τῶν ἐξ αὐτοῦ προελθόντων ἐλαττωθέντα, αὐτὸν μὲν τὴν τοῦ υἱοῦ μεταλαβεῖν τάξιν, τὸν δὲ πλεονεκτήσαντα ἐν τῇ κακίᾳ καὶ τρόπον τινὰ τὸν γεννήσαντα γεγεννηκότα εἰς τὴν πατρικὴν ἀντιμετελθεῖν σχέσιν· οἷον ὁ Καῒν, εἰ βούλει· πολλοὺς γὰρ οὗτος ἅμα διαβόλους τέτοκε· τουτέστι τὰς τοῦ διαβόλου πράξεις συλλαβὼν ἀπεκύησεν, οὔπω πρότερον θάρσος ἐχούσας λύειν τὰς ὠδῖνας, ψεύδει φενακίζειν ἐπιχειρῶν οὐχ ἕτερόν τινα, ἀλλὰ τὸν πάντα καὶ πρὶν γενέσεως ἐπιστάμενον, ἀπάτῃ μετερχόμενος ἀδελφὸν καὶ δόλον κατὰ τῶν φιλτάτων σπλάγχνων ἐντείνων τῆς στοργῆς τῷ σχή-

ματι καλυπτόμενον, φόνον ἀδελφικῇ δεξιᾷ παλαμώμενος, καὶ τὴν γῆν πρῶτος ἀνθρωπίνῳ καθυβρίζων αἵματι, πληγὴν ἐπάγων τοῖς γεννησαμένοις ἀθεράπευτον· καὶ τοῦ τόκου μισθὸν ἀπαιτεῖν, τὸ μὴ δευτέροις τόκοις ἐπαγάλλεσθαι, ἀπονοίᾳ καὶ ἀντιλογίᾳ χαλεπωτέρᾳ τὰ φθάσαντα διελέγχουσα· καὶ ὅσα ἄλλα τοιαῦτα. Εἰ δὲ καὶ ἐκ τῶν ἐναντίων ἐστὶν ἀναλόγως τὰ γ
ὅμοια συνορᾷν· ὥσπερ ὁ εἰς ἄκρον ἀρετῆς τῇ τοῦ παναγίου πάντως ἐπιφοιτήσει καὶ ἐνεργείᾳ δήκων, καὶ πολυπλασιάζων ἐν ἑαυτῷ τὴν χάριν, καὶ πολλοῖς ὠφέλιμος καὶ σωτηρίοις τῷ τόκῳ γινόμενος, πνεῦμα λέγεται τικτὸν θεοῦ· διὰ γὰρ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν, πνεῦμα σωτηρίου σου ἐκυήσαμεν ἐπὶ τῆς γῆς· οὕτω δὴ οὕτω καὶ ὁ εἰς ἄκρον κακίας ἐλάσας ἄνθρωπος τὰ τοῦ πονηροῦ σπέρματα ἐν ἑαυτῷ συλλαβὼν καὶ πολυπλασιάσας τὸν τόκον καὶ τὰ τῆς πονηρίας κυήματα, τίκτειν ἂν εἰκότως λέγοιτο τὸν διάβολον καὶ πατὴρ χρηματίζειν αὐτοῦ. Οἱ δὲ οὐδέτερον μὲν τῶν εἰρημένων ἐγκρίνουσι, τὸν ὄφιν δ
δὲ τοῦ διαβόλου πατέρα κληθῆναι νομίζουσι· διατί; ὅτι πρῶτον ὁ ὄφις τὴν ἐκείνου διαβολὴν συλλαβῶν, τῇ γλώττῃ ἀπέτεκε· πρὸ γὰρ τῆς ἀνθρώπου πλάσεως καὶ τῆς τοῦ ὄφεως ὑποστάσεως, οὐκ ἦν ὁ ἀποῤῥυεὶς τῆς ἀγγελικῆς εὐγνωμοσύνης καὶ τάξεως, τὰ τοῦ διαβόλου πράττων, καίτοι ζητῶν κακὸς εἶναι καὶ χῶραν οὐκ ἔχων παρεισδύσεως· οὐκοῦν τὸ ἑρπετὸν ὁ ὄφις τοὺς διαβόλους ἐγκυμονήσας λογισμοὺς καὶ τῇ γλώσσῃ εἰκότως ἂν τοῦ διαβόλου πατὴρ λέγοιτο. Ἀλλὰ ταῦτα μὲν ἕτερα τοιαῦτα εἰς ἀνάπτυξιν τοῦ ῥητοῦ, τίς τε καλοῖτο διάβολος, καὶ τίς ὁ τούτου πατὴρ, ἑτέροις πεφιλοσόφηται· ἐμοὶ δὲ τὰς εἰρημένας ἐπιλύσεις οὔτε λίαν ἔπεισι θαυμάζειν, οὔτε μὲν φιλολόγων εἶναι πόνους ἀνδρῶν· ὅσοις δὲ μᾶλλον τὰ τοιαῦτα εὐτρέπισται συνορᾷν, δικαιότεροι ἂν εἶεν οὗτοι καὶ τὴν ἀμείνω περὶ αὐτῶν ψῆφον ἐξενεγκεῖν· ἃ δ' ἂν προσταίη ἐμοί τε καὶ ἴσως ἑτέρῳ τινὶ τὴν τελειότητα ταύτης μὴ καταλαβεῖν, ἐκεῖνα καὶ δὴ τῷ λόγῳ διέξειμι.

Πρῶτον μὲν οὐδαμοῦ τῆς ἱερᾶς ἡμῶν γραφῆς γέγονα δυνατὸς εὑρεῖν, α
οὔτε κατὰ τὰ παλαιότερα τῆς νομοθεσίας, οὔτε ἐν οἷς ἡ χάρις τὸ τῆς εὐσεβείας φῶς λαμπρότερον ἤστραψεν, σύμενουν οὐδαμοῦ πατέρα τινὰ τοῦ διαβόλου λεγόμενον· καί τοι γε πολλαὶ πολλάκις χωρίων περίοδοι τῆς πονηρᾶς ἐκείνης καὶ ἀλιτηρίου μνήμην καταβάλλονται προαιρέσεως· ἀλλὰ σατανᾶν μὲν καὶ διάβολον καὶ ἀποστάτην καὶ νοῦν ἀσσύριον καὶ τῶν παθῶν ἄρχοντα καὶ τῶν τῆς πονηρίας πνευμάτων ἐξουσιαστὴν καὶ τοιαῦτα τινὰ τὸν ἀρχέκακον ἐχθρὸν τοῦ γένους ἡμῶν ὀνομαζόμενον ἐκδιδάσκουσι· καὶ υἱὸν ἔσθ' ὅτε διαβόλου μᾶλλον τὸν τὰς μοχθηρὰς αὐτοῦ γονὰς ἐν ἑαυτῷ συλλαβόντα καὶ τῷ τῆς πλάνης τόκῳ υἱοθετούμενον· ἐξ οὗ καὶ ὁ θεσπέσιος Παῦλος υἱὸν διαβόλου τὸν Ἐλύμαν ἐπωνόμασε· πατέρα τοῦ διαβόλου μέ-

χρι νῦν ἕτερόν τινα οὐκ ἔχω τέως ἀπισχυρίσασθαι τὴν ἱερὰν ἡμῶν ἐπισταμένην ἢ ἐπονομάζουσαν γραφήν· ἀλλ' ἓν μὲν τοῦτο τὸ μηδαμοῦ πατέρα τοῦ διαβόλου τῶν τοῦ πνεύματος λογίων τῷ ἰδιώματι μήτε γινώσκεσθαι μήτε
β ὀνομάζεσθαι. Δεύτερον δὲ οὐδ' ἔνθα δοκοῦσι μνήμην αὐτοῦ γεγενῆσθαι, οὐδ' ἐνταῦθα παρασχεῖν τὴν ὑπόληψιν ἀσφαλῆ δύνανται· καὶ γὰρ ὁ τῶν ἰουδαίων δῆμος οὐκ εἰς πατέρα τοῦ θεοῦ ἀναφέρειν οὐδαμοῦ διετείνετο ἑαυτὸν, ἀλλὰ τὸν θεὸν μὲν ἐσπούδαζον τῷ ῥήματι ἐπιγράφεσθαι πατέρα, παῖδας δὲ τοὺς ἐξ Ἰσραήλ· καὶ τῷ δημιουργῷ καὶ σωτῆρι ἡμῶν οὐκ ἦν σκοπὸς δεῖξαι τοὺς ἰουδαίους τοῦ πατρὸς τοῦ διαβόλου τέκνα χρηματίζειν· ἕτερον γὰρ ἂν ἐκείνοις ἠλαζονεύετο· καὶ πρὸς ἕτερον οὗ μήπω μὲν ὄνειδος, μήπω δὴ κατηγορίαν εἶχον, μεθεῖλεν ἂν καὶ μετέφερεν, ὅπερ οὐκ ἦν συντηροῦντος τὸ ἀκόλουθον, ἀλλ' αὐτοῦ γε δηλονότι τοῦ διαβόλου παῖδας ὠνόμαζεν, οὗ καὶ τὴν ἐν τῇ κλήσει σχέσιν κἂν τῇ γνώμῃ καὶ τῇ μιμήσει τῶν πράξεων συνεφέροντο, βαρύ τε ἦν αὐτοῖς ἀκούειν καὶ ἀποτρόπαιον· ἐπεὶ οὖν ὁ ἰουδαῖος πατέρα τὸν θεὸν ἐπέγραφεν ἑαυτοῦ, καὶ ὁ σωτὴρ ἐσπούδαζε δεικνύειν διὰ τῶν ἔργων τοῦτο μὲν ψευδομένους, τὸν διάβολον δὲ δι' ὧν ἔπραττον πατέρα ποιουμένους, τίς ἂν εἴη λόγος ὁ περαίνων τὸν πατέρα τοῦ διαβόλου πατέρα τῶν ἰουδαίων διὰ τῶν λογίων ὀνομάζεσθαι;

γ Ἡ γάρ τοι δι' ὑποφορᾶς πρὸς τοὺς ἰουδαίους ἀποτεινομένη τοῦ σωτῆρος φωνὴ, οὐδὲν αὐτῶν συναντιλήψεται τῇ προθέσει· τὸ μὲν γὰρ πρόχειρον καὶ τὴν διαστολὴν οὐκ εἰδὼς τῆς ἀναγνώσεως, καὶ πρὸς ἣν μάλιστα τῶν πολλῶν ἡ γλῶττα παρασύρεται αὐτοσχεδιάζειν, εὗρεν ἕτοιμον πατέρα τοῦ διαβόλου, ὃν οὐδεμία χρῆσις οὐδ' ἐν τῇ κλήσει τὴν φύσιν ἔχειν ἐγνώρισε· τὸ δὲ περιεσκεμμένον τῷ τρόπῳ τῆς διαστολῆς, ῥυθμιζόμενον καὶ ταῖς προλαβούσαις ἐννοίαις συνδιαιρούμενον, αὐτόν τε τὸν διάβολον πατέρα τῶν ἀγνωμόνων ἰουδαίων ἀπαγγέλλει· καὶ ὃν ὁ ἀνεπίσχετος τῆς γλώττης δρόμος τὴν διαστολὴν ὑπερβαίνων περιαγγέλλει πατέρα τοῦ διαβόλου πλάττων, οὔμενουν οὐδαμῶς συνεπίσταται· ἐπιτιμήσεως δὲ τρόπῳ τὸν λόγον ὁ σωτὴρ προάγων, ἐπείπερ ἔλεγεν ὁ ἰουδαίων δῆμος ἕνα πατέρα ἔχομεν τὸν θεόν· τολμᾶτε δέ γε ἄρα φησὶ καὶ οὐκ ἐγκαλύπτεσθε πατέρα κατονομάζειν τὸν θεὸν; ἢ οὐχὶ ὑμεῖς τοῦ διαβόλου ἐστὲ, δι' ὧν τὰς ἐντολὰς αὐτοῦ θέλετε ποιεῖν, υἱοὺς αὐτοῦ δεικνῦντες ἑαυτούς; οὗ γάρ τις κατὰ τὰς ἐντολὰς μορφοῦται καὶ διαπλάττεται, τούτου καὶ υἱὸς κατονομάζεσθαι δίκαιος εἴη ἄν· τίνας δ' ἂν ἐντολὰς οἱ ἰουδαῖοι ἐσπούδαζον, ἢ δι' ὧν ὁ διάβολος ἐδοξάζετο; δόξαν παρ' ἄλλων λαμβάνοντες, ταῖς συκοφαντίαις τοὺς πλησίον κατεσθίοντες, φθόνῳ τὰ κάλλιστα λυμαινόμενοι, φόνον κατὰ τοῦ σωτῆρος μηχανώμενοι, καὶ γλώσσῃ καὶ γνώμῃ τὸν θάνατον συσκευάζοντες, τὸ ψεῦδος τῆς ἀληθείας ἔμπροσθεν ἄγοντες, καὶ δόλον καὶ διαβο-

λὴν καὶ φιλαργυρίαν τὸν βίον ποιούμενοι, καὶ ὅσα τούτοις παραπλήσια, δι' ὧν καὶ τὴν τοῦ διαβόλου συγγένειαν, ὡς ἀρχηγοῦ καὶ σπορέως τούτων, περιφανῶς ᾠκειώσαντο· ἐπὶ τούτοις καὶ τὸ ἐπαγόμενον καὶ συνηρτημένον λόγιον, τὸ μὲν οὐκ οἶδεν ὅλως, πατέρα λέγω τινὰ τοῦ διαβόλου, κατονομάζεσθαι· τὸ δὲ πάλιν ὑποβάλλει καταγγέλλεσθαι πατέρα τῶν ἰουδαίων τὸν διάβολον καὶ εἶναι καὶ ὀνομάζεσθαι· φησὶ γάρ, ἐκεῖνος ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἦν, τὸν διάβολον δηλονότι, ἀλλ' οὐχ ἕτερόν τινα πατέρα τοῦ διαβόλου· τίνι δ' ἂν ἑτέρῳ τὸ, ἀνθρωποκτόνος, καὶ τὸ, ἀπ' ἀρχῆς, ἐφαρμόσει; καὶ τὸ, μηδαμῶς ἐν τῇ ἀληθείᾳ ἑστάναι; εἰ μὴ αὐτῷ γε τῷ διαβόλῳ, ὃς τὴν γλῶσσαν μὲν κατὰ τοῦ δημιουργοῦ τῷ ψεύδει παρώξυνε, τῷ δόλῳ δὲ ταύτην γλυκάνας τῷ πρωτοπλάστῳ προὔτεινε· καὶ λόγοις ἐπικλόπως καταγοητεύσας, τῆς ἐν παραδείσῳ ζωῆς καὶ τρυφῆς ἀϊδίου ὑπερώρισεν, ἐργαστήριον θανάτου, τῆς ἀθανασίας τὸ χωρίον ἐργασάμενος· θάνατον γὰρ ὁ θεὸς οὐκ ἐποίησεν· ἀλλ' ἡ τοῦ πρωτοπλάστου παράβασις τὴν συμβουλὴν συλλαβοῦσα τοῦ ὄφεως, τὸν θάνατον ἀπεκύησεν· οὐκοῦν καὶ ἀνθρωποκτόνος ἀπ' ἀρχῆς ὁ διάβολος, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν· καὶ αὐτοὶ ζητοῦντες ἀποκτεῖναι τὸν κύριον, καὶ τὸ ψεῦδος ἀεὶ πρὸς τῆς ἀληθείας ἑλόμενοι, τὴν μορφὴν τοῦ γεγεννηκότος ἀπαραχάρακτον διασώζουσι.

Καὶ φανερὸν ἐκ τῶν εἰρημένων ὅτι πατὴρ μὲν τῶν ἰουδαίων ὁ διάβολος ὀνομάζεται· πατρὸς δὲ τοῦ διαβόλου οὔτε λαβεῖν ἐστι φύσιν, οὔτε κλῆσιν οὐδαμῶς παραδηλουμένην, οὔτε τῷ νοήματι· ἡ μέν τοι γε τῆς προκειμένης ἐξ ἀρχῆς ὑποθέσεως τελευταῖα περίοδος δόξει μὲν ἴσως τοῖς πρὸς μηδὲν τῶν βαθυτέρων ἐμφιλοχωρεῖν κέρδος ποιουμένοις, ὡς εἴη τοῦ διαβόλου πατέρα ὑποσημαίνουσα· τοὐναντίον δὲ ἅπαν κατασκευάζει καὶ τοῖς πρὸ αὐτῆς συνᾴδει ἐνθυμήμασιν, πατέρα καὶ αὐτὴ τῶν ἰουδαίων ἐπιδεικνυμένη τὸν διάβολον· διπλῆς γὰρ προσβολῆς παντὸς τοῦ προκειμένου λόγου ἐνθυμημάτων γενομένης, καὶ νῦν μὲν ἐκ τῆς τῶν γεγεννημένων κακίας τοῦ γεγεννηκότος τὴν μίμησιν ἐπιδεικνυμένης, νῦν δὲ διὰ τοῦ γεννησαμένου τῶν γεγεννημένων τὴν ὁμοιότητα παριστώσης, ἔτι πάλιν ἀπὸ τῶν γεγεννημένων ἐπὶ τὸν γεγεννηκότα διαβαίνουσα, ἀπαράλλακτον τὴν ὁμοιότητα στηλιτεύει, καὶ τὴν συγγένειαν αὐτῶν οὐδὲν ἐπιφερομένην ἐπιδείκνυσι νόθον· φησὶν οὖν, ὅταν ὁ ἰουδαῖος τὸ ψεῦδος λαλεῖ, ὥσπερ καὶ νῦν πατέρα λέγων ἑαυτοῦ τὸν θεὸν, ἐκ τῶν ἰδίων λαλεῖ· ἴδιος γὰρ κλῆρος τῷ πατρὶ, τοῦ πατρὸς ὁ πλοῦτος· ἐκ τῶν ἰδίων οὖν ὁ ἰουδαῖος λαλεῖ τὸν πατρῷον ὑπελθὼν κλῆρον· καὶ αὐτὸς γὰρ ψεύστης ἐστὶν ὥσπερ ὁ πατὴρ αὐτοῦ· δῆλον οὖν ὡς ἡ τοῦ λόγου αὕτη περικοπὴ, οὐ μόνον συμφθέγγεται τοῖς πατέρα πλάττουσι τοῦ διαβόλου, ἀλλὰ καὶ τῶν ἰουδαίων πατέρα τὸν διάβολον μόνον ἀφο-

ρίζει. Ἀλλὰ ταῦτα μὲν συγγυμνασίας εἶδος καὶ λόγον ἐχέτω τὴν τοῦ δόγματος τέως προσηγορίαν εὐλαβούμενον· ἕως ἂν ὁ ὑψηλότερος λόγος ἀναφανεὶς, καὶ δόγμα εἶναι τῇ διανοίᾳ, καὶ τῷ κράτει τὴν κρίσιν λαβὼν, καὶ τῶν διὰ βίου φιλοσοφούντων τὴν ἱερὰν ἐμπλήσας ἐπιθυμίαν, δείξῃ μὴ μάτην ἀεὶ πρὸς ζήτησιν ἀνατεινομένην τοῦ ἐξηρημένου νοήματος τῆς τῶν πολλῶν καταλήψεως.

## ΜΗ. Πόσαι εἰσὶν αἱ τὸν κύριον ἀλείψασαι μύρῳ.

α Οὐχὶ τὴν αὐτὴν εὑρίσκω προϊοῦσαν δόξαν παρ' οἷς ταῦτα διερευνᾶσθαι γέγονεν ἡ σπουδή. Οἱ μὲν γὰρ ἁπλούστερον καὶ ἐπιπολαιότερον, ἵνα μὴ ἀμαθέστερον εἴπω, τῇ διαφόρῳ κλήσει τῶν ἀναγραψαμένων τὴν ἱστορίαν ταύτην καὶ τὰ τῶν γυναικῶν συνδιαιροῦσι πρόσωπα. Καὶ τέσσαρας ταύτας εἶναι φασὶ, πρὸς οὐδὲν οἶμαι βαθύτερον λογισμὸν ἐπιστήσαντες, ἢ πρὸς μόνην τὴν τῶν εὐαγγελισαμένων ποσότητα. Τοῖς δὲ εἰς δύο περιεστάλη τὰ πρόσωπα· καὶ τὴν μέν φασι σεμνὴν εἶναι καὶ σώφρονα καὶ ἀδελφὴν τοῦ Λαζάρου καὶ τῆς Μάρθας· τὴν δὲ διαφόρου μὲν ἀναγραφῆς τυχεῖν, μίαν δὲ εἶναι καὶ ταύτην ἐξ ἀσέμνου καὶ πανδήμου βίου παρθενικοὺς ἀγῶνας ἐξ ἀκαθαρσίας μετελθοῦσαν· περὶ ταύτης δὲ τόν τε Ματθαῖον καὶ Μάρκον, ἀλλὰ καὶ τὸν Λουκᾶν διαλαβεῖν· καὶ τὴν αὐτὴν ἱστορίαν διαφόροις ῥήμασιν
β ἀπηγγελκότας ἀναγράψασθαι. Οἱ δὲ καὶ πρὸς μίαν πάσας συνάγουσιν, οὐδεμίαν τῇ δόξῃ ἀσφάλειαν περιθέμενοι· ἀλλ' οὐδ' ἀπὸ τῆς τῶν προσώπων ποιότητος τῆς τοιαύτης ὑπολήψεως, ἐπιφερομένης τὸ αἰδέσιμον. Ἀπολλινάνιος γὰρ καὶ ὁ Μοψουεστίας Θεόδωρος ταύτης εἰσὶν οἱ γεννήτορες· ἐμὲ δὲ οὐδὲ δύο ταύτας ἐπιτρέπουσι λέγειν, οὔτε τοῦ σωτῆρος οἱ λόγοι, οὔτε τῶν φιλοθέων γυναικῶν αἱ πράξεις, οὔτε τὸ διάφορον τοῦ καιροῦ, ἀλλ' οὐδὲ τῶν θεατῶν καὶ ἀκροατῶν ἡ ἐπὶ τῷ πραχθέντι γνώμη, καὶ ἄλλα δὲ τούτων οὐκ ἐλάττονα, τρεῖς εἶναι ταύτας· ἀλλ' οὔτε πλείους τῶν τριῶν οὔτε ἐλάτ-
γ τους ἐκδιδάσκει. Πρώτη μὴν οὖν ἐστιν ἡ παρὰ τῷ Λουκᾷ ἀναγεγραμμένη, ἥτις καὶ πρὸ πολλῶν πράξεων καὶ διδασκαλιῶν τοῦ Ἰησοῦ εἰς ἱστορίαν μνήμης παρελήφθη· μετὰ ταῦτα γὰρ εἰς τὸ κήρυγμα καὶ τοὺς μαθητὰς ἀποστέλλει, καὶ τὸ τῶν πέντε ἄρτων θαυματουργεῖται πλῆθος, καὶ ἡ περὶ τοῦ διδασκάλου τῶν μαθητῶν ὑπόληψις λογοθετεῖται, καὶ ἡ τῆς μεταμορφώσεως ὑπὲρ νοῦν καὶ λόγον πρᾶξις θεουργεῖται. Ἐγένετο γάρ φησι μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ, καὶ παραλαβὼν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι· καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων· καὶ ἑξῆς. Ἀλλὰ γὰρ καὶ οἱ ἑβδομήκοντα μαθηταὶ μετὰ ταῦτα

ἀναδείκνυνται καὶ παραβολαὶ ταῖς νουθεσίαις συνυφαίνονται· δῆλον δὲ ὡς οὐδὲ τὸ πάθος οὔπω ἐνεστήκει· οὐδ' ἡ τῶν μιαιφόνων Ἰουδαίων ἐπιβουλὴ διὰ βουλῆς καὶ μελετῆς τὸ κῦρος ἐλάμβανεν.

Ἀπὸ μὲν τοῦ καιροῦ τὸ διάφορον τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς πρὸς τὰς ἄλλας οὕτω φανερῶς καὶ ἀναμφιβόλως ἔξεστιν ἐννοεῖν τοῖς βουλομένοις· καὶ γὰρ τῶν ἄλλων ἑκατέρας ἤδη τοῦ δεσποτικοῦ πάθους ταῖς τῶν Ἰουδαίων μελέταις ἐνεργουμένου αἱ ἱστορίαι τὴν μνήμην εἰσάγουσι· τὴν μὲν πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, τὴν δὲ πρὸ δύο τοῦ πάθους· καὶ τῆς μὲν τὴν πρᾶξιν ὁ ἠγαπημένος καὶ παρθένος μαθητὴς ἀναγράφει, ἥ τις καὶ ἀδελφὴ τοῦ τε Λαζάρου καὶ τῆς Μάρθας ἐχρημάτιζε, καὶ τῶν ἀγαπωμένων ἐγνωρίζετο τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, καὶ τῶν θαυμαζομένων, ὅσα γε ἐπὶ τῇ τοῦ βίου σεμνότητι· ἥτις καὶ πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα τὴν ἱερὰν ἐκείνην ἱερουργήσασα τελετὴν, τὸν οἶκον αὐτῆς ἱερὸν ἀκάκτορον ἀπειργάσατο· ἐπὶ ταύταις ἡ τρίτη καὶ ἡ τελευταῖα, ἡ πρὸ δύο ἡμερῶν ἀλείψασα τοῦ πάθους τὸν σωτῆρα, περὶ ἧς Ματθαῖος τε καὶ Μάρκος τὴν διήγησιν ἀνετάξαντο· οὐκοῦν ὁ λόγος εὐλόγως αὐτὰς τρεῖς ἀνακηρύττει. Καὶ ὅρα κἀντεῦθεν· καὶ ἡ μὲν ἁπλῶς τῷ τῆς κακίας ὀνόματι, ἁμαρτωλὸς ὀνομάζεται, καὶ εἰς τὴν οἰκίαν τοῦ φαρισαίου, οὐχὶ δὲ τοῦ Σίμωνος τοῦ λεπροῦ, τὸν Ἰησοῦν ὁρᾷ, τῇ παρακλήσει τοῦ ἑστιῶντος ἀλῶν καὶ τραπέζης κοινωνῆσαι κατακεκλιμένον· αὕτη καὶ τοῦ μύρου προχέει τὰ δάκρυα, καὶ τοὺς πόδας βρέχει τοῦ Ἰησοῦ, καὶ ταῖς θριξὶ τῆς κεφαλῆς ἐκμάσσει, καὶ καταφιλεῖν λαμβάνει θάρσος, κἀκεῖθεν παῤῥησιάζεται, καὶ τῷ μύρῳ τοὺς πόδας ἀλείφει· καὶ σιωπῶσι μὲν ἐπὶ τῇ πράξει πάντες οἱ παρόντες, καὶ οὐδεὶς οὐδεμίαν ἐπιτίμησιν ἐπάγει τῷ γυναίῳ· ὁ δὲ φαρισαῖος μόνος καὶ τότε ἐν ἑαυτῷ τῇ πράξει δυσχεραίνων ἐγνώσθη· φησὶ γάρ· οὗτος εἰ ἦν προφήτης ἐγίνωσκεν ἂν τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν· εἶτα ὁ Ἰησοῦς ἐκεῖνον μὲν ἐκ τῶν οἰκείων λόγων συμποδίζει τε καὶ ἐπιστομίζει, τῆς δὲ γυναικὸς τὴν πρᾶξιν ἐπαίρει τε, καὶ τοῖς πρέπουσιν ἐγκωμίοις ἀποσεμνύνει, καὶ μισθὸν αὐτῇ τῆς πράξεως ἀντιδίδωσιν τὸ μέγα δῶρον, τῶν ἁμαρτημάτων τὴν ἄφεσιν· καὶ οὐδὲ μέχρι τούτου ἵσταται ἀλλὰ καὶ τὴν τῆς γυναικὸς σωτηρίαν εἰς τὴν αὐτῆς ἀνάγει γνώμην, ἡ πίστις σου γάρ φησι σέσωκέ σε. Αὕτη μὲν οὖν ἡ παρὰ τῷ Λουκᾷ καὶ τοσαύταις πρὸς ταῖς ἄλλαις ἀφορίζεται διαφοραῖς.

Ἡ δὲ παρὰ τῷ ἠγαπημένῳ μαθητῇ ἐμφανεστάτην μὲν ἔχει τὴν διαφορὰν, ὅτι καὶ γένους λαμπροῦ καὶ οἰκίας ἐπισήμου καὶ θαυμαζομένου βίου, καὶ τὸν ἀδελφὸν ἀπέλαβεν ἄρτι τῶν πυλῶν ἀναδεδυκότα τοῦ ᾅδου· ὡς καὶ συνανέκειτο ἐν τῷ δείπνῳ τοῦ Ἰησοῦ, τῆς Μαρίας αὐτῆς διακονούσης, ἡνίκα καὶ προσάγει τὸ μύρον, καὶ ἐκμάσσει καὶ αὐτὴ ταῖς θριξὶν, οὐ πρὸς ἀντ-

ἀμειψιν τινὰ τὸ θεοπρεπὲς ἔργον καταβαλλομένη, ἀλλ' εὐχαριστίας μᾶλλον τῆς γεγενημένης περὶ τὸν ἀδελφὸν θεουργίας ἀφοσίωσίν τινα ἐπινοοῦσα. Κἀνταῦθα μὲν οἱ μαθηταὶ πάντες, σιγῇ τὴν πρᾶξιν ἠσπάζοντο· καὶ τοῦ περὶ τὸν Λάζαρον θαύματος ἴσως τὴν ὑπερβολὴν ἐννοούμενοι, καὶ τῆς γυναικὸς τὴν εὐλάβειαν δι' αἰδοῦς φέροντες· μόνος δὲ τῆς φιλαργυρίας τὸ ἀνδράποδον, τῆς προδοσίας ὁ κάπηλος καταγογγύζει τῆς πράξεως· καὶ ὁ Ἰησοῦς τὴν νόσον ὑφ' ἧς κεκρατημένος ταῦτα ἔπραττεν εἰς μέσον ἄγων, εἶπεν αὐτῷ· ἄφες αὐτὴν, εἰς τὴν ἡμέραν τοῦ ἐνταφιασμοῦ μου τετήρηκεν αὐτό. Ἀντὶ τοῦ, σὺ μὲν τὸν ἐμὸν σπουδάζεις θάνατον, διὰ τοῦτο σοι καὶ ἡ τοῦ μύρου τιμὴ περισπούδαστον· αὕτη δέ σου τὴν ἔκθεσμον πρᾶξιν καὶ δι' ὧν εἰργάσατο στηλιτεύει· καὶ διδάσκει κἂν μὴ μαθεῖν ἐπωρώθης, ὅτι ὅνπερ σὺ προδοῦναι σπουδάζεις, αὕτη θεῷ ἴσα θυσιάζει καὶ σέβεται· ἀλλὰ τοιαύτη μὲν καὶ ἡ τοῦ Λαζάρου ἀδελφή. Ἡ δὲ λοιπὴ τρίτη τῶν ἐπιχεαμένων τῷ δεσπότῃ τὸ μῦρον, περὶ ἧς Μάρκος καὶ Ματθαῖος ἱστορήκασιν, ἀπὸ δὲ τοῦ τῆς πορνείας ἄγους ἐπονομάζεται, ἐν τῇ οἰκίᾳ μὲν παραγίνεται Σίμωνος τοῦ λεπροῦ, οὐ τότε λεπρῶντος, ἀλλὰ πάλαι μὲν τῷ πάθει κατεχομένου, τότε δὲ τῇ τοῦ Ἰησοῦ φιλανθρωπίᾳ κεκαθαρμένου, ὃν καὶ ἡ πόρνη συνεπισταμένη καὶ ἐξ οἵου βδελύγματος εἰς οἵαν ὄψιν ἀποκατέστη τὸν χρῶτα, ἐλπίδας τε ἀνελάμβανε χρηστὰς ἀπαλλαγῆναι τοῦ ψυχικοῦ μύσους, καὶ παῤῥησίας ἐγίνετο προσελθεῖν τῷ Ἰησοῦ, καὶ δὴ προσελθοῦσα οὐχ ἅπτεται μὲν τῇ χειρὶ, οὐδὲ ταῖς θριξὶν ἐκμάσσει· οὐδὲ γὰρ οὐδενὶ μέλει τοῦ σώματος ψαῦσαι τοῦ σωτῆρος ἀτόλμητον ἐποιεῖτο, ἀλλ' ἄψαστον αὐτὸ τοῦ ἐῤῥυπωμένου χρωτὸς συντηροῦσα, κλέπτει τὴν διὰ τοῦ μύρου τιμὴν καὶ θυσίαν· καὶ τὸ ἀλάβαστρον συντρίψασα, ἀθρόον τὸ μῦρον τῆς κεφαλῆς ἐπιχέει· καὶ ἀγανακτοῦσι τηνικαῦτα οὐχ ὁ φαρισαῖος, οὐδὲ μόνος ὁ προδότης, ἀλλὰ τῶν μαθητῶν οὐκ ὀλίγοι. Ἡ δὲ γεγενημένη διαφόρως ἀγανάκτησις οὐκ ἀπὸ τῆς αὐτῆς ἀνεῤῥιπίζετο γνώμης, ἀλλὰ τοῦ μὲν Σίμωνος ὡς οὐδὲν ὑψηλὸν περὶ τὸν θεραπευτὴν καὶ σωτῆρα φανταζομένου, τοῦ δὲ Ἰούδα ὡς τῷ τῆς φιλαργυρίας πάθει κεκρατημένου, τῶν δὲ μαθητῶν ὡς ἐλέῳ τῶν πενομένων ἐκνενικημένων· οὐχ ὥστε τὸ δεσποτικὸν φίλτρον καὶ σέβας ἐνδευτερωθῆναι, ἀλλ' ὅτι κἀκεῖνον ᾔδεισαν τὸν ἔλεον καὶ αὐτῆς προκρίνοντα τῆς θυσίας· ἔλεον γάρ φησι θέλω καὶ οὐ θυσίαν· ἄλλως τε δὲ καὶ τῷ περὶ τὸν διδάσκαλον σεβάσματι, φρικτὸν ἡγοῦντο τὴν γυναῖκα κατὰ τῆς κεφαλῆς τὸ μῦρον ἐπιχέαι· ἔνθεν καὶ ὁ Ἰησοῦς διὰ τῆς κατ' αὐτὴν ἀγανακτήσεως ἀπάγων τοὺς μαθητὰς, οὐδὲν τολμηρόν φησιν ἔπραξεν, ἀλλ' ἔργον ἀγαθὸν εἰργάσατο. Καὶ πρὸς μὲν τῶν μαθητῶν τοὺς εὐγνώμονας ταῦτα· πρὸς δὲ τὸν Ἰούδαν πάλιν εἰς μέσον ἄγων τῷ αἰνίγματι τὴν μελετημένην προδοσίαν φησί· βαλοῦσα τὸ μῦρον τοῦτο ἐπὶ τοῦ σώματός μου,

πρὸς τὸ ἐνταφιάσαι με πεποίηκεν· ἀγανακτεῖς φησι τοῦ μύρου κενουμένου· πόσης ἀγανακτήσεως ἄξιον; ταυτὸν προσῆκεν ἡγεῖσθαι κατὰ τοῦ δεσπότου καὶ διδασκάλου προδοσίαν καὶ θάνατον καὶ τάφον διαμελετῶντα; πτωχῶν ἔστι σοι φροντίς; καὶ πῶς τοῦ ἀστέγου, μηδὲ τὴν κεφαλὴν ἔχοντος ἔνθα κλινεῖ, τὴν σφαγὴν σπουδάζεις; ἐφ᾽ ᾧ μηδὲν τῶν ἰδίων ἀποκενοῖς, τούτου βαρὺ καὶ ἀφόρητον τὴν συνουσίαν νομίζεις; Ἐν οἷς σε δεῖ καὶ τῶν οἰκείων πολλὰ καταβάλλειν, ἐλέῳ τὴν ἔνδειαν τῶν πενομένων ἀναπληροῦντα, πῶς ἀνεπαχθῶς καὶ φιλανθρώπως τούτων τὴν συνδιατριβὴν οἴσεις;

Ἀναλαβόντες οὖν χωρίς τινος προλήψεως καὶ προσπαθείας ἔνεστι συνιδεῖν καὶ φιλαλήθως εἰπεῖν, ὡς ἡ μὲν τῶν ἀλειψαμένων μύρῳ τὸν κύριον, πολλῷ τῶν ἄλλων τῷ μέσῳ προέλαβεν· αἱ δὲ περὶ τὸ πάθος τὴν ἱερουργίαν ταύτην ἐπὶ νοῦν βάλλονται· καὶ τούτων ἡ μὲν πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ἡ δὲ πρὸ δύο τοῦ πάθους· καὶ ἡ μὲν ἁμαρτωλὸς, ἡ δὲ πόρνη ἀπὸ τῶν παθῶν μᾶλλον ἢ ἀπὸ τῶν κυρίων τῆς κλήσεως γινωσκόμεναι, ἡ δὲ ἀπὸ τοῦ ἀδελφοῦ φέρει τὸ ἐπώνυμον· καὶ ἡ μὲν ἐν τῇ οἰκίᾳ τοῦ φαρισαίου τοὺς δεσποτικοὺς πόδας ἀλείφει τῷ μύρῳ καὶ τοῖς δακρύοις προαποπλύνει, ἡ δὲ ἐν τῇ οἰκίᾳ τῇ ἰδίᾳ καὶ δακρύων καιρὸν οὐ γινώσκει· δεξιοῦται δὲ μᾶλλον τραπέζῃ καὶ εὐφροσύνῃ αὐτόν τε τὸν Ἰησοῦν, καὶ οὗ τὸν τάφον ἡ σωτήριος φωνὴ γενέσεως ἔδειξεν ἐργαστήριον, καὶ χωρίον ἀναβιώσεως· κενοῖ δὲ καὶ αὕτη κατὰ τῶν ἀχράντων ποδῶν τὸ μῦρον καὶ ταῖς θριξὶν ἀπομάσσει· ἡ δὲ λοιπὴ τρίτη ἐν τῇ οἰκίᾳ μετὰ τοῦ λεπροῦ παραγίνεται πολύτιμον· καὶ αὐτὴ μῦρον φέρουσα, οὐδαμῶς δὲ τοῖς μέλεσι τοῦ σωτῆρος ψαύει, ἀλλ᾽ ἄφνω τὸ ἀλάβαστρον συντρίψασα, κατὰ τῆς κεφαλῆς τὸ μῦρον ἐπιχέει, τέχνῃ προφθάνουσα καὶ σπουδῇ τοὺς εἴτινες ἐπιχειρεῖν μελετήσειαν τὴν πρᾶξιν κωλύειν· καὶ ἡ μὲν τὴν πόλιν φέρει μάρτυρα τῆς ἀκολασίας, ἐν τῇ πόλει γὰρ ἁμαρτωλὸς ὠνομάζετο· ἡ δὲ τὴν κώμην· ἡ δὲ τοῖς τῆς σωφροσυνής καὶ καθαρότητος ἀνακτόροις ἐθαλαμεύετο· καὶ ἐπὶ μὲν τῆς πρώτης ὁ φαρισαῖος μόνος ἀγανακτεῖ, ἐπὶ δὲ τοῦ Λαζάρου μόνος ὁ Ἰούδας· ἐπὶ δὲ τῆς τελευταίας ἄλλοι τε τῶν μαθητῶν, καὶ τὸ τῆς φιλαργυρίας λάφυρον, πάλιν ὁ προδότης· καὶ τῇ μὲν τοῦ Λαζάρου ἀδελφῇ, οὐδεὶς μισθὸς τῆς τοῦ μύρου κενώσεως ἐπαγγέλλεται· προκαταβληθείσης γὰρ ὑπὲρ λόγον εὐεργεσίας καὶ δωρεᾶς, τὸ παρ᾽ αὐτῆς τελούμενον ὑπῆρχε χαριστήριον· μόνη δὲ κἀνταῦθα ἡ τοῦ Ἰούδα προδοσία καὶ προπέτεια γνωρίζεταί τε καὶ διελέγχεται. Καὶ ἡ μὲν παρὰ τῷ Λουκᾷ ἄφεσιν ἁμαρτιῶν εὑρίσκει, τὴν μισθαποδοσίαν καὶ τοῦ μύρου καὶ τῆς πίστεως· τῇ δὲ παρὰ τῷ Ματθαίῳ καὶ Μάρκῳ, τὸ μνημόσυνον ἐπαγγέλλεται δι᾽ αἰῶνος εἰς τὴν οἰκουμένην κηρύττεσθαι· διάφορος μὲν ἡ μισθαποδοσία ἑκατέρᾳ τῶν γυναίων ἐπαγγέλλεται· οὐ μέντοι θατέρας ὁ

μισθὸς, τὴν ἑτέραν ἀγέραστον καταλείπει. Καὶ γὰρ ἄμφω μὲν τῶν ἁμαρτημάτων τὴν ἄφεσιν εὕραντο, ἄμφω δὲ διὰ τῆς ἱερᾶς ταύτης πράξεως ἐν ὅλῳ τῷ κόσμῳ κηρύσσονται, καὶ δι' αἰῶνος ἐκληρώσαντο τὸ μνημόσυνον φέρειν τοῖς ἐπαίνοις στεφανούμενον.

Ἀλλ' ὁ μὲν ἥρμοζεν ἑκατέρᾳ πρὸς παραμυθίαν καὶ ἀποδοχὴν τῆς ἐργασίας ἀπαγγέλλεσθαι, τοῦτο εἴρηται· καὶ γὰρ τὴν μὲν ἐπετίμων οἱ ἀπόστολοι ὡς παραχρωμένην τῷ μύρῳ καὶ μάτην ἐκδαπανῶσαν αὐτὸ καὶ καταναλίσκουσαν· περὶ δὲ τῆς λοιπῆς ὁ φαρισαῖος διεγόγγυζεν, ὅτι ἁμαρτωλὸς οὖσα καὶ κατεγνωσμένη τοιαῦτα πράττειν ἐπὶ νοῦν ὅμως ἐπεβάλλετο· καὶ λανθάνειν ἐνόμιζε τὸν διδάσκαλον ἐξ οἵου βίου καὶ πολιτείας τὸ γύναιον ἐγνωρίζετο. Διὸ ταύτῃ μὲν ὁ μισθὸς ἀνεῤῥήθη τῶν ἁμαρτημάτων ἡ ἄφεσις· ἐκείνῃ δὲ τὸ εἰς πάντας περιηχηθῆναι τὴν πρᾶξιν ἀνεκηρύχθη, καὶ παρὰ πάντων μακαρίζεσθαι· Τῇ μέν τοιγε ἀδελφῇ τοῦ Λαζάρου οὐδέτερον τούτων ἀνταποδίδοται· ἐπειδὴ οὐδὲ ἐκείνη προσδοκωμένης εὐεργεσίας καὶ χάριτος ἀῤῥαβῶνα κατεβάλλετο· ἀλλ' ὑπὲρ ὧν ἀπήλαυσεν ὑπὲρ λόγον τὸν ἀδελφὸν ἀντὶ νεκροῦ καινοτέρᾳ ζωῇ τὴν τοῦ θανάτου νέκρωσιν προοιμιασάμενον ἀπολαβοῦσα, τὸν εὐεργέτην δι' εὐχαριστίας ἦγε· καὶ κατά γε γνώμην καὶ δύναμιν, τὸ γέρας ἀπένεμεν. Ἄλλως τε δὲ αἱ μὲν ἀτελεῖς ἦσαν, καὶ δὴ καὶ τῷ φορτίῳ τῶν ἁμαρτημάτων ἐβαρύνοντο· ἐδέοντο τοίνυν παρακλήσεως τινὸς καὶ πληροφορίας ὡς ἡ πρᾶξις αὐτῶν ἀπεδέχθη, καὶ τῶν ἐλπίδων οὐ ψευσθήσονται· διὸ καὶ τοῦ γένους ἡμῶν ὁ σωτὴρ καταλλήλως αὐταῖς καὶ οἰκείως τὰς ἐπαγγελίας διενείματο· ἡ δὲ τελειοτέρα τε ὑπῆρχε, καὶ τοῦ παραδόξου θεάματος ἔτι διὰ τῶν ὀμμάτων ἀπήλαυε, καὶ οὐκ ἐδεῖτο τέως ὑποσχέσεων μειζόνων· ἠρκοῦτο δὲ τῷ τε παραδόξῳ θεάματι καὶ τῇ κοινῇ πρὸς πάντας τοὺς πεπιστευκότας ἐπαγγελίᾳ τοῦ δεσπότου, ὅτι ὁ πιστεύων εἰς αὐτὸν, τῆς αἰωνίου ζωῆς τὸν κλῆρον ἀναφαίρετον ἕξει.

Διὰ τί δὲ ἐπὶ μὲν τῆς παρὰ τῷ Λουκᾷ γυναικὸς οὐδεὶς τῶν μαθητῶν οὐδὲ ὁ Ἰούδας ἀγανακτεῖ, ἐπὶ τῆς τοῦ Λαζάρου μόνος ὁ προδότης; ἐπὶ δὲ τῆς πόρνης, τῶν μαθητῶν οὐκ ὀλίγοι; ἢ διὰ τοῦτο τῶν μαθητῶν οὐδεὶς ἐπὶ τῇ πρώτῃ, οὐδὲ ὁ προδότης ἀγανακτεῖ, διότι ὁ μὲν Ἰούδας οὔπω ἦν κατὰ κράτος ἁλοὺς τῷ τῆς φιλαργυρίας νοσήματι, οὐδὲ τῆς προδοσίας ὁ σατανᾶς οὔπω ἦν αὐτοῦ τὴν καρδίαν κατασκευασάμενος ἐπιτήδειον ὄργανον· οἱ δὲ ἄλλοι μαθηταὶ διὰ τοῦτο πρὸς τὴν ἀγανάκτησιν οὐχ ὑπήγοντο, διότι τοὺς τῆς ἐλεημοσύνης τοῦ διδασκάλου λόγους οὔπω ἦσαν σφόδρα ἐμπεπηγότας φέροντες τῇ ψυχῇ· οὐδ' οὕτως αὐτοὺς ἡ τῶν πενήτων ἠρήκει φροντίς. Ἔτι δὲ καὶ τὴν γυναῖκα κλαίουσαν ἑώρων, καὶ οὐδὲ τῆς κεφαλῆς καταχέουσαν τὸ μῦρον, ἀλλὰ τοὺς πόδας ἀλείφουσαν· καὶ τὸ πάθος ἐφεστάναι πάρα τοῦ σωτῆρος οὔπω ἐδιδάσκοντο· ἃ πάντα ἱκανὰ ἦν τῆς ἀγανακτήσεως

ἀπάγειν αὐτούς. Ἄλλως τε δὲ καὶ μηδενὸς τῶν εἰρημένων παρόντος, εἴτινι τῶν μαθητῶν ἀγανάκτησις ὑπεφύετο, εἰς τὸ φανερὸν ἂν ἐπεσχέθη προελθεῖν. Προλαβὼν γὰρ ὁ φαρισαῖος, τῆς ἐπιτιμήσεως ὑπέσχε τὸν ἔλεγχον· καὶ τῆς σιωπῆς τῶν ἄλλων, σωφρονισμὸς ὤφθη καὶ παραίτιος· ἐπὶ δὲ τῆς Λαζάρου ἀδελφῆς οὐκ ἀγανακτοῦσι μὲν οἱ εὐγνώμονες τῶν μαθητῶν, τῆς τε γυναικὸς τῇ εὐλαβείᾳ ἐπεχόμενοι καὶ τῷ ἐνεστηκότι θαύματι συστελλόμενοι· καὶ ὅτι οὐδ᾽ αὐτὴ κατὰ τῆς κεφαλῆς ἐκείνου τὸ μῦρον, ἀλλὰ καὶ τοὺς πόδας πανευλαβῶς ἤλειφε· μόνος μέν τοιγε ὁ Ἰούδας ἀγανακτεῖ, ἀρχόμενος ἤδη τῇ φιλαργυρίᾳ φλεγμαίνειν, καὶ τοῖς τῆς προδοσίας πολιορκεῖσθαι λογισμοῖς.

Ἐπὶ μέν τοι τῆς τρίτης ὡς εἴρηται, κἂν ἐκ διαφόρου γνώμης οἵ τε ἄλλοι μαθηταὶ καὶ ὁ Ἰούδας μάλιστα διαγογγύζει, ὁ μὲν ὡς ἤδη κατὰ κράτος ἁλοὺς τῇ προδοσίᾳ, καὶ φέρειν οὐχ οἷος τε ὢν ἔτι τῆς φιλαργυρίας τὸν φλόγα, τὰ ἔνδον ἅπαντα πυρπολοῦσαν· καὶ διὰ σεβάσματος ὁρᾶν καὶ τιμῆς παρὰ τοῖς ἄλλοις ἀγόμενον τὸν διδάσκαλον· οἱ δ᾽ ἄλλοι μαθηταὶ ἐλεημοσύνης τε, ὡς πολλάκις εἴρηται, πολὺν ἤδη λόγον ἔχοντες καὶ φιλοπτωχίας καὶ πρὸς τὴν διδασκάλου γνώμην οὐδὲν οἰόμενοι διαφέρεσθαι· οὐ γὰρ ἀπεικὸς ἐνόμιζον μὴ δεῖν ἀνέχεσθαι γυναῖκα πόρνην κατὰ τῆς ἀχράντου κεφαλῆς ἐκείνης τὸ μῦρον ἐκχέειν. Ἄλλως τε δὲ καὶ τὸν διδάσκαλον ὁρῶντες πάντων μὲν ὀλιγωροῦντα, πρὸς δὲ τὸν σταυρὸν καὶ τὸν θάνατον ἐπειγόμενον· καὶ γὰρ συνεχῶς τὸ πάθος αὐτοῖς ἤδη προέλεγεν· εἰ τοίνυν ὁ διδάσκαλος ἡμῶν εἰκὸς ἦν αὐτοῖς λογίζεσθαι, πρὸς τὸν θάνατον εὐτρεπίζεται, τί τὸ κῶρος κέρδος τῆς τοῦ μύρου κενώσεως; τίνος δ᾽ ἐξ αὐτοῦ τῆς ὠφελείας μεθέξει, ὃν κακούργων μετὰ βραχὺ θάνατος ἐκδέχεται; διὸ καὶ ὁ σωτὴρ τὴν αὐτῶν διὰ τῶν ἐναντίων διορθούμενος διάνοιαν, εἰς τὸν ἐνταφιασμόν μου φησὶ τοῦτο πεποίηκε· μονονουχὶ λέγων, δι᾽ ὧν ὑμεῖς τὸ μύρον μὴ δεῖν κενωθῆναι διαλογίζεσθε, ἅ τε δὴ πάντων ὀλιγωροῦντος ἐμοῦ, καὶ παρασκευαζομένου πρὸς τὸν θάνατον, διὰ τούτων μᾶλλον τῆς γυναικὸς τὸ ἔργον ἀξιολόγως φαίνεται προελθόν· εἰς γὰρ τὸν ἐνταφιασμόν μου τοῦτο πεποίηκε· καὶ πρὸς μὲν τοὺς εὐγνώμονας τῶν μαθητῶν κατὰ ταύτην τὴν διάνοιαν ὁ δεσποτικὸς λόγος ἁρμόσειεν ἄν· πρὸς δὲ τὸν Ἰούδαν ὡς προείρηται· καὶ γὰρ πρὸς τὴν τῶν λογισμῶν διαφορὰν οἷς ἐμερίζετο τῶν ἀγανακτούντων τὸ σύνταγμα, εἰκὸς ἦν καὶ τὸν δεσπότην ἑκατέραις γνώμαις προενεγκεῖν τὸν λόγον ἁρμόζοντα καὶ τοὺς ἀκροατὰς πρὸς τὸ οἰκεῖον ἕκαστος συνειδὸς τὴν ἀπόφασιν οἰκειώσασθαι. Ἀλλὰ γὰρ περὶ τῶν γυναικῶν αἱ τῷ μύρῳ τὸν δεσπότην ἀλεῖψαι κατηξιώθησαν, ὅτι μήτε πλείους ἦσαν τῶν τριῶν, μήτε ἐλάττους, ἱκανὰ οἶμαι παρασχεῖν τὰ ῥηθέντα τὸ βέβαιον καὶ ἀδίστακτον τοῖς μὴ τὸ φιλονεικεῖν τοῦ μαθεῖν σπουδαιότερον καὶ τιμιώτερον ἄγουσιν.

ΜΘ. Πῶς νοητέον τὸ, πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, τῷ δὲ βλασφημήσαντι εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

Εἴρηται μὲν τοῖς μακαρίοις πατράσιν ἡμῶν ἅτε δὴ ῥηθῆναι κατὰ τοὺς αὐτῶν ἥρμοττε καιρούς· καὶ οὐδεμία κηλὶς αἱρετιζούσης δόξης, τὰ εἰρημένα καταστίζει οὐδεμίαν πρόφασιν ἔλαβεν· εἰρήσεται δὲ νῦν ἃ τῆς μὲν προτέρας αἰτίας οὐκ ἐλάττονα προβάλλεται τὴν ἰσχὺν, τὴν δὲ δευτέραν μᾶλλον ἐστὶ πεφευγότα. Οὐκ ἀφίεται τοιγαροῦν τοῖς εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσασιν ἡ ἁμαρτία, διότι μηδ' ὑπελείποντο ἑαυτοῖς, δι' οὗ τῆς ἀφέσεως ἀξιωθήσονται· καὶ γὰρ ἡ τῶν ἁμαρτημάτων ἄφεσις, διὰ τοῦ πνεύματος δίδοται· ὥς που καὶ ὁ σωτὴρ ἐμαρτύρησεν εἰπών· λάβετε πνεῦμα ἅγιον· ὧν τινων ἀφίετε τὰς ἁμαρτίας, ἀφίενται· ὧν δ' ἂν κρατῆτε, κεκράτηνται· τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ κατάκρισιν δηλονότι τῆς τοῦ πνεύματος ἐξουσίας καὶ δυνάμεως εἶναι διδάσκει· διὰ τοῦ πνεύματος οὖν ἱερουργεῖται τῶν ἁμαρτημάτων ἡ κάθαρσις, καὶ ἀθώωσις· ὁ δὲ βλασφημῶν ἐκεῖνο καὶ τῆς αὐτοῦ σωτηρίας ἀποσκευαζόμενος, πῶς ἂν εἴη δι' αὐτοῦ καθαιρόμενος, ἢ τῆς χρεωστουμένης αὐτῷ τιμωρίας καὶ τῶν εἰσπράξεων ἀθωούμενος; Καὶ οὐδεμίαν οἶμαι ζήτησιν ἔτι παρέχειν τοῖς ἀκριβῶς ἐπισκοποῦσιν ὅπως τῶν ἁμαρτημάτων ὁ κατὰ τοῦ πνεύματος βλασφημῶν οὐχ εὑρήσει τὴν ἄφεσιν. Εἰ δὲ καὶ τὸ λουτρὸν τῆς παλιγγενεσίας διὰ τοῦ πνεύματος ἱερουργεῖται, καὶ τὸ δῶρον ἐκεῖθεν βρύει, καὶ τῆς ἐκεῖθεν πηγάζει χάριτος, οἱ δὲ τοῦτο διασύρουσι καὶ βλασφημοῦσιν ὡς οὐδὲν παρασχεῖν ὄφελος οὐδὲ κέρδος δυνάμενον· τί γὰρ ὕδωρ καὶ ἔλαιον ἐπιψαῦον τοῦ σαρκίου τῶν διὰ βάθους ἐντακέντων τῆς ἁμαρτίας στιγμάτων καὶ τῶν ψυχικῶν παθημάτων ἀπαλλαγὴν ἐργάσασθαι δύναται; Ὁ οὖν ταύτην τὴν βλασφημίαν κατὰ πνευματικῆς ἀναγεννήσεως, καὶ τοῦ μηδενὸς τῶν καλλίστων δώρων ἐνδεεστέρου, κατασκεδάζειν ἐπαρθεὶς εἰς ἀπόνοιαν, καὶ διὰ τοῦτο τελειοῦσθαι τῷ πνευματικῷ χαρίσματι μὴ ἀνεχόμενος, ἀλλὰ διασύρων αὐτὸ καὶ χλεύην ποιούμενος, οὗτος δὴ οὗτος καὶ δι' ὅσων ἄλλων ἕρπει τὸ βλάσφημον, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι, τὴν τῆς βλασφημίας εὑρήσει ἄφεσιν· καὶ γὰρ καὶ ὁ σωτὴρ διαβεβαιούμενος ἔλεγεν· ἀμὴν ἀμὴν λέγω ὑμῖν· ἐὰν μή τις ἀναγεννηθῇ δι' ὕδατος καὶ πνεύματος, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Εἰ δὲ καὶ πνεῦμα οὐ μόνον ἰδιαίτερον τὸ πανάγιον πνεῦμα λέγεται, ἀλλὰ καὶ κοινότερον ἡ ἁγία τριὰς, πνεῦμα γὰρ ὁ θεὸς, καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν, δηλονότι ὁ εἰς πνεῦμα βλασφημῶν, τουτέ-

στιν ὁ κατὰ μιᾶς τινὸς τῶν ὑπερφυῶν καὶ ὁμοουσίων ὑποστάσεων τῆς παντοκρατορικῆς καὶ ὑπερουσίου θεότητος βλάσφημον γλῶσσαν ἀφιεὶς, κἂν δοκῇ τῆς περὶ τὰς ἀρετὰς καὶ τὸν βίον ὕβρεως καὶ δυσφημίας ἀνεύθυνος εἶναι, ἀλλ᾽ οὖν τῷ πολλῷ μείζονι συνεχόμενός τε καὶ ἐταζόμενος ἁμαρτήματι, οὐδαμῶς εὑρήσει τὴν ἄφεσιν, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

Ὅρα δὲ κἀντεῦθεν· υἱὸς ἀνθρώπου λέγεται ὁ σωτὴρ, ἐπείπερ ἀληθῶς ἐχρημάτισεν ἄνθρωπος καὶ ἀνθρωπίνοις ἑκὼν ὑποκύψαι λέγεται πάθεσιν· ἐν οἷς ἡ ἀνθρωπίνη φύσις ὁρωμένη, τὸ ἀδιάβλητον καὶ ἀνεπιτίμητον ἐκληρώσατο· λέγει τοίνυν διὰ τῶν προκειμένων ῥημάτων ὁ σωτὴρ, ὅτι ἀπὸ τῶν ἀνθρωπίνων πράξεων τοῦ υἱοῦ τοῦ ἀνθρώπου, τουτέστιν ἀπὸ τῶν ἀδιαβλήτων παθῶν βλασφημῶν αὐτὸν καὶ διασύρων, οἷον ὅτι ἐπείνασεν, ἐδίψησεν, ὅτι τὸ πάθος ἠγωνίασεν, ὅτι ἱδρῶτες αὐτὸν περιέσταζον, ὅτι περίλυπον ἑαυτὸν ἔλεγε τῷ τοῦ θανάτου φόβῳ διοχλούμενος, ὅτι προσηύχετο, ὅτι παρῃτεῖτο τὸ ποτήριον· ἐκ τούτων οὖν ὁ σκανδαλιζόμενος τῶν ἀνθρωπίνων, καὶ δι᾽ ὧν ὁ σωτὴρ υἱὸς ἀληθῶς ἀνθρώπου παρεῖχεν ἐπιγινώσκεσθαι, οὗτος ῥᾷον δύναται ῥίψαι τὸ σκάνδαλον καὶ τὴν βλασφημίαν διαφυγεῖν, καὶ τῆς ἁμαρτίας λαβεῖν ἄφεσιν· τυφλοὺς ὁρῶν λόγῳ δημιουργουμένους τὰ ὄμματα, χωλοὺς δὲ τῷ δρόμῳ τὸ πάθος ἐλέγχοντας, τὸν ἐν νεκροῖς τεταρταῖον τοῦ θανάτου καταγελῶντα τὴν δύναμιν, καὶ ὅσα ἄλλα θεουργῶν ὁ σωτὴρ ἐδείκνυτο· καὶ τούτων μὲν γὰρ ἕκαστον ἄμαχον ἔχει τὴν ἰσχὺν, τὸν σκανδαλιζόμενον, ἂν ἄρα μὴ ἑκὼν κακουργῇ, ἀπαλλάξαι τῆς πλάνης καὶ τῆς βλασφημούσης διαθέσεως· ὁμοῦ δὲ πάντα ταῖς διανοίαις ἐπιμελῶς μελετώμενα, πῶς οὐ θᾶττον μεταστήσει πρὸς θεολογίαν τὸν ἀπὸ τῶν ταπεινῶν καὶ ἀνθρωπίνων εἰς βλασφημίαν ὑποσυρόμενον; Ὁ δὲ ἀπὸ τούτων τῶν θεοπρεπῶν τε καὶ ὑπερφυῶν ἔργων εἰς βλασφημίαν κακουργῶν, καὶ σπουδάζων ὅπως διὰ τοῦ ἀγαθοῦ τὸ φαῦλον δημιουργήσειε· καὶ νῦν μὲν λέγων, δαίμονας ὁρῶν διώκοντα, δαιμόνιον ἔχει· νῦν δὲ ὅτι ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια· νῦν δὲ οὗ τὰς ὄψεις ἡ γένεσις ἀπεστέρησε, τούτου πηλῷ καὶ λόγῳ τοὺς ὀφθαλμοὺς πλαστουργήσαντα, προπηλακίζων τε καὶ τὸ θαῦμα εἰς ὕβριν ἕλκων, καὶ λέγων ὡς οὐκ ἔστιν οὗτος παρὰ τοῦ θεοῦ· ὁ τοίνυν διὰ τῶν θειοτέρων τε καὶ ὑπερφυῶν ἔργων οὐδὲν βελτιούμενος, ἀλλὰ μᾶλλον ἐπὶ τὸ χεῖρον φερόμενος, καὶ πρὸς ἀπόνοιαν ἀνοιστρούμενος· καὶ δι᾽ ὧν ἔδει θαυμάζειν καὶ ἀνυμνεῖν τὸν εὐεργέτην δι᾽ ἐκείνων ἐνυβρίζων τε καὶ βλασφημῶν, διὰ τίνων ἄλλων ἂν ἐπιστραφῇ καὶ παλινῳδίαν ᾄσῃ, καὶ πρὸς τὴν μετάνοιαν καταφεύξεται, καὶ τῆς δυσσεβείας τε καὶ θεομαχίας τὴν ἄφεσιν λήψεται; ἢ δηλονότι δι᾽ ἑτέρου οὐδενός.

Τὸν βλασφημήσαντα τοίνυν εἰς τὸ πνεῦμα τὸ ἅγιον τουτέστιν εἰς τὰς θεοσημείας, καὶ μηδὲ δι' αὐτῶν τὴν προτέραν δυσφημίαν ἀποσκευασάμενον, τοῦτον οὐδὲν ἕτερον διορθώσεται· μὴ διορθούμενον δὲ, πόθεν ἡ ἄφεσις ἀκολουθήσει τοῦ ἁμαρτήματος; διόπερ εὐλόγως τε καὶ θεοπρεπῶς ὁ σωτήριος λόγος τὸν τὰς θεουργίας εἰς βλασφημίαν μεταστρέψαι φιλονεικήσαντα, πάσης συγγνώμης ἀνάξιον ἢ πηγὴ τῆς ἀφέσεως ἀπεφήνατο· οὐδεμίαν γὰρ ἑαυτῷ πρόφασιν ὑπολελοιπὼς οὔτε διορθώσεως τῶν κατὰ τοῦ πνεύματος ὕβρεων καὶ βλασφημιῶν, οὐδὲ πολλοῦ δεῖ τῆς ἀφέσεως ἀξιωθήσεται· ἐσθίοντα καὶ πίνοντα εἶδες, καὶ διὰ τοῦτο φάγον καλεῖς καὶ οἰνοπότην; ἁμαρτωλοὺς καὶ τελώνας προσδεχόμενον, καὶ τοῦτο σε τελωνῶν ἐπικαλεῖν φιλίαν καὶ ἁμαρτωλῶν ἐπῆρεν; ἀλλ' ὑπολείπεταί σοι τὰ ὑψηλὰ, δι' ὧν καὶ τούτων τῶν ὕβρεων ἀποστὰς καὶ πρὸς μετάνοιαν καταφυγὼν, τὴν ἄφεσιν εὑρήσεις· ὅτι μετὰ γυναικὸς καὶ τότε σαμαρίτιδος ἐλάλου καὶ πιεῖν παρ' αὐτῆς ὕδωρ ἐπεζήτει, τὰ ταπεινὰ συνηλάθης λογίζεσθαι περὶ αὐτοῦ; πῶς ὥσπερ ἔλαβες τὴν σαμαρεῖτιν, πρόφασιν ταπεινοτέρας ὑπολήψεως καὶ δόξης, οὕτως οὐ παρέλαβες αὐτὴν διδάσκαλον καὶ τῆς ὑψηλοτέρας; δεῦτε γάρ, φησιν, ἴδετε ἄνθρωπον, πόλιν ὅλην ἐπιστρέφουσα ἐκάλει, ὃς εἶπε μοι πάντα ὅσα ἐποίησα· οὐδὲ ταῦτα σε θεωρὸν ἐργάζεται τῶν θειοτέρων τε καὶ ὑψηλοτέρων; ἀλλ' ὅτι πυνθάνεται τῶν μαθητῶν, τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, ἀνοίας ἅρπαγμα τὴν ἐρώτησιν ποιησάμενος, ἕνα τῶν πολλῶν νομίζεις; καὶ πῶς οὐ πρὸς θεοπρεπῆ δόξαν ἀναβαίνεις, ἀκούων λέγοντος τῷ τὴν ἀπόκρισιν παρεσχημένῳ, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς; καὶ σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· ἀνθρώπινα ταῦτα, ἢ μόνης τῆς παντοδυνάμου θεότητος καὶ φιλανθρώπου; ἀλλὰ ῥήματα ταῦτά ἐστι, καὶ τὴν ὄψιν οὔπω προσέλαβε μάρτυρα; οὐδὲ τῶν πραγμάτων εὐθὺς ἐνέστηκεν ἡ ἐνέργεια; τυφλοὺς ὁρῶν μετὰ γέννησιν τὴν τῶν ὀμμάτων ἑορτάζοντας ἀναγέννησιν, καὶ τῇ ἐναργείᾳ τῶν ὄψεων τὸ ἐκ γενέσεως πάθος ἀπελάσαντας, κωφοὺς ἀκούοντας, καὶ χωλῶν τὰς βάσεις ὀρθουμένας ῥήματι, καὶ νεκροὺς ἀνισταμένους, καὶ πέτρας τῷ πάθει τῷ δεσποτικῷ ῥηγνυμένας, καὶ ἥλιον σκυθρωπάζοντα, καὶ σκότος ἀντὶ τῶν ἀκτίνων καὶ τῆς πολλῆς λαμπρότητος περιβαλλόμενον, καὶ τάφους κενουμένους, καὶ νεκροὺς μετὰ τῶν ζώντων τὴν κοινὴν ἀνάστασιν προδιατυποῦντας καὶ συνεορτάζοντας.

Ταῦτα ὁρῶν, πῶς οὐ πάντων ἀπέστης δι' ὧν σεαυτῷ συνῆτες τὰ σκάνδαλα, καὶ τὸν γνώμονα ἐτραυμάτιζες, καὶ πολλῇ σπουδῇ καὶ δρόμῳ καταφυγὼν πρὸς μετάνοιαν ἐπεδείξω τὴν διόρθωσιν; ἵνα δι' αὐτῆς καὶ ἀφε-

σιν τῶν ἁμαρτιῶν ἐκέρδησας· ἀλλ' οὐδὲ τούτοις καταμαλάττεσθαι τὴν τῆς καρδίας πύρωσιν ἀνέχῃ· ἔτι δὲ μᾶλλον φιλονεικεῖς τὴν ἀπόνοιαν καὶ τὸ θεόμαχον κρατύνειν· καὶ νῦν μὲν ἐν τῇ τοῦ σαββάτου περιεργοτέρᾳ καὶ καιρὸν οὐκ ἐχούσῃ φιλοτιμίᾳ, τὰς ὑπὲρ τὸ σάββατον θεοσημείας φαυλίζεις· νῦν δὲ τὸ σάββατον οὐκ ἔχων ἀναχώρησιν τῆς βλασφημίας, ὁρῶν δαιμονίας πληγῆς ἀπαλλαττόμενον τὸ γένος, ἐπὶ τὸν βεελζεβοὺλ καταφεύγεις· νῦν δὲ καὶ ταύτην τὴν πρόφασιν ἀναπλάττειν παντελῶς ἀφῃρημένος, τὸν θάνατον ἔγνως καὶ τὴν μιαιφονίαν βοηθὸν καὶ σύμμαχον ποιεῖσθαι· καὶ ὃν ἐκεῖνος τεταρταῖον οὐκ ἴσχυσεν ἔτι κατέχειν νεκρὸν, τοῦτον πάλιν ὑποστρέφειν πρὸς αὐτὸν, τὰς παλαμναίας γνώμας καὶ χεῖρας ἐκτείνεις· ἐζήτουν γάρ φησιν οἱ Ἰουδαῖοι ἵνα καὶ τὸν Λάζαρον ἀποκτείνωσι· καὶ τὸ τελευταῖον, τὸν ταῦτα θαυματουργήσαντα, σταυρῷ καὶ θανάτῳ καταδικάζεις· καὶ κουστωδίαν ζητεῖς· καὶ σφραγῖδας ἐπιβάλλεις τῷ νεκρῷ καὶ τῷ τάφῳ· καὶ τὸ ἀναισχυντότατον καὶ πᾶσαν ὑπερβάλλον ἀθεότητα καὶ συγγνώμην οὐδεμίαν οὐδαμῶς ὑπολειπόμενον τῆς κλοπῆς τῷ πλάσματι τὴν ἀνάστασιν κλέπτεις· μηδὲ τῷ τῶν ἐξ αἰῶνος ἁπάντων ὑπερκειμένῳ παραδόξων καὶ ὑπερφυῶν ἔργων δυσωπηθείς τε καὶ μεταβληθεὶς θαύματι, ἀλλὰ κατ' ἐκείνου μᾶλλον τὸ κακοῦργον μελετήσας, ὅσῳ καὶ τῇ ὑπεροχῇ τῶν ἄλλων διέφερεν. Ὁ γοῦν ἐκ μηδενὸς τῶν λαμπρῶς ἀπαστραπτόντων τὸ ἀξίωμά τε καὶ τὴν ἄμαχον ἰσχὺν τῆς θεότητος ἤτοι τῶν πνευματικῶν τε ἐνεργειῶν καὶ πράξεων μηδεμίαν μεταβολὴν, μηδὲ μετάνοιαν ἐπιδειξάμενος, οἷς ἑαυτὸν διὰ τῶν ἀνθρωπίνων φαύλοις καὶ ψυχοφθόροις κατῃκίσατό τε καὶ κατέστιξεν ὑπολήψεσιν· ἀλλὰ καὶ τὰ θεῖα προσθήκην ἀπονοίας καὶ θεομαχίας μείζονος τοῖς τετολμημένοις ποιησάμενος, κατάδηλόν τε καὶ ἐμφανέστατον, ὡς ὁ τοιοῦτος μηδὲν ἑαυτῷ ὑπολειπόμενος, δι' οὗ τὸ κρεῖττον τοῦ φαύλου προέλοιτο, καὶ θερμῇ καὶ ὀξείᾳ μετανοίᾳ διαλύσει τῶν φθασάντων τὰ ὀφλήματα, οὐδὲ τῆς ἀνέσεως ὅλως ἀξιωθήσεται οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι.

Εἰσὶ δὲ, οἷς τὸ οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι τρόπον ἕτερον ἐκλαμβάνεται, καὶ τῆς ἀπορίας ἡ λύσις ἁπλούστερόν τε καὶ ἑτοιμότερον προάγεται· ὁ μωσαϊκὸς, φασὶ, νόμος τὸν εἰς τὸ θεῖον βλασφημήσαντα, θανάτῳ ζημιοῖ, οὐ μεταδιδοὺς αὐτῷ συγγνώμης οὐδεμιᾶς οὐδ' ἀφέσεως· καὶ τοῦτο δηλοῖ τὸ μὴ ἀφιέσθαι τὸν βλασφημήσαντα ἐν τῷ παρόντι αἰῶνι· διό φασιν εὔλογον διανοεῖσθαι ὡς ὁ βλασφημῶν εἰς τὸ πνεῦμα τὸ ἅγιον θεόθεν καὶ κατὰ τὸν μέλλοντα αἰῶνα δώσει τὴν δίκην καὶ τὰς τῆς βλασφημίας ποινὰς εἰσπραχθήσεται, ἀλλὰ καὶ κατὰ τὸν παρόντα τιμωρίαις ἐσχάταις ὑποβάλλεται, τοῦ μωσαϊκοῦ νόμου τὴν καταρωμένην γλῶσσαν ἐπαφιέντα κατὰ τοῦ θεοῦ, τουτέστι τὸν βλασφημίαις ἐνυβρίζον-

τα τὸ θεῖον, οὗ τῆς οὐσίας καὶ τῆς κυριότητος ὑπάρχει καὶ τὸ πνεῦμα, λίθοις νομοθετήσαντος λιθοβολεῖσθαι καὶ τῆς ζωῆς ἀπελαύνεσθαι· ὥστε θεὸς τὸ πνεῦμα, κἂν τοῖς θεομαχοῦσιν οὐ δοκῇ, περιφανῶς ἀνακηρύττεται· ἐν ᾧ καὶ τὰ ὑπὲρ λόγον ἔργα ὁ δημιουργὸς τῆς φύσεως ἐθεούργει, ἐν δακτύλῳ θεοῦ, λέγων, ἐγὼ τὰ δαίμονια ἐκβάλλω· δάκτυλον θεοῦ διὰ τὸ τῆς οὐσίας ἀδιάφορον καὶ τῆς ἐνεργείας τὸ αὐτοδέσποτον ἐπονομάζων τὸ πνεῦμα· ἐν μέν τοι τῷ ἁγίῳ πνεύματι φησὶ ἐκβάλλει τὰ δαιμόνια, οὐχ ὅτι αὐτὸς ἐξ ἑαυτοῦ μὴ ἠδύνατο, ἀλλ' ἐν πᾶσιν αὐτοῦ τοῖς θεοπρεπέσιν ἔργοις, τὴν τοῦ πατρὸς καὶ πνεύματος ἐνέργειαν ὡς ὁμοουσίων καὶ ὁμοφυῶν καὶ πρὸς ἓν καὶ τὸ αὐτὸ θέλημα νευόντων συμπαρεῖναι διδάσκων· διὰ τοῦτο γὰρ καὶ ἔλεγεν, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· καὶ ἀφ' ἑαυτοῦ οὐ λαλῶ· καὶ τὸ, ἐν δακτύλῳ θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια· καὶ ὅσα ἄλλα τὸ ὁμοφυὲς καὶ ὁμοδύναμον καὶ τῆς ἐνεργείας καὶ τοῦ θελήματος τὸ ἑνιαῖον ἱερολογοῦσι καὶ ἐκδιδάσκουσιν· οἶδα δέ τινας εἰπόντας, ὅτι κατ' ἐκεῖνο καιροῦ καθ' ὃν ἡ δεσποτικὴ ἀπόφασις προήχθη καὶ τὸ κράτος εἶχε περιγραφόμενον· καὶ γὰρ τηνικαῦτα οὔπω τῆς ἀναστάσεως ἐπιστάσης, οὐδὲ τῆς εἰς οὐρανοὺς ἀναλήψεως ἐπιδεδειγμένης, οὐδὲ τοῦ πνεύματος αὐτοσχεδίους καὶ κοινοὺς τῆς οἰκουμένης ῥήτορας τοὺς μαθητὰς τελεσαμένου, οὔπω τούτων τῶν ὑπερφυεστάτων ἐπιστάντων, ὁ τὸν υἱὸν τοῦ ἀνθρώπου βλασφημῶν, καὶ τοῖς ἀνθρώποις προσπταίων, εὑρήσει ἄφεσιν· ἐπεσκιάζετο γὰρ αὐτοῖς ἔτι τότε τῷ σαρκίῳ τὸ ἀξίωμα· τῷ δὲ εἰς τὸ πνεῦμα βλασφημοῦντι, οὔτε κατὰ τὸν καιρὸν ἐκεῖνον, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι ἡ τῆς βλασφημίας δοθήσεται ἄφεσις· οὐδὲν γὰρ ἐπιπροσθοῦν εἶχον οὗτοι πρὸς τὸ μὴ καθορᾷν αὐτοὺς τὴν ὑπὲρ λόγον ἐνέργειαν καὶ τὰς δι' αὐτῆς ἀπαστραπτούσας τῆς θεότητος ἀκτῖνας. Ἄλλοι δὲ πρὸς τοιαύτην διάνοιαν διὰ τῶν προκειμένων ἕλκοντας ῥημάτων· ποίαν ταύτην; τοῦ λουτροῦ φασι τῆς ἀφέσεως τοῦ ἐν παντὶ ἁγίῳ καὶ πυρὶ τελεσιουργουμένου μήπω παῤῥησιαζομένου οὐκ ἦν εὑρεῖν τῷ εἰς τὸ θεῖον πνεῦμα βλασφημήσαντι τὴν ἄφεσιν· ὅτι μηδὲ τὸ μετασχεῖν ἐνῆν τῆς παλιγγενεσίας καὶ τῆς ἐκεῖθεν καθάρσεως· διὸ εἰκότως ὁ εἰς τὸ πνεῦμα τὸ ἅγιον βλασφημήσας, οὔτε ἐν τῷ νῦν αἰῶνι, καὶ διὰ τοῦτο οὐδὲ ἐν τῷ μέλλοντι, οὐδαμῶς τυγχάνει τῆς ἀφέσεως.

Ν. Τοῦ μακαρίου Μάρκου καὶ εὐαγγελιστοῦ γεγραφότος· ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτόν· ἔλεγον γὰρ ὅτι ἐξέστη· ποίᾳ διανοίᾳ τὴν τῶν ῥημάτων συνθήκην ἁρμόζοντες, οὐκ ἂν εἴημεν πόῤῥω τοῦ εὐαγγελικοῦ διηγήματος παρενηνεγμένοι;

Διαφόροις κατελάβομεν τὸ ῥητὸν ὑποβαλλόμενον ἑρμηνείαις· καὶ γὰρ ἔνεστι λαβεῖν τὸ, ἔλεγον ὅτι ἐξέστη, τὸν εὐαγγελιστὴν εἰπεῖν ἀντὶ τοῦ ἔλεγον ὅτι ἀποστῆναι αὐτῶν βούλεται, καταλιπεῖν αὐτοὺς διανοεῖται πρὸς ἑτέρους μεταχωρῆσαι· καὶ ταύτης συνήγορον τῆς ἐννοίας οἱ ταύτης προεστηκότες τὸν ἱερὸν παράγουσι Λουκᾶν· τὴν γὰρ αὐτήν φασιν ἱστορίαν παραδιδόντα λέγειν· καὶ οἱ ὄχλοι ἐπεζήτουν αὐτὸν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν· οἱ δὲ καὶ διάφορον ἀποφαίνοντες τὴν ἱστορίαν ἣν ὁ θεσπέσιος ἀναγράφει Λουκᾶς πρὸς ἣν ὁ θεῖος ἀπαγγέλλει Μάρκος, εἰς ἑτέρας σαφηνείας ζήτησιν μετῆλθον· καὶ γάρ, φασιν· ἐνταῦθα μὲν ἐν οἰκίᾳ τε ἦν ὁ Ἰησοῦς, καὶ αὐτὸς ὁ μανθάνων τὰ θεῖα καὶ θεραπευόμενος ὄχλος, καὶ οὐδὲ φαγεῖν ἄρτον τῇ συνεχείᾳ τῆς ὀχλήσεως παρείχοντο καιρόν· καὶ οἱ παρ' αὐτοῦ ἐξῆλθον κρατῆσαι αὐτόν, καὶ ἐλθόντες ἕως αὐτοῦ, κατεῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν· τῆς οὖν ἱστορίας φασὶ τὸ διάφορον ἐχούσης, πῶς ἂν εἴη λέγειν περὶ τῆς αὐτῆς ὑποθέσεως ἑκάτερον διαλαμβάνειν; ἀλλ' ἔστιν εἰπεῖν πρὸς αὐτούς, ὡς εἰ καὶ διάφορος ἡ ἱστορία, ἀλλ' ἐκκαλύπτεται καὶ ἀνακαθαίρεται πρὸς εὐκρίνειαν διὰ τῆς ὁμολογουμένης ἡ ἀμφίβολος· δηλούσης ἐκείνης τὸ κατέχεσθαι καὶ κρατεῖσθαι ἐφ' ᾧ τε ἐγίνετο, καὶ ὅτι μὴ ἀφίστασθαι αὐτῶν καὶ ἀποχωρεῖν, καὶ ὅτι ποθοῦντες αὐτοῦ τὴν διδάσκαλον ὁμιλίαν, καὶ τῇ τῶν θαυμασίων ἔργων ἐντρυφῶντες ἀπολαύσει, ἐπενόουν τὴν κατάσχεσιν· καὶ γὰρ πολλάκις κατελίμπανε τόνδε τὸν χῶρον ὁ φιλάνθρωπος Ἰησοῦς, καὶ τοὺς διοχλοῦντας ἐν αὐτῷ τῶν ὄχλων εἰς ἑτέρους τὴν ἀπὸ διδασκαλίας καὶ θεουργίας μετάγων σωτηρίαν· πλὴν οὗτοι τὸ μὲν κρατῆσαι αὐτόν, εἰς τὸ ἐπισχεῖν αὐτὸν τοῦ λέγειν καὶ διδάσκειν μεταλαμβάνουσιν· τὸ δὲ, ἐξέστη, πρὸς τὴν τῶν φυσικῶν δυνάμεων καὶ τῆς καθεστώσης διαθέσεως, ἣν οἱ κόποι προξενεῖν εἰώθασιν ἔκστασιν, τοιαύτην ἑρμηνείαν προσάγουσι· τῷ χρόνῳ φασὶ καὶ τῇ συνεχείᾳ τῆς διδασκαλίας ἐνόμιζον οἱ παρ' αὐτοῦ εἰς ἄμετρον καταντήσαντα κόπον, τοῦ ζωτικοῦ τόνου καὶ τῆς ἐμφύτου δυνάμεως εἰς ἔκστασίν τε καὶ ἀσθένειαν ἐμπεσεῖν· ὅπερ γὰρ ἐκεῖνοι πεπονθότες ἴσως ἐτύγχανον τῇ ἐπιμονῇ καὶ τῷ ἀεννάῳ τῆς ἀκροάσεως καὶ τῇ τοῦ πλήθους συνωθήσει καὶ τῷ θορύβῳ, τοῦτο παθεῖν καὶ τὸν διδάσκαλον ὑπετόπαζον· διὸ καὶ οἱ παρ' αὐτοῦ φασιν, τουτέστιν οἱ πρὸς αὐτὸν

οἰκειότερον διακείμενοι, ἐξῆλθον κατασχεῖν αὐτὸν ὡς πολλὴν αὐτοῦ τὴν κηδεμονίαν ἔχοντες καὶ πρόνοιαν τῆς ἀνέσεως αὐτοῦ καὶ τῆς τῶν κόπων διαλύσεως, ὡς ἂν τοῦ πλήθους τὸν διδάσκαλον διαστήσαντες, τροφῆς τε καὶ τῆς ἄλλης ἐπιμελείας, δι' ὧν τὸ σῶμα καμάτων ἀπαλλάττεται, μεταδώσουσιν· ἐξῆλθον δὲ ἴσως ἀπό τινος ἐπιτηδείου πρὸς ἀνάπαυσιν καὶ ἡσυχίαν τόπου, ἐν ᾧ ἐπῆλθον ἑαυτοὺς ἀνακτήσασθαι· ὁ μὲν οὖν δεύτερος λόγος τῷ προτέρῳ μὴ τιθέμενος, οὕτω βούλεται διευκρινεῖν τὸ εὐαγγελικὸν λόγιον.

Εἰσὶ δὲ οἱ πρὸς τὴν τῶν ἰουδαίων μοχθηρίαν καὶ τὸ βλάσφημόν τε καὶ κακόσχολον ἀποβλέψαντες τὸ, ἐξέστη, κατὰ τὸ πρόχειρον ἐξακούουσι, τουτέστι τῶν φρενῶν ἔκστασιν ἔσχε καὶ παράφορος τοῦ καθεστῶτος ἐγένετο· καὶ γὰρ τοιοῦτον τῶν ἰουδαίων τὸ μισόχριστον, πάσας ὕβρεις καὶ διαβολὰς ἀναπλάττειν κατὰ τοῦ σωτῆρος οὐ φρίττοντες· τῷ γὰρ φθόνῳ διὰ παντὸς καὶ τῇ βασκανίᾳ ἀνοιστρούμενοι, καὶ μεμηνότων οὐδὲν διαφέροντες, καὶ ὡς ἀληθῶς τοῦ ἐμφύτου κριτηρίου τὴν ἐσχάτην ὑποστάντες ἔκστασιν, τὸ οἰκεῖον πάθος εἰς τὸν πολλοὺς τῶν τοιούτων νοσημάτων ἀπαλλάξαντα, ἐναπέρριπτον· οἱ γὰρ θεουργοῦντι τὰ ὑπὲρ λόγον καὶ ἔννοιαν τὸ ἀντίθεον ἐπιφημίζοντες, διότι τὸ σάββατον ἡμέραν σωτηρίας καὶ θαυμάτων ἑορτὴν ἐπεδείκνυτο, καὶ δαιμόνων λόγῳ τὸ πλάσμα βλέποντες ἀπαλλάττοντα, ἐν τῷ ἄρχοντι τῶν δαιμονίων βλασφημοῦντες αὐτὸν ἐκβάλλειν τὰ δαιμόνια, οὐδὲ τὴν καρτερίαν καὶ τὴν ὑπομονὴν διδάσκοντος καὶ θεραπεύοντος τοὺς ὄχλους, οὐμενουν οὐχ ἡγοῦντο τολμηρὸν φρενῶν ἔκστασιν κατηγορεῖν, καὶ τῶν βλασφήμων ῥημάτων μάρτυρας ποιεῖν, τὰς ὑβριστικὰς αὐτῷ καὶ θρασείας ἐπανατεινόμενοι χεῖρας· ἀλλ' οὕτω μὲν οὗτοι φασὶ μηδὲν τῇ δόξῃ αὐτῶν διαμάχεσθαι, μηδὲ τὸ, ἐξῆλθον οἱ παρ' αὐτοῦ κρατῆσαι αὐτὸν· καὶ γὰρ οὐδ' οἱ νομιζόμενοι ἀδελφοὶ οὐδ' αὐτοὶ πρὸς αὐτὸν οἰκείως καὶ εὐσεβοφρόνως διέκειντο· ἀλλὰ κἀκεῖνοι ἐσκανδαλίζοντο, ἰουδαϊκῆς ἀγνωμοσύνης ἐκ τῆς πρὸς αὐτοὺς ἀναστροφῆς καὶ διαίτης οὐ καθαρεύοντες, πολλὰς πολλάκις κατ' ἀρχὰς παρασχόντες λαβὰς τῆς εἰς αὐτὸν ἀπιστίας· καὶ μηδὲν τῶν ἄλλων ἰουδαίων ἄμεινον τὴν διάθεσιν ἐπιδείκνυσθαι, εἰ καὶ μετὰ ταῦτα μαρτυρικοῖς ἄθλοις ἑαυτοὺς ἀνεκαλέσαντο· καὶ τὴν Ἰησοῦ θεότητα ἣν πρότερον οὐδὲ γλώσσῃ παρεδέχοντο, αἵματι καὶ σφαγαῖς πᾶσιν ἀνεκήρυξαν. Ἐγὼ δὲ σκανδαλίζεσθαι μὲν τοὺς νομισθέντας ἀδελφοὺς παρὰ τοῦ σωτῆρος, καὶ μὴ θεοπρεπῆ τὴν ὑπόληψιν κατ' ἀρχὰς ἔχειν περὶ αὐτοῦ, διά τε τὸ πρόβλημα τῆς σαρκὸς καὶ τῆς ὑπὲρ νοῦν συγκαταβάσεως τοῦ λόγου, τῷ παραδόξῳ καὶ μεγέθει μὴ δύνασθαι συνεπαίρειν καὶ συνανυψοῦν τὴν διάνοιαν, τῶν σεβασμίων με τοῦτο λογίων διδασκόντων, οὐκ ἀμαθής εἰμι· ὅτι δὲ μέχρι τούτων προῆλθον μοχθηρίας,

ὡς καὶ δαιμονᾷν καὶ ἐξεστᾶναι καὶ φρενῶν ἀῤῥωστίαν αὐτοῦ καΐηγορεῖν, οὐχ ὁμοίως τίθεσθαι οὐδὲ συγχωρεῖν οἷός τε εἰμί.

ΝΑ. Διατὶ τὸν παράδεισον ἐφύτευσεν ὁ Θεὸς, μέλλων εὐθὺς ἐκβάλλειν τὸν Ἀδὰμ ἐξ αὐτοῦ;

Τῶν μὲν ἀποῤῥήτων καὶ κρειττόνων ἢ ζητεῖσθαι καὶ καταλαμβάνεσθαι, Παύλῳ μὲν καὶ τοῖς κατὰ Παῦλον πρὸς τὴν θεωρίαν ἀνατείνεσθαι, οὔτε ἀδύνατον γέγονεν οὔτε σφαλερόν· ὅσοι δὲ τῷ σαρκίῳ καὶ τῶν αὐτοῦ θελημάτων τῷ βάρει συγκαθελκόμεθα, οὐδ᾽ ἄλλων ἡμῖν χεῖρα φιλανθρωπον καὶ χειραγωγὸν προτεινόντων, ἀσφαλῆ δυνάμεθα τὴν ἄγουσαν τρίβον πρὸς τὶ ὑψηλότερον καὶ ὑπὲρ ἡμᾶς ποιήσασθαι. Ταύτῃ τοι καὶ ἡ παραίνεσις, χαλεπώτερά σου μὴ ζήτει, φησὶ, καὶ ἰσχυρώτερά σου μὴ ἐξέταζε· πλὴν ἐπείπερ ἡ πηγὴ τῆς σοφίας καὶ τῆς ἀγαθότητος, φιλανθρώποις ἡμᾶς ὑποσχέσεσι δεξιουμένη, αἰτεῖτε, παρεκελεύσατο, καὶ δοθήσεται ὑμῖν, κρούετε, καὶ ἀνοιγήσεται, ταύτῃ τῇ ἐπαγγελίᾳ τῆς ἐνυποστάτου ἀληθείας πεποιθότες καὶ κρούσαντες καὶ αἰτήσαντες, εἰ δὲ δέδοται καὶ ἠνέῳκται, δηλώσει ὁ λόγος. Φαμὲν ὡς ὁ Θεὸς ἐφύτευσε τὸν παράδεισον, οὐ τὸν Ἀδὰμ ἐκεῖθεν εὐθὺς μέλλων ἐλαύνειν· οὐδὲ γὰρ οὐδ᾽ ἔμελλεν οὐδ᾽ ἔθετο σκοπὸν χερσὶ διαπλάττων τὸν Ἀδὰμ, καὶ παράδεισον φυτουργιῶν ὑπερόριον εὐθὺς ἐκεῖθεν ποιεῖν, καὶ τῆς ἀφορισθείσης αὐτῷ μακαρίας διαγωγῆς· ἀλλ᾽ ἐκεῖνος τὸν νόμον τῆς ἐντολῆς εἰς ἀθέτησιν λύσας, καὶ τὴν ἄλλην εὐφροσύνην εἰς λύπην μετήνεγκεν, καὶ τοῦ παραδείσου τὴν ἐκβολὴν συνεισήνεγκεν· ἐπεὶ ὥσπερ θάνατον ὁ Θεὸς οὐκ ἐποίησεν, ἀλλ᾽ ἐν ἀῤῥαβῶνι τῆς ἀθανασίας τὸν ἄνθρωπον ἐπλαστούργησεν, οὕτως οὐδὲ τοῦ ἱεροῦ χωρίου, οὐδὲ τῆς μακαρίας αὐτὸν τρυφῆς ὑπερώρισεν· ἀλλ᾽ αὐτὸς ὁ τοῦ παραδείσου πρῶτος πολίτης, τῇ συμβουλῇ τοῦ ὄφεως, τῆς ἐντολῆς προτιμήσας τὴν παράβασιν, ἑαυτῷ καὶ τὸν θάνατον καὶ τὴν ἐκβολὴν τοῦ παραδείσου κατειργάσατο.

Δεύτερον δὲ οὐδ᾽ εἴωθε τὸ θεῖον τὰ τῶν ἀνθρώπων παρορᾷν πλημμελήματα, τὸν εἰς αὐτοὺς τῆς εὐεργεσίας πλοῦτον καὶ τὰς δωρεᾶς ἀναστέλλειν· οὐδ᾽ ἐθέλει τῶν πλημμελημάτων λαμβάνειν τὴν δίκην, οὔπω τοῦ τολμήματος εἰς ἔργον προεληλυθότος· οὕτω καὶ τῶν ἀσωμάτων δυνάμεως τὸν ἀποστάντα τῆς αὐτοῦ προνοίας καὶ ἀγαθότητος εἰδὼς, καὶ τὴν συναποστᾶσαν αὐτῷ μερίδα ὅμως προήνεγκεν ἀγαθότητι, καὶ δημιουργεῖ μὲν ὡς ἑωσφόρον τὸν ἀποστάτην, μηδαμῶς μὲν ἐξ ὧν ὕστερον τὸν τῆς ἀγνωμοσύνης ὑπέδυ ζόφον, μήτε τῆς δημιουργίας ἀποστερήσας, μήτε τῆς λαμπρότητος· ἀποστάντα δὲ καὶ ὡς ἀστραπὴν τοῦ οὐρανοῦ πεσόντα ἰδὼν, τὴν δίκην ἀφῆκεν εἰσπράττεσθαι τῆς

ἐπάρσεως· τοιαύτη τοῦ δημιουργοῦ ἡ περὶ τὰ δημιουργήματα οἰκονομία καὶ διάκρισις. Διὸ κἂν ἔμελλεν ὁ Ἀδὰμ ἁμαρτάνειν καὶ ἐκβάλλεσθαι τοῦ παραδείσου, οὐδὲν ἧττον ἔπρεπε τῇ τοῦ δημιουργοῦ ἀγαθότητι καὶ λογικὸν ζῶον ὑποστῆσαι τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον ἐν ᾧ διαιτώμενος ἐμακαρίζετο., ἀλλὰ μὴ τὸ κάλλιστον τῶν ἐπιγείων ἔργων ἐπισχεῖν διὰ τὴν τοῦ Ἀδὰμ παράβασίν τε καὶ τῆς παραβάσεως εἴσπραξιν· καὶ γὰρ ἀεὶ τὸ θεῖον τὸ ἑαυτοῦ ποιεῖ αἐννάως μὲν βρύειν τὰ νάματα τῆς χρηστότητος καὶ τῆς ἀγαθότητος, τῆς ἁμαρτίας δὲ τολμωμένης τὴν τιμωρίαν ἐπάγει· ἀνίατον τὴν ἀπὸ τοῦ πλημμελήματος πληγὴν καὶ τὰ τραύματα διαμένειν καὶ τὸν ἄνθρωπον οὐκ ἀνεχόμενον κατανέμεσθαι· καὶ νῦν προεωρᾶτο μὲν ἡ παράβασις, προεωρᾶτο δὲ ἡ ἐκβολή· τὸ δὲ κάλλιστον τῶν ἐπιγείων φιλοτοτέχνημα ἔργων ὁ παράδεισος πρὸς ἀνυπαρξίαν διὰ τὸν Ἀδὰμ οὐκ ἀνεστέλλετο· διὸ καὶ προάγει τοῦτον ὁ Θεός, καὶ τὸν Ἀδὰμ εἰς τερπνὴν ἀποκαθίστησι δίαιταν, παραβεβηκότα δὲ μένειν ἔτι καὶ τρυφῆς ἀπολαύειν ἧς ἀπήλαυεν ἂν νομοφυλακῶν, τῆς δικαιόσυνης οὐκ ἐπέτρεπε τὸ ἀδέκαστον. Τρίτον δὲ εἰ καὶ πλαστουργήσας τὸν Ἀδὰμ τῷ παραδείσῳ κατῴκισεν, ἀλλ' οὐδ' ἐκεῖνον μὲν μόνον τὸ τοιοῦτον καὶ τηλικοῦτον ὑπεστήσατο φιλοτέχνημα, διὰ πάντας δὲ οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον τοὺς ἐξ Ἀδὰμ, ὅσοι τὴν ὑπερκαλλῆ καὶ ὡραῖαν διάπλασιν τοῦ Ἀδὰμ καὶ τῆς θείας εἰκόνος τὸ ἀνύβριστόν τε καὶ ἀπαραχάρακτον διεσώσαντο· ποῦ τοίνυν ἦν καλόν; ποῦ δὲ σοφὸν δι' ἕνα παραβεβηκότα, καὶ τότε μηδ' αὐτὸν ὑστέροις χρόνοις τῆς κοινῆς ἀποστερούμενον ἀπολαύσεως, τοσοῦτον πλῆθος ἀποστερεῖν τοῦ παραδείσου, τὸ ἱερὸν ἐκεῖνο χωρίον μὴ δημιουργοῦντα μηδὲ προάγοντα;

Πρὸς τούτοις δὲ μηδὲ τοῦτο παροπτέον· ἔδει τὸν Ἀδὰμ πράξεως τινὸς καὶ ἐνεργείας τὸν πρωτόπλαστον οὐχ ὑβριζούσης ἐπιμέλειαν ἔχειν, ἵνα μὴ ἀργὸν εἴη καὶ ἀδιανόητον τὸ λογικὸν ζῶον ὁ ἄνθρωπος. Ταύτην δὲ κατορθοῦντι στεφάνους καὶ δόξαν, καταμελοῦντι δὲ τιμωρίαν καὶ ἀδοξίαν ἕπεσθαι· ῥέψαντα δὲ πρὸς τὸ ῥᾷστον ἡ κόλασις ἠκολούθησεν· οὐκοῦν τοὺς αὐτοὺς ἄν τις προβάλλοιτο λόγους, οὓς καὶ περὶ τοῦ παραδείσου καὶ περὶ τῆς ἐκβολῆς· καὶ τίνος χάριν ἐπιζητήσει καὶ ζυγομαχήσει, οἱ στέφανοι ἐπλέκοντό τε καὶ ηὐτρεπίζοντο· εἰ δὲ τοῦτο οὐκ ἔτι παράδεισος, καὶ Ἀδὰμ καὶ ὑπερορία λογοθετεῖται. Ἀλλὰ κατὰ παντὸς οὗπερ ἂν τὴν προαγωγὴν ἡ φιλάνθρωπος καὶ δημιουργικὴ ἀγαθότης προείλετο ὑποστήσασθαι, ταῖς αὐταῖς κἂν μὴ ὁμολογῶσιν οἱ ἐκεῖνα λογοθετοῦντες, ὑπέβαλλον ἂν πολυπραγμοσύναις τῇ τοῦ δημιουργήσαντος μὴ συναρεσκόμενοι σοφίᾳ. Ἐπισκοπεῖν δ' ἔξεστι καὶ τοῦτο· τίνος γὰρ ἂν ὁ Ἀδὰμ ἔγνω μετὰ τὴν ἁμαρτίαν αἰσθήσει κρινομένης ἀπολαύσεως ἐστερημένος, μὴ τῆς τοῦ παραδεί-

σου διαγωγῆς ὑπερόριος γεγενημένος; ταύτην δὲ τὴν ἐπίγνωσιν ἐστερημένος, πῶς ἂν αὐτὸν συνέσχον λῦπαι καὶ ὀδύναι; μηδενὸς δὲ πλήττοντος καὶ συνθλίβοντος τῶν παραλυπούντων, πόθεν ἂν ἐπέγνω τὸ μέγεθος τοῦ ἁμαρτηθέντος; πῶς δ᾽ ἂν τῆς μετανοίας ἐγένετο, καὶ τὴν θείαν εὐμένειαν ἐδυσώπησεν, ὥστε μὴ τῆς συγγνώμης αὐτῷ καὶ τῆς ἀφέσεως εἰς τὸ παντελὲς καὶ δι᾽ αἰῶνος ἀποστερηθῆναι;

Εἰ δὲ καὶ τοῦτο τίς ἐπιλογίσασθαι βούλοιτο, ὡς διὰ τοῦτο τὸν παράδεισον ὑπέστησε, καίπερ μέλλοντος τοῦ Ἀδὰμ καὶ ἁμαρτάνειν καὶ ἐξ αὐτοῦ ἀπελαύνεσθαι, ἵνα μὴ δόξῃ θνητὸν ἀπ᾽ ἀρχῆς πλαστουργῆσαι τὸν ἄνθρωπον, ἐπιτήδειον πρὸς ἀθανασίαν χωρίον, καὶ λύπης καὶ κόπων καὶ ἀκανθῶν καὶ ἱδρώτων ἐλεύθερον, μηδόλως ὑποστησάμενος, ἀλλ᾽ ἵνα πάντα καὶ τὰ πραττόμενα καὶ τὰ οἰκονομούμενα δείξῃ πρέποντα αὐτῷ καὶ τῆς ἀποῤῥήτου προνοίας τὴν σοφίαν ἀνακηρύττοντα· καὶ μὴν καὶ δι᾽ ἑνὸς τῶν ὑλικῶν κτισμάτων ἔργῳ προδιατυπῶν τε καὶ προαγγέλλων ὡς ἅπασα ἡ κτίσις κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν εἰς ἀμείνω μεταλλάξει λῆξιν, οὐδὲν τῆς ἐνύλου ἀνεπιτηδειότητος ἐναντιουμένης τῷ δημιουργικῷ καὶ θείῳ βουλήματι· καὶ γὰρ πρὸς τὸ κρεῖττον ἀνακαινισθήσεσθαι τὸν οὐρανὸν καὶ γῆν ὁ κορυφαῖος τῶν μαθητῶν ἡμᾶς ἐξεδίδαξε, τῇ τοῦ διδασκάλου ἐπαγγελίᾳ τὸ ἀψευδὲς διδασκαλίας διαβεβαιούμενος· οὐδὲ ταῦτα ἂν εἴη ταῦτα πόῤῥω θεοφιλοῦς ὑπολήψεως. Ἄλλως τε δὲ οὐδὲ τὸ κάλλιστον ἔδει τῶν ἐπιγείων ἔργων πάντων ἔσχατον δημιουργηθῆναι, ἀλλὰ καὶ αὐτὸ κατ᾽ ἀρχὰς τῇ ὁλοκληρίᾳ τῆς κτίσεως συγκαταβληθῆναι· τὸ μὲν γὰρ εἰς δημιουργίαν προελθεῖν, ἀναγκαῖον ἦν, ἐπείπερ ἔδει τοῖς κατὰ δαιμόνων καὶ παθῶν ἀριστεύσασι δίαιταν καὶ κλῆρον ἐξαίρετον ἀπονεμηθῆναι· τὸ δὲ θεῖον εἴωθεν ἀεὶ τὰς ἀντιμισθίας προτίθεσθαι καὶ προκαταβάλλειν· δεῦτε γάρ φησιν οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐκοῦν ἔδει καὶ τὸν παράδεισον, εἴτε θᾶττον ἔμελλεν ὁ προπάτωρ ἡμῶν ἐκβάλλεσθαι αὐτοῦ, εἴτε μὴ, προκαταβληθῆναι μὲν τῶν ἀγωνιστῶν καὶ τῶν ἀγωνισμάτων ὧν καὶ ἔπαθλον ὤφθη, συγκαταβληθῆναι δὲ τῇ κοσμογενείᾳ, ἵνα μὴ νομισθῇ ἔργον ὑστεροβουλίας καὶ μεταμελείας γεγονέναι, ἀλλὰ τῆς ἀπ᾽ ἀρχῆς πάντα σοφῶς ὑποστησαμένης κρίσεώς τε καὶ ἀγαθότητος.

ΝΒ. Τοῦ θεσπεσίου Παύλου παραινοῦντος· ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, ποτίζε αὐτόν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· πῶς νοήσομεν τὸ, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ;

Ἄνθρακας μὲν ὁ τῆς ἀναγωγῆς λόγος, τοὺς ἀποστόλους κυρίου καὶ μάρτυρας ὀνομάζει, τοῦ θείου δηλονότι καθαρτηρίου καὶ πᾶσαν κακίαν φλέγοντός τε καὶ καταναλίσκοντος πυρὸς ἀναφθέντας· πῦρ γὰρ θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν· ψάλλει δὲ καὶ ὁ μελῳδὸς, ἄνθρακας ἀνήφθησαν ἀπ' αὐτοῦ, κλίναντος οὐρανοὺς καὶ καταβάντος καὶ οἷα γνόφον τινὰ τὰς ἀστραπὰς τῆς θεότητος περιστέλλουσαν τὴν ἡμετέραν περιβαλλομένου σάρκα. Ἄνθρακας δὲ πάλιν καλεῖ καὶ τὰς φλογιζούσας τε καὶ δαπανώσας κολαστικὰς καὶ πικρὰς βασάνους, κατὰ τὸ εἰρημένον· τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς, τουτέστι ταῖς ἀφανιστικαῖς τε καὶ ἐρημοποιοῖς τιμωρίαις, αἳ καταναλίσκειν τὸν ὑπεύθυνον ἀμήχανον ἔχουσι τὴν ἰσχύν· καὶ ἐν ἄλλοις δὲ πολλοῖς ἔστιν εὑρεῖν τὰς τιμωρητικὰς δυνάμεις καλουμένας ἄνθρακας. Κατὰ τὸ δεύτερον οὖν σημαινόμενον ἄνθρακας τὰς τιμωρητικὰς πληγὰς καὶ εἰσπράξεις προσαγορεύει, ἀπὸ τῶν ἀνθράκων αἳ τῆς αἰσθητῆς εἰσι καὶ δαπανώσης τὴν περίγειον ὕλην φλογὸς ὑπεκκαύματα, μεταφέρων τε καὶ μεταβιβάζων τὴν κλῆσιν· παραινεῖ τοίνυν πεινῶντα μὲν τὸν ἐχθρὸν ψωμίζειν, διψῶντα δὲ ποτίζειν· τουτέστι πολυτρόπως εὐεργετεῖν τε καὶ ἀγαθύνειν· τὸ γὰρ ψωμίζειν καὶ ποτίζειν, τὸ τῆς εὐεργεσίας ὁλόκληρον ἀπὸ τοῦ μέρους ὑπογράφει· εἶτα εὐεργετῶν φησι τὸν ἐχθρὸν καὶ φιλανθρώπως πρὸς αὐτὸν διακείμενος, ἄνθρακας σωρεύσεις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

Εἰς διπλῆν οὖν σημασίαν τὸ σωρεύσεις μεριζόμενον, διπλῆν προάγειν καὶ τὴν διάνοιαν ὑποτίθεται. Ἓν μὲν τὸ, σωρεύσεις, δηλώσειεν ἂν τὸ, ἐπισυνάξεις, δι' οὗ καὶ τὸ ἐπαγόμενον τῆς ἑρμηνείας κατευθύνεται· τὰ κατὰ μέρος γάρ φησι καὶ χρόνῳ μέλλοντα καταλαμβάνειν τῆς ἐπεχθείας ἐπίχειρα τὸν ἐχθρόν· σὺ δι' ὧν κακὸν ἀντὶ κακοῦ ἀνταποδοῦναι μὴ διανέστης, ἀλλὰ καὶ εὐεργεσίαις, αἳ πρὸς τὸ θεῖον ἡμᾶς ἀφομοιοῦσι, δεξιωσάμενος τὸν λελυπηκότα, τὸν δίκαιον κριτὴν καὶ ἀλάθητον παρασκευάζεις ἅμα πάσας ἐπισωρεῦσαι τὰς τιμωρίας καὶ ποινὰς κατὰ τῆς ἀλαζόνος ἐκείνης καὶ ἀγνώμονος κεφαλῆς· ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος· πῶς οὖν φιλάνθρωπος; πῶς δὲ συμπαθής; πῶς δὲ εὐεργέτης ὁ ταῦτα περὶ τῶν ἐχθρῶν μεθοδεύων καὶ πραγματευόμενος καὶ τὴν ἐκείνου φιλανθρωπευόμενος τιμωρίαν καὶ κόλασιν; ἢ ὅτι οὐχ αὐτὸς ταῦτα

ᾐτήσατο, ἀλλ' αὐτὸς μὲν ταῦτα ἔπραττεν, ὥστε συντηρῆσαι τὴν θείαν ἐντολὴν καὶ τὸν ἐχθρὸν εὐεργεσίαις ἀμείψασθαι· εἰ δὲ τὸ ὑβριζόμενον δίκαιον παρώξυνεν εἰς ἐκδίκησιν τὸν κριτὴν, οὐκ ἔτι ἂν εἴη ἀποδεχομένου τῆς προνοίας τὰ κρίματα τοῦ πρὸς τὴν ἐκδίκησιν ἀκκιζομένου καὶ μὴ τεθηπότος τε καὶ ἀνυμνοῦντος τοῦ κριτοῦ τὸ ἀδέκαστον· τὸ μὲν εὐεργετεῖν καὶ ζητεῖν ἅμα τιμωρίαν λαβεῖν παρὰ τοῦ ἐχθροῦ, ἀσύμβατόν τε καὶ φρενὸς συγκεχυμένης καὶ πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιῤῥεπῶς ἐχούσης, καὶ πρὸς ματαιότητα διαλυούσης τὸ κέρδος τοῦ κατορθώματος· τὸ δὲ τὴν εὐεργεσίαν τῷ ἀμνησικάκῳ τῆς γνώμης καὶ τῇ συμπαθείᾳ τοῦ ὁμοφυοῦς; καὶ διὰ τὴν ἐντολὴν καὶ διὰ τὸ ὁμοιωθῆναι τῷ πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς, τοῦ φθάσαντος ἐστὶν εἰς τὸ τέλειον τῆς ἀρετῆς· καὶ οὐκ ἂν οὗτος ἡδέως τιμωρίαν θεάσαιτο τοῦ ἐχθροῦ, μή τι γε λαβεῖν ἐπιζητήσει· θεοῦ δὲ κρίνοντος καὶ τὰς εὐθύνας ἀπαιτοῦντος τὸν ἠδικηκότα, τῆς αὐτῆς ἂν εἴη φρενὸς καὶ θεοσεβείας μὴ λογοθετεῖν τὸν κριτὴν, μηδὲ πρὸς τὴν κρίσιν δυσχεραίνειν.

Τὸ μὲν οὖν ἕτερον τοῦ, σωρεύσεις, σημαινόμενον πρὸς τοιαύτην ἡμᾶς θεωρίαν παραπέμπει· τὸ δὲ λοιπὸν ὃ σημαίνει, τὸ ἐπισυνάξεις καὶ περιέλοις καὶ ἀπαλλάξεις τῶν ἀνθράκων τὴν τοῦ μισοῦντος κεφαλὴν, τοιαύτην ἂν τὴν τῶν ῥημάτων δύναμιν ὑποδηλώσῃ· εὐεργετῶν φησι καὶ ἀγαθύνων τὸν ἐχθρὸν, τοὺς κατανεμομένους ἄνθρακας καὶ θᾶττον ἂν διαφθεροῦντας αὐτοῦ τὴν κεφαλὴν, ἂν μήτις αὐτοῦ ἀφαιρήσηται καὶ τὴν ἀπαλλαγὴν μεθοδεύσῃ, μέγα τὸ κέρδος καὶ ψυχικῆς σωτηρίας πρόξενον εὑρήσει· ἀνακαλούμενος γὰρ τὸν πλησίον τῆς σωματικῆς καὶ μᾶλλον διαβαινούσης εἰς τὴν ψυχὴν βλάβης καὶ ἀπωλείας, πρὸς τὴν τοῦ δεσπότου μίμνησίν τε καὶ ὁμοίωσιν ἀνατρέχει· ψυχὴν γὰρ ὁ σώζων, φησὶν, ὡς ὁ κτίσας αὐτήν· πῶς δὲ διὰ τῆς εὐεργεσίας συνάγονται καὶ ἀποσύρονται τῆς φιλαπεχθήμονος οἱ ἄνθρακες κεφαλῆς; διότι τροφῇ καὶ ποτῷ δεξιούμενος καὶ ἁπλῶς εὐεργετούμενος ὁ ἐχθρὸς, εἰ καὶ μὴ δι' αὐτὸ τὸ καλὸν, ἀλλά γε διὰ τὴν οἰκείαν εὐπάθειαν καὶ ἀπόλαυσιν τῶν ἀγαθῶν, παύεται μὲν οὗτος τῆς ἔχθρας, ἐξίσταται δὲ τῆς ἐπιβουλῆς· καὶ κατὰ μικρὸν ἀνανήφων τοῦ πάθους, καὶ τὴν ἐν τοῖς λογισμοῖς διὰ τῆς ἔχθρας πύρωσίν τε καὶ φλεγμονὴν ἀποτιθέμενος, ἐπὶ τὸ φιλεῖν καὶ στέργειν καὶ εἰδέναι τὸν εὐεργέτην ἐλεύσεται· κἀκεῖθεν κατὰ μικρὸν ἐνεθισθεὶς γλῶσσαν φεύγειν διάβολον, καὶ οἷς ὁ πλησίον ἔργοις βλάβην ὑφίσταται, τῆς ἀρετῆς ἐραστὴς ἀποκαθίσταται. Καὶ τίς ἂν ἐπιζητήσειε τοῦ ψωμίζειν καὶ ποτίζειν τὸν ἐχθρὸν, ἀντιμισθίαν ταύτης μείζονα; τί δὲ ταύτης ἐπικερδέστερον; Εἰ δὲ μετὰ τοσαύτην εὐεργεσίαν, τῆς μοχθηρίας καὶ φαυλότητος ὁ εὐεργετούμενος οὐκ ἐθέλει μεθίστασθαι, θηρίον μὲν ἂν εἴη ὁ τοιοῦτος, ἀντὶ

τοῦ μετέχειν ἀνθρωπίνης φύσεως· σὺ δὲ οὐδὲν ὅμως ἔλαττον τοὺς καταβοσκομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇ τε γνώμῃ καὶ τῇ σπουδῇ ἀπεσώρευσας· καὶ ἀντιμισθίαν οὐδὲν ἔλαττον ἔσχες· οὐδὲ τὸν χαρακτῆρα παρ' οὐδὲν παρεχάραξας, ὃς τὴν πρὸς τὸ θεῖον σε συνῆπτεν ὁμοίωσιν· ἐκεῖνος δὲ φέρων ὅλον ἑαυτὸν, τῷ κολαστηρίῳ καὶ ἀσβέστῳ πυρὶ ἐναπέῤῥιψεν· ἄνθρακες μέν τοι γε τισὶ παρελήφθησαν αἱ ζωπυροῦσαι καὶ ἀναθάλπουσαι τὸ ἡγεμονικὸν ἐργασίαι τε καὶ παραινέσεις, καὶ τὸν πολὺν τῆς ἔχθρας χειμῶνα εἰς εἰρηνικὴν γαλήνην μεταβάλλουσαί τε καὶ διαλύουσαι· οὕς φασιν ἐπισωρεύων ὁ εὐεργετῶν τῇ τοῦ δυσμενοῦς κεφαλῇ, καὶ τὴν νεκροποιὸν δι' αὐτὸν ἐλαύνων ἔχθραν, καὶ ἀναῤῥωννὺς εἰς ἀγάπην τὸν πάσχοντα, ἐκεῖνόν τε μεγάλης καὶ ὀλεθρίας νόσου ἀπήλλαξεν, ἑαυτῷ δὲ τὴν ἐκεῖθεν μακαριότητα προεξένησεν.

ΝΓ. Πῶς νοητέον τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ τῷ Μωσεῖ, ἰδοὺ δέδωκά σε Θεὸν Φαραώ;

Ἐκ τῶν κατὰ πόδας ῥημάτων ἡ τοῦ ζητουμένου ἑρμηνεία· ἐπάγει γάρ· καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σοι προφήτης· σὺ δὲ λαλήσεις πάντα ὅσα ἐντέλλομαί σοι· ὁ δὲ Ἀαρὼν ἀδελφός σου λαλήσει πρὸς Φαραώ· ὡς οὖν ἐχρήσατο τῷ Μωσεῖ ὁ Θεὸς ὑπηρετῆσαι ταῖς κατὰ Φαραὼ καὶ Αἰγυπτίων πληγαῖς, οὕτως ἐχρήσατο Μωσῆς τῷ Ἀαρών· αὐτὸς μὲν προστάσσων ὁ παρὰ Θεοῦ προστασσόμενος· ὑπηρέτῃ δὲ χρώμενος πρὸς τὸν Φαραὼ τῷ ἀδελφῷ. Καὶ διέσωζεν ἡ πρᾶξις ἐν τῷ ἀναλόγῳ τὸ ἀπαράλλακτον· ὡς γὰρ Θεὸς πρὸς Φαραὼ διὰ μέσου Μωσέως, οὕτως Μωσῆς πρὸς Φαραὼ διὰ μέσου Ἀαρὼν τὰς θεοσημείας ἐπετέλει· ἐπέτασσεν ἐν τῇ ἐρήμῳ Χωρὴβ τῷ Μωσεῖ ῥίψαι τὴν ῥάβδον ὁ Θεὸς, καὶ μετεβάλλετο εἰς ὄφιν· ἐπέτασσεν πάλιν κατὰ πρόσωπον Φαραὼ τῷ Ἀαρὼν ὁ Μωσῆς ῥίψαι τὴν ῥάβδον, καὶ εἰς δράκοντα τὸ ξύλον ἐζωοπλαστεῖτο· καὶ ἁπλῶς ὅσα Μωσεῖ κατεπιστεύετο τερατουργεῖν, πάντα Μωσῆς παραθέμενος καὶ ἐγχειρίσας τῷ ἀδελφῷ, δι' ἐκείνου τὰ προστεταγμένα θαυματουργῶν διεπέραινεν· ὥστε φανερὸν γέγονε τί ποτε βούλεται δηλοῦν τὸ, ἰδοὺ δέδωκά σε Θεὸν Φαραώ.

ΝΔ. Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητόν· εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε, καὶ τὰ τούτῳ συνημμένα.

Εἰσὶν ἄνδρες ἱεροὶ τῶν ἀποστολικῶν ῥημάτων τὴν ἐν τῷ βάθει τεθησαυρισμένην διάνοιαν, χάριν ἔχοντες ἀνακαλύπτειν, οἷς τὸ προκείμενον ανα-

πτύσσεται ῥητόν· ὧν τὴν θεωρίαν ἀποδεχόμενοι καὶ σὲ συνεῖναι τὸ περὶ ταῦτα σου φιλόπονον ἡμᾶς ἀναπείθει· οὐδ' εἴ τι ἄλλο πηγάζει τῶν τοῦ Παύλου ῥημάτων ὑπεροψόμεθα ἀπορρύσασθαι· εἰπὼν γὰρ οὗ ἡ γλῶσσα τοῦ παναγίου πνεύματος ὄργανον, ὑμεῖς ἐπ' ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοὶ, καὶ διδάξας ὡς οὐχ ὑπόκειται δουλείᾳ περιτομῆς τὰ τῆς χάριτος τέκνα, οὐδὲ τῷ πολυμόχθῳ καὶ δυσεξανύστῳ ζυγῷ τοῦ νόμου συνέχεσθαι καὶ ταλαιπωρεῖσθαι κεχρεώστηκεν, ἵνα μὴ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τῶν ἄλλων ὅσα μὴ δεῖ πράττειν χαρίζεσθαι νομιοῦσι, καὶ τὴν ἀφορμὴν τῆς ἐλευθερίας ὕβριν ποιήσωνται τῆς ἐλευθερίας ὑποκόπτοντες σαρκὶ καὶ πάθεσιν, ὅσα τῆς σαρκὸς ἀποβλαστάνει καὶ φύεται. Διὰ τοῦτο ἐπήγαγεν· ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις· οἷον ἀνεκλήθητε δουλείας χαλεπῆς εἰς ἀπροσδόκητον καὶ μακαρίαν ἐλευθερίαν, φεύγετε τῆς σαρκὸς τὴν ἐπικράτειαν, δι' ἣν ὑμῖν βαρύνεται ἡ δουλεία· μηδὲ τοῖς ἐκείνης κατακλίνεσθε νόμοις· ἡ δὲ τῆς σαρκὸς δουλεία δῆλον ὡς πολλῶν μὲν καὶ ἄλλων ἐστὶ παθῶν καὶ κακίας δημιουργὸς καὶ τεχνίτης, καὶ διαμηχανᾶται λυμαίνεσθαι τῆς ἀρετῆς καὶ τῆς ἐλευθερίας τὸ κάλλος· ἀτὰρ δὴ καὶ τὴν ἀγάπην ἐπιχειρεῖ τῶν ἀνθρωπίνων ψυχῶν ἀπελαύνειν. Ἵνα τοίνυν, φησὶ, τὰς ἄλλας τέως τῆς κακίας ἐπαναστάσεις ἐάσω, αἳ γεννήματα τῆς σαρκὸς καὶ τοῦ σαρκικοῦ καθεστήκασι φρονήματος, πρὸς ταύτην τὴν ἐκεῖθεν ἐρχομένην ἐπιβουλὴν καὶ πληγὴν καθ' ὑμῶν, τὴν νεκροποιοῦσαν λέγω τὴν ἀγάπην, γενναίως ἀνταγωνίσασθε, μηδὲ πάροδον εὑρεῖν ἐν ὑμῖν τῷ ψυχοφθόρῳ τούτῳ τῆς ἁμαρτίας βέλει πρόφασίν τινα παράσχητε. Τοῦτο δὲ ἔσται πῶς οὐκ ἐργῶδες οὐδὲ χαλεπὸν ἀνύσαι, ἀλλὰ καὶ ῥᾴδιον καὶ σωτήριον· εἰ γὰρ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις ἅπαν ὅπλον πονηρίας καθ' ὑμῶν βαλλόμενον ἀπρακτήσει· τῷ θυρεῷ γὰρ ἐμπίπτον τῆς ἀλλήλοις ὁμονοίας τε φιλίας, καὶ θᾶττον περιθραύεται, καὶ ἀποκρουόμενον εἰς κωφὴν διαπίπτει βολίδα, μετὰ τοῦ καὶ τὸν βάλλοντα τῆς προσηκούσης αἰσχύνης ἀναπλῆσαι· ἐπείπερ ἡ πρὸς ἀλλήλους διὰ τῆς ἀγάπης δουλεία, τὴν ἄνωθεν ἀῤῥαβωνίζεται συμμαχίαν, καὶ τὴν καθαρὰν καὶ μακαρίαν καταπράττεται ἐλευθερίαν διὰ τῆς ἐν ἀλλήλοις εἰρήνης, καὶ τὴν ἐνυπόστατον εἰρήνην τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ταῖς ὑμῶν ἐγκατοικίζουσα καρδίαις.

Εἶτα προστίθησιν ὅτι καὶ νόμου κεφάλαιόν ἐστι τὸ ἀγαπᾶν ὡς ἑαυτὸν τὸν πλησίον· καὶ ταύτης τῆς ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον, ἱεροῖς τε ἐνθυμήμασι κατασκευάζων καὶ ἐπιδεικνύων· καὶ διὰ τῶν παρεπομένων δὲ ἀνθρωπίνων τῷ βίῳ παραστήσας, ἐπισφίγγει καὶ συγκροτεῖ τὴν διδασκαλίαν· ἐπεὶ γὰρ ὁ πολὺς ἄνθρωπος οὐ τοσοῦτον τοῖς νόμοις καὶ ταῖς ἀπειλαῖς αἳ τῷ μακρῷ χρόνῳ τὰς κολάσεις ἐπιφέρουσι σωφρονίζεσθαι θέλει, ὅσαν ἀπὸ τῶν ὁρωμένων τε καὶ ἐπικήρων καὶ τὴν τιμωρίαν δεικνύντων ἐγ-

γίζουσαν, οὐδὲ τὴν ἀπὸ τούτων παραίνεσιν ἀποτρέχει· διὸ μονονουχὶ φησίν· εἰ μήτε ὁ τῆς ἐλευθερίας ὑμᾶς δυσωπεῖ πόθος, μήτε τὸ ἀπὸ τῆς εἰς ἄλλους δουλείας παρακαλεῖ κέρδος, μηδ' ὅτι τοῦτο μὲν ἐπιθυμία τοῦ πνεύματος, τὸ δ' ἐναντίον ἐπιθυμία τῆς σαρκὸς, μηδ' ὅτι πλήρωμα νόμου τὸ τῆς ἀγάπης κατόρθωμα, ἀλλὰ κἂν γοῦν τὴν κατ' ἀλλήλων φθορὰν καὶ ἀπώλειαν εὐλαβήθητε· τὸ γὰρ ἀλλήλους δάκνειν καὶ κατεσθίειν φθόνῳ τε διαβολαῖς καὶ ταῖς συκοφαντίαις ἐξ ὧν καὶ ὁ φθόνος παῤῥησιάζεσθαι, πῶς οὐκ ἂν εἴη βδελυκτὸν; πῶς δ' οὐ φευκτὸν; πῶς δ' οὐχὶ καὶ χωρὶς παραινέσεως ἀποτρόπαιον; διὸ δεῖ φυλάττεσθαι μὴ διαπεσεῖν τῆς ἀγάπης· τὸ γὰρ ταύτης ἀποῤῥυῆναι εἰς μάχας ἐστὶ καὶ στάσεις καὶ ἔριδας καταποθῆναι καὶ κατ' ἀλλήλων ὁπλίζεσθαι παρασκευάζει, τὰ δὲ τὴν φθορὰν ὑμῶν καὶ ἀπώλειαν συγκατασκευάζει. Καὶ σκόπει ὅπως τὴν ἀγάπην ἐνταῦθα παρέβαλε· καίτοι τὴν τῆς περιτομῆς ἀποθέτησιν ὁ λόγος αὐτῷ προηγουμένως εἰσηγεῖτο· καὶ ταύτης αὐτῷ τῆς σπουδῆς προκειμένης, τὸ τῆς ἀγάπης ἀγαθὸν ὅμως τῇ προθέσει συνδιαπλέκεται· διὰ τί; ἵνα μὴ πρὸς ἀλλήλους διϊσταμένων τῶν περιτομὴν σεμνολόγημα ποιουμένων, καὶ οἷς ἡ τοῦ Παύλου παραίνεσις ἐγεγόνει κρείττων στάσεσι καὶ φιλονεικίαις καὶ ἔρισι συγκαταμερίσωσιν ἑαυτούς· δι' ὧν τὸ ὑπ' ἀλλήλων δάκνεσθαι καὶ κατεσθίεσθαι θᾶττον συνεπόμενον ὁρᾶται· ὧν τὴν ἀπαλλαγὴν αὐτὸς ἄριστα φιλοσοφῶν παρά γε ἐμοὶ κριτῇ, εἴη καὶ τοὺς πλησιάζοντας συμφιλοσοφεῖν, ὥσπερ τῇ πράξει, οὕτω καὶ τοῖς λόγοις ἐκδιδάσκων.

ΝΕ. Πῶς ὁ ἱερὸς χρησμὸς ὥσπέρ ἐστι κρείττων αἰτίας ἁπάσης, οὕτω καὶ δειχθείη ταύτης ἀπροσπέλαστος· ὡς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, φησὶν, ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς· εἰ μὲν γάρ τις εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικὸς, ἀδολεσχίας οὐ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην γραφὴν τῶν συνταξαμένων μαθητῶν τὰ τοῦ διδασκάλου καὶ κοινοῦ σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ ἀκόλουθον· οὔπω γὰρ ταῦτα τοῖς γράμμασι παρατέθειτο.

Τὸ μὲν οὖν σὸν διαπόρημα δριμύτερον ἐπελθεῖν τοῦτο, οὐδὲν δ' ἐργῶδες, οὐδὲ πολλῆς προσοχῆς δεόμενον τό τε ἀκόλουθον ἐν τοῖς προκειμένοις θείοις συνιδεῖν λογίοις, καὶ τὸ πολλῷ καθεστᾶναι μεῖζον, ἢ ἀδολεσχίας εἰσπράττεσθαι πρόφασιν· πρῶτον μὲν γὰρ εἰ καὶ μήπω τὰ εὐαγγέλια συνεγέγραπτο, ἀλλ' οὖν ἀγράφῳ λόγῳ αἱ θεουργίαι τοῦ Ἰησοῦ, πᾶσι περιηγγέλλοντο· εἰ δὲ καὶ πρὸ γενέσεως ἕκαστον αὐτός ἐστιν ὁ σα-

φῶς εἰδὼς, τί κωλύει αὐτὸν εὐαγγελία, ἃ μετ' οὐ πολὺν χρόνον καὶ τὴν γραφὴν ἔμελλεν ἀναδέξασθαι; ὥστε ποῦ ἂν εὕροιμι χῶραν τὸ ἀσυνάρτητον ἐν οἷς εἴρηται ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη; εἰ δὲ τὸ εὐαγγέλιον αὐτὴν εὐσεβοῦσαν πρᾶξιν τις ἐννοήσει τῆς γυναικὸς, οὐδ' οὕτως αὐτοῖς οὐδαμῶς ὁ τῆς ἀδολεσχίας προσάψαιτο μῶμος· οὐ γὰρ ἁπλῶς ἔφη, ὅπου ἐὰν κηρυχθῇ, λαληθήσεται, ἀλλ' ὅπου ἐὰν κηρυχθῇ, εἰς μνημόσυνον αὐτῆς λαληθήσεται· τουτέστι δόξαν αὐτοῖς ἀείμνηστον ἀναστήσει, καὶ πανταχοῦ θαυμαζόμενον περιηχήσῃ τὸ φιλόθεον· τὸ γὰρ μνημόσυνον τὰ ἱερὰ λόγια εἴωθε παραλαμβάνειν ἐπὶ ἐγκωμίων λαμπρῶς, καὶ δόξαν ὑποδηλοῦν ἀνθοῦσαν καὶ τῷ τοῦ χρόνου δρόμῳ συνακμάζουσαν· ὡς τὸ, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· καὶ ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου· καὶ πολλὰ τοιαῦτα· εἰκότως δὲ δόξαν ἐπάγει, τὴν τῆς γυναικὸς ἱερουργίαν προαγορεύει· ἐπεὶ γὰρ ἐκεῖνοι ψόγον καὶ μῶμον ἐπέτριβον τῇ φιλοθέῳ πράξει τῆς σώφρονος πόρνης καὶ δι' ἐπιτιμήσεως αὐτὴν ἦγον, τούτου χάριν ὁ σωτὴρ τὰ ἄλλα παρεὶς ἃ τῇ προκειμένῃ συνείπετο πράξει, τὸν ἔπαινον ἀντέθηκε καὶ τὴν δόξαν, τὸ περιώνυμον τῆς ἐργασίας πανταχοῦ διαπλωθῆναι· ἔδει γὰρ οἷς ἐκεῖνοι τὸ σκυθρωπὸν αὐτῇ κατεσκέδαζον ἐπιτιμῶντες καὶ τὴν ψυχὴν συνέχεον, τούτων τοῖς ἐναντίοις παρακαλεῖν, καὶ ἀνακτᾶσθαι, καὶ τὸ φρόνημα χαῖρον αὐτῇ καὶ ἀγαλλιώμενον ἀποκαθιστάνειν, ἅμα δὲ καὶ τὴν προπέτειαν τῶν αἰτιασαμένων ἀναχαιτίζειν· μονονουχὶ τὸ παρ' ὑμῶν αἰτίαις ὑποβαλλόμενον ἔργον ἀναβοῶν ὁ σωτήριος λόγος· ὡς οὐ μόνον ἐστὶν ἀπολελυμένος πάσης αἰτίας ἀλλὰ καὶ πανταχοῦ κηρυχθήσεται, τῆς ἐκ πορνικῶν βλαστημάτων ἄνθος σωφροσύνης ἀνασχούσης ὡραῖόν τε καὶ ἀμάραντον, καὶ θαυμασίαν τὴν γνώμην ἐπιδείξει, καὶ ὑψηλοτέραν ἢ κατὰ γυναῖκα φρόνημα λαβεῖν θεὸν ἐπιγνῶναι καὶ θυσίαις θειάσαι, ὃν ἡ ἀνθρωπίνη μορφὴ περιέστελλε· διὸ καὶ τὰ πέρατα τῆς οἰκουμένης ὀφθήσεται τὸν μακαρισμὸν αὐτῇ δωροφοροῦντα καὶ τὰ ἐγκώμια.

Νϛ. Τίνα νοῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσφήμητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν δαυιδικῶν ῥημάτων λεγόντων, σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδιάζουσα μὲν τοῦ διαπορήματος ἐπίλυσις καὶ πρὸς τὴν δαυιδικὴν σοφίαν καταῤῥυθμίζουσα τὸ δοκοῦν ἀπεμφαίνειν τῶν ῥημάτων καὶ πρὸς διαφωνίαν ἐπιῤῥεπέστερον, τοιαύτη οὐκ ἔστιν ἀνταπόδοσις τοῦ, σοὶ μόνῳ ἥμαρτον, τὸ, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, εἰ καὶ τὴν τάξιν τοῦ προη-

γουμένου ἐγγυτέραν ἔλαχεν· ἀποδοθείη δ' ἂν οἰκειότερόν τε καὶ σοφώτερον, εἴ γε τῷ ἀπ' ἀρχῆς προηγουμένῳ, τὴν ἀναφορὰν παραληφθείη παρεχόμενον· οἷον, ἐλέησόν με ὁ Θεὸς κατὰ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε· τὰ δὲ ἄλλα μεταξυλογίας ἔχοντα, οὐ περικόψει τὸν εἱρμὸν οὔτε τῆς διανοίας οὔτε τῆς συντάξεως· ποῖοι δ' ἂν εἶεν λόγοι δι' ὧν ὁ Θεὸς ἐλεῶν δικαιοῦται; ἢ λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου ὅπως δικαιωθῇς· καὶ ὅτι μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν· καὶ πάλιν οὐ θέλω τὸν τοῦ ἀποθνήσκοντος θάνατον, ἀλλ' ἐπιστρέψατε καὶ ζήσεσθε· οὗτοι γὰρ οἱ λόγοι δικαιοῦσι τὸν Θεόν, ἔργοις φιλανθρώποις βεβαιοῦντος καὶ συμπαθείας οἰκτιρμοῖς ἐκπληροῦντος αὐτούς· εἰ γὰρ τῆς δαυιδικῆς ἁμαρτίας καὶ μεταμελείας τῷ χρόνῳ δευτερεύουσιν, ἀλλ' οὖν τῆς ἐν τῷ Δαυὶδ προφητικῆς οὐ δευτερεύουσιν γνώσεως. Ἐπεὶ καὶ αὐτὸς ὁ ψαλμὸς οὐκ ἔλαττον τὴν τοῦ Δαυὶδ στηλογραφεῖ μετάνοιαν καὶ ἐξομολόγησιν, καὶ τὸν ἐπὶ τοῖς παραπτώμασιν ἔλεον ἢ τὴν ὑστέροις χρόνοις αἰχμαλωσίαν τοῦ Ἰσραὴλ προαγγέλλει· καὶ ἐλέους ἀξιωθῆναι τούτους καὶ φιλανθρωπίας ἐν διατυπώσει τε καὶ σχηματισμῷ δεομένου προθεσπίζει, ἀκουτισθήσεσθαί τε ἀγαλλίασιν καὶ εὐφροσύνην προφητικῇ χρησμολογεῖ διαγνώσει, ἀγαλλιάσεσθαί τε ὀστέα ταταπεινωμένα καὶ πνεύματι ἡγεμονικῷ στηριχθῆναι, καὶ ἀγαθυνθῆναι θείᾳ εὐδοκίᾳ τὴν Σιών, ἀνοικοδομηθῆναι τε τὰ πεπορθημένα τείχη καὶ κατηρειπωμένα τῆς Ἱερουσαλήμ. Τῶν δαυιδικῶν τοίνυν ῥημάτων ἀντὶ τοῦ σχηματίζεσθαι τῷ ὑπερβεβηκότι, τῶν τρόπων ἐπ' εὐθείας ἀλλήλοις συναπτομένων, οὐδὲν ὡς εἴρηται στασιάζον πρὸς τὴν ὀρθότητα καὶ σύνεσιν τῶν προφητικῶν λόγων ἀπαντᾷ· ἐκκαλοῦνται γὰρ τὸ ἄνωθεν ἔλεος καὶ τὴν εὐμένειαν, δι' ὧν μᾶλλον ἡ δικαιοσύνη διαλάμπει τοῦ Θεοῦ καὶ ἡ ἀλήθεια· οὕτω μὲν οὖν ῥᾷόν ἐστι καὶ ἀταλαίπωρον συνορᾶν, ὅπως τε τὸ ἀμφισβητούμενον διὰ τῆς συγγενοῦς ἱερολογίας ἀνεκαθάρθη καὶ τὴν προφητικὴν θεοσοφίαν καὶ ἀρετὴν οὐκ ἐνόθευσεν, οὐδέ τινα λογισμοῖς ἐμβάλλει δισταγμὸν καὶ τῆς θεοπρεποῦς ἀλλότριον ὑπολήψεως.

Ἐπεὶ δὲ τὸ μὲν δαυιδικὸν ῥητὸν ἰδιάζοντα τὸν καταρτισμὸν εὑρίσκει καὶ τὴν εὐμάρειαν, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ τῶν λογίων τὴν αὐτὴν μὲν ζήτησιν ἀναδεχόμενα, οὐ διὰ τῆς αὐτῆς δὲ μεθόδου ἐπιλυόμενα, ἄμεινον ἐπὶ τὴν καθολικώτερον ταῦτα θεουργοῦσαν καὶ διευθετίζουσαν ἀναδραμεῖν θεωρίαν, κἀκεῖθεν ἀπὸ τῆς κοινῆς πάντων διακρίσεως τὴν ἀκόλουθον καὶ ἱεροπρεπῆ διάνοιαν ὡς οἷόν τέ ἐστιν ἐμφανῆ καταστῆσαι. Ἔστι δ' οὖν ἃ τὸν αὐτὸν σχηματισμὸν ὑποβάλλεται τῆς συνθέσεως καὶ πρὸς τὴν αὐτὴν τοῦ λόγου δεῖται

φυσικὴν ἀναπλωθῆναι καὶ ἀσχημάτιστον ἰδιότητα, ὡς ἐκ πολλῶν ὀλίγα παραθεῖναι ταῦτα. Ἀποστελῶ τὴν χεῖρά μου πατάξαι σε καὶ τὸν λαόν σου, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς, πρὸς τὸν Φαραὼ λέγει διὰ Μωσέως κύριος· καὶ ἕνεκεν τούτου διετηρήθης ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ· καὶ πάλιν, ἐγὼ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἐπέλθῃ τὰ σημεῖα μου ἐπ' αὐτούς, ὅπως διηγήσηται τὰ σημεῖα μου εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν· εἶτα καὶ οὐκ εἰσακούσεται ὑμῶν Φαραὼ, ἵνα πληθύνω τὰ σημεῖα μου καὶ τὰ τέρατά μου ἐν τῇ γῇ αὐτῶν· τούτων γὰρ ἕκαστον καὶ ὅσα ἄλλα διὰ τῶν ὁμοίων προάγεται φωνῶν κατὰ τὸν αἰτιολογικὸν ἀποδιδόμενα τῆς φράσεως σχηματισμὸν, ἰδιώματι μὲν ἀπαγγέλλεται τῆς ἱερᾶς ἡμῶν γραφῆς· πρὸς τὸ φυσικὸν δὲ τοῦ λόγου μεταλαμβανόμενα εἶδος, τὸ εὐσεβὲς ἀναπτύσσει, καὶ πρὸς τὸ τῆς θεοσοφίας ἡμῶν συγγενὲς καταρτίζεται φρόνημα· καὶ γὰρ ἔθει κρατύνεται παλαιῷ τὰ πάντως ἀποβησόμενα καὶ μὴ οἷά τε ὄντα τῷ ἀτελεῖ τῆς ἐκβάσεως περικόπτεσθαι πολλάκις ἐν τούτῳ περιαγγέλλειν τῷ σχίσματι· ἐπεὶ καὶ ὅσα τὴν φράσιν αἰτιολογουμένην ἔλαχε, τὴν τάξιν ἐπέχει τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν.

Ἀλλὰ γὰρ τὸ μὲν ἰδίωμα τοιοῦτον τῆς γραφῆς, οἷον ἠπείθει Φαραὼ καὶ ἐσκληρύνετο, αἱ παράδοξοι πληγαὶ καὶ μάστιγες εἰσπραττόμεναι τῆς ἀπειθίας αὐτὸν καὶ σκληρότητος εἵποντο· ταῦτα δὲ τὸ περιβόητον εἶχε, καὶ ἀνὰ πᾶσαν τὴν γῆν ἐφοίτα, τὴν τοῦ θεοῦ δυναστείαν περιηχούμενα καὶ θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ παρασκευάζοντα· τοῦτο οὖν τὸ πάντως ἐκ τῆς ἐκείνου σκληρότητος ἐκβησόμενον, εἰς αἰτιολογικὸν εἶδος ἡ γραφὴ σχηματίσασα προενήνοχε προκηρύττουσα τῷ τρόπῳ τὸ τῆς ἐκβάσεως ἀμετάθετον· καὶ γὰρ ὡς ἐπίπαν καὶ τὰ αἰτιολογούμενα τῷ ἀπαραβάτῳ τῆς προόδου εἰδοποιεῖσθαι θέλει καὶ ἑρμηνεύεσθαι. Κολάζεται τοίνυν Φαραὼ, οὐχ ἵνα δοξασθῇ ὁ θεὸς, εἰ καὶ τῆς φωνῆς καὶ τῆς συνθέσεως τὸ σχῆμα τοιαύτην φαντασίαν ὑπέρχεται, ἀλλ' ὅτι ἠπείθει καὶ τῆς ἀπειθείας αὐτὸν ἔδει τὰς δίκας εἰσπράττεσθαι· εἰ δὲ κἂν μὴ πρὸς τοῦτο ἑώρων αἱ τιμωρίαι, μηδὲ πρὸς τὸ γενέσθαι αὐτὸν τῆς ἀπειθείας ἀνδράποδον, ἀλλ' οὖν ἐπείπερ κατὰ πόδας ἠκολούθησαν τὸν ἀλιτήριον τιμωρούμεναι, ταύταις δὲ ταῖς τῶν μαστίγων καὶ πληγῶν παραδόξοις θεοσημείαις ὡς εἴρηται ἡ ἰσχὺς καὶ ἡ δόξα τοῦ θεοῦ συνηυξήθη καὶ συνανεβλάστανεν, οὐκ ἀπεικότως ἡ κατὰ τὴν αἰτιολογίαν τῷ διηγήματι μορφὴ καὶ ἰδέα περιτίθεται, τὸ ἐκβησόμενον πάντως καὶ πρὸ τοῦ ἐκβεβηκέναι διαμαρτυρομένης καὶ ἀπαγγελλούσης τῆς τῶν λογίων προγνώσεως· διὰ τῆς αὐτῆς δ' ἂν ἐφόδου καὶ τῶν δαυιδικῶν ῥημάτων ἃ πρότερον ἰδιαζούσης ἔτυχε σαφηνείας καὶ καταστάσεως εἰς τὴν ἴσην καὶ ὁμοίαν τοῖς εἰρη-

ἐπάρσεως· τοιαύτη του δημιουργοῦ ἡ περὶ τὰ δημιουργήματα οἰκονομία καὶ διάκρισις. Διὸ κἂν ἔμελλεν ὁ Ἀδὰμ ἁμαρτάνειν καὶ ἐκβάλλεσθαι τοῦ παραδείσου, οὐδὲν ἧττον ἔπρεπε τῇ τοῦ δημιουργοῦ ἀγαθότητι καὶ λογικὸν ζῶον ὑποστῆσαι τὸν ἄνθρωπον, καὶ τὸν παράδεισον ἐν ᾧ διαιτώμενος ἐμακαρίζετο, ἀλλὰ μὴ τὸ κάλλιστον τῶν ἐπιγείων ἔργων ἐπισχεῖν διὰ τὴν τοῦ Ἀδὰμ παράβασίν τε καὶ τῆς παραβάσεως εἴσπραξιν· καὶ γὰρ ἀεὶ τὸ θεῖον τὸ ἑαυτοῦ ποιεῖ αἐννάως μὲν βρύειν τὰ νάματα τῆς χρηστότητος καὶ τῆς ἀγαθότητος, τῆς ἁμαρτίας δὲ τολμωμένης τὴν τιμωρίαν ἐπάγει· ἀνίατον τὴν ἀπὸ τοῦ πλημμελήματος πληγὴν καὶ τὰ τραύματα διαμένειν καὶ τὸν ἄνθρωπον οὐκ ἀνεχόμενον κατανέμεσθαι· καὶ νῦν προεωρᾶτο μὲν ἡ παράβασις, προεωρᾶτο δὲ ἡ ἐκβολή· τὸ δὲ κάλλιστον τῶν ἐπιγείων φιλοτοτέχνημα ἔργων ὁ παράδεισος πρὸς ἀνυπαρξίαν διὰ τὸν Ἀδὰμ οὐκ ἀνεστέλλετο· διὸ καὶ προάγει τοῦτον ὁ Θεὸς, καὶ τὸν Ἀδὰμ εἰς τερπνὴν ἀποκαθίστησι δίαιταν, παραβεβηκότα δὲ μένειν ἔτι καὶ τρυφῆς ἀπολαύειν ἧς ἀπήλαυεν ἂν νομοφυλακῶν, τῆς δικαιόσυνης οὐκ ἐπέτρεπε τὸ ἀδέκαστον. Τρίτον δὲ εἰ καὶ πλαστουργήσας τὸν Ἀδὰμ τῷ παραδείσῳ κατῴκισεν, ἀλλ' οὐδ' ἐκεῖνον μὲν μόνον τὸ τοιοῦτον καὶ τηλικοῦτον ὑπεστήσατο φιλοτέχνημα, διὰ πάντας δὲ οὐδὲν ἔλαττον, εἰ μὴ καὶ μᾶλλον τοὺς ἐξ Ἀδὰμ, ὅσοι τὴν ὑπερκαλλῆ καὶ ὡραῖαν διάπλασιν τοῦ Ἀδὰμ καὶ τῆς θείας εἰκόνος τὸ ἀνύβριστόν τε καὶ ἀπαραχάρακτον διεσώσαντο· ποῦ τοίνυν ἦν καλὸν; ποῦ δὲ σοφὸν δι' ἕνα παραβεβηκότα, καὶ τότε μηδ' αὐτὸν ὑστέροις χρόνοις τῆς κοινῆς ἀποστερούμενον ἀπολαύσεως, τοσοῦτον πλῆθος ἀποστερεῖν τοῦ παραδείσου, τὸ ἱερὸν ἐκεῖνο χωρίον μὴ δημιουργοῦντα μηδὲ προάγοντα;

Πρὸς τούτοις δὲ μηδὲ τοῦτο παροπτέον· ἔδει τὸν Ἀδὰμ πράξεως τινὸς καὶ ἐνεργείας τὸν πρωτόπλαστον οὐχ ὑβριζούσης ἐπιμέλειαν ἔχειν, ἵνα μὴ ἀργὸν εἴη καὶ ἀδιανόητον τὸ λογικὸν ζῶον ὁ ἄνθρωπος. Ταύτην δὲ κατορθοῦντι στεφάνους καὶ δόξαν, καταμελοῦντι δὲ τιμωρίαν καὶ ἀδοξίαν ἕπεσθαι· ῥέψαντα δὲ πρὸς τὸ ῥᾷστον ἡ κόλασις ἠκολούθησεν· οὐκοῦν τοὺς αὐτοὺς ἄν τις προβάλλοιτο λόγους, οὓς καὶ περὶ τοῦ παραδείσου καὶ περὶ τῆς ἐκβολῆς· καὶ τίνος χάριν ἐπιζητήσει καὶ ζυγομαχήσει, οἱ στέφανοι ἐπλέκοντό τε καὶ ηὐτρεπίζοντο· εἰ δὲ τοῦτο οὐκ ἔτι παράδεισος, καὶ Ἀδὰμ καὶ ὑπερορία λογοθετεῖται. Ἀλλὰ κατὰ παντὸς οὗπερ ἂν τὴν προαγωγὴν ἡ φιλάνθρωπος καὶ δημιουργικὴ ἀγαθότης προείλετο ὑποστήσασθαι, ταῖς αὐταῖς κἂν μὴ ὁμολογῶσιν οἱ ἐκεῖνα λογοθετοῦντες, ὑπέβαλλον ἂν πολυπραγμοσύναις τῇ τοῦ δημιουργήσαντος μὴ συναρεσκόμενοι σοφίᾳ. Ἐπισκοπεῖν δ' ἔξεστι καὶ τοῦτο· τίνος γὰρ ἂν ὁ Ἀδὰμ ἔγνω μετὰ τὴν ἁμαρτίαν αἰσθήσει κρινομένης ἀπολαύσεως ἐστερημένος, μὴ τῆς τοῦ παραδεί-

σου διαγωγῆς ὑπερόριος γεγενημένος; ταύτην δὲ τὴν ἐπίγνωσιν ἐστερημέμένος, πῶς ἂν αὐτὸν συνέσχον λῦπαι καὶ ὀδύναι; μηδενὸς δὲ πλήττοντος καὶ συνθλίβοντος τῶν παραλυπούντων, πόθεν ἂν ἐπέγνω τὸ μέγεθος τοῦ ἁμαρτηθέντος; πῶς δ' ἂν τῆς μετανοίας ἐγένετο, καὶ τὴν θείαν εὐμένειαν ἐδυσώπησεν, ὥστε μὴ τῆς συγγνώμης αὐτῷ καὶ τῆς ἀφέσεως εἰς τὸ παντελὲς καὶ δι' αἰῶνος ἀποστερηθῆναι;

Εἰ δὲ καὶ τοῦτο τίς ἐπιλογίσασθαι βούλοιτο, ὡς διὰ τοῦτο τὸν παράδεισον ὑπέστησε, καίπερ μέλλοντος τοῦ Ἀδὰμ καὶ ἁμαρτάνειν καὶ ἐξ αὐτοῦ ἀπελαύνεσθαι, ἵνα μὴ δόξῃ θνητὸν ἀπ' ἀρχῆς πλαστουργῆσαι τὸν ἄνθρωπον, ἐπιτήδειον πρὸς ἀθανασίαν χωρίον, καὶ λύπης καὶ κόπων καὶ ἀκανθῶν καὶ ἱδρώτων ἐλεύθερον, μηδόλως ὑποστησάμενος, ἀλλ' ἵνα πάντα καὶ τὰ πραττόμενα καὶ τὰ οἰκονομούμενα δείξῃ πρέποντα αὐτῷ καὶ τῆς ἀποῤῥήτου προνοίας τὴν σοφίαν ἀνακηρύττοντα· καὶ μὴν καὶ δι' ἑνὸς τῶν ὑλικῶν κτισμάτων ἔργῳ προδιατυπῶν τε καὶ προαγγέλλων ὡς ἅπασα ἡ κτίσις κατὰ τὴν δευτέραν αὐτοῦ καὶ φρικτὴν παρουσίαν εἰς ἀμείνω μεταλλάξει λῆξιν, οὐδὲν τῆς ἐνύλου ἀνεπιτηδειότητος ἐναντιουμένης τῷ δημιουργικῷ καὶ θείῳ βουλήματι· καὶ γὰρ πρὸς τὸ κρεῖττον ἀνακαινισθήσεσθαι τὸν οὐρανὸν καὶ γῆν ὁ κορυφαῖος τῶν μαθητῶν ἡμᾶς ἐξεδίδαξε, τῇ τοῦ διδασκάλου ἐπαγγελίᾳ τὸ ἀψευδὲς διδασκαλίας διαβεβαιούμενος· οὐδὲ ταῦτα ἂν εἴη ταῦτα πόῤῥω θεοφιλοῦς ὑπολήψεως. Ἄλλως τε δὲ οὐδὲ τὸ κάλλιστον ἔδει τῶν ἐπιγείων ἔργων πάντων ἔσχατον δημιουργηθῆναι; ἀλλὰ καὶ αὐτὸ κατ' ἀρχὰς τῇ ὁλοκληρίᾳ τῆς κτίσεως συγκαταβληθῆναι· τὸ μὲν γὰρ εἰς δημιουργίαν προελθεῖν, ἀναγκαῖον ἦν, ἐπείπερ ἔδει τοῖς κατὰ δαιμόνων καὶ παθῶν ἀριστεύσασι δίαιταν καὶ κλῆρον ἐξαίρετον ἀπονεμηθῆναι· τὸ δὲ θεῖον εἴωθεν ἀεὶ τὰς ἀντιμισθίας προτίθεσθαι καὶ προκαταβάλλειν· δεῦτε γάρ φησιν οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· οὐκοῦν ἔδει καὶ τὸν παράδεισον, εἴτε θᾶττον ἔμελλεν ὁ προπάτωρ ἡμῶν ἐκβάλλεσθαι αὐτοῦ, εἴτε μὴ, προκαταβληθῆναι μὲν τῶν ἀγωνιστῶν καὶ τῶν ἀγωνισμάτων ὧν καὶ ἔπαθλον ὤφθη, συγκαταβληθῆναι δὲ τῇ κοσμογενείᾳ, ἵνα μὴ νομισθῇ ἔργον ὑστεροβουλίας καὶ μεταμελείας γεγονέναι, ἀλλὰ τῆς ἀπ' ἀρχῆς πάντα σοφῶς ὑποστησαμένης κρίσεώς τε καὶ ἀγαθότητος.

ΝΒ. Τοῦ θεσπεσίου Παύλου παραινοῦντος· ἐὰν πεινᾷ ὁ ἐχθρός σου, ψώμιζε αὐτὸν· ἐὰν διψᾷ, ποτίζε αὐτὸν· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ· πῶς νοήσομεν τὸ, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ;

Ἄνθρακας μὲν ὁ τῆς ἀναγωγῆς λόγος, τοὺς ἀποστόλους κυρίου καὶ μάρτυρας ὀνομάζει, τοῦ θείου δηλονότι καθαρτηρίου καὶ πᾶσαν κακίαν φλέγοντός τε καὶ καταναλίσκοντος πυρὸς ἀναφθέντας· πῦρ γὰρ θεὸς ἡμῶν, καὶ πῦρ καταναλίσκον τὴν μοχθηρίαν· ψάλλει δὲ καὶ ὁ μελῳδὸς, ἄνθρακας ἀνήφθησαν ἀπ' αὐτοῦ, κλίναντος οὐρανοὺς καὶ καταβάντος καὶ οἷα γνόφον τινὰ τὰς ἀστραπὰς τῆς θεότητος περιστέλλουσαν τὴν ἡμετέραν περιβαλλομένου σάρκα. Ἄνθρακας δὲ πάλιν καλεῖ καὶ τὰς φλογιζούσας τε καὶ δαπανώσας κολαστικὰς καὶ πικρὰς βασάνους, κατὰ τὸ εἰρημένον· τὰ βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς, τουτέστι ταῖς ἀφανιστικαῖς τε καὶ ἐρημοποιοῖς τιμωρίαις, αἳ καταναλίσκειν τὸν ὑπεύθυνον ἀμήχανον ἔχουσι τὴν ἰσχύν· καὶ ἐν ἄλλοις δὲ πολλοῖς ἔστιν εὑρεῖν τὰς τιμωρητικὰς δυνάμεις καλουμένας ἄνθρακας. Κατὰ τὸ δεύτερον οὖν σημαινόμενον ἄνθρακας τὰς τιμωρητικὰς πληγὰς καὶ εἰσπράξεις προσαγορεύει, ἀπὸ τῶν ἀνθράκων αἳ τῆς αἰσθητῆς εἰσι καὶ δαπανώσης τὴν περίγειον ὕλην φλογὸς ὑπεκκαύματα, μεταφέρων τε καὶ μεταβιβάζων τὴν κλῆσιν· παραινεῖ τοίνυν πεινῶντα μὲν τὸν ἐχθρὸν ψωμίζειν, διψῶντα δὲ ποτίζειν· τουτέστι πολυτρόπως εὐεργετεῖν τε καὶ ἀγαθύνειν· τὸ γὰρ ψωμίζειν καὶ ποτίζειν, τὸ τῆς εὐεργεσίας ὁλόκληρον ἀπὸ τοῦ μέρους ὑπογράφει· εἶτα εὐεργετῶν φησι τὸν ἐχθρὸν καὶ φιλανθρώπως πρὸς αὐτὸν διακείμενος, ἄνθρακας σωρεύσεις ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

Εἰς διπλῆν οὖν σημασίαν τὸ σωρεύσεις μεριζόμενον, διπλῆν προάγειν καὶ τὴν διάνοιαν ὑποτίθεται. Ἓν μὲν τὸ, σωρεύσεις, δηλώσειεν ἂν τὸ, ἐπισυνάξεις, δι' οὗ καὶ τὸ ἐπαγόμενον τῆς ἑρμηνείας κατευθύνεται· τὰ κατὰ μέρος γάρ φησι καὶ χρόνῳ μέλλοντα καταλαμβάνειν τῆς ἐπεχθείας ἐπίχειρα τὸν ἐχθρὸν· σὺ δι' ὧν κακὸν ἀντὶ κακοῦ ἀνταποδοῦναι μὴ διανέστης, ἀλλὰ καὶ εὐεργεσίαις, αἳ πρὸς τὸ θεῖον ἡμᾶς ἀφομοιοῦσι, δεξιωσάμενος τὸν λελυπηκότα, τὸν δίκαιον κριτὴν καὶ ἀλάθητον παρασκευάζεις ἅμα πάσας ἐπισωρεῦσαι τὰς τιμωρίας καὶ ποινὰς κατὰ τῆς ἀλαζόνος ἐκείνης καὶ ἀγνώμονος κεφαλῆς· ἐμοὶ γὰρ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει κύριος· πῶς οὖν φιλάνθρωπος; πῶς δὲ συμπαθής; πῶς δὲ εὐεργέτης ὁ ταῦτα περὶ τῶν ἐχθρῶν μεθοδεύων καὶ πραγματευόμενος καὶ τὴν ἐκείνου φιλανθρωπευόμενος τιμωρίαν καὶ κόλασιν; ἢ ὅτι οὐκ αὐτὸς ταῦτα

ᾐτήσατο, ἀλλ' αὐτὸς μὲν ταῦτα ἔπραττεν, ὥστε συντηρῆσαι τὴν θείαν ἐντολὴν καὶ τὸν ἐχθρὸν εὐεργεσίαις ἀμείψασθαι· εἰ δὲ τὸ ὑβριζόμενον δίκαιον παρώξυνεν εἰς ἐκδίκησιν τὸν κριτὴν, οὐκ ἔτι ἂν εἴη ἀποδεχομένου τῆς προνοίας τὰ κρίματα τοῦ πρὸς τὴν ἐκδίκησιν ἀκκιζομένου καὶ μὴ τεθηπότος τε καὶ ἀνυμνοῦντος τοῦ κριτοῦ τὸ ἀδέκαστον· τὸ μὲν εὐεργετεῖν καὶ ζητεῖν ἅμα τιμωρίαν λαβεῖν παρὰ τοῦ ἐχθροῦ, ἀσύμβατόν τε καὶ φρενὸς συγκεχυμένης καὶ πρὸς ἑκάτερον τῶν ἐναντίων ἐπιῤῥεπῶς ἐχούσης, καὶ πρὸς ματαιότητα διαλυούσης τὸ κέρδος τοῦ κατορθώματος· τὸ δὲ τὴν εὐεργεσίαν τῷ ἀμνησικάκῳ τῆς γνώμης καὶ τῇ συμπαθείᾳ τοῦ ὁμοφυοῦς; καὶ διὰ τὴν ἐντολὴν καὶ διὰ τὸ ὁμοιωθῆναι τῷ πατρὶ ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς, τοῦ φθάσαντος ἐστὶν εἰς τὸ τέλειον τῆς ἀρετῆς· καὶ οὐκ ἂν οὗτος ἡδέως τιμωρίαν θεάσαιτο τοῦ ἐχθροῦ, μή τι γε λαβεῖν ἐπιζητήσει· θεοῦ δὲ κρίνοντος καὶ τὰς εὐθύνας ἀπαιτοῦντος τὸν ἠδικηκότα, τῆς αὐτῆς ἂν εἴη φρενὸς καὶ θεοσεβείας μὴ λογοθετεῖν τὸν κριτὴν, μηδὲ πρὸς τὴν κρίσιν δυσχεραίνειν.

Τὸ μὲν οὖν ἕτερον τοῦ, σωρεύσεις, σημαινόμενον πρὸς τοιαύτην ἡμᾶς θεωρίαν παραπέμπει· τὸ δὲ λοιπὸν ὃ σημαίνει, τὸ ἐπισυνάξεις καὶ περιέλοις καὶ ἀπαλλάξεις τῶν ἀνθράκων τὴν τοῦ μισοῦντος κεφαλὴν, τοιαύτην ἂν τὴν τῶν ῥημάτων δύναμιν ὑποδηλώσῃ· εὐεργετῶν φησι καὶ ἀγαθύνων τὸν ἐχθρὸν, τοὺς κατανεμομένους ἄνθρακας καὶ θᾶττον ἂν διαφθεροῦντας αὐτοῦ τὴν κεφαλὴν, ἂν μήτις αὐτοῦ ἀφαιρήσηται καὶ τὴν ἀπαλλαγὴν μεθοδεύσῃ, μέγα τὸ κέρδος καὶ ψυχικῆς σωτηρίας πρόξενον εὑρήσει· ἀνακαλούμενος γὰρ τὸν πλησίον τῆς σωματικῆς καὶ μᾶλλον διαβαινούσης εἰς τὴν ψυχὴν βλάβης καὶ ἀπωλείας, πρὸς τὴν τοῦ δεσπότου μίμησίν τε καὶ ὁμοίωσιν ἀνατρέχει· ψυχὴν γὰρ ὁ σώζων, φησὶν, ὡς ὁ κτίσας αὐτήν· πῶς δὲ διὰ τῆς εὐεργεσίας συνάγονται καὶ ἀποσύρονται τῆς φιλαπεχθήμονος οἱ ἄνθρακες κεφαλῆς; διότι τροφῇ καὶ ποτῷ δεξιούμενος καὶ ἁπλῶς εὐεργετούμενος ὁ ἐχθρὸς, εἰ καὶ μὴ δι' αὐτὸ τὸ καλὸν, ἀλλά γε διὰ τὴν οἰκείαν εὐπάθειαν καὶ ἀπόλαυσιν τῶν ἀγαθῶν, παύεται μὲν οὗτος τῆς ἔχθρας, ἐξίσταται δὲ τῆς ἐπιβουλῆς· καὶ κατὰ μικρὸν ἀνανήφων τοῦ πάθους, καὶ τὴν ἐν τοῖς λογισμοῖς διὰ τῆς ἔχθρας πύρωσίν τε καὶ φλεγμονὴν ἀποτιθέμενος, ἐπὶ τὸ φιλεῖν καὶ στέργειν καὶ εἰδέναι τὸν εὐεργέτην ἐλεύσεται· κἀκεῖθεν κατὰ μικρὸν ἐνεθισθεὶς γλῶσσαν φεύγειν διάβολον, καὶ οἷς ὁ πλησίον ἔργοις βλάβην ὑφίσταται, τῆς ἀρετῆς ἐραστὴς ἀποκαθίσταται. Καὶ τίς ἂν ἐπιζητήσειε τοῦ ψωμίζειν καὶ ποτίζειν τὸν ἐχθρὸν, ἀντιμισθίαν ταύτης μείζονα; τί δὲ ταύτης ἐπικερδέστερον; Εἰ δὲ μετὰ τοσαύτην εὐεργεσίαν, τῆς μοχθηρίας καὶ φαυλότητος ὁ εὐεργετούμενος οὐκ ἐθέλει μεθίστασθαι, θηρίον μὲν ἂν εἴη ὁ τοιοῦτος, ἀντὶ

τοῦ μετέχειν ἀνθρωπίνης φύσεως· σὺ δὲ οὐδὲν ὅμως ἔλαττον τοὺς καταβοσκομένους αὐτοῦ τὴν κεφαλὴν ἄνθρακας τῇ τε γνώμῃ καὶ τῇ σπουδῇ ἀπεσώρευσας· καὶ ἀντιμισθίαν οὐδὲν ἔλαττον ἔσχες· οὐδὲ τὸν χαρακτῆρα παρ' οὐδὲν παρεχάραξας, ὃς τὴν πρὸς τὸ θεῖον σε συνῆπτεν ὁμοίωσιν· ἐκεῖνος δὲ φέρων ὅλον ἑαυτὸν, τῷ κολαστηρίῳ καὶ ἀσβέστῳ πυρὶ ἐναπέῤῥιψεν· ἄνθρακες μέν τοι γε τισὶ παρελήφθησαν αἱ ζωπυροῦσαι καὶ ἀναθάλπουσαι τὸ ἡγεμονικὸν ἐργασίαι τε καὶ παραινέσεις, καὶ τὸν πολὺν τῆς ἔχθρας χειμῶνα εἰς εἰρηνικὴν γαλήνην μεταβάλλουσαί τε καὶ διαλύουσαι· οὓς φασιν ἐπισωρεύων ὁ εὐεργετῶν τῇ τοῦ δυσμενοῦς κεφαλῇ, καὶ τὴν νεκροποιὸν δι' αὐτὸν ἐλαύνων ἔχθραν, καὶ ἀναῤῥωννὺς εἰς ἀγάπην τὸν πάσχοντα, ἐκεῖνόν τε μεγάλης καὶ ὀλεθρίας νόσου ἀπήλλαξεν, ἑαυτῷ δὲ τὴν ἐκεῖθεν μακαριότητα προεξένησεν.

ΝΓ. Πῶς νοητέον τὸ εἰρημένον παρὰ τοῦ θεοῦ τῷ Μωσεῖ, ἰδοὺ δέδωκά σε θεὸν Φαραώ;

Ἐκ τῶν κατὰ πόδας ῥημάτων ἡ τοῦ ζητουμένου ἑρμηνεία· ἐπάγει γάρ· καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σοι προφήτης· σὺ δὲ λαλήσεις πάντα ὅσα ἐντέλλομαί σοι· ὁ δὲ Ἀαρὼν ἀδελφός σου λαλήσει πρὸς Φαραώ· ὡς οὖν ἐχρήσατο τῷ Μωσεῖ ὁ θεὸς ὑπηρετῆσαι ταῖς κατὰ Φαραὼ καὶ Αἰγυπτίων πληγαῖς, οὕτως ἐχρήσατο Μωσῆς τῷ Ἀαρών· αὐτὸς μὲν προστάσσων ὁ παρὰ θεοῦ προστασσόμενος· ὑπηρέτῃ δὲ χρώμενος πρὸς τὸν Φαραὼ τῷ ἀδελφῷ. Καὶ διέσωζεν ἡ πρᾶξις ἐν τῷ ἀναλόγῳ τὸ ἀπαράλλακτον· ὡς γὰρ θεὸς πρὸς Φαραὼ διὰ μέσου Μωσέως, οὕτως Μωσῆς πρὸς Φαραὼ διὰ μέσου Ἀαρὼν τὰς θεοσημείας ἐπετέλει· ἐπέτασσεν ἐν τῇ ἐρήμῳ Χωρὴβ τῷ Μωσεῖ ῥίψαι τὴν ῥάβδον ὁ θεὸς, καὶ μετεβάλλετο εἰς ὄφιν· ἐπέτασσεν πάλιν κατὰ πρόσωπον Φαραὼ τῷ Ἀαρὼν ὁ Μωσῆς ῥίψαι τὴν ῥάβδον, καὶ εἰς δράκοντα τὸ ξύλον ἐζωοπλαστεῖτο· καὶ ἁπλῶς ὅσα Μωσεῖ κατεπιστεύετο τερατουργεῖν, πάντα Μωσῆς παραθέμενος καὶ ἐγχειρίσας τῷ ἀδελφῷ, δι' ἐκείνου τὰ προστεταγμένα θαυματουργῶν διεπέραινεν· ὥστε φανερὸν γέγονε τί ποτε βούλεται δηλοῦν τὸ, ἰδοὺ δέδωκά σε θεὸν Φαραώ.

ΝΔ. Πῶς νοητέον τὸ ἀποστολικὸν ῥητόν· εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε, καὶ τὰ τούτῳ συνημμένα.

Εἰσὶν ἄνδρες ἱεροὶ τῶν ἀποστολικῶν ῥημάτων τὴν ἐν τῷ βάθει τεθησαυρισμένην διάνοιαν, χάριν ἔχοντες ἀνακαλύπτειν, οἷς τὸ προκείμενον ανα-

πτύσσεται ῥητόν· ὧν τὴν θεωρίαν ἀποδεχόμενοι καὶ σὲ συνεῖναι τὸ περὶ ταῦτα σου φιλόπονον ἡμᾶς ἀναπείθει· οὐδ' εἴ τι ἄλλο πηγάζει τῶν τοῦ Παύλου ῥημάτων ὑπεροψόμεθα ἀποῤῥύσασθαι· εἰπὼν γὰρ οὗ ἡ γλῶσσα τοῦ παναγίου πνεύματος ὄργανον, ὑμεῖς ἐπ' ἐλευθερίᾳ ἐκλήθητε ἀδελφοὶ, καὶ διδάξας ὡς οὐχ ὑπόκειται δουλείᾳ περιτομῆς τὰ τῆς χάριτος τέκνα, οὐδὲ τῷ πολυμόχθῳ καὶ δυσεξανύστῳ ζυγῷ τοῦ νόμου συνέχεσθαι καὶ ταλαιπωρεῖσθαι κεχρεώστηκεν, ἵνα μὴ τὴν ἐλευθερίαν αὐτοῖς καὶ τῶν ἄλλων ὅσα μὴ δεῖ πράττειν χαρίζεσθαι νομιοῦσι, καὶ τὴν ἀφορμὴν τῆς ἐλευθερίας ὕβριν ποιήσωνται τῆς ἐλευθερίας ὑποκόπτοντες σαρκὶ καὶ πάθεσιν, ὅσα τῆς σαρκὸς ἀποβλαστάνει καὶ φύεται. Διὰ τοῦτο ἐπήγαγεν· ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις· οἷον ἀνεκλήθητε δουλείας χαλεπῆς εἰς ἀπροσδόκητον καὶ μακαρίαν ἐλευθερίαν, φεύγετε τῆς σαρκὸς τὴν ἐπικράτειαν, δι' ἣν ὑμῖν βαρύνεται ἡ δουλεία· μηδὲ τοῖς ἐκείνης κατακλίνεσθε νόμοις· ἡ δὲ τῆς σαρκὸς δουλεία δῆλον ὡς πολλῶν μὲν καὶ ἄλλων ἐστὶ παθῶν καὶ κακίας δημιουργὸς καὶ τεχνίτης, καὶ διαμηχανᾶται λυμαίνεσθαι τῆς ἀρετῆς καὶ τῆς ἐλευθερίας τὸ κάλλος· ἀτὰρ δὴ καὶ τὴν ἀγάπην ἐπιχειρεῖ τῶν ἀνθρωπίνων ψυχῶν ἀπελαύνειν. Ἵνα τοίνυν, φησὶ, τὰς ἄλλας τέως τῆς κακίας ἐπαναστάσεις ἐάσω, αἳ Γεννήματα τῆς σαρκὸς καὶ τοῦ σαρκικοῦ καθεστήκασι φρονήματος, πρὸς ταύτην τὴν ἐκεῖθεν ἐρχομένην ἐπιβουλὴν καὶ πληγὴν καθ' ὑμῶν, τὴν νεκροποιοῦσαν λέγω τὴν ἀγάπην, γενναίως ἀνταγωνίσασθε, μηδὲ πάροδον εὑρεῖν ἐν ὑμῖν τῷ ψυχοφθόρῳ τούτῳ τῆς ἁμαρτίας βέλει πρόφασίν τινα παράσχητε. Τοῦτο δὲ ἔσται πῶς οὐκ ἐργῶδες οὐδὲ χαλεπὸν ἀνύσαι, ἀλλὰ καὶ ῥᾴδιον καὶ σωτήριον· εἰ γὰρ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις ἅπαν ὅπλον πονηρίας καθ' ὑμῶν βαλλόμενον ἀπρακτήσει· τῷ θυρεῷ γὰρ ἐμπίπτον τῆς ἀλλήλοις ὁμονοίας τε φιλίας, καὶ θρᾶττον περιθραύεται, καὶ ἀποκρουόμενον εἰς κωφὴν διαπίπτει βολίδα, μετὰ τοῦ καὶ τὸν βάλλοντα τῆς προσηκούσης αἰσχύνης ἀναπλῆσαι· ἐπείπερ ἡ πρὸς ἀλλήλους διὰ τῆς ἀγάπης δουλεία, τὴν ἄνωθεν ἀῤῥαβωνίζεται συμμαχίαν, καὶ τὴν καθαρὰν καὶ μακαρίαν καταπράττεται ἐλευθερίαν διὰ τῆς ἐν ἀλλήλοις εἰρήνης, καὶ τὴν ἐνυπόστατον εἰρήνην τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ταῖς ὑμῶν ἐγκατοικίζουσα καρδίαις.

Εἶτα προστίθησιν ὅτι καὶ νόμου κεφάλαιόν ἐστι τὸ ἀγαπᾶν ὡς ἑαυτὸν τὸν πλησίον· καὶ ταύτης τῆς ἀγάπης τὸ ὑψηλὸν καὶ ὠφέλιμον, ἱεροῖς τε ἐνθυμήμασι κατασκευάζων καὶ ἐπιδεικνύων· καὶ διὰ τῶν παρεπομένων δὲ ἀνθρωπίνων τῷ βίῳ παραστήσας, ἐπισφίγγει καὶ συγκροτεῖ τὴν διδασκαλίαν· ἐπεὶ γὰρ ὁ πολὺς ἄνθρωπος οὐ τοσοῦτον τοῖς νόμοις καὶ ταῖς ἀπειλαῖς αἳ τῷ μακρῷ χρόνῳ τὰς κολάσεις ἐπιφέρουσι σωφρονίζεσθαι θέλει, ὅσαν ἀπὸ τῶν ὁρωμένων τε καὶ ἐπικήρων καὶ τὴν τιμωρίαν δεικνύντων ἐγ-

γίζουσαν, οὐδὲ τὴν ἀπὸ τούτων παραίνεσιν ἀποτρέχει· διὸ μονονουχὶ φησίν· εἰ μήτε ὁ τῆς ἐλευθερίας ὑμᾶς δυσωπεῖ πόθος, μήτε τὸ ἀπὸ τῆς εἰς ἄλλους δουλείας παρακαλεῖ κέρδος, μηδ' ὅτι τοῦτο μὲν ἐπιθυμία τοῦ πνεύματος, τὸ δ' ἐναντίον ἐπιθυμία τῆς σαρκὸς, μηδ' ὅτι πλήρωμα νόμου τὸ τῆς ἀγάπης κατόρθωμα, ἀλλὰ κἂν γοῦν τὴν κατ' ἀλλήλων φθορὰν καὶ ἀπώλειαν εὐλαβήθητε· τὸ γὰρ ἀλλήλους δάκνειν καὶ κατεσθίειν φθόνῳ τε διαβολαῖς καὶ ταῖς συκοφαντίαις ἐξ ὧν καὶ ὁ φθόνος παῤῥησιάζεσθαι, πῶς οὐκ ἂν εἴη βδελυκτὸν; πῶς δ' οὐ φευκτὸν; πῶς δ' οὐχὶ καὶ χωρὶς παραινέσεως ἀποτρόπαιον; διὸ δεῖ φυλάττεσθαι μὴ διαπεσεῖν τῆς ἀγάπης· τὸ γὰρ ταύτης ἀποῤῥυῆναι εἰς μάχας ἐστὶ καὶ στάσεις καὶ ἔριδας καταποθῆναι καὶ κατ' ἀλλήλων ὁπλίζεσθαι παρασκευάζει, τὰ δὲ τὴν φθορὰν ὑμῶν καὶ ἀπώλειαν συγκατασκευάζει. Καὶ σκόπει ὅπως τὴν ἀγάπην ἐνταῦθα παρέβαλε· καίτοι τὴν τῆς περιτομῆς ἀποθέτησιν ὁ λόγος αὐτῷ προηγουμένως εἰσηγεῖτο· καὶ ταύτης αὐτῷ τῆς σπουδῆς προκειμένης, τὸ τῆς ἀγάπης ἀγαθὸν ὅμως τῇ προθέσει συνδιαπλέκεται· διὰ τί; ἵνα μὴ πρὸς ἀλλήλους διϊσταμένων τῶν περιτομὴν σεμνολόγημα ποιουμένων, καὶ οἷς ἡ τοῦ Παύλου παραίνεσις ἐγεγόνει κρείττων στάσεσι καὶ φιλονεικίαις καὶ ἔρισι συγκαταμερίσωσιν ἑαυτούς· δι' ὧν τὸ ὑπ' ἀλλήλων δάκνεσθαι καὶ κατεσθίεσθαι θᾶττον συνεπόμενον ὁρᾶται· ὧν τὴν ἀπαλλαγὴν αὐτὸς ἄριστα φιλοσοφῶν παρά γε ἐμοὶ κριτῇ, εἴη καὶ τοὺς πλησιάζοντας συμφιλοσοφεῖν, ὥσπερ τῇ πράξει, οὕτω καὶ τοῖς λόγοις ἐκδιδάσκων.

ΝΕ. Πῶς ὁ ἱερὸς χρησμὸς ὥσπέρ ἐστι κρείττων αἰτίας ἁπάσης, οὕτω καὶ δειχθείη ταύτης ἀπροσπέλαστος· ὡς, ἀμὴν ἀμὴν λέγω ὑμῖν, φησὶν, ὅπου ἂν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη εἰς μνημόσυνον αὐτῆς· εἰ μὲν γάρ τις εὐαγγέλιον αὐτὴν τὴν πρᾶξιν θείη τῆς γυναικὸς, ἀδολεσχίας οὐ δοκεῖ φεύγειν αἰτίαν· ἂν δὲ τὴν ὅλην γραφὴν τῶν συνταξαμένων μαθητῶν τὰ τοῦ διδασκάλου καὶ κοινοῦ σωτῆρος ὑπερφυῆ ἔργα καὶ πολιτεύματα, οὐδὲ τοῦτο νομίζεται σώζειν τὸ ἀκόλουθον· οὔπω γὰρ ταῦτα τοῖς γράμμασι παρατέθειτο.

Τὸ μὲν οὖν σὸν διαπόρημα δριμύτερον ἐπελθεῖν τοῦτο, οὐδὲν δ' ἐργῶδες, οὐδὲ πολλῆς προσοχῆς δεόμενον τό τε ἀκόλουθον ἐν τοῖς προκειμένοις θείοις συνιδεῖν λογίοις, καὶ τὸ πολλῷ καθεστάναι μεῖζον, ἢ ἀδολεσχίας εἰσπράττεσθαι πρόφασιν· πρῶτον μὲν γὰρ εἰ καὶ μήπω τὰ εὐαγγέλια συνεγέγραπτο, ἀλλ' οὖν ἀγράφῳ λόγῳ αἱ θεουργίαι τοῦ Ἰησοῦ, πᾶσι περιηγγέλλοντο· εἰ δὲ καὶ πρὸ γενέσεως ἕκαστον αὐτός ἐστιν ὁ σα-

φῶς εἰδὼς, τί κωλύει αὐτὸν εὐαγγελία, ἃ μετ' οὐ πολὺν χρόνον καὶ τὴν γραφὴν ἔμελλεν ἀναδέξασθαι; ὥστε ποῦ ἂν εὕροιμι χῶραν τὸ ἀσυνάρτητον ἐν οἷς εἴρηται ὅπου ἐὰν κηρυχθῇ τὸ εὐαγγέλιον τοῦτο, λαληθήσεται καὶ ὃ ἐποίησεν αὕτη; εἰ δὲ τὸ εὐαγγέλιον αὐτὴν εὐσεβοῦσαν πρᾶξιν τις ἐννοήσει τῆς γυναικὸς, οὐδ' οὕτως αὐτοῖς οὐδαμῶς ὁ τῆς ἀδολεσχίας προσάψαιτο μῶμος· οὐ γὰρ ἁπλῶς ἔφη, ὅπου ἐὰν κηρυχθῇ, λαληθήσεται, ἀλλ' ὅπου ἐὰν κηρυχθῇ, εἰς μνημόσυνον αὐτῆς λαληθήσεται· τουτέστι δόξαν αὐτοῖς ἀείμνηστον ἀναστήσει, καὶ πανταχοῦ θαυμαζόμενον περιηχήσῃ τὸ φιλόθεον· τὸ γὰρ μνημόσυνον τὰ ἱερὰ λόγια εἴωθε παραλαμβάνειν ἐπὶ ἐγκωμίων λαμπρῶς, καὶ δόξαν ὑποδηλοῦν ἀνθοῦσαν καὶ τῷ τοῦ χρόνου δρόμῳ συνακμάζουσαν· ὡς τὸ, εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος· καὶ ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου· καὶ πολλὰ τοιαῦτα· εἰκότως δὲ δόξαν ἐπάγει, τὴν τῆς γυναικὸς ἱερουργίαν προαγορεύει· ἐπεὶ γὰρ ἐκεῖνοι ψόγον καὶ μῶμον ἐπέτριβον τῇ φιλοθέῳ πράξει τῆς σώφρονος πόρνης καὶ δι' ἐπιτιμήσεως αὐτὴν ἦγον, τούτου χάριν ὁ σωτὴρ τὰ ἄλλα παρεὶς ἃ τῇ προκειμένῃ συνείπετο πράξει, τὸν ἔπαινον ἀντέθηκε καὶ τὴν δόξαν, τὸ περιώνυμον τῆς ἐργασίας πανταχοῦ διαπλωθῆναι· ἔδει γὰρ οἷς ἐκεῖνοι τὸ σκυθρωπὸν αὐτῇ κατεσκέδαζον ἐπιτιμῶντες καὶ τὴν ψυχὴν συνέχεον, τούτων τοῖς ἐναντίοις παρακαλεῖν, καὶ ἀνακτᾶσθαι, καὶ τὸ φρόνημα χαῖρον αὐτῇ καὶ ἀγαλλιώμενον ἀποκαθιστάνειν, ἅμα δὲ καὶ τὴν προπέτειαν τῶν αἰτιασαμένων ἀναχαιτίζειν· μονονουχὶ τὸ παρ' ὑμῶν αἰτίαις ὑποβαλλόμενον ἔργον ἀναβοῶν ὁ σωτήριος λόγος· ὡς οὐ μόνον ἐστὶν ἀπολελυμένος πάσης αἰτίας ἀλλὰ καὶ πανταχοῦ κηρυχθήσεται, τῆς ἐκ πορνικῶν βλαστημάτων ἄνθος σωφροσύνης ἀνασχούσης ὡραῖόν τε καὶ ἀμάραντον, καὶ θαυμασίαν τὴν γνώμην ἐπιδείξει, καὶ ὑψηλοτέραν ἢ κατὰ γυναῖκα φρόνημα λαβεῖν θεὸν ἐπιγνῶναι καὶ θυσίαις θειάσαι, ὃν ἡ ἀνθρωπίνη μορφὴ περιέστελλε· διὸ καὶ τὰ πέρατα τῆς οἰκουμένης ὀφθήσεται τὸν μακαρισμὸν αὐτῇ δωροφοροῦντα καὶ τὰ ἐγκώμια.

Ν϶. Τίνα νοῦν ἐστιν ἀκόλουθον καὶ ἀδυσφήμητον ἀνιχνεῦσαι καὶ κατανοῆσαι διὰ τῶν δαυιδικῶν ῥημάτων λεγόντων, σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδιάζουσα μὲν τοῦ διαπορήματος ἐπίλυσις καὶ πρὸς τὴν δαυιδικὴν σοφίαν καταῤῥυθμίζουσα τὸ δοκοῦν ἀπεμφαίνειν τῶν ῥημάτων καὶ πρὸς διαφωνίαν ἐπιῤῥεπέστερον, τοιαύτη οὐκ ἔστιν ἀνταπόδοσις τοῦ, σοὶ μόνῳ ἥμαρτον, τὸ, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, εἰ καὶ τὴν τάξιν τοῦ προη-

γουμένου ἐγγυτέραν ἔλαχεν· ἀποδοθείη δ' ἂν οἰκειότερόν τε καὶ σοφώτερον, εἴ γε τῷ ἀπ' ἀρχῆς προηγουμένῳ, τὴν ἀναφορὰν παραληφθείη παρεχόμενον· οἷον, ἐλέησόν με ὁ Θεὸς κατὰ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε· τὰ δὲ ἄλλα μεταξυλογίας ἔχοντα, οὐ περικόψει τὸν εἱρμὸν οὔτε τῆς διανοίας οὔτε τῆς συντάξεως· ποῖοι δ' ἂν εἶεν λόγοι δι' ὧν ὁ Θεὸς ἐλεῶν δικαιοῦται; ἢ λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου ὅπως δικαιωθῇς· καὶ ὅτι μὴ θελήσει θελήσω τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέφειν αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς καὶ ζῆν· καὶ πάλιν οὐ θέλω τὸν τοῦ ἀποθνήσκοντος θάνατον, ἀλλ' ἐπιστρέψατε καὶ ζήσεσθε· οὗτοι γὰρ οἱ λόγοι δικαιοῦσι τὸν Θεὸν, ἔργοις φιλανθρώποις βεβαιοῦντος καὶ συμπαθείας οἰκτιρμοῖς ἐκπληροῦντος αὐτούς· εἰ γὰρ τῆς δαυιδικῆς ἁμαρτίας καὶ μεταμελείας τῷ χρόνῳ δευτερεύουσιν, ἀλλ' οὖν τῆς ἐν τῷ Δαυὶδ προφητικῆς οὐ δευτερεύουσιν γνώσεως. Ἐπεὶ καὶ αὐτὸς ὁ ψαλμὸς οὐκ ἔλαττον τὴν τοῦ Δαυὶδ στηλογραφεῖ μετάνοιαν καὶ ἐξομολόγησιν, καὶ τὸν ἐπὶ τοῖς παραπτώμασιν ἔλεον ἢ τὴν ὑστέροις χρόνοις αἰχμαλωσίαν τοῦ Ἰσραὴλ προαγγέλλει· καὶ ἐλέους ἀξιωθῆναι τούτους καὶ φιλανθρωπίας ἐν διατυπώσει τε καὶ σχηματισμῷ δεομένου προθεσπίζει, ἀκουτισθήσεσθαί τε ἀγαλλίασιν καὶ εὐφροσύνην προφητικῇ χρησμολογεῖ διαγνώσει, ἀγαλλιάσεσθαί τε ὀστέα ταπεινωμένα καὶ πνεύματι ἡγεμονικῷ στηριχθῆναι, καὶ ἀγαθυνθῆναι θείᾳ εὐδοκίᾳ τὴν Σιὼν, ἀνοικοδομηθῆναι τε τὰ πεπορθημένα τείχη καὶ κατηρειπωμένα τῆς Ἱερουσαλήμ. Τῶν δαυιδικῶν τοίνυν ῥημάτων ἀντὶ τοῦ σχηματίζεσθαι τῷ ὑπερβεβηκότι, τῶν τρόπων ἐπ' εὐθείας ἀλλήλοις συναπτομένων, οὐδὲν ὡς εἴρηται στασιάζον πρὸς τὴν ὀρθότητα καὶ σύνεσιν τῶν προφητικῶν λόγων ἀπαντᾷ· ἐκκαλοῦνται γὰρ τὸ ἄνωθεν ἔλεος καὶ τὴν εὐμένειαν, δι' ὧν μᾶλλον ἡ δικαιοσύνη διαλάμπει τοῦ Θεοῦ καὶ ἡ ἀλήθεια· οὕτω μὲν οὖν ῥᾷόν ἐστι καὶ ἀταλαίπωρον συνορᾷν, ὅπως τε τὸ ἀμφισβητούμενον διὰ τῆς συγγενοῦς ἱερολογίας ἀνεκαθάρθη καὶ τὴν προφητικὴν θεοσοφίαν καὶ ἀρετὴν οὐκ ἐνόθευσεν, οὐδέ τινα λογισμοῖς ἐμβάλλει δισταγμὸν καὶ τῆς θεοπρεποῦς ἀλλότριον ὑπολήψεως.

Ἐπεὶ δὲ τὸ μὲν δαυιδικὸν ῥητὸν ἰδιάζοντα τὸν καταρτισμὸν εὑρίσκει καὶ τὴν εὐμάρειαν, εἰσὶ δὲ καὶ ἄλλα πολλὰ τῶν λογίων τὴν αὐτὴν μὲν ζήτησιν ἀναδεχόμενα, οὐ διὰ τῆς αὐτῆς δὲ μεθόδου ἐπιλυόμενα, ἄμεινον ἐπὶ τὴν καθολικώτερον ταῦτα θεουργοῦσαν καὶ διευθετίζουσαν ἀναδραμεῖν θεωρίαν, κἀκεῖθεν ἀπὸ τῆς κοινῆς πάντων διακρίσεως τὴν ἀκόλουθον καὶ ἱεροπρεπῆ διάνοιαν ὡς οἷόν τέ ἐστιν ἐμφανῆ καταστῆσαι. Ἔστι δ' οὖν ἃ τὸν αὐτὸν σχηματισμὸν ὑποβάλλεται τῆς συνθέσεως καὶ πρὸς τὴν αὐτὴν τοῦ λόγου δεῖται

φυσικὴν ἀναπλωθῆναι καὶ ἀσχημάτιστον ἰδιότητα, ὡς ἐκ πολλῶν ὀλίγα παραθεῖναι ταῦτα. Ἀποστελῶ τὴν χεῖρά μου πατάξαι σε καὶ τὸν λαόν σου, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς, πρὸς τὸν Φαραὼ λέγει διὰ Μωσέως κύριος· καὶ ἕνεκεν τούτου διετηρήθης ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ· καὶ πάλιν, ἐγὼ ἐβάρυνα τὴν καρδίαν αὐτοῦ καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἐπέλθῃ τὰ σημεῖα μου ἐπ' αὐτούς, ὅπως διηγήσηται τὰ σημεῖα μου εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν· εἶτα καὶ οὐκ εἰσακούσεται ὑμῶν Φαραὼ, ἵνα πληθύνω τὰ σημεῖα μου καὶ τὰ τέρατά μου ἐν τῇ γῇ αὐτῶν· τούτων γὰρ ἕκαστον καὶ ὅσα ἄλλα διὰ τῶν ὁμοίων προάγεται φωνῶν κατὰ τὸν αἰτιολογικὸν ἀποδιδόμενα τῆς φράσεως σχηματισμὸν, ἰδιώματι μὲν ἀπαγγέλλεται τῆς ἱερᾶς ἡμῶν γραφῆς· πρὸς τὸ φυσικὸν δὲ τοῦ λόγου μεταλαμβανόμενα εἶδος, τὸ εὐσεβὲς ἀναπτύσσει, καὶ πρὸς τὸ τῆς θεοσοφίας ἡμῶν συγγενὲς καταρτίζεται φρόνημα· καὶ γὰρ ἔθει κρατύνεται παλαιῷ τὰ πάντως ἀποβησόμενα καὶ μὴ οἷά τε ὄντα τῷ ἀτελεῖ τῆς ἐκβάσεως περικόπτεσθαι πολλάκις ἐν τούτῳ περιαγγέλλειν τῷ σχίσματι· ἐπεὶ καὶ ὅσα τὴν φράσιν αἰτιολογουμένην ἔλαχε, τὴν τάξιν ἐπέχει τῶν ὁμολογουμένην ἐχόντων τὴν ὕπαρξιν.

Ἀλλὰ γὰρ τὸ μὲν ἰδίωμα τοιοῦτον τῆς γραφῆς, οἷον ἠπείθει Φαραὼ καὶ ἐσκληρύνετο, αἱ παράδοξοι πληγαὶ καὶ μάστιγες εἰσπραττόμεναι τῆς ἀπειθίας αὐτὸν καὶ σκληρότητος εἵποντο· ταῦτα δὲ τὸ περιβόητον εἶχε, καὶ ἀνὰ πᾶσαν τὴν γῆν ἐφοίτα, τὴν τοῦ θεοῦ δυναστείαν περιηχούμενα καὶ θαυμάζειν καὶ ὑπερεκπλήττεσθαι τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ παρασκευάζοντα· τοῦτο οὖν τὸ πάντως ἐκ τῆς ἐκείνου σκληρότητος ἐκβησόμενον, εἰς αἰτιολογικὸν εἶδος ἡ γραφὴ σχηματίσασα προενήνοχε προκηρύττουσα τῷ τρόπῳ τὸ τῆς ἐκβάσεως ἀμετάθετον· καὶ γὰρ ὡς ἐπίπαν καὶ τὰ αἰτιολογούμενα τῷ ἀπαραβάτῳ τῆς προόδου εἰδοποιεῖσθαι θέλει καὶ ἑρμηνεύεσθαι. Κολάζεται τοίνυν Φαραὼ, οὐχ ἵνα δοξασθῇ ὁ θεὸς, εἰ καὶ τῆς φωνῆς καὶ τῆς συνθέσεως τὸ σχῆμα τοιαύτην φαντασίαν ὑπέρχεται, ἀλλ' ὅτι ἠπείθει καὶ τῆς ἀπειθείας αὐτὸν ἔδει τὰς δίκας εἰσπράττεσθαι· εἰ δὲ κἂν μὴ πρὸς τοῦτο ἑώρων αἱ τιμωρίαι, μηδὲ πρὸς τὸ γενέσθαι αὐτὸν τῆς ἀπειθείας ἀνδράποδον, ἀλλ' οὖν ἐπείπερ κατὰ πόδας ἠκολούθησαν τὸν ἀλιτήριον τιμωρούμεναι, ταύταις δὲ ταῖς τῶν μαστίγων καὶ πληγῶν παραδόξοις θεοσημείαις ὡς εἴρηται ἡ ἰσχὺς καὶ ἡ δόξα τοῦ θεοῦ συνηυξήθη καὶ συνανεβλάστανεν, οὐκ ἀπεικότως ἡ κατὰ τὴν αἰτιολογίαν τῷ διηγήματι μορφὴ καὶ ἰδέα περιτίθεται, τὸ ἐκβησόμενον πάντως καὶ πρὸ τοῦ ἐκβεβηκέναι διαμαρτυρομένης καὶ ἀπαγγελλούσης τῆς τῶν λογίων προγνώσεως· διὰ τῆς αὐτῆς δ' ἂν ἐφόδου καὶ τῶν δαυιδικῶν ῥημάτων ἃ πρότερον ἰδιαζούσης ἔτυχε σαφηνείας καὶ καταστάσεως εἰς τὴν ἴσην καὶ ὁμοίαν τοῖς εἰρη-

μένοις ἀπαρτισθείη τελειότητα· ἥμαρτεν ὁ Δαυὶδ καὶ τῶν ἁμαρτημάτων τὰ μέγιστα· οὐχ ἵνα θεὸς δικαιωθῇ· οὐ γάρ ἐστιν οὐκ ἔστιν οὐδενὸς ἁμαρτία Θεῷ δικαιοσύνην περιάπτουσα· ἀλλ' ἐπείπερ ἥμαρτε μὲν, οὐκ ηὔξησε δὲ οὔτε τῇ πωρώσει οὔτε τῇ φρογνώσει τὴν ἁμαρτίαν, καταφεύγει δὲ μᾶλλον πρὸς τὴν μετάνοιαν καὶ τὰ δάκρυα, ἑαυτὸν σπουδάζων ἀποπλύνειν τοῦ ἁμαρτήματος· δίδωσι δὲ Θεὸς συγγνώμην ἐν τῇ φιλανθρωπίᾳ, τὸ οἰκεῖον δίκαιον καὶ μεῖζον ἢ κατὰ ἀνθρωπίνην διάνοιαν, λαμπρὸν ἅπασι ἐπιδεικνὺς καὶ περίβλεπτον· διὰ τοῦτο εἰπὼν ὁ Δαυὶδ, σοὶ μόνῳ ἥμαρτον, ὅπως ἂν δικαιωθῇς, ἐπισυνῆψεν, ἐν τοῖς λόγοις σου· τὴν μὲν ἀνομίαν τῆς μετανοίας διαδεξαμένης· τὴν μετάνοιαν δὲ τῆς ὑπὲρ λόγον φιλανθρωπίας· ἐν δὲ τῇ φιλανθρωπίᾳ τοῦ ἐν τοῖς λόγοις ἐξαστράπτοντος δικαίου καὶ πάσης συμπαθείας καὶ ἀγαθότητος ἀφιέντος ἀκτῖνας. Καὶ λόγοι ἂν ἐνταῦθα νοηθεῖεν τοῦ Θεοῦ, τῇ ἀνθρωπίνῃ συγκαταβαίνοντος ἀσθενείᾳ καὶ εἰς λόγους καὶ κρίσιν καθισταμένου· καὶ γάρ φησι, δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος· ἀντεξετάσεως δὲ συνισταμένης ὧν δωρεῶν ἀπήλαυσε καὶ εὐεργεσιῶν ὁ Δαυὶδ πρὸς ἃς κατωλίσθησεν ἀθέσμους πράξεις· ἀπὸ γλώττης καλαμίνης, καὶ αὐλεῖν ἀλόγως τέχνην ποιουμένης, γλῶσσα τοῦ πνεύματος, καὶ τῆς ὑπὲρ λόγον σοφίας καὶ γνώσεως ὄργανον· ἐκ μειρακίου μυκτηριζομένου, στρατηγὸς αὐτοσχέδιος τοῦ πολέμου καὶ τῆς ὅλης παρατάξεως καὶ μόνος καὶ χωρὶς βελῶν καὶ ὅπλων καὶ τῆς ἄλλης παρασκευῆς καὶ ἐμπειρίας τοῦ ἀγωνίσματος, τροπαιοφορῶν τὴν νίκην, καὶ τὴν ἐχθρῶν ἀναδούμενος ἐπικράτειαν· ἐξ ὑπαίθρου ταλαιπωρίας, διωρόφων καὶ τριωρόφων οἴκων λαμπρότητες καὶ λαμπρότεραι διαγωγαὶ, καὶ ὑπωρόφιος καὶ τρυφῶσα δίαιτα· καὶ πολλῶν πόλεων ὁ κωμήτης, κύριος· ἀντὶ ποιμενικοῦ καδίσκου καὶ πήρας, σκῆπτρον ἐν τῇ χειρὶ, και περὶ τὴν κεφαλὴν στροφίον βασιλείας· ἐξ ἀγέλης βοσκημάτων καὶ σύριγγος καὶ τῷ ἤχῳ κατακηλοῦντος αὐτῶν τὰ ὦτα, χρησμολόγος τῶν ὑπὲρ λόγον ἔργων καὶ προφητείας βρύων χαρίσματα· ἐξ αὐλῶν νομάδων καὶ θεραπείας θρεμμάτων καὶ σκυτάλης ἀνεχούσης τὸ σωμάτιον κόπῳ βαρυνόμενον, θρόνος βασίλειος καὶ πορφύρα καὶ δορυφόροι καὶ στέφανος· συνελόντι φάναι, ἐξ ἰδιώτου προφήτης, καὶ βασιλεὺς ἐκ φυγάδος, καὶ τὸ κατ' ἐχθρῶν κράτος συγκληρωσάμενος ἄμαχον.

Τὰ μὲν οὖν θεῖα περὶ τὸν Δαβὶδ, ταῦτα, καὶ πολλῷ πλείονα τὰ λειπόμενα. Τὰ δὲ τῆς ἐμῆς ἀσθενείας καὶ τοῦ Δαβὶδ, γυναικὸς ἡττᾶτο, τοῦ πολέμου λαβὼν ἐπίκουρον ἔρωτα· μοιχεία καὶ φόνος κατὰ τοῦ μεγέθους ἐχόρευον τῶν εὐεργετῶν· ὕβριζεν ἡ σὰρξ τὸ πνεῦμα, καὶ ἐπιθυμία ἄθεσμος τοῖς τῶν δωρεῶν χαρίσμασιν ἐπεκώμαζε, καὶ πόσα τοιαῦτα; ὁ προφήτης καὶ βασιλεὺς, κάπηλος, οὐκ οἶνον ὕδατι κεραννὺς, ἀλ-

λὰ τὰς ὑπὲρ λόγον δωρεὰς καταμιγνὺς, καὶ κιβδηλεύων τοῖς τῆς σαρκὸς πάθεσι καὶ σκιρτήμασιν. Ἐν τούτοις καὶ τοῖς τοιούτοις λόγοις ὁ θεὸς κρινόμενός τε καὶ δικαιολογούμενος πρὸς τὸν Δαβίδ· ἆρ' ἔστιν εἰπεῖν εἰς ὅσον τῷ δικαίῳ ὑπερέβαλε, καὶ τῆς αὐτοῦ παρέστησεν ἀγαθότητος τὸ ἀνυπέρβλητον, μάλιστα δὲ μηδὲ τιμωρίας ὑπάγων τὸν ἀντὶ τοσούτων ἀγαθῶν κακοῖς ἀμειψάμενον· ὑπετέμνετο γὰρ ἂν οὕτως τὸ ἄφατον ἔλεος τοῦ θεοῦ καὶ τὸ ἐν αὐτῷ λαμπρὸν καὶ οὐκ ἔχον ἀπαγγέλλειν λόγον τὸ μέγεθος· τιμωρίᾳ γὰρ καὶ κολάσει ὁ ἠδικημένος ζημιούμενος τὰ πολλὰ τῶν ὀφλημάτων ἄγει πρὸς διάλυσιν. Τὰ τοίνυν δαυιδικὰ τῆς μετανοίας καὶ ἐξομολογήσεως ῥήματα καὶ τῶν παραπλησίων ἕκαστον ἡ τῶν ἱερῶν λογίων συνήθεια τὸ πάντως ἀποβησόμενον προμηνύουσα, αἰτιολογικῶς ἀπαγγέλλει, καὶ διατυποῦσα τῷ σχήματι τὸ συγγενὲς τοῦ ἀκωλύτως ἐκβησομένου παρίστησιν· ὁ τοίνυν τῷ τῶν λογίων ἔθει καὶ τῷ κανόνι τῆς διανοίας εὐθυνόμενος, ἐπειδὰν εἰς ὁμιλίαν καταστῇ τῇ αἰτιολόγῳ τροπολογίᾳ κατεσχηματισμένου τινὸς προβλήματος, δῆλον ὡς οὐδένα θόρυβον οὐδὲ ταραχὴν οὐδ' ἀπορίαν τινὰ τοὺς λογισμοὺς συνέχουσαν ὑποστήσεται· ἀλλὰ τῷ λόγῳ περιελὼν τοῦ σχήματος τὴν ἐπίνοιαν, καθαρῶς τὸ ἐκβησόμενον ὄψεται· οὗπερ καὶ εἰς δήλωσιν ὁ σχηματισμὸς παραλαμβάνεται.

ΝΖ. Διὰ τί τῶν τοῦ σωτῆρος βαπτιζόντων μαθητῶν, ἔτι ἐβάπτιζεν ὁ Ἰωάννης.

Διότι τὴν αὐτὴν γνώμην μέχρι τῆς σφαγῆς ἀπαράτρεπτον συνετήρει, δι' ἣν καὶ κατ' ἀρχὰς ὑπηρέτης ὤφθη τοῦ βαπτίσματος· καὶ τότε μὲν γὰρ ἐβάπτιζεν, ἵνα κηρύττῃ τῶν προσιόντων τῷ πλήθει τὸν κοινὸν σωτῆρα τοῦ γένους· καὶ ὕστερον δὲ ἵνα μὴ τὸν τόνον ὑποχαλῶν ἐλεγχθείη τῆς τοιαύτης θεοφιλοῦς μαρτυρίας καὶ ἁγιοπρεποῦς προαιρέσεως· ἐβάπτιζον οὖν οἱ μαθηταὶ τοῦ σωτῆρος, τὸν λυτρωτὴν τοῦ γένους κηρύττοντες· ἐβάπτιζε δὲ καὶ Ἰωάννης, ἀπαρχὴ μὴν παράδειγμα τῆς ἐκείνων ἱερᾶς ἐργασίας γενόμενος, συνεφαπτόμενος δὲ τούτοις συναγωνιζομένοις καὶ συνεργὸς τῆς σωτηρίου ταύτης καὶ προκαθαρσίου καθιστάμενος πράξεως· καὶ γὰρ ἀνακέκραγε βαπτίζων, τὴν Ἰησοῦ πᾶσι θεότητα διαμαρτυρόμενος· τοῦτο γὰρ ὁ ἐπουράνιος αὐτῶν νυμφίος ἐβούλετο, καὶ κατασκευάζειν ἐσπουδάζετο, καὶ ὁ καθ' ὑπερβολὴν μείζων ἁπάντων, καὶ ὁ ἀπὸ θεοῦ ἀπεσταλμένος, καὶ ὁ θεοῦ ῥήματα λαλῶν καὶ ὁ λαβὼν καὶ ἔχων τὸ πνεῦμα οὐ μέτρῳ δωρεᾶς καὶ ἐνεργείας μεθέξει, ὥσπερ ἅπαντες οἱ προφῆται, ἀλλὰ συγγενείας δικαίῳ, καὶ ὑπερουσίου ὁμοουσιότητος ἀξιώματι· τὸ μέν τοι βάπτισμα τοῦ Ἰωάννου καὶ τῶν μαθητῶν τοῦ σωτῆρος οὐδενὶ διαφόρῳ πλὴν τῆς τῶν προσ-

ώπων ἐναλλαγῆς διεστέλλετο· καὶ γὰρ παρεσκεύαζεν μὲν ἑκάτερον αὐτῶν τοὺς βαπτιζομένους ἐπιτηδείους ἔσεσθαι, τὸ διὰ πυρὸς καὶ πνεύματος τελεσθησόμενον δέξασθαι βάπτισμα, οὐδέτερον δὲ αὐτῶν παρεῖχεν τὴν τοῦ πνεύματος χάριν καὶ ἐνέργειαν, οὐδὲ τὴν παντελῆ τῶν ἁμαρτημάτων ἄφεσιν· ἡ τοιαύτη γὰρ ὑπὲρ λόγον δωρεὰ μετὰ τὴν διανομὴν τῶν πυρίνων γλωσσῶν καὶ τὴν δι' αὐτῶν τοῦ ἁγίου πνεύματος παρουσίαν τοῖς βαπτιζομένοις ἐχαρίζετο.

ΝΗ. Τίνος ἕνεκεν ὁ Μωσῆς κατὰ τὴν γένεσιν γενεαλογῶν τὰς ἡγεμονίας Ἡσαῦ, τῶν μὲν ἄλλων ἁπλῶς ψιλὰ διέρχεται τὰ ὀνόματα, ἐπὶ δὲ τὸν Αἰνᾶν ἐλθών φησιν· οὗτός ἐστιν ὃς εὗρε τὸν ἰαμὶν ἐν τῇ ἐρήμῳ ὅτε ἔνεμε τὰ ὑποζύγια Σεεγὼν τοῦ πατρὸς αὐτοῦ· τί οὖν ἐστιν ὃ εὗρε; καὶ τίνος ἕνεκα μνήμης ἀξιοῦται;

Ἡ σύρα φωνὴ τὸν ἰαμὶν ἢ ὡς ἔνιοι τὸν ἐλμεὶν, πηγὴν ἐθέλοι καλεῖν· αἱ πηγαὶ δὲ καὶ τὰ φρέατα περισπούδαστον ὑπῆρχε χρῆμα τοῖς ἐξ Ἀβραάμ· ποιμένες γὰρ ὄντες καὶ τὸν βίον ὅλον ποιούμενοι ἐκ τῆς τῶν προβάτων πολυπληθείας τε καὶ εὐθηνίας, πολὺν λόγον εἶχον τῶν πηγῶν καὶ φρεάτων· ἅτε δὴ τῆς τροφῆς οὐ πολὺ ἔλαττον οὐδὲ τοῦ πόματος καταπιαίνοντος καὶ διατιθέντος ἐπὶ τὸ ἄμεινον τὰ βοσκήματα· οὕτω δὴ φαίνεται καὶ ὁ Ἀβραὰμ καὶ ἄλλης ἀπολαύσας παρὰ τοῦ Ἀβιμέλεχ θεραπείας, οὐκ ἀγνωμοσύνην ἡγούμενος διελέγχειν αὐτὸν περὶ τῆς ἀφαιρέσεως ὧν αὐτὸς ἀνωρύξατο φρεάτων· οὐδ' ἐκεῖνος τὸν ἔλεγχον μυκτηρίζει· ἀγνοεῖν δὲ τὴν πρᾶξιν παρὰ τῶν αὐτοῦ θεραπόντων τολμηθεῖσαν ὑποκρίνεται καὶ σπουδάζει ὁ Ἀβραὰμ διὰ τῶν ἑπτὰ ἀμνάδων τὴν τοῦ Ἀβιμέλεχ ὁμολογίαν ὡς εἴη τὸ φρέαρ ἔργον καὶ πόνος τοῦ Ἀβραὰμ βεβαιώσασθαι· καὶ ὅρκος καὶ συνθῆκαι προβαίνουσι· καὶ ἡ πηγὴ λαμβάνει τὴν ἐπωνυμίαν ἀπὸ τῆς πράξεως, φρέαρ ὁρκισμοῦ ἐπονομασθεῖσα· καὶ οἱ Φυλιστιεὶμ δὲ χρόνῳ ὕστερον τῆς ἰδίας χώρας ἐν ᾗ παρῴκει ὁ Ἰσαὰκ φεύγων τὸν ἐν τῇ πατρίδι λιμὸν, ἀπελάσαι φθόνῳ μελετήσαντες, ἐμφράττουσι τὰ φρέατα τοῦ πατρὸς αὐτοῦ, τοὺς ποιμένας εἰδότες μὴ δύνασθαι ζῆν, τῆς τῶν φρεάτων ἀποστερουμένους χρήσεως· καὶ Μωσῆς ὅτι τοὺς χειρῶν ἀδίκων ἄρξαντας ποιμένας ἀπωσάμενος παρέσχε ταῖς θυγατράσι τοῦ Ἰοθὸρ θᾶττον ἢ κατὰ τὰς ἄλλας ἡμέρας ποτίσαι τὰ θρέμματα τῷ πατρὶ κηδεύει, καὶ κύριος οἰκίας ἀντὶ προσηλύτου γίνεται· καὶ μυρία ἄλλα ἔστι λαβεῖν δι' ὧν περισπούδαστον καὶ μέγα κτῆμα τοῖς ἐξ Ἀβραὰμ τὰ φρέατα ἐνομίζετο· ὃ δὴ καὶ ἀταλαιπώρως εὑρὼν ὁ Αἰνᾶν ἢ ὁ Ὠνᾶν, ἑκατέρας γὰρ τῆς φωνῆς ὀνομάζεται, ἱστορίας παρέσχεν ὑπόθεσιν τῷ θεόπτῃ Μωσεῖ κατά γε τὴν κοσμογένειαν καὶ τὴν τοῦ Ἡσαῦ φυλὴν γενεαλογήσαντι.

ΝΘ. Τί δηλοῖ τὸ ἐν δευτερονομίῳ γεγραμμένον· ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινὴν καὶ ποιήσῃς στεφάνην τῷ δωματίῳ σου, καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου.

Εἴρηται μὲν τοῖς πρὸ ἡμῶν περὶ ταύτης τῆς ῥήσεως οὔτε τῆς σαφηνείας οὐδὲν οὔτε τῆς ὀρθότητος ἐνδεέστερον· πλὴν ἐπείπερ σοι φίλον καὶ ἃ ῥᾴδιόν ἐστι παρ' ἑτέρων μαθεῖν, ταῦτα παρ' ἡμῶν ἀκούειν, συνᾴδοντες καὶ ἡμεῖς ἐκείνοις, καὶ μάλιστα οἷς τι τῶν ἄλλων ἐπὶ τὸ ἄμεινον τεθεώρηται, καὶ σύμφωνον ποιούμενοι τὴν ἀνάπτυξιν, πρῶτον μὲν εἰδέναι φαμὲν δεῖν, ὡς ὁ καὶ πολλάκις σύνδεσμος ὥσπερ καὶ ἄλλαι πολλαὶ τῶν λέξεων παρὰ τοῖς μωσαϊκοῖς διατάγμασι παρέλκοντος ἐπέχει χώραν· διὸ καὶ πρὸς τὸ εὐθύτερον ἀναγνωσθείη ἂν τὸ ῥητὸν, τοῦ κατὰ τὴν ἀρχὴν συνδέσμου περιαιρεθέντος· διπλαῖς δὲ διανοίαις ἡ ἑρμηνεία μερίζεται. Ἡ μὲν γὰρ πρὸς τὸ γράμμα διαβαίνει καὶ διὰ τῶν αἰσθητῶν ἀπευθύνεται, ἡ δὲ πρὸς θεωρίαν θέλει μᾶλλον ἀνάγεσθαι· ἡ μὲν οὖν τὴν πρόοδον δι' ὧν ἡ λέξις μᾶλλον καὶ ἡ αἴσθησις ἐπικρατεῖ, ποιουμένη, ὧδέ πη τὸ δηλούμενον ἀναπτύσσει· οἰκίαν γάρ σοι, φησὶν, προθεμένῳ σκοπὸν ἀνοικοδομῆσαι, καὶ τάφρον ὡς εἰκὸς κρηπιδῶσαι καὶ καταβαλεῖν τὰ θεμέλια ἀνορυξαμένῳ, οὐ χρὴ καταλιπεῖν τὰ βοθρεύματα πρὶν εἰς τέλος ἀγαγεῖν τὸ ἔργον χωρὶς τῆς ἁρμοζούσης περιβολῆς καὶ ἀσφαλείας· ἵνα μὴ τῷ τὴν σὴν ἀγνοήσαντι πρᾶξιν, αἴτιος ἀναφανήσῃ φόνου, τοῦ μὲν ἐμπεσόντος τῷ βοθύνῳ, ἅτε μηδὲν τῶν καινουργηθέντων προειδότος, σοῦ δὲ μηδεμίαν ἐπιμέλειαν περὶ τοῦ μηδὲν συμβῆναι τοιοῦτον εἰσηγησαμένου· καὶ γὰρ καὶ πολλὰ τῶν ἀλόγων οὐδὲν ἀπεικὸς παρεμπίπτειν τῷ βοθύνῳ καὶ ἀπόλλυσθαι· ἀλλά γε τῶν ἀνθρώπων ἐνίους οὓς ἡ προτέρα τῶν χωρίων θέσις καὶ τὸ ἔθος τῆς διόδου καὶ ὁ βραχὺς μετὰ τὴν καινοτομίαν χρόνος ἐπισκιάζοντα τὰ νεωχμωθέντα, καὶ μηδὲν καινὸν μηδὲ πρόσφατον βλάβην ὑφορᾶσθαι συνεξαπατῶντα ὄλεθρον εὑρεῖν ἀντὶ τῆς προκειμένης χρείας συνώθησεν· δεῖ δ' οὖν διὰ ταῦτα πάντα μηδεμίαν παραλιμπάνειν ἐφ' οἷς πράττομεν, ἀσφάλειαν· δι' ἧς τὸ ὁμογενὲς καὶ ὁμόφυλον πάσης βλάβης καὶ ζημίας ἀπείρατον συντηρήσομεν· ἔκθεσμον γὰρ καὶ ὠμότητος ἐφ' οἷς ἡμεῖς τὰς ὠφελείας δρεπόμεθα, τοὺς ὁμογενεῖς καὶ ὁμοφύλους περιορᾶν τὰ τῶν παθημάτων καὶ ἀλγεινῶν ὑφίστασθαι ἔσχατα· τῆς μέν τοι χρεωστουμένης προνοίας κἀνταῦθα καὶ μηδὲν τῶν παραπορευομένων τοῖς βοθύνοις ὑποφερομένων, οὐκ ἔσται φόνος οὐδεὶς ἐν τῇ νεουργουμένῃ οἰκίᾳ· καὶ ἡ περὶ τὸν βόθρον περινοηθεῖσα περιβολὴ καὶ στεφάνη καὶ φόνου καθαρὰν τὴν οἰκίαν ἀπέφηνεν καὶ τὴν τοῦ πλησίον πρόνοιαν λαμπρῶς πᾶσιν ἐμφανίζουσα, πολλῶν καὶ

καλῶν ἐπαίνων πρόξενος τῷ προνοησαμένῳ γίνεται· καὶ τῆς τοιαύτης κηδεμονίας τὴν ἀπόλαυσιν ἐν ὁμοίοις ἔργοις καὶ συγκυρήματα τῷ προκαταβαλόντι ἀπεθησαύρισε· καὶ τόγε θεοφιλέστατον τῆς νομοθεσίας ἐβεβαίωσε, τό τε δυνατὸν καὶ σωτήριον καὶ αἰδέσιμον· ἀλλὰ κατὰ μὲν τὸ αἰσθητὸν, τοιαύτην ἔστι λαβεῖν καὶ τὴν τοῦ προκειμένου λόγου εὐκρίνειαν.

Ἡ δὲ πρὸς θεωρίαν μᾶλλον τὸν νοῦν ἀναφέρουσα, τοιαῦτα ἂν εἴη καὶ βουλομένη καὶ τῇ παραινέσει τὴν πρᾶξιν συσφίγγουσα. Οἱ φιλοσοφίᾳ καινοτέρᾳ καὶ τῶν πολλῶν ὑπεράνω κειμένῃ χρώμενοι καὶ τὸν βίον ἐξηρημένον τῆς δημώδους πολιτείας ἐπιτηδεύοντες, οὐκ ὀφείλουσιν οὗτοι καινὸν μὲν τὸν θεμέλιον πηγνῦναι, καινὴν δὲ κατασκευάζειν ἐπιχειρεῖν τὴν οἰκίαν καὶ μηδὲν πρὸς τὸ πλῆθος συμφερομένην· μήτε τῆς ἐθίμου διαγωγῆς πρὸς τὰ ἴχνη καταπίπτουσαν· ἐν αὐτοῖς δὲ μέσοις τοῖς ἔργοις γενόμενοι, τὸν τόνον τῶν ἀγωνισμάτων ὑποχαλᾶν, καὶ τῇ ῥαστώνῃ τῶν ὁμοίων πόνων σαθρὸν καὶ εὐδιάπτωτον τὸ καλῶς ἀρξάμενον οἰκοδομεῖσθαι φιλοτέχνημα· καὶ τὴν οἰκίαν δι' ἧς ἐνῆν καὶ καταῤῥηγνυμένους ὄμβρους τὰς τῶν πειρασμῶν νιφάδας στεῤῥῶς ἀποκρούεσθαι, καὶ φλογίζουσαν ἀκτῖνα ἤτοι τῶν παθῶν ἀποστέγειν τε καὶ ἀναστέλλειν τὴν πύρωσιν· ταύτην δὴ τὴν οἰκίαν οὕτω μὲν λαμπρῶς ἀρξαμένην οἰκοδομεῖσθαι, οὕτω δὲ πρὸς θαῦμα γλυκὺ προϊοῦσαν οὐ χρὴ ῥαθυμίᾳ γνώμης ὕστερον ἐᾶν εἰς γέλωτα καταπίπτειν, καὶ τὸ σκυθρωπὸν καὶ περιυβρισμένον τῆς πρὶν εὐκλείας ἀνταλλάττεσθαι· ἀλλὰ δεῖ ταύτην καινῶς ἀρξαμένην οἰκοδομεῖσθαι, ἐν τοῖς ὁμοίοις συντηρεῖν κατόρθωμα· καὶ στεφάνην τῷ τερπνῷ τούτῳ καὶ περικαλλεῖ δωματίῳ περιθεῖναι, τουτέστι μέχρι τέλους τὴν πρὸς τοὺς στεφάνους ἄγουσαν ἀκρίβειάν τε καὶ ἐπιμέλειαν ἐπιτηδεύειν· τῶν γὰρ νομίμως καὶ τῶν μέχρι τέλους ἀθλούντων οἱ στέφανοι· οὐδεὶς γάρ φησι τῆς ἐκκλησίας ὁ κῆρυξ, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· οἶδε δὲ καὶ καινὴν κτίσιν τὴν κατὰ Χριστὸν προκοπὴν καὶ τελείωσιν ὁ τοῖς αὐτοῖς καινοῖς πολιτεύμασιν τὴν καινὴν διαθήκην καινοτέραν ἀεὶ συντηρήσας· εἴτις γάρ φησιν ἐν χρόνῳ καινὴ κτίσις, ἀνακαινίζεσθαι· τουτέστι διὰ πάντων ἐν τῇ σοφῶς τε καὶ ὑπὲρ λόγον οἰκονομηθείσῃ καινότητι διατηρεῖσθε καινιζόμενοι, μηδὲν παλαιὸν μηδὲ σαθρότητος νόσον ἐπιφέροντες· εἰ γὰρ μὴ ἐπιτεθείη στεφάνη τῷ καινιζομένῳ δωματίῳ τοῖς κατορθώμασι, τουτέστιν εἰ μὴ μέχρι τέλους τοὺς νεανικοὺς καὶ καινοὺς καὶ καλοὺς ἀγῶνας τοὺς προξένους ἡμῖν τῶν στεφάνων συντηρήσομεν, φόνος καὶ φόνων ὁ χαλεπώτατος ἐν τῇ σαθρότητι τοῦ οἰκοδομήματος· συγκατενεγκόντος δὲ καὶ συγκατορύξαντος καὶ τὸν ἀπ' ἀρχῆς τῆς καινότητος τῆς οἰκοδομῆς, ὡς εἴθε μὴ ὤφελεν εἰς μάτην, φιλοτιμησάμενον· τῷ γὰρ οὕτως ἀθλίως περιενεχθέντι καὶ μετὰ τοσούτους πόνους καὶ ἱδρῶτας ὥσπερ ἐκ μεταμελείας ἐνυβρίσαι τὰ φθάσαντα, καὶ πα-

θῶν ἀνδράποδον γενέσθαι καὶ τοῦ ἐχθροῦ θήραμα, οὐδὲν ἂν εἴη χεῖρον, μηδὲ τὴν ἀρχὴν ἑλέσθαι τὴν καινότητα τοῦ πολιτεύματος, ἢ προελομένους μὴ διενεγκεῖν μέχρι τέλους, ἀλλ᾽ ἀνθελέσθαι τῶν σπουδαζομένων τὰ ἀπευκταῖα· καὶ οἷς ἂν ἕξουσιν οἱ μισοῦντες ἐντρυφᾷν τῇ χλεύῃ καὶ τοῖς ὀνειδίσμασιν, οὐδὲ τὸν θεσπέσιον δὲ παρασιωπεῖσθαι Κύριλλον ὅσιον.

Ξ. Τί δήποτε τοῦ νόμου κωλύοντος ἅπτεσθαι λεπροῦ, εἰ δὲ μὴ ἀκάθαρτον εἶναι ἕως ἑσπέρας, ἐν τῷ θεραπεύειν τὸν λεπρὸν ὁ σωτὴρ ἅπτεται αὐτοῦ, καίτοι λόγῳ θεραπεύειν δυνατὸς ὤν.

Πρῶτον μὲν ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς ἐξ ὧν ὁ σωτὴρ νῦν μὲν τὸν νόμον ἔκρινε φυλάττειν, νῦν δὲ τῶν κρειττόνων καὶ ὑπὲρ ἄνθρωπον ἔργων ἀπέφαινεν ἥττονα, οὐδ᾽ ὅτε νομοφυλακεῖν ἐδοκίμαζεν, ὡς ὑποκείμενος τοῖς νόμοις ἐφύλαττεν· ἀλλὰ τοῦτο μὲν οἰκονομίαν πληρῶν, καὶ δεικνὺς οἷα δὴ τὴν ἀνθρωπίνην φύσιν μὴ ἀπαξιώσας ἀναλαβεῖν, ὅτι καὶ αὐτὸς οὐκ ἀτιμάζει τὰ δι᾽ ὧν ἤδη ῥυθμίζεται τὰ ἀνθρωπίνα, ἀλλὰ καὶ μετέρχεται ταῦτα ὅταν μηδὲν ἄλλο τῶν κρειττόνων εἰς ἑαυτὸν μεθέλκῃ καὶ μεταβιβάζῃ τὴν πρόνοιαν· τοῦτο δὲ καὶ τῶν Ἰουδαίων ἅμα ἐμφράττων τὰ βλάσφημα καὶ ἀπύλωτα στόματα, καὶ τὸ ἀντίθεον καὶ παράνομον ὥσπερ εἰς τὸν δεσπότην ἐναποῤῥίπτειν οὐκ ἔφριττεν ἡ θεομάχος αὐτῶν ἀπόνοια, εἰς τὰς ἐκείνων περιτρέπων κεφαλάς· ἐπεὶ καὶ τοὺς μαθητὰς ἐγκαλουμένους ὅτι κατὰ τὸ σάββατον πορευόμενοι τοὺς στάχεις ἔτιλλον, καὶ ψύχοντες λιμοῦ τὴν αὐτοσχέδιον τράπεζαν ἐποιοῦντο ἴαμα, ἱεραῖς τε ἄλλαις ἐφόδοις καὶ δὴ καὶ παραδειγμάτων ἐπιφορᾷ κράτει καὶ ἀξιώματι τὸ ἀπαράγραπτον προβαλλομένων ἀνευθύνους ἐδείκνυ καὶ πάσης ἀνεπάφους μέμψεως· ναὶ μὲν καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου κύριον εἶναι τοῦ σαββάτου, οὐχὶ δὲ τῇ ἐκείνου παρατηρήσει δουλεύοντα περιφανῶς ἀνεκήρυττε· διὸ καὶ παρόντος αὐτοῦ τὸ προνόμιον τοῦ σαββάτου συνεστέλλετο, ὥσπερ ἐπιστάντος δεσπότου ἡ τοῦ δούλου παῤῥησία ἠρεμεῖ, τῷ δεσποτικῷ δὲ περιάγεται νεύματι· ἀλλὰ γὰρ ἐν οἷς τὴν τῶν ἀνθρώπων ἐθεούργει σωτηρίαν, οἱ τοὺς ἀνθρώπους παιδαγωγοῦντες νόμοι ἡσύχαζον· κρεῖσσον γὰρ εἶναι πολλῷ τῆς ἰδίας παιδαγωγίας, αὐτὸ τὸ ἔργον τῆς σωτηρίας συνίεσαν. Ἐν οἷς δ᾽ οὐκ ἦν τῶν νόμων ἡ φυλακὴ τὴν θαυματουργίαν ὑπερτιθεμένη, οὐδὲ τῆς τῶν ἀνθρώπων σωτηρίας κατολιγωροῦσα, τηνικαῦτα καὶ αὐτοὶ τὸ οἰκεῖον δικαίωμα ἐπεγίνωσκον· μᾶλλον δ᾽ αὐτοῖς ἀεὶ συνδιασωζόμενον ὑπῆρχεν ἐξ ὧν ὁ σωτὴρ διεπράττετο· καὶ γὰρ ἡ τῶν νόμων εἰσφορὰ ὅτε καὶ μᾶλλον ἀνθοῦντες ἐφαίνοντο, τὸ ξυλοκοπεῖν καὶ πῦρ ἀνάπτειν καὶ

κρεανομεῖν τοὺς ἱερεῖς οὐχ ὕβριν ἡγοῦντο οὐδὲ τῆς αὐτῶν ἰσχύος καθαίρεσιν· ἀλλὰ καὶ κόσμον ἐποιοῦντο καὶ σεμνολόγημα φέρειν ἐκείνων τὰ δεύτερα· καὶ βοῦν δὲ καὶ ὄνον λύειν τῆς φάτνης· καὶ ἀπάγειν ποτοῦ μετασχεῖν τῆς ἰδίας ἐπικρατείας ἀσθένειαν οὐκ ἐτίθεντο, οὐδὲ λύσις αὐτοῖς ἐνομίζετο τὸ μὴ καὶ ταῦτα δουλεύειν τῷ παραγγέλματι· τί δὲ δεῖ λέγειν πρόβατον βοθύνου ἀνασπώμενον καὶ βοῦν καὶ υἱὸν ἀνθρώπου τῶν φρεάτων ἀνιμώμενον· καὶ πόσα τοιαῦτα ἕτερα· ὧν οἱ τοῦ σαββάτου νόμοι τὸ κράτος διευλαβούμενοι, ἠρκοῦντο μᾶλλον καὶ ἐσεμνύνοντο· οἷς ἀπ' ἀρχῆς εἰσφερόμενον, πολλῶν ἄλλων ἔργων περιοχῇ καὶ τῇ διατυπώσει τῶν ἐν αὐτοῖς ἀφωρίζοντο πράξεων.

Ταῦτα τοιγαροῦν καὶ τὰ τοιαῦτα παράβασιν τοῦ σαββάτου τῶν ἀγνωμόνων Ἰουδαίων τὰς θυματουργίας τε καὶ τὴν τῶν ἀνιάτων νόσων θεράπειαν ἐπιβοωμένων, ὁ σωτὴρ εἰς μέσον προήνεγκεν ἀντιπαρατιθεὶς τὰ ὑπὲρ λόγον ἔργα ταῖς χειροκμήτοις πράξεσι, καὶ δεικνὺς ὅσον ἑκατέρων τὸ μέσον· καὶ οὐκ ἦν οὐδὲ τοῖς ἀναισχύντοις ἐξαρνεῖσθαι Ἰουδαίοις μὴ οὐχὶ πολλῷ τιμιωτέρας εἶναι καὶ θαυμασιωτέρας τὰς σωτηρίους πράξεις ξυλοκοπίας τε καὶ κρεανομίας καὶ βόθρου καὶ φρέατος πρόβατον καὶ βοῦν ἀνασπᾶν, καὶ ὅσα τούτοις ἐνάμιλλα, κἂν τῆς ἀσεβούσης γνώμης καὶ θεομαχούσης οὐ μεθίσταντο· ὅρα δὲ σὺ τὴν ἀκατάληπτον τοῦ θεοῦ σοφίαν καὶ ἀπόῤῥητον πρόνοιαν· ὅπως ὅπερ ἤμελλεν ὑστέροις χρόνοις εἰς τὸ παντελῶς λελύσθαι τῷ τῆς χάριτος ὑπεξιστάμενον ὁ νόμος λέγω κράτει καὶ δόγματι, τοῦτο κατ' ἀρχὰς εἰσαγόμενον καὶ κρατυνόμενον συνεσφίγγετο, ὡς ἂν ἡ παντελὴς ἐπιστᾶσα λύσις τὴν ἐπὶ μέρους καὶ μεθ' ἧς προῆλθεν ὁ νόμος προβαλλομένη, οὐδὲν καινὸν οὐδὲ παράδοξον τὸ συνενεχθὲν ἐπιδείξειεν· ἀλλὰ καὶ τῶν Ἰουδαίων καταισχύνῃ καὶ ἐπιστομίσῃ τὸ ἀπειθὲς, καὶ παρὰ τὸν νόμον οὐκ ἐν καιρῷ περισπούδαστον, ὡς οὐ νῦν τοῦ νόμου πρὸς λύσιν χωροῦντος, ἀλλ' ἀπ' ἀρχῆς μετὰ λύσεως προεληλυθότος, καὶ λύσει μὲν συνισταμένου, τῷ ἀλύτῳ δὲ μηδὲ τὴν ἀρχὴν ὑφισταμένου· καὶ οὐκ ἐπὶ μόνων τῶν σαββάτων τὴν νομοθεσίαν ἡ λύσις ἐν τοῖς ἑαυτῆς ὅροις περιέσωζεν, ἀλλὰ καὶ ἐπὶ τῆς τελετῆς τοῦ πάσχα τὸν ὡρισμένον καιρὸν ἐπιμερίζουσα, καὶ ἐν τῇ κατὰ μέρος ὑπερθέσει τὴν τῆς πράξεως ὁλοκληρίαν συνάγουσα· ναὶ δὴ καὶ ναὸς εἷς ἐπὶ ταῖς θυσίαις ἀφοριζόμενος τοῖς πανταχόσε γῆς διεσπαρμένοις Ἰουδαίοις τὴν θυσίαν ἄθυτον καὶ ἀκαλλιέρητον παντὶ τρόπῳ προεθέσπιζεν ἔσεσθαι· τοῦτο μὲν μὴ δυναμένων πανταχόθεν πάντων εἰς τὸν αὐτὸν νεὼν δι' ἔτους συναθροίζεσθαι, τοῦτο δὲ καὶ τοῦ ναοῦ οὐ μετὰ πολὺν χρόνον πολεμίαις χερσὶν ἀνατρέπεσθαι μέλλοντος· καὶ ἐπὶ μυρίων ἄλλων ὡς πανταχόθεν τὴν παλαιὰν νομοθεσίαν εἶναι συνιδεῖν εἰς τέλος παλαιωθήσε-

σθαι, ἅτε δὴ τῶν συνιστώντων αὐτὴν συμβόλων τοῦτο προανακηρυττόντων καὶ προκαταγγελλόντων, οὐ λόγοις μᾶλλον ἀλλ' αὐταῖς ἐργασίαις καὶ πράξεσι· καὶ δὴ καὶ ἑτέρας πολιτείας ὑψηλοτέρας τε καὶ θειοτέρας καὶ λύσιν οὐκ ἐπιδεχομένης προοίμιον ἀπ' ἀρχῆς καὶ προγύμνασμα γεγενῆσθαι ταύτην, δι' ἣν ὅλως καὶ τῆς ἐπικαίρου μετέσχε γενέσεως.

Ὁ δὲ σωτὴρ ἡμῶν διά τε ταῦτα ἀφῇ θεραπεύει τὸν λεπρὸν καὶ ἵνα δείξῃ ὅτι κυριος αὐτὸς ἦν, ὥσπερ τοῦ εἰσενεγκεῖν τὸν νόμον, οὕτω καὶ μὴ εἰσενεγκεῖν· ὥσπερ δὲ μὴ εἰσενεγκεῖν, οὕτω καὶ εἰσενεγκεῖν ἑτέροις, ἀλλ' οὐχ ἑαυτῷ εἰσενεγκεῖν· μηδὲ γὰρ μηδ' ὑποκεῖσθαι τὸν νομοθέτην νομοφυλακεῖν, ὧν ἡ φυλακὴ τοῖς νομοθετουμένοις ἁρμόζει μόνοις· ὥσπερ γὰρ νομοθετῶν βασιλεὺς πόλει καὶ πολιτείαις, οὐχ οἷς ἁρμόζεται καὶ καθιστᾷ τὴν πολιτείαν, τούτοις ἑαυτὸν ὑπάγει, καὶ τῶν ἀρχομένων ἕνεκα καταγγέλλει καὶ παραπλησίως ἐκείνοις τεθηπέναι τὸν ὅρον τοῦ ψηφίσματος παρασκευάζει· ἀλλ' αὐτὸς μὲν ἄνω κάθηται τῆς πολιτικῆς τάξεως καὶ ὑπηρεσίας· τὸ δὲ πολίτευμα τοῖς αὐτοῦ συνέχει καὶ συνδιασώζει παραγγέλμασιν· οὕτως καὶ ὁ τοῦ κόσμου δημιουργός τε καὶ παμβασιλεὺς νόμους παρέσχε κατὰ καιροὺς τοῖς ἐν τῷ κόσμῳ, δι' ὧν ἦν αὐτῶν μὲν τὴν γνώμην ἐπὶ τὸ ἄμεινον μετακοσμεῖν τε καὶ μεταρρυθμίζειν, αὐτὸς δὲ τῆς τοιαύτης προνοίας ἀπροσδεὴς ἦν καὶ κρείττων, οἷς φιλοτιμούμενος ἐπλούτιζε τὸ ὑπήκοον τούτων ἀναδέχεσθαι τὴν χρείαν· οὐδὲ γὰρ οὐδ' ὥσπερ ἐπὶ τῶν ἄλλων νομοθετῶν οἱ πολλῶν ἑτέρων συνεπικρινόντων τε καὶ συμψήφων τῇ γνώμῃ καθισταμένων τοὺς νόμους τιθέασιν, οὕτω καὶ ὁ σωτὴρ ἡμῶν τὴν νομοθεσίαν εἰσέφερεν, ἀλλ' ὡς θεὸς καὶ κύριος πάντων καὶ τῆς ὅλης νομοθεσίας αὐτὸς ἐπανῃρημένος τὸ κράτος· διόπερ ἀνάγκη τοὺς μὲν τοῖς νομοθετηθεῖσιν ὑποτετάχθαι, τὸν δὲ λόγος ἅπας ἐξαίρει μὴ οὐχὶ τῶν ἄλλων ἁπάντων καθ' ὑπερβολὴν ὑπερανεστηκέναι.

Ἀλλά μοι δεῦρο καὶ τόδε συνεπισκόπει· ὁ νόμος τὸν ἁπτόμενον λεπροῦ, ἀκάθαρτον ὀνομάζει, οὐχ ὃν ἐκ τῆς ἀφῆς ᾔδει τῆς λέπρας ἀποκαθαίροντα τὸν συνεχόμενον τῷ πάθει, οὐ γὰρ ἦσαν ἐλπίδες οὔπω τῆς χάριτος ἐπιστάσης, ἀλλ' οὐδὲ τῶν ταύτης προοιμίων αἳ τὸν ἄνθρωπον ὑπέφαινον θεουργοῦντα, καὶ κρείττω πάθους, μάλιστά γε τοῦ τὴν θεράπειαν ζητοῦντος ἐμφανῆ καθιστῶσαι· ἀλλ' ὃς οὐδὲν τῷ λεπρωθέντι πρὸς κάθαρσιν συνεισάγει, καὶ ὃν μετασχεῖν μᾶλλον τοῦ πάθους ἢ τῆς ἀκαθαρσίας ἀπαλλάξαι τὸν παρασχόντα συνεώρα· ὁ δὲ τῶν ψυχῶν καὶ τῶν σωμάτων ἰατρὸς Χριστὸς ὁ σωτὴρ ἡμῶν αὐτίκα μὲν τῆς λέπρας διὰ τῆς ἀφῆς ἀποκαθαίρει, αὐτίκα δὲ τὴν νόσον λόγου κρεῖττον φυγαδεύει· πῶς οὖν οὐκ ἄτοπον διευλαβεῖσθαι τὴν ἀφὴν ὡς ἀκαθαρσίας πρόξενον, τὸν εἰδότα διὰ ταύτης κεκαθαρμένον ἀναδεῖξαι τὸν τῇ λέπρᾳ πιεζόμενον, πῶς δ' οὐ παράλογον τὸν μὲν λεπρὸν οὐκέτι λεπρὸν

οὐδ' ἀκάθαρτον εἶναι, κεκαθαρμένον δὲ καὶ ὑγιᾶ διὰ τῆς δεσποτικῆς ἁφῆς καὶ νομίζεσθαι πᾶσι καὶ ἐπιδείκνυσθαι, τὸν δὲ τὴν κάθαρσιν αὐτῷ φιλανθρώπως καὶ ὑπερφυῶς δωρούμενον, ἀκαθαρσίας μετασχεῖν νομίζειν, ἣν οὐδ' ἐν ἑτέρῳ σώματι συνεχώρησεν μένειν; Οὐκοῦν οὐχὶ τὸν διὰ τῆς ἁφῆς τὸ πάθος τοῦ χρωτὸς ἀποξύοντα, τοῦτον μὴ ἅπτεσθαι ὁ νόμος ἐκώλυε, μισανθρωπίας γὰρ οὐκ ἂν ἔφυγε δίκην, ἀλλὰ τοὺς ἐν τῷ ἅπτεσθαι μηδὲν μὲν τῆς ἀκαθαρσίας ἀφαιρουμένους, ἁπτομένους δ' ὅμως τῶν ἔτι τῇ διαφθορᾷ συνεχομένων καὶ λυμαίνεσθαι τῇ μεταδόσει μᾶλλον δυναμένων, ἢ τὴν θεραπείαν διὰ τῆς ἐκείνων χειρὸς ἀποκερδαινόντων· ὥστε διότι τε κύριος ἦν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ θεῖναι καὶ μὴ θεῖναι τὸν νόμον, οὐ γὰρ ἡ τῆς σαρκὸς πρόσληψις τὴν ἐξουσίαν περιεῖλε τῆς θεότητος, ἀλλ' ὁ προσληφθεὶς ἄνθρωπος τὸ κράτος τοῦ προσλαβόντος ᾠκειώσατο· καὶ διότι ὁ κυρίως καὶ οἴκοθεν νομοθέτης τοὺς ὑπὸ χεῖρα μὲν ὑποτάττει τῇ νομοθεσίᾳ, οὐ συνυπάγεται δὲ οὐδὲ συμπεριάγεται τοῖς νομοθετουμένοις· καὶ ὅτι διὰ λύσεως ὁ παλαιὸς νόμος τὴν γένεσιν ἔσχεν καὶ σύνδρομον τῇ λύσει τὴν ἀσφάλειαν ὑπέστη, οὐ θατέρου τὸ ἕτερον ἀναιροῦντος, δι' ἀμφοῖν δὲ τὴν σύστασιν τῆς νομοθεσίας λαμβανούσης· καὶ ὅτι οὐχὶ τοὺς δι' ἁφῆς ὁ νόμος καθαίροντας τῆς ἀκαθαρσίας τὸν ἄνθρωπον ἅπτεσθαι κωλύει· ἀλλὰ τοὺς μηδὲν ἄμεινον διαθεῖναι δυναμένους τὸν ἐξυβρισμένον τῇ ἀκαθαρσίᾳ· καὶ ὅτι δι' ὧν ὁ σωτὴρ ἔπραττεν, τὴν νομοθεσίαν μᾶλλον ἐτίμα οὐκ ἀνθισταμένην ταῖς θεοσημείαις διελέγχων, σύνδρομον δὲ μᾶλλον ἐπιδεικνὺς παραλαμβανομένην. Διὰ τοίνυν ταῦτα πάντα, ὅσα γε ἐμὲ εἰδέναι, ὁ σωτὴρ ἡμῶν καὶ θεὸς τὸν λεπρὸν θεραπεύων καὶ λόγῳ τὴν ἁφὴν συνάπτων ὑπὲρ λόγον ἔδειξε κεκαθαρμένον.

ΞΑ. Τί δηλοῖ τὸ, ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν, αὐτὸς ἀγαθός ἐστιν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα;

Κατὰ μὲν τὸ γράμμα, τὸ πρόχειρον ἡ διάνοια ἔχει· πρὸς οὐδὲν δὲ δοκεῖ τῶν λυσιτελούντων οὐδὲ τῶν ἀναγκαίων συντείνειν· καὶ γὰρ πᾶσιν ἐστὶν ἐγνωσμένον, ὡς οὐ μόνον ὁ κύων ὁ ζῶν τοῦ τεθνηκότος λέοντος ἀμείνων, ἀλλὰ καὶ πᾶν ᾧ μέτεστι ζωῆς ἴχνος τοῦ ταύτην ἀποβεβληκότος κἂν λέων ᾖ, κἂν τῆς τῶν λεόντων φύσεως καὶ ῥώμης καθ' ὑπερβολὴν ἐκληρώσατο τὸ ὑπερέχον, πολλῷ κρείττονος λήξεως τὸ ζῶν τοῦ τεθνηκότος ἀξιοῦται· οὐκοῦν ἄμεινον ἀπὸ τοῦ γράμματος ἐπὶ τὸ πνεῦμα χωρεῖν, καὶ πρὸς τὴν τῶν νοητῶν ἀναφέρεσθαι θεωρίαν. Ἐμάθομεν τοίνυν ἀπὸ τῶν ἱερῶν λογίων κύνας μὲν τοὺς ἐξ ἐθνῶν καλουμένους, βασιλικὸν δὲ καὶ περιούσιον ὃν ἂν εἰκονίσειεν ὁ λέων, τὸν ἰουδαϊκὸν ἐπονομαζόμενον λαόν. Λέγει γοῦν ὁ ἐκ-

κλησιαστής· καὶ γὰρ αὐτῷ τὸ τῆς σοφίας χάρισμα πρὸς τὰ παρόντα καὶ δὴ τὰ φθάσαντα καὶ πρός γε τὰ μέλλοντα πλατύνεσθαι καὶ συμπαρατεῖσθαι θεόθεν ἐδωρήθη· λέγει τοίνυν ὡς ὁ κύων, τουτέστιν ὁ ἐξ ἐθνῶν ἄνθρωπος· τοῦτο γὰρ αὐτὸν καλεῖσθαι διὰ τῆς χαναναίας διδασκόμεθα, ἐὰν αὐτὸν ἡ κατὰ τὰς ἀρετὰς ζωὴ μὴ παντελῶς καταλίποι, οὗτος ἂν ἐλπίδας εἴη παρέχων μᾶλλον ὡς τῆς ἀγαθότητος οὐκ ἐκπεσεῖται, ἢ ὁ ἐκ τοῦ βασιλικοῦ μὲν καὶ γαύρου γένους τῶν Ἰουδαίων, νεκρὸς δὲ τοῖς κατορθώμασι κείμενος· ὁ μὲν γὰρ τῆς ἀμείνονος μετέχων ζωῆς ἐλπίδας ὑποτείνει καὶ πρὸς τὴν τελειότητα τῶν κατορθωμάτων ἀναδραμεῖν· ὁ δὲ νεκρὰν φέρων ἐν ἑαυτῷ τῶν ἀρετῶν τὴν ἐνέργειαν, καὶ διὰ τοῦτο νεκροῖς ὢν ἐναρίθμιος μάτην τὸν λέοντα μεγαλαυχεῖ, τῆς ἀληθινῆς ζωῆς ἴχνος οὐδὲν ἐπιφερόμενος· ναὶ μὴν καὶ ὁ νομιζόμενος ἀκάθαρτος ἄνθρωπος, ἅτε δὴ ταῖς ἁμαρτίαις ῥυπῶν, καὶ τῆς διὰ τῶν ἀρετῶν ἀπεστερημένος καθαρότητος, οὗτος δὴ δάκρυσι καὶ μεταμελείᾳ τῶν παθῶν τὸν βόρβορον ἀποπλυνάμενος, τοῦ φαινομένου μεγάλου καὶ ταῖς ἀρεταῖς ἐπηρμένου φρονεῖν ὑπέρογκον καὶ βασιλικὸν πολλάκις εὑρέθη κρείττων, καὶ αὐτὸς τὰς οὐλὰς τῶν ἁμαρτημάτων τῇ συνεχείᾳ τῆς θεραπείας ἀπαλειψάμενος. Ὁ δέ γε τῷ χρώματι τῶν ἀρετῶν εἰς λέοντα ζωγραφούμενος, πολλάκις χαυνωθεὶς τῷ φυσήματι τοῦ φρονήματος, κατεῤῥάγη τε τοῦ φρυάγματος καὶ νεκρὸς ἐγένετο, τῆς ἁμαρτίας αὐτὸν ὑποδεξαμένης τοῖς νεκροποιοῖς αὐτῆς καὶ νεκροφόροις σκηνώμασιν. Εἰ βούλει δὲ καὶ ὁ διὰ τοῦ βαπτίσματος εἰς τὴν κατὰ Χριστὸν ζωὴν ἀναγεγεννημένος, κἂν κυνὸς διεμόρφου πρότερον αὐτὸν ἀναίδεια, κἂν πρὸς ἄλλο τι τῶν ἀλόγων διετυποῦτο ἰδίωμα, ἐλπίδας οὗτος ὅμως παρέχεται πρὸς ἀγαθότητα μεταμορφωθῆναι, καὶ ἀγαθὸς χρηματίσαι· ὁ δὲ ταύτης τῆς ἀναγεννήσεως ἐκπεσὼν καὶ τῆς ἐκεῖθεν ἀπεστερημένος ζωῆς, εἰ καί τισι τῶν ἀρετῶν ἐπισεμνύνεσθαι δόξει καὶ ἐπιγαυριᾷν ἐπηρμένῳ τοῦ πολιτεύματος, οὐδὲν ἧττον διαμένει νεκρὸς, καὶ πολλῷ χεῖρον τοῦ κυνὸς μὲν πάλαι γεγονότος, τῆς ζωηφόρου δὲ μὴ ἀμοιρήσαντος χάριτος.

ΞΒ. Τί βούλεται δηλοῦν, τὸ παρὰ τῷ ἐκκλησιαστῇ ῥηθέν· ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, ὅτι ἐν πλήθει τῶν ἡμερῶν εὑρήσεις αὐτόν.

Τὸ τῆς ἐλεημοσύνης χρῆμα διὰ πολλῶν εἴωθε παραδηλοῦν ἡ Γραφὴ, μάλιστα δὲ τῇ χορηγίᾳ καὶ μεταδόσει τοῦ ἄρτου· καὶ γὰρ καὶ ἡ τούτου χρεία τὴν ἀνθρωπίνην ζωὴν μᾶλλον συνέχει· διόπερ ἀπὸ τοῦ συνεκτικωτέρου μέρους τοῦ ἄρτου, ὅλον τὸ τῆς ἐλεημοσύνης κατόρθωμα διαλαμβά-

νει· γέγραπται οὖν, διάθρυπτε πεινῶσι τὸν ἄρτον σου· καὶ νῦν δὲ ὁ Σολομὼν, ἀπόστειλον, λέγων, τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος, τὴν ἐλεημοσύνην ἐδήλωσεν, ἧς δεῖ χορηγὸν εἶναι τοῖς ἐν ἐνδείᾳ καθεστῶσι, καὶ πρὸς χεῖρα μόνον φιλάνθρωπον ἀφορᾷν τὴν ἐλπίδα τοῦ βίου κεκτημένην· ταύτην δέ φησι τὴν ἐλεημοσύνην ἐκ διαθέσεως προσῆκε φέρειν συμπαθοῦς καὶ διὰ δακρύων προϊούσης· μὴ μέν τοι γε τὴν τοῦ πλησίον συμφορὰν, ἐπιδείξεως καὶ μεγαλαυχίας ἁρπάζειν ὑπόθεσιν· ὁ γὰρ τοιοῦτος οὐκ ἐπὶ πρόσωπον τοῦ ὕδατος τὸν ἄρτον ἀφῆκεν, ἀλλ' ἐξυβρισμένον τῇ μεγαλαυχίᾳ καὶ λελυμασμένον τῇ δοξοκοπίᾳ προσέῤῥιψεν· ἔλεος γὰρ δι' ὄγκου καὶ φιλαυτίας καὶ ἐπιδείξεως προχεόμενον, εἰς ὕβριν μᾶλλον ἢ παραψυχὴν τῷ δεομένῳ περιΐσταται· τὸ γὰρ μὴ παριδεῖν τὸν ἀδελφὸν ἐνδείᾳ τηκόμενον, καὶ ἀπορίᾳ συνδιολλύμενον, χρέος μὲν καὶ χρεῶν τὸ απαραίτητον ὁ εὐγνώμων ἡγήσεται, καὶ σπουδάσει καταλαβεῖν καὶ μὴ γενέσθαι μηδαμῶς ὑπερήμερος· δόξαν δὲ θηράσαι καὶ εὐεργέτου διὰ τῆς τοιαύτης πράξεως περιβαλέσθαι ἀξίωμα, τῶν ἀγνωμόνων ἂν εἴη, καὶ τὸ καλὸν κακῶς εἰδότων μετέρχεσθαι· διόπερ ὁ μὲν ἐν τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι, τὸν ἄρτον εὑρήσει τῆς ἐλεημοσύνης, ἀντιλαμβάνων τὸν ἔλεον· ὁ δὲ οὐχ εὑρήσει· δοξοκοπίᾳ γὰρ καὶ τῇ τῆς ἐπιδείξεως ἐμπορίᾳ προκατηνάλωται.

Δύναιο δ' ἂν διὰ τῶν προειρημένων ῥημάτων καὶ πρὸς ἑτέραν μετελθεῖν διάνοιαν· ποίαν ταύτην; τὸ τῶν ἀνθρώπων πλῆθος, φίλον τῇ γραφῇ κατονομάζειν ὕδατα· ῥῦσαι γάρ με, φησὶν ὁ ἐν τῷ πνεύματι ψάλλων, ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων· ὁ τοίνυν τῶν ἱερῶν μαθημάτων διδάσκαλος τὸν τρέφοντα τὴν ψυχὴν ἄρτον ὃν θεόθεν κατεπιστεύθη, τοῦτον ὀφείλει τῷ τῶν ἀκροατῶν πλήθει χωρὶς ἀναβολῆς πάσης καὶ ὑπερθέσεως διανέμειν, καὶ μηδέποτε τῆς χορηγίας ἀποστερεῖν τοὺς ἐν χρείᾳ ταύτης καθισταμένους· καὶ τίς ὁ μισθὸς τῆς φιλανθρώπου ταύτης ἐργασίας; ἢ δῆλον ὁ ἐν τῷ πλήθει τῶν ἡμερῶν ἀνταποδιδόμενος· ἐπεὶ δὲ τὸ ὕδωρ διαφόρους πραγμάτων ὑποθέσεις αἰνιγματίζειν δύναται, εἴη ἂν οὐκ ἀλόγως τὸν προκείμενον λόγον θεωρῶν ὁ τὴν ἐλεημοσύνην λέγων προσήκειν ἐργάζεσθαι διὰ παντὸς πρὸς τὰς ἀεννάους τῶν ὑδάτων ἐνατενίζων πηγὰς, καὶ τὴν ἐκείνων ἐνέργειαν ἐπὶ τὸν ἔλεον τῇ μιμήσει μεταφέρειν· καὶ μὴ ποτὲ μὲν προχέειν τὸν ἔλεον, ποτὲ δὲ ἀναστέλλειν, ἀλλὰ διηνεκῆ τὰ ῥεῖθρα καὶ ἀδιάδοχα τοῖς χρήζουσιν ἀναβλύζειν· ὅλην γὰρ τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ κύριος, τοῦ Δαυίδ ἐστιν ἀκούειν ψάλλοντος· καὶ εἰ ὁ ἐλεῶν πτωχὸν, δανείζει θεῷ, πῶς ἄν τις φιλόθεος ὢν καὶ τοῦ κατ' εἰκόνα σώζων τὸ εὐγενὲς, ἀνεκτὸν ἡγήσαιτο μὴ διὰ παντὸς ἑαυτῷ παρασκευάζειν χρεώστην τὸν θεὸν, ἀλλὰ περικόπτειν καὶ ἀποστερεῖν ἑαυτὸν τοῦ τηλικού-

του καὶ τοσούτου κέρδους τὴν συνεισφοράν; Δῆλον δὲ ὡς ὁ τοιοῦτος ἀεὶ μὲν, μάλιστα δὲ ἐν πλήθει τῶν ἡμερῶν εὑρήσει, ἣν ἡ τοῦ ἄρτου μετάδοσις διηνεκῆ μισθαποδοσίαν ἀπεθησαύρισεν αὐτῷ.

Ἀποστέλλει μέν τοι γε τὸν ἄρτον τὸν ἐπιούσιον καὶ μυστικὸν καὶ ὁ μυσταγωγὸς ἐπὶ πρόσωπον τοῦ τῆς παλιγγενεσίας ὕδατος τοῖς μυσταγωγουμένοις καὶ δεομένοις οὐρανίου καὶ ψυχὴν στηριζούσης τροφῆς παρέχων αὐτόν· καὶ γὰρ μετὰ τὴν τοῦ ὕδατος θείαν ἀναγέννησιν ὁ οὐράνιος καὶ ζωοποιὸς ἄρτος τοῖς ἀναγεννηθεῖσι προσφέρεται· καὶ ὅ γε τοῦτον ἐν σοφίᾳ διανέμων καὶ κατ' ἀξίαν οἰκονομῶν, εὗρε τὸν ἄρτον ὡς ἀληθῶς τὸν ἐκ τοῦ οὐρανοῦ καταβεβηκότα, καὶ ζωὴν τῷ κόσμῳ διδόντα, ἀεὶ μὲν ζωοποιοῦντα αὐτὸν καὶ στηρίζοντα καὶ τρέφοντα, μάλιστα δὲ ἐν καιρῷ τῆς τῶν βεβιωμένων ἀνταποδόσεως. Εἰσὶ μέν τοι γε τινὲς οἳ καὶ τοιαύτην ἔννοιαν τὸ ῥητὸν ὑποβάλλειν νομίζουσιν· οὐ δεῖ πολυπραγμονεῖν τὸν τρεφόμενον ἢ ἐλεούμενον· καὶ τούτοις δὲ δῆλον ὅτι τὸ ὕδωρ τὸ τῶν ἀνθρώπων σύστημα σημαίνειν παραλαμβάνεται· οὐ δεῖ οὖν φασι τὸν τῆς ἐλεημοσύνης δεόμενον λογοθετεῖν πρότερον, ἄξιός ἐστι τοῦ ἐλέους καὶ τῆς εὐεργεσίας ἢ οὔ, ἀλλὰ τὸν φιλανθρωπίας ἀξιοῦντα τυχεῖν, ταύτην χωρὶς λογισμῶν διστα-ζόντων παρέχειν· ὥσπερ γὰρ ὁ κατὰ πελάγους ἀφιεὶς τὸν ἄρτον ἐπ' ἀδήλῳ μὲν ἔβαλε, καὶ οὐκ οἶδεν ἐν ᾧ τὸ ῥεῦμα τοῦτον ὑποσύρει, τῷ δὲ πάντων ἔχοντι τὴν γνῶσιν καθαρῶς ὁρᾶται καὶ τῇ αὐτοῦ περιέχεται παντοκρατορικῇ καταλήψει· τὸν αὐτὸν τρόπον καὶ ὁ τὸν ἔλεον οὐ διακρινομένῃ γνώμῃ καὶ ἀμφιβαλλούσῃ τοῖς ἐπιζητοῦσι παρεχόμενος, νῦν μὲν οὐκ ἐπιγινώσκει τίς ἐστιν ὁ λαβών, ἐν δὲ τῷ πλήθει τῶν ἡμερῶν, τουτέστιν ἐν τῷ μέλλοντι αἰῶνι, ἐπιγνώσεται· καὶ τὸν ἄρτον ἐκεῖνον ἐπὶ τῆς χειρὸς εὑρίσκων τοῦ δεσπότου ἐπιδεικνῦντος καὶ λέγοντος, ἐπείνασα καὶ ἐδώκατέ μοι φαγεῖν, δῆλον ὅτι πάσης εὐφροσύνης καὶ ἀγαλλιάσεως πλησθήσεται· οὐ μόνον ὃν ἀπέστειλεν ἄρτον ἐπὶ προσώπου τοῦ ὕδατος ἀνευρών, ἀλλὰ καὶ πολλῷ γεγονότα τιμιωτερόν τε αὐτῷ καὶ λυσιτελέστερον.

## ΞΓ. Τί δηλοῖ, ὁ ὀρύσσων βόθρον, εἰς αὐτὸν ἐμπεσεῖται.

Βόθρον ἐνταῦθα τὴν κατὰ τοῦ πλησίον μελέτην καὶ τὸν βόθυνον ὄλεθρον ὀνομάζει, κατά γε τὸ γεγραμμένον· λάκκον ὤρυξεν καὶ ἀνέσκαψεν αὐτῷ καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο· καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός· ὁ τοίνυν τὸν τοιοῦτον βόθρον καὶ τὴν ἀπώλειαν ἑτέρῳ διορύσσων, αὐτὸς πρῶτος ἐμπίπτει ἐν αὐτῷ· ἐν γὰρ τῷ ταῦτα διαμηχανᾶσθαι πρὸ τῆς τοῦ πλησίον κακώσεως, τὴν ἑαυτοῦ διόλλυσι ψυχήν· ἂν μὲν γὰρ τῷ σώματι τὴν βλάβην ὑποτείνῃ τοῦ ὁμογενοῦς, πολλά-

κις ἐκεῖνον μὲν ὠφέλησε μᾶλλον ἢ διώλεσεν, ἑαυτὸν δὲ τῆς ψυχικῆς τῷ βόθρῳ συνώθησεν· ὁ δὲ τῆς τοῦ πλησίον ψυχῆς μηχανησάμενος τὴν ἀπώλειαν, οὗτος ἄν τε εἷλεν, ἄν τε μὴ εἷλε τὸν ἐπηρεαζόμενον, οὐδὲν ἔλαττον τὴν ἑαυτοῦ προαπώλεσεν· ἡ γὰρ ἀδέκαστος κρίσις πρὸς τὴν σπουδὴν καὶ τὴν γνώμην λογοθετοῦσα τὸ ἀδίκημα, εἰ καὶ πολλάκις τὸν βλάπτειν ὡρμημένον ὁ ἐπιβουλευόμενος διαπέφευγε, τὴν τιμωρίαν οὐδὲν ἔλαττον εἰσπράττεται· παραινεῖ τοίνυν διὰ τούτων ὁ ἐκκλησιαστὴς, ἀφίστασθαι πάσης κακουργίας τὸν ἀπείρατον ζητοῦντα βλάβης καὶ κακώσεως συντηρηθῆναι· καὶ μὴν ὁ διαμηχανώμενος κακὸν τῷ πλησίον οὐ διαφεύξεται τὴν ἐκ τοῦ νόμου τιμωρίαν, ἀλλ' ἄν τε ὀφθαλμὸν ἐκκόψας εἴη, τὸν οἰκεῖον ἐξορυχθήσεται· ἄν τε ὀδόντα ἐξελὼν, προσαπολέσει τὸν ἴδιον· καὶ οὐκ ἔστιν ἀδίκημα τὸν πλησίον λυμαινόμενον ὃ μὴ τὸν ἀδικήσαντα τῇ τιμωρίᾳ παραδίδωσιν· ὥστε ὁ τὸν βόθρον ἑτέρῳ διορύσσων, τουτέστιν ἀπολέσαι ζητῶν, οὐ διαφεύξεται τὸ μὴ ἐμπεσεῖν εἰς τὸν τιμωρίας βόθρον ὃν ἑαυτῷ κατὰ τοῦ πέλας τὸν βόθρον διορύττων ἐβαθύνατο.

ΞΔ. Πῶς νοητέον ὃ γέγραπται τῷ ἐκκλησιαστῇ· σχίζων ξύλα κινδυνεύει ἐν αὐτοῖς, ἐὰν ἐκπέσῃ τὸ σιδήριον· καὶ αὐτὸς πρόσωπον ἐτάραξε καὶ δυνάμεις δυναμώσει· καὶ περισσεία τοῦ ἀνδρείου σοφία.

Ὁ ἐκκλησιαστὴς τὸ παρὸν βιβλίον ὥσπερ τὰ ᾄσματα τῶν ᾀσμάτων προηγούμενον ἔχει σκοπὸν τὸν τῶν νοητῶν καὶ ὑπὲρ τὴν αἴσθησιν θεωρίαν, καὶ αἱ παροιμίαι τὰ τῶν ἀνθρώπων ἤθη ῥυθμίζειν· οὕτω καὶ οὗτος περὶ τῶν φυσικῶν ἐπιβάλλει διαλαμβάνειν, ὑπόθεσιν προστησάμενος τοὺς ἀκροατὰς πρὸς τὴν τῆς φύσεως χειραγωγεῖν κατανόησιν· οὐ μὲν οὐδεμία τῶν τριῶν πραγματειῶν τῆς τῶν ἄλλων φιλοσοφίας διόλου ἀπήλλακται· ἀλλ' ἔστιν εὑρεῖν κἂν τοῖς ἠθικοῖς ἐπ' ἔλαττον μὲν ὅμως καὶ φυσικῶν καὶ θειοτέρων θεωρημάτων παράδοσιν· ὡσαύτως δὲ κἂν τῇ περὶ τῶν θειοτέρων φιλοσοφίᾳ ἠθῶν τε διακόσμησιν εὑρεῖν ἔνεστι κατεσπαρμένην, καὶ δὴ καὶ φύσεως κατανόησιν· ἀλλά γε δὴ καὶ ἐν ᾧ τῆς φύσεως ἐστὶν ἀναθεωρεῖν τὴν ἀκολουθίαν καὶ τὸ ἐναρμόνιον, οὐκ ὀλίγα λαβεῖν ἐστι τῶν διὰ τῆς παραινέσεως τὴν ἀναγωγίαν τοῦ ἤθους ἀνορθουμένων· διὸ καὶ νῦν ἀπαγγέλλων τῶν φυσικῶν ὁ ἐκκλησιαστὴς διὰ τοῦ παραδείγματος εἰς τὴν παραίνεσιν δι' ἧς ἐστι πορεύεσθαι τὸν παρόντα βίον λύμης ἐλεύθερον καὶ πρὸς εὔροιαν συντηρεῖσθαι τὸν ἀκροατὴν παραπέμπει, καὶ φησὶν· ὁ σχίζων ξύλα, καὶ βίον τὴν τούτων ποιούμενος τέχνην, ἐὰν ἐκπέσῃ τὸ σιδήριον ᾧ τινι σχίζεται τὰ ξύλα, ἢ δ' οὐ μετὰ τὴν πρώτην σχίσιν ἐπὶ πλέον διΐσταται ἀπ' ἀλλήλων, καὶ εἰς περιγραφὴν ἀπαρτίζεται ἰδίαν, κινδυνεύει ἐν αὐτοῖς, τῆς ἐκεῖθεν

δηλονότι ἀφαιρούμενος ὠφελείας· καὶ συνταράξει τὸ πρόσωπον, ἀντὶ τοῦ φαιδρυνομένου ἐν ἱλαρότητι, σκυθρωπὸν ἀναδεδεγμένος· καὶ δυνάμεις δυναμώσει ὅσαι διεβάσκαινον αὐτὸν, τὴν αὐτοῦ ἀσθένειαν καὶ ἀπορίαν, ἰσχὺν ἰδίαν περιβαλλομένην, οὐδὲν τῆς ἐν τῇ ἀνδρείᾳ αὐτοῦ συνεπαμυνούσης, ἀλλ' εἰς τὸ περιττὸν καὶ ἄχρηστον διὰ τὴν ἔκπτωσιν τοῦ σιδήρου διαλυομένης· ὥσπερ οὖν ἐπὶ τοῦ σχίζοντος τὰ ξύλα, ἐὰν ἐκπέσῃ τὸ σιδήριον, τοσαῦται παρακολουθοῦσι συμφοραὶ καὶ καταλαμβάνουσι τὴν ἐκ τῆς τοῦ ξύλου διαιρέσεως καὶ καλλιεργίας ἐν αὐταρκείᾳ δυνάμενον βιοῦν· οὕτω καὶ ὁ τῷ λόγῳ χρώμενος τῷ διδασκαλικῷ καθάπερ τινὶ σιδήρῳ καὶ ὀργάνῳ διαιρετικῷ δι' οὗ τὴν θείων γραφῶν διὰ τῆς ἀσαφείας σύμφυσίν τε καὶ συναίρεσιν καταλλήλως τε καὶ προσφυῶς καὶ ὡς ἡ τοῦ πνεύματος βούλεται χάρις ἀναπτύσσει τε καὶ ἀνὰ μέρος συνδιαιρεῖ διὰ τῆς ψυχωφελοῦς ἑρμηνείας ἑαυτῷ τὴν πνευματικὴν ζωὴν συντηρεῖ, τοὺς ἀκροατὰς ἐπὶ ταύτην ὁδηγῶν τε καὶ παρακαλῶν.

Ἐὰν δὲ τὸ τῆς διδασκαλίας ἀκριβὲς καὶ πρὸς τὴν εὐσέβειαν εἰλικρινὲς καὶ ἠκονημένον λαθὸν αὐτὸν τὴν διαίρεσιν τῶν γεγραμμένων καὶ σαφήνειαν προενέγκῃ, μηδ' ὀρθοδόξοις θεωρήμασι τὴν διάνοιαν διερμηνεύῃ, ἀλλὰ πρὸς αἵρεσίν τινα καὶ δόξης φαυλότητα τὸν σωτήριον λόγον διαπεσεῖν ἐάσῃ, οὗτος ὡς ἀληθῶς καὶ τὸ πρόσωπον ὅπερ ἐξ ἀρχῆς περιέθετο τῆς ὀρθοδοξούσης διδασκαλίας συγχεῖ καὶ ταράσσει, καὶ τὰς τῶν ἀκροατῶν ψυχὰς ἀντὶ σωτηρίας βλάβης ἀναπλήσσει· καὶ δυνάμεις μὲν ἐνεδυνάμωσεν, αἳ διαφθονούμεναι αὐτὸν εὐοδούμενον πρότερον ἐζήτουν ἐπιβουλεῦσαι καὶ ἀντιπράττειν ἐφιλονείκουν· ἑαυτὸν δὲ ἀσθενῆ καὶ καταβεβλημένον ἔδειξε, καὶ τὴν ἔμπροσθεν θαυμαζομένην αὐτοῦ σοφίαν εἰς τὸ περιττὸν καὶ μάταιον κατενηνεγμένην διήλεγξεν· ὁ μέν τοι τὸν νοῦν ἀνδρεῖος, καὶ τοὺς ἐπηρμένους τῶν αἱρετικῶν λογισμοὺς πολιορκεῖν αὐτοῦ τὴν ὀρθὴν δόξαν διωθούμενος, καὶ τῷ τμητικῷ τοῦ πνεύματος λόγῳ, ἐκείνων μὲν τοὺς παρεμβαλλομένους λοξοὺς καὶ τὰς συστροφὰς τῶν σοφισμάτων ἐκτέμνων, τὴν δ' ἀληθινὴν δόξαν καὶ θεὸν τιμῶσαν καὶ ἀρετῆς ἀντεχομένην περικαθαίρων τε τῶν ἐπισκιαζόντων καὶ ἀποδιαιρούμενος, εἴτι τούτοις ἔξωθεν καὶ παρὰ τῶν ἐχθρῶν προστρίβεται νόθον, τοῦτον οὐδέποτε τὸ σιδήριον, οὔτε λαθὸν διαπέσῃ οὐδὲ ἐκ προδοσίας οὐδεὶς ἀπολέσαντα διελέγξει· ἀλλὰ καὶ τὸ ἐξ ἀρχῆς πρόσωπον ἀναλλοίωτον καὶ ταραχῆς ἁπάσης ἀνακεκαθαρμένον συντηρήσει· καὶ τὰς ἐν αὐτῷ φυσικὰς δυνάμεις τῇ προσθήκῃ τῶν ἀπὸ τῆς χάριτος δυναμώσει, δείξας ὡς ἀληθῶς ὅσον περισσεύει τοῦ ἀνδρείου ἡ σοφία τῆς τοῦ δειλοῦ ῥαθυμίας καὶ ῥᾳδίου τοῖς ἔργοις ἁλῶναι πολλὴν ἔχοντος τὴν ἀναλγησίαν.

ΞΕ. Πρὸς τίνα σκοπὸν ἀποβλέπει τὸ, γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν.

Εἰπὼν τῶν ἀνθρώπων ὁ Σολομὼν τὰ σπουδάσματα καὶ τοὺς διηνεκεῖς πόνους οὓς περὶ τὴν τοῦ βίου ἀπόλαυσιν καταβάλλονται, διαθαῤῥεῖν εἰς ματαιότητα, καὶ μηδὲν πλέον εὑρίσκειν κέρδος τὸν μοχθοῦντα καὶ κοπιῶντα τοῦ πρὸς μηδὲν τούτων ταῖς μερίμναις ἀποβλέποντος, ἀλλ' ὁμοίως μὲν τοῖς σωματικοῖς πάθεσιν ὑποκείμενον, ἐν ἴσῳ δὲ πρὸς ἀλλοίωσιν καὶ φθορὰν ἔχοντα τὸ σῶμα διακείμενον, πρὸς ὅμοιον δὲ τέλος ὁδεύοντα καὶ καταδυόμενον· ταῦτα εἰπὼν καὶ ἐπιδειξάμενος διὰ τοῦ εἰπεῖν, τίς περισσεία τῷ ἀνθρώπῳ ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον εἴη; καὶ γὰρ τὸ, τίς, ἐνταῦθα ἀντὶ τοῦ, οὐδεμία, λαμβάνεται· οἷον οὐδεμία περισσοτέρα ὠφέλεια τῷ ἀνθρώπῳ περιγίνεται ἐν παντὶ μόχθῳ αὐτοῦ ὑπο τὸν ἥλιον, ἢ εἰ πρὸς μηδὲν τούτων κατετρίβετό τε καὶ κατετείνετο· οὐ μὴν οὐδὲ πρὸς τὸν ἀπηλλαγμένον τοιαύτης ματαιότητος ἄμεινόν τι διακείμενος δείκνυται, ἀφεστᾶναι διὰ τοῦτο τῆς περὶ ταῦτα σπουδῆς καὶ ματαιότητος εἰσάγει παραίνεσιν· ὑπὸ τὸν ἥλιον δὲ καλεῖν εἴωθεν ὅσα μᾶλλον γενέσεώς ἐστιν ὑπηρετήματα καὶ φθορᾶς· ἅτε δὴ τῇ ἐκείνου συνδιαφέρεσθαι φθορᾷ τοῦ δημιουργικοῦ λόγου τάξαντος θέρος καὶ χειμῶνα, καὶ τὰ μεταξὺ τούτων ἔαρ τε καὶ μετόπωρον· ἐπεὶ οὖν μέγα μέρος συνεισάγει ὁ τοῦ ἡλίου πρὸς τὰς τῶν ὡρῶν γενέσεις δρόμος, αἱ δὲ ταῖς σωματικαῖς καὶ ἀνθρωπίναις ἐπὶ τὸ χεῖρον ἢ τὸ κρεῖττον ἀλλοιώσεσι καὶ μεταβολαῖς πολλὰς ἀφορμὰς συνεισάγουσιν, εἰκότως τὴν περὶ τὰ τοιαῦτα σπουδὴν καὶ φροντίδα κατονομάζει κόπον καὶ μόχθον ὑπὸ τὸν ἥλιον, εἰς μάτην τοὺς σπουδαστὰς αὐτῶν μαρτυρόμενος κατατρίβεσθαι·

Ἀλλὰ γὰρ ταῦτα περὶ τῶν καθέκαστα προδιαλαβὼν ἀνθρώπων, νῦν φησιν ὡς οὐ μόνον ἕκαστος αὐτῶν οὐδὲν κέρδος προσλαμβάνει διὰ τῶν συνεχῶς περισπασμῶν καὶ τῶν πόνων, οἷον τῶν διὰ γενέσεως καὶ φθορᾶς ῥεόντων, τὴν σπουδὴν ἄπαυστον καὶ ἐπιμέλειαν ἀναδέχονται, ἀλλὰ καὶ ἐπὶ γενεᾶς ὅλης τὴν ὁμοίαν κενοσπουδίαν οὐδὲν ἔλαττον ὁρᾶν ἐστι συμβαίνουσαν· τῶν γὰρ γενεῶν ἥ τε τοῦ κρείττονος ἀντεχομένη καὶ δὴ καὶ ἡ πρὸς τὸ φαῦλον ἀποκλίνουσα, ἡ μὲν ὑπὸ τὸν ἥλιον μοχθήσασι ἀπερχομένη σκυθρωπὸν εὑρίσκει καὶ ἀθλιότητος πλήρη τὴν ἀναχώρησιν, καὶ ἐρχομένη πρὸς οὐδὲν τῶν χρησίμων τὴν ὁδὸν ἀνύει· ἀλλὰ τοὐναντίον μόχθοι καὶ κόποι ταύτην συνθλίβοντες, ἀντὶ τοῦ παρέχειν ὄφελος, ἐπιγελῶσιν αὐτὴν τῆς ματαιότητος· ἡ δὲ τὰ ἐν γενέσει καὶ φθορᾷ, τουτέστιν τὰ ὑπὸ τὸν ἥλιον, σώφρονι λογισμῷ παρωσαμένη, καὶ λόγον αὐτῶν ὅσα μὴ ὁ τῆς φύσεως δεσμὸς ἀπαραιτήτως

ἀπήτει, μηδένα θεμένη· ἀλλὰ τὰ ὑπὲρ τὸν ἥλιον, τουτέστιν ὅσα κρείττω πέφυκε τῶν ἐν γενέσει καὶ φθορᾷ, ζητήσασά τε καὶ φιλοσοφήσασα, ψυχῆς καθαρότητα, ἔλεον τοῦ πλησίον ἱλαρύνοντά τε καὶ διαπραΰνοντα τὰς ἀπὸ τῆς πενίας πληγάς· εἰ δὲ καὶ παντελῶς τῶν τραυμάτων ἀπαλλάττοντα καὶ τῆς ὅλης διαθέσεως μακαριώτατόν τε καὶ θεοειδέστερον, σωφροσύνης ἔρωτι τὴν ἀκολασίαν ὑπερορίζουσα καὶ τῷ χορῷ τῶν ἄλλων ἀρετῶν συγχορεύουσα· αὕτη τοίνυν ἡ γενεὰ καὶ τῶν συμπληρούντων αὐτὴν ὁ κατάλογος, ὡς μηδὲν τῶν ὑπὸ τὸν ἥλιον σπουδάσασα, μηδὲ τοῖς ἐν γενέσει καὶ φθορᾷ συμπεριενεχθεῖσα καὶ συγκαταδύσασα, δῆλον ὅτι πολὺ τῶν ἄλλων πρὸς τὸ κρεῖττον ἀπέβλεψε, τὴν μένουσαν καὶ ἀπλανῆ πολιτείαν ἀπαλλαξαμένη τῆς πλανωμένης καὶ διαῤῥεούσης πρὸς ματαιότητα· ταῦτα τῷ αἰνιγματίζοντι καὶ συντετμημένῳ λόγῳ διεξιὼν, ἐπιφέρει.

Ἡ δὲ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν· αἰῶνα μὲν καλῶν τὸν χρόνον ἐν ᾧπερ ἥλιος καὶ ἡ σελήνη καὶ ἡ τῶν ἄστρων χορεία καὶ αὐτὸς ὁ οὐράνιος πόλος ἐν ἀντιθέτῳ πορείᾳ τὴν εὔτακτόν τε καὶ ἐναρμόνιον φορὰν πρὸς ἡμερῶν καὶ νυκτῶν καὶ καιρῶν διάκρισίν τε καὶ ἀποκατάστασιν ἀνελίσσουσι· τὴν γῆν δὲ πάλιν παραλαβὼν ἐπ' ἐλέγχῳ τῆς σπουδῆς τῶν κατατριψάντων αὐτῶν τοὺς λογισμοὺς καὶ καταναλωσάντων τὴν προαίρεσιν περὶ τὰ μάταια, ἀνθ' ὧν ὤφειλον ἐμφιλοχωρεῖν τοῖς σωτηριώδεσι καὶ περὶ τὰ ψυχικὰ φιλοπονεῖσθαι κέρδη· μονονουχὶ, τί γὰρ ἄνθρωπε, λέγων, ἀπὸ τῆς τοσαύτης ὀχλήσεως καὶ σπουδῆς ἐκέρδησας; οὐχ ὁμοίως μὲν τῶν ἄλλων οἳ μηδένα τοιοῦτον τάραχον ὑπέστησαν, μηδὲ τοιαύταις τρικυμίαις ἐχειμάσθησαν; οὐχὶ παραπλησίως τούτοις καὶ ἐρχόμενος ἔρχῃ, καὶ ἀπέρχῃ ἀπερχόμενος; σαυτὸν δὲ πάντως ἀθλίως ἀποστερεῖς τῆς μακαριότητος; οἷς τὰ ὑπὲρ τὸν ἥλιον οἱ ζητοῦντες καὶ φιλοσοφήσαντες ἀπολαύουσι· καὶ τό γε χαλεπώτατον τὴν ἀπὸ τῶν πολλῶν πόνων καὶ κόπων διαφορὰν, φεῦ τῆς ἀφορήτου καὶ ἀπαρακλήτου ζημίας, ἐπὶ τὸ χεῖρον εὗρες σέ τε καὶ τὰ σὰ κατασύρουσαν, πρὸς οὐδὲν δὲ τῶν κρειττόνων ἀναφέρουσαν· ὅρα γὰρ ὅτι μηδὲ πρὸς τὸ ἄψυχον τοῦτο καὶ ἀκίνητον καὶ κοινῇ πᾶσιν ὑποκείμενον γῆς ἔδαφος, οὐδὲ πρὸς τοῦτο διὰ τῆς πολλῆς ἐκείνης κενοσπουδίας, οὐδὲ κατά γε τὸν χρόνον παρατείνεσθαι σαυτῷ διεπράξω, οὐδέ τινα πρόφασιν πολλὰ διανοησάμενος εὗρες· ἀλλὰ γὰρ σὺ μὲν ματαιοπονῶν καὶ τὰ ἄνω κάτω ποιῶν θᾶττον παρέρχῃ, καὶ πρὸς ἃ μηδ' ἀκοῇ φέρειν ἀνεκτὸν νομίζειν, τρέμων καὶ ἀμηχανῶν καταδύεις· οὐδὲν δ' ἐπὶ βραχύτατον σαυτῷ προστιθεὶς τοῦ χρόνου, μὴ ὅτι γε τῇ παρατάξει συμπαρατεινόμενος τοῦ ἀψύχου καὶ ἀκινήτου· αὐτὸ δὲ τὸ πατούμενον ἔδαφος ἡ φύσις ἡ ἀναίσθητος καὶ μὴ κινουμένη ἕστηκεν καὶ διαμένει, οὐ πολλοὺς μόνον ἐξαλλάττουσα, κατηγόρου μὲν τάξιν λαβεῖν παρὰ σοῦ συνελασθεῖσα, κατηγοροῦσα δὲ τῆς σῆς κενοσπου-

δίας καὶ τῶν σοβαρῶν ἐνθυμήσεως διά τε τῆς ἐν τοσούτῳ χρόνῳ διαμονῆς καὶ παραστάσεως· καὶ διότι μηδὲν ἐξαλλάττουσα ὤφθη τῶν ὑπὸ τῆς προνοίας αὐτῇ κεχαρισμένων· σοῦ τοῦ λόγῳ τιμηθέντος διὰ τῆς περὶ τὰ μάταια σπουδῆς καὶ φιλονεικίας, πάντα τἀναντία τῆς δημιουργικῆς διαπραξαμένου κηδεμονίας, καὶ ἀνεπισχέτῳ ῥύμῃ φερομένου πρὸς ἅ τε νόμοι θεῖοι διεκώλυον, καὶ θεσμοὶ φύσεως ἄνωθεν καταβληθέντες ἐδυσχέραινον, ὕβριν ἀφόρητον τὴν σὴν κενοσπουδίαν καὶ τὸ ὀξύῤῥοπον περὶ τὰ μάταια φέροντες· ὡς δι' αὐτῶν τῆς διαβολῆς παραπεμπομένης εἰς τὸν πανσόφως τε καὶ φιλανθρώπως, καὶ οὗ μή ἐστι μήτε φιλανθρωπότερον μήτε ἄμεινον, μήτε λόγῳ φράσαι μήτε λογισμοῖς ἀναπλάσαι δημιουργήσαντά τε καὶ προνοησάμενον τὰ ἡμέτερα. Ἀλλὰ γὰρ σοὶ μὲν ἴσως ἱκανὰ καὶ ταῦτα· εὑρεῖν δ' ἔστιν ἐνίους γενεὰν μὲν ἐκπορευομένην καὶ ἐκβαλλομένην, τὸ Ἰουδαίων γένος ἐκλαμβάνοντας, γενεὰν δὲ ἐρχομένην καὶ διαμένουσαν τὰ τέκνα τῆς χάριτος ἅτε δὴ τοῦ θείου σπόρου καὶ τῆς κατὰ Χριστὸν γεωργίας ἀναβλαστήσαντα· γῆν δὲ εἰς τὸν αἰῶνα ἑστᾶναι τήν τε παλαιὰν καὶ νέαν γραφὴν· ὅτι τε τὸ καρποφόρον τῶν ἀρετῶν ὁρᾶν ἐστιν αὐταῖς ἀνευθηνούμενον, καὶ τῶν νόμων καὶ τῶν ἐπαγγελιῶν τὸ δι' αἰῶνος ἀκίνητον· ὧν τὰς μὲν τοῖς δικαίοις ἀπενείμαντο, ταῖς δὲ τοὺς ἁμαρτωλοὺς καὶ ἀμετανόητα πλημμελήσαντας παραπέμπουσιν.

ΞϚ. Τίνα νοῦν ἀναπτύσσει τὸ, ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.

Δίκαιος μὲν ὡς φοῖνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· δι' ἑκατέρας λέξεως τῆς δικαιοσύνης τὸ κέρδος, καὶ τῶν καλῶν ἡ εὐφθονία τε καὶ εὐθηνία διαγγέλλεται, διά τε τοῦ ἀνθήσει δηλονότι καὶ τοῦ πληθυνθήσεται· οὗτος ὁ δίκαιος κἂν μαστίζηται, κἂν στρεβλοῦται, κἂν πάσχῃ τὰ ἀλγεινότερα, κἂν πρὸς σφαγὴν, κἂν πρὸς θάνατον, κἂν πρὸς σταυρὸν ἀπάγηται, οὐδὲν ἧττον ὡς φοῖνιξ ἀνθεῖ καὶ ὡσεὶ κέδρος πληθυνθήσεται, πολλαπλασίῳ τῶν πόνων καὶ παθημάτων τὴν ἀπόλαυσιν εὑρίσκων, καὶ τοῖς ἀδιηγήτοις ἀγαθοῖς ἐντρυφῶν τε καὶ ἀνευθηνούμενος· Τίς οὖν ἐστιν ὁ δίκαιος ὁ ἐν τῷ δικαίῳ αὐτοῦ ἀπολλύμενος, καὶ τίνα τρόπον ἀπόλλυται; ἢ δηλονότι ὁ τοῦ δικαίου μὲν ἁρπάζων καὶ κατασχηματιζόμενος τὴν κλῆσιν καὶ τὸ πρόσωπον, ἐν αὐτῇ δὲ τῇ μηχανῇ αὐτοῦ καὶ περιεργίᾳ διολλύμενος· οὐ γὰρ ἁπλῶς εἶπεν ἐν τῷ δικαίῳ ἢ ἐν τῇ δικαιοσύνῃ ἀπολλύμενος, ἀλλ' ἐν τῷ δικαίῳ αὐτοῦ ὃ ἐκεῖνος δίκαιον ἐμηχανήσατο εἶναι, τὸ τοῦ δικαίου πρόσωπον οὐκ ἐξ ὧν ἦν, ἀλλ' ἐξ ὧν ἐσχηματίζετο, περιβαλλόμενος· ὁ τοιοῦτος οὖν δίκαιος κἂν πάντες αὐτὸν

ὑμνῶσιν; κἂν πάντες αὐτῷ τὸ δίκαιον ἐπικροτῶσιν; ἐν αὐτῷ τῷ σχήματι τῆς δικαιοσύνης αὐτοῦ καὶ τῷ ὀνόματι πρὸς τὴν ἐσχάτην ἀδικίαν καὶ ἀπώλειαν καταφέρεται· τίς γὰρ μείζων κλοπὴ τὴν τοῦ δικαίου κλέπτειν προσηγορίαν τοῖς ἀδίκοις ἀνακείμενον; τί δ' ἀναιδέστερον ἔρωτι σεμνύνεσθαι τῆς καλλίστης τῶν ἀρετῶν, καὶ δι' ἁπασῶν αὐτῶν διηκούσης καὶ τὴν συμφωνίαν ἀποτελούσης ἐναρμόνιον, πρὸς ἣν οὐδενὸς διάκειται δυσμενέστερον; ἆρ' οὖν ὁ τοιοῦτος οὐκ ἐν τῷ αὐτοῦ δικαίῳ δικαίως ἀπόλλυται; ζητῶν ἃ μὴ ἔχει δεικνύναι, καὶ πρὸς ἃ διαβέβληται ἀπατᾷν τοὺς ἄλλους τῇ προσποιήσει ὅτι στέργει ταῦτα μηχανώμενος· καὶ πρὸ τῶν ἄλλων, ἑαυτὸν πολλῷ κάκιον καὶ ἀθλιώτερον· καὶ γὰρ ἐξ ὧν μὲν καταφεύγειν πρὸς τὸ δίκαιον σχηματίζεται, αὐτὸς γινώσκων καὶ ἄκων ὁμολογεῖ τὸ χεῖρον προελέσθαι τοῦ κρείττονος· οὐ γὰρ ἂν ἐζήτει μορφὴν ἀλλοτρίαν περιθέσθαι δι' ἧς τὴν οἰκείαν ἐπικρύψειεν· εἶτα καὶ ἔστι ἀσεβὴς μένων ἐν τῇ κακίᾳ αὐτοῦ· ἄλλος οὗτος λογισμὸς καὶ ἄλλη τοῦ Σολομῶντος πρὸς τὰ πρότερον διάνοια παραλλάσσουσα· ἐκεῖ μὲν γὰρ τὸν νομίζοντα ἑαυτὸν δίκαιον εἶναι, μὴ ὄντα δὲ ἐν αὐτῇ λέγει τῇ ματαίᾳ ὑπολήψει καὶ μηχανουργίᾳ διόλλυσθαι· ἐνταῦθα δὲ, οἷς μὲν ὁ κατεσχηματισμένος ἐκεῖνος δίκαιος περιέπιπτε καὶ τὸν ἀσεβῆ τούτοις ἐνέχεσθαι εἰδὼς, ὅμως οὐκ ἐξ ἐκείνων αὐτοῦ διελέγχει τὴν πονηρίαν καὶ ἀθεότητα, ἀλλ' ἐξ αὐτῆς τῆς ἐπὶ τὸ ἀσεβεῖν διαμονῆς καὶ οἰκειώσεως· δι' οὗ καὶ τὴν ἐσχάτην δίκην καὶ ἀπώλειαν ἀπηνέγκατο· ὁ γὰρ μὴ πιστεύων εἰς τὸν υἱὸν θεοῦ, ἡ ἐνυπόστατος εἶπεν ἀλήθεια, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ· δῆλον δὲ ὅτι περ ἡ εἰς τὸν υἱὸν ἀπιστία καὶ τὴν τῶν ὁμοφυῶν καὶ ὁμοουσίων πατρὸς καὶ πνεύματος συνεισάγει ἀπιστίαν· ὥσπερ καὶ τῇ πίστει συνακολουθεῖν εἴωθεν ἡ πίστις. Φησὶν οὖν ὁ σωτὴρ ὡς τῷ βλασφημήσαντι εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς μίαν τῶν ὑπερφυῶν καὶ ζωαρχικῶν καὶ ὁμοφυῶν ὑποστάσεων τῆς παντοκρατορικῆς τε καὶ δημιουργοῦ θεότητος, τούτῳ κἂν τῶν ἀρετῶν τῷ ἔρωτι τῶν παθῶν δοκεῖ εἶναι τὸ ἀνεύθυνον, οὐμενουν οὐκ ἀφεθήσεται τὸ ἁμάρτημα οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

## ΞΖ. Πῶς νοητέον τὸ, εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν.

Ἐνταῦθα τὸ, συνίστησι, τῷ θεσπεσίῳ Παύλῳ εἴρηται οὐχὶ προκαταρκτικὸν αἴτιον, ἢ ὅλως αἴτιον τῆς τοῦ θεοῦ δικαιοσύνης τὴν ἡμῶν ἀδικίαν δογματίζοντι· ποῦ γὰρ τοῦτο λογισμὸς οὐκ ἀφῃρημένος τὸ αὐτεξούσιον, οὔτε περιυβρισμένος τὸ κατ' εἰκόνα, περὶ τοῦ θείου Παύλου λογίσασθαι

δύναται; ἀλλὰ τὸ συνίστησι, νῦν ὅτι ἀντὶ τοῦ καθίστησιν ἐμφανῆ παρείληπται, πᾶσιν ἐπιγινώσκεσθαι ποιεῖ· οὐδὲ γὰρ οὐδὲ τὴν εἰς ὕπαρξιν προαγωγὴν νυνὶ τὸ τῆς λέξεως σημαίνει· οὐδὲ τῆς ἀδικίας ἡμῶν καρπός ἐστιν ἡ τοῦ θεοῦ δικαιοσύνη· οὐ μὲν οὐδὲ ἐν ἀπορίας ὡς ἄν τισι δόξειε προάγεσθαι σχήματι καιρὸν εὑρίσκει· πρὸς χλεύην γὰρ καὶ οὕτω τυπούμενον καταλήγει· καὶ πρὸς τὸ μάταιον ἀποφέρεται· καὶ γὰρ καὶ τὸ σχῆμα τῶν ἀποριῶν, δι' ἐρεύνης εἴωθε βαθυτέρας καὶ τὸ ἐπιπροσθοῦν ἀποτίθεσθαι καὶ τὸ σαφὲς διαλύεσθαι· ὅσα δὲ τοῦ ἀτόπου τὸν ἔλεγχον ἔχει προφαινόμενον, πρόχειρόν τε καὶ ἐμφανεστάτην τὴν κατάγνωσιν συνεπάγεται· ταῦτα δὲ ἄρα οὐδ' εἰς ἀπορίας τύπον σχηματίζεσθαι παῤῥησιάζεται, φλυαρίας δὲ ἅμα καὶ ματαιολογίας σπουδάσματα διελέγχεται· ὅτι δὲ τὸ συνίστησιν ἀντὶ τοῦ κατάδηλον ἐργάζεται παρείληπται, ἐμφανῆ παρασκευάζει πᾶσιν ἐπιγινώσκεσθαι, αὐτὸς ἑαυτοῦ μάρτυς ὁ τῆς ἀληθείας κήρυξ καὶ παρίσταται καὶ τὴν διδασκαλίαν ἡμῖν ἐμφανεστάτην διὰ τῆς μαρτυρίας παρέχεται· καὶ γὰρ ῥωμαίοις γράφων φησί· συνίστημι δὲ ὑμῖν φοίβην τὴν ἀδελφὴν ἡμῶν οὖσαν διακόνον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς· δῆλον γὰρ ὡς ἀντὶ τοῦ παρατίθημι παρείληπται τὸ, συνίστημι· ἐπιγινώσκεσθαι βούλομαι, γνωρίζεσθαι ταύτην ὑμῖν παραινῶ· διὰ τί; ἵνα αὐτὴν προσδέξησθε ἐν κυρίῳ ἀξίως τῶν ἁγίων· ὥσπερ οὖν ἐνταῦθα τὸ συνίστημι, οὐκ ἀντὶ τοῦ ὑφεστάναι οὐδὲ πρὸς ὕπαρξιν ἄγειν παραλαμβάνεται ἀλλὰ τὸ γινώσκεσθαι καὶ γνωρίζεσθαι καὶ ἐμφανῆ καθεστάναι τοῖς ἐν Ῥώμῃ τὴν μακαρίαν Φοίβην ἐπισημαίνεται, οὕτω κἀνταῦθα· πῶς δὲ ἡ ἀδικία ὑμῶν τὴν τοῦ θεοῦ δικαιοσύνην παρίστησιν; ὡς τῷ φωτὶ τὸ σκότος παρατιθέμενον μᾶλλον αὐγάζειν ἀποβλέποντας, ὡς τὸ πικρὸν τῷ γλυκάζοντι γλυκυτέραν ἐμποιοῦν τῇ γεύσει τὴν τοῦ γλυκέος ποιότητα· ὡς τὸ τραχὺ καὶ πλῆττον τὴν ἁφὴν μᾶλλον ἡμᾶς διατίθησιν τὴν τοῦ λείου ἰσότητα καὶ ὁμαλότητα ἐπαισθάνεσθαι· ὡς τὸ ψεῦδος ἐμφανεστέραν τε καὶ ποθεινοτέραν καὶ μᾶλλον αἱρετωτέραν ἀποφαίνει τῇ παραθέσει τὴν ἀλήθειαν· ὡς ἑκάτερον τῶν διαφοραῖς ἀντιτεταγμέναις πόῤῥωτέρω διεστώτων ἀπ' ἀλλήλων, τὸ μὲν τὴν φαυλότητα τοῦ χείρονος ἐπὶ πλέον διελέγχει, τὸ δὲ τὴν τοῦ κρίνοντος ἐμφανίζει ἀγαθότητα· καὶ γὰρ ἀφ' ἑκάστου τῶν ἀντικειμένων ἐπὶ θάτερον οἱ μεταβαίνοντες ἀπὸ μὲν τοῦ χείρονος τὴν τοῦ κρείττονος ὑπερβολὴν, ἀπὸ δὲ τοῦ κρείττονος τὴν τοῦ ἀντικειμένου φαυλότητα· ὥσπερ δι' αἰσθήσεως τῶν αἰσθητῶν· οὕτω δὴ οὕτω καὶ τῷ πανσόφῳ Παύλῳ εἰ καὶ κατὰ σχῆμα διαπορουμένης ὑποθέσεως· ὡς τὴν τοῦ θεοῦ δικαιοσύνην, ἡμῶν ἡ ἀδικία συνίστησιν· διὸ καὶ συνάψας τοῖς προλαβοῦσι τὸ, μὴ ἄδικος ὁ θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; ἐπάγει τὸ, μὴ γένοιτο· διατί; διοτὶ οὐχὶ εὐγνωμονούντων ἡμῶν καὶ θεραπεύειν τὸ θεῖον ζητούντων, ἡ ἀδικία ἡμῶν

διαμαρτυρομένη καὶ κηρύττουσα τὴν δικαιοσύνην αὐτοῦ ἐνεφάνισεν, ἀλλ' ὃν τρόπον εἴρηται τὴν ἀγαθότητα διὰ τῆς κακίας ἐμφανεστέραν καθίστασθαι· τὰ δὲ ἑξῆς τοῦ χωρίου δυσθεώρητα ἰδιαιτέρας ἴσως ἐπιλύσεως, τῆς θείας προνοίας εὐμενέστερον ἡμῖν ἐφορώσης, οὐκ ἀποτεύξεται.

ΞΗ. Τὸ, ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης· καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα· ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται· καί γε ἥλιον οὐκ εἶδε καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον· τοῦτο δὴ τὸ ῥητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδείξασθαι δύναται;

Ἡ πολυπαιδία τοῖς ἐν κόσμῳ οἷα δὴ μέγα χρῆμα φιλοτιμώτερον ἐσπουδάζετο, ὡσαύτως δὲ καὶ τὸ πολυχρόνιον· καὶ γὰρ πολλαχοῦ τοῖς φυλάττουσι τὰ τοῦ κυρίου δικαιώματα, τὸ πολυχρόνιον εἰς ἀντιμισθίαν ὑποτείνεται· ἐὰν οὖν τίς φησιν ὁ Σολομὼν καὶ τῇ πολυπληθείᾳ τῶν τέκνων καθ' ὑπερβολὴν τῶν ἄλλων ἀνθρώπων ὑπερέζῃ καὶ τῷ πολυχρονίῳ τὴν ζωὴν παρατεινομένην ὅτι μάλιστα ἕξει· τὰ δ' ἄλλα πονηρίαις τὸν βίον κακύνῃ, τῆς ἀγαθότητος τῇ ἀπολαύσει μὴ ἐμπιμπλῶν αὐτοῦ μηδὲ διακοσμῶν τὴν ψυχὴν, καὶ διὰ τοῦτο ἴσως μηδὲ ταφῆς ἀξιωθῇ, ὁ τοιοῦτος ἀνὴρ πολλῷ χείρων καὶ δικαίως ἂν λογισθήσεται τοῦ ἐκτρώματος· τὸ μὲν ἔκτρωμα ἥλιον οὐκ εἶδεν, οὐκ ἔσχεν οἷς ἂν ἐπεῖδε τε τὰ ὄντα καὶ τῶν πράξεων τὰς ἀμείνους προείλετο· ὁ δὲ τούτοις ἅπασι τιμηθεὶς καὶ πολυπληθείᾳ παίδων εὐφρανθεὶς καὶ ἀπολαύσας τῆς μακροβιότητος, ἐπεὶ τῆς ἀγαθότητος οὐ μετέσχεν, οὐδὲ τρυφῶν ἀπέσχετο τῆς φαυλότητος καὶ ἡ ταφὴ κατ' ἀξίαν τούτοις ἠκολούθησεν· εἰκότως δὲ τῆς χειρόνος οὗτος μᾶλλον μοίρας ἢ ἐκεῖνο λογισθήσεται· καὶ γὰρ οὗτος τὸν ἥλιον ὁρῶν ἐν τῷ σκότει ἐπορεύετο, καὶ τὸ ὄνομα λαμπρὸν καταλιπεῖν διὰ τῶν σπουδαίων ἔργων δυνάμενος, ἐν τῷ ζόφῳ τῶν ἁμαρτημάτων ἀπέῤῥιψε σβέννυσθαι καὶ συγκατορύττεσθαι τῇ ματαιότητι. Καὶ ἄλλη δὲ τούτου πρὸς τὸ ἔκτρωμα διαφορὰ, ὅτι τὸν μὲν ποιναὶ καὶ κολάσεις καταλιπόντα τὸν βίον ἐδέξαντο, τὸ δὲ τούτων οὐδενὸς εἰς πεῖραν καθίσταται· εἰ δέ τις ἀκούων Παύλου λέγοντος, ὕστερον δὲ πάντων ὤφθη κἀμοὶ ὥσπερ τῷ ἐκτρώματι, εἰς ἐκεῖνο τὸ σολομόντειον ἀφορᾶν νομίσει· καὶ γὰρ ἐκεῖνος τὸν τῆς δικαιοσύνης ἥλιον ἐπὶ γῆς οὐκ εἶδεν ἀνατέλλοντα· οὐδὲ τοῖς αὐτοῦ μαθηταῖς συγκαταριθμηθῆναι τηνικαῦτα ἠξιώθη· πολλοὶ δὲ τὸν ἥλιον τῆς δικαιοσύνης ἑωρακότες, οὐδὲ ἔλαττον ἐπορεύοντο ἐν τῷ σκότει πρὸς τὰς ἐναποστραπτού-

σας ἀκτῖνας τῆς ἐν αὐτῷ θεότητος καταμύοντες, εἰ καὶ τὰ ἄλλα πάντα τοῦ βίου κατὰ ῥοῦν αὐτοῖς ἐφέρετο· καὶ ὡς ἂν οὐδὲ ῥᾴδιον ἐνόμιζον εὔξασθαι· ἀλλὰ καὶ τέκνων ἦν αὐτοῖς πλατυσμὸς καὶ πλῆθος καὶ χρόνων ἐπίδοσις τῇ παρατάσει τὸ παράδοξον ἐφελκομένη· εἰ γοῦν τις εἰς ταῦτα τὰ σολομόντεια λόγια μεταλάβοι, καὶ τὸ ἔκτρωμα τὸν Παῦλον τῶν ἰουδαϊκῶν ἀρχιερέων τε καὶ ἱερέων καὶ πολλῶν ἄλλων τῇ τοῦ βίου μὲν εὐδαιμονίᾳ λαμπρυνομένων, ἀσεβείᾳ δὲ καὶ φαυλότητι πράξεων ἐσκοτισμένων, καὶ τούτων ἐκείνων ὑπερθήσει καὶ πολλῷ κρείττω κατὰ πάντα ἀποφαίνει, ἀληθὲς μὲν πάντως λέγει· οὐδὲν δὲ οἶμαι προσάπτει μέγα τῷ τὸν γύρον τῆς οἰκουμένης τῷ κηρύγματι περιλαβόντι.

ΞΘ. Τί δηλοῖ τὸ, ζῆθι ἐν ἀγαθῷ καὶ ἴδε ἐν ἡμέρᾳ κακίας· ἴδε καίγε τοῦτο σύμφωνον τούτῳ· ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς· ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν.

Σὺ φησὶ τὴν ζωὴν πρὸς ἀρετὴν ὁρᾶν παρασκεύαζε, καὶ πρὸς τὴν ἀπόλαυσιν τῶν ἐκεῖθεν ἀγαθῶν καταῤῥύθμιζε· οὕτω δὲ καταρτίσας ἑαυτὸν καὶ τοῖς εὐσεβέσι τῶν λογισμῶν κριτηρίου δύναμιν τὸν νοῦν φρενώσας ἀναλαβεῖν, δυνήσῃ συνιδεῖν οὐ χαλεπῶς καὶ τὰς ἐν ἡμέρᾳ νομιζομένας κακίας, τουτέστι τὰς ἀνθρωπίνας συμφορὰς καὶ λύπας αἷς ἡ τῆς ἀνθρωπίνης ζωῆς ἡμέρα κυμαινομένη τε καὶ συνταρασσομένη κακύνεται, συνεκταράσσουσα τοὺς ταύτην παραπορευομένους καὶ συγκακύνουσα· καὶ γὰρ καὶ τὰ τοιαῦτα κακίας προσαγορεύειν εἰθίσμεθα κατὰ τὸ εἰρημένον· οὐκ ἔστιν ἐν πόλει κακία ἣν κύριος οὐκ ἐποίησεν· δυνήσῃ δὲ συνιδεῖν ὡς οὐδὲ αὗται περὶ ἡμᾶς ἀσυμφώνως τῇ τοῦ θεοῦ ἀγαθότητι καὶ προνοίᾳ συμβαίνουσι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν· ἴδε καί γε τοῦτο σύμφωνον τούτῳ, τουτέστι καὶ οἱ δοκοῦντες εἶναι πειρασμοὶ καὶ κακώσεις τοῦ σώματος οὐκ ἐκβάλλουσι τὴν θείαν κηδεμονίαν, οὐδὲ ἐναντιοῦνται αὐτοῦ τῇ περὶ ἡμᾶς φιλανθρωπίᾳ· παιδείας γὰρ καὶ διορθώσεως τὰ μὲν ἐπάγεται, τὰ δὲ συγχωρεῖται, δι' ἀμφοῖν ἀῤῥήτου τε καὶ σοφῆς οἰκονομίας τῷ κρίνειν χαριτωθέντι τὰ τοιαῦτα θεωρουμένης· ταῦτα δὲ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις οὐκ ἔθετο ὁ θεὸς ἐπὶ πάσης λαλεῖσθαι γλώσσης, οὐδὲ προειδέναι τὰ ἐρχόμενα πάντας· διατί; ἵνα μὴ προμαθὼν αὐτὰ καὶ προευρὼν ὁ ἄνθρωπος ἀμελέστερον περὶ τὴν ἀρετὴν διατεθείη· νῦν μὲν ὡς πολλῶν κακῶν καὶ λυπηρῶν συμπτωμάτων ὄπισθεν αὐτὸν καταλαμβάνειν μελλόντων· τίς γάρ μοι τῆς ἀρετῆς λόγος τοσούτων κακῶν καὶ τηλικούτων προσδοκωμένων; εἰς τοῦτο γὰρ τοὺς πολλοὺς ἡ ἀπόγνωσις εἴωθε συνωθεῖν· νῦν δὲ ὡς οὐ πολλῆς καὶ μεγάλης ἀλγηδόνος μελλούσης ἐπισυμβαίνειν, ἑκατέρωθεν καὶ ὑποσκε-

λίζειν οἶδεν ἡ σφαλερὰ τῶν πρακτέων κρίσις, καὶ διὰ τοῦτο μηδὲ πολλῆς νήψεως μήτε τῆς τῶν ἀρετῶν ἐπιμελείας δεῖσθαι· διὰ τοῦτο οὖν ὁ θεὸς τὴν περὶ τῶν μελλόντων λαλιὰν ἄγνωστον ἐποίησε τοῖς πολλοῖς, ἵνα μὴ εὑρὼν ὁ ἄνθρωπος ἃ μέλλει ἐν τοῖς ὄπισθεν αὐτὸν χρόνοις καταλαμβάνειν δυσχερῆ, ἐπὶ μὲν τῶν χαλεπωτέρων ἀμηχανίᾳ καὶ ἀπογνώσει προδοὺς ἑαυτὸν, οὐδὲν πρὸς ἀρετὴν ἐπιστρέφοιτο· ἐπὶ δὲ τῶν μετρίως ἐχόντων ὑπερσψίαν νοσῶν ὡς τῆς τῶν ἐφιεμένων ἀπολαύσεως καὶ τρυφῆς, οὐδὲν ἐλπίζων ἀντεπενεχθήσεσθαι κώλυμα καὶ τὴν πρὸς τὰ κατορθώματα σπουδὴν ὑπερτίθοιτο· ἄλλως τε δὲ ὁ τὸ κριτήριον κεκαθαρμένον πάθους φέρων καὶ ἀδέκαστον τὴν ὑγείαν ὁρᾷ καὶ τὴν νόσον συμφώνως ἔχουσαν περὶ τὴν τῶν ἀνθρώπων βλάβην καὶ ὠφέλειαν· ἀλλὰ καὶ τὸν πλοῦτον καὶ τὴν πενίαν ὡσαύτως, ἰσχύν τε σώματος καὶ ἀσθένειαν, δόξαν τὴν ἐξ ἀνθρώπων καὶ ἀδοξίαν καὶ τὰ τούτοις παραπλήσια· καὶ γὰρ ἑκατέρου μοίρας ἕκαστον τῷ μὲν φιλοσοφεῖν εἰδότι, σωτηρίας ὑπόθεσις γίνεται· τῷ δὲ πρὸς μόνα τὰ ἡδέα καὶ γαργαλίζοντα κεχηνότι, καὶ τὰ ἡδύνοντα βλάβης γίνονται πρόφασις, καὶ τὰ λυποῦντα πρὸς τὴν αὐτὴν καταρρεῖ καὶ ὑποσύρεται κακίαν, οὐκ εὐχαρίστως ταῦτα φέροντος τοῦ διὰ τῶν τοιούτων καθαίρεσθαι δεομένου, ἀλλ' εἰς ἀπόνοιαν μᾶλλον καὶ ἀγανάκτησιν ἐξ ὧν ἔδει σωφρονίζεσθαι, περιτρεπομένου.

Ο. Τίνας δεῖ νοεῖν δερματίνους χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο.

Οἶδα μέν τινας δερματίνους χιτῶνας οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο, ἀποφηναμένους τὸ σῶμα ἐξ οὗ τὸ λογικὸν ζῶον καὶ τῆς ψυχῆς ἀπ' ἀρχῆς ὁ πλάστης τὸν ἄνθρωπον ὑπεστήσατο· ἀλλ' οὗτοι τῆς προκαταλαβούσης αὐτοὺς ὑπολήψεως ἀκόλουθα λέγειν φιλονεικήσαντες, ἀνακολούθῳ γνώμῃ καὶ γνώσει λυμαίνονται τὴν ἀλήθειαν· καὶ γὰρ ὁ παράδεισος αὐτοῖς λόγῳ μὲν πλάττεται, ἔργῳ δὲ διαβάλλεται· ἀλλὰ τὰ τοῦ παραδείσου φυτὰ καὶ ἡ βρῶσις καὶ ἡ διὰ τῆς πλευρᾶς τῆς Εὔας προαγωγὴ, καὶ ἁπλῶς ἡ τῶν ὄντων δημιουργία πᾶσα καὶ πρόοδος καὶ τὸ τῆς θείας κηδεμονίας περὶ τὸν ἄνθρωπον φιλάνθρωπόν τε καὶ θαυμάσιον καὶ τὰς κατὰ διαδοχὴν δὲ τῆς γενέσεως ἀρχὰς, εἰς νοητήν τινα σκηνὴν ἀναφέροντες, οὐδὲ τὴν ἰδίαν ὕπαρξιν καὶ οὐσίωσιν ὤφθησαν εὐλαβούμενοι· ἐκεῖθεν δὲ τὴν τραγῳδίαν ὅλην κατὰ τὴν ἰδίαν πρόθεσιν καταμερίσαντές, τε καὶ ὑποκρινάμενοι καὶ εἰς οἵας ἂν καὶ βούλοιντο μορφὰς καὶ ἐπινοίας διαπλάττοντες, τῶν ὡς ἀληθῶς γεγονότων καὶ ὑπαρξάντων τὸ ἀκόλουθον καὶ μέχρι νῦν ὁρώμενόν τε καὶ γνωριζόμενον ἀναιροῦσιν ἐξομ-

*νύμενοι, θελκτηρίοις μὲν καὶ ἐπαγωγοῖς λόγοις τὰ τῶν πολλῶν ὦτα καταγοητεύσαντες· εἴωθε γὰρ τὰ πολλὰ τῶν πλασμάτων κατ' ἐξουσίαν καὶ πρὸς τὸ ἡδὺ πλαττόμενα ὑπογαργαλίζειν μὲν τὰ τῶν ἀκροατῶν ὦτα καὶ πρὸς ἡδονῆς παρασκευάζειν διάχυσιν, οὔτε δὲ ἑαυτοῖς οὐδὲν ὄφελος, οὔτε τοῖς πειθομένοις οἱ τῶν τοιούτων ἀρχιτέκτονες παρέχειν δύνανται· ἀλλὰ γὰρ τούτους μὲν Ὠριγένης τε καὶ ὁ ὠριγένειος ἐχέτω χορός· ὁ δὲ ἡμέτερος Γρηγόριος ὃν ἡ θεολόγος τε καὶ θεόθεν αὐτῷ δεδομένη περὶ τοῦ πνεύματος παῤῥησία θεολόγον ἀνεκήρυξεν, οὗτος δερματίνους ὀνομάζει χιτῶνας οὐχ οὕσπερ ὁ ὠριγένειος μῦθος ἀνέπλασεν· ἀλλὰ τοὐναντίον τῆς ὠριγενείου δόξης τοὺς ἀνθρώπους μεταβάλλειν μὲν ὅτι μάλιστα ποιούμενος σπουδὴν· σοφῶς δὲ καὶ οἰκονομεῖν εἰδὼς ἐν κρίσει τοὺς λόγους αὐτοῦ εἰς γείτονα μὲν θεωρίαν μεθοδεύει μεταβιβάζειν, κατ' ἐκείνης δὲ τῆς δοξοκοπίας ὀξὺ καὶ δραστήριον ἐπαφιεῖσαν τὸ μέλος, δερματίνους χιτῶνας οὐχὶ τὸ σῶμα καθὰ καὶ προείρηται καλεῖ, ἄπαγε· οὐδὲ γὰρ οὐδ' ὤφθη τοιαύτην τινὰ φωνὴν ἀφιεὶς, ἀλλὰ τὴν τοῦ σώματος παχύτητα καὶ θνητότητα καὶ τῆς προτέρας μακαρίας ἀντίτυπον καὶ ἀντικειμένην διαθέσεως· καὶ γὰρ ὡς ἀληθῶς μετὰ τὴν παράβασιν ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀνευθύνου καὶ μὴ βαρουμένου τῷ σώματι καὶ τῇ θνητότητι σώματος, ἀλλὰ τῶν τῆς σαρκὸς κινημάτων καὶ γαργαλισμάτων καθεστῶτος κρείττονος, τἀναντία τούτοις μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ οἷα δὴ χιτῶνα τοῖς εἰρημένοις κατάστικτον πάθεσι καὶ ῥυπῶντα μετημφιάσατο· ἀλλ' ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ τοὺς ἐξ Ὠριγένους ἀναφῦντας οὕτω πρᾳότερόν τε καὶ φιλανθρωπότερον μεθέλκων καὶ μεταβιβάζων πρὸς τοὺς εὐσεβεστέρους λογισμοὺς, τοιούτους εἶναι τοὺς δερματίνους χιτῶνας οὐδὲ χωρὶς ὑπέθετο διστάζοντος ἐπιῤῥήματος.*

*Σὺ δὲ τί λέγεις; τὸ μὲν ἴσως πρῶτον γελᾷς, τάχα δ' ἂν μᾶλλον δυσχεραίνεις μύθῳ κλεπτομένην ἀκούων τὴν ἀλήθειαν· τοῦ δὲ θεολόγου οἶμαι τὴν οἰκονομίαν καὶ μέθοδον οὐκ ἀτιμάσαιο· οὐδὲ ἠγνόει τὰ ἀπὸ τῆς συκῆς φύλλα οἷς οἱ περὶ τὸν Ἀδὰμ τὴν ἀπὸ τῆς γυμνώσεως ἀσχημοσύνην εἰς τὸ εὔσχημον περιέστελλεν· οὐδ' ὅτι προφθάνει μὲν τὰ τῆς συκῆς φύλλα τῆς αἰδέσεως τὴν καταφυγὴν παρασχεῖν, οἱ δὲ χιτῶνες ὕστερον οἱ δερμάτινοι τὴν ἐκείνων κατὰ διαδοχὴν χρείαν ἀνεπλήρωσαν· καὶ γὰρ μετὰ τὴν προτέραν περιβολὴν καὶ τὰ φύλλα τῆς συκῆς, τοὺς δερματίνους χιτῶνας ὁ θεὸς αὐτοῖς ἐποιήσατο· ποῦ τοίνυν οἴεσθαι δεῖ τὸν θεολογικώτατον ταῦτα καὶ θεοπτικώτατον διδάσκαλον ἀγνοεῖν; ἀλλὰ μὴ λέγειν μᾶλλον οἰκονομεῖν τε καὶ τῶν ἄλλων σωτηρίαν μεθοδεύειν, δι' ὧν ὁ τότε συνέτρεχε καιρὸς, μηδεμιᾶς ἐπακολουθούσης αἱρετικῆς ἐπισπορᾶς ἢ σκολιότητος· ἄν τε γὰρ τὰ φύλλα τῆς συκῆς τοὺς περὶ τὸν Ἀδὰμ εὐλαβου-*

μένους τὴν αἰδῶ ὑπεδείκνυεν, ἄν τε μετὰ ταῦτα χιτῶνας ἐκ δερμάτων αὐτοῖς ὁ Θεὸς ἐπεποίητο, τῆς αἰδέσεως χαριζόμενος παραμύθιον, οὐδὲν ἧττον εὐσεβοῦντός ἐστι λέγειν ὡς μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ καθελκομένην τῷ βάρει τοῦ παραπτώματος καὶ τῆς πρότερας ἀντίθεόν τε καὶ ἀντίτυπον ἠμφιάσατο. Πόθεν δ' ἂν ἴσως ἐπαπορήσειε, οἱ δερμάτινοι προῆλθον χιτῶνες; ἀλλ' ἐπειδὰν ἀκούσας τὸν νοῦν ἐπιστήσεις, ὅτι καὶ ἐποίησεν ὁ Θεὸς τοῖς περὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους, αὐτίκα σύνδρομον οἶμαι τῆς ἀπορίας εὑρεῖν καὶ τὴν λύσιν· ὁ γὰρ ἐκ μὴ ὄντων οὕτω φιλοτίμως τε καὶ πολυτελῶς προαγαγὼν τὸν ἄνθρωπον, οὗτος καὶ δερματίνους χιτῶνας ἐκ τοῦ μὴ ὄντος ποιήσασθαι καὶ περιβολὴν αὐτῷ κατασκευάσαι ἐκ τοῦ ῥάστου, μᾶλλον ἂν τοῖς λογισμοῖς ἀδίστακτον πίστιν ἐντίθησιν· εἰ δὲ καὶ δοραῖς τισι ζώων, ταῦτα γὰρ προϋπέστη τὴν χρείαν τῆς περιβολῆς αὐτοῖς ἀναπληρῶσαι, λογισμὸς ἀνεκίνησε· θεοῦ σοφίζοντος αὐτοὺς πρὸς τὴν οἰκείαν εὐκοσμίαν τε καὶ σωτηρίαν διανίστασθαι, οὐδὲ τοῦτο πόῤῥω τῆς θείας κηδεμονίας, οὐδ' ἀνάξιον αὐτοῦ τῆς πολλῆς περὶ τὸ γένος ἡμῶν ἀγαθότητος. Ἀλλὰ ταῦτα μὲν ὁ κεφαλαιώδης ἐπιτρέπει λόγος. Εἰσὶ δέ τινες οἱ πρὸς μηδὲν τούτων ἀφορᾶν βουλόμενοι μηδὲ σπουδάζοντες, τὰς τῶν δένδρων περὶ τὸν φλοιὸν ἐπιδερμίδας δερματίνους χιτῶνας ἐνόμισαν, ὥσπερ τῶν δερμάτων τῶν ἀπὸ τῶν ζώων ἐνδεεστέραν ἢ ἀτιμοτέραν τῆς περιβολῆς τὴν χρείαν παρεχομένων· καίτοι φλοιοῦ παντὸς εὐαφεστέρων τε καὶ μαλακωτέρων καὶ τὸ ὅλον εἰπεῖν ἐπιτηδειοτέρων πολλαῖς διαφοραῖς ὑπαρχόντων.

ΟΑ. Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον κ. τ. λ.

Τὸ παρὸν χωρίον διαφόροις ἑρμηνείαις ὑποβάλλεσθαι δύναται, τοῦτο μὲν τῆς ἀναγνώσεως διαφορὰς προβαλλομένης δύο· τοῦτο δὲ τοῦ ῥητοῦ διαφόρους τρόπους σχημάτων ἀναδέχεσθαι πεφυκότος· ἀλλὰ γὰρ καὶ τὸ, πρός σε ἡ ἀποστροφὴ αὐτοῦ ἐπὶ διαφόρων πραγμάτων οἰκείως ἔχει παραλαμβάνεσθαι· ἡ μὲν οὖν κατὰ τὴν ἀνάγνωσιν διαφορὰ εἴς τε τὸν ἐρωτηματικὸν τύπον καὶ ἀποφαντικὸν καταμερίζει τὸ λόγιον· οἷον· οὐχὶ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, καὶ σοὶ γνώριμόν ἐστι καὶ ἀναμφίβολον ὅτι ἥμαρτες; καὶ ὅσα τὴν φιλάνθρωπον σοφίαν τοῦ Θεοῦ, κριτὴν αὐτὸν καθίζει τὸν ἡμαρτηκότα τοῦ ἀδικήματος, ἵνα τοὺς οἰκείους λογισμοὺς ἐκεῖνος εὑρὼν φέροντας αὐτῷ τὴν κατάγνωσιν, μᾶλλόν τε πρὸς μετάνοιαν δράμῃ καὶ τὴν ἄφεσιν θᾶττον συνεπισπάσηται· καὶ ἡ ἀπόκρισις δὲ τὸ ἐναργὼς προβαλλομένη τῆς συγκαταθέσεως, οὐδὲν ἔλαττον τῇ σιωπῇ

τὸ βούλημα περαίνει τοῦ ἐρωτήσαντος, καὶ τὴν ἁμαρτίαν ὁμολογοῦντα τῷ μηδὲ στόμα διᾶραι καὶ φωνὴν ἀφεῖναι θαῤῥεῖν καὶ μὴ βουλόμενον τὸν ἡμαρτηκότα ἐπιδείκνυσι· καὶ γὰρ εἴωθε ταῖς ἐρωτήσεσιν αἷς ἡ ὁμολογία καὶ συγκατάθεσις τῶν ἐρωτωμένων περιφανῶς τε καὶ ἀδιστάκτως ἕπεται οὐδὲν ἔλαττον ἡ ἀποσιώπησις ἔχουσα τὴν ἰσχὺν ἀλλὰ μᾶλλον τῆς ἀπαγγελλούσης φωνῆς τὴν συγκατάθεσιν· καὶ τὸν ἔλεγχον ἂν ἄρα τοῦτο βούλεται ὁ ἐρωτῶν, δριμύτερόν τε ποιεῖ καὶ ἐπικρατέστερον· σχῆμα μὲν οὖν ἐρωτήσεως ἀναδεχόμενος ὁ λόγος τὴν προκειμένην ἀπαγγέλλει διάνοιαν· τῷ ἀποφαντικῷ δὲ εἴδει μορφούμενος οὐχ ἑνὶ καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς φωνῆς ἀπαγγέλλεται· ἐπείπερ καὶ διαφόροις τρόποις τῆς συνθέσεως δι' ἧς αἱ λέξεις ἀλλήλαις ἁρμόζονται, ἐθέλει προάγεσθαι· ἢ γὰρ ὁ ἀποφαινόμενος ἀποφαίνεται, ὡς οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς· οἷον ὅτι οὐκ ὀρθῶς προσήνεγκας ὅτι μηδὲ διεῖλες ὀρθῶς· ἢ ὅτι ἐπεὶ μὴ διεῖλες ὀρθῶς, κἂν ὀρθῶς προσενεγκεῖν ἔδοξας, ἥμαρτες· τὴν γὰρ τοῦ μὴ διελεῖν ἁμαρτίαν, τὸ τῆς προσενέξεως ὀρθὸν οὐ διωρθώσατο· τὸ μὲν οὖν, ἥμαρτες, ἡ μὲν ἐρώτησις κατὰ συνέπειάν τε καὶ συνέχειαν ἀπαγγέλλει τῶν προτεταγμήνων λέξεων· τῶν δὲ κατὰ ἀπόφασιν προενηνεγμένων, ἑκάτερος λόγος κατὰ διαστολὴν ἐπιφέρει τοῖς προλαβοῦσι τὸ, ἥμαρτες· διὰ τοῦτο δὲ ὁ μὴ διελὼν ὀρθῶς, κἂν ὀρθῶς ἔδοξε προσενεγκεῖν, οὐδεν ἔλαττον ἥμαρτε· διότι οὐ μᾶλλον τὸ κατορθωθὲν ἀφαιρεῖται τὸ φθάσαν ἁμάρτημα· ἀλλὰ τὸ διαμαρτηθὲν διαβαῖνον καὶ πρὸς τὸ δόξαν ἐκφυγεῖν τὴν ἁμαρτίαν, εἰς τὸ ὑπεύθυνον συνεφέλκεται· καὶ γὰρ πολλάκις ἀγαθὸν κακοῦ προηγούμενον καὶ φαῦλον ἀμείνονος, οὐ μεταδίδωσι μᾶλλον τῆς οἰκείας καλλονῆς τὸ κρεῖττον τῷ χείρονι, ἀλλὰ συνεκφαυλίζεται ὡς ἐπίπαν τῇ τοῦ χείρονος φαυλότητι· καὶ ὁ καθαρὸς δὲ ἁπτόμενος ἀκαθάρτου παρά γε αὐτῷ τῷ θεόθεν σοφισθέντι τοῦ κόσμου τὴν γένεσιν μεταδίδωσί γε τῆς καθαρότητος παρ' ᾧ καὶ τὸ βέβηλον μᾶλλον τῷ ἁγίῳ προσαπτόμενον, πρὸς τὴν βεβήλωσιν συνεφέλκεται, ἢ τοῦ ἁγίου μεταλαμβάνει τῆς ἁγιότητος· ἀλλ' οὕτω μὲν ἂν διευκρινηθείη τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;

Τὸ δὲ, ἡσύχασον, καὶ μὲν καὶ τὸ, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις· τὸ μὲν, ἀρκέσθητι φησὶ τῷ προλαβόντι κακῷ, μηδ' ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ προσθῇς, μηδὲ κακῷ τὸ κακὸν κατασκευάσῃς ἀνίατον, ἀλλ' ἐν τῷ ἡσύχῳ τε καὶ ἀταράχῳ τῆς κρίσεως τὸ καθ' ἑαυτὸν σκοπήσας καὶ τὸ μέγεθος τοῦ ἁμαρτήματος συνεὶς· τὶ γὰρ μεῖζον εἰς ἀπόνοιαν τῆς ἰδίας ἡδονῆς τὸ θεῖον σέβας παριδεῖν; τῆς μετανοίας γενοῦ καὶ διὰ θεοσεβείας εἰλικρινοῦς καὶ εὐγνωμοσύνης τὸ πλημμεληθὲν ἐξιλέωσαι, σαυτὸν ἀνωρθώσας τοῦ πτώματος· τὸ δὲ καὶ σὺ αὐτοῦ ἄρξεις, καθ' ἑτέ-

ραν μὲν ἐκδοχὴν, οὐδὲ τὸ σόν φησιν οὐ προσδεχθὲν δῶρον εἰς ἕτερον παραπέμπεται, οὐδὲ τινά σοι ζημίαν τὸ ἀπρόσδεκτον προξενεῖ, ἀλλὰ πρὸς σε πάλιν ἀποστρέφεται· καὶ σὺ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυριότητα ὡς καὶ πρότερον ἕξεις· οὐδεμίαν ἐκ τῆς προσαγωγῆς, πλὴν ὅσα γε ἡ ἁμαρτία ἐλυμήνατο, ζημίαν ὑποστάς· ἀλλ' εἰ μὲν ἐπὶ τοῦ προσενεχθέντος, καὶ σὺ αὐτοῦ ἄρξεις, ἐξακοῦσαι τις τὸ λόγιον ἐθέλοι, τοιαύτην τινὰ τὴν ἀνάπτυξιν εὑρήσει. Εἰ δὲ καθ' ἑτέραν ἐπιβολὴν καὶ ἐπὶ τοῦ Ἄβελ, ὃς ὀρθῶς τε διεῖλε καὶ τὸ δῶρον προσήνεγκεν ὀρθῶς καὶ τὴν ἄνωθεν εἵλκυσεν ἀποδοχὴν, ὧδε ἂν ἡ θεωρία προέλθοι· οὐδὲν φησὶν ἐκ τοῦ προκριθῆναι τὴν τοῦ ἀδελφοῦ θυσίαν ἐπὶ τοῖς ἐκ γενέσεως προνομίοις ἠλάττωσαι· οὐ δέ τις ἐπῆλθε σοι δίκη τῆς φαύλης διαιρέσεως τῆς προτέρας κατὰ τὸν βίον δόξης καθέλκουσα· οὔτε γὰρ τῶν πρωτοτόκων ἀντὶ τοῦ πλημμελήματος εἰσεπράχθη τὴν ἀφαίρεσιν, οὔτε ὑπὸ χεῖρα τελεῖν κατεκρίθης τοῦ ἀδελφοῦ, ἀλλὰ μένει σοι τὰ ἀπὸ τῆς γενέσεως δίκαια καὶ τῆς τῶν πρωτοτόκων τιμῆς τὸ ἀξίωμα· καὶ πρὸς σὲ ἡ ἀποστροφὴ τοῦ ἀδελφοῦ σου ἔσται· τουτέστι σὲ καταφυγὴν καὶ βοηθὸν βλάβης αὐτῷ προσιούσης ἀλλαχόθεν προσήσεται· καὶ σὺ αὐτοῦ τὴν ἡγεμονίαν ὅσα γε χαρίζεται ὁ πρωτότοκος, ἕξεις· μόνον τοῖς πλημμεληθεῖσιν ἐφησύχασον· μηδὲ τραγῳδίαν πρῶτος ἀσυγγνώστου πλημμελήματος εἰσάξεις τῷ βίῳ· μηδὲ τὰ πρωτοτόκια τῆς γενέσεως πρωτοτόκια φιλονεικήσῃς ποιῆσαι μεγίστου καὶ ὀλεθριοτάτου παραπτώματος· ἵνα μὴ σαυτὸν ἁπάντων στερήσῃς, ὧν τε ἡ φύσις τῇ φιλανθρωπίᾳ τοῦ δημιουργήσαντος ἐδωρήσατο, καὶ οἷς ἔμελλες μετανοῶν ἀγαθοῖς ἐνευθηνεῖσθαι καὶ τῆς προνοίας διὰ βίου τῶν πολυτρόπων εὐεργεσιῶν ἔχειν τὴν ἀπόλαυσιν.

ΟΒ. Τοῦ θεσπεσίου Παύλου λέγοντος· Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε, σωθήσεται διὰ τῆς τεκνογονίας κ. τ. λ. πῶς δεῖ νοεῖν τὸ σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα.

Παραινῶν ὁ τοῖς πᾶσι πάντα γινόμενος Παῦλος τὸ δεῖν ὑποτετάχθαι τὴν γυναῖκα τῷ ἀνδρὶ, καὶ μανθάνειν μᾶλλον ἢ διδάσκειν ἐπιχειρεῖν, ἐξ ἄλλων τε πολλῶν τὴν παραίνεσιν ὅτι καὶ δικαία παρέστησε καὶ συμφέρουσα· καὶ νῦν δὲ διότι φησὶ πρῶτος ἐπλάσθη τῆς γυναικὸς ὁ ἀνήρ· εἶτα καὶ ἡ μείζων αἰτία· καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἀλλ' ἡ γυνὴ τῷ δελέατι περιχανοῦσα καὶ τῷ τῆς ἀπάτης ἀγκίστρῳ περιπαρεῖσα τὴν ἀπ' αὐτοῦ πληγὴν καὶ βλάβην εἰς τὸν ἄνδρα διεβίβασε· διόπερ ἀνεπιτήδειον τῇ γυναικὶ τὸ διδάσκειν· καὶ γὰρ διδάσκειν προαχθεῖσα τὸν ἀρχηγὸν ἡμῶν τοῦ γένους τοῦ παραδείσου ἐξέβαλε· διὰ τοῦτο μὲν εἴρηται τὸν Ἀδὰμ μὴ απα-

δίας καὶ τῶν σοβαρῶν ἐνθυμήσεως διά τε τῆς ἐν τοσούτῳ χρόνῳ διαμονῆς καὶ παραστάσεως· καὶ διότι μηδὲν ἐξαλλάττουσα ὤφθη τῶν ὑπὸ τῆς προνοίας αὐτῇ κεχαρισμένων· σοῦ τοῦ λόγῳ τιμηθέντος διὰ τῆς περὶ τὰ μάταια σπουδῆς καὶ φιλονεικίας, πάντα τἀναντία τῆς δημιουργικῆς διαπραξαμένου κηδεμονίας, καὶ ἀνεπισχέτῳ ῥύμῃ φερομένου πρὸς ἅ τε νόμοι θεῖοι διεκώλυον, καὶ θεσμοὶ φύσεως ἄνωθεν καταβληθέντες ἐδυσχέραινον, ὕβριν ἀφόρητον τὴν σὴν κενοσπουδίαν καὶ τὸ ὀξύῤῥοπον περὶ τὰ μάταια φέροντες· ὡς δι' αὐτῶν τῆς διαβολῆς παραπεμπομένης εἰς τὸν πανσόφως τε καὶ φιλανθρώπως, καὶ οὗ μή ἐστι μήτε φιλανθρωπότερον μήτε ἄμεινον, μήτε λόγῳ φράσαι μήτε λογισμοῖς ἀναπλάσαι δημιουργήσαντά τε καὶ προνοησάμενον τὰ ἡμέτερα. Ἀλλὰ γὰρ σοὶ μὲν ἴσως ἱκανὰ καὶ ταῦτα· εὑρεῖν δ' ἔστιν ἐνίους γενεὰν μὲν ἐκπορευομένην καὶ ἐκβαλλομένην, τὸ Ἰουδαίων γένος ἐκλαμβάνοντας, γενεὰν δὲ ἐρχομένην καὶ διαμένουσαν τὰ τέκνα τῆς χάριτος ἅτε δὴ τοῦ θείου σπόρου καὶ τῆς κατὰ Χριστὸν γεωργίας ἀναβλαστήσαντα· γῆν δὲ εἰς τὸν αἰῶνα ἑστᾶναι τήν τε παλαιὰν καὶ νέαν γραφήν· ὅτι τε τὸ καρποφόρον τῶν ἀρετῶν ὁρᾷν ἔστιν αὐταῖς ἀνευθηνούμενον, καὶ τῶν νόμων καὶ τῶν ἐπαγγελιῶν τὸ δι' αἰῶνος ἀκίνητον· ὧν τὰς μὲν τοῖς δικαίοις ἀπενείμαντο, ταῖς δὲ τοὺς ἁμαρτωλοὺς καὶ ἀμετανόητα πλημμελήσαντας παραπέμπουσιν.

ΞϚ. Τίνα νοῦν ἀναπτύσσει τὸ, ἔστι δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ, καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.

Δίκαιος μὲν ὡς φοῖνιξ ἀνθήσει καὶ ὡς ἡ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· δι' ἑκατέρας λέξεως τῆς δικαιοσύνης τὸ κέρδος, καὶ τῶν καλῶν ἡ εὐφθονία τε καὶ εὐθηνία διαγγέλλεται, διά τε τοῦ ἀνθήσει δηλονότι καὶ τοῦ πληθυνθήσεται· οὗτος ὁ δίκαιος κἂν μαστίζηται, κἂν στρεβλοῦται, κἂν πάσχῃ τὰ ἀλγεινότερα, κἂν πρὸς σφαγὴν, κἂν πρὸς θάνατον, κἂν πρὸς σταυρὸν ἀπάγηται, οὐδὲν ἧττον ὡς φοῖνιξ ἀνθεῖ καὶ ὡσεὶ κέδρος πληθυνθήσεται, πολλαπλασίω τῶν πόνων καὶ παθημάτων τὴν ἀπόλαυσιν εὑρίσκων, καὶ τοῖς ἀδιηγήτοις ἀγαθοῖς ἐντρυφῶν τε καὶ ἀνευθηνούμενος· Τίς οὖν ἐστιν ὁ δίκαιος ὁ ἐν τῷ δικαίῳ αὐτοῦ ἀπολλύμενος, καὶ τίνα τρόπον ἀπόλλυται; ἢ δηλονότι ὁ τοῦ δικαίου μὲν ἁρπάζων καὶ κατασχηματιζόμενος τὴν κλῆσιν καὶ τὸ πρόσωπον, ἐν αὐτῇ δὲ τῇ μηχανῇ αὐτοῦ καὶ περιεργίᾳ διολλύμενος· οὐ γὰρ ἁπλῶς εἶπεν ἐν τῷ δικαίῳ ἢ ἐν τῇ δικαιοσύνῃ ἀπολλύμενος, ἀλλ' ἐν τῷ δικαίῳ αὐτοῦ ὃ ἐκεῖνος δίκαιον ἐμηχανήσατο εἶναι, τὸ τοῦ δικαίου πρόσωπον οὐκ ἐξ ὧν ἦν, ἀλλ' ἐξ ὧν ἐσχηματίζετο, περιβαλλόμενος· ὁ τοιοῦτος οὖν δίκαιος κἂν πάντες αὐτὸν

ὑμνῶσιν; κἂν πάντες αὐτῷ τὸ δίκαιον ἐπικροτῶσιν; ἐν αὐτῷ τῷ σχήματι τῆς δικαιοσύνης αὐτοῦ καὶ τῷ ὀνόματι πρὸς τὴν ἐσχάτην ἀδικίαν καὶ ἀπώλειαν καταφέρεται· τίς γὰρ μείζων κλοπὴ τὴν τοῦ δικαίου κλέπτειν προσηγορίαν τοῖς ἀδίκοις ἀνακείμενον; τί δ' ἀναιδέστερον ἔρωτι σεμνύνεσθαι τῆς καλλίστης τῶν ἀρετῶν, καὶ δι' ἁπασῶν αὐτῶν διηκούσης καὶ τὴν συμφωνίαν ἀποτελούσης ἐναρμόνιον, πρὸς ἣν οὐδενὸς διάκειται δυσμενέστερον; ἆρ' οὖν ὁ τοιοῦτος οὐκ ἐν τῷ αὐτοῦ δικαίῳ δικαίως ἀπόλλυται; ζητῶν ἃ μὴ ἔχει δεικνύναι, καὶ πρὸς ἃ διαβέβληται ἀπατᾷν τοὺς ἄλλους τῇ προσποιήσει ὅτι στέργει ταῦτα μηχανώμενος· καὶ πρὸ τῶν ἄλλων, ἑαυτὸν πολλῷ κάκιον καὶ ἀθλιώτερον· καὶ γὰρ ἐξ ὧν μὲν καταφεύγειν πρὸς τὸ δίκαιον σχηματίζεται, αὐτὸς γινώσκων καὶ ἄκων ὁμολογεῖ τὸ χεῖρον προελέσθαι τοῦ κρείττονος· οὐ γὰρ ἂν ἐζήτει μορφὴν ἀλλοτρίαν περιθέσθαι δι' ἧς τὴν οἰκείαν ἐπικρύψειεν· εἶτα καὶ ἔστι ἀσεβὴς μένων ἐν τῇ κακίᾳ αὐτοῦ· ἄλλος οὗτος λογισμὸς καὶ ἄλλη τοῦ Σολομῶντος πρὸς τὰ πρότερον διάνοια παραλλάσσουσα· ἐκεῖ μὲν γὰρ τὸν νομίζοντα ἑαυτὸν δίκαιον εἶναι, μὴ ὄντα δὲ ἐν αὐτῇ λέγει τῇ ματαίᾳ ὑπολήψει καὶ μηχανουργίᾳ διόλλυσθαι· ἐνταῦθα δὲ, οἷς μὲν ὁ κατεσχηματισμένος ἐκεῖνος δίκαιος περιέπιπτε· καὶ τὸν ἀσεβῆ τούτοις ἐνέχεσθαι εἰδὼς, ὅμως οὐκ ἐξ ἐκείνων αὐτοῦ διελέγχει τὴν πονηρίαν καὶ ἀθεότητα, ἀλλ' ἐξ αὐτῆς τῆς ἐπὶ τὸ ἀσεβεῖν διαμονῆς καὶ οἰκειώσεως· δι' οὗ καὶ τὴν ἐσχάτην δίκην καὶ ἀπώλειαν ἀπηνέγκατο· ὁ γὰρ μὴ πιστεύων εἰς τὸν υἱὸν θεοῦ, ἡ ἐνυπόστατος εἶπεν ἀλήθεια, ἤδη κέκριται· ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ· δῆλον δὲ ὅτι περ ἡ εἰς τὸν υἱὸν ἀπιστία καὶ τὴν τῶν ὁμοφυῶν καὶ ὁμοουσίων πατρὸς καὶ πνεύματος συνεισάγει ἀπιστίαν· ὥσπερ καὶ τῇ πίστει συνακολουθεῖν εἴωθεν ἡ πίστις. Φησὶν οὖν ὁ σωτὴρ ὡς τῷ βλασφημήσαντι εἰς τὸ πνεῦμα τὸ ἅγιον, τουτέστιν εἰς μίαν τῶν ὑπερφυῶν καὶ ζωαρχικῶν καὶ ὁμοφυῶν ὑποστάσεων τῆς παντοκρατορικῆς τε καὶ δημιουργοῦ θεότητος, τούτῳ κἂν τῶν ἀρετῶν τῷ ἔρωτι τῶν παθῶν δοκεῖ εἶναι τὸ ἀνεύθυνον, οὐμενουν οὐκ ἀφεθήσεται τὸ ἁμάρτημα οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι.

### ΞΖ. Πῶς νοητέον τὸ, εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν.

Ἐνταῦθα τὸ, συνίστησι, τῷ θεσπεσίῳ Παύλῳ εἴρηται οὐχὶ προκαταρκτικὸν αἴτιον, ἢ ὅλως αἴτιον τῆς τοῦ θεοῦ δικαιοσύνης τὴν ἡμῶν ἀδικίαν δογματίζοντι· ποῦ γὰρ τοῦτο λογισμὸς οὐκ ἀφῃρημένος τὸ αὐτεξούσιον, οὔτε περιυβρισμένος τὸ κατ' εἰκόνα, περὶ τοῦ θείου Παύλου λογίσασθαι

δύναται; ἀλλὰ τὸ συνίστησι, νῦν ὅτι ἀντὶ τοῦ καθίστησιν ἐμφανῆ παρείληπται, πᾶσιν ἐπιγινώσκεσθαι ποιεῖ· οὐδὲ γὰρ οὐδὲ τὴν εἰς ὕπαρξιν προαγωγὴν νυνὶ τὸ τῆς λέξεως σημαίνει· οὐδὲ τῆς ἀδικίας ἡμῶν καρπός ἐστιν ἡ τοῦ Θεοῦ δικαιοσύνη· οὐ μὲν οὐδὲ ἐν ἀπορίας ὡς ἄν τισι δόξειε προάγεσθαι σχήματι καιρὸν εὑρίσκει· πρὸς χλεύην γὰρ καὶ οὕτω τυπούμενον καταλήγει· καὶ πρὸς τὸ μάταιον ἀποφέρεται· καὶ γὰρ καὶ τὸ σχῆμα τῶν ἀποριῶν, δι' ἐρεύνης εἴωθε βαθυτέρας καὶ τὸ ἐπιπροσθοῦν ἀποτίθεσθαι καὶ τὸ σαφὲς διαλύεσθαι· ὅσα δὲ τοῦ ἀτόπου τὸν ἔλεγχον ἔχει προφαινόμενον, πρόχειρόν τε καὶ ἐμφανεστάτην τὴν κατάγνωσιν συνεπάγεται· ταῦτα δὲ ἄρα οὐδ' εἰς ἀπορίας τύπον σχηματίζεσθαι παῤῥησιάζεται, φλυαρίας δὲ ἅμα καὶ ματαιολογίας σπουδάσματα διελέγχεται· ὅτι δὲ τὸ συνίστησιν ἀντὶ τοῦ κατάδηλον ἐργάζεται παρείληπται, ἐμφανῆ παρασκευάζει πᾶσιν ἐπιγινώσκεσθαι, αὐτὸς ἑαυτοῦ μάρτυς ὁ τῆς ἀληθείας κήρυξ καὶ παρίσταται καὶ τὴν διδασκαλίαν ἡμῖν ἐμφανεστάτην διὰ τῆς μαρτυρίας παρέχεται· καὶ γὰρ ῥωμαίοις γράφων φησί· συνίστημι δὲ ὑμῖν φοίβην τὴν ἀδελφὴν ἡμῶν οὖσαν διακόνον τῆς ἐκκλησίας τῆς ἐν Κεγχρεαῖς· δῆλον γὰρ ὡς ἀντὶ τοῦ παρατίθημι παρείληπται τὸ, συνίστημι· ἐπιγινώσκεσθαι βούλομαι, γνωρίζεσθαι ταύτην ὑμῖν παραινῶ· διὰ τί; ἵνα αὐτὴν προσδέξησθε ἐν κυρίῳ ἀξίως τῶν ἁγίων· ὥσπερ οὖν ἐνταῦθα τὸ συνίστημι, οὐκ ἀντὶ τοῦ ὑφεστᾶναι οὐδὲ πρὸς ὕπαρξιν ἄγειν παραλαμβάνεται ἀλλὰ τὸ γινώσκεσθαι καὶ γνωρίζεσθαι καὶ ἐμφανῆ καθεστᾶναι τοῖς ἐν Ῥώμῃ τὴν μακαρίαν Φοίβην ἐπισημαίνεται, οὕτω κἀνταῦθα· πῶς δὲ ἡ ἀδικία ὑμῶν τὴν τοῦ Θεοῦ δικαιοσύνην παρίστησιν; ὡς τῷ φωτὶ τὸ σκότος παρατιθέμενον μᾶλλον αὐγάζειν ἀποβλέποντας, ὡς τὸ πικρὸν τῷ γλυκάζοντι γλυκυτέραν ἐμποιοῦν τῇ γεύσει τὴν τοῦ γλυκέος ποιότητα· ὡς τὸ τραχὺ καὶ πλῆττον τὴν ἀφὴν μᾶλλον ἡμᾶς διατίθησιν τὴν τοῦ λείου ἰσότητα καὶ ὁμαλότητα ἐπαισθάνεσθαι· ὡς τὸ ψεῦδος ἐμφανεστέραν τε καὶ ποθεινοτέραν καὶ μᾶλλον αἱρετωτέραν ἀποφαίνει τῇ παραθέσει τὴν ἀλήθειαν· ὡς ἑκάτερον τῶν διαφοραῖς ἀντιτεταγμέναις πῤῥωτέρω διεστώτων ἀπ' ἀλλήλων, τὸ μὲν τὴν φαυλότητα τοῦ χείρονος ἐπὶ πλέον διελέγχει, τὸ δὲ τὴν τοῦ κρίνοντος ἐμφανίζει ἀγαθότητα· καὶ γὰρ ἀφ' ἑκάστου τῶν ἀντικειμένων ἐπὶ θάτερον οἱ μεταβαίνοντες ἀπὸ μὲν τοῦ χείρονος τὴν τοῦ κρείττονος ὑπερβολὴν, ἀπὸ δὲ τοῦ κρείττονος τὴν τοῦ ἀντικειμένου φαυλότητα· ὥσπερ δι' αἰσθήσεως τῶν αἰσθητῶν· οὕτω δὴ οὕτω καὶ τῷ πανσόφῳ Παύλῳ εἰ καὶ κατὰ σχῆμα διαπορουμένης ὑποθέσεως· ὡς τὴν τοῦ Θεοῦ δικαιοσύνην, ἡμῶν ἡ ἀδικία συνίστησιν· διὸ καὶ συνάψας τοῖς προλαβοῦσι τὸ, μὴ ἄδικος ὁ Θεὸς ὁ ἐπιφέρων τὴν ὀργήν; ἐπάγει τὸ, μὴ γένοιτο· διατί; διοτὶ οὐχὶ εὐγνωμονούντων ἡμῶν καὶ θεραπεύειν τὸ θεῖον ζητούντων, ἡ ἀδικία ἡμῶν

διαμαρτυρομένη καὶ κηρύττουσα τὴν δικαιοσύνην αὐτοῦ ἐνεφάνισεν, ἀλλ' ὃν τρόπον εἴρηται τὴν ἀγαθότητα διὰ τῆς κακίας ἐμφανεστέραν καθίστασθαι· τὰ δὲ ἑξῆς τοῦ χωρίου δυσθεώρητα ἰδιαιτέρας ἴσως ἐπιλύσεως, τῆς θείας προνοίας εὐμενέστερον ἡμῖν ἐφορώσης, οὐκ ἀποτεύξεται.

ΞΗ. Τὸ, ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν, καὶ ἔτη πολλὰ ζήσεται, καὶ πλῆθος ὅτι ἔσονται ἡμέραι ἐτῶν αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης· καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ, εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἔκτρωμα· ὅτι ἐν ματαιότητι ἦλθε, καὶ ἐν σκότει τὸ ὄνομα αὐτοῦ καλυφθήσεται· καί γε ἥλιον οὐκ εἶδε καὶ οὐκ ἔγνω· ἀνάπαυσις τούτῳ ὑπὲρ τοῦτον· τοῦτο δὴ τὸ ῥητὸν τίνα διάκρισιν καὶ σαφήνειαν ἐπιδείξασθαι δύναται;

Ἡ πολυπαιδία τοῖς ἐν κόσμῳ οἷα δὴ μέγα χρῆμα φιλοτιμώτερον ἐσπουδάζετο, ὡσαύτως δὲ καὶ τὸ πολυχρόνιον· καὶ γὰρ πολλαχοῦ τοῖς φυλάττουσι τὰ τοῦ κυρίου δικαιώματα, τὸ πολυχρόνιον εἰς ἀντιμισθίαν ὑποτείνεται· ἐὰν οὖν τίς φησιν ὁ Σολομὼν καὶ τῇ πολυπληθείᾳ τῶν τέκνων καθ' ὑπερβολὴν τῶν ἄλλων ἀνθρώπων ὑπερέζῃ καὶ τῷ πολυχρονίῳ τὴν ζωὴν παρατεινομένην ὅτι μάλιστα ἕξει· τὰ δ' ἄλλα πονηρίαις τὸν βίον κακύνῃ, τῆς ἀγαθότητος τῇ ἀπολαύσει μὴ ἐμπιμπλῶν αὐτοῦ μηδὲ διακοσμῶν τὴν ψυχὴν, καὶ διὰ τοῦτο ἴσως μηδὲ ταφῆς ἀξιωθῇ, ὁ τοιοῦτος ἀνὴρ πολλῷ χείρων καὶ δικαίως ἂν λογισθήσεται τοῦ ἐκτρώματος· τὸ μὲν ἔκτρωμα ἥλιον οὐκ εἶδεν, οὐκ ἔσχεν οἷς ἂν ἐπεῖδε τε τὰ ὄντα καὶ τῶν πράξεων τὰς ἀμείνους προείλετο· ὁ δὲ τούτοις ἅπασι τιμηθεὶς καὶ πολυπληθείᾳ παίδων εὐφρανθεὶς καὶ ἀπολαύσας τῆς μακροβιότητος, ἐπεὶ τῆς ἀγαθότητος οὐ μετέσχεν, οὐδὲ τρυφῶν ἀπέσχετο τῆς φαυλότητος καὶ ἡ ταφὴ κατ' ἀξίαν τούτοις ἠκολούθησεν· εἰκότως δὲ τῆς χειρόνος οὗτος μᾶλλον μοίρας ἢ ἐκεῖνο λογισθήσεται· καὶ γὰρ οὗτος τὸν ἥλιον ὁρῶν ἐν τῷ σκότει ἐπορεύετο, καὶ τὸ ὄνομα λαμπρὸν καταλιπεῖν διὰ τῶν σπουδαίων ἔργων δυνάμενος, ἐν τῷ ζόφῳ τῶν ἁμαρτημάτων ἀπέρριψε σβέννυσθαι καὶ συγκατορύττεσθαι τῇ ματαιότητι. Καὶ ἄλλη δὲ τούτου πρὸς τὸ ἔκτρωμα διαφορὰ, ὅτι τὸν μὲν ποιναὶ καὶ κολάσεις καταλιπόντα τὸν βίον ἐδέξαντο, τὸ δὲ τούτων οὐδενὸς εἰς πεῖραν καθίσταται· εἰ δέ τις ἀκούων Παύλου λέγοντος, ὕστερον δὲ πάντων ὤφθη κἀμοὶ ὥσπερ τῷ ἐκτρώματι, εἰς ἐκεῖνο τὸ σολομόντειον ἀφορᾷν νομίσει· καὶ γὰρ ἐκεῖνος τὸν τῆς δικαιοσύνης ἥλιον ἐπὶ γῆς οὐκ εἶδεν ἀνατέλλοντα· οὐδὲ τοῖς αὐτοῦ μαθηταῖς συγκαθαριθμηθῆναι τηνικαῦτα ἠξιώθη· πολλοὶ δὲ τὸν ἥλιον τῆς δικαιοσύνης ἑωρακότες, οὐδὲ ἔλαττον ἐπορεύοντο ἐν τῷ σκότει πρὸς τὰς ἐναποστραπτού-

σας ἀκτῖνας τῆς ἐν αὐτῷ θεότητος καταμύοντες, εἰ καὶ τὰ ἄλλα πάντα τοῦ βίου κατὰ ῥοῦν αὐτοῖς ἐφέρετο· καὶ ὡς ἂν οὐδὲ ῥάδιον ἐνόμιζον εὔξασθαι· ἀλλὰ καὶ τέκνων ἦν αὐτοῖς πλατυσμὸς καὶ πλῆθος καὶ χρόνων ἐπίδοσις τῇ παρατάσει τὸ παράδοξον ἐφελκομένη· εἰ γοῦν τις εἰς ταῦτα τὰ σολομόντεια λόγια μεταλάβοι, καὶ τὸ ἔκτρωμα τὸν Παῦλον τῶν ἰουδαϊκῶν ἀρχιερέων τε καὶ ἱερέων καὶ πολλῶν ἄλλων τῇ τοῦ βίου μὲν εὐδαιμονίᾳ λαμπρυνομένων, ἀσεβείᾳ δὲ καὶ φαυλότητι πράξεων ἐσκοτισμένων, καὶ τούτων ἐκείνων ὑπερθήσει καὶ πολλῷ κρείττω κατὰ πάντα ἀποφαίνει, ἀληθὲς μὲν πάντως λέγει· οὐδὲν δὲ οἶμαι προσάπτει μέγα τῷ τὸν γύρον τῆς οἰκουμένης τῷ κηρύγματι περιλαβόντι.

ΞΘ. Τί δηλοῖ τὸ, ζῆθι ἐν ἀγαθῷ καὶ ἴδε ἐν ἡμέρᾳ κακίας· ἴδε καίγε τοῦτο σύμφωνον τούτῳ· ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς· ἵνα μὴ εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν.

Σὺ φησὶ τὴν ζωὴν πρὸς ἀρετὴν ὁρᾷν παρασκεύαζε, καὶ πρὸς τὴν ἀπόλαυσιν τῶν ἐκεῖθεν ἀγαθῶν καταῤῥύθμιζε· οὕτω δὲ καταρτίσας ἑαυτὸν καὶ τοῖς εὐσεβέσι τῶν λογισμῶν κριτηρίου δύναμιν τὸν νοῦν φρενώσας ἀναλαβεῖν, δυνήσῃ συνιδεῖν οὐ χαλεπῶς καὶ τὰς ἐν ἡμέρᾳ νομιζομένας κακίας, τουτέστι τὰς ἀνθρωπίνας συμφορὰς καὶ λύπας αἷς ἡ τῆς ἀνθρωπίνης ζωῆς ἡμέρα κυμαινομένη τε καὶ συνταρασσομένη κακύνεται, συνεκταράσσουσα τοὺς ταύτην παραπορευομένους καὶ συγκακύνουσα· καὶ γὰρ καὶ τὰ τοιαῦτα κακίας προσαγορεύειν εἰθίσμεθα κατὰ τὸ εἰρημένον· οὐκ ἔστιν ἐν πόλει κακία ἣν κύριος οὐκ ἐποίησεν· δυνήσῃ δὲ συνιδεῖν ὡς οὐδὲ αὗται περὶ ἡμᾶς ἀσυμφώνως τῇ τοῦ θεοῦ ἀγαθότητι καὶ προνοίᾳ συμβαίνουσι· τοῦτο γὰρ ἐδήλωσε διὰ τοῦ εἰπεῖν· ἴδε καί γε τοῦτο σύμφωνον τούτῳ, τουτέστι καὶ οἱ δοκοῦντες εἶναι πειρασμοὶ καὶ κακώσεις τοῦ σώματος οὐκ ἐκβάλλουσι τὴν θείαν κηδεμονίαν, οὐδὲ ἐναντιοῦνται αὐτοῦ τῇ περὶ ἡμᾶς φιλανθρωπίᾳ· παιδείας γὰρ καὶ διορθώσεως τὰ μὲν ἐπάγεται, τὰ δὲ συγχωρεῖται, δι' ἀμφοῖν ἀῤῥήτου τε καὶ σοφῆς οἰκονομίας τῷ κρίνειν χαριτωθέντι τὰ τοιαῦτα θεωρουμένης· ταῦτα δὲ τὰ συμβαίνοντα τοῖς ἀνθρώποις οὐκ ἔθετο ὁ θεὸς ἐπὶ πάσης λαλεῖσθαι γλώσσης, οὐδὲ προειδέναι τὰ ἐρχόμενα πάντας· διατί; ἵνα μὴ προμαθὼν αὐτὰ καὶ προευρὼν ὁ ἄνθρωπος ἀμελέστερον περὶ τὴν ἀρετὴν διατεθείη· νῦν μὲν ὡς πολλῶν κακῶν καὶ λυπηρῶν συμπτωμάτων ὄπισθεν αὐτὸν καταλαμβάνειν μελλόντων· τίς γάρ μοι τῆς ἀρετῆς λόγος τοσούτων κακῶν καὶ τηλικούτων προσδοκωμένων; εἰς τοῦτο γὰρ τοὺς πολλοὺς ἡ ἀπόγνωσις εἴωθε συνωθεῖν· νῦν δὲ ὡς οὐ πολλῆς καὶ μεγάλης ἀλγηδόνος μελλούσης ἐπισυμβαίνειν, ἑκατέρωθεν καὶ ὑποσκε-

λίζειν οἶδεν ἡ σφαλερὰ τῶν πρακτέων κρίσις, καὶ διὰ τοῦτο μηδὲ πολλῆς νήψεως μήτε τῆς τῶν ἀρετῶν ἐπιμελείας δεῖσθαι· διὰ τοῦτο οὖν ὁ Θεὸς τὴν περὶ τῶν μελλόντων λαλιὰν ἄγνωστον ἐποίησε τοῖς πολλοῖς, ἵνα μὴ εὑρὼν ὁ ἄνθρωπος ἃ μέλλει ἐν τοῖς ὄπισθεν αὐτὸν χρόνοις καταλαμβάνειν δυσχερῆ, ἐπὶ μὲν τῶν χαλεπωτέρων ἀμηχανίᾳ καὶ ἀπογνώσει προδοὺς ἑαυτὸν, οὐδὲν πρὸς ἀρετὴν ἐπιστρέφοιτο· ἐπὶ δὲ τῶν μετρίως ἐχόντων ὑπεροψίαν νοσῶν ὡς τῆς τῶν ἐφιεμένων ἀπολαύσεως καὶ τρυφῆς, οὐδὲν ἐλπίζων ἀντεπενεχθήσεσθαι κώλυμα καὶ τὴν πρὸς τὰ κατορθώματα σπουδὴν ὑπερτίθοιτο· ἄλλως τε δὲ ὁ τὸ κριτήριον κεκαθαρμένον πάθους φέρων καὶ ἀδέκαστον τὴν ὑγείαν ὁρᾷ καὶ τὴν νόσον συμφώνως ἔχουσαν περὶ τὴν τῶν ἀνθρώπων βλάβην καὶ ὠφέλειαν· ἀλλὰ καὶ τὸν πλοῦτον καὶ τὴν πενίαν ὡσαύτως, ἰσχύν τε σώματος καὶ ἀσθένειαν, δόξαν τὴν ἐξ ἀνθρώπων καὶ ἀδοξίαν καὶ τὰ τούτοις παραπλήσια· καὶ γὰρ ἑκατέρου μοίρας ἕκαστον τῷ μὲν φιλοσοφεῖν εἰδότι, σωτηρίας ὑπόθεσις γίνεται· τῷ δὲ πρὸς μόνα τὰ ἡδέα καὶ γαργαλίζοντα κεχηνότι, καὶ τὰ ἡδύνοντα βλάβης γίνονται πρόφασις, καὶ τὰ λυποῦντα πρὸς τὴν αὐτὴν καταῤῥεῖ καὶ ὑποσύρεται κακίαν, οὐκ εὐχαρίστως ταῦτα φέροντος τοῦ διὰ τῶν τοιούτων καθαίρεσθαι δεομένου, ἀλλ᾽ εἰς ἀπόνοιαν μᾶλλον καὶ ἀγανάκτησιν ἐξ ὧν ἔδει σωφρονίζεσθαι, περιτρεπομένου.

Ο. *Τίνας δεῖ νοεῖν δερματίνους χιτῶνας, οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο.*

Οἶδα μέν τινας δερματίνους χιτῶνας οὓς ὁ Ἀδὰμ καὶ ἡ Εὔα μετὰ τὴν παράβασιν ἐνεδύσαντο, ἀποφηναμένους τὸ σῶμα ἐξ οὗ τὸ λογικὸν ζῶον καὶ τῆς ψυχῆς ἀπ᾽ ἀρχῆς ὁ πλάστης τὸν ἄνθρωπον ὑπεστήσατο· ἀλλ᾽ οὗτοι τῆς προκαταλαβούσης αὐτοὺς ὑπολήψεως ἀκόλουθα λέγειν φιλονεικήσαντες, ἀνακολούθῳ γνώμῃ καὶ γνώσει λυμαίνονται τὴν ἀλήθειαν· καὶ γὰρ ὁ παράδεισος αὐτοῖς λόγῳ μὲν πλάττεται, ἔργῳ δὲ διαβάλλεται· ἀλλὰ τὰ τοῦ παραδείσου φυτὰ καὶ ἡ βρῶσις καὶ ἡ διὰ τῆς πλευρᾶς τῆς Εὔας προαγωγὴ, καὶ ἁπλῶς ἡ τῶν ὄντων δημιουργία πᾶσα καὶ πρόοδος καὶ τὸ τῆς θείας κηδεμονίας περὶ τὸν ἄνθρωπον φιλάνθρωπόν τε καὶ θαυμάσιον καὶ τὰς κατὰ διαδοχὴν δὲ τῆς γενέσεως ἀρχὰς, εἰς νοητήν τινα σκηνὴν ἀναφέροντες, οὐδὲ τὴν ἰδίαν ὕπαρξιν καὶ οὐσίωσιν ὤφθησαν εὐλαβούμενοι· ἐκεῖθεν δὲ τὴν τραγῳδίαν ὅλην κατὰ τὴν ἰδίαν πρόθεσιν καταμερίσαντές, τε καὶ ὑποκρινάμενοι καὶ εἰς οἵας ἂν καὶ βούλοιντο μορφὰς καὶ ἐπινοίας διαπλάττοντες, τῶν ὡς ἀληθῶς γεγονότων καὶ ὑπαρξάντων τὸ ἀκόλουθον καὶ μέχρι νῦν ὁρώμενόν τε καὶ γνωριζόμενον ἀναιροῦσιν ἐξομ-

νύμενοι, θελκτηρίοις μὲν καὶ ἐπαγωγοῖς λόγοις τὰ τῶν πολλῶν ὦτα καταγοητεύσαντες· εἴωθε γὰρ τὰ πολλὰ τῶν πλασμάτων κατ' ἐξουσίαν καὶ πρὸς τὸ ἡδὺ πλαττόμενα ὑπογαργαλίζειν μὲν τὰ τῶν ἀκροατῶν ὦτα καὶ πρὸς ἡδονῆς παρασκευάζειν διάχυσιν, οὔτε δὲ ἑαυτοῖς οὐδὲν ὄφελος, οὔτε τοῖς πειθομένοις οἱ τῶν τοιούτων ἀρχιτέκτονες παρέχειν δύνανται· ἀλλὰ γὰρ τούτους μὲν Ὠριγένης τε καὶ ὁ ὠριγένειος ἐχέτω χορός· ὁ δὲ ἡμέτερος Γρηγόριος ὃν ἡ θεολόγος τε καὶ θεόθεν αὐτῷ δεδομένη περὶ τοῦ πνεύματος παῤῥησία θεολόγον ἀνεκήρυξεν, οὗτος δερματίνους ὀνομάζει χιτῶνας οὐχ οὕσπερ ὁ ὠριγένειος μῦθος ἀνέπλασεν· ἀλλὰ τοὐναντίον τῆς ὠριγενείου δόξης τοὺς ἀνθρώπους μεταβάλλειν μὲν ὅτι μάλιστα ποιούμενος σπουδήν· σοφῶς δὲ καὶ οἰκονομεῖν εἰδὼς ἐν κρίσει τοὺς λόγους αὐτοῦ εἰς γείτονα μὲν θεωρίαν μεθοδεύει μεταβιβάζειν, κατ' ἐκείνης δὲ τῆς δοξοκοπίας ὀξὺ καὶ δραστήριον ἐπαφιεῖσαν τὸ μέλος, δερματίνους χιτῶνας οὐχὶ τὸ σῶμα καθὰ καὶ προείρηται καλεῖ, ἄπαγε· οὐδὲ γὰρ οὐδ' ὤφθη τοιαύτην τινὰ φωνὴν ἀφιείς, ἀλλὰ τὴν τοῦ σώματος παχύτητα καὶ θνητότητα καὶ τῆς προτέρας μακαρίας ἀντίτυπον καὶ ἀντικειμένην διαθέσεως· καὶ γὰρ ὡς ἀληθῶς μετὰ τὴν παράβασιν ἀντὶ τοῦ ἀπαθοῦς καὶ ἀνευθύνου καὶ μὴ βαρουμένου τῷ σώματι καὶ τῇ θνητότητι σώματος, ἀλλὰ τῶν τῆς σαρκὸς κινημάτων καὶ γαργαλισμάτων καθεστῶτος κρείττονος, τἀναντία τούτοις μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ οἷα δὴ χιτῶνα τοῖς εἰρημένοις κατάστικτον πάθεσι καὶ ῥυπῶντα μετημφιάσατο· ἀλλ' ὁ μὲν ἱερὸς οὗτος ἀνὴρ τοὺς ἐξ Ὠριγένους ἀναφῦντας οὕτω πρᾳότερόν τε καὶ φιλανθρωπότερον μεθέλκων καὶ μεταβιβάζων πρὸς τοὺς εὐσεβεστέρους λογισμούς, τοιούτους εἶναι τοὺς δερματίνους χιτῶνας οὐδὲ χωρὶς ὑπέθετο διστάζοντος ἐπιῤῥήματος.

Σὺ δὲ τί λέγεις; τὸ μὲν ἴσως πρῶτον γελᾷς, τάχα δ' ἂν μᾶλλον δυσχεραίνεις μύθῳ κλεπτομένην ἀκούων τὴν ἀλήθειαν· τοῦ δὲ θεολόγου οἶμαι τὴν οἰκονομίαν καὶ μέθοδον οὐκ ἀτιμάσαιο· οὐδὲ ἠγνόει τὰ ἀπὸ τῆς συκῆς φύλλα οἷς οἱ περὶ τὸν Ἀδὰμ τὴν ἀπὸ τῆς γυμνώσεως ἀσχημοσύνην εἰς τὸ εὔσχημον περιέστελλεν· οὐδ' ὅτι προφθάνει μὲν τὰ τῆς συκῆς φύλλα τῆς αἰδέσεως τὴν καταφυγὴν παρασχεῖν, οἱ δὲ χιτῶνες ὕστερον οἱ δερμάτινοι τὴν ἐκείνων κατὰ διαδοχὴν χρείαν ἀνεπλήρωσαν· καὶ γὰρ μετὰ τὴν προτέραν περιβολὴν καὶ τὰ φύλλα τῆς συκῆς, τοὺς δερματίνους χιτῶνας ὁ θεὸς αὐτοῖς ἐποιήσατο· ποῦ τοίνυν οἴεσθαι δεῖ τὸν θεολογικώτατον ταῦτα καὶ θεοπτικώτατον διδάσκαλον ἀγνοεῖν; ἀλλὰ μὴ λέγειν μᾶλλον οἰκονομεῖν τε καὶ τῶν ἄλλων σωτηρίαν μεθοδεύειν, δι' ὧν ὁ τότε συνέτρεχε καιρὸς, μηδεμιᾶς ἐπακολουθούσης αἱρετικῆς ἐπισπορᾶς ἢ σκολιότητος· ἄν τε γὰρ τὰ φύλλα τῆς συκῆς τοὺς περὶ τὸν Ἀδὰμ εὐλαβευ-

μένους τὴν αἰδῶ ὑπεδείκνυεν, ἄν τε μετὰ ταῦτα χιτῶνας ἐκ δερμάτων αὐτοῖς ὁ Θεὸς ἐπεποίητο, τῆς αἰδέσεως χαριζόμενος παραμύθιον, οὐδὲν ἧττον εὐσεβοῦντος ἐστὶ λέγειν ὡς μετὰ τὴν παράβασιν ὁ Ἀδὰμ τὴν παχυτέραν σάρκα καὶ θνητὴν καὶ καθελκομένην τῷ βάρει τοῦ παραπτώματος καὶ τῆς πρότερας ἀντίθεόν τε καὶ ἀντίτυπον ἠμφιάσατο. Πόθεν δ' ἂν ἴσως ἐπαπορήσειε, οἱ δερμάτινοι προῆλθον χιτῶνες; ἀλλ' ἐπειδὰν ἀκούσας τὸν νοῦν ἐπιστήσειε, ὅτι καὶ ἐποίησεν ὁ Θεὸς τοῖς περὶ τὸν Ἀδὰμ χιτῶνας δερματίνους, αὐτίκα σύνδρομον οἶμαι τῆς ἀπορίας εὑρεῖν καὶ τὴν λύσιν· ὁ γὰρ ἐκ μὴ ὄντων οὕτω φιλοτίμως τε καὶ πολυτελῶς προαγαγὼν τὸν ἄνθρωπον, οὗτος καὶ δερματίνους χιτῶνας ἐκ τοῦ μὴ ὄντος ποιήσασθαι καὶ περιβολὴν αὐτῷ κατασκευάσαι ἐκ τοῦ ῥᾴστου, μᾶλλον ἂν τοῖς λογισμοῖς ἀδίστακτον πίστιν ἐντίθησιν· εἰ δὲ καὶ δοραῖς τισι ζώων, ταῦτα γὰρ προϋπέστη τὴν χρείαν τῆς περιβολῆς αὐτοῖς ἀναπληρῶσαι, λογισμὸς ἀνεκίνησε· θεοῦ σοφίζοντος αὐτοὺς πρὸς τὴν οἰκείαν εὐκοσμίαν τε καὶ σωτηρίαν διανίστασθαι, οὐδὲ τοῦτο πόῤῥω τῆς θείας κηδεμονίας, οὐδ' ἀνάξιον αὐτοῦ τῆς πολλῆς περὶ τὸ γένος ἡμῶν ἀγαθότητος. Ἀλλὰ ταῦτα μὲν ὁ κεφαλαιώδης ἐπιτρέπει λόγος. Εἰσὶ δέ τινες οἱ πρὸς μηδὲν τούτων ἀφορᾶν βουλόμενοι μηδὲ σπουδάζοντες, τὰς τῶν δένδρων περὶ τὸν φλοιὸν ἐπιδερμίδας δερματίνους χιτῶνας ἐνόμισαν, ὥσπερ τῶν δερμάτων τῶν ἀπὸ τῶν ζώων ἐνδεεστέραν ἢ ἀτιμοτέραν τῆς περιβολῆς τὴν χρείαν παρεχομένων· καίτοι φλοιοῦ παντὸς εὐαφεστέρων τε καὶ μαλακωτέρων καὶ τὸ ὅλον εἰπεῖν ἐπιτηδειοτέρων πολλαῖς διαφοραῖς ὑπαρχόντων.

**ΟΑ.** Πρὸς τίνα διάνοιαν ἡμᾶς παραπέμπει τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον κ. τ. λ.

Τὸ παρὸν χωρίον διαφόροις ἑρμηνείαις ὑποβάλλεσθαι δύναται, τοῦτο μὲν τῆς ἀναγνώσεως διαφορὰς προβαλλομένης δύο· τοῦτο δὲ τοῦ ῥητοῦ διαφόρους τρόπους σχημάτων ἀναδέχεσθαι πεφυκότος· ἀλλὰ γὰρ καὶ τὸ, πρός σε ἡ ἀποστροφὴ αὐτοῦ ἐπὶ διαφόρων πραγμάτων οἰκείως ἔχει παραλαμβάνεσθαι· ἡ μὲν οὖν κατὰ τὴν ἀνάγνωσιν διαφορὰ εἴς τε τὸν ἐρωτηματικὸν τύπον καὶ ἀποφαντικὸν καταμερίζει τὸ λόγιον· οἷον· οὐχὶ ἂν ὀρθῶς μὲν προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, καὶ σοὶ γνώριμόν ἐστι καὶ ἀναμφίβολον ὅτι ἥμαρτες; καὶ ὅσα τὴν φιλάνθρωπον σοφίαν τοῦ Θεοῦ, κριτὴν αὐτὸν καθίζει τὸν ἡμαρτηκότα τοῦ ἀδικήματος, ἵνα τοὺς οἰκείους λογισμοὺς ἐκεῖνος εὑρὼν φέροντας αὐτῷ τὴν κατάγνωσιν, μᾶλλόν τε πρὸς μετάνοιαν δράμῃ καὶ τὴν ἄφεσιν θᾶττον συνεπισπάσηται· καὶ ἡ ἀπόκρισις δὲ τὸ ἐναργὼς προβαλλομένη τῆς συγκαταθέσεως, οὐδὲν ἔλαττον τῇ σιωπῇ

τὸ βούλημα περαίνει τοῦ ἐρωτήσαντος, καὶ τὴν ἁμαρτίαν ὁμολογοῦντα τῷ μηδὲ στόμα διάραι καὶ φωνὴν ἀφεῖναι θαῤῥεῖν καὶ μὴ βουλόμενον τὸν ἡμαρτηκότα ἐπιδείκνυσι· καὶ γὰρ εἴωθε ταῖς ἐρωτήσεσιν αἷς ἡ ὁμολογία καὶ συγκατάθεσις τῶν ἐρωτωμένων περιφανῶς τε καὶ ἀδιστάκτως ἕπεται οὐδὲν ἔλαττον ἡ ἀποσιώπησις ἔχουσα τὴν ἰσχὺν ἀλλὰ μᾶλλον τῆς ἀπαγγελλούσης φωνῆς τὴν συγκατάθεσιν· καὶ τὸν ἔλεγχον ἂν ἄρα τοῦτο βούλεται ὁ ἐρωτῶν, δριμύτερόν τε ποιεῖ καὶ ἐπικρατέστερον· σχῆμα μὲν οὖν ἐρωτήσεως ἀναδεχόμενος ὁ λόγος τὴν προκειμένην ἀπαγγέλλει διάνοιαν· τῷ ἀποφαντικῷ δὲ εἴδει μορφούμενος οὐχ ἑνὶ καὶ τῷ αὐτῷ χαρακτῆρι τῆς φωνῆς ἀπαγγέλλεται· ἐπείπερ καὶ διαφόροις τρόποις τῆς συνθέσεως δι' ἧς αἱ λέξεις ἀλλήλαις ἁρμόζονται, ἐθέλει προάγεσθαι· ἢ γὰρ ὁ ἀποφαινόμενος ἀποφαίνεται, ὡς οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς· οἷον ὅτι οὐκ ὀρθῶς προσήνεγκας ὅτι μηδὲ διεῖλες ὀρθῶς· ἢ ὅτι ἐπεὶ μὴ διεῖλες ὀρθῶς, κἂν ὀρθῶς προσενεγκεῖν ἔδοξας, ἥμαρτες· τὴν γὰρ τοῦ μὴ διελεῖν ἁμαρτίαν, τὸ τῆς προσενέξεως ὀρθὸν οὐ διωρθώσατο· τὸ μὲν οὖν, ἥμαρτες, ἡ μὲν ἐρώτησις κατὰ συνέπειάν τε καὶ συνέχειαν ἀπαγγέλλει τῶν προτεταγμένων λέξεων· τῶν δὲ κατὰ ἀπόφασιν προενηνεγμένων, ἑκάτερος λόγος κατὰ διαστολὴν ἐπιφέρει τοῖς προλαβοῦσι τὸ, ἥμαρτες· διὰ τοῦτο δὲ ὁ μὴ διελὼν ὀρθῶς, κἂν ὀρθῶς ἔδοξε προσενεγκεῖν, οὐδὲν ἔλαττον ἥμαρτε· διότι οὐ μᾶλλον τὸ κατορθωθὲν ἀφαιρεῖται τὸ φθάσαν ἁμάρτημα· ἀλλὰ τὸ διαμαρτηθὲν διαβαῖνον καὶ πρὸς τὸ δόξαν ἐκφυγεῖν τὴν ἁμαρτίαν, εἰς τὸ ὑπεύθυνον συνεφέλκεται· καὶ γὰρ πολλάκις ἀγαθὸν κακοῦ προηγούμενον καὶ φαῦλον ἀμείνονος, οὐ μεταδίδωσι μᾶλλον τῆς οἰκείας καλλονῆς τὸ κρεῖττον τῷ χείρονι, ἀλλὰ συνεκφαυλίζεται ὡς ἐπίπαν τῇ τοῦ χείρονος φαυλότητι· καὶ ὁ καθαρὸς δὲ ἀπτόμενος ἀκαθάρτου παρά γε αὐτῷ τῷ θεόθεν σοφισθέντι τοῦ κόσμου τὴν γένεσιν μεταδίδωσί γε τῆς καθαρότητος παρ' ᾧ καὶ τὸ βέβηλον μᾶλλον τῷ ἁγίῳ προσαπτόμενον, πρὸς τὴν βεβήλωσιν συνεφέλκεται, ἢ τοῦ ἁγίου μεταλαμβάνει τῆς ἁγιότητος· ἀλλ' οὕτω μὲν ἂν διευκρινηθείη τὸ, οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες;

Τὸ δὲ, ἡσύχασον, καὶ μὲν καὶ τὸ, πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ αὐτοῦ ἄρξεις· τὸ μὲν, ἀρκέσθητι φησὶ τῷ προλαβόντι κακῷ, μηδ' ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ προσθῇς, μηδὲ κακῷ τὸ κακὸν κατασκευάσῃς ἀνίατον, ἀλλ' ἐν τῷ ἡσύχῳ τε καὶ ἀταράχῳ τῆς κρίσεως τὸ καθ' ἑαυτὸν σκοπήσας καὶ τὸ μέγεθος τοῦ ἁμαρτήματος συνεὶς· τί γὰρ μεῖζον εἰς ἀπόνοιαν τῆς ἰδίας ἡδονῆς τὸ θεῖον σέβας παριδεῖν; τῆς μετανοίας γενοῦ καὶ διὰ θεοσεβείας εἰλικρινοῦς καὶ εὐγνωμοσύνης τὸ πλημμεληθὲν ἐξιλέωσαι, σαυτὸν ἀνορθώσας τοῦ πτώματος· τὸ δὲ καὶ σὺ αὐτοῦ ἄρξεις, καθ' ἑτέ-

ραν μὲν ἐκδοχὴν, οὐδὲ τὸ σόν φησιν οὐ προσδεχθὲν δῶρον εἰς ἕτερον παραπέμπεται, οὐδὲ τινά σοι ζημίαν τὸ ἀπρόσδεκτον προξενεῖ, ἀλλὰ πρὸς σε πάλιν ἀποστρέφεται· καὶ σὺ τὴν ἐξουσίαν αὐτοῦ καὶ κυριότητα ὡς καὶ πρότερον ἕξεις· οὐδεμίαν ἐκ τῆς προσαγωγῆς, πλὴν ὅσα γε ἡ ἁμαρτία ἐλυμήνατο, ζημίαν ὑποστάς· ἀλλ' εἰ μὲν ἐπὶ τοῦ προσενεχθέντος, καὶ σὺ αὐτοῦ ἄρξεις, ἐξακοῦσαι τις τὸ λόγιον ἐθέλοι, τοιαύτην τινὰ τὴν ἀνάπτυξιν εὑρήσει. Εἰ δὲ καθ' ἑτέραν ἐπιβολὴν καὶ ἐπὶ τοῦ Ἄβελ, ὃς ὀρθῶς τε διεῖλε καὶ τὸ δῶρον προσήνεγκεν ὀρθῶς καὶ τὴν ἄνωθεν εἵλκυσεν ἀποδοχὴν, ὧδε ἂν ἡ θεωρία προέλθοι· οὐδέν φησὶν ἐκ τοῦ προκριθῆναι τὴν τοῦ ἀδελφοῦ θυσίαν ἐπὶ τοῖς ἐκ γενέσεως προνομίοις ἠλάττωσαι· οὐ δέ τις ἐπῆλθέ σοι δίκη τῆς φαύλης διαιρέσεως τῆς προτέρας κατὰ τὸν βίον δόξης καθέλκουσα· οὔτε γὰρ τῶν πρωτοτόκων ἀντὶ τοῦ πλημμελήματος εἰσεπράχθη τὴν ἀφαίρεσιν, οὔτε ὑπὸ χεῖρα τελεῖν κατεκρίθης τοῦ ἀδελφοῦ, ἀλλὰ μένει σοι τὰ ἀπὸ τῆς γενέσεως δίκαια καὶ τῆς τῶν πρωτοτόκων τιμῆς τὸ ἀξίωμα· καὶ πρὸς σὲ ἡ ἀποστροφὴ τοῦ ἀδελφοῦ σου ἔσται· τουτέστι σὲ καταφυγὴν καὶ βοηθὸν βλάβης αὐτῷ προσιούσης ἀλλαχόθεν προστήσεται· καὶ σὺ αὐτοῦ τὴν ἡγεμονίαν ὅσα γε χαρίζεται ὁ πρωτότοκος, ἕξεις· μόνον τοῖς πλημμεληθεῖσιν ἐφησύχασον· μηδὲ τραγῳδίαν πρῶτος ἀσυγγνώστου πλημμελήματος εἰσάξεις τῷ βίῳ· μηδὲ τὰ πρωτοτόκια τῆς γενέσεως πρωτοτόκια φιλονεικήσης ποιῆσαι μεγίστου καὶ ὀλεθριοτάτου παραπτώματος· ἵνα μὴ σαυτὸν ἁπάντων στερήσῃς, ὧν τε ἡ φύσις τῇ φιλανθρωπίᾳ τοῦ δημιουργήσαντος ἐδωρήσατο, καὶ οἷς ἔμελλες μετανοῶν ἀγαθοῖς ἐνευθηνεῖσθαι καὶ τῆς προνοίας διὰ βίου τῶν πολυτρόπων εὐεργεσιῶν ἔχειν τὴν ἀπόλαυσιν.

ΟΒ. Τοῦ θεσπεσίου Παύλου λέγοντος· Ἀδὰμ οὐκ ἠπατήθη, ἡ δὲ γυνὴ ἀπατηθεῖσα ἐν παραβάσει γέγονε, σωθήσεται διὰ τῆς τεκνογονίας κ. τ. λ. πῶς δεῖ νοεῖν τὸ σωθήσεσθαι διὰ τῆς τεκνογονίας τὴν γυναῖκα.

Παραινῶν ὁ τοῖς πᾶσι πάντα γινόμενος Παῦλος τὸ δεῖν ὑποτετάχθαι τὴν γυναῖκα τῷ ἀνδρὶ, καὶ μανθάνειν μᾶλλον ἢ διδάσκειν ἐπιχειρεῖν, ἐξ ἄλλων τε πολλῶν τὴν παραίνεσιν ὅτι καὶ δικαία παρέστησε καὶ συμφέρουσα· καὶ νῦν δὲ διότι φησὶ πρῶτος ἐπλάσθη τῆς γυναικὸς ὁ ἀνήρ· εἶτα καὶ ἡ μείζων αἰτία· καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἀλλ' ἡ γυνὴ τῷ δελέατι περιχανοῦσα καὶ τῷ τῆς ἀπάτης ἀγκίστρῳ περιπαρεῖσα τὴν ἀπ' αὐτοῦ πληγὴν καὶ βλάβην εἰς τὸν ἄνδρα διεβίβασε· διόπερ ἀνεπιτήδειον τῇ γυναικὶ τὸ διδάσκειν· καὶ γὰρ διδάσκειν προαχθεῖσα τὸν ἀρχηγὸν ἡμῶν τοῦ γένους τοῦ παραδείσου ἐξέβαλε· διὰ τοῦτο μὲν εἴρηται τὸν Ἀδὰμ μὴ απα-

τηθῆναι, διότι μὴ αὐτὸς ἀλλ' ἡ Εὔα πρῶτον ὄργανον μετὰ τὸν ὄφιν τοῦ ἐχθροῦ χρηματίσασα τῆς ἀπάτης καθηγήσατο· δεύτερον δὲ διότι μὴ αὐτὸς τοὺς ἀπατηλοὺς καὶ θῶπας λόγους τοῦ ὄφεως παρεδέξατο· μηδὲ φθονεῖν αὐτοὺς τῆς τε ἄλλης εὐδαιμονίας καὶ τῆς θεώσεως τὸν οἰκτίρμονα δεσπότην καὶ προνοητὴν ἀνεπείσθη· ἀλλὰ ταύτην τὴν ἔκθεσμον κατὰ τοῦ πλάσαντος συμβουλὴν, καὶ ἀκοῇ καὶ γνώμῃ ἁρπάσασα ἡ Εὔα, καὶ τοῦ ἀπηγορευμένου ξύλου φαγοῦσα, ἐπὶ τὴν αὐτὴν ἐκάλει τράπεζαν τὸν ἄνδρα· ὁ δὲ μαρτυρουμένην ὡς εἰκὸς ὑπὸ γυναικὸς ἐπὶ γλυκύτητι καὶ ἡδονῇ διαφέρειν βρῶσιν, καὶ πρὸς τὸ σύμφορον καὶ ὠφέλιμον παρακαλεῖν νομίσας τὴν βοηθὸν, καὶ τοῦ φυτοῦ μετέσχε καὶ τῇ παραβάσει περιέπεσε· μὴ ἠπατῆσθαι τοίνυν τὸν Ἀδὰμ καὶ διὰ τοῦτο ῥηθείη ἂν οὐκ ἔξω τοῦ εἰκότος· καὶ γὰρ πολλοὶ τὸ διάφορον ἔχουσιν οἱ τὴν αὐτὴν μὲν ἀποτρόπαιον πρᾶξιν, οὐ τῇ αὐτῇ δὲ καὶ ὁμοίᾳ διανοίᾳ μετερχόμενοι· ὁ μὲν γὰρ μελέτῃ καὶ διακρίσει καὶ τῇ τοῦ κρείττονος καταγνώσει πρὸς τὸ χεῖρον ἀπονεύσας καὶ τὴν φαύλην μοῖραν προελόμενος, ἀσύγγνωστον ἀποτελεῖ τὸ πλημμέλημα· ὁ δὲ μηδενὸς τούτων ἔνοχος, πρὸς τὴν κοινωνίαν δὲ παρολισθήσας τῆς πράξεως, πολλαχόθεν ἕλκειν τὸν ἔλεον δύναται καὶ τῆς συγγνώμης μὴ ἀπελαύνεσθαι· οὕτω γοῦν κἀνταῦθα· ἡ μὲν Εὔα καὶ μελέτῃ καὶ τῇ κατὰ τῆς ἐντολῆς διαβολῇ τοὺς λογισμοὺς παραθήξασα, γυμνῇ τῇ κεφαλῇ τὸ λεγόμενον πρὸς τοὐναντίον ἐχώρησεν· ὁ δὲ Ἀδὰμ τούτων μὲν οὐδενὶ τὸν δοθέντα νόμον προεξύβρισε, πρὸς μόνην δ' ὑπεσύρη τὴν τούτου παράβασιν· ἀλλὰ διὰ ταῦτα μὲν λέγοιτ' ἂν μὴ ἠπατῆσθαι τὸν Ἀδάμ.

Λέγοιτο δ' ἂν οὐδὲν ἔλαττον καὶ διότι ὁ μὲν γλώσσης ὁμοφύλου καὶ συνήθους, καὶ ἐν πολλοῖς οὐδὲ σφαλερᾶς ἀναφανείσης ὑπήκοος γέγονεν· ἡ δὲ ἀλλοφύλου τε φωνῆς καὶ οὐδὲ καθίστασθαι πρὸς ὁμιλίαν λαβούσης ἔθος ἀνδράποδον ὤφθη καὶ τῆς μοχθηρίας ἐγένετο θήραμα· οὐκοῦν καὶ ταύτην προσθήκην δέχεται τὴν αἰτίαν τὸ λέγεσθαι τὸν Ἀδὰμ μὴ ἀπατηθῆναι· τὴν δὲ γυναῖκα ἀπατηθεῖσαν ἐν παραβάσει γενέσθαι· παρέβησαν μὲν γὰρ ἄμφω· ἀλλὰ κἀνταῦθα προφθάνει τῆς γυναικὸς ἡ παράβασις· καὶ μὲν διπλῆς αὕτη παραβάσεως ὤφθη ἔνοχος, τῆς τε οἰκείας καὶ πρὸς ἣν τὸν ἄνδρα συνώθησε. Τί οὖν ἄν τις ἐρεῖ πρὸς ἐμὲ τῆς γυναικείας φύσεως προϊστάμενος ἡ τῆς Εὔας ἀπάτη καὶ παράβασις, ὅτι μιᾶς τε καὶ ἴσης φύσεως ἀνδρός τε καὶ γυναικὸς οὔσης τὰ δευτερεῖα φέρειν κατεκρίθημεν, καὶ μανθανόντων ἀεὶ λῆξιν ἐπέχειν, τοῦ διδάσκειν δὲ παντελῶς ἀφηρήμεθα; πρὸς ὃν ὁ ἀκόλουθος ἀνθυποφέρων φαίη λόγος, ὅτι καθ' ὃν τρόπον τοῦ Ἀδὰμ τὸ θνητὸν καταδικασθέντος εἰς πάντας τοὺς ἐξ αὐτοῦ διῆλθεν ὁ θάνατος, οὕτω καὶ τῆς γυναικὸς οὐ μόνον ἀπατηθείσης, ἀλλὰ καὶ ἐν παραβάσει γενομένης καί γε τὸ χαλεπώτεραν ἑκατέρᾳ τῷ ἀνδρὶ καθηγησα-

μένης ἁμαρτάδος, οὐδὲ τὸ κατὰ διαδοχὴν γένος τῆς αἰτίας ἐστὶ παντελῶς ἀφειμένον, οὐδὲ πρὸς κρείττονα διάθεσιν ἐκ μεταβολῆς ὁρᾶται ἀγόμενον· τὸ μὲν οὖν μὴ ἠπατῆσθαι τὸν Ἀδὰμ διὰ τούτων οἶμαι καὶ οὐκ ἀμελῶς διευκρίνηται. Εἰσὶ δὲ οἱ τοὐναντίον τὴν λέξιν τιθέμενοι· οὐκ ἀπατηθῆναι φασὶ τὸν Ἀδὰμ, οὐχ ὅτι τῆς γυναικὸς ἔλαττον, ἀλλ' ὅτι μεῖζον ἐξήμαρτεν· οὕτω γὰρ τῇ λέξει καὶ τὸν ἀπόστολον χρήσασθαι· ἡ μὲν γὰρ δελεασθεῖσα λόγοις ἐπικλόποις καὶ ἡδύνουσι πρὸς τὴν ἀθέτησιν παρενήνεκται, ὁ δὲ γνώμῃ μᾶλλον καὶ θελήματι ταύτην ἠσπάσατο· οὐδὲ φαίνεται τοῦτον ἡ γυνὴ, ὥσπερ ἐκλάπη, οὕτω ῥήμασι κλέπτουσα· καὶ ἡ μὲν καὶ ἀντειπεῖν διανέστη τῷ ὄφει, καὶ τῷ μεγέθει τῆς ἐπαγγελίας διαχυθεῖσα πρὸς τὴν ἀπάτην ἀπέκλινε· περὶ δὲ τὸν Ἀδὰμ οὐδέτερον τούτων γέγονεν· οὔτε γὰρ ἀντεῖπε τῇ γυναικὶ, οὔτε μέγεθος αὐτὸν ἐπαγγελίας συνήρπασεν· ἀλλ' οὐδὲν ἔλαττον οὗτος ὤφθη ἕτοιμος πρὸς τὸ μεταλαβεῖν ἢ ἐκείνη μεταδοῦναι τῆς βρώσεως· διόπερ εἰκότως ἂν νοοῖτο οὐκ ἀπάτῃ μᾶλλον ἀλλ' ἔρωτι πεσεῖν τῆς βρώσεως εἰς παράβασιν· ἀλλ' ὁ μὲν λόγος οὗτος εἴπερ ἐν ἄλλοις ἔχει χώραν, ἐχέτω· νῦν δὲ οὐκ ἔχει πάροδον· ὑπερτιθεὶς γὰρ τῆς ἀληθείας ὁ κήρυξ καὶ προτιμῶν τὸν Ἀδὰμ τῆς γυναικὸς, καὶ τὴν ὑποταγὴν αὐτῇ παραινῶν, καὶ διὰ τὸ μὴ ἀπατηθῆναι τὸν Ἀδὰμ ὥσπερ καὶ διὰ τῶν ἄλλων ἐνθυμημάτων, οὕτω καὶ διὰ ταύτην τὴν αἰτίαν ἰσχὺν ἄμαχον ἔχειν τὴν παραίνεσιν ἐπεδείξατο· ἀλλ' ὧδε μὲν οἶμαι διευκρίνηται, τίνα τρόπον οὐκ ἠπατήθη ὁ Ἀδάμ.

Τὸ δὲ, σωθήσεται διὰ τῆς τεκνογονίας ἡ γυνὴ, τουτέστιν ἡ τῶν γυναικῶν φύσις· καὶ γὰρ διὰ τοῦτο τὴν Εὔαν τὸ λόγιον εἰς τὴν γυναῖκα μετέλαβεν· οἱ μέν φασι τεκνογονίαν εἰπεῖν τὸν ἀπόστολον, τὴν περὶ τὰ τέκνα πρόνοιαν καὶ σπουδὴν δι' ἧς αὐτοί τε πίστει καὶ ἀγάπῃ στηριζόμενοι τὸν ἁγιασμὸν καὶ τὴν σωφροσύνην συγκατορθώσουσι, καὶ αἱ πρὸς ἀρετὰς αὐτοὺς παιδαγωγοῦσαι μητέρες δηλονότι τὰ αὐτὰ καὶ μελετῶσαι καὶ διαπραττόμεναι εἴησαν, δι' ὧν καὶ τῆς παραβάσεως τὴν αἰτίαν διαλύουσι· τοῦτο γὰρ ὁ τῆς οἰκουμένης ἔφη διδάσκαλος· σωθήσεται δὲ φάμενος διὰ τῆς τεκνογονίας· καὶ γὰρ ἡ περὶ τὰ τέκνα παιδαγωγία καὶ θεοφιλὴς πρόνοια καὶ κηδεμονία μέγα δικαίωμα πέφυκε τὴν πρὸς τὸν Ἀδὰμ τῆς Εὔας σφαλερὰν ἀνακαλέσασθαι διδασκαλίαν· ἐδίδαξα τὸν ἄνδρα σφαλερῶς; ἀλλ' ἀσφαλῶς παιδαγωγῶ καὶ τρέφω τὰ τέκνα· ἐκεῖνο καταδικάζει; τοῦτο πῶς οὐκ ἂν εἴη μάλιστά γε παρὰ δικαίῳ καὶ φιλανθρώπῳ κριτῇ συγγνώμη καὶ γείτονι τοῦ πταίσματος καταρθώματι τῆς δίκης ἀπολύον; διὸ ταύτης τῆς τεκνογονίας ἡ γυναικεία φύσις ἀντεχομένη καὶ ταύτην σπουδάζουσα διαλύει καὶ ἀποτίθεται τὴν ἀπὸ τῆς ἀπάτης αἰτίαν καὶ δίκην· ὅτι δὲ τεκνογονίαν καὶ δὴ καὶ τεκνοτροφίαν ὁ ἀπόστολος τὴν περὶ τὰ τέκνα σωτή-

ριον ἐπιμέλειαν εἴωθε καλεῖν, δῆλον ἐντεῦθεν· καὶ γὰρ εἰς τὴν τῶν χηρῶν τάξιν καὶ τιμὴν καὶ τὴν πρόνοιαν τὰς κεχηρωμένας τῶν ἀνδρῶν ἀνάγων, χήρα φησὶ καταλεγέσθω μὴ ἔλαττον ἐτῶν ἑξήκοντα· εἶτα καὶ τίνα καταβαλλομένη μισθὸν τῆς τοιαύτης λήξεως, εἰ ἐτεκνοτρόφησε φησὶν, εἰ ἁγίων πόδας ἔνιψεν, εἰ θλιβομένοις ἐπήρκεσε· καὶ ὅρα ὅπως τῇ τῶν ἁγίων θεραπείᾳ καὶ δεξιώσει καὶ τῷ τῆς ἐλεημοσύνης λαμπρῷ κατορθώματι, τὴν περὶ τὰ τέκνα σπουδὴν καὶ πρὸς ἀρετῶν παιδαγωγίαν συνέταξέ τε καὶ συνηρίθμησεν· ἀλλ' οὗτοι μὲν οὕτως τὴν τεκνοτροφίαν καὶ τεκνογονίαν ἐξακούουσιν.

Οὐ χεῖρον δὲ ἴσως ἐννοεῖν τεκνογονίαν ἣν ἡ εὐσέβεια τῶν σπουδαίων ἔργων καὶ κατορθωμάτων τὸν ὀρθὸν συλλαβοῦσα λόγον τὴν διὰ καθαρῶν καὶ ἀμολύντων ὠδίνων ἀποτικτομένην καὶ ὡς ἀληθῶς εὐγενεστάτην πληθύνει γονὴν, δι' ἧς ἅπαν ἀνακαλεῖται τὸ φθάσαν ἐλάττωμα· τῷ ὄντι καὶ αἱ τοιαύτας ὠδῖνας λύουσαι τῷ τόκῳ πολλοὺς υἱοὺς ἐτεκνώσαντο, καὶ θυγατέρας· καθ' ἣν υἱοθεσίαν γινώσκεται καὶ ἡ στεῖρα τίκτουσα ἑπτὰ, καὶ τὴν πολλὴν ἐν τέκνοις παρευδοκιμήσασα· αὗται καὶ τὸ, πληθύνεσθε καὶ αὐξάνεσθε θεοπρέπεστερόν τε καὶ οἰκειότερον εἰς ἑαυτὰς μεταφέρουσαι, τὴν δεσποτικὴν ἐν ἑαυταῖς δεικνύουσιν εὐθηνουμένην εὐλογίαν· ἡ τοιαύτη τεκνογονία οὐκ εἰς μόνας τὰς ἐξ ὁμιλίας ἀνδρὸς παιδοποιοὺς γυναῖκας περιγράφει τῆς ἀπάτης τὴν διάλυσιν, ἀλλὰ καὶ εἰς τὰς ἄλλας τῶν γυναικῶν καὶ μάλιστα τὰς παρθένους διαβιβάζει τοῦ σφάλματος τὴν διόρθωσιν· σώζονται γὰρ πᾶσαι καθ' ὧν τὸ προγονικὸν ἐλάττωμα ἐπενέμετο διὰ τῆς τοιαύτης τεκνογονίας, τὸ τῆς ἀπάτης αἶσχος καὶ ἄχθος λαμπροῖς δικαίοις ἀποσκευαζόμεναι καὶ τῷ οἰκείῳ τόκῳ τῆς ἐκκλησίας τὰ τέκνα πληθύνουσαι· καὶ τῇ πίστει καὶ ἀγάπῃ καὶ τῷ διὰ τῆς σωφροσύνης ἁγιασμῷ λαμπρυνόμεναι τὸν ἐν οὐρανοῖς πατέρα δοξάζειν τοὺς εἰς αὐτὰς ὁρῶντας καὶ τὴν καλλονὴν τῶν ἔργων ἀνασκοποῦντας παρασκευάζουσιν· ἀλλὰ γὰρ οὕτω μὲν οὗτοι οὐ φαύλως οἶμαι πρὸς θεωρίαν τὸ γράμμα ἀνέλκοντες.

Οἱ δὲ τεκνογονίαν ἱερώτερόν τε καὶ θεοπρεπέστερον τὴν ἐκ τῆς παρθένου τοῦ σωτῆρος ἡμῶν ἱερολογοῦσι γέννησιν· δι' ἧς τεκνογονίας οὐ τῶν γυναικῶν ἡ φύσις μόνον ἐδοξάσθη καὶ τὴν ἀπὸ τῆς ἀπάτης ὕβριν καὶ κατάγνωσιν ἀπεσκευάσατο, πίστιν καὶ ἀγάπην καὶ ἁγιασμὸν ὅς ἐστι καρπὸς τῆς σωφροσύνης μετερχόμεναι, ἀλλὰ καὶ τὸ γένος ὅλον οἰκείοις καὶ ἑκουσίοις τοῦ τεχθέντος παθήμασιν ἀνεκλήθη τοῦ πτώματος καὶ πολλῷ θειοτέρας ἢ πρὸ τοῦ κατενεχθῆναι λήξεως κατηξιώθη καὶ ἀπολαύσεως. Θέλεις δὲ μᾶλλον καταμαθεῖν ὅπως τῆς ἀπάτης ἡ γυνὴ διὰ τῆς εἰρημένης τεκνογονίας τὴν δίκην διέφυγε, καὶ τὸ δῶρον ἔλαβε τῆς ἀφέσεως; αἱ πρὶν μαλακισθεῖσαι πρὸς τὴν τοῦ ὄφεως γλῶσσαν ψιθυρίζουσαν τῆς ἱερᾶς ταύ-

της καὶ καινῆς ὡς ἀληθῶς ὑπὸ τὸν ἥλιον τεκνογονίας προελθούσης, τυράννων γλώσσαις ἀντικαταστᾶσαι ῥητορευούσαις τὴν ἀσέβειαν· καὶ ποινῶν οὐ μόνον ἰδεῖν οὐδ' εἰς πεῖραν ἐλθεῖν, ἀλλὰ καὶ εἰπεῖν φρικωδεστάτων, κατευμεγεθήσασαι, ἐν πολλοῖς πολλάκις οὐκ ἐλάττους τῶν ἀνδρῶν τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας διήνεγκαν· καὶ οὐ Γυναικῶν μόνον ἀλλὰ καὶ ἀνδρῶν ὤφθησαν τῆς εὐσεβείας διδάσκαλοι, καὶ τὰς ὑπὲρ Χριστοῦ πικρὰς τιμωρίας καὶ τοὺς θανάτους καὶ τὰς σφαγὰς γενναίῳ καὶ ἀκαταπλήκτῳ καὶ εὐφραινομένῳ ὑπέστησαν τῷ φρονήματι.

ΟΕ. Πῶς λέγεται τὸ θεῖον εἶναι ἐν τῷ παντὶ; καὶ πῶς ἔνεστι διαλύειν ἃ πρὸς τὴν ὑπόθεσιν ταύτην παρ' ἐνίων προκομίζεται διαπορούμενα;

Πολλὰ τῶν ἱερῶν περὶ θεοῦ θεωρημάτων, ἵνα μὴ πάντα λέγω, οὐ μόνον ὅσα τοῖς τῆς εὐσεβείας ὀργίοις οὐχ ἐτελέσθησαν κἂν τῷ τῆς διανοίας κράτει καὶ τῇ τῶν ἐνύλων γνώσει τῶν ὁματαγῶν ἐν τῷ κρατεῖν διενηνόχασιν, οὐχὶ τούτων μόνον τὴν ἔξω τοῦ καθ' ἡμᾶς λόγου τὴν θεωρητικὴν ἰσχὺν ἀσθενεστέρας τῆς οἰκείας καταλείψεως τῇ πείρᾳ διήλεγξαν· ἀλλὰ καὶ ὅσους ὁ τῆς εὐσεβείας λόγος καὶ ἡ τοῦ βίου καθαρότης τῆς ἐπιγνώμονος τῶν βαθυτέρων ἔθετο, οὐδὲ τούτων ἡ τῶν θειοτέρων εὕρεσις ἐκ τοῦ ῥᾴστου φιλεῖ παραγίνεσθαι· καὶ τί λέγω εὕρεσις; ὅπουγε οὐδ' αὐτὴ καθαρῶς καὶ κατὰ λόγον αὐτοῖς ἡ εὕρευνα διατίθεται. Γλαφυρωτέρα δὲ ὡς ἐπίπαν καὶ αὕτη τῆς τῶν πολυπραγμονούντων διανοίας ὑπεριδρυμένη, φιλοτιμεῖται ἐπιγινώσκεσθαι· οὔκουν τῶν ῥηθησομένων ἐξακούειν δεῖ οὕτως ὡς τὸ ἀκριβέστερον κατειληφότων, καὶ μηδὲν πλέον εἰς τὴν τοῦ προκειμένου γνῶσιν ὑπολειπομένων· ἀλλ' ὡς οἷόν τε τὰ κρείττω τῆς ἀνθρωπίνης ἐπιβολῆς ἐπινοίαις ἀνθρωπίναις πανευλαβῶς καὶ σὺν ἀγωνίᾳ μενόντων εὐμενῶς ἀκούειν καὶ ἀποδέχεσθαι. Ἐν τῷ παντὶ τοιγαροῦν τὸ θεῖον ἐστὶν, ὅπερ εἰς συζήτησιν προετέθη σοι, ὡς οὐδὲν τῶν ὄντων ἐν τοῖς οὖσιν· ἢ γὰρ ἂν τὸ ὑπὲρ πάντα τὰ ὄντα, ἓν ἂν ἦν τῶν ὄντων καὶ ὁ προαγωγός τε καὶ δημιουργὸς ἁπάντων, εἷς ἂν ἐχρημάτιζε τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων. Τοῦτο γὰρ νομοθετεῖν οἶδεν ἡ πρὸς τὰ ὄντα τῆς διαθέσεως συγγενής τε καὶ ὁμοταγὴς τῆς δημιουργικῆς ἀρχῆς κοινωνία, ἐπειδὰν τὸ ἀπαράλλακτόν τις ἐκβιάζοιτο τὴν σχέσιν ἔχειν πρὸς ἄλληλα τὰ ὄντα καὶ τὸν κτίστην πρὸς τὰ κτίσματα· οὐκοῦν ὡς οὐδὲν τῶν ὄντων τοῖς αὐτοῦ συνάπτεται καὶ συγκαταβαίνει τὸ θεῖον δημιουργήμασιν· ἀλλ' ἰδιαζούσῃ διαθέσει καὶ οἰκονομίᾳ διακεκριμένῃ τὴν πρὸς τὰ ὄντα σχέσιν ἁρμόζεται· ὥσπερ δέ ἐστι τὸ θεῖον σοφόν τε ἅμα καὶ ὑπέρσοφον, θεός τε ἰσχυρὸς καὶ ὑπέρθεος, κυρίως τε οὐσία καὶ ὑπερούσιον, καὶ αὐτάγαθον ὁμοίως

καὶ ὑπεράγαθον, οὕτως ὑπάρχειν λέγεται κἂν τῷ παντὶ καὶ ὑπὲρ τὸ πᾶν· ἐπὶ μόνης γὰρ τῆς ἀῤῥήτου καὶ πολυωνύμου καὶ ὑπερφυοῦς φύσεως, ὁ καταφατικὸς τῶν ὀνομάτων τύπος, σύνδρομον ἴσχει τὴν σημασίαν τοῖς διὰ τῶν ἀποφατικῶν ἢ στερητικῶν φωνῶν σχηματισμοῖς δηλοῦσι τὸ βούλημα· διόπερ τὸ ἐν παντὶ οὐκ ἔστιν ἀθέτησις τοῦ ὑπὲρ τὸ πᾶν· ἀλλὰ συμφωνία μᾶλλον καὶ βεβαίωσις· οὐ μὴν δὲ ἀλλ' οὐδὲ τὸ ὑπὲρ πᾶν παραλλαγὴν προλαμβάνει θαυμασιωτέραν τῆς μυσταγωγοῦ θεολογίας, παρ' ἣν ἡ ἐν τῷ παντὶ ἱερολογουμένη θεωρία παραδίδωσιν· ὥστε ὁ διαπορῶν εἰ ἐν τῷ παντὶ τὸ θεῖον οὐκ ἂν ὑπὲρ τὸ πᾶν, λέληθεν ἑαυτὸν τὴν τῶν ἱερῶν ῥημάτων ἐπὶ τῆς φύσεως χρῆσιν ἀγνοῶν· καὶ τῆς συνήθους περὶ τῶν ἐνύλων ὁμιλίας οὐδὲν ὑψηλότερον οὐδὲ θειότερον περὶ τῶν ἀΰλων φανταζόμενος· ἀλλὰ γὰρ πῶς ἐν τῷ παντὶ, εἴρηται μὲν ὡς κατ' οὐδένα τρόπον τῶν ὄντων.

Εἰ δὲ δεῖ τι μᾶλλον θεωρητικωτέρων δογμάτων πρὸς τὸ ὕψος μὴ ἀποδειλιάσαι, ἔστι τὸ θεῖον ἐν παντὶ κατ' ἐνέργειάν τε καὶ κατ' οὐσίαν· καὶ μή μοι λέγε, πῶς; προείρηται καὶ ὡς κατ' οὐδένα τρόπον τῶν ὄντων. πῶς οὖν ἐστι κατ' οὐσίαν; ὡς ἐννοήσας κατ' ἐνέργειαν· ἐπειδὴ γὰρ τὰ μὲν ἄλλα καὶ δυνάμει ἐστὶ ποτὲ καὶ ἐνεργείᾳ, τὸ δὲ θεῖον, ὡς ὁ διορατικὸς ἐννοήσειε νοῦς, ἀείπερ ἐστὶν ἐνέργεια· οὐ γὰρ ἐξ ἀτελοῦς εἰς τελειότητα πρόεισιν, οὐδ' ἄλλο τι παρὰ τὴν αὐτοενέργειάν ἐστι τὸ αὐτοούσιον, δῆλον ὡς ἐν οἷς ἐστι κατ' ἐνέργειαν, ἐν τοῖς αὐτοῖς ἐστι καὶ κατ' οὐσίαν· ἐνεργεῖ μὲν γὰρ κατὰ συνοχὴν καὶ διαμονὴν τῶν ὄντων· οὐσιοῖ δὲ καὶ διακρατεῖ τῶν δημιουργηθέντων ὑπ' αὐτοῦ τὴν φύσιν· πῶς οὖν τὸ θεῖόν ἐστι οὐσιωδῶς ἐν τῷ παντὶ, οὐ μία τις ἐκ τούτων ἀποτελεῖται συνουσίωσις καὶ φύσις; ὅτι οὐδ' ὅταν αὐτὸ ἐννοῇς κατ' ἐνέργειαν καὶ λέγῃς ἐν τῷ παντὶ εἶναι, οὐδ' οὕτως ἔσται συντετελεσμένον καὶ φύσεως λόγον ἐπέχων τὸ δυνάμενον ὁλόκληρόν πως ὑποσχεῖν τὴν χρείαν ἔκ τε τοῦ παντὸς καὶ ἐκ τῆς θείας καὶ κρείττονος συνελθεῖν ἑτέρῳ πρὸς μίαν ὑποστάσεως αὐτοτέλειαν· καὶ πῶς ἂν τὸ κατ' οὐσίαν ὑπάρχον τινί; τοῦτο γὰρ εὔλογον προσεπιζητεῖν δοκεῖ· μίαν ἐννοεῖν οὐκ ἀπαρτίζει σὺν ἐκείνῳ ὑπόστασιν. Ἀλλ' οὐ χαλεπὸν ἐπιλύσασθαι· ὅτι διττὸν λέγεται τὸ κατ' οὐσίαν ὑπάρχειν τινί· τὸ μὲν γὰρ τῶν σημαινομένων ἐν τῷ παρεῖναι δηλοῖ, μέρος τε γίνεσθαι τοῦ συγκρίματος καὶ ἀναπληρωτικὸν ὑπάρχειν τῆς κατὰ τὴν ὑπόστασιν τελειότητος, καθάπερ τῷ σώματι ἡ ψυχή· τὸ δὲ, οὔτε μέρος ἄν ποτε γένοιτο τοῦ φυράματος, οὔτε τοῖς ἰδιώμασιν ἐπαλλάττεται κοινοποιουμένων τῶν ἀφωρισμένων ἑκατέρᾳ τῶν φύρεων· οὔτε ὑπὸ θατέρου τῶν συγκριμάτων ἀπαρτίζεται· ἀλλ' ἔστιν ἡ σύνοδος αὐτοῦ συστατική τε μᾶλλον καὶ σωστικὴ τῆς συναπτομένης καὶ αὐτοτελοῦς ὑποστάσεως· καθ' ὃν τρόπον διὰ βραχυτάτης εἰκόνος καὶ τῆς ἀνὰ χεῖρα χρήσεως εἰπεῖν ἡ τοῦ κυβερνήτου

τέχνῃ τῇ νηΐ. Ἀλλὰ ταῦτα μὲν οὐχ' ὁ δογματικὸς διέξεισι λόγος καὶ ἀκίνητος, ὡς ἤδη καὶ τοῦ προοιμίου ἡ διασκευὴ ἐπεδείξατο, ἀλλ' ὁ εἰκαστικός τε καὶ γυμναστικὸς διετυπώσατο· κρατείτω δ' οὖν ὅμως ταῦτα, ἕως ἀνακύψῃ τὰ κρείττονα.

ΟΠ. Τί δή ποτε τοῦ θεοῦ διαῤῥήξαντος καὶ διαμερίσαντος τὸν τῶν Ἑβραίων λαὸν, καὶ τὸν μὲν εἰς Σαμαρείαν ἐξῳκικότος, τὸν δὲ εἰς τὴν Ἰουδαίαν ἐγκαταλελοιπότος· γέγραπται γὰρ ὡς εἶπεν ὁ κύριος τῷ Σολομῶντι· διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου· ἐκείνου τοίνυν διαῤῥηγνῦντος, τί δή ποτε τοὺς τὴν ἐκ θεοῦ διαίρεσιν ὑποστάντας μέμψεσι καθυποβάλλομεν καὶ αἰτίαις; θεοῦ γὰρ διαῤῥήσσοντος, τίς ἂν συναφθείη; καὶ μερισμὸν καταδικάζοντος, τίς ἐξελεῖται;

Τὸ μὲν οὖν διαπορηθέν σοι, εἴ τι μέμνηται, τοιοῦτον· εἰδέναι δὲ δεῖ οὐ μόνον ἐπὶ τῆς παρούσης ἀπορίας, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν παραπλησίαν τὴν περίστασιν ἐχόντων, ὡς αἱ προλαμβάνουσαι τῆς ἐκβάσεως τιμωρητικαὶ τοῦ θεοῦ ψῆφοι, οὐκ αὐταὶ τῆς ἐκβάσεως τὴν αἰτίαν εἰσὶν ἀναδεδεγμέναι· οὐ γὰρ εἴ τι τῶν γενησομένων προθεωρήσας τις προαναφωνήσει οὐδ' ἐφ' ἡμῶν τῶν ἀνθρωπίνων, μή τοι γε τὸ θεῖον, αὐτὸς ἂν εἴη δίκαιος τὴν αἰτίαν ἔχειν τῶν ἐκβεβηκότων· λέγεται οὖν ἐν τῇ θείᾳ γραφῇ τὰ τοιαῦτα· ὡς ἂν μὴν εἰς ἑτέραν τινὰ δύναμιν καὶ ἀρχὴν τὰς ἐπὶ τοῖς ἡμαρτημένοις ἡμῖν ἐπαγομένας τιμωρίας προαχθείημεν ἀναφέρειν· καὶ ταύτην ὁ θεῖος λόγος τὴν ὑπόνοιαν ἀναστέλλων, προαγορεύει τὰ ἐφ' οἷς ἡμάρτομεν συμβησόμενα· καὶ μία μὲν αἰτία αὕτη τοῦ τὴν αἰτίαν τῶν τοιούτων εἰς τὸ θεῖον τὴν ἀναφορὰν ἔχειν· δευτέρα δὲ ὅτι δυνατὸς ὢν ἐπισχεῖν τὴν πρὸς τὰ χείρω ἡμῖν ῥοπὴν, οὐκ ἐκβιάζεται, οὐδὲ πρὸς τἀναντία μεθέλκει· τοιοῦτον δὲ καὶ τὸ, ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά· καὶ οἶδα ὅτι οὐκ ἀκούσεταί σου Φαραώ· διὰ τοῦτο σκληρυνῶ τὴν καρδίαν αὐτοῦ· καὶ γὰρ τὸ „ σκληρυνῶ, οὐχ ὅτι αὐτὸς τὴν τοῦ Φαραὼ καρδίαν μεταπλάσει εἰς σκληρότητα, ἀλλ' ὅτι πρὸς ταύτην αὐτοῦ ῥέποντος καὶ συνεστραμμένου, οὐκ ἀναστέλλει οὐδὲ ἀναχαιτίζει, ἵνα μὴ περιέλῃ τῆς ἀνθρωπίνης φύσεως τὸ αὐτεξούσιον· καὶ παρ' ἑκούσιον τοῦ αἰγυπτίου ὡρμηκότος, οὐ μεταβαλεῖ οὐδὲ μεταστήσει πρὸς τὸ ἀκούσιον· τοῦτο γάρ ἐστι τὸ, σκληρυνῶ· ἔχοι δ' ἂν τινὰ καὶ ἑτέραν ἡ λέξις αὕτη παραδηλουμένην περιπέτειαν· σκληρυνῶ γὰρ ἀντὶ τοῦ, σκληρῷ καὶ ἀτεράμονι τὴν γνώμην ὄντι σκληρὰ αὐτῷ ἐπάξω καὶ τῆς τοῦ τρόπου ὠμότητος ἐπάξια.

Οὕτω δὴ οὖν ἐνταῦθα ὥσπερ ἔφημεν προειδὸς τὸ θεῖον ὡς ἐξ οἰκείας ὁρμῆς καὶ θελήσεως ἀποστήσονται μὲν τοῦ Ῥοβοὰμ, ἀκολουθήσουσι δὲ τῷ

δούλῳ καὶ ἀποστάτῃ Ἱεροβοὰμ καὶ μερισθήσεται τὸ ἔθνος εἰς τμήματα δύο, τούτου τὴν γνῶσιν ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων προειληφὼς ὁ Θεὸς, προαγορεύει τὸ ἐσόμενον· καὶ φησί· διαῤῥήξω τὴν βασιλείαν, διὰ τὰς προειρημένας ἔμπροσθεν αἰτίας δύο· εἰ γὰρ καὶ οὕτω τοῦ θείου πανταχοῦ λέγοντος καὶ εἰς ἑαυτὸν τὸ πᾶν ἀναφέροντος, οὐ διέλιπον αὐτοὶ πρὸς ἑτέρους ἀποτρέχοντες θεοὺς, καὶ τῇ Ἀστάρτῃ ἥτις ἐστὶ παρ' Ἕλλησιν Ἄρτεμις, καὶ τῷ Χαμὼς καὶ ταῖς μύαις λατρεύοντες, κἀκείνοις τῆς ἑαυτῶν ζωῆς τὴν πρόνοιάν τε καὶ τὴν διαμονὴν περιάπτοντες, τί οὐκ ἂν ἐτόλμησαν εἴτινα πόθεν λαβεῖν ἀφορμὴν ἔσχον ἐκ τῆς τῶν ἱερῶν γραμμάτων διανοίας, ὡς ἄλλος τίς ἐστιν αὐτοῖς ὁ τὰς τιμωρίας ὁρίζων, καὶ ἐξ ἑτέρου τινὸς ἡ τῶν χειρόνων αὐτοῖς ἕπεται φορά; ἴδοις δ' ἂν καὶ κατὰ τὸ πειρατήριον τοῦ δικαίου Ἰὼβ τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμοὺς καὶ ὅρους τινὰς καθορίζοντα τῷ πειράζοντι· οἷον τάδε δίδοταί σοι πειράσαι, τούτου δὲ μὴ ἅψῃ· πάντα γὰρ τῆς παντοκρατορικῆς ἐξῆπται δεξιᾶς, τὰ μὲν ἀντιλαμβανομένης καὶ συμπραττούσης, τὰ δὲ παραχωρούσης καὶ οὐκ ἀπειργούσης.

Παραπλήσιον δέ πως εἶναι δοκεῖ καὶ τὸ, προσέθετο ὀργὴ κυρίου τοῦ θυμωθῆναι ἐπὶ Ἰσραὴλ· καὶ ἐπέσεισε τὸν Δαβὶδ εἰς αὐτοὺς λέγων, ἀρίθμησον τὸν Ἰσραὴλ· ἐπισείει γὰρ τὸν Δαβὶδ ἀριθμῆσαι τὸν Ἰσραὴλ, ὅτι τοῦ δικαίου κριτοῦ ὀργὴ καὶ τιμωρία τῷ Ἰσραὴλ ἐφ' οἷς ἥμαρτον ἐκεχρεώστητο· καὶ οὐκ ἄλλος τίς ἐστιν ὁ ἀνασείων τὸν Δαβὶδ, ἀλλ' ὁ ὠργισμένος μὲν τῷ Ἰσραὴλ, ἐπενεγκεῖν δὲ μέλλων αὐτοῖς τὴν ποινήν· καὶ γὰρ τῆς μὲν ἁμαρτίας αὐτοὺς ἴσμεν τε αἰτίους, καὶ τὰ θεῖα διαμαρτύρονται λόγια, τῶν δὲ ἐρχομένων ἡμῖν ἐφ' οἷς ἐξαμαρτάνομεν θλιβερῶν ἡ θεία ψῆφος δημιουργός· κριτοῦ γὰρ δικαίου, πρὸς τὴν τῶν ἔργων βαρύτητα καὶ τὴν ἐπ' αὐτοὺς τιμωρίαν ἁρμόζεσθαι· καὶ γὰρ τῆς μὲν ὀργῆς οἱ ἡμαρτηκότες παραίτιοι· ἡ δὲ ὀργὴ τούτοις τὴν τιμωρίαν ἐπήγαγε, μέσου παραλαμβανομένου τοῦ Δαβὶδ, εἰς ὃν ἐκεῖνοι προσέκρουσαν, διὰ τὸ καὶ αὐτὸν ἡμαρτηκέναι Θεῷ· καὶ γὰρ ἠρίθμησεν· εἰ καὶ θᾶττον αὐτὸν πρὸ τῶν ἄλλων κατεδίκασεν· φησὶ γὰρ ἐπάταξε καρδία Δαβὶδ αὐτὸν ὅτι ἠρίθμησε τὸν λαόν· ποίας δὲ παρανομίας τηνικαῦτα ὁ λαὸς ὑποσχεῖν ἐδικαιοῦτο τιμωρίαν, ἢ δηλονότι τῆς ἐπαναστάσεως τῆς κατὰ τοῦ σφῶν βασιλέως Δαβίδ; ἡνίκα διαῤῥαγέντες ἐκ νόμου καὶ δικαίας ἀρχῆς τῷ κατὰ πατρὸς καὶ βασιλέως τυραννικὰς χεῖρας ἀντάραντι, καὶ μήτε τὴν φύσιν εὐλαβηθέντι, μήτε τὸ τῆς βασιλείας ἀξίωμα δυσωπηθέντι, συνεπανέστησάν τε καὶ συναπεστάτησαν· ἐξ οὗ κυρίως μὲν κατ' ἀλλήλων ἐῤῥυήκει ὁ φόνος, ἅπας δὲ φύσεως κατεπατήθη νόμος, παίδων πολλάκις κατὰ πατέρων τὰ ξίφη φερόντων, καὶ ὁ φίλτατος υἱὸς χειρὸς πατρικῆς ἔργον κείμενος· τοιαῦτα γὰρ τὰ κακὰ τῆς ἐμφυλίου στάσεως· ταύτης οὖν τῆς κατ' ἀλλήλων μιαιφονίας,

δίκαιος ἦν ὑποσχεῖν τὴν τιμωρίαν ὁ Ἰσραήλ· ἐπεὶ δὲ ἔδει ποινηλαθῆναι αὐτὸν, οἷόν τις προκαταρκτικὴ αἰτία τιμωρίας διατίθεται τὸ ἀνασεισθῆναι τὸν Δαβὶδ ἐξαριθμῆσαι τὸν λαόν.

Ὅτι γὰρ οὐδὲ τῶν δεινῶν σφόδρα παρὰ βασιλέως ἦν ἡ ἀρίθμησις τοῦ λαοῦ, κἂν νῦν εἰς αἰτίαν τῆς τιμωρίας παρείληπται, δηλοῖ καὶ ἡ μετὰ ταῦτα ἀπαρίθμησις παρὰ τῷ αὐτῷ γεγενημένη Δαβὶδ· ἐφ' ᾗ οὔτε τι μηδὲν ἀπήντησε πονηρὸν καὶ μήτε πονηρίας ἐγκλήματι ὑπαχθεῖσα μητέ τινα ἐφελκυσαμένη ποινήν· αὕτη δὲ περὶ τὰ τέλη γέγονε τοῦ βασιλέως· ὅτε καὶ ὁ τῶν Λευϊτῶν συνελογίσθη ἀριθμός· τοῦτο δὲ καὶ συνυπεμφαίνουσα ἡ γραφὴ, τὸ, προσέθετο ὀργὴ κυρίου θυμωθῆναι ἐπὶ Ἰσραὴλ διατίθησι πρὸ τοῦ, ἀνέσεισε τὸν Δαβὶδ, ἐνάγουσα οἱονεὶ καὶ διανιστῶσα τὸν ἀκροατὴν συνιδεῖν ὡς οὐχὶ διὰ τὸ ἀριθμηθῆναι τὸν λαὸν ἡ ὀργὴ ἀνήφθη τοῦ θεοῦ, ἀλλὰ διὰ τὴν προσγεγενημένην αὐτῶν στάσιν τε καὶ τυραννίδα καὶ μιαιφονίαν· τὸ γὰρ τὴν ὀργὴν προτεθεῖσθαι τῆς ἀριθμήσεως, οὐ διὰ τὴν ἀρίθμησιν ἐπαχθῆναι ταύτην δηλοῖ· ἀνασείεται δὲ αὐτὸς ὁ Δαβὶδ καὶ οὐκ ἄλλος, ὅτι περ διὰ τὸ αὐτοῦ ἁμάρτημα ἡ τοῦ Ἀβεσαλὼμ ἐπανάστασις συνέβη· ἀνθ' ὧν γάρ φησιν ἐφόνευσας καὶ ἐμοίχευσας, καὶ ἑτέροις μὲν ὑπαχθήσῃ, πλὴν ἀλλὰ καὶ αἱ γυναῖκές σου ἐνώπιον τῶν ὀφθαλμῶν σου εἰς ἑτέρους μεταστήσονται, ὃ δὴ καὶ διαπέπρακται τῷ Ἀβεσαλὼμ· ἀνασείεται οὖν αὐτὸς ὁ ἡμαρτηκὼς ἵνα τοῦ οἰκείου πταίσματος εἰς συναίσθησιν ἐλθὼν, ἐγὼ ἥμαρτον, ἀναβοήσῃ, καὶ ἐγὼ ἐκακοποίησα, οὗτος δὲ ὁ λαὸς τί ἐποίησε; καὶ ἐκ μὲν τῆς ἐξαγορεύσεως καὶ μετανοίας ἡ θραῦσις κοπάσῃ· ταύτης δὲ ληγούσης ἡ σωτηρία περιγένοιτο τῷ γένει· μᾶλλον δὲ ἄνωθεν εἰπεῖν, ἐκεχρεωστήκει τὴν δίκην ὁ λαός· διὰ τοῦτο προσέθετο ὀργὴ θεοῦ θυμωθῆναι ἐπ' αὐτούς· ἀνασείει δὲ ὁ θυμὸς πρὸς τὴν ἀρίθμησιν τὸν Δαβὶδ· ἀριθμηθέντος δὲ ἐπέθετο ἡ πληγή· ἱσταμένης δὲ τῆς πληγῆς, εἰς συναίσθησιν τοῦ παραπτώματος ἥκει ὁ Δαβὶδ ἐκ τῆς συναισθήσεως, εἰς μετάνοιαν· ἡ μετάνοια δὲ τὴν ἄνωθεν συγγνώμην καὶ τὸν ἔλεον κινεῖ· τὰ δὲ παύουσι τὴν θραῦσιν· ὥστε καὶ τὸ δεινὸν τῷ λαῷ ὥσπερ ἀπό τινος κεφαλῆς τῷ ἡμαρτηκότι κατέβη· καὶ ἡ τοῦ πάθους πάλιν ἀναστολὴ διὰ τὴν αὐτοῦ μετάνοιαν κατεπράχθη.

## ΠΑ. Πῶς οἱ οὐρανοὶ διηγοῦνται δόξαν τοῦ θεοῦ.

Οἱ δὲ οὐρανοὶ μὴ ἔχοντες στόμα διηγοῦνται δόξαν θεοῦ, διότι ἐκ μεγέθους καὶ καλλονῆς κτισμάτων ὁ γενεσιουργὸς θεωρεῖται, καὶ τὸ περὶ αὐτὰ θαῦμα τοῖς γε φρονοῦσιν εἰς τὸν δημιουργὸν ἀναφέρεται καὶ διαβαίνει· ὥστε οἱ οὐρανοὶ οὐχὶ ῥήμασι, πράγμασι δὲ τήν τε δύναμιν ἀνακηρύττουσι τοῦ δημιουργοῦ, καὶ πρὸς δοξολογίαν παρακαλοῦσι τοὺς ὀρθῶς

αὐτοῖς ἐνορῶντας· εἰ δὲ κατ' ἐπιβολὴν θεωρίας ἐθελήσοις ἐννοεῖν, εὑρήσεις οὐρανοὺς τοὺς ἀποστόλους, οἳ διηγήσαντο τὸ εὐαγγέλιον τοῦ Χριστοῦ πάσῃ τῇ οἰκουμένῃ, καὶ δοξάζειν τὸν θεὸν τὸν ὑπὲρ ἡμῶν τὰ ἡμέτερα ἀναλαβόντα, ὑπέδειξάν τε καὶ καθηγήσαντο· εἰ βούλει δὲ, διηγήσαντο οἱ οὐρανοὶ τὴν δόξαν τοῦ θεοῦ ἡμῶν Χριστοῦ, ἡνίκα τῶν πατρικῶν μὴ κενωθεὶς κόλπων, ἐκ παρθένου σάρκα λαβεῖν κατηξίωσεν, καὶ εἶχεν αὐτὸν ἡ Βηθλεὲμ καὶ τὸ σπήλαιον· τότε γὰρ δή τότε ἡ ἐν τοῖς οὐρανοῖς ἀριθμουμένη φύσις, τοῦτο μὲν ἡ ὁρατὴ, τοῦτο δὲ καὶ ἡ ὑπὲρ τὸ ὁρώμενον, ὑπηρετεῖτό τε καὶ καθυπούργει τῷ θαύματι· ἡ μὲν οἱονεί τινα κήρυκα κοινὸν τὸν ἀστέρα χειροτονοῦσα καὶ προβάλλουσα ἀνακηρύττει τοῦ δεσπότου τὴν δόξαν, καὶ τὸν κρυπτόμενον βασιλέα δι' ἑνὸς δορυφόρου προπομπεύουσα· ἡ δὲ πλῆθος στρατιᾶς προβαλλομένη τὸν κτίστην αἰνούντων, καὶ τῶν τελουμένων τὸ θαῦμα διηγουμένων τῷ ᾄσματι· ῥηθεῖεν δ' ἂν οὐκ ἀπεικότως οἱ ἄγγελοι οὐρανοὶ, ἅτε δὴ ἄνωθεν ἀφιγμένοι πρὸς τὰ ἐπίγεια· εἰ δὲ καὶ τὸν ἥλιον ἐθέλοις ἰδεῖν ἐπὶ τῷ δεσποτικῷ πάθει σκυθρωπάζοντα, καὶ τῇ ἀποθέσει τοῦ περικαλλοῦς ἐκείνου φωτὸς τὴν θεότητα καὶ τὴν δύναμιν τοῦ πάσχοντος ἀναγγέλλοντα, ἐγγὺς ἂν γένοιο καὶ τῆς κατὰ θεωρίαν ἀναπτύξεως.

### ΠΓ. Τί ἐστιν· ἐπετίμησας τοῖς ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβής.

Τὸ, ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ὁ ἀσεβὴς, φασὶ τοῦτο δηλοῦν· ὡς ἐν τῷ ἐπιτιμηθῆναι τὰ ἔθνη καὶ τῆς οἰκείας ἀποστῆναι πλάνης, γενέσθαι τε τῆς ποίμνης Χριστοῦ, ὁ πρὸς ἀσέβειαν αὐτοὺς ἐκκαλούμενος ἀπώλετο διάβολος· ἀσεβὴς γὰρ αὐτός τε ὁ ἀσεβῶν εἴη ἂν καὶ ὁ τοῦτον ἕλκων πρὸς τὴν ἀσέβειαν· εἴη δ' ἂν ἐγγύτερον ὡς τοῦ σωτῆρος ἐπιδεδημηκότος τῇ γῇ, καὶ κοινῶς ἅπαντας Ἰουδαίους τε καὶ Ἕλληνας, καὶ βαρβάρους ἐπὶ τὴν οἰκείαν προσκαλουμένου ἐπίγνωσιν καὶ οἱονεὶ τῶν πρώην αὐτοῖς ἠσεβημένων καθαρτικήν τε καὶ τελειωτικὴν ἐπιτίμησιν τὴν διὰ τοῦ βαπτίσματος ἐπάγοντος· ὅσοι μὲν εὐπειθῶς τε καὶ εἰλικρινῶς τὴν ἐπιτίμησιν ἐδέξαντο, οὗτοι τῆς μερίδος τῶν σωζομένων ἐγένοντο· εἰ δέ τις πρὸς τὴν ἐπιτίμησιν ἀπεδυσπέτησε, μήτε τὸν τοῦ βαπτίσματος καθαρμὸν μήτε τὴν δι' αὐτοῦ τῆς πίστεως προσδεξάμενος ἔλλαμψιν, οὗτος ὡς ἀσεβής τε καὶ ὀλέθρου ἀπολεῖται ἄξιος· οἶδα δὲ ἐπιτιμίας παρά γε μάλιστα τοῖς ἔξω σοφοῖς τὴν τιμὴν καὶ τὴν περιφάνειαν ὀνομαζομένην καὶ τὸ περίδοξον· λέγοι ἂν οὖν τὸ ῥητὸν, εἴτις τὴν λέξιν εἰς τοῦτο τὸ σημαινόμενον μεταλάβοι, ὡς τοῦ Χριστοῦ τιμήσαντος καὶ δοξάσαντος τὰ ἔθνη, υἱοὺς γὰρ κληρονόμους τῆς

αὐτοῦ βασιλείας τοὺς πειθομένους ἔθετο, οἱ ἀναξιοι τοῦ κλήρου καὶ τῆς υἱοθεσίας, ἀσεβεῖς ὄντες ἀπολοῦνται.

ΡΚΘ. Τίνος ἡ φωνὴ, τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης;

Ωσπερ ἡ γῆ θεασαμένη τὸν κύριον καὶ σωτῆρα δύναμιν ἔχοντα θεϊκὴν καὶ ἐπιτάσσοντα τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, ξενιζομένη ἔλεγε, τίς ἐστιν οὗτος ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ; οὕτω καὶ ὁ οὐρανὸς ἐν σαρκὶ βλέπων τὴν θεότητα, ξενιζόμενος λέγει· τίς ἐστιν οὗτος ὁ β. τ. δ.

ΡΛ. Διὰ τί ὁ τῆς νηστείαις χρόνος ἐν μ̄ ἡμέραις ἀριθμεῖται.

Ζητοῦσι τινές· τί δήποτε ὁ τῆς νηστείας χρόνος ἐν ἡμέραις ἡμῖν μ̄ περιγράφεται· καὶ οὔτε εἰς τὸν πεντηκοστὸν ἢ ἑξηκοστὸν παρατείνεται, οὐδὲ ἐντὸς πάλιν τῶν μ̄ περικλείεται· καὶ οὐχ ἡμῖν μόνον οὕτω παραδέδοται, ἀλλὰ καὶ αὐτὸς ὁ κοινὸς δεσπότης καὶ σωτὴρ ἡμῶν, ὁ νομοθέτης τῶν ἐν τῇ χάριτι, μ̄ ἡμέρας φαίνεται νηστεύσας, ὅποτε αὐτῷ προσβαλεῖ ὁ πειράζων, πρὸς ἀγῶνα ἀπεδύετο· καὶ πρό γε τοῦ δεσπότου ὁ προφήτης Ἡλίας, τοσαύτας ἡμέρας διανύσαι ἐν νηστείαις ἀναγέγραπται· καὶ ἔτι πρὸ τούτου Μωϋσῆς ἐν τῷ σιναίῳ ὄρει ἡνίκα τὰς πλάκας θεόθεν λαβεῖν παρεσκευάζετο· ἡ μὲν οὖν ζήτησις αὕτη. Ἀλλὰ γὰρ τὴν μὲν βαθυτέραν καὶ ἀποῤῥητοτέραν αἰτίαν ἴσως ἄν τις ἄλλος κατὰ τοὺς προειρημένους ἄνδρας ἀνηγμένος τε καὶ μετάρσιος τὴν θεωρίαν, ὑψηλοτέραν τε καὶ θειοτέραν ἀποδώσειεν· ἃ δὲ εἰς ἡμετέραν ἧκε μάθησιν, ἐροῦμεν. Ἐν ἓξ ἡμέραις ὁ θεὸς τὸν παρόντα καὶ ὁρώμενον τοῦτον κόσμον ἐδημιούργησε, τῇ δὲ ἑβδόμῃ κατέπαυσε μὲν ἀπὸ τῶν ἔργων καὶ πέρας ἔθηκε τῷ φιλοτεχνήματι· συναριθμεῖται δὲ καὶ αὕτη ταῖς πρὸ αὐτῆς, ὥσπερ καὶ πᾶσα ἀρχὴ χρόνου τινὸς καὶ πέρας ἐν τῇ συναριθμήσει τῶν μεταξὺ συμπεριλαμβάνεται· καὶ ὁ παρὼν αἰὼν τῆς ἑβδομάδος συνεχῶς ἀνακυκλούμενος ἀπαρτίζεται· ἡ δὲ ὀγδοὰς τὸν μέλλοντα αἰῶνα δηλοῖ, καὶ τὸν ἐκ τοῦ παρόντος εἰς ἄλλην τινὰ θειοτέραν λῆξιν καὶ κατάστασιν, ἥ τις καὶ ὀγδοὰς καλεῖται καὶ πρώτη καὶ μία· ὀγδοὰς μὲν ὡς ἄλλο τι διάστημα παρὰ τὸν συμπληρούμενον χρόνον πρὸ τῆς ἑβδομάδος ὑπάρχουσα· πρώτη δὲ ὡς ἀρχὴ οὖσα λήξεως ἑτέρας καὶ πολιτείας θειοτέρας καὶ ἀμείνονος· μία δὲ ὡς οὐκ ἔχουσα μετ᾽ αὐτὴν, ἑτέραν χρονικὴν περίοδον, ἀλλ᾽ αὐτὴ ἀτελευτήτως ὑπάρχουσα καὶ διαμένουσα.

Τούτων οὕτω προτεθεωρημένων ἡμῖν, ὅσοι μὲν ἑβδόμην κατὰ τὴν ἑβ-

δομάδα βούλοιντο τὸν ῥευστὸν τοῦτον χρόνον καὶ ἐπίκηρον καὶ τοις ῥευστοῖς καὶ φθαρτοῖς συμπαραμετρούμενον τε καὶ συμπαραῤῥέοντα, οὗτοι ταῖς ἁμαρτίαις καὶ τῶν παθῶν τῇ ἀχλῦι τὰς αἰσθήσεις πάσας κατεκηλίδωσαν· καὶ ἀκοὴν μὲν ἔπλησαν ᾀσμάτων πορνικῶν καὶ τῶν ὅσα τούτοις συνέπεται· καὶ ὄψις μὲν αὐτοῖς τὰ ψυχοφθόρα θεάματα· ἀφὴ δὲ καὶ γεῦσις καὶ ὄσφρησις, ἵνα μὴ καθέκαστον αἰσθητήριον λέγων εἰς μῆκος ἀποτείνω τὸν λόγον, οἷς οὐ θέμις ἐνδιατρίβουσιν· ἐξ ὧν αὐτοῖς ἀκατακρίτως ἅτε ἡ φύσις παρέσχετο καὶ ἃ μὴ θεῖος νόμος ἐκώλυσε, περὶ ταῦτα ἀναστρέφεσθαι. Τῶν οὖν ἐν ἡμῖν ε̄ αἰσθήσεων οὕτως ἐῤῥυπωμένων τε καὶ λελυμασμένων ὑπὸ τῶν παθῶν τε καὶ τῆς ῥοῆς, ἃ ἐν τῷ ῥέοντι προσλαμβάνομεν χρόνῳ, τούτων ἡ κάθαρσις καὶ ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις οὐκ ἂν γένοιτο κατὰ τὸν τύπον καὶ τὴν μίμησιν τοῦ ῥευστοῦ καὶ φιλαμαρτήμονος χρόνου· κατὰ τὴν τάξιν δὲ μᾶλλον καὶ παιδαγωγίαν καὶ ἐκμίμησιν τοῦ ἀπαθοῦς τε καὶ ἀῤῥεύστου καὶ ἀτελευτήτου χρόνου· ὃν ὁ λόγος μικρὸν ἄνωθεν, ὀγδόην τε καὶ πρώτην καὶ μίαν ἐδίδαξεν ἐπονομάζεσθαι. Ἐπεὶ οὖν αἱ ε̄ αἰσθήσεις ἡμῶν ἐπὶ τὴν ὀγδοάδα πολλαπλασιαζόμεναι τὸν μ̄ ἀποτελοῦσιν ἀριθμόν· διὰ δὲ τῶν ε̄ αἰσθήσεων ζῶμεν τε καὶ τὰς πράξεις ἐπιτελοῦμεν ὅσαι τε φαῦλοι καὶ ὅσαι εἰς ἀρετῶν ἀναφέρονται λόγον, εἰκότως διὰ μ̄ ἡμερῶν ταύτας καθαίρομεν, καὶ πᾶσαν αὐταῖς ἰατρείαν προσάγειν παρελάβομεν, οὕτω κατὰ ταύτας πολιτεύεσθαι ὡς ἂν ἡ ὀγδοὰς, ἀλλὰ μὴ τὸ ῥευστὸν τῆς ἑβδομάδος ἐπιτάττῃ τε καὶ διακελεύηται· ταύτῃ δὲ ἡμῶν τῇ θεωρίᾳ καὶ ὁ ἅγιος Ἰωάννης ὁ Κωνσταντινουπόλεως ἔν τινι τῶν αὐτοῦ λόγων ὃς ἐπιγέγραπται, περὶ νηστείας, συνᾴδων τε καὶ προμαρτυρόμενος ἐπιδείκνυται.

## ΡΛΒ. Διατί πρωτότοκον ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκάλεσε.

Πρωτότοκον δὲ ὁ Θεὸς τὸν Ἰσραὴλ καλεῖ, ἡνίκα τὸν Μωϋσῆ ἀπέστελλε πρὸς τὸν Φαραὼ, ἐνδεικνύμενος τὴν ἀγάπην καὶ στοργὴν ὅσην εἶχε περὶ αὐτόν· ὡσανεὶ ἔλεγε τῷ Μωϋσεῖ· λάλησον τῷ Φαραώ· ὅτι ἡλίκην σὺ στοργὴν περὶ τὸν σὸν υἱὸν τὸν πρωτότοκον ἔχεις καὶ διατηρεῖς, τὴν αὐτὴν ἐννόει καὶ πρὸς τὸ γένος τοῦ Ἰσραὴλ ἔχειν τὸν Θεόν· διὸ καὶ ἀπειθοῦντος πρὸς τὴν ἐλευθερίαν καὶ ἄνοδον τοῦ Ἰσραὴλ, κατὰ τῶν πρωτοτόκων τοῦ Φαραὼ καὶ τῶν Αἰγυπτίων ἀφίεται ἡ πληγή· ἔτι δὲ ὁ Θεὸς ἐπειδὴ ἁπάντων ἐστὶν ἐθνῶν πλάστης καὶ δημιουργὸς, οὕτω καὶ πάντων προνοητής· χρόνοις δ' ὑστέροις τὰ ἔθνη πάντα πρὸς τὴν οἰκείαν ἐπίγνωσιν ἔμελλεν ἐπιστρέφειν καὶ καλεῖν καὶ υἱοὺς αὐτοῦ καὶ κληρονόμους τῆς χάριτος ἀποφαίνειν· πρὸ δὲ τούτων τὸ ἔθνος ἐξελέξατο τοῦ Ἰσραὴλ ὡς ἂν δι' αὐτοῦ

συναγάγῃ καὶ τοὺς ἄλλους· καὶ δηλοῦσιν οἱ ἀπόστολοι τοῦτο, ἐξ Ἰσραὴλ μὲν φῦντες, πάντων δὲ τῶν ἐθνῶν διδάσκαλοι καὶ συναγωγεῖς γεγενημένοι· διὰ τοῦτο τοῖς Ἰσραηλίταις ἡ πρωτότοκος ἐχαρίσθη φωνή· οὐ λαμβάνει δὲ ὁ πρωτότοκος οὗτος τὰ τῆς εὐσεβείας τελειώτερα· διότι σκληρὸς καὶ ἀπειθὴς γέγονεν, οὐ κατὰ τὴν Αἴγυπτον μόνον, ἀλλὰ μετὰ τὴν ἐξ Αἰγύπτου ἔξοδον ἐν τῇ ἐρήμῳ· διὸ τῶν μὲν τελειοτέρων οὐκ ἀξιοῦται μυστηρίων, διὰ δὲ τοῦ δευτέραν τάξιν ἔχοντος νόμου τέως παιδαγωγεῖται· ἐπεὶ καὶ τὸν δακτύλῳ θεοῦ γεγραμμένον νόμον πλαξί τε ἀχειροποιήτοις ἐντετυπωμένον, ὃς τὸν ἡμέτερον καὶ κατὰ Χριστὸν προετύπου νόμον οὐκ ἀξιοῦται δέξασθαι τὸ Ἰουδαίων ἔθνος διὰ τὴν περὶ τὸν μόσχον δυσσέβειάν τε καὶ παρανομίαν· λαμβάνει δὲ τον δεύτερον καὶ ὃν Μωϋσῆς πλαξὶν ἃς αὐτὸς ἐλάξευσεν ἐγγράφει· εἰ γὰρ αὐτὰς τὰς θεογράφους πλάκας ἔλαβον καὶ κρεῖττον ἢ κατὰ χειρὸς ἔργον ἐκλελαξευμένας, τάχα ἂν καὶ θεοὺς αὐτὰς ἡγοῦντο καὶ ἐπὶ μεῖζον τὴν θείαν κατ' αὐτῶν ὀργὴν ἀνῆψαν· ἀλλ' ἐκείνοις μὲν δι' ἣν ἔφημεν αἰτίαν τὰ τελειότερα οὐ παραδίδοται τῶν μυστηρίων, ἐπ' ἐσχάτων δὲ ἡμερῶν ἄνθρωπος γεγονὼς ὁ τοῦ θεοῦ λόγος, καὶ θέμενος τὰ ἔθνη εἰς υἱοὺς, δίδωσιν αὐτοῖς οὐκέτι τὴν ἐν τύπῳ καὶ σκιᾷ παλαιωθεῖσαν λατρείαν, ἀλλὰ καὶ ἐν ἀληθείᾳ καὶ πράγματι νεάζουσάν τε καὶ ἀνακμάζουσαν τὸ τῆς εὐσεβείας ἀκήρατον κάλλος· πάντων γοῦν υἱοθετηθέντων τῶν ἐθνῶν, εἰκότως ὁ πρὸ αὐτῶν εἰς υἱοθεσίαν κληθεὶς πρωτότοκος ἐλέγετο τοῦ Ἰσραὴλ λαός· ὧδε δέ μοι καὶ ἕτερον σκόπει· ὁ τοῦ θεοῦ λόγος ἐκ σπέρματος φαίνεται κατὰ τὸ ἀνθρώπινον ἐληλυθὼς Ἰσραήλ· δι' αὐτοῦ δὲ πρωτότοκον ἅπαν αἰγυπτιακὸν, τουτέστιν ἀσεβὲς καὶ ἄθεον γέννημα, τῷ θανάτῳ καὶ τῇ φθορᾷ ὑποβέβληται· ἐπεὶ οὖν ἐκ τοῦ Ἰσραὴλ ἔφυ ὁ τῶν αἰγυπτιακῶν ἀναιρέτης πρωτοτόκων, πρωτότοκον καὶ τὸν Ἰσραὴλ καλεῖ· καὶ τοῦτο ἄρα καὶ ὁ εὐαγγελιστὴς ἀναγράφει· ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου· ἐπισκεπτέον οὖν ἄμεινον τούτων·

## ΡΝΑ. Περὶ τῶν χρήσεων τῶν ἔξω ἐν τῇ ἡμετέρᾳ γραφῇ εὑρισκομένων.

Ἰούδας μὲν οὖν ὁ ἀπόστολος ἐν τῇ αὐτοῦ ἐπιστολῇ ἐκ τῶν λεγομένων ἀποκρύφων Μωϋσέως ταύτην προάγει τὴν χρείαν· ὁ δὲ Μιχαὴλ ὁ ἀρχάγγελος ὅτε τῷ διαβόλῳ διακρινόμενος διελέγετο περὶ τοῦ Μωϋσέως σώματος, οὐκ ἐτόλμησε κρίσιν ἐπενεγκεῖν βλασφημίας, ἀλλ' εἶπεν, ἐπιτιμήσαι σοι κύριος. Ἐν δὲ τῇ αὐτῇ ἐπιστολῇ ἐκ τῶν Ἐνὼχ ἀποκρύφων ἑτέρας μνημονεύει τοιαύτης· ἰδοὺ ἦλθε κύριος ἐν ἁγίοις μυριάσιν αὐτοῦ ποιῆσαι κρίσιν κατὰ πάντων, καὶ ἐλέγξαι πάντας τους ἀσεβεῖς περὶ πάντων ἔργων ἀσεβείας αὐτῶν ὧν ἠσέβησαν, καὶ περὶ πάντων τῶν σκληρῶν ὧν ἐλάλησαν

κατ' αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς· Λουκᾶς δὲ ἐν ταῖς ἀποστόλων πράξεσιν τὸν μακάριον εἰσάγει Παῦλον ἐκ τῶν τοῦ Ἀράτου ἡρωϊκῶν στίχων μέρος τι πρὸς τοὺς Ἀθηναίους ἐν τῷ διαλέγεσθαι προκομίζοντα ἐν οἷς φησιν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος ἐσμέν. Ὁ δὲ μακάριος Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ἐκ τῶν λεγομένων τοῦ προφήτου Ἠλίου ἀποκρύφων ταύτης μνημονεύει τῆς φωνῆς· ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. Ἐν δὲ τῇ αὐτῇ δημώδους τινὸς λακωνικῆς μέμνηται παροιμίας, ἣν καὶ προλαβὼν Ἡσαΐας ὁ προφήτης ἐν τοῖς ἑαυτοῦ κατατάττει λόγοις· φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν· ἔτι δὲ ἐν τῇ αὐτῇ ἐπιστολῇ, Μενάνδρου τοῦ κωμικοῦ, γνώμας δὲ αὐτὸς ἀναγράφεται ἀρχαίων τινῶν, μέμνηται λέγων οὕτως· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί· καὶ ἑξῆς· καὶ μὴν καὶ ἐν τῇ πρὸς Γαλάτας ἐκ τῶν Μωϋσέως ἀποκρύφων κέχρηται τῇ λεγούσῃ φωνῇ· οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις· καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ θεοῦ· ἀλλὰ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ἐκ τῶν λεγομένων Ἱερεμίου ἀποκρύφων· ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν καὶ ἐπιφαύσει σοι Χριστός· καὶ ἐν τῇ πρὸς Τίτον δὲ ἐπιστολῇ Ἐπιμενίδους τε τοῦ μάντεως κρητοῦ καταλέγει τὸν χρησμὸν, οὗ καὶ Καλλίμαχος μέμνηται ἐν τῇ ἰδίᾳ ποιήσει· εἶπεν τις ἐξ αὐτῶν προφήτης· Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί· ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής.

### ΡΞΕ. Ὅτι ἐπὶ τῆς κεφαλῆς ἔφερε φησὶν ὁ ἀρχιερεὺς τιάραν.

Διότι τὸν προχειριζόμενον ἁπάντων κεφαλὴν, κατὰ κεφαλῆς ἔδει τὴν ἐξουσίαν ἔχειν, καὶ εἰδέναι ὅτι κεφαλὴ τῶν ἄλλων προβαλλόμενος, καὶ αὐτὸς ὑπὸ κεφαλήν ἐστιν, τὸν κοινὸν ἁπάντων δεσπότην καὶ ἐξουσιαστήν· ἀπολελυμένη γὰρ αὐθεντία καὶ αὐτόνομος, ἀφόρητός ἐστι καὶ χαλεπή· διὰ τοῦτο καὶ οἱ ἐν τῇ χάριτι ἀρχιερατεύειν τελούμενοι, τὸ εὐαγγέλιον ἐπὶ κεφαλῆς δέχονται, ἵνα μάθῃ ὁ χειροτονούμενος ὅτι τὴν ἀληθινὴν τοῦ εὐαγγελίου τιάραν λαμβάνει· καὶ ὅτι εἰ καὶ τῶν ἄλλων ἱερουργεῖται κεφαλὴ, ἀλλ' οὖν καὶ αὐτὸς ὑπὸ τούτους τελεῖται τοὺς νόμους· καὶ τῶν ἄλλων κρατῶν, τῷ νόμῳ κρατεῖται· ἀλλ' ἡ μὲν τιάρα τὴν ἐξουσίαν ἐτύπου, ἣν τε αὐτὸς εἶχε τοῦ λαοῦ καὶ ὑφ' ἣν αὐτὸς ἐφέρετο τοῦ θεοῦ· τὸ δὲ πέταλον τοῦ χρυσοῦ ἐν ᾧ τὸ ὄνομα ἐκεκόλαπτο τοῦ θεοῦ, ἐπέκειτο μὲν τῷ στήθει, φυλακῆς δ' ἐπεῖχε τόπον τῶν ἐν καρδίᾳ κινημάτων, καὶ ὡς δεῖ ταῦτα καταρρυθμίζειν τῇ πρὸς τὸ θεῖον νεύσει καὶ ἀναφορᾷ. Ἐπὶ

δὲ τῶν ὤμων σμαράγδου λίθοι δύο ἔχοντες τὰς ἓξ φυλὰς ἐντεῦθεν καὶ τὰς ἓξ ἐντεῦθεν, οὗτοι δὲ σύμβολον ἦσαν τῆς ὄψεως τῆς ἀρχιερατικῆς· ἔχει γὰρ ἡ τοῦ σμαράγδου ψῆφος καὶ χλωρότητα εὐπρεπῆ, καὶ καθαρότητα διαυγῆ, κατόπτρου δύναμιν ἀποφαίνουσα· καὶ γὰρ δεῖ τὸν ἱερέα καὶ ἀσκήσει νήφειν· καὶ τὸν βίον τοῖς ὑπ' αὐτὸν ὥσπερ κάτοπτρον παρέχειν. Ἐπὶ τῶν ὤμων δὲ ἡ σμάραγδος· ἐπειδὴ πράξεώς ἐστι σημεῖον· ἡ γὰρ πρακτικὴ δύναμις τῶν ὤμων ἤρτηται· διὸ καὶ ὁ Θεὸς πρὸς Ἱερουσαλὴμ λέγει· θὲς τὴν καρδίαν σου ἐπὶ τῶν ὤμων σου θύγατερ ἠτιμωμένη, ὅτι κύριος κτίζει σε εἰς σωτηρίαν· καὶ Γὰρ τὰς χεῖρας καὶ τοὺς ὤμους εἰς πράξεις ἡ γραφὴ λαμβάνει· ὡς ὅταν λέγει περὶ τοῦ Δαβὶδ καὶ ἐν Ταῖς συνέσεσι Τῶν χειρῶν αὐτῶν ὡδήΓησεν αὐτούς. Ἐνῆσαν δὲ Τῷ λοΓείῳ Τῷ ἐπὶ τοῦ στήθους καὶ οἱ δώδεκα λίθοι ἐνηρμοσμένοι, τὰς δώδεκα φυλὰς ὑποδηλοῦντες· καὶ ὅρα, ἄνω μὲν καὶ ἐπὶ τῶν ὤμων μία ἦν ἡ φύσις τῶν λίθων, ἡ σμάραγδος· κάτω δὲ καὶ ἐπὶ τοῦ στήθους, οἱ δώδεκα, αἰνιττομένου τοῦ λόγου ὅτι ἄνωθεν μὲν ἅπαντες ἐκ μιᾶς προήλθομεν φύσεως· προϊόντος δὲ τοῦ χρόνου διαφόροις ἐμερίσθημεν γνώμαις· καὶ τὸ μὲν δίδωσι τῇ γνώμῃ, τὸ δὲ τῇ φύσει.

Ὑπὸ δὲ τὸ κράσπεδον τοῦ ἱερέως τὸ λεγόμενον λῶμα, ἄνθη ῥόας, καὶ ῥοΐσκοι χρυσοῖ καὶ κώδωνες ἀπηώρηντο· καὶ πῶς ἂν εἴη Θεῷ ταῦτα κατὰ πρῶτον λόγον ἀρέσκοντα; ἀλλ' ἐν τῷ σχήματι τοῦ ἱερέως ἐφῆκεν ἐξεικονίζεσθαι τὰς ἀρετάς· κάτω ἄνθη καὶ καρποὶ, τὰ τῶν ἀρετῶν κατορθώματα· ἅτινά ἐστιν ἐλεημοσύνη καὶ δικαιοσύνη καὶ φιλανθρωπία καὶ τῶν (ἄλλων) ὁ σύσΤοιχος χορός· Ὅτι φησὶ· μὴ μεΤάβαλλε ῥήμαΤα θεοῦ ζῶνΤος· εἰς πατέρα καὶ υἱὸν καὶ ἅΓιον πνεῦμα ἐβαπτίσθης, τί ἀναιρεῖς τὰ ὀνόματα τὰ ζῶντα καὶ εἰσάγεις ὀνόματα λογισμῶν; Γέννημα λέγων καὶ ἀγέννητον καὶ γεννητὸν, ὃν ἀεὶ καὶ μὴ ὂν ἀεὶ, τούτων ἀνέχεται Θεὸς τὸν ματαίων ῥημάτων; ἓν ῥῆμα ἵνα μεταβάλῃ, προφήτας ποτὲ ἐκινδύνευεν ἀπολέσθαι· καὶ βλέπε ῥήματος μικροῦ ἀκριβολογίαν· τὰ ῥήματα τῶν προφητῶν τινὲς ἐκάλουν ὑπὸ ἀπειρίας, λῆμμα κυρίου· λέγει ὁ Θεὸς διὰ Ἡσαίου· ἐὰν ἐρωτήσῃ σε ὁ λαὸς ἢ ὁ ἱερεὺς ἢ ὁ προφήτης, καὶ εἴπῃ σοι τί τὸ λῆμμα, εἰπὲ αὐτοῖς, ὅτι λῆμμα κυρίου ὑμεῖς ἐστέ· λήψομαι γὰρ ὑμᾶς λῆμμα καὶ ῥάξω ὑμᾶς, ἵνα μὴ λέγητε, λῆμμα. Ἓν ῥῆμα ἵνα μεταποιηθῇ, ἀπειλεῖ ὁ Θεὸς· καὶ σὺ ὁλόκληρον δογμάτων ἀκρίβειαν διαστρέφων, νομίζεις διαφυγεῖν τὰς χεῖρας τοῦ Θεοῦ;

ΡΞΓ. Πῶς πρεσβευτὴς ἦλθεν ὁ Χριστὸς παρὰ τοῦ πατρός;

Ὅτι ἦλθε φησὶ παρὰ τοῦ πατρὸς ὁ Χριστὸς πρὸς τοὺς ἀνθρώπους πρεσβευτὴς, ἐσφάγη ὁ πρεσβευτὴς καὶ τότε γέγονεν ἡ εἰρήνη· ἀλλ' οἱ πρέσβεις ἐρχόμενοι καὶ δῶρα φέρουσι καὶ δῶρα λαμβάνουσι· ποῖον οὖν ἧκε φέρων δῶρον, καὶ ποῖον ἀντέλαβε; παράδοξον τὸ δῶρον, ὡς καὶ ὁ πρεσβευτὴς παράδοξος τὸ αἷμα αὐτοῦ φέρων ἦλθε δῶρον· τὸ σῶμα αὐτοῦ ἦλθε φέρων δῶρον· καὶ τί παρ' ἐμοῦ ἔλαβε δῶρον; πίστιν· καὶ τί ἀντὶ αὐτῆς μοι παρέσχε; χάριν· ἐπίστευσα ἐγὼ· ἐχαρίσατο ἐκεῖνος· ἐλύθη ἡ ἔχθρα· ὁ πρεσβευτὴς ὅταν ἔλθῃ πρὸς ἔθνος, οὐκ ἀξιοῖ τινὶ τῶν ἀγοραίων ἢ πενήτων διαλεχθῆναι, ἀλλ' εὐθὺς τῷ βασιλεῖ πρόσεισιν· οὗτος δὲ ὁ πρεσβευτὴς ἦλθε, καὶ εὐθὺς πόρνῃ, καὶ λῃστῇ, καὶ τελώνῃ, καὶ μάγοις διηλέχθη· εἶδες πρεσβευτοῦ φιλανθρωπίαν; οὐ γὰρ πρὸς ἕνα καὶ δεύτερον ἦλθεν, ἀλλὰ πρὸς τὴν κοινὴν φύσιν· καὶ ἦλθε τὸ ἐμὸν περιβεβλημένος ἱμάτιον, ἵνα μὴ γυμνῇ τῇ θεότητι παραγενόμενος φοβήσῃ τὴν θήραν.

ΡΞΘ. Διατί ἀφεὶς τὴν ὅρασιν Ἡσαΐας περὶ οὐρανοῦ καὶ γῆς διαλαμβάνει;

Εἰπὲ τὴν ὅρασιν ἣν εἶδεν· ὁ δὲ· ἄκουε οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ· ὅτι κύριος ἐλάλησεν· ἄλλα ἐπηγγείλω, καὶ ἄλλα λέγεις; ἀρχόμενος εἶπες· ὅρασις κατὰ Ἰουδαίας καὶ κατὰ Ἱηρουσαλὴμ, καὶ ἀφεὶς τὴν διήγησιν, οὐρανῷ καὶ γῇ διαλέγῃ· ἀφῆκας τοὺς ἀνθρώπους καὶ τοῖς ἀλόγοις στοιχείοις προσδιαλέγῃ; ναί φησιν· ἐπειδὴ τῶν ἀλόγων ἀλογώτεροι γεγόνασιν οἱ λογικοί· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλὰ καὶ διότι μέλλων ὁ Μωϋσῆς εἰσάγειν αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας καὶ προορῶν τὰ μέλλοντα ἔσεσθαι, οὕτω πῶς φησὶν· ἄκουε οὐρανὲ καὶ λαλήσω· προσεχέτω γῆ ῥήματι ἐκ στόματός μου· διαμαρτύρομαι ὑμῖν φησιν Ἰουδαῖοι τὸν οὐρανὸν καὶ τὴν γῆν ὁ Μωϋσῆς· ὅτι ἐὰν εἰσέλθητε εἰς τὴν γῆν τῆς ἀπαγγελιάς καὶ ἐγκαταλίπητε κύριον τὸν θεὸν, διασκεδασθήσεσθε εἰς πάντα τὰ ἔθνη· ἦλθε τοίνυν Ἡσαΐας· ἔμελλεν ἡ ἀπειλὴ περατοῦσθαι· οὐκ ἠδύνατο καλεῖν Μωϋσέα τὸν ἤδη τεθνηκότα, οὐδὲ τοὺς τότε ἀκηκοότας· λοιπὸν τὰ στοιχεῖα καλεῖ ἅπερ διαμαρτυρόμενος αὐτοῖς ἐκάλει καὶ ὁ Μωϋσῆς· καίτοι γε ἐκεῖνος καὶ τὸν Ἀαρὼν ἠδύνατο καλεῖν εἰς μαρτυρίαν καὶ πολλοὺς ἄλλους· ἀλλὰ διὰ τοῦτο φαίην ἂν, οὐκ ἐκάλεσα τούτους, ἐπειδήπερ ἔμελλον ἐκεῖνοι τελευτᾷν καὶ μὴ παρεῖναι μάρτυρες· ἐπειδὰν εἰς παρανομίαν ἐξέκλι-

νεν ὁ Ἰσραήλ· διὸ τὰ μένοντα στοιχεῖα εἰς μαρτυρίαν καλῶ· οὕτω καὶ Ἡσαΐας ποιεῖ οὐ δια τὰ εἰρημένα μόνον ἀλλὰ καὶ ἐπειδὴ διαλεχθεὶς τοῖς Ἰουδαίοις εὗρε μὴ ἀκούοντας αὐτοῦ, ἐπὶ τὰ στοιχεῖα στρέφεται, καὶ μάρτυρας παραλαμβάνει αὐτοῦ· ἄκουε οὐρανὲ· σὺ γὰρ τὸ μάννα ἤνεγκας· ἐνωτίζου γῆ· σὺ γὰρ τὴν ὀρτυγομήτραν ἔδωκας· ἄκουε οὐρανὲ· τὰ γὰρ ὑπὲρ φύσιν αὐτοῖς ἐχορήγησας· ἄνω καθ' ὃν τρόπον ἐστερεώθης ἔμενες, καὶ μίμησιν οὐχ ὑπερεῖδες ἅλωνος· ἐνωτίζου γῆ· σὺ γὰρ κάτω ἧς, καὶ τράπεζαν αὐτοῖς παρετίθεις αὐτοσχέδιον· διὰ τοῦτο καὶ ἕτερος προφήτης ὁρῶν βασιλέα μαινόμενον, τὰ εἴδωλα λατρευόμενον, τὸν θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἐπτηχότας πρὸς οὐδένα τούτων ποιεῖται τὸν λόγον, ἀλλ' ἀποστραφεὶς, ἄκουσον φησὶν θυσιαστήριον, ἄκουσόν μου· τί οὖν λίθῳ διαλέγῃ; ναί φησιν· ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς· ἄκουσον θυσιαστήριον· τάδε λέγει κύριος· καὶ εὐθέως ἐσχίσθη τὸ θυσιαστήριον καὶ ἐῤῥάγη καὶ ἐξέχεε τὴν θυσίαν· ὁ δὲ ἄνθρωπος οὐκ ἤκουσεν· ἀλλ' ἐκτείνει τὴν χεῖρα ὁ βασιλεὺς τὸν προφήτην ἁρπάσαι βουλόμενος, ὁ δὲ θεὸς τί ποιεῖ; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα· οὐ ξηραίνει δὲ ἐξ ἀρχῆς αὐτοῦ τὴν χεῖρα, ἵνα τῷ τοῦ λίθου πάθει σωφρονέστερος γένηται· ἐβούλετο γὰρ αὐτὸν ἄνευ τῆς εἰς αὐτὸν κολάσεως σωφρονισθῆναι· ἀλλ' ἐπειδὴ καὶ ὁ λίθος ἐσχίσθη καὶ σὺ οὐ διωρθώθης, ἐπὶ σὲ τὴν δικαίαν ὀργὴν ἐπιστρέφω.

### ΡΟΔ. Πῶς δεῖ νοεῖν τὸ περὶ τὸν Ἰὼβ εἰρημένον· καταραθείη ἡ ἡμέρα ἐν ᾗ ἐγεννήθην.

Καταρᾶται τὴν ἡμέραν τῆς γενέσεως αὐτοῦ ὁ Ἰὼβ τάτε ἄλλα καὶ οὐ τοσοῦτον ὅτι τοῖς λογισμοῖς ἐκυμαίνετο· μή ποτ' ἄρα εἴη ἐπὶ τοσοῦτον πλημμελείας ἐληλακὼς ὡς τοσαύτην ὀργὴν θεοῦ κινῆσαι κατ' αὐτοῦ· τουτέστιν εἰς τοσοῦτον ἐξώκειλα τῶν δεσποτικῶν ἐντολῶν ὥστε λαθεῖν μὲν ἐμὲ τὸ μέγεθος τοῦ κακοῦ, εἰς τοσοῦτον δὲ παροξῦναι τὸ μακρόθυμον καὶ φιλάνθρωπον τοῦ θεοῦ, ὥστε καὶ τοσαύτης ὀργῆς ἔνοχον ἐμὲ κριθῆναι καὶ τηλικαύτας ἀπαιτεῖσθαι δίκας· ἐπικατάρατος ἡ ἡμέρα ἐκείνη ὥστε οὐκ ἀγανακτήσεως ἦν ὑπὲρ ὧν ἔπασχεν ἡ ἀρὰ, ἀλλὰ θρήνων καὶ ἐλεεινολογίας ὑπὲρ ὧν ἐδόκει λυπῆσαι τὸν θεόν· καὶ τοῦτο παρίστησι σαφῶς ἡ δεσποτικὴ φωνὴ πρὸς αὐτὸν ἐν οἷς φησὶν· οἴει με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος, ἀντὶ τοῦ οὐκ ἔστι σοι τῶν ἡμαρτημένων ἀπαίτησις τὰ πάθη ἐν οἷς ἐναθλεῖν παρεχωρήθης· ἀλλὰ γυμνασία μὲν τῆς ἀρετῆς ἐπάθλων δὲ καὶ μειζόνων στεφάνων ἡ κατὰ τὰς ὀδύνας καὶ πληγὰς προξενοῦντα τὴν ἀμοιβήν· οὐκοῦν οὐκ ὀργὴν ἐχέων ὑπαχθῆναι σε συνεχώρησα ταῖς τοσαύταις ποιναῖς, ἀλλ' ἵνα μᾶλλον ἡ σὴ λαμπρότερον ἀναφανῇ

ἀρετὴ καὶ κατὰ τοῦ κοινοῦ τῆς φύσεως ἡμῶν ἐχθροῦ ἀριστεύων καὶ τροπαιοφορῶν πᾶσιν ἐπιδειχθῇς· καταρᾶται δὲ τῆς γενέσεως τὴν ἡμέραν· οὐδὲ τοῦτο ἁπλῶς, ἀλλὰ ἐπειδὴ κατὰ ταύτην τὴν ἡμέραν λαμπραῖς ἑστιάσεσιν ἐφιλοφρονεῖτο τοὺς ᾠκειομένους εἰς φιλίαν αὐτῷ καὶ ἄλλως προσγενεῖς· εἰκὸς δὲ τρυφῶντας καὶ τοῖς διὰ θεαμάτων τινῶν ἀκουσμάτων τέρψεσι καὶ ἡδοναῖς ψυχαγωγεῖν ἑαυτοὺς, δι' ὧν τέρπεται μὲν ἀκοὴ, τέρπεται δὲ ὄψις· βασιλέων γὰρ συνεστιωμένων, εἰκὸς ἦν καὶ τὰ τοιαῦτα συνεισάγεσθαι τῇ πανδαισίᾳ· διὰ τοῦτο ἄρα λογισμοὶ συνετάραττον αὐτὸν, μήποτε ταῦτα μισητὰ γεγονότα τῷ θεῷ τὴν ὀργὴν ἐκίνησαν κατ' αὐτοῦ· διὰ τοῦτο τῆς γενέσεως τὴν ἡμέραν ἐπαρᾶται, τουτέστιν ἐν ᾗ τὸν τόνον τῆς ψυχῆς καὶ τὸ συνεστραμμένον καὶ νεῦον πρὸς ἑαυτὸ εἰς τρυφὴν ἐδίδου διαῤῥεῖν, καὶ πρὸς τὰς ἐπιπολαίους ταύτας ὑπομειδιᾷν ἡδονάς· εἰ δὲ καὶ τὴν ἀρὰν διὰ χειλέων προῆγεν, ἵνα μὴ τοῖς πολλοῖς ἀναισθήτως δόξῃ τὴν φοβερὰν ἐκείνην φέρειν συμφορὰν, οὐδέν ἐστιν ἐννοεῖν ἀπεικός· φέρει γὰρ τὴν ἀρὰν οὐ κατά τινος ὑφεστηκότος πράγματος, ἀλλὰ μετὰ τὸ γενέσθαι μηδαμῶς ὑφεστῶτος· καὶ εἴη ἂν ἡ ἀρὰ καὶ τὸ μέγεθος τοῦ πάθους καὶ τὴν συναίσθησιν τῶν ἀλγεινῶν ἐπίδηλον ποιουμένη· καὶ τὸν ἐπαρώμενον μηδεμιᾶς ἔνοχον πλημμελείας ἀποφαίνουσα· κατὰ γὰρ τῶν ἀνυπάρκτων ἦν αὐτῷ ἡ ἀγανάκτησις· εἰ δέ τις αὐτὸν φήσειε καὶ τῆς δεσποτικῆς ἀποφάσεως ἀναμνησθέντα τοῦτο εἰπεῖν, οὐκ ἂν πόῤῥω θεοφιλοῦς γνώμης ἐνεχθείη· ποίας ἀποφάσεως; ἣν ἀφῆκε κατὰ τῆς Εὔας, ἡνίκα κοινωνὸν ἐκείνη τῆς ἀπάτης ἐποιήσατο τὸν Ἀδάμ· καὶ γὰρ τηνικαῦτα φησὶν, ἐν λύπαις καὶ ὀδύναις τὸν ἀνθρώπινον ὑποζευγνύων τόκον καὶ τὴν ἀράν· ἐξ ὧν προέτρεχον ἐλπίδες χαρᾶς, σκυθρωπότητι κρατύνων λυπηρᾷ· εἰς ταύτην οὖν τὴν λύπην ἀναφέρων τὸν νοῦν ὁ Ἰὼβ, μονονοουχὶ τὴν ἀπόφασιν ἀποθαυμάζει καὶ ὑμνεῖ τὸν δεσπότην, ὄντως λέγων ἐπικατάρατος ἡ ἡμέρα, καθ' ἣν τὰς μητρικὰς ὠδῖνας λύων ὁ ἄνθρωπος πρὸς τὰς τοῦ ἡλίου ἔρχεται αὐγάς.

## ΡΟΕ. Τί ἐστι τὸ, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος.

Κατ' ἐμαυτοῦ ὤμοσα λέγει κύριος· καὶ ποῦ λαβεῖν ἐστιν ὀμωμοκότα τὸν θεὸν ἢ καθ' ἑαυτοῦ, ἢ καθ' ἑτέρου τινός; πῶς δ' ἂν θεὸς ὠμωκώκει, πάντας ἀπείργων διὰ τῶν εὐαγγελίων ἀπὸ παντὸς ἑαυτοὺς φυλάττειν ὅρκου καὶ μὴ τῇ γλώττῃ χρῆσθαι πρὸς ὑπηρεσίαν ἐνόρκου φωνῆς; καὶ γὰρ κατὰ πάντα σύμφωνος τῷ πατρὶ ὁ υἱός· καὶ ἅπερ λέγει, ἐξ αὐτοῦ λαβὼν ἔχει· τί οὖν ἐστι τὸ, κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος; ἀντὶ τοῦ, ὡς ἔστιν ἀνθρώποις ἡ τοῦ ὅρκου δύναμις βεβαιοῦσα τὸ ὑπισχνούμενον, οὕτως ἐστὶ

τῆς ἐμῆς ἐπαγγελίας τὸ ἀπαράβατον· ὅρκου γὰρ πολλάκις προεληλυθότος ἢ τὸ τῆς γνώμης οὐ πάγιον εἰς ἐπιορκίαν τὸν ὅρκον διέλυσεν, ἢ τὸ ῥέον τῆς ὕλης καὶ τῶν ἐπιγείων πραγμάτων τὸ ἄστατον καὶ τῆς γνώμης ἐῤῥωμένης τῶν ὠμωσμένων τὸ πέρας διέκοψεν· ἐπὶ δὲ τῆς ψιλῆς ὑποσχέσεως τοῦ Θεοῦ, οὐδὲν ἐστι τοιοῦτον οὐδὲ ἐννοεῖν, μήτι γε καὶ πίστει λαβεῖν· διὸ καὶ μηδένα παραλαμβάνων ὅρκον ὁ Θεὸς ἐπεὶ παντός ἐστιν ὅρκου τὸ θεῖον ἐπάγγελμα δυνατώτερον, ἐπάγειν εἴωθε τὸ, κατ' ἐμαυτοῦ ὤμοσα· μᾶλλον δὲ καὶ προτάττει τῶν ἰδίων ὑποσχέσεων, εἴτε σκυθρωπότητος καὶ ποινῆς, εἴτε χαρᾶς καὶ θυμηδίας ὑπάρχουσι παρεκτικαί· μάτην ἄρα οἱ τοῖς ὅρκοις ἐνασελγαίνοντες ἐπὶ τὸ προκείμενον σχῆμα τοῦ λόγου καταφεύγουσιν· οὐδαμοῦ γὰρ οὔτε τοῖς ὅρκοις, οὔτε τοῖς ὁρκικοῖς ἐπιῤῥήμασι τὸ θεῖον ὤφθη χρησάμενον.

## ΡΟϛ. Τί ἐστι καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.

Τῆς παναγίας καὶ ἀειπαρθένου Μαρίας τὴν ψυχὴν ῥομφαῖα διῆλθε κατ' αὐτὸ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, οὐκ ἐπιδιστάζουσι λογισμοῖς βαλλομένης, οὐκ ἀπιστίας βέλεσι τιτρωσκομένης, οὐκ ἐφ' οἷς ἔχαιρε τὴν λύπην ἀλλασσομένης, ἀλλὰ τὰ μητρικὰ σπλάγχνα διδούσης πρὸς τὴν ἔμφυτον συμπάθειαν, ἀνασκολοπιζομένου τοῦ υἱοῦ, πράττειν τὰ οἰκεῖα· τί γὰρ μήτηρ οὐκ ἂν πάθοι βλέπουσα τὸν υἱὸν καὶ μάλιστα τῆς ἀνθρωπίνης φύσεως πολιτευόμενον κρεῖττον, τὰς τῶν κακούργων ὑπέχοντα δίκας; τοῦτο γέγονε τῇ παναχράντῳ μητρὶ τοῦ λόγου πικρότερον καὶ δριμύτερον ῥομφαίας ἁπάσης τὸ πάθος· εἰ γὰρ καὶ Θεὸν πολλὰς ὑποθέσεις εἶχεν εἰδέναι τὸν υἱὸν σεσαρκωμένον, ἀλλ' οὖν οὐκ ἐπὶ πάντων ἔλυε τοὺς τῆς φύσεως νόμους· ἐνεδίδου δὲ καὶ τῇ φύσει τοῖς οἰκείοις ἐνδιαπρέπειν ὅροις· διὸ πάθος ὁρῶσα μητρικοῖς ὀφθαλμοῖς προκείμενον θέαμα κατὰ πληγὴν ῥομφαίας ἐτέμνετό τε καὶ κατεμερίζετο.

## ΡΟΖ. Τί ἐστι μὴ στενάζητε κατ' ἀλλήλων ἵνα μὴ κριθῆτε.

Καὶ πῶς ἔνι προπηλακιζόμενον ἢ τῶν οἰκείων ἐλαυνόμενον ἢ τυπτόμενον μὴ κατὰ τῶν αἰτίων στενάζειν; μη ἀμύνεσθαι μὲν γὰρ μηδ' ἀντεπεξιέναι, εἰ καὶ χαλεπὸν, ὅμως οὖν τοῖς γε φιλοσοφοῦσι καὶ ταῖς θείαις ἐντολαῖς ἠσφαλισμένοις ἔνεστι δυνατὸν· τὸ δὲ μηδὲ στένειν κατὰ τῶν ἠδικηκότων, πῶς ἂν εὑρήσει χῶραν ἐν φύσει ῥεούσῃ καὶ θνητῇ; ἢ πολλῷ τοῦ προτέρου ῥᾷον; ἢ γὰρ καὶ ἐξὸν θυμὸν ἐμπλῆσαι καὶ ἀντιλυπῆσαι καὶ τὴν ζημίαν πᾶσαν ἀνακαλέσασθαι; τούτων δὲ τηλικούτων ὄντων καὶ σφόδρα

γενναίας ψυχῆς δεομένων ὥστε παριδεῖν καὶ κρείττω προσπαθείας καὶ ἀντιπαθείας ἀνθρωπίνης γενέσθαι, ἃ δὴ πολλάκις καὶ τοὺς μεγαλοφρονεῖν σπουδὴν ποιουμένους, καταπαλαίειν ἴσμεν καὶ περιγίνεσθαι, εἰ καὶ πολλοὺς ὁ τῆς φιλοσοφίας ἔρως καὶ ὁ θεῖος φόβος ἀνωτέρω τῶν εἰρημένων ἐποίησε παθῶν· εἰ οὖν τούτων τῶν ἀσχέτων δυνατὸς ἐγένου κρατῆσαι παθῶν, πῶς οὐχὶ πολλῷ μᾶλλον καὶ τὸ στενάζειν ἐλάσεις ἀπὸ σοῦ, πρᾶγμα οὕτως εὐτελὲς καὶ μηδὲν κέρδος δυνάμενον παρασχεῖν; ἄλλως τε δὲ ὁ στενάζων εἰ μὲν ἐφ' ᾧ τὴν δίκην λαβεῖν σπουδάζων οὐκ ἔλαβεν, οὗτος τῇ αὐτοῦ ῥύμῃ καὶ κρίσει καὶ τῷ τῆς ὁρμῆς ἀνταπέδωκεν ἀκρατεῖ· εἰ θέμις δ' εἰπεῖν, καὶ βαρύτερον· ὅς γε καὶ συμφορὰν ἡγεῖται τοῦ ἀντιλυπῆσαι τὸν λελυπηκότα ἐκπεσεῖν· εἰ δὲ στένει μὲν, οὐ βούλεται δ' ἄμυναν λαβεῖν, ἐν ἀνδρείῳ φρονήματι γυναικῶν ὀλιγωρίας ὑπέρχεται σκηνήν· ὥστε νῆψαι δεῖ μόνον καὶ εἰς ἑαυτὸν ἐπιστραφῆναι καὶ ἡ σκηνὴ διαλέλυται· καὶ τὸ σοφὸν ἄρα καὶ τὸ ῥᾴδιον, εἰ βούλει δὲ καὶ τὸ λυσιτελοῦν καὶ σωτήριον, ἡ τοῦ ἀδελφοθέου βρύει παραίνεσις.

## ΡΟΗ. Τί ἐστι μοιχοὶ καὶ μοιχαλίδες.

Τὴν πρὸς τὰ πάθη τῶν ἁμαρτημάτων ῥοπὴν ὁ ἀπόστολος εἰς δύο τέμνει διαφοράς· καὶ γὰρ μοιχός ἐστιν ὁ μὴ μόνον ἑαυτὸν διαζεύξας τῆς θείας στοργῆς καὶ συναφείας, ἀλλὰ καὶ ὁ τὴν ἁρμοσθεῖσαν Χριστῷ τῷ ἀληθινῷ νυμφίῳ ψυχὴν ἐκεῖθεν ἀποσπάσαι σπουδὴν συνεισαγαγὼν καὶ τῇ πρὸς ἑαυτὸν συναφείᾳ μοιχαλίδος αὐτὴν ἐγκλήματι περιβαλών· τὸ γὰρ ἀπὸ θεοῦ ἀποστάσιον, μοιχόν τε ποιεῖ τὸν ἀποστήσαντα καὶ μοιχαλίδα τὴν ἐπακολουθήσασαν αὐτοῦ ταῖς ἀπάταις ψυχήν· μοιχαλὶς δ' ἂν εἴη κυρίως, ἥτις διεζεύχθη μὲν τῶν θείων ἔργων καὶ προσταγμάτων καὶ πρὸς τὰς κοσμικὰς ἀπέκλινεν ἡδονὰς, εἴτε τινὸς αὐτὴν ἐξαπατῶντος, εἴτε καὶ οἴκοθεν οἰστρηλατουμένης· συναρμοσθεῖσα γὰρ αὕτη διὰ τοῦ βαπτίσματος τῷ Χριστῷ, καὶ τὰς νυμφικὰς καὶ ἀειπαρθένους καὶ ἀμιάντους ἐνυβρίσασα παστάδας, εἰκότως ἡ τοιαύτη ψυχὴ μοιχαλίδος ὑποδυομένη πρᾶξιν καὶ κλῆσιν ἐστὶ τῇ πράξει ἐναρμοζομένην ἀναδέχεσθαι· πολύτροπον δὲ καὶ τὸ τοῦ μοιχοῦ καὶ τὸ τῆς μοιχαλίδος· ἄν τε γὰρ ἔρωτα χρημάτων προτιμήσῃ Χριστοῦ καὶ παρακαλῶν ἄλλους εἰς τὴν ὁμοίαν πρᾶξιν παραεπιχειρῇ, μοιχάς ἐστι καὶ μοιχαλὶς ἡ πειθομένη· ἄν τε δόξαν τὴν ἐν τῷ βίῳ, ἄν τε ῥεούσας ἄλλας ἡδονὰς, ἄν τε τινὸς ἄλλης χρείας καὶ τέρψεως καταγοητευούσης τὸ αὐτεξούσιον τῆς ψυχῆς καὶ ὑποταττούσης τῷ φρονήματι τῆς σαρκὸς, μοιχαλίς ἐστιν ἡ τοιαύτη ἀθλία ψυχὴ, καὶ τῶν μοιχαλίδων αἷς ἐλέγχονται χρεωστεῖ παρασχεῖν τὰς ποινάς· πολλαὶ μὲν οὖν εἰσι μοι-

χαλίδες, καὶ ὀλίγον ἐλάττους μοιχοί· πράττειν μὲν γὰρ ἃ μὴ δεῖ, πολλοῖς ἐστι δι᾽ ἀπροσεξίαν ἐλέσθαι· ἑτέρους δὲ εἰς τὴν αὐτὴν ἀνερεθίζειν πρᾶξιν καὶ εἰς παράκλησιν τῆς ἐκθέσμου μιμήσεως ἄγειν καὶ παράδειγμα τοῖς ἄλλοις μηδαμῶς ἐπερυθριᾷν τὸ οἰκεῖον ἁμάρτημα ποιεῖσθαι, οὐκ ἔστι τῶν πολλῶν ἀλλὰ τῶν εἰς ἄκραν πώρωσιν ἐληλακότων· διὸ καὶ ὁ ἀπόστολος φησὶ, μοιχοὶ καὶ μοιχαλίδες· τὸ τῶν μοιχῶν ὡς ἐπὶ κακίᾳ τὸ πρωτεῖον ἐχόντων προτάττει τῶν μοιχαλίδων· πᾶς γὰρ ἁμαρτίας διδάσκαλος τῶν εἰς ἑαυτοὺς τὴν ἁμαρτίαν περιγραφόντων, διπλοῦν αὐτῷ τὸ ἔγκλημα ἐπιγράφεται, καὶ οἷς αὐτὸς ὄλωλε, καὶ οἷς ἑτέρους ἐπεχείρησε συναπολλῦναι.

## ΡΟΘ. Τί δηλοῖ τὸ τοῦ ἀποστόλου· ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον, ὡς ἐλεύθεροι.

Τοῦτο δὴ τὸ ῥητὸν τοῖς ἀνωτέρω συνάπτεται· οἷον ὑποτάγητε πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν κύριον ὡς ἐλεύθεροι, τουτέστι, μὴ διὰ τὸν ἐπηρτημένον ὑμῖν ἀπὸ τῆς πολιτείας φόβον· οἱ γὰρ οὕτω ὑποτασσόμενοι τὴν τῶν δούλων τάξιν ὑπέρχονται· καὶ ὡς δοῦλοι τὴν ὑποταγὴν ὑποδείκνυνται, φοβούμενοι μὲν τὰς δεσποτῶν πληγὰς, φοβούμενοι δὲ τὰς τῶν νόμων ἀπειλὰς καὶ τῷ δέει πρὸς τὴν ὑποταγὴν συνωθούμενοι· ὁ δὲ διὰ τὸν κύριον ὑποτασσόμενος, οἷον ὁ πειθαρχῶν ταῖς δεσποτικαῖς ἐντολαῖς, ἐλεύθερος μέν ἐστι παντὸς ἐπιγείου φόβου, ἐλεύθερος δὲ πάσης αἰτίας, ἐλεύθερος δὲ ὑποψίας ἐπισειούσης ποινάς· τῷ πόθῳ δὲ τῷ δεσποτικῷ καὶ τῇ συντηρήσει τῶν ἐντολῶν ἐξευγενίζων ἑαυτοῦ τὴν ψυχὴν, καὶ οὕτως τῇ ἀνθρωπίνῃ ἐξουσίᾳ φέρων ἑκούσιον τὴν ὑποταγήν· ἄλλως τε δὲ ἐπείπερ ἅπαξ ἐξαγορασθέντας ἡμᾶς τῷ τιμίῳ αἵματι αὐτοῦ τῆς τῶν διαβόλων τυραννίδος ἐλευθέρους ἀπέφηνεν ὁ Χριστός· ἵνα μή τις λέγῃ· εἰ γεγόναμεν ἐλεύθεροι, πῶς πάλιν ὑποτάττεις τοῖς ἐγκοσμίοις ἄρχουσιν ἡμᾶς; ὡς ἐλεύθεροι λέγω φησὶν ὑποτάγητε, τουτέστιν ἑκόντες ἀπὸ γνώμης, ἐκ προαιρέσεως· ὥσπερ γὰρ δούλων τὸ ἀκούσιον καὶ κατηναγκασμένον καὶ ἀπροαίρετον· οὕτως ἐλευθέρων τὸ ἑκούσιον, καὶ χωρὶς ἀνάγκης καὶ αὐτοπροαίρετον· ὅταν οὖν ἑκόντες ὑποτασσώμεθα τοῖς δεσποτικοῖς νόμοις πειθόμενοι, τὴν ἐλευθερίαν μᾶλλον κρατύνομεν, καὶ ἀξίους ἡμᾶς τῆς δωρεᾶς ταύτης παριστῶμεν καὶ ἐπιδεικνύμεθα· οἷς γὰρ τὸν δεσπότην τιμῶμεν, τοῖς αὐτοῦ νόμοις ἀγόμενοι περιχαρῶς, ὁμολογοῦμεν τὸ δῶρον ὑποδέξασθαι καὶ τὴν φιλοτιμίαν θαυμάζειν· δι᾽ ὧν τὸ σέβας τῷ δεδωκότι προσάγομεν ἀπροφάσιστον· πῶς δὲ καὶ ἄλλως οὐ σωτήριον ἑκουσιότητι γνώμης τὴν ἐν πολιτείᾳ τάξιν διαφυλάττειν καὶ τὸ κατ᾽ ἀξίαν νέμειν τοῖς ὑπερέχουσι; καὶ

γὰρ ὡς ἀληθῶς οἱ τοιοῦτοι ἐλευθέρας τε φέρουσιν ἐκ πάσης ἀταξίας καὶ στάσεως τὰς ψυχὰς, καὶ τῆς θεόθεν δομένης ἡμῖν ἐλευθερίας ἄξιοι πᾶσιν ἐπιδείκνυνται· οἱ δὲ γνώμῃ μὲν μοχθηρᾷ, τόλμῃ δὲ πονηρᾷ καὶ ταραχαῖς χαιρούσῃ τὴν ἐλευθερίαν ἐπιφημίζοντες, καὶ διὰ τοῦτο στάσει τὴν εὐνομίαν λύοντες, οὗτοι προκάλυμμα πονηρίας καὶ αὐθαδείας τὴν ἐλευθερίαν προβαλλόμενοι, δοῦλοι μέν εἰσιν ἀλογίστων παθῶν, δοῦλοι δὲ ταραχῆς καὶ θορύβων, καὶ τῆς ἐλευθερίας κατήγοροι, καὶ διὰ τοῦτο ταύτης ἀνάξιοι.

Βούλεται δὲ ἡμᾶς διὰ ταύτης τῆς παραινέσεως, ὁ ἀπόστολος ἐν πᾶσι τοῖς κατὰ τὸν βίον συναλλάγμασι καὶ τοῖς ἄλλοις πολιτεύμασιν, ὅσα μὴ τὴν θείαν ἀγάπην καὶ πίστιν ἐπιλυμαίνεται, πειθηνίους εἶναι τοῖς νόμοις παρασκευάζειν· καὶ οἷς ἡ τῶν νόμων κατεπιστεύθη κυριότης καὶ πρόνοια, εὐγνώμονάς τε εἶναι καὶ μὴ ὑπερορᾷν τοὺς ὑπερέχοντας, κἂν εἰς τοὐναντίον αὐτοῖς τῆς ἀληθείας τὸ σέβας ἀποδιακέκριται· διὰ τί; ἓν μὲν, ἵνα καὶ αὐτοὶ πρὸς τὴν ἀσέβειαν οἱ διαφωνοῦντες ὁρῶντες ἡμῶν τὴν εὐγνωμοσύνην καὶ τὸ τῶν τρόπον εὐγενὲς καὶ πειθήνιον, ἅμα μὲν ἡμῶν ὑπερυθριῶσι τῇ πολιτείᾳ καὶ τοῖς ἤθεσιν· ἅμα δὲ τὸ μὴ πείθεσθαι αὐτοῖς κατὰ τὸ σέβας, μὴ αὐθαδείας ἔργον νομίζωσι, μηδὲ γνώμης ἀτεράμονος ἐπιτήδευμα, ἀλλ' ἔρωτος ὑπὲρ λόγον θείου καὶ θείας δυνάμεως καὶ ἐνεργείας· ἅμα δὲ ὡς ἂν δυνηθεῖεν διὰ τῆς ἡμέρου καὶ ἐπιεικοῦς ἡμῶν πολιτείας, εἴπερ ἄρα βουληθεῖεν ἀναβλέψαι πρὸς τὸ τοῦ σεβάσματος ἡμῶν ἄφραστον κάλλος, καὶ τῷ ἐκεῖθεν ἔρωτι πτερωθέντες, βδελύξωνται μὲν τὸν δαιμονιώδη καὶ εἰδωλικὸν οἶστρον, τὴν συνάφειαν δὲ καὶ τὸν πόθον ἀνταλλάξωνται τῆς νύμφης τοῦ Χριστοῦ ἐκκλησίας· ἀλλ' αἰτία μὲν αὕτη πρώτη τῆς ἀποστολικῆς νουθεσίας. Εἰ βούλει δὲ καὶ δευτέραν, ἵνα διώκοντες καὶ ἐλαύνοντες καὶ τιμωρούμενοι τοὺς πιστοὺς οἱ τὰ ἑλλήνων τιμῶντες, μὴ εἰς ἄλλας τινὰς αἰτίας τον διωγμὸν ἔχωσιν ἀναφέρειν· μηδ' ὡς στασιώδεις καὶ ταραχοποιοὺς ὑπάγωσι δίκαις, ἀλλὰ δι' αὐτὴν τὴν εὐσέβειαν· καὶ τὸ μὴ ἀνασχέσθαι τὸ θεῖον σέβας εἰς τὴν ὕλην καὶ τὰ κτίσματα κατάγειν· τοῦτο δὲ καὶ αὐτὸς ἐδήλωσεν εἰπών· ἵνα ἐν ᾧ καταλαλῶσιν ἡμῶν ὡς κακοποιῶν ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς· καὶ πάλιν· οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν· στάσιν τις τῶν ἑλληνιστῶν ἢ καὶ ἰουδαῖος ἐπικαλεῖ σοι; τὸ εἰρηνικὸν ἐπίδειξον· ἀνήκοον διαβάλλει καὶ ἀπειθῆ; διὰ τῆς ὑποταγῆς ἐπιστόμισον· ἀλαζόνα καὶ αὐθάδη; τῷ ταπεινῷ καὶ ἡμέρῳ τοῦ φρονήματος τὴν γλωσσαλγίαν διέλεγξον· τάξιν πολιτικὴν διαλύοντα; διὰ τοῦ μηδὲν ἐν τούτοις ἀγνωμονεῖν, τὴν συκοφαντίαν στηλίτευσον· οὕτως ἄφρων ἀνὴρ δύναται φιμοῦσθαι· οὕτως

θεοῦ δοξάζεται δοῦλος· οὕτως νικᾷ τὸν κόσμον κἂν μαστίζηται, κἂν στρεβλῶται, κἂν ἀνασκολοπίζηται, ὁ τὸ κατὰ τῆς ἁμαρτίας τρόπαιον ἀνύβριστον συνδιασώζων ἑαυτῷ· ὁ κατὰ ταῦτα πολιτευόμενος τὰ προστάγματα, ἐλεύθερα φέρει καθαρῶς καὶ τὰ ἔργα καὶ τοὺς λόγους καὶ πρό γε τούτων αὐτὴν τὴν ψυχήν.

ΣΚΓ. Εἰ πανταχοῦ τὸ θεῖον, πῶς διαβολὴ τοῦ μυστηρίου γυναικὸς μήτρᾳ παρεῖναι; ναί φησι παρεῖναι μὲν γαστρὶ γυναικὸς, ὡς καὶ πανταχοῦ οὐδεμία διαβολή· σαρκωθῆναι δὲ θεὸν ἐξ αὐτῆς, πῶς οἷόν τε ἐστίν;

Οὐκοῦν ὦ βέλτιστε καὶ αὐτὸς τῆς μὲν κατὰ τοῦ μυστηρίου διαβολῆς καὶ ἄκων ἐξέστης· λανθάνεις δ' αὐτὸν ἀντὶ πολεμίου εἰς τὴν τῶν φίλων τάξιν μεταβαίνων· ὁ γὰρ ἀφεὶς μὲν τὴν διαβολὴν, ἀπόδειξιν δὲ τοῦ προκειμένου ζητῶν, οὐ δι' ὧν μὴ ἀπαχθείη τῆς δόξης φιλονεικεῖ, ἀλλ' οἷς ἂν καὶ αὐτὸς ταύτην προσδέξηται· καίτοι τῷ πρὸς ταῦτα παρασκευαζομένῳ, ἤρκει συνιέναι τὴν ἀλήθειαν καθάρσιον τῆς διαβολῆς τοῦ προβλήματος· δι' ὧν γάρ τις ὡς ἄτοπον φεύγει, εἰ τοῦτο κατίδοι μὴ μόνον μηδεμίαν ἔχον ἀτοπίαν, ἀλλὰ καὶ λόγου συμβαῖνον ἀνάγκην, πῶς οὐχὶ μετὰ τὴν ἀποβολὴν τῆς διαβολῆς οὐκ ὀφείλει περιπτύσσεσθαι τοῦτο; ἀδύνατον ἀρετή; ἀλλ' ἔδειξα πολλοὺς μετιόντας· οὐκοῦν τὸ δυνατὸν ἀντεισήχθη καὶ τὸν πρὶν φυγάδα, νυνὶ ταύτης εἶναι δεῖ πολίτην· βλαβερὸν ἡ ἀνδρία; ἀλλὰ λυσιτελοῦν εἴπερ τι ἄλλο παρέστησα τῷ βίῳ· οὐκοῦν γέγονεν ἐραστὸν τὴν βλάβην οὐκ ἔχον, ὃ μισητὸν ἐδόκει διὰ τὴν βλάβην· ἀδύνατον θεὸν γαστρὶ παρθένου παρεῖναι; συνωμολόγησας ὅτι μᾶλλον ἀδύνατον μὴ παρεῖναι· τινὸς λοιπὸν ἑτέρας κατασκευῆς τὸ προβληθὲν δεῖται· ἀλλὰ χρή με φησὶ μαθεῖν καὶ πῶς οἷόν τε ἐστὶ σαρκωθῆναι, μᾶλλον δὲ εἰ τὸ παρεῖναι σάρκωσις θεοῦ οὐκ ἂν φθάνοις παντὸς ζώου μορφὴν τούτῳ περιβαλών· νῦν οὐκέτι τῶν φιλούντων, ἀλλ' εἰς τὴν τῶν πολεμίων πάλιν ἔχθραν ἐπανῆλθες· πλὴν οἷς τὴν ἧτταν ἔσχες ἐν τοῖς προλαβοῦσιν, οὐδὲ ἐν τούτοις σοι τὸ μὴ πεσεῖν ἔσται παρατατομένῳ κατὰ τῆς ἀληθείας· καί γε πρὸς τὸν ἀκροβολισμὸν διανάστηθι· ἔστι τις ἀνθρώπων πρόνοια μᾶλλον θεῷ ἢ τῶν ἀγελαίων ζώων; οὐκ ἂν φήσεις· καὶ γὰρ καὶ τούτων ἡ δημιουργία καὶ ἡ πρόνοια διὰ τὴν τῶν ἀνθρώπων χρείαν· οὐκοῦν οὐδὲ ὁμοίως ἐν ἀνθρώποις τε καὶ τοῖς ἄλλοις ζώοις ἡ τοῦ θείου παρουσία· ἓν γὰρ ὂν καὶ ἀπλήθυντον ταῖς διαφοραῖς, ἀπληθύντως πληθύνεσθαι λέγεται· ὥστε σοι αἱ πολλαὶ μορφαὶ εἰς μίαν μόνην τὴν ἀνθρώπων διηλάθησαν· ὁρᾷς ὅπως εὐχερῶς ὁ τῆς ἀπιστίας καταπίπτει πρόμαχος· καὶ τί τοῦ-

το φησίν; εἰ γὰρ καὶ τῶν ἄλλων ζώων τὰς μορφὰς ὁ λόγος ὑπεξέφυγεν, ἀλλ' οὖν τὸ μὴ ἀπὸ μιᾶς παρθένου, ἀλλ' ἐκ πασῶν γυναικῶν καὶ παρθένων σάρκωσιν λέγειν ὑπολείπεται· ἀλλ' ὦ ἀγαθὲ, φανερὰ μὲν κἀνταῦθα ἡ τῶν ἀναισχύντων ἐν οἷς ἔφθασαν ἀναισχυντήσαντες, πτῶσις· ὅμως οὖν ὡς δοκεῖ ἀναστάντα . . . ἀποχρήσει μοι πάλιν σε τοῖς σοφοῖς καταβάλλειν λόγοις· ἀδύνατον γὰρ φαίην ἂν ἔγωγε μᾶλλον τὸν ἅπαξ σαρκωθέντα δευτέρας σαρκώσεως δεῖσθαι· οὐκοῦν οὐδὲ ἡ διὰ πασῶν τῶν παρθένων σάρκωσις χῶραν ἔχει, μόνη δὲ ἡ διὰ μιᾶς.

ΣΚΔ. Πότερον οἱ δαίμονες ἴσασιν ὡς μετανοοῦντες ἐφ' οἷς ἐτόλμησαν ἀφίενται τοῦ τολμήματος, ἤτοι ἅπαξ θεοσοφίας πεσόντες, καὶ τὴν τούτου γνῶσιν συναφῃρέθησαν.

Ἀλλ' εἰ μὲν τὸ πρότερον, πῶς ἀσώματος φύσις καὶ μηδὲ τοσαύταις βαρύτησι σαρκὸς καθελκομένη τῆς ὑπὸ τούτου συνεχομένης χείρων γεγένηται; πολλοὶ γὰρ ἀνθρώπων εἰς ἔσχατον ἐλάσαντες κακοῦ, διὰ μετανοίας καὶ τῆς προτέρας αὐτοῖς ἐνούσης πολιτείας ὑπερήρθησαν· εἰ δὲ μετὰ τὴν πτῶσιν διόλου τούτους καὶ τῆς τόλμης καὶ τῆς ἐπαναστροφῆς ἔλαβεν ἄγνοια, καὶ οὕτω βαθεῖ σκότῳ μεμυκότες καθεύδουσι, πῶς εἰς κακουργίαν πᾶσαν ἐπίνοιαν ὑπερβάλλουσαν οὐκ ἀνιᾶσι τοὺς ἀνθρώπους ἐφ' οἷς οὐδὲ μελέτησις πολλάκις προηγήσατο εἰς ἀποῤῥήτους τόλμας ἅμα ἐρεθίζουσί τε καὶ συγκαθέλκουσι; τὸ μὲν σὸν ὡς ἡγοῦμαι εἴτις τοὺς πολλοὺς συνοπλικώτερον εἴποι λόγους, τοσοῦτον ἂν εἴη πρόβλημα· ἔπταισε τὸ δαιμόνιον· τί μετανοεῖ; ἀλλ' ἐπωρώθη· πόθεν ἡ πώρωσις; αὐτὸ γὰρ τῶν ἄλλων αἰτία πωρώσεως· ἀλλὰ πεπώρωται· πῶς οὐκ ἐπωρώθη; ἀλλ' οὔτε πεπωρωμένους ποιεῖν καὶ αὐξάνειν τὴν πώρωσιν· πῶς δ' ἐπ' ἀγαθῷ πλασθὲν ὅλως νένευκε μὲν οὐδαμῶς πρὸς ἐκεῖνο πρὸς ὃ δὲ μὴ προήχθη ὡς ἐκεῖνο καταπέπτωκε; καὶ τί ἂν ἐκεῖνο εἴη, ὃ μὴ πραπέντος τοῦ δαιμονίου φύλου τούτους ὑπεδέξατο;

ΣΛΔ. Τίνος ἕνεκα ὁ μὲν ὁλόλεπρος παρὰ τῇ παλαιᾷ, καθαρὸς ἐλογίζετο· ὁ δὲ ἐκ μέρους, ἀκάθαρτος.

Ὅτι ὁ μὲν διόλου λεπρὸς τὸ ἀνέλπιστον ἔφερε πρὸς τὴν ἴασιν· διόπερ ὁ φιλάνθρωπος θεὸς διπλῆν αὐτῷ τὴν ποινὴν ἐπάγειν οὐκ ἐδοκίμαζε, τήν τε λέπραν φημὶ καὶ τὸ ἀπὸ τῆς ἀκαθαρσίας ὄνομα καὶ τοῦ ἱεροῦ τὸ ὑπερόριον· τῷ δὲ ἐκ μέρους λεπρῷ ἐπείπερ ἡ ἐλπὶς τῆς ἰάσεως τὸ πολὺ τοῦ λυποῦντος ἐπεκούφιζεν, εἰκότως οὐ τῆς ἴσης φιλανθρωπίας ἀπολαύειν ἐπιδείκνυται.

ΣΛΕ. *Τίνος ἕνεκα λέγεται τὸ πνεῦμα εἰκὼν τοῦ υἱοῦ· καὶ τίς ἡ τῶν πυθαγορείων τετρακτύς.*

*Εἰκὼν λέγεται τοῦ πατρὸς ὁ υἱὸς καὶ ὡς πρὸς αὐτὸν κατ' αἰτίαν ἀναφερόμενος, καὶ ὡς ἑαυτῷ τὸν πατέρα προδεικνὺς καὶ εἰκονίζων, ὅς που καὶ πρὸς τὸν Φίλιππον· ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· εἰκὼν δὲ υἱοῦ τὸ πνεῦμα οὐχ ὡς εἰς ἀναφερόμενον· ἄπαγε· ἀλλ' ὅτι μὴ οἷόν τε γνωρίσαι τὸν υἱὸν ἑτέρωθεν, εἰ μὴ τὸ πανάγιον πρὸς τὴν χειραγωγίαν συνεργὸν λάβοιτο πνεῦμα. Τὴν τετρακτὺν δὲ τιμῶσιν οἱ πυθαγόρειοι ὡς εἰκόνα τῶν τεσσάρων οὖσαν στοιχείων.*

ΣΛϛ. *Διατί ἀλείφει τὸν λύθον ὁ Ἰακώβ.*

*Τὴν ἀτεράμονα καὶ κατὰ λίθους καρδίαν προτυπῶν τῶν ἐθνῶν ὅτι χρισθήσεται μὲν αὕτη πνεύματι ἁγίῳ, ἀφορισθήσεται δὲ ὥσπερ ἐκεῖνος τῷ θεῷ· νοοῖτο δ' ἂν καὶ καθ' ἕτερον τρόπον ὅτι περ τὸν λίθον ἀλείφει· διότι ἔμελλε δι' ἄφατον ἔλεος ἡ προσληφθεῖσα σὰρξ τῇ θεότητι χρίεσθαι· λίθος δὲ ὁ κύριος ἀκρογωνιαῖος ἔντιμος συνάπτων δι' ἑαυτοῦ τοὺς δύο λαούς.*

ΣΛΗ. *Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα ἕως νικήσῃς ἐν τῷ κρίνεσθαί σε.*

*Διορύττει μὲν ὁ Δαβὶδ τοὺς ἀλλοτρίους γάμους· ἐπιτίθησι δὲ τῇ μοιχείᾳ φόνον· καὶ λήσειν ἐτεχνάζετο τὴν πρᾶξιν· ἐπεὶ δὲ τὸ θεῖον εἰς ἔλεγχον ἄγει τοῦ τολμήματος διὰ τοῦ προφήτου, γίνεται ὁ ἀνὴρ ἑαυτοῦ καὶ φησί· σοὶ μόνῳ ἥμαρτον· εἰ γὰρ καὶ Οὐρίας ἠδίκηται, ἀλλ' ἐγὼ τὸ ἁμάρτημα εἰς σὲ τετολμῆσθαι διὰ τῶν ἐλέγχων μαθὼν, ἐπὶ τὴν συγγνώμην τρέχω· καὶ γὰρ οὐδ' ἀφῆκας λαθεῖν εἰς δοῦλον ἐμὸν ἡμαρτηκότα, ἀλλ' ὡς εἰς σὲ πεπαρῳνηκότα τὸν δεσπότην· διατί; ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου· τουτέστιν ἵνα ἡ σὴ δικαιοσύνη τῆς ἀνθρωπίνης κρατήσῃ μηχανῆς· καὶ τὴν σὴν κρίσιν μηδεὶς ἐξαμαρτάνων σοφίζεσθαι οἴηται· τοῦτο γάρ ἐστι τὸ, νικήσεις ἐν τῷ κρινεσθαί σε· νικᾷς ἐν τῷ μηδένα ἔχειν παρὰ σοὶ δίκαιον ὀφθῆναι· καὶ ὅτι τῇ σῇ ἀγαθότητι τὴν πάντων διψῶν σωτηρίαν τῷ παρὰ σοῦ ἐλέῳ τὰς ἡμῶν νικᾷς ἁμαρτίας, ἐπιστροφὴν καὶ μετάνοιαν ἀντὶ μεγίστων δεχόμενος δώρων· καὶ γὰρ κρίνεται ὁ θεὸς πρὸς*

ἡμᾶς τὸν οἰκεῖον ἔλεον ταῖς ἡμετέραις ἀντιταλαντεύων ἁμαρτίαις· καὶ νικᾷ τῇ εὐσπλαγχνίᾳ λύων τὴν κατὰ τῶν ἁμαρτωλῶν τιμωρίαν.

## ΣΛΘ. Οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ τουτέστιν ἐν τῇ σαρκί μου τὸ ἀγαθόν.

Τοῦτο οὐκ εἰς ἑαυτὸν ὁ Παῦλος εἴρηκεν, ἀλλὰ τὸ πρόσωπον τῆς ἀνθρωπίνης οἰκειούμενος φύσεως· Τότε δὲ οὐκ οἰκεῖ τὸ ἀγαθὸν ἐν Τῇ σαρκὶ ἡμῶν, ἡνίκα χρόνῳ καὶ ἔθει καταδουλωθέντες τῇ ἁμαρτίᾳ, ἔμμονόν τε καὶ δυσεξάλειπτον ἐν ἑαυτοῖς φέρομεν τὸ κακόν· ὁ γὰρ δουλωθεὶς τῇ χρονία Τούτων διατριβῇ, κᾂν βουληθῇ πάλιν πρὸς τὴν ἀρετὴν ἐπαναδραμεῖν, δύσεργόν τε καὶ δυσήνυστον εὑρίσκει τὴν βουλήν· διό φησιν· οὐκέτι ἐγὼ κατεργάζομαι αὐτό· τουτέστιν οὐκ ἐμὸν οἶδα τὸ ἔργον· πῶς γάρ; ὅγε στενοχωρούμενος ὑπ' αὐτοῦ, ἀλλὰ τῆς οἰκούσης ἐν ἐμοὶ ἁμαρτίας ἑδραίαν καὶ ἀμετακίνητον τὴν οἴκησιν κτησάμενος· διὸ καὶ ἀποδύρομαι τὴν ἐλευθερίαν ζητῶν, καὶ ἀνακράζων· ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με; καὶ ἑξῆς.

## ΣΜΔ. Διατί διδασκόμεθα ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις.

Ἀποτασσόμεθα τῷ σατανᾷ καὶ τοῖς ἔργοις αὐτοῦ, καὶ οὐχὶ τοῖς πονηροῖς ἀνθρώποις, πρῶτον μὲν ἵνα μὴ ἀφορμὰς, εἰ καὶ μὴ εὐλόγους, ἐκ ταύτης λάβωμεν Τῆς ἀποταγῆς, μισεῖν καὶ ἀποστρέφεσθαι καὶ ἐκτρέπεσθαι καὶ ἀποτάσσεσθαι τὸ ὁμόφυλον. Δεύτερον δὲ, εἰ ἀπετασσόμεθα τοῖς πονηροῖς ἀνθρώποις, οὐχ ἡμεῖς δὲ ἀλλὰ καὶ πρὸ ἡμῶν οἱ διδάσκαλοι καὶ ἀπόστολοι, τίς ἂν τῶν ἁμαρτωλῶν ἐσέσωστο, τῆς μὲν ἀποταγῆς Τὴν ἀποστροφὴν τικτούσης; τῆς δὲ τὴν παραίνεσιν καὶ διδασκαλίαν συναναιρούσης, ᾗ καὶ ἡ ἐπιστροφὴ καὶ ἡ μεταμέλεια συναναιρεῖται. γ̄. Καὶ τίς ἂν ἐκεῖνος ὁ λέγων ἀποτάσσομαι τοῖς ἁμαρτωλοῖς ἢ πονηροῖς ἀνθρώποις; εἰ μὲν λέγοι ἑαυτὸν τῶν ἁμαρτωλῶν, ἑαυτῷ ἂν ἀπετάττετο· εἰ δὲ τῶν δικαίων, ἵνα τἆλλα ἐάσω, ἀλλ' ἐν καιρῷ τῆς μετανοίας καὶ σωτηρίας, βάραθρον ἑαυτῷ μεγαλαυχίας καὶ φαρισαϊκῆς ἀπωλείας διώρυττε. δ̄. Οὐχ ὁ ἄνθρωπος ἀπ' ἀρχῆς, ἀλλ' ὁ πονηρὸς ἠπάτησε. ε̄. Ὁ μὲν σατανᾶς τὴν κακίαν ἐστὶν ἀμετάβλητος. ς̄. Ἐν τῇ ἀποταγῇ τῶν τοῦ σατανᾶ ἔργων καὶ ὅσα ἄνθρωπος πράξει, ἐπεὶ ἐκεῖθεν ἐκ τῆς ἀπάτης τὸ σπέρμα, ἐν ἐκείνοις περιέχεται· εἰς γὰρ ἐκεῖνον ἀναφέρεται.

ΣΜΕ. Διατί ὁμολογηταὶ καλοῦνται οἱ περὶ Σαμωνᾶν.

Ὁμολογηταὶ δ' ἂν οἱ περὶ Γουρίαν μάρτυρες καλοῖντο, οὐχ ὅτι τὸν Χριστὸν ἐν σταδίῳ διωμολογήσαντο· κοινὸν γὰρ ἀγώνισμα τοῦτο πάντων τῶν μαρτύρων· ἀλλ' ὅτι τῶν ὁμολογιῶν ἃς πρὸς ἀλλήλους ἄνθρωποι τίθενται ἐπόπται καὶ μεσῖται παραληφθέντες, οὔτε τῶν πεπιστευκότων αὐτοῖς τὰς ἐλπίδας ἐψεύσαντο, καὶ τοὺς ἀθετήσαντας τὰ ὁμολογηθέντα, τὴν δικαίαν δίκην ἠπάτησαν· ὡς οὖν ἐπόπται θερμοὶ καὶ ἀπαραίτητοι τῶν πρὸς ἀλλήλους τοῖς ἀνθρώποις ὁμολογιῶν γεγενημένοι, εἰκότως τὴν τῶν ὁμολογητῶν ὀνομασίαν διεκληρώσαντο.

ΣΜϛ. Διατί σταυροῦται ὁ Χριστός.

Σταυροῦται σαρκωθεὶς ὁ τοῦ Θεοῦ λόγος καὶ Θεὸς ἵνα λαμπρῶς ἀδικοῦντα διελέγξῃ τὸν διάβολον· καὶ ἵνα τὸ πρὸς ἀνθρώπους φίλτρον παραστήσῃ ἀνυπέρβλητον· καὶ ἵνα μὴ δόξαν εὐχερὲς τὸ λέγειν αὐτὸν εἶναι Θεὸν, πολλοῖς ἀφορμὴ κατασταθῇ θεοποιεῖν ἑαυτοὺς, καὶ πλάνην καταργῶν πλάνην εἰσάγειν ὀλέθριον· καὶ ἵνα τοῖς ἐν ἐπηρείαις καὶ ἐπιβουλαῖς καὶ κακώσεσι πρὸς θάνατον ἀγούσαις ἐξεταζομένοις, ἑαυτὸν ὑπομονῆς καὶ καρτερίας παράδειγμα προθεὶς, γενναίως φέρειν καὶ εὐχαρίστως παρασκευάσῃ τὰ συμπίπτοντα· καὶ ἵνα τὸ πανσθενέστατον αὐτοῦ μᾶλλον φανερώσῃ τῆς δυνάμεως· τὸ μὲν γὰρ ῥώμῃ καὶ χειρὶ καὶ ὅπλοις καὶ συμμάχοις τὸν ἀντίπαλον, ἐπαινετὸν μὲν, τῶν συνήθως δὲ διαπεπραγμένων καὶ οὐδὲν εἰσάγον θεουργίας ἐξαίρετον· τὸ διὰ θανάτου, αὐτόν τε θάνατον καὶ ᾅδην καὶ διάβολον καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ κόσμου καταργῆσαι τε καὶ θριαμβεῦσαι, τοῦτο ἂν εἴη ὡς ἀληθῶς τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν παντοκρατορικῆς δυνάμεως τοῦ Θεοῦ· καὶ ἵνα τὴν ὑπερβολὴν τῶν εἰς ἡμᾶς ἀγαθῶν ἐνδειξάμενος, χρεώστας τῆς καθαρᾶς πρὸς αὐτὸν ἀγάπης παραστήσῃ, καὶ τῆς κατὰ τοὺς αὐτοῦ νόμους πολιτείας· δι' ὧν τὸ κέρδος εἰς ἡμᾶς αὐτοὺς ἀναστρέφεται, βασιλείας ἡμῖν κλῆρος ὂν, καὶ ἐν ἀδιηγήτοις διαγωγὴ καὶ ἀπόλαυσις.

ΣΜΖ. Πῶς συμβιβασθήσεται τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον· τὰ σημεῖα οὐ τοῖς πιστεύουσιν ἀλλὰ τοῖς ἀπίστοις, τοῖς δεσποτικοῖς λογίοις τοῖς λέγουσιν, ἡ πίστις σου σέσωκέ σε· καὶ οὐκ ἠδύνατο ποιῆσαι σημεῖα διὰ τῆς ἀπιστίας αὐτῶν· καὶ ὅσα ἄλλα τὴν αὐτὴν ὑποβάλλει διάνοιαν.

Τῷ διερευνῶντι φιλομαθῶς, οὐκ ἐργώδης τῶν εἰρημένων ἡ κατανόησις· τοῖς τε γὰρ ἤδη χρόνῳ πεπιστευκόσι καὶ μηδεμίαν ἀμφιβολίαν περὶ τοῦ καθ' ἡμᾶς μυστηρίου παραδεχομένοις, ὡσαύτως δὲ καὶ τοῖς τελείως τῇ ἀπιστίᾳ κεκρατημένοις καὶ μὴ θέλουσι διὰ τῶν σημείων πρὸς τὴν εὐσέβειαν χειραγωγηθῆναι, κενὸν καὶ μάταιον ἡ τῶν σημείων ἐπίδειξις· τοῖς δέ γε ἐν τῇ ἀπιστίᾳ μὲν τεθραμμένοις, εἶτα ἠρέμα πως τοὺς λογισμοὺς πρὸς τὴν εὐσέβειαν ἐνδιδόναι διανισταμένοις, τούτοις οἰκεία καὶ πρόσφορος ἡ τῶν παραδόξων ἔργων φανέρωσις· διὰ τοῦτο καὶ ὁ κύριος οὔτε παρὰ τῶν παντελῶς ἀπίστων πίστιν ἐπιζητεῖ· ᾔδει γὰρ οὐχ εὑρίσκων ἐν αὐτοῖς· οὔτε παρὰ τῶν εἰλικρινῶς πεπιστευκότων· προειλήφει γὰρ καὶ ταύτην προεισενεγκόντων αὐτῶν· ζητεῖ δὲ παρ' ἐκείνων οἳ ἐξ ἀσεβείας εἰς εὐσέβειαν μεταβαλλόμενοι ἤδη τὴν πίστιν ὠδίνουσιν ἐν ἑαυτοῖς· τοῖς τοίνυν πιστοῖς οὐ δίδοται τὰ σημεῖα· εἰς κενὸν γάρ· ἀλλὰ τοῖς ἐξ ἀπιστίας εἰς πίστιν μεταβαλλομένοις· ὧν καὶ ἡ πίστις ζητεῖται τελεσφορηθῆναι, καὶ τελεσφορουμένη πρόξενος γίνεται τῆς ἀπολαύσεως τῶν θεοσημειῶν· οὐδὲν οὖν διαμάχεται τοῦ θεσπεσίου Παύλου ἡ φωνὴ τοῖς εὐαγγελικοῖς ῥήμασι· πρὸς μὲν γὰρ τοὺς πεπωρωμένους τὴν καρδίαν οὐκ ἠξίου παραδοξοποιεῖν ὁ ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων πάντα πράττων θεός· οἱ δὲ εἰλικρινῶς πεπιστευκότες οὐκ ἐδέοντο τούτων εἰς τὸ πιστεῦσαι· ὑπόλοιπον οὖν πρὸς ἐκείνους τὰς θαυματουργίας τὸν τοῦ γένους ἡμῶν σωτῆρα ἐπιτελεῖν, οἳ οὔπω μὲν πεπιστευκότες ἦσαν, τὴν δὲ τῶν ἀπίστων ἔτι χώραν ἀνεπλήρουν, ὅμως ἐζήτουν δι' ὧν πιστεύσουσιν, καὶ χειραγωγὸν λαμβάνοντες τὰ σημεῖα, εἰς τὴν τῶν πιστῶν μετηλλάττοντο μοῖραν.

ΣΜΗ. Εἰ ἦν ἡ γῆ, πῶς ἐγένετο; λέγει γὰρ ἡ δὲ γῆ ἦν.

Ἠλίθιον τὸ ἐρώτημα· ὁ γὰρ εἰπὼν, ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, οὐκ ἀΐδιον δηλονότι ἔφην τὴν γῆν· ἔφη δὲ οὐχ ὅτι ἦν ἡ γῆ ἀπολύτως, ἀλλ' ὅτι ἦν ἀκατασκεύαστος· ἔτι γὰρ ἀόρατος ἦν ἐπικειμένου τοῦ ὕδατος· καὶ ἀκατασκεύαστος, μηδέπω κοσμηθεῖσα βλάστῃ· καὶ διατί τοῦ φωτὸς πρῶτον εἶδος, εἶτα τὸ ὑποκείμενον ἤτοι τὸ ἡλιακὸν σῶμα ὑπέστησεν; ἵνα θαυματουργήσῃ, φησὶν ὁ θεολόγος, μείζονα· ἐπειδὴ

γὰρ τοῖς ἄλλοις ὕλην προϋποστήσας εἰδοποίησεν, ὕστερον τάξιν ἑκάστῳ καὶ σχῆμα καὶ μέγεθος περιθεὶς, ἐνταῦθα παραδοξότερον τῆς ὕλης τὸ εἶδος προϋπεστήσατο· εἶδος γὰρ ἡλίου τὸ φῶς.

ΣΜΘ. Εἰ τὸ φῶς ὁ Θεὸς ἐδημιούργησεν, οὐκ αὐτὸς τὸ σκότος ἐποίησεν· ἐναντία γὰρ ταῦτα ἀλλήλοις.

Ἐναντία μὲν ἀλλήλοις, ἀλλ' ἀναγκαῖα τοῖς ἀνθρώποις ἀμφότερα· καὶ τοῦτο καὶ ὁ Δαβὶδ ἐξυμνῶν τὴν τοῦ ποιητοῦ μεγαλουργίαν λέγει· ἔθου γάρ φησι σκότος, καὶ ἐγένετο νὺξ· κ. τ. λ. ἕως, ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας· ἀλλ' ὅτι μὲν ἀναγκαῖον τὸ σκότος, δῆλον· ὅτι δὲ οὐκ οὐσία, ἀλλὰ συμβεβηκὸς, καὶ ἐντεῦθεν ἔστι λαβεῖν· οὐρανοῦ γὰρ καὶ γῆς ἐστὶν ἀποσκίασμα· διά τε τοῦτο καὶ φροῦδον γίνεται καὶ εἰς τὸ μὴ ὂν διαλύεται τοῦ φωτὸς ἀνίσχοντος· τὸ δὲ φῶς οὐσία ἐστὶ καὶ ὑφέστηκε· διὸ καὶ δύον μὲν ἀνίσχει· καὶ ἀπιὸν ἐπανέρχεται· γνοίη δ' ἄν τις κἀντεῦθεν ὅτι τὸ σκότος ἐπισυμβέβηκεν· οἶκος γὰρ οὐκ ἔχων φωταγωγοὺς σκότους ἐστὶ πλήρης, εἰσκομισθείσης δὲ λαμπάδος φωτίζεται, οὐ τοῦ σκότους ἄλλοσε πη μεταβαίνοντος, ἀλλὰ πάμπαν διολλυμένου τῇ τοῦ φωτὸς παρουσίᾳ· οὐ τοίνυν ἀγέννητος οὐσία τὸ σκότος, οὔτε μὴν γεννητὴ, ἀλλ' ἐκ τῶν γεννητῶν συνισταμένη χρῆσις ἀναγκαῖα, τοῦ Θεοῦ τὴν σοφίαν κηρύττουσα· αὐτίκα γοῦν καὶ ὁ προφήτης καὶ ἐντεῦθεν ὑμνεῖ τὸν Θεὸν, ὁ ποιήσας γάρ φησι φῶς καὶ κατασκευάσας σκότος· ἐπὶ μὲν τοῦ φωτὸς ἁρμοζόντως εἰπὼν, ὁ ποιήσας· ἐπὶ δὲ τοῦ σκότους, κατασκευάσας· συμβεβηκὸς γάρ ἐστι συνιστάμενον καὶ διαλυόμενον.

ΣΝ. Διατί τὰ θηρία καὶ τὰ ἑρπετὰ πεποίηκεν ὁ Θεός.

Δεῖται τὰ παιδία καὶ μορμολυκείων καὶ ἱμάντων καὶ ῥάβδων· καὶ τοῖς μὲν αὐτὰ δεδιττόμεθα, τοῖς δὲ καὶ παιδεύομεν· καὶ ἡμᾶς τοίνυν προειδὼς ὁ Θεὸς ὡς εἰς ῥαθυμίαν ἐκκλίνοντας, οἷον ἱμάντας τινὰς ἢ μορμολύκεια προκατεσκεύασεν ἡμῖν τὰ θηρία· ἵνα τούτοις ἡμᾶς δεδιττόμενος, πρὸς ἑαυτὸν ἕλκῃ καὶ καλεῖν αὐτὸν εἰς συμμαχίαν παρασκευάζῃ· ἀλλ' ὥσπερ οἱ τέλειοι τῶν παιδικῶν δειμάτων καταφρονοῦσιν, οὕτω καὶ οἱ τῆς ἀρετῆς τρόφιμοι τὰς τῶν θηρίων οὐ δειμαίνουσι προσβολάς· καὶ γὰρ τῷ Ἀδὰμ πρὸ τῆς ἁμαρτίας παρειστήκει τὰ θηρία τὴν δουλείαν ὁμολογοῦντα· καὶ τῷ Νῶε συνῳκίζετο ἐν τῇ κιβωτῷ· καὶ τῷ Δανιὴλ ἐν τῷ λάκκῳ οἱ λέοντες, καί τοι λίαν λιμώττοντες· καὶ ὁ ἔχις δὲ τῇ ἀποστόλου χειρὶ τοὺς ὀδόντας ἐμβαλὼν καὶ τῆς ἁμαρτίας τὸ χαῦνον καὶ χαλαρὸν οὐχ εὑρὼν

ἀπεπήδησε παραυτίκα καὶ κατὰ τῆς πυρᾶς ἥλλατο, ὥσπερ δίκας ἑαυτὸν εἰσπραττόμενος ὅτι τῷ μηδαμόθεν προσήκοντι προσέβαλε σώματι. Καὶ ἡμῶν δὲ ῥαθυμούντων ὅμως κηδόμενος ὁ θεὸς, τοὺς ἐρημοτέρους ἐκείνοις τόπους καὶ τῆς νυκτὸς ἀπεκλήρωσε τὸν καιρὸν, τοῖς ἑρπετοῖς δὲ τοὺς ἐν τῇ γῇ κατένειμε χηραμοὺς, ὅπως μὴ ῥᾷον ὑπ' αὐτῶν, τῶν ἀνθρώπων πημαίνοιτο τὸ γένος· συγχωρεῖ δὲ ἔσθ' ὅτε τινὰς, ὑπ' αὐτῶν παραβλάπτεσθαι· ὡς ἂν ἕκαστος δεδιὼς μήτι παραπλήσιον πάθῃ, πρὸς τὸν δυνάμενον σώζειν θεὸν καταφεύγῃ· ἄλλως τε δὲ ταῦτα καὶ πρὸς πολλὰ τῶν ἀλεξικάκων φαρμάκων συντελεῖ. Μηδεὶς τοίνυν αὐτὸ καθ' ἑαυτὸ τὸ θηρίον ἐξετάζων, ἐπιμεμφέσθω τῷ ποιητῇ, ἀλλὰ τὴν χρείαν ἐπιζητείτω· ἐπεὶ καὶ τὸ σῶμα τὸ ἀνθρώπινον πολλὴν ἔχει καὶ ὥραν καὶ ἁρμονίαν καὶ τῶν μορίων τὴν χρείαν· ἀλλ' ἔχει καὶ κόρυζαν καὶ πτύελον καὶ δυσώδη κόπρον· ἀλλ' οὐδεὶς εὖ φρονῶν ἀπὸ τούτων διαβάλοι τὸ ζῶον· δίχα γὰρ τούτων βιῶναι, τῶν ἀδυνάτων· διὰ γὰρ τούτων ἀρδόμενον τέθηλε, καὶ αἵματος καὶ φλέγματος καὶ χολῆς ἑκατέρας· ἀλλ' ὥσπερ διὰ τούτων συνέστηκεν, οὕτως διὰ τούτων ἑνὸς τῶν εἰρημένων πλεονάσαντος ἢ ἐλλείψαντος διόλλυται· καὶ σκυταλίδα εἴτις ἐκτέμοι τῶν δακτύλων ὄψεται αὐτὴν παντελῶς ἄχρηστον· προσήκει δὲ διὰ τοῦτο καὶ ἡμᾶς μὴ αὐτὸ καθ' ἑαυτὸ ἀπομερίζοντας τοῦ παντὸς ἕκαστον μέρος ἐξετάζειν τῆς κτίσεως· ἀλλὰ ζητεῖν καὶ ἐπισκοπεῖν εἰ τῷ κοινῷ χρείαν τινὰ συντελεῖ· καὶ τὰ θηρία αἰδεῖται μὲν τὸν ἄνθρωπον διὰ τὴν ἐξ ἀρχῆς αὐτῷ δοθεῖσαν ἐξουσίαν κατ' αὐτῶν· παραβεβηκότος δὲ τὸν θεῖον νόμον, ἔστιν ὅτε καταφρονεῖ.

## ΣΝΑ. Τίνι ὁ θεὸς εἴρηκεν· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.

Δηλονότι τῷ ὁμοουσίῳ καὶ ταυτοφυεῖ υἱεῖ· τούτων γὰρ καὶ μία δύναται γενέσθαι εἰκών· οἱ δὲ πρὸς τοὺς ἀγγέλους εἰρῆσθαι τοῦτο παραληρήσαντες αἱρετικοὶ, καὶ πρός γε τοὺς δαίμονας τὸ ἀθεώτερον, λίαν εἰσὶν ἀνόητοι· τίνα γὰρ κοινωνίαν ἔχει εἰκὼν θεοῦ καὶ ἀγγέλων ἢ δαιμόνων; ὧν γὰρ οὐσία ἀσυγκρίτῳ λόγῳ διενήνοχε, τίς μηχανὴ τούτων τὴν αὐτὴν εἰκόνα ἐννοῆσαι; ἰουδαίων γὰρ ἄν τις καὶ γελάσειε τὴν ἄνοιαν· πρὸς ἑαυτὸν γὰρ τοῦτο τὸν θεόν φασιν ἀποφήνασθαι, κατά τινα μίμησιν τῶν καί τοι εἰ καὶ πληθυντικῶς καὶ τὸ κελεύομεν καὶ τὸ ποιήσωμεν προφέρεται, ἀλλ' οὖν πολλὴν ἔχει πρὸς ἄλληλα τὴν διαφοράν· τὸ μὲν γὰρ ποιήσωμεν, ὥσπερ ἐπὶ κοινωνίᾳ τῆς πράξεως τὸν ἰσότιμον καλεῖ· τὸ δὲ κελεύομεν ἢ γράφομεν εἰ καὶ πληθυντικῶς ἐσχημάτισται, ἀλλ' οὐδαμῶς ἑτέρου κλῆσιν εἰς συνεργίαν δίδωσιν ἐννοεῖν· ἄλλως τε τὸ μὲν γράφομεν καὶ κελεύομεν, ἔχει

πρόσωπον φανερὸν πρὸς ὃ λέγεται· δῆλον γὰρ ὡς πρὸς τὸν ὑπεξούσιον· ἐνταῦθα δὲ τὸ ποιήσωμεν μάλιστά γε διὰ τὴν ἐπαγωγὴν τοῦ κατ' εἰκόνα, οὐδαμῶς δίδωσι πρόσωπον ἄλλο παρὰ τὸν υἱὸν καὶ τὸ πανάγιον πνεῦμα ἐννοεῖν, τὰς μεγάλας πιστευόμενον ἀρχὰς, οἳ λέγειν εἰώθησαν κελεύομεν, καὶ γράφομεν καὶ προστάττομεν καὶ τὰ ὅμοια· καί τοι τὰ πλεῖστα ἑνικῶς ἡ θεία γραφὴ προφέρει λέγοντα τὸν τῶν ὅλων θεόν· καιρὸς γὰρ παντὸς ἥκει ἐναντίον ἐμοῦ· καὶ ἐνεθυμήθην ὅτι ἐποίησα τὸν ἄνθρωπον· καὶ ἀπαλείψω τὸν ἄνθρωπον· καὶ οὐκ ἔσονται θεοὶ ἕτεροι πλὴν ἐμοῦ· καὶ μυρία· ὀλιγάκις δὲ πληθυντικῶς σχηματίζει τῶν τῆς τριάδος προσώπων ἐμφαίνων τὸν ἀριθμόν· ὥσπερ τὸ, δεῦτε καὶ καταβάντες συγχέωμεν τὰς γλώσσας· καὶ περὶ οὗ νῦν ὁ λόγος· καὶ γὰρ ἐνταῦθα ἐπειδὴ τὸ λογικὸν ζῶον διέπλαττεν ὁ θεός· ὃ καὶ ἀνακαινίζειν μετὰ πολλὰς ἔμελλεν γενεὰς ταῖς τῆς ἁγίας τριάδος ἐπικλήσεσι τελεσιουργῶν τὸ πανάγιον βάπτισμα, μέλλων δημιουργεῖν τὴν ἐκεῖνα τὰ μυστήρια παραληψομένην φύσιν, αἰνιγματωδῶς καὶ τὸ ταυτὸν τῆς οὐσίας καὶ τὸν τῶν προσώπων παρεδήλωσεν ἀριθμόν· διὰ μὲν γὰρ τοῦ εἰπεῖν, εἶπεν ὁ θεὸς, τὸ κοινὸν τῆς θείας δεδήλωκε φύσεως· ἐπαγαγὼν δὲ τὸ, ποιήσωμεν, ἐνέφηνε τῶν προσώπων τὸν ἀριθμόν· πάλιν εἰπὼν ἑνικῶς εἰκόνα τὸ ταυτὸν τῆς φύσεως ἔδειξεν· ἡμετέραν δὲ προσθεὶς, τὸν τῶν ὑποστάσεων ἀριθμόν· ἅπαντα γὰρ προορῶν ὁ τῶν ἁπάντων θεὸς καὶ τὴν τοῦ μονογενοῦς ἐνανθρώπησιν, ὡς ταύτην τὴν φύσιν ἐκ πανάγνου τῆς παρθένου λήψεται, μάλα εἰκότως καὶ αὐτὴν τοῦ γένους τὴν κρηπῖδα τιμῆς μεγίστης ἠξίωσε· πρῶτον μὲν γὰρ βουλὴν τῆς δημιουργίας προέταξεν ἵνα τοῦ δημιουργουμένου τὸ λογικὸν προσημάνῃ· εἶτα τῶν προσώπων τῆς θεότητος παρεδήλωσε τὸν ἀριθμὸν, ἵνα τὰ τῆς θεολογίας ὁ πλαττόμενος ἄνθρωπος λάβῃ αἰνίγματα, καὶ ὁ τοῦ παναγίου βαπτίσματος ἀξιούμενος γινώσκῃ σαφῶς ὅτι ὁ πλάσας καὶ διέσωσε, καὶ ὁ σώσας αὐτὸς καὶ διέπλασε· πρὸς δὲ τούτοις καὶ οἷον αὐτουργὸς τῆς διαπλάσεως γενόμενος, ἔδειξε τὴν πλείονα περὶ τόδε τὸ πλάσμα φιλοστοργίαν· ἀλλ' οὔτε χεῖρας ἔχειν τὸ θεῖον φαμὲν οὔτε δεῖσθαι βουλῆς τινὸς καὶ προθεωρίας, ἵνα κατὰ τοὺς Πλάτωνος μύθους πρὸς τὴν τῆς ἐνθυμήσεως ἰδέαν κατασκευάσῃ τὸ ποίημα· ἀλλὰ καὶ τούτων ἕκαστον τὴν πλείονα τοῦ θεοῦ περὶ τὸ ζῶον κηδεμονίαν δηλοῖ.

## ΣΝΒ. Τί ἐστι τὸ κατ' εἰκόνα.

Τινὲς τὸ ἀόρατον τῆς ψυχῆς τὸ κατ' εἰκόνα εἰρήκασιν· ἀλλ' εἰ τοῦτο, πολλῷ μᾶλλον κατ' εἰκόνα ὑπῆρχον ἂν οἱ ἄγγελοι· τινὲς δὲ λίαν ἀνοήτως τὸ ἀνθρώπινον κατ' εἰκόνα θείαν γεγενῆσθαι φασὶν, ἀπατηθέντες ἐκ τοῦ

λέγειν πολλάκις ἐπὶ Θεοῦ τὴν θείαν γραφὴν ὀφθαλμοὺς καὶ χεῖρας καὶ τὰ ὅμοια, μὴ συνιδόντες ὡς ἀνθρώποις δι' ἀνθρώπων διαλεγόμενος ὁ θεὸς τῇ τῶν ἀκουόντων ἀσθενείᾳ τοὺς λόγους μετρεῖ· καὶ ἐπειδὴ δι' ὀφθαλμῶν ὁρῶμεν ἡμεῖς, τὴν ὀπτικὴν αὐτοῦ δύναμιν ὀφθαλμοὺς ὀνομάζει· ὥσπερ καὶ ὦτα τὸ ἀκουστικόν· καὶ τὸ πρόσταγμα στόμα· καί τοι τὸ ἀπερίγραφον τοῦ Θεοῦ πολλαχοῦ τῆς γραφῆς ἐστιν ἐκμαθεῖν· τινὲς τοίνυν τῶν διδασκάλων οὕτως ἐνόησαν τὸ, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, ὅτι τὴν κτίσιν τὴν αἰσθητήν τε καὶ νοητὴν πεποιηκὼς ὁ τῶν ὅλων Θεὸς τὸν ἄνθρωπον διέπλασεν ἔσχατον· οἷόν τινα εἰκόνα αὐτοῦ ἐν μέσῳ τεθεικὼς τῶν ἀψύχων καὶ αἰσθητῶν καὶ νοητῶν· ἵνα τὰ μὲν ἄψυχά τε καὶ ἔμψυχα τούτῳ προσφέρῃ ὥσπέρ τινα φόρον τὴν χρείαν· αἱ δὲ νοηταὶ φύσεις ἐν τῇ περὶ τοῦτον κηδεμονίᾳ, τὴν περὶ τὸν πεποιηκότα δεικνύουσιν εὔνοιαν· τινὲς δὲ τὸ κατ' εἰκόνα Θεοῦ κατὰ τὸ ἀρχικὸν γεγενῆσθαι τὸν ἄνθρωπον ἔφησαν· ἐπήγαγε γάρ φησιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης κ. τ. λ. ὥσπερ γὰρ αὐτὸς ἔχει τῶν ὅλων τὴν δεσποτείαν, οὕτω καὶ δέδωκε τῷ ἀνθρώπῳ τῶν ἀλόγων τὴν ἐξουσίαν.

Ἔστι μέν τοι καὶ ἄλλα εὑρεῖν ὡς ἀρχετύπου μιμήματα· δημιουργεῖ γὰρ καὶ ἄνθρωπος κατὰ μίμησιν τοῦ πεποιηκότος Θεοῦ καὶ οἰκίας καὶ τείχη καὶ πόλεις καὶ λιμένας, οὐρανοῦ ἐκτυπώματα, καὶ ἡλίου καὶ σελήνης καὶ ἀστέρων καὶ ἀνθρώπων καὶ ἀλόγων ζώων εἰκόνας· εἰ καὶ τὸ τῆς δημιουργίας διάφορον ἄφατον· ἀλλ' ὅμως δημιουργῶν ὁ ἄνθρωπος ἀμηγέπη, τὴν οἰκεῖον μιμεῖται ποιητὴν ὡς εἰκὼν τὸ ἀρχέτυπον· καὶ γὰρ ἡ εἰκὼν ἔχει τὰ τοῦ ἀρχετύπου ἰνδάλματα· ἀλλὰ τὸ μὲν τῶν μορίων εἶδος ἔχει, τὰς δὲ ἐνεργείας οὐκ ἔχει· ἐστέρηται γὰρ ψυχῆς δι' ἧς κινεῖται τὸ σῶμα· οὕτω πάλιν καὶ βασιλεύει ὁ ἄνθρωπος καὶ κρίνει κατὰ μίμησιν τοῦ τῶν ὅλων Θεοῦ· ἀλλ' ὁ μὲν καὶ μαρτύρων καὶ κατηγόρων δεῖται καὶ μυρίων ἄλλων ἐν τῇ συγκρίσει· ὁ δὲ, οὐδενός· πάντα γὰρ καὶ πρὶν γενέσθαι οἶδεν· οὕτω καὶ Θεὸς ὁ ἄνθρωπος ὠνομάσθη· διότι καὶ εἰκὼν ἐκλήθη Θεοῦ· καὶ γὰρ ὁ Παῦλος φησίν· ἀνὴρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· ἀλλὰ πάλιν ὁ μὲν Θεὸς καὶ τὴν φύσιν ἐστὶν ὅπερ καλεῖται· ὁ δὲ ἄνθρωπος ὡς εἰκὼν τοὔνομα μόνον ἔχει· πάλιν ἀπερίγραφον κυρίως μὲν καὶ ἀληθῶς ὁ Θεός· μιμεῖται δὲ αὐτό πως καὶ ὁ ἀνθρώπινος λογισμός· ἐν ἀκαρεῖ γὰρ περινοστεῖ τάτε ἑῷα καὶ τὰ ἑσπέρια καὶ τὰ νότια καὶ τὰ βόρεια καὶ δὴ καὶ τὰ οὐράνια καὶ τὰ ὑποχθόνια· ἀλλ' ὁ μὲν τῇ τοῦ λογισμοῦ μόνῃ φαντασίᾳ· Θεὸς δὲ καὶ τῇ οὐσίᾳ καὶ τῇ σοφίᾳ καὶ τῇ δυνάμει τὸ ἀπερίγραφον ἔχει· εὕροι δ' ἄν τις καὶ ἑτέραν μίμησιν ἀκριβεστέραν ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου· ἔχει γὰρ αὐτὴ ἐν ἑαυτῇ καὶ τὸ λογικὸν καὶ τὸ ζωτικόν· καὶ γεννᾷ μὲν ὁ νοῦς τὸν λόγον· συμπρόεισι δὲ τῷ

λόγῳ πνεῦμα, οὐ γεννώμενον καθάπερ ὁ λόγος, συμπαρομαρτοῦν δ' ἀεί. Ἀλλὰ ταῦτα ὡς ἐν εἰκόνι πρόσεστι τῷ ἀνθρώπῳ· διὸ ἀνυπόστατός ἐστι καὶ ὁ λόγος καὶ τὸ πνεῦμα· ἐπὶ δὲ τῆς ἁγίας τριάδος τρεῖς νοοῦμεν τὰς ὑποστάσεις καὶ ἀσυγχύτως ἡνωμένας καὶ καθ' ἑαυτὰς ὑφεστώσας.

ΣΝΓ. Ἀγαθὸν τὸν θεὸν ὀνομάζοντες, πῶς αὐτῷ περιάπτετε τοσαύτην ἀποτομίαν; ὠμότητα γὰρ καὶ ἀπήνειαν τὸ διὰ βρῶσιν ὀλίγην τοσαύτην ἐπενεγκεῖν τιμωρίαν, οὐ τοῖς ἡμαρτηκόσι μόνον, ἀλλὰ καὶ τοῖς ἐξ ἐκείνων βεβλαστηκόσιν.

Πρῶτον προσήκει πεπεῖσθαι τοὺς εὐσεβεῖν προαιρουμένους ὡς πᾶν ὁτιοῦν ὑπὸ τοῦ θεοῦ τῶν ὅλων γινόμενον ἢ κελευόμενον καὶ ὅσιον καὶ δίκαιον καὶ ἀγαθὸν καὶ φιλάνθρωπον· ἔπειτα εἰδέναι χρὴ ὡς πᾶς νόμος εἰ καὶ περὶ μικρῶν τινῶν διαγορεύει, τὴν ἴσην ἔχει δύναμιν τῷ τὰ μέγιστα κελεύοντι δρᾷν, καὶ διαφερόντως ὅταν θεῖος ᾖ ὁ νόμος· αὐτίκα γοῦν ὁ περιτέμνεσθαι κελεύων, οὐδεμίαν παραβαινόμενος τῷ πέλας ἐξεργάζεται βλάβην· ἀλλ' ὅμως ὁ νομοθέτης φησὶν ὅτι πᾶς ἄρσην ἀπερίτμητος ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται· καὶ ἣν ὥρισε τοῖς ἀνδροφόνοις καὶ μοιχοῖς τιμωρίαν, ταύτην δὴ τούτοις ἐπλήρωσεν· εἰ δὲ Μαρκίων καὶ οἱ τῆς αὐτῆς δυσσεβείας διὰ ταῦτα μάλιστα τὸν νόμον καὶ αὐτὸν κακίζουσι τὸν νομοθέτην, ἐκ τοῦ εὐαγγελίου ἐπιστομιζέσθωσαν· ὁ γὰρ λάγνως ὁρῶν γυναῖκα ὡς μοιχὸς ἐκείνῳ κρίνεται· καὶ ὁ ῥακὰ λέγων τὸν ἀδελφὸν, γραφῆς ὑπεύθυνος· καὶ ὁ εἰκῆ ὀργιζόμενος, ἔνοχος τῇ κρίσει· καὶ ὁ μωρὸν καλῶν, ἄξιος τῆς γεέννης· τί γὰρ τὸν μὲν ἀγαθὸν ὀνομάζουσιν, ἀπηνῆ δὲ τὸν τῆς παλαιᾶς νομοθέτην; ταῦτα γὰρ ἐκείνων κατὰ τὸν τούτων ὅρον ὠμότερα· ἡμεῖς δὲ καὶ τούτους κἀκείνους ἴσμεν τοὺς νόμους ἑνός· τὸ δὲ διάφορον ἡ τῶν νομοθετουμένων ποιότης εἰργάσατο· οἷα γὰρ σοφὸς διδάσκαλος τοῖς μὲν ἀτελέσι τὰ ἀτελῆ, τοῖς δὲ τελείοις τὰ τέλεια προσενήνοχε.

Πρὸς δὲ τούτοις σκοπητέον καὶ τοῦτο, ὅτι τοῖς πρώτοις παραβαίνουσι τοὺς νόμους δίχα συγγνώμης ἐπιφέρονται αἱ τιμωρίαι, ὥστε τοὺς ἄλλους ὁρῶντας τὴν κόλασιν μὴ παραβαίνειν· οὕτως ὁ πρῶτος ἐν σαββάτῳ ξύλα συλλέξας ὑπὸ παντὸς τοῦ λαοῦ κατελεύσθη· χρόνῳ δὲ ὕστερον πολλῶν τὸν περὶ σαββάτου νόμον παραβεβηκότων, μακροθύμως ὁ νομοθέτης ἤνεγκεν· οὕτω Κάϊν πρῶτος φονεύσας ἀνηκέστοις τιμωρίαις περιβάλλεται, πολλῶν φονέων ὕστερον οὐ παραυτίκα δόντων τὰς τιμωρίας· ἔδει τοίνυν καὶ τὸν Ἀδὰμ δεξάμενον τὸν νόμον καὶ νόμον κουφότατον, τῶν παντοδαπῶν γὰρ καρπῶν αὐτῷ ἐδεδώκει τὴν ἀφθονίαν, ἑνὸς δὲ μόνου ἀπη-

γορεύκει, δοῦναι δίκας τοῦ πλημμελήματος εἰς ὠφέλειαν τοῦ γένους· εἰ δὲ δυσόργητος ὢν ὡς ὁ δυσώνυμος ἔφη Μαρκίων, διὰ βρῶσιν ὀλίγην τὴν τοῦ θανάτου τιμωρίαν ἐπήνεγκε, πῶς ἁπάντων ἀνθρώπων εἰς ἀσέβειαν ἐξοκειλάντων καὶ παρανομίαν, οὐ πανωλεθρίαν ἐπήνεγκεν; ἀλλὰ καὶ τὸν υἱὸν ἔδωκε καὶ τὴν διὰ τοῦ πάθους καὶ σταυροῦ ἐδωρήσατο σωτηρίαν· καί τοι δῆλον τοῖς τὰ θεῖα πεπαιδευμένοις ὡς οὐδὲν ἐκ μεταμελείας ποιεῖ ὁ Θεός· τοῦτο γὰρ ἴδιον τὸ πάθος τῶν τρεπτὴν ἐχόντων τὴν φύσιν, ἔτι δὲ καὶ τὸ μέλλον ἀγνοούντων· ὁ δὲ Θεὸς καὶ τὰ μήπω γεγενημένα ὡς ἤδη γεγενημένα ὁρᾷ· διὸ καὶ τὸν Ἀδὰμ προειδὼς ὅτι θνητὸς γενήσεται τὴν ἐντολὴν παραβὰς, τοιαύτην αὐτοῦ καὶ τὴν φύσιν εἰς ἄῤῥεν καὶ θῆλυ προκατεσκεύασε· τῶν γὰρ θνητῶν καὶ παιδοποιΐας δεομένων εἰς τὴν τοῦ γένους διαμονὴν ἡ τοιαύτη τῶν σωμάτων διάπλασις· ἡ γὰρ ἀθάνατος φύσις οὐ δεῖται τοῦ θήλεος· τούτου χάριν ὁ ποιητὴς, τὸν μὲν τῶν σωμάτων ἀριθμὸν ὁμοῦ παρήγαγε, τῶν δὲ θνητῶν ζώων ἀνὰ δύο· καθ' ἕκαστον δημιουργησάμενος, τῆς αὔξης αὐτοῖς τὴν εὐλογίαν προσήνεγκεν.

Ταῦτα τοίνυν προορῶν ὁ Θεὸς οὐ μόνον εἰς ἄρσεν καὶ θῆλυ τὸν ἄνθρωπον διέπλασεν, ἀλλὰ καὶ τὸν περὶ τῆς βρώσεως αὐτοῖς νόμον ἔδωκεν· ἰδοὺ γάρ φησιν ἔδωκα ὑμῖν πάντα χόρτον σπόριμον καὶ ἑξῆς ὑμῖν δέδωκα εἰς βρῶσιν· καὶ ταῦτα πρὸ τῆς ἐντολῆς· οὐ τοίνυν ὀργῆς ἡ τιμωρία ἀλλ' οἰκονομία σοφίας μεστή· ἵνα γὰρ μισήσῃ τὴν ἁμαρτίαν τὸ τῶν ἀνθρώπων γένος ὡς αἰτίαν θανάτου γεγενημένην, μετὰ τὴν παράβασιν τῆς ἐντολῆς ἐπιφέρει τοῦ θανάτου τὴν ψῆφον ὁ πάνσοφος, τοῦτο μὲν τὸ περὶ τὴν ἁμαρτίαν μηχανώμενος μῖσος, προευτρεπίζων δὲ τῷ γένει τῆς σωτηρίας τὸ φάρμακον, τὴν τοῦ μονογενοῦς ἐνανθρώπησιν· δι' ἧς ἡμῖν ἡ ἐκ νεκρῶν ἀνάστασις καὶ ἡ ἀθανασία διαπεπραγμάτευται· τί δὲ καὶ ἀπηνὲς ἡ ἀπόφασις ἔχει; γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ· ἀπὸ γῆς σε φησὶν εἰς ἀμείνω πολλῷ φύσιν μετεσκευάσα· ἐπεὶ δὲ φυλάξαι μου τὴν ἐντολὴν οὐκ ἠθέλησας, πρὸς τὴν προτέραν ἐπανελεύσῃ φύσιν· ἀνθότου δὲ καὶ σμικρὸν εἶναι δοκεῖ τὸ ἁμάρτημα, ὁ μὲν πάντων ἔδωκε τὴν ἐξουσίαν, ἑνὸς δὲ μόνου ἀπεῖρξεν· ὁ δὲ καταλιπὼν ἅπαντα, τοῦτον καὶ μόνον καὶ πρῶτον ἐτρύγησε τὸν καρπόν· τοῦτο γὰρ αὐτῷ καὶ ὁ δεσπότης ἐμέμψατο· τί γάρ φησιν ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνον μὴ φαγεῖν, ἀπ' αὐτοῦ ἔφαγες; δεδήλωκε δὲ καὶ ὁ διάβολος μὴ φαγεῖν αὐτοὺς ἀπό τινος ἄλλου ξύλου δι' ὧν ἔφη τῇ Εὔᾳ· τί ὅτι εἶπεν ὁ Θεὸς οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν παραδείσῳ; εἰ γὰρ οἶδεν ἐδηδοκότας, οὐκ ἂν ᾠήθη περὶ πάντων αὐτοὺς τῶν δένδρων εἰληφέναι τὴν ἐντολήν· οὐ μικρὰ τοίνυν ἡ παράβασις· πρώτου γὰρ μετέλαβον, οὗ μόνου μὴ μετασχεῖν ἐκελεύσθησαν.

## ΣΝΔ. Τίνας υἱοὺς Θεοῦ κέκληκεν Μωϋσῆς.

Οἱ μὲν τοὺς ἀγγέλους ὑπονοήσαντες, μαίνονται· υἱοὺς δὲ κέκληκε νῦν τοῦ Θεοῦ τοὺς ἐκ τοῦ Σὴθ καταγομένους· εἰποῦσα γὰρ ἡ γραφὴ ὅπως ἐκ τοῦ Σὴθ ὁ Ἐνὼς ἐγεννήθη, προσέθηκεν· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ Θεοῦ· ὁ δὲ Ἀκίλας φησί· τότε ἤρχθη τὸ καλεῖν ἐν ὀνόματι κυρίου· αἰνίττεται δὲ ὡς διὰ τὴν εὐσέβειαν οὗτος πρῶτος τῆς θείας προσηγορίας τετύχηκε καὶ ὑπὸ τῶν συγγενῶν ὠνομάσθη Θεός· ὅθεν οἱ ἐκ τούτου φύντες, υἱοὶ Θεοῦ ἐχρημάτιζον· διὸ καὶ ὁ κύριος διὰ τοῦ προφήτου Δαβὶδ· ἐγὼ εἶπα θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες· καὶ ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν· ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· οὕτω δὲ ὀνομάζει τοὺς ἄρχοντας· καὶ γὰρ ἐπάγει ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε, καὶ ἑξῆς· καὶ πολλαχοῦ τῆς γραφῆς εὑρήσεις θεοὺς τοὺς διαφέροντας τῶν πολλῶν ἀνθρώπων ὀνομαζομένους· οἱ τοίνυν τοῦ Σὴθ ἀπόγονοι εἴτε ἐκ τοῦ Ἐνώς, ὃς θεὸς ἐπεκλήθη πρῶτος, ἐκφύντες, εἴτε ἁπλῶς ὡς εὐσεβείᾳ τῶν ἐκ τοῦ Κάϊν τεχθέντων διαφέροντες, υἱοὶ Θεοῦ ἐκαλοῦντο, καὶ οὐκ ἐμίγνυντο τοῖς ἐκ τοῦ Κάϊν διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἀράν· χρόνῳ δὲ ὕστερον εὐειδεῖς θεασάμενοι τὰς ἐκ τῆς τοῦ Κάϊν συγγενείας θυγατέρας, καὶ καταθελχθέντες ὡς εἰκὸς τοῖς παρ' αὐτῶν ἐπινοηθεῖσι μουσικοῖς ὀργάνοις, ὁ γὰρ Ἰωβὰλ ἐξ αὐτῶν ἀνθήσας ψαλτήριον καὶ κιθάραν κατέδειξεν, ἐπεμίγησαν αὐταῖς καὶ διέφθειραν τὴν οἰκείαν εὐγένειαν, καὶ θεήλατον τιμωρίαν ἐδέξαντο, καρπὸν τῆς παρανομίας τὴν πανωλεθρίαν εὑράμενοι· ἐκεῖνο μέν τοι ἐπισημήνασθαι χρή, ὡς οὐχ ἁπλῶς αὐτῶν ἁμαρτίαν ὁ θεῖος λόγος κατηγορεῖ ἀλλὰ τὴν μετ' ἐπιμελείας καὶ σπουδῆς παρανομίαν· τοῦτο γὰρ δηλοῖ τό, πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας· οἱ μὲν γὰρ δυσχεραίνοντες τῆς ἁμαρτίας τὴν ὑπερβολήν, ἡττώμενοι δὲ διὰ τὴν τοῦ νοῦ ῥᾳθυμίαν, οὐ πονηρίαν, εἶτα ὕστερον ἀλγοῦντες καὶ στένοντες ἔχουσι τινὰ μετρίαν ἁμηγέπη παραίτησιν· οἱ δὲ εἰς ἀκολασίαν καὶ πονηρίαν παντάπασιν ἀποκλίναντες, ὥστε καὶ προσεπινοεῖν νεωτέρας κακίας ἰδέας, ποίας ἄξιοι συγγνώμης;

## ΣΝΕ. Τοῦ νόμου μήπω τεθέντος ὃς διαγορεύει τιμᾶν τὸν πατέρα καὶ τὴν μητέρα, πῶς ὁ Χὰμ ὡς πατραλοίας κρίνεται.

Τῇ φύσει τοὺς ἀναγκαίους νόμους ἐντέθεικεν ὁ θεός· οὕτω τὸν Κάϊν κατέκρινεν, ἐπειδήπερ αὐτὸν ἡ φύσις ἐδιδάσκεν ὡς ὁ φόνος παράνομον· αὐτί-

κα γοῦν δόλῳ χρησάμενος συνεργῷ, πόῤῥω τῶν γεγεννηκότων ἀπάγων ἀνεῖλε τὸν ἀδελφὸν καὶ τοῦ Θεοῦ πυνθανομένου ποῦ Ἄβελ ὁ ἀδελφός σου ἠρνήθη, δηλονότι ὡς ἐπιστάμενος κακὸν εἶναι τὸ τολμηθὲν, ἐλεγχθεὶς δὲ ὑπὸ τοῦ δικαίου κριτοῦ, ὡμολόγησεν ὑπὲρ συγγνώμην ἡμαρτηκέναι· μείζων γὰρ ἡ ἁμαρτία μου τοῦ ἀφεθῆναι με· καὶ μέν τοι καὶ ὁ Ἀδὰμ τῆς θείας ἐπιφανείας αἰσθόμενος ἐπειράσθη λαθεῖν· καὶ εἰδὼς ὅτι δὴ τὸ κλέπτειν κακόν· οὕτω δὴ ὁ Χὰμ τὴν τοῦ πατραλοίου κατηγορίαν ἐδέξατο ὡς παραβὰς τὸν τῆς φύσεως νόμον· ὅτι δὲ καὶ τὸ γεραίρειν τοὺς γεγεννηκότας ἡ φύσις ἐδίδασκε, ματυροῦσιν οἱ τοῦ Χὰμ ἀδελφοὶ οἱ μετὰ πολλῆς αἰδοῦς τὸν πατέρα συγκαλύψαντες.

ΣΝϚ. Τί δήποτε τοῦ Χὰμ ἐπταικότος, ὁ ἐκείνου παῖς ἠράσθη.

Κοινῇ πάντες μετὰ τὴν τοῦ κατακλυσμοῦ παῦλαν, τῆς θείας μετέλαχον εὐλογίας· τολμηρὸν τοίνυν ὑπέλαβεν ὁ Νῶε ἐπάγειν ἀρὰν τῷ τῆς θείας εὐλογίας μετειληχότι· τούτου χάριν τῷ ἐκείνου παιδὶ ταύτην περιέθηκεν· ἔχει δὲ ἡ τιμωρία τὸ δίκαιον· ἐπειδὴ γὰρ υἱὸς ὢν ἐξήμαρτεν εἰς πατέρα, διὰ τῆς τοῦ παιδὸς ἀρὰν δέχεται τιμωρίαν· πρὸς δὲ τούτῳ, σκοπητέον κἀκεῖνο· ὡς εἰ αὐτὸς ὁ Χὰμ ἐδέξατο τὴν ἀρὰν, εἰς ὅλον ἂν διέβη τὸ γένος ἡ τιμωρία· ἐκ δὲ τούτου ἐβλάστησαν Αἰθίοπες καὶ Αἰγύπτιοι καὶ Λιβύη πᾶσα καὶ Φοινίκη καὶ Παλαιστίνη· ἵνα τοίνυν μὴ ἅπαν τὸ γένος περιβάλῃ τῇ τιμωρίᾳ, εἰς τὸν νεώτατον υἱὸν τὴν τιμωρίαν παρέπεμψεν· καὶ τοῦτο δὲ εἰδέναι προσήκει ὡς πρόῤῥησίς ἐστιν οὐκ ἀρὰ τοῦ δικαίου τὰ ῥήματα· ἐπειδὴ γὰρ ἤμελλεν ὁ Ἰσραὴλ ἐκ τοῦ Σὴμ κατάγων τὸ γένος τῆς Παλαιστίνης κύριος ἔσεσθαι, ταύτην δὲ πάλαι ᾤκουν οἱ ἐκ τοῦ Χαναὰμ, εἰς ἀρὰν σχηματίζει τὴν πρόῤῥησιν, προαγορεύων μὲν τὰ ἐσόμενα, δεδιττόμενος δὲ τοὺς ὕστερον ἐσομένους μὴ πλημμελεῖν εἰς γονέας· καὶ τοῦτο σαφῶς ἡμᾶς ἡ τοῦ Σὴμ εὐλογία διδάσκει· εὐλογητὸς γὰρ κύριος ὁ Θεὸς τῷ Σὴμ· ἔσται Χαναὰμ παῖς· πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ· καὶ κατοικησάτω ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ· καὶ τοῦ Ἰάφεθ τὴν πολυγονίαν προείρηκε, τοῦ δὲ Σὴμ τὴν εὐσέβειαν· τὸν γὰρ Θεὸν ἐν τοῖς σκηνώμασι τοῦ Σὴμ κατοικήσειν προείρηκεν· κατῴκησε δὲ ἐν τοῖς τοῦ Σὴμ πατριάρχαις καὶ ἐν τοῖς ἐκ τούτων βεβλαστηκόσι προφήταις, καὶ ἐν τῇ σκηνῇ πρότερον καὶ ἐν τοῖς Ἱεροσολύμοις ὕστερον· ἀκριβὲς δὲ τέλος ἔσχηκεν ἡ προφητεία τὸ τῆς οἰκονομίας μυστήριον· ὅτε αὐτὸς Θεὸς λόγος ἐνηνθρώπησε καὶ ναὸν ἑαυτοῦ προσηγόρευσεν ἣν ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ ἔλαβε σάρκα· ἐκ τοῦ Σὴμ γὰρ καὶ οὗτοι κατῆγον τὸ γένος· ἡ δὲ Χαναὰμ δουλεία ἐν τοῖς Γαβαωνίταις τὸ τέλος ἐδέξατο.

ΣΝΖ. Πῶς Ἀβραὰμ πιστὸς ὀνομάζεται εἰρηκὼς τῷ Θεῷ, κατὰ τί γνώσομαι τοῦτο ὅτι κληρονομήσω αὐτήν;

Τὸ, κατὰ τί γνώσομαι, οὐκ ἀπιστοῦντος ἐστὶν ἀλλὰ μαθεῖν ποθοῦντος τῆς κληρονομίας τὸν τρόπον· ἐπειδὴ γὰρ ἑώρα πλήθη μυρία τὴν Παλαιστίνην οἰκοῦντα, μαθεῖν ἠβούλετο τίνι τρόπῳ παραλήψεται τῆς γῆς ἐκείνης τὴν δεσποτείαν· νόμῳ πολέμου; δίχα πολέμου; ζώντων ἐκείνων; ἀναιρουμένων; ἐξελαυνομένων; τούτου χάριν μετὰ τὴν θυσίαν ὁ τῶν ὅλων ὀφθεὶς Θεὸς, γινώσκων φησὶ γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου καὶ ἑξῆς· ἕως τοῦ, οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων· ἐκ τῆς θείας τοίνυν ἀποκρίσεως ἐστὶ γνῶναι τὸν τρόπον τῆς ἐρωτήσεως· ἐπειδὴ γὰρ εἶπε, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτὴν, ἐδιδάχθη μὲν ὅσον παροικήσουσι χρόνον, καὶ ὅπως ταλαιπωρήσουσιν, ὅσης δὲ ἀξιωθήσονται προμηθείας· τῶν μὲν πολεμησόντων αὐτοὺς κολασθησομένων, τῶν δὲ τὰ ἐκείνων καρπωσαμένων· καὶ ὅτι τούτων αὐτὸς οὐδεμίαν πεῖραν λαβὼν ἐν εἰρήνῃ καταλύσει τὸν βίον· ἐδίδαξε δὲ καὶ τῆς ἀναβολῆς τὴν αἰτίαν· ἵνα γὰρ μή τις τοπάσῃ καὶ διὰ τὸ πλῆθος τῶν ἐνοικούντων μὴ δυνηθῆναι τὸν δεσπότην Θεὸν τῆς γῆς ἐκείνης παραδοῦναι τὴν δεσποτείαν, φησὶν ὅτι οὔπω ἄξια πανωλεθρίας δεδράκασιν οἱ Ἀμοῤῥαῖοι· οὐ χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας ἐκ προγνώσεως ἐνεχθῆναι τὴν τιμωρίαν· ὅτι δὲ εἶχον κατ' ἐκεῖνο καιροῦ εὐσεβεῖς, δῆλον ἔκ τε τοῦ Ἀβιμέλεχ καὶ ἐκ τῶν τὴν Χεβρὼν οἰκούντων· ὧν ἐστι πρὸς τὸν πατριάρχην ἀκοῦσαι λεγόντων· βασιλεὺς εἶ σὺ παρὰ Θεοῦ ἐν ἡμῖν, ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου.

ΣΝΗ. Τίνος ἕνεκεν ἐκπαλαίει τῷ Ἰακὼβ ὁ ἄγγελος.

Δεδιότι τὸν ἀδελφὸν θάρσος ἐντίθησι· διά τοι τοῦτο καὶ τῆς νίκης αὐτῷ παρακεχώρηκε· μονονουχὶ λέγων· ἐμὲ νενίκηκας, καὶ ἄνθρωπον δέδοικας; ἵνα δὲ μὴ μέγα φρονῇ δόξας νενικηκέναι Θεὸν, τῇ ἀφῇ τοῦ μηροῦ τὸ ἐθελούσιον τῆς ἥττης ἐδήλωσε· τῇ γὰρ ἀφῇ τοῦ μηροῦ τὴν νάρκην εἰργάσατο. Γνοὺς δὲ τοῦ ἐπιφανέντος τὴν δύναμιν, τὴν εὐλογίαν αἰτεῖ· ὁ δὲ καὶ τὴν αἴτησιν δίδωσι καὶ τὴν προσηγορίαν ἀμείβει· διέμεινε δὲ καὶ μετὰ τὴν ἐγρήγορσιν ὁ μηρὸς ναρκῶν τε καὶ ὑποσκάζων, ἵνα μὴ φαντασίαν ὑπολάβῃ τὴν ὄψιν· διὰ τοῦτο καὶ ἐρωτήσας τίνα προσηγορίαν ἔχει, οὐ μόνον διαμαρτάνει τῆς αἰτήσεως ἀλλὰ καὶ ἐπιπλήττεται ὡς ὑπερβὰς τὰ μέτρα τῆς φύσεως· ἵνα τί γάρ φησιν ἐρωτᾷς τὸ ὄνομά μου; καὶ τοῦτό ἐστι

θαυμαστόν· ἐπισημαντέον δὲ κἀνταῦθα ὅτι τὸν αὐτὸν ἐκάλεσε καὶ ἄνθρωπον καὶ θεόν· ἐνισχύσας γὰρ ἔφη μετὰ θεοῦ καὶ μετὰ ἀνθρώπων ἔσῃ δυνατός· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου· εἶδος θεοῦ· εἶδον γάρ φησιν θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ ἐσώθη ἡ ψυχή· καὶ πάλιν· ἐνέτειλε δ' αὐτῷ ὁ ἥλιος· ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ θεοῦ· διὰ τούτων δὲ πάντων μανθάνομεν ὡς ὁμογενὴς υἱὸς ἐφάνη κἀνταῦθα τῷ Ἰακώβ.

ΣΟ. Τί δηλοῖ τὸ, τὴν βάτον καίεσθαι καὶ μὴ κατακαίεσθαι.

Τὴν τοῦ θεοῦ δύναμιν καὶ φιλανθρωπίαν κηρύττει ὅτι φρυγανώδη οὖσαν οὐκ ἀνήλισκε τὸ ἄσβεστον πῦρ· οἶμαι δὲ δι' αὐτοῦ παραδηλοῦσθαι καὶ ὅτι ὁ Ἰσραὴλ ὑπὸ τῶν Αἰγυπτίων ἐπιβουλευόμενος οὐκ ἀναλωθήσεται· ἔτι δὲ καὶ ὡς ὁ μονογενὴς ἐνανθρωπήσας καὶ παρθενικὴν ἐνοικήσας νηδὺν, φυλάξει τὴν παρθενίαν ἀκήρατον· φασὶ δέ τινες ἐν βάτῳ φανῆναι τὸν θεὸν, καὶ οὐκ ὂν ἄλλῳ φυτῷ διὰ τὸ μὴ δύνασθαί τινα ἐκ βάτου γλύψαι θεόν· εἰκὸς γὰρ ἦν Ἰουδαίους καὶ τοῦτο τολμῆσαι εἴπερ ἐν ἄλλῳ ὤφθη φυτῷ.

ΣΟΑ. Ἡ λέπρωσις τῆς χειρὸς τί δηλοῖ.

Ἐν εὐσεβείᾳ τραφὲν τὸ γένος τοῦ Ἰακὼβ εἰς τὴν Αἴγυπτον εἰσελήλυθεν· ἀλλ' ἐκεῖ τῶν Αἰγυπτίων μετέμαθε τὴν ἀσέβειαν· τῆς ἐκείνων δὲ δουλείας ἀπαλλαγὲν μετέμαθε τὸν τῶν ὅλων θεόν· δεδήλωκε τοίνυν διὰ τῆς ἀλλοιώσεως τῆς χειρὸς, τὴν λέπρωσιν αὐτῶν καὶ τὴν κάθαρσιν· πρὸς δὲ τούτοις καὶ ἕτερον ᾠκονόμει ὁ θεός· ἐπειδὴ γὰρ ἔμελλε τὸν περὶ τῶν λεπρῶν τιθέναι νόμον καὶ ἀκαθάρτους τούτους προσαγορεύειν, ἕτερα διὰ τούτων οἰκονομῶν ἐλέπρωσε τοῦ νομοθέτου τὴν χεῖρα τὴν τὰ τέλεια πεπαιδευμένην, διδάσκων ὡς οὐδὲν τῶν τοιούτων τἀληθεῖ λόγῳ ἀκάθαρτον· πῶς γὰρ ἀκάθαρτον τὸ ἀκούσιον; διὸ ἡ τὰ θαύματα ἐκεῖνα ἐργασαμένη δεξιὰ, λεπρὰ πρότερον γενομένη ταῖς θεοσημείαις ὑπούργησε· τοῦτο δὲ καὶ τὸν νομοθέτην ἐπαίδευσε μὴ μέγα φρονεῖν, ἀλλ' εἰδέναι τὴν φύσιν τῆς λεπρωθείσης ἀναμιμνησκόμενον δεξιᾶς.

ΣΟΒ. Διατί ἠβουλήθη ὁ ἄγγελος ἀνελεῖν τὸν Μωϋσῆν.

Ἡ γυνὴ μὲν ἐτόπασε διὰ τὸ θάτερον τῶν παίδων ἀπερίτμητον εἶναι, διὸ καὶ αὐτίκα περιέτεμε· τινὲς δὲ φασὶ, διότι ἐπ' ἐλευθερίᾳ πεμφθεὶς τῶν ὁμοφύλων, κοινωνὸν τῆς ὁδοῦ ἐπήγετο τὴν ὁμόζυγα· οὓς ἐχρῆν συνιδεῖν ὅτι πεῖσαι τὸν κηδεστὴν βουλόμενος ὡς οὐκ ἀμελήσει τῆς γυναικὸς, οὐδ' αὐ-

τῆς ἄλλης προτιμήσει, ταύτην ἠναγκάσθη συνεπάγεσθαι, ἀλλ' οὐ καταφρονητικῶς διακονῶν τῷ θείῳ προστάγματι· αὐτίκα γοῦν λαβὼν τὴν ἀφορμὴν τοῦ ἀγγέλου, ταύτην ἀναστρέψαι πρὸς τοὺς οἰκείους προσέταξε· καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἡ ἱστορία διδάσκει· μετὰ γὰρ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου διαβάντων αὐτῶν τὴν ἐρυθρὰν θάλασσαν καὶ εἰς τὸ Σίναιον ὄρος παραγεγονότων ἀφίκετο σὺν τῇ γυναικὶ καὶ τοῖς δύο παισὶν ὁ κηδεστὴς πρὸς αὐτόν· τοιγάρτοι ἄλλο κατασκευάζων ὁ ἄγγελος, ἔδειξε τὴν ῥομφαῖαν γυμνήν· ἐπειδὴ γὰρ ὁ μέγας Μωϋσῆς ἐδεδίει τὸν Φαραὼ, ὡς πολλαχοῦ τὸ δέος ἐδήλωσε, νῦν μὲν λέγων, Τίς εἰμι ἐγὼ ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου; νῦν δὲ προχείρισαι ἄλλον δυνάμενον ὃν ἐξαποστελεῖς· καὶ πάλιν· ἰσχνόφωνος καὶ βραδύγλωσσος εἰμὶ ἐγώ· ἀπειλεῖ αὐτῷ τιμωρίαν ὁ ἄγγελος, φόβῳ φόβον ἐξελαύνων, τῷ μείζονι τὸν ἐλάττονα μονονουχὶ λέγων διὰ τῆς γεγυμνωμένης ῥομφαίας· εἰ τὸν Φαραὼ δέδοικας, μᾶλλον δεῖσον ἐμὲ τὸν καὶ ἀοράτως σοι τὴν πληγὴν ἐπάγειν δυνάμενον.

ΣΟΓ. Διατί φεύγουσιν ἐπιτελέσαι προσέταξε τοῦ πάσχα τὴν ἑορτήν.

Ἀείμνηστον ἠβουλήθη φυλαχθῆναι τῆς σωτηρίας τὴν μνήμην διὸ καὶ νομοθετῶν ἔλεγεν· ἐὰν ἐρωτήσῃ σε ὁ υἱός σου λέγων, τί ἐστι τὸ πάσχα· ἐρεῖς ὅτι ἐν τῇ σήμερον ἡμέρᾳ ἐξήγαγεν τοὺς πατέρας ἡμῶν κύριος ὁ θεὸς ἐκ γῆς Αἰγύπτου· καὶ ἑξῆς· τούτου χάριν παρακελεύεται ταύτην ἐπιτελοῦντας τὴν ἑορτὴν περικεῖσθαι τὸ τῆς ὁδοιπορίας σχῆμα· ἔστωσαν γὰρ αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι· καὶ ἑξῆς· τὸ δὲ πάσχα ὁ μὲν Φίλων ἡρμήνευσε διαβατήρια· ὁ δὲ Ἰώσηπος, ὑπερβάσια· ὁ δὲ Σύμμαχος, ὑπερβάσεις· ὁ δὲ Θεοδοτίων, φασὲκ, αὐτὴν τὴν ἑβραΐαν τεθεικὼς φωνήν· σημαίνει δὲ τὸ ὄνομα, τῶν ἑβραίων πρωτοτόκων τὴν σωτηρίαν· παρεκελεύσατο γὰρ δέσμην ὑσσώπου λαβεῖν καὶ τῷ αἵματι τοῦ θυομένου προβάτου ἐμβάψαντας τοὺς σταθμοὺς ἐπιχρίσαι τὴν φλιὰν, ἵνα ὅταν ἐπιστῇ ὁ ὀλοθρεύων πατάξαι τὰ πρωτότοκα τῶν Αἰγυπτίων, ἰδὼν τὸ αἷμα, ὑπερβῇ τῶν ἑβραίων τὰς οἰκίας, οὐκ ἐπειδὴ τοιούτων ἐδεῖτο σημείων ἡ ἀσώματος φύσις, ἀλλ' ὅτι διὰ τοῦ συμβόλου ἔδει κἀκείνους μαθεῖν τὴν τοῦ θεοῦ κηδεμονίαν, καὶ ἡμᾶς τοὺς τὸν ἄμωμον ἀμνὸν θύοντας γνῶναι προδιαγράφοντα τὸν τύπον· οὐκ ἐκ τῶν προβάτων δὲ μόνον ἄρνας λαβεῖν κελεύει, ἀλλὰ καὶ ἐκ τῶν αἰγῶν ἐρίφους· οὐχ ἵνα κατὰ ταυτὸν ἐκεῖνον θύσωσιν, ἀλλ' ἵνα ὁ μὲν πρόβατον, τὸν ἀρνὸν ὁ δὲ μὴ ἔχων, τὸν ἔριφον θύσῃ· τῇ δεκάτῃ δὲ τοῦ πρώτου μηνὸς παρεγγυᾷ τοῦτο λαβεῖν ἵν' εὐτρεπίσῃ πρὸ τῆς ἑορτῆς· τῇ δὲ τεσσαρεσκαιδεκάτῃ τυθῆναι πρὸς ἑσπέραν· ὅτι καὶ ὁ δεσπό-

της τὴν ἑσπέραν τοῖς Ἰουδαίοις παρεδόθη· μετὰ πικρίδων δ' αὐτὸ βρωθῆναι, εἰς ἀνάμνησιν τῆς ἐν Αἰγύπτῳ πικροτάτης ζωῆς· διὰ δὲ τῶν ἀζύμων οὐ μόνον τῆς ὁδοιπορίας τὸ σύντομον καὶ τὸ τῆς τροφῆς αὐτοσχέδιον, ἀλλὰ καὶ ὅτι προσήκει μηδὲν ἴχνος τῆς αἰγυπτιακῆς πολιτείας ἐπιφέρεσθαι· οὕτω γὰρ ὁ κύριος ἡρμήνευσε· προσέχετε λέγων ἀπὸ τῆς ζύμης τῶν γραμματέων καὶ Φαρισαίων· ἐκέλευσε δὲ καὶ τοὺς μὴ διαρκοῦντας εἰς θυσίαν προβάτου παραλαβεῖν τοὺς γείτονας καὶ κατὰ ταυτὸν θῦσαι τὸ πάσχα, φιλαδελφίαν αὐτοὺς ἐκπαιδεύων καὶ τὸν εἰς τοὺς πένητας ἔλεον· διὰ τοῦτο παρακελεύεται καὶ τὰ περιττεύοντα τῶν κρεῶν καταχαίεσθαι, ταύτῃ καταναγκάζων αὐτοὺς καλεῖν τοὺς δεομένους εἰς κοινωνίαν τῆς ἑορτῆς.

Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα· χρίομεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου ἀμνοῦ οὐ μόνον τὴν φλιὰν ἀλλὰ καὶ τοὺς δύο σταθμοὺς, κατὰ μὲν τὸ ὁρώμενον τὴν γλῶτταν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες· κατὰ δὲ τὸ νοούμενον ἀντὶ φλιᾶς τὸ λογικὸν· ἀντὶ δὲ τῶν δύο σταθμῶν, τὸ θυμοειδὲς καὶ ἐπιθυμητικὸν· ἁρμόττει δὲ ἡμῖν καὶ τὸ μήτε ὠμὰ, μήτε ἑψημένα ἐσθίειν, ἀλλ' ὀπτὰ πυρί· οὔτε γὰρ μόνῳ τῷ ὄμματι προσβλέπομεν, ἀλλὰ τὴν διάνοιαν ἐρευνῶμεν, οὔτε μὴν ἀνθρωπίνους λογισμοὺς τοῖς θείοις ἐπεισάγομεν λόγοις· τοῦτο γὰρ καὶ Ἡσαΐας τινῶν κατηγόρησεν, ὡς ἀναμιγνύντων ὕδατι τὸν οἶνον· ἀλλὰ μόνῳ χρώμεθα τῷ θείῳ πυρὶ, τῇ τοῦ παναγίου πνεύματος χάριτι· τὸ δὲ μὴ καταλιπεῖν τὴν κρεῶν εἰς τὴν ὑστεραῖαν, οὕτω νοοῦμεν· ὅτι ὁ μέλλων βίος τῶν συμβόλων οὐ δεῖται· αὐτὰ γὰρ ὁρῶμεν ἐν ἐκείνῳ τῷ πράγματι· τὰ δὲ ὀστᾶ τοῦ προβάτου συντρίβουσιν οἱ κακῶς τὰ θεῖα νοοῦντες λόγια καὶ εἰς τὴν οἰκείαν αὐτὰ πειρώμενοι μεταφέρειν ἀσέβειαν· τὸ δὲ μὴ μόνον ἐκ προβάτων ἀλλὰ καὶ ἐξ ἐρίφων λαμβάνειν, τὴν θείαν πάλιν κηρύττει φιλανθρωπίαν· οὐ γὰρ μόνον ὑπὲρ δικαίων ὁ Χριστὸς ἀλλὰ καὶ ὑπὲρ ἁμαρτωλῶν τὸ σωτήριον ὑπομεμένηκε πάθος· ἔριφον γὰρ ὑπὲρ ἁμαρτωλοῦ ὁ νόμος προσφέρειν ἐκέλευσε· καὶ τῶν θείων δὲ μυστηρίων οἱ μεταλαμβάνοντες, οἱ μὲν ὡς προβάτου μεταλαμβάνουσιν, ἅτε δὴ τελείαν τὴν ἀρετὴν κεκτημένοι· οἱ δὲ ὡς ἐρίφου, διὰ μετανοίας ἐξαλείφοντες τὰς τῶν ἁμαρτημάτων κηλῖδας· οὕτω καὶ ὁ κύριος ἡμῶν οὐκ ἐκ σιτίνων μόνον ἀλλὰ καὶ ἐκ κριθίνων τοὺς συνεληλυθότας ἄρτων διέθρεψε· καὶ ἡμῖν δὲ διεκέλευσεν ἔχειν τὰς ὀσφύας περιεζωσμένας καὶ τοὺς πόδας ὑποδεδεμένους καὶ τοὺς λύχνους καιομένους, ὡς οἰκέτας δεσπότην προσμένοντας· ἀλλ' ἑβραῖοι μὲν ὡς Αἰγυπτίων ἀπαλλαττόμενοι καὶ εἰς τὴν Χαναναίων γῆν εἰσαγόμενοι τοῦτο εἶχον τὸ σχῆμα· ἡμεῖς δὲ ὡς ἐντεῦθεν εἰς ἕτερον μεθιστάμενοι βίον.

Διὰ τοῦτο καὶ ἡμῖν ὁ θεῖος παρακελεύεται Παῦλος βοῶν· ἐκκαθά-

ρατε τὴν παλαιὰν ζύμην· καὶ ἑξῆς· εἰπών· ὥστε ἑορτάζωμεν μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας· ἄνωθεν δὲ προμεμήνυκε τὴν τῶν ἐθνῶν σωτηρίαν ὁ Θεός· καὶ γὰρ προσηλύτους μεταλαγχάνειν τοῦ πάσχα προσέταξε. Γιόραν γὰρ τὸν προσήλυτον ἐκάλεσεν, καὶ ἰσονομίας αὐτῷ μετέδωκεν· ἔσται γάρ φησιν ὡς αὐτόχθων τῆς γῆς· καὶ τὸ ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, φυλάττουσιν οἱ πιστοὶ, ἐν μόνῃ τῇ ἐκκλησίᾳ τῶν θείων μεταλαμβάνοντες μυστηρίων, τὰς δὲ τῶν αἱρετικῶν συναγωγὰς βδελυττόμενοι· τὰ μέντοι πρωτότοκα καὶ τῶν προβάτων καὶ τῶν βοῶν προσφέρεσθαι νενομοθέτηκε, τῆς τῶν πρωτοτόκων αὐτοὺς σωτηρίας ἀναμιμνήσκων· οὐδὲ γὰρ αὐτὸς τῶν θυμάτων ἐδεῖτο, ἀλλὰ τὴν ἐκείνων ὠφέλειαν ἐπραγματεύετο· τοῦτο δὲ καὶ αὐτὸς ὁ νόμος δηλοῖ· ἐὰν γὰρ ἐρωτήσῃ σε ὁ υἱός σου, τί ἐστι τοῦτο; καὶ ἑξῆς, ἕως τοῦ, διὰ τοῦτο ἐγὼ θύω τῷ κυρίῳ πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικὰ καὶ πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσομαι· καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε κύριος ἐξ Αἰγύπτου· τοιγάρτοι τούτων ἕκαστον οὐ τῆς τοῦ θεοῦ χρείας ἕνεκα, ἀλλὰ τῆς τοῦ λαοῦ ἐγένετο ὠφελείας.

ΣΟΔ. Πῶς νοητέον τὸ ὑπὸ τοῦ ἀποστόλου εἰρημένον, πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθημεν καὶ ἑξῆς· ἕως, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Τύπος ἦν τῶν νέων τὰ παλαιὰ, καὶ σκιὰ μὲν ὁ νόμος, σῶμά τι δὲ ἡ χάρις· ἐπειδὴ τοίνυν ἐδίωκον τοὺς Ἑβραίους οἱ Αἰγύπτιοι, διαβάντες δὲ τὴν ἐρυθρὰν θάλασσαν οἱ Ἑβραῖοι τῆς πικρᾶς τῶν Αἰγυπτίων ἀπηλλάγησαν δεσποτείας, τύπον ἔχει τῆς κολυμβήθρας ἡ θάλαττα· ἡ δὲ νεφέλη, τοῦ πνεύματος· ὁ δὲ Μωϋσῆς, τοῦ σωτῆρος Χριστοῦ· τοῦ σταυροῦ δὲ, ἡ ῥάβδος· τοῦ διαβόλου δὲ, ὁ Φαραώ· τῶν δαιμόνων, οἱ Αἰγύπτιοι· τὸ δὲ μάννα, τῆς θείας τροφῆς· τὸ δὲ τῆς πέτρας ὕδωρ, τοῦ σωτηρίου αἵματος· ὥσπερ γὰρ ἐκεῖνοι μετὰ τὸ διαβῆναι τὴν ἐρυθρὰν θάλασσαν καὶ τῆς ξένης τροφῆς καὶ τοῦ παραδόξου ἀπήλαυσαν νάματος, οὕτως ἡμεῖς μετὰ τὸ σωτήριον βάπτισμα, τῶν θείων μεταλαγχάνομεν μυστηρίων.

ΣΟΕ. Πῶς τὸ δίκαιον σώζεται, τῶν παίδων ὑπὲρ τῶν πατέρων κολαζομένων.

Μείζους τῶν κολάσεων παρὰ τῷ θεῷ αἱ ἀπειλαί· φησὶ γάρ· πᾶς ἀπερίτμητος ἄρσην ὃς οὐ περιτμηθήσεται τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται· ἀλλ' ἔστιν ἰδεῖν τοὺς μὲν περιτετμημένους ἐν τῇ ἐρήμῳ διαφόρως

ἀναιρεθέντας· τοὺς δὲ ἀπεριτμήτους, καὶ τῆς τῶν προγόνων ἐπαγγελίας ἀντὶ τῆς τιμωρίας τετυχηκότας· τούτους γὰρ ἐν Γαργάλοις ὁ Ἰησοῦς περιέτεμε· πάλιν ταῖς ἐχούσαις ζύμην οἰκίαις, πανωλεθρίαν ἠπείλησεν, ἀλλ' οὐχ ἐπήγαγεν· καὶ ἐνταῦθα τοίνυν ὡς φιλόπαιδας δεδίττεται ταῖς ἀπειλαῖς καὶ φησίν· ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με· ὅτι προσέχειν γυμνῷ τῷ γράμματι ἀσεβὲς, αὐτὸς δι' ὧν τἀναντία διδάσκει ὁ Θεὸς, δῆλον· οὐκ ἀποθανοῦνται γὰρ παῖδες ὑπὲρ πατέρων φησὶν, οὐδὲ πατέρες ὑπὲρ παίδων· ἀλλ' ἕκαστος ἐν τῇ ἰδίᾳ αὐτοῦ ἁμαρτίᾳ ἀποθανεῖται· καὶ δια Ἐζεκιήλ· τίς ὑμῖν παραβολὴ αὕτη λεγόντων, οἱ πατέρες ἔφαγον ὄμφακας καὶ οἱ ὀδόντες τῶν υἱῶν αἱμωδίασαν; ζῶ ἐγὼ λέγει κύριος ὁ Θεὸς εἰ ἔσται ἡ παραβολὴ αὕτη, ἀλλὰ τῶν φαγόντων τὸν ὄμφακα αἱμωδιάσουσιν οἱ ὀδόντες· ὅτι πᾶσαι αἱ ψυχαὶ ἐμαί εἰσι· καὶ τὰ ἑξῆς δὲ ταύτην τὴν ἔννοιαν ἔχει· ἐγὼ δὲ οἶμαι μᾶλλον τὴν θείαν φιλανθρωπίαν ἐμφαίνειν τὴν ἀπειλήν· πρόκειται γὰρ, τοῖς μισοῦσί με· τουτέστι μακροθυμῶ τοῖς πατράσιν ἡμαρτηκόσι· μακροθυμῶ καὶ παισίν· εἰ δὲ οἱ ἔκγονοι καὶ οἱ ἀπόγονοι τὴν τῶν προγόνων ζηλώσαιεν πονηρίαν, τότε ἐπάξω τὴν τιμωρίαν· ποιῶν γάρ φησιν ἔλεος εἰς χιλιάδας καὶ μυριάδας τοῖς ἀγαπῶσί με. Εὕροι δ' ἄν τις καὶ τὴν ἱστορίαν σύμφωνον· πέμπτῃ γὰρ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου· ἀλλὰ τοῖς τῶν Αἰγυπτίων ἐν Αἰγύπτῳ δεδουλευκότες θεοῖς οὐκ ἔτισαν δίκας οὔτε οἱ πατέρες αὐτῶν οὔτε οἱ προπάτορες, αὐτοὶ δὲ ζηλώσαντες τὴν ἐκείνων ἀσέβειαν ἐκολάσθησαν· ὡς μετὰ τοσαύτην εὐεργεσίαν καὶ τὰ μυρία θαύματα τὴν ἀσέβειαν οὐκ ἐκπτύσαντες· οἱ δὲ τούτων παῖδες τὸν σωτῆρα Θεὸν ἠγαπηκότες τῆς προγονικῆς ἀπήλαυσαν ὑποσχέσεως· καὶ ὁρῶμεν τὸ ἀψευδὲς τῆς πρὸς τοὺς πατέρας γεγενημένης ἐπαγγελίας· τὰ γὰρ ἔθνη διὰ τοῦ σπέρματος Ἀβραὰμ τῆς εὐλογίας τετύχηκεν· ἐπειδὴ τοίνυν τὸν μόσχον ἔμελλον προσκυνεῖν, προαπειλεῖ τὴν τιμωρίαν.

## ΣΟϛ. Τί ἐστι ἐξεικονισμένον βρέφος.

Φασὶ τοῦ σώματος ἐν τῇ μήτρᾳ διαπλασθέντος, τότε ἐμψυχοῦσθαι τὸ ἔμβρυον· καὶ γὰρ καὶ τὸ τοῦ Ἀδὰμ σῶμα πρότερον διέπλασεν ὁ Θεὸς, εἶτα ἐνεφύσησε τὴν ψυχήν· κελεύει τοίνυν ὁ νομοθέτης γυναικὸς ἐγκύμονος ἐν μάχῃ ἀμβλωσάσης, εἰ μὲν ἐξεικονισμένον τουτέστι μεμορφωμένον ἐξέλθοι τὸ βρέφος, φόνον καλεῖσθαι καὶ φόνου δίκην ὑπέχειν τὸν δεδρακότα· ἂν δὲ μὴ, φόνου μὲν ἀφίεσθαι· οὐ γὰρ ἔμψυχον ἐξημβλώθη· ζημίαν δέ τινα τίνειν.

ΣΟΖ. Τὴν σκηνὴν τί δήποτε γενέσθαι προσέταξεν.

Αὐτὸς ὁ Θεὸς αἰτίαν δεδήλωκε· καὶ ποιήσεις γάρ μοι φησὶν ἁγίασμα καὶ ὀφθήσομαι ἐν ὑμῖν· καὶ ποιήσεις κατὰ πάντα ὅσα ἐγὼ δείκνυμί σοι ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς καὶ τὸ παράδειγμα τῶν σκευῶν αὐτῆς· ἐπειδὴ γὰρ ἐν τῷ ὄρει Σινᾶ νόμον ἐδεδώκει, εἰκὸς δὲ ἦν τινὰς ὑποτοπάσαι περιγεγράφθαι τὸ θεῖον, ἐκέλευσε γενέσθαι σκηνὴν· ἐκεῖθεν τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν, ἐκπαιδεύει τὸν λαὸν τὴν εὐσέβειαν· ὥσπερ γὰρ τὴν ἐπηγγελμένην ἀπειληφότων, νεὼν γενέσθαι προσέταξε, καὶ τὰς θείας λειτουργίας ἐν τούτῳ γίνεσθαι προσέταξεν, ἵνα μὴ ἀδεῶς τοῦτο δρῶντες τῇ τῶν δαιμονίων περιπέσωσι πλάνῃ, οὕτω τὴν ἔρημον διαβαίνουσι σκηνὴν γενέσθαι προσέταξε μεταβῆναι καὶ αὐτὴν δυναμένους· καὶ ἀπαιρόντων, ἡγεῖσθαι προσεταξεν· ἵνα μὴ ζητῶσιν πάλιν θεοὺς, οἳ προπορεύσονται αὐτῶν· καὶ αὐλιζομένων ἵστασθαι· εἶχε δὲ αὕτη τῆς κτίσεως τὴν εἰκόνα· ὥσπερ γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν δημιουργήσας ὁ Θεὸς μέσον ἔστησε τὸ στερεώμα δι᾽ αὐτοῦ διορίσας τὰ ἄνω τῶν κάτω, οὕτω τὴν σκηνὴν μίαν προστάξας γενέσθαι, ἐν μέσῳ διαταχθῆναι κελεύει τὸ παραπέτασμα ἐν τύπῳ τοῦ στερεώματος· καὶ δι᾽ αὐτοῦ διῄρητο ἡ κιβωτὸς· καὶ τὸ παρὰ τὴν θύραν μέρος ἐκάλεσεν, ἅγια· τὸ δὲ τοῦ παραπετάσματος ἔνδον, ἅγια ἁγίων· καὶ ὥσπερ λέγει ὁ Δαβὶδ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων, οὕτω καὶ τὸ ἔξω μὲν τοῦ καταπετάσματος εἰσητιτὸν ἦν τοῖς ἱερεῦσι· τὰ δὲ ἔνδον ἄψαυστα ἦν καὶ ἄδυτα· τὸν ἀρχιερέα γὰρ μόνον ἅπαξ τοῦ ἔτους νόμος ἦν εἰσιέναι.

Ἦν δὲ ἐκεῖ τὰ τῶν Χερουβὶμ εἰκονίσματα, τύπον τῶν ἀσωμάτων δυνάμεων ἐπέχοντα· ἐν μέσῳ δὲ τούτων ἡ κιβωτὸς τὰς πλάκας ἔχουσα τοῦ νόμου, καὶ τὴν στάμνον τοῦ μάννα, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· ἐπέκειτο δὲ αὐτῇ τὸ ἱλαστήριον ταῖς πτέρυξι τῶν Χερουβὶμ σκιαζόμενον· ἐν τούτῳ δὲ ὁ τῶν ὅλων Θεὸς τὴν οἰκείαν ἐπιφάνειαν ἐποιεῖτο· ἐπειδὴ γὰρ ἡ θεία φύσις ἀνείδεός τε καὶ ἀσχημάτιστος, καὶ τῆς τοιαύτης οὐσίας εἰκόνας τεκτήνασθαι παντάπασιν ἀδύνατον, τὰ σύμβολα τῶν μεγίστων αὐτῶν δωρεῶν ἔνδον κεῖσθαι προσέταξεν· αἱ μὲν γὰρ πλάκες τὴν νομοθεσίαν ἐδήλουν· τὴν ἱερωσύνην δὲ ἡ ῥάβδος· τὸ δὲ μάννα τὴν ἐν ἐρήμῳ τροφὴν· τὸ δέ γε ἱλαστήριον τῆς προφητείας σύμβολον ἦν· ἐκεῖθεν γὰρ αἱ προῤῥήσεις ἐγίνοντο· τὰ μὲν οὖν ἔνδον τοῦ καταπετάσματος, τῶν οὐρανίων εἶχε τύπον· διὸ καὶ ἅγια τῶν ἁγίων ὠνόμαστο· μαρτυρεῖ δὲ τοῦτο καὶ ὁ μακάριος Παῦλος λέγων· οὐ γὰρ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν οὐρανὸν· τὰ δὲ τούτου

ἐντὸς εἰκόνα ἔφερε τῶν ἐπιγείων· εἶχε δὲ ταῦτα λυχνίαν μὲν ἐν τῷ νοτίῳ μέρει ἑπτάκαυλον, ἰσαρίθμους ἔχουσαν λύχνους ἐπικειμένους· ἐδήλουν δὲ οὗτοι τῶν ἡμερῶν τῆς ἑβδομάδος τὸν ἀριθμόν· τράπεζαν δὲ ἐν τῷ βορείῳ χρυσῆν, ἐφ' ἧς ἄρτους προσέταξε προσκεῖσθαι δυοκαίδεκα, καὶ φιάλας χρυσᾶς πλήρεις λιβανωτοῦ καὶ ἁλῶν· ἐν δὲ τῷ μέσῳ τῆς τε λυχνίας καὶ τῆς τραπέζης, χρυσοῦν ἔκειτο θυσιαστήριον· ταῦτα δ' ἦν συντάγματα τῶν ἀπὸ γῆς τοῖς ἀνθρώποις δεδωρημένων καρπῶν.

Πρὸ δὲ τῆς σκηνῆς ἔξω τὸ χαλκοῦν θυσιαστήριον, τὸ τὰ προσφερόμενα δεχόμενον θύματα· δηλοῖ δὲ τοῦτο περιττὰ εἶναι ταῦτα καὶ μὴ ἀρεστὰ τῷ Θεῷ· ὅθεν ἐπιτελεῖσθαι μὲν αὐτὰ συνεχώρησεν διὰ τὴν Ἰουδαίων ἀσθένειαν, ἔξω δὲ σκηνῆς ὡς οὐκ ἀναγκαῖα τοῖς ἔνδον· ἡμεῖς δὲ τὴν τοῖς ἔνδον ἀπονεμηθεῖσαν λειτουργίαν ἐπιτελοῦμεν· θυμίαμα γὰρ καὶ λυχνιαῖον φῶς προσφέρομεν τῷ Θεῷ καὶ τὴν μυστικὴν τῆς τραπέζης ἱερουργίαν· τριάκοντα δὲ πήχεων ἦν τὸ μῆκος τῆς σκηνῆς, καὶ δέκα τὸ εὖρος· καὶ τοῦτο καταμαθεῖν εὐπετές· εἴκοσι γὰρ σανίδας εἶχε τὸ νότιον μέρος, καὶ τοσαύτας τὸ βόρειον· σανίδας δὲ τοὺς στύλους ὠνόμασαν οἱ ἄλλοι ἑρμηνευταί· ἑκάστης δὲ σανίδος πῆχυν ἐχούσης καὶ ἥμισυ, τριάκοντα πήχεις αἱ εἴκοσι σανίδες ἐπλήρουν· οὕτω πάλιν τὸ πρὸς δυσμὰς ἀποβλέπον ἓξ εἶχε σανίδας τὸ αὐτὸ μέτρον ἐχούσας καὶ δύο γωνίας· δώδεκα δὲ πήχεις ἐκ τούτων συναγόμενοι οἱ μὲν δέκα τὸ ἔνδον μέρος ἐπλήρουν, οἱ δὲ ἄλλοι δύο τῶν ἑκατέρων πλευρῶν τὰς ἁρμονίας ἐδέχοντο· ἐκ μέντοι τοῦ ἑῴου μέρους τὴν θύραν γενέσθαι προσέταξεν, ἵνα καὶ αὐτὸς ἀνίσχων ὁ ἥλιος οἷόν τινα προσκύνησιν προσφέρῃ τοῖς προπυλαίοις εὐθὺς ἐκεῖσε τὰς ἀκτῖνας ἐκπέμπων· καὶ οἱ τῷ Θεῷ μόνῳ λατρεύοντες ὄπισθεν τὸν ἥλιον ἔχωσι πρὸς τὴν σκηνὴν τετραμμένοι, καὶ μὴ τοῦτον ἀλλὰ τὸν τούτου ποιητὴν προσκυνῶσι· δρυφακτῷ τοίνυν ἡ σκηνὴ προσεῴκει, σανίδας πάντοθεν ἔχουσα συνηρμοσμένας ἀλλήλαις· εἶχον δὲ καὶ τὰς βάσεις ἀργυρᾶς καὶ κεφαλίδας ὡσαύτως· καὶ αὗται δὲ ἔξωθεν καὶ ἔνδοθεν ἦσαν εἰλημμέναι χρυσῷ· τὸν δὲ ὄροφον εἶχεν ἐξ ὑφασμάτων ποικίλων, ἐκ διαφόρων κατεσκευασμένον χρωμάτων· τὸ μὲν γὰρ ἦν ἁλουργὸν· τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφές· τὸ δὲ ὑακίνθῳ προσεοικός· ἡ δὲ βύσσος τὴν λευκὴν εἶχε χρόαν· καὶ ταῦτα δὲ τῶν τεσσάρων στοιχείων ἦν αἰνίγματα· ὁ μὲν ὑάκινθος τῷ ἀέρι προσέοικε· τὸ δὲ ῥοδοειδὲς ἢ κοκκοβαφὲς τῷ πυρί· τὸ δὲ ἁλουργὸν μηνύει τὴν θάλασσαν· ἐκείνη γὰρ τρέφει τὸν κόχλον, ἐξ ἧς τὸ τοσοῦτον γίνεται χρῶμα· ἡ δὲ βύσσος τὴν γῆν, ἐκ ταύτης γὰρ φύεται· καὶ δέῤῥεις δὲ εἶχε τριχίνας ἐπικειμένας, καὶ μέντοι καὶ διφθέρας ποικίλας, ὥστε καὶ τὸν ὑετὸν ἀπείργειν.

Καὶ τοῖς ἱερεῦσι δὲ παντοδαπὸν περιέθηκε κόσμον, τὸν μὲν λαὸν κα-

ταπλήττοντα τῷ διαφόρῳ τοῦ σχήματος, αὐτοὺς δὲ τοὺς ἱερέας διδάσκοντα ὅπως χρὴ τὴν ψυχὴν ἐξωραΐζειν καὶ κοσμεῖν· ὑποδύτην δὲ καλεῖ τὸν ἐνδότερον χιτωνίσκον· ἐπενδύτην δὲ τὸν χιτῶνα τὸν ἐξώτερον· ὑακίνθινον δὲ τοῦτον πρεσέταξε γενέσθαι· ποδήρη δὲ ποσηγόρευσε ὡς μέχρι ἄκρων τῶν ποδῶν διήκοντα· ἀπήρτησε δὲ τούτου κώδωνας χρυσοῦς καὶ ῥοΐσκους ἵνα εἰς τὸ ἄδυτον καὶ ἀνάκτορον τῆς σκηνῆς εἰσιὼν, καὶ τὴν ἀπὸ τούτων ἐπιτελουμένην ἠχὴν εἰσδεχόμενος μετὰ δέους τὴν λειτουργίαν ἐπιτελῇ εἰς μνήμην τοῦ προστεταχότος ἀφικνούμενος· διά τοι τοῦτο καὶ ὁ ποδήρης, τοῦ ἀέρος εἶχε τὸ χρῶμα· ὑάκινθος δὲ ἦν ὡς ἂν εἰς τοῦτον ἀφορῶν μετάρσιος γίνηται· ἐπέκειτο δὲ τῇ κεφαλῇ κίδαρις τὸν οὐρανὸν μιμουμένη· ἐπεκάλυπτε δὲ καὶ ταινία τὸ μέτωπον, ἣν μίτραν εἶπον οἱ ἑβδομήκοντα· εἶχε δ' ἐν μέσῳ αὕτη πέταλον χρυσοῦν ἐγγεγραμμένον ἔχον τοῦ θεοῦ ἄφραστον ὄνομα ὃ καλοῦσιν Ἑβραῖοι τετραγράμματον· εὐλάβειαν δὲ τὸν λαὸν ἐκπαιδεύων δι' αἰνίγματος τοῦτο δεδήλωκεν· ἐπιγράψεις γάρ φησιν αὐτὸ ἁγίασμα κυρίου.

Ἐκέλευσε δὲ αὐτῷ καὶ ἐφεστρίδα γενέσθαι, ἣν οἱ ἑβδομήκοντα, ἐπωμίδα ἐκάλεσαν· ἐν δὲ ταῖς βασιλείαις εὑρίσκομεν, ἐφοὺδ, αὐτὴν κατὰ τὴν τῶν Ἑβραίων γλῶτταν ὠνομασμένην· αὕτη εἶχεν ἐφ' ἑκατέρου μὲν ὤμου δύο λίθους πολυτελεῖς ἔχοντας τῶν φυλῶν τὰς προσηγορίας ἐγγεγραμμένας· τῷ στήθει δὲ τὸ καλούμενον λογεῖον τὴν λογικὴν συγκαλύπτον καρδίαν· εἶχε δὲ καὶ τοῦτο δώδεκα λίθους προσηρμοσμένους διάφορον ἔχοντας χρόαν· διὰ δὲ τοῦτο ἐδηλοῦτο πολέμου συγκροτηθέντος, ἢ νίκη, ἢ ἧττα· καὶ τοῦτο δὲ τῶν βασιλειῶν ἡ ἱστορία διδάσκει· ἐπιστρατευσάντων γὰρ τῶν πολεμίων τῷ Ἰσραὴλ οὐ πρότερον ἐτόλμησεν ὁ Σαοὺλ παρατάξασθαι ἕως εἶδε τὰ τῆς νίκης μηνύματα· διὰ τοῦτο εἰρηκὼς ὁ τῶν ὅλων θεὸς· καὶ ἐπιθήσεις τὸ λογεῖον τῆς κρίσεως ἐπὶ τὸ στῆθος Ἀαρὼν, καὶ συνάψεις αὐτὸ πρὸς τὴν ἐπωμίδα· ἐπήγαγε· καὶ ἐπιθήσεις αὐτῷ τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν· καὶ δήλωσιν μὲν ἐκάλεσεν τὰ ἐκεῖθεν μηνύματα· ἀλήθειαν δὲ τῶν μηνυμάτων τὸ ἀψευδὲς· ἰστέον μέν τοι ὡς παχυτέροις οὖσι τοῖς τηνικαῦτα καὶ τῶν νοητῶν ἐφικέσθαι μὴ δυναμένοις, διὰ τῶν σωματικῶν συμβόλων τὴν ὠφέλειαν ὁ πάνσοφος ἡμῶν δεσπότης ἐπραγματεύετο· καὶ γὰρ ἡμεῖς νοοῦμεν διὰ τοῦ λογείου, τὴν θεωρίαν τῶν νοητῶν· διὰ δὲ τῆς ἐπωμίδος τὴν ἐργασίαν τῆς ἀρετῆς, καὶ τὴν τοῦ λογείου καὶ τῆς ἐπωμίδος ἁρμονίαν τε καὶ συνάφειαν εἰς τὴν τῆς πίστεως καὶ τῆς ἀγαθῆς πράξεως λαμβάνομεν συμφωνίαν· τὸ δὲ πρώτοις ἐπιτίθεσθαι τὴν ἐπωμίδα, εἶθ' οὕτως ταύτῃ τὸ λογεῖον συνάπτεσθαι τὸ τὴν ἀγαθὴν πρᾶξιν ὑποβάθραν εἶναι τῶν ἀρετῶν.

## ΣΟΠ. Διατί τὰς πλάκας συνέτριψεν.

Ἀνάξιον κρίνας τὸν λαὸν τῆς νομοθεσίας· ἐπειδὴ γὰρ προικῴων γραμματείων τύπον εἶχον αἱ πλάκες, ἡ δὲ νύμφη πρὸ τῆς παστάδος εἰς μοιχείαν ἀπέκλινε, μάλα εἰκότως τὸ προικῷον γραμματεῖον διέῤῥηξεν· ἐπισκεπτέον μὲν ὡς τότε δεξάμενος ὁ Θεὸς τὴν ἱκεσίαν, ἀπεβάλετο τὴν τιμωρίαν· προσέθεικε δὲ, ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ' αὐτοὺς πᾶσαν τὴν ἁμαρτίαν αὐτῶν· ἔοικε δὲ τοῦτο τοῖς ὑπὸ τοῦ ἀποστόλου εἰρημένοις· ἀγνοῶν ὅτι τὸ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει· κατὰ δὲ τὴν σκληρότητά σου, καὶ ἑξῆς· ὁ μέντοι νομοθέτης ἀκούσας ὡς οὐκ ἀνέξεται συνεῖναι αὐτοῖς ὁ τῶν ὅλων Θεὸς ἔτι, ἀλλ' ἄγγελον ἐπιστήσει, ᾔτησε μὲν γνῶναι τὸν ἐπιστησόμενον, ἠντιβόλησε δὲ μὴ δοῦναι αὐτοῖς ὁμόδουλον ἡγεμόνα, ἀλλ' αὐτὸν αὐτῶν καθηγήσασθαι· ὡς δὲ καὶ ταύτην ἔσχε τὴν ἀρχὴν ἔρωτι μεθύων ἐπαινουμένῳ τῶν ὑπὲρ ἄνθρωπον ἠράσθη καὶ τὴν ἀθέατον φύσιν ἰδεῖν ἐπεθύμησεν, ἀλλὰ μεμάθηκεν ὡς τοῦτο ἀδύνατον· τὰ δὲ τῆς οἰκονομίας τε καὶ ἐνεργείας, οὕτω γὰρ δεῖ νοεῖν τοῦ Θεοῦ τὰ ὀπίσθια, θεωρῆσαι δυνατὸν τοῖς κατὰ Μωϋσέα, οὐδὲ τούτοις δὲ ἁπλῶς, ἀλλ' εἰς τὴν πέτραν ὑπ' αὐτοῦ τοῦ Θεοῦ τιθεμένοις· σημαίνει δὲ αὕτη τῆς πίστεως τὸ στεῤῥὸν καὶ ἀκράδαντον· καὶ διὰ τῆς ὀπῆς τῆς πέτρας, δηλοῖ δὲ αὕτη τῆς πίστεως ὀφθαλμὸν θεωροῦντα τοῖς αἰσθητοῖς ὀφθαλμοῖς ἀνέφικτα καὶ ἀθέατα.

## ΣΟΘ. Πῶς ἐν ἱματίοις λέπρα ἐγίνετο.

Πολλὰς αὐτοῖς παιδείας ὁ Θεὸς τοιαύτας ἐπήγαγεν· αὐτίκα γοῦν καὶ περὶ λεπρῶν οἰκιῶν οὕτως ἔφη· ὡς ἂν εἰσέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων ἣν ἐγὼ δίδωμι ὑμῖν· καὶ δώσω ἀφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῶν· καὶ ἑξῆς· διδάσκει δὲ διὰ τούτων ὅτι θεήλατοι ἦσαν αἱ πληγαὶ, ποτὲ μὲν κατὰ ἱματίων, ποτὲ δὲ κατὰ οἰκιῶν φερόμεναι· ταῦτα δὲ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἀνεδήλου· τῶν γὰρ ἀνθρώπων ἁμαρτανόντων, ἱματίοις καὶ οἰκίαις ἐπέφερε τὰς πληγὰς, διὰ τούτων τοῖς ταῦτα κεκτημένοις τὴν θεραπείαν προσφέρων· ἔοικε δὲ τῷ λεπρῶντι οἴκῳ ὁ οἶκος τοῦ Ἰσραὴλ, οὗ πολλάκις μὲν ἐξῃρέθησαν καθάπερ λίθοι τινὲς λεπρῶντες οἱ πλημμελήσαντες, ποτὲ μὲν διὰ Ἀσσυρίων, ποτὲ δὲ διὰ Βαβυλωνίων, ἄλλοτε δὲ διὰ Μακεδόνων· ἐπειδὴ δὲ παγίαν ἔσχον τὴν λέπραν, ἄρδην καταλυθῆναι τὴν οἰκίαν ὁ νομοθέτης ἐκέλευεν.

## ΣΠ. Τί σημαίνει τὰ δύο ὀρνίθια ὑπὲρ τοῦ καθαριζομένου προσφερόμενα.

Τοῦ σωτηρίου πάθους περιέχει τὸν τύπον· ὥσπερ γὰρ τούτων τὸ μὲν θύεται, τὸ δὲ εἰς τὸ τοῦ τυθέντος αἷμα βαπτόμενον ἀπελύετο, οὕτως ὑπὲρ τῆς λεπρώσης ἀνθρωπότητος ὁ δεσπότης ἐσταυρώθη Χριστὸς, τῆς μὲν σαρκὸς δεξαμένης τὸν θάνατον, τῆς δὲ θεότητος οἰκειωσαμένης τὸ τῆς ἀνθρωπότητος πάθος· καὶ καθάπερ ὕδατι καθαρῷ τοῦ σφαγέντος ὀρνιθίου τὸ αἷμα μιγνύμενον, καὶ κεδρίνου ξύλου καὶ ὑσσώπου καὶ κοκκίνου κεκλωσμένου περιῤῥαινόμενος ὁ καθαριζόμενος λεπρὸς λαμπρός τε καὶ καθαρὸς ἀποδείκνυται, οὕτως ὁ τῷ σωτῆρι πιστεύων Χριστῷ καὶ τῷ τοῦ παναγίου πνεύματος ὕδατι καθαιρόμενος, τὰς τῶν ἁμαρτημάτων ἀποβάλλει κηλῖδας· σύμβολον δὲ τὸ μὲν κέδρινον ξύλον, τῆς ἀπαθοῦς θεότητος· ἄσηπτον δὲ τὸ ξύλον· τὸ δὲ κόκκινον τὸ κλωστὸν, τῆς ἐκ ψυχῆς καὶ σώματος ἀνθρωπότητος· τὸ δὲ ὕσσωπον, τῆς τοῦ παναγίου πνεύματος θερμότητός τε καὶ εὐοσμίας· διὰ τούτων οἱ βαπτιζόμενοι τῆς ψυχικῆς ἀπαλλάττονται λέπρας· καὶ ἡ κοτύλη δὲ τοῦ ἐλαίου, τοῦ πνευματικοῦ ἐστι μύρου σημαντική· δηλοῖ δὲ τὸ ἐπιχριόμενον ἔλαιον τῷ ὠτίῳ τῷ δεξιῷ καὶ τῇ δεξιᾷ χειρὶ καὶ τῷ δεξιῷ ποδὶ, τὸ μὲν τὴν ἀκοὴν τοῖς δεξιοῖς ἀφοριεῖσθαι λογίοις· τὴν δὲ χεῖρα καὶ τὸν πόδα, ταῖς δεξιαῖς πράξεσιν ἐπιβαλλόμενον δὲ καὶ τῇ κεφαλῇ, τὴν ἀφιέρωσιν τοῦ λογικοῦ δηλοῖ· ὁ μέν τοι διαμείνας λεπρὸς, ἔξω τῆς ἐκκλησίας ἐκβάλλεται.

## ΣΠΒ. Διατί ἀπαγορεύει πόῤῥω τῆς σκηνῆς θύεσθαι τὰ ἐσθιόμενα θρέμματα.

Ἤιδει τὴν ἐνίων ἀσέβειαν, καὶ ὅτι τοῖς δαίμοσι θυσίας προσοίσουσι· προσέταξε τοίνυν πάντα θῦσαι βουλόμενον μόσχον ἢ πρόβατον ἢ αἶγα, παρὰ τὴν θύραν τῆς σκηνῆς ἀγαγεῖν· καὶ τὸ αἷμα ἐκχέαι καὶ μεταβαλεῖν οἴκαδε τῶν κρεῶν· τὸν δὲ τοῦτο μὴ δεδρακότα, ὡς φόνων ἔνοχον κατηγορεῖσθαι ἐκέλευσεν· αἷμα γάρ φησι λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ· αἷμα ἐξέχεε· καὶ ἑξῆς· ὅτι δὲ τοῦτον ἔχει τὸν σκοπὸν ὁ νόμος, τὰ ἐφεξῆς διδάσκει· ἀνοίσει γάρ φησιν ὁ ἱερεὺς τὸ στέαρ εἰς ὀσμὴν εὐωδίας τῷ κυρίῳ, καὶ οὐ θύσουσιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, ὧν αὐτοὶ ἐκπορνεύσουσιν ὀπίσω αὐτῶν· οὗτος ὁ νόμος παρὰ Ἰουδαίοις ἐπικρατεῖ· ὁ γὰρ ἱερεὺς θύει τὰ ἐσθιόμενα ζῶα· ἀπηγόρευσε δὲ καὶ τὸ ἐσθίειν αἷμα καὶ τὴν αἰτίαν ἐδίδαξεν· ἡ γὰρ ψυχή φησι πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι·

καὶ ἐγὼ αὐτὸ δέδωκα ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ τῆς ψυχῆς αὐτοῦ ἐξιλάσεται· διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραὴλ· πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα· ὥσπερ σὺ φησὶ ψυχὴν ἀθάνατον ἔχεις, οὕτω τὸ ἄλογον ζῶον ἀντὶ τῆς ψυχῆς ἔχει τὸ σῶμα· οὗ δὴ χάριν κελεύει ἀντὶ τῆς σῆς ταύτην προσενεχθῆναι· ἐὰν δὲ τοῦτο φάγῃς, ψυχὴν ἐσθίεις· λογικῆς γὰρ ψυχῆς τάξιν τοῦτο πληροῖ· διὸ καὶ φόνον τὴν βρῶσιν ὠνόμασε· τούτου ἕνεκα καὶ τὰ τεθνηκότα τῶν ζώων ἐσθίειν ἀπαγορεύει, ὡς τοῦ αἵματος μὴ χωρισθέντος τοῦ ζώου.

## ΣΠΔ. Διατί προσέταξεν ἀριθμηθῆναι τὸν λαὸν ὁ Θεός.

Ἵνα τῆς οἰκείας ἐπαγγελίας δείξῃ τὸ ἀληθές· ὑπισχνούμενος γὰρ τῷ Ἀβραὰμ ἔφη· πληθύνων πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· ἔδειξε γὰρ τὴν τῆς ἐπαγγελίας ἀλήθειαν· ἐκ πέντε γὰρ καὶ ἑβδομήκοντα τῶν εἰς Αἴγυπτον κατελθόντων, ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ ἑξακόσιοι καὶ πεντήκοντα ἠριθμήθησαν ἄνδρες δυνάμενοι πολεμεῖν, καὶ ἐξώρου ἡλικίας καὶ τῆς ἀώρου κεχωρισμένης, καὶ μέν τοι καὶ τοῦ θήλεος γένους καὶ τῆς λευϊτικῆς φυλῆς· ταύτην αὐτοῦ διδάσκων τὴν δύναμιν ὁ Θεὸς καὶ διὰ τοῦ Ἡσαΐου ἔφη· ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν καὶ εἰς Σάῤῥαν τὴν ὠδίνασαν ὑμᾶς, ὅτι εἷς ἦν καὶ ἐκάλεσα αὐτὸν, καὶ ἐπλήθυνα αὐτόν.

## ΣΠΕ. Διατί ἄλευρον κρίθινον ὑπὲρ τῆς ὑποπτευομένης μοιχευθῆναι προσεκομίζετο.

Αὐτὸς ὁ δεσπότης ἡρμήνευσεν· ἔστι γὰρ ἔφη θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, θυσία ἀναμιμνήσκουσα ἁμαρτίαν· ὅθεν οὐδὲ ἔλαιον αὐτὴν οὐδὲ λίβανον ἔχειν προσέταξεν· ἐστέρηται γὰρ καὶ τῆς εὐωδίας καὶ τοῦ τῆς δικαιοσύνης φωτός· τοῦτο μέν τοι γίνεσθαι νενομοθέτηκε τὴν μιαιφόνον αὐτῶν ἐπιστάμενος γνώμην· ἵνα γὰρ μὴ ἐξ ὑποψίας κατακτείνωσι τὰς ὁμοζύγους, ἐκέλευσε τὴν ὑποπτευομένην αὐτῷ προσενεχθῆναι, ἅτε δὴ πάντα καὶ τὰ λαθραῖα σαφῶς ἐπισταμένῳ· προσάξει γάρ φησιν ὁ ἱερεὺς καὶ στήσει τὴν γυναῖκα ἔναντι τοῦ κυρίου, καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἔναντι κυρίου καὶ ἑξῆς· ταῦτα δὲ πάντα γενέσθαι προσέταξε, τὴν γυναῖκα τὴν ὑποπτευομένην ἐκδειματῶν, ἵνα εἰ ἐξήμαρτεν, ὁμολογήσῃ καὶ διὰ μετανοίας λάβῃ τὴν ἄφεσιν· τούτου χάριν καὶ ἀκάλυπτον αὐτὴν τῷ Θεῷ προσενεχθῆναι κελεύει, διδάσκων ὅτι γυμνὰ πάντα καὶ τετραχηλισμένα ἐνώ-

πιον αὐτοῦ· ὅτι δὲ ταῦτα, δεδιττόμενος αὐτὴν, γενέσθαι κεκέλευκε, τὰ ἑξῆς μαρτυρεῖ· καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεὺς καὶ ἐρεῖ τῇ γυναικί· εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα σεαυτῆς, ἀθῶος ἴσθι ἀπὸ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου· εἰ δὲ παραβέβηκας, ὕπανδρος οὖσα· καὶ ἑξῆς· ἕως, οὐ δῴη σοι κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι τὸν μηρόν σου περιπεπτωκέναι καὶ τὴν κοιλίαν σου πεπρισμένην· ἐκέλευσε δὲ καὶ τὴν γυναῖκα συντίθεσθαι τῇ ἀρᾷ· καὶ λέγειν· γενοιτό μοι· γενοιτό μοι· καὶ γραφῆναι δὲ τὴν ἀρὰν προσέταξε καὶ ἐξαλειφθῆναι ὕδατι· καὶ πιεῖν τὴν γυναῖκα τὸ ὕδωρ· πρότερον δὲ τὴν θυσίαν προσενεχθῆναι, τουτέστιν τὸ κρίθινον ἄλευρον· εἶτα διδάσκει ὡς ἀθῶος μὲν οὖσα, ὑγιὴς φυλαχθήσεται· ἔνοχος δὲ οὖσα καὶ κρύπτουσα, τῇ πείρᾳ μαθήσεται τῆς ἀρᾶς τὴν ἰσχὺν, καὶ τῆς κοιλίας διαῤῥηγνυμένης καὶ τοῦ μηροῦ διαπίπτοντος· δι' ὧν γὰρ ἡ ἁμαρτία, διὰ τούτων ἡ τιμωρία· τὸ δὲ ἐνόρκιον οὕτω νοητέον· ὅταν τις δεινὰ καὶ ἀνήκεστα πάθῃ, εἰώθασί τινες ὀμνύντες λέγειν, μὴ πάθοιμι ἃ ὁ δεῖνα πέπονθεν.

ΣΠϛ. Τίνος ἕνεκεν ἁμαρτάνουσιν εὐθὺς ἐπάγει τὰς τιμωρίας.

Ἀρχὴν εἶχεν ὁ νόμος· ἔδει τοίνυν τῇ τῶν παραβαινόντων τιμωρίᾳ σωφρονίζεσθαι τοὺς λοιπούς· ἁρμόδιος γὰρ τοῖς ἀρχομένοις ὁ φόβος· συνέζευκτο μέν τοι τῇ τιμωρίᾳ φιλανθρωπία· μεταμελόμενοι γὰρ φιλανθρωπίας ἀπήλαυον· αὐτίκα γοῦν τοῦ θεηλάτου πυρὸς μέρος τι τῆς παρεμβολῆς ἀναλώσαντος, εἶτα πάντων συνδεδραμηκότων εἰς δέησιν, ᾔτησεν ὁ νομοθέτης τὴν ἄφεσιν· παρέσχε δὲ αὐτὴν ὁ φιλάνθρωπος θεός· ὅτι δὲ αὐτοῖς ἀναγκαίως αἱ τιμωρίαι ἐπήγοντο, τὰ ἑξῆς μαρτυρεῖ· εὐθὺς γὰρ μετὰ τὴν παῦλαν τῆς τιμωρίας, τῆς Αἰγύπτου καὶ τῶν ἐν Αἰγύπτῳ τὴν μνήμην ἀνενεώσαντο· μάλα τοίνυν εἰκότως τῇ ἐκείνων ἀχαριστίᾳ τὴν θείαν συνῆψε φιλοτιμίαν ὁ συγγραφεὺς τὰ περὶ τοῦ μάννα διηγησάμενος, καὶ ὅτι οὐ μόνον ἄρτου χρείαν, ἀλλὰ καὶ κρεῶν ἐπλήρου· ἤληθον γὰρ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θυΐᾳ καὶ ἧψουν ἐν τῇ χύτρᾳ καὶ ἐποίουν ἐγκρυφίας· ἐκείνων δὲ ὀλοφυρομένων χαλεπαίνει μὲν ὁ δεσπότης θεὸς, δυσχεραίνει δὲ ὁ προφήτης καὶ βοᾷ λέγων· ἵνα τί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διατί οὐχ εὕρηκα χάριν ἐνώπιόν σου ἐπιθεῖναι μοι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ' ἐμέ; μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον τὸν λαὸν τοῦτον; καὶ ἑξῆς· δεδήλωκε διὰ τούτων τὸ ἀτελὲς αὐτῶν καὶ νηπιῶδες· θηλάζοντι γὰρ αὐτοὺς ἀπείκασεν, ἄλλο μὲν οὐδὲν ἐργάσασθαι δυναμένῳ, ἐκβυζᾷν δὲ μόνον βουλομένῳ τὸ γάλα· ἐπειδὴ δὲ σφόδρα ἦν τὰ ῥήματα τὰ δυσχεραίνοντος, καὶ

τὰ ἑξῆς γὰρ τοῦτον ἔχει τὸν νοῦν, διδάσκεται παρὰ τοῦ δεσπότου Θεοῦ, ὡς οὐκ ἀνθρωπίνῃ δυνάμει θείᾳ δὲ χάριτι τὸν λαὸν κυβερνᾷ· ἔφη γάρ· συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας· εἶτα μετ' ὀλίγα· καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ, καὶ ἐπιθήσω ἐπ' αὐτούς· καὶ συναντιλήψομαι μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ τούτου, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος· μεμάθηκε δὲ διὰ τούτων τῶν λόγων ὁ νομοθέτης ὡς ἀποχρῶσαν ἔλαβε τῇ οἰκονομίᾳ τὴν χάριν· διὰ τοῦτο εἶπεν· ἀφελῶ ἀπὸ τοῦ πνεύματος σοῦ ἐν σοί· οὐ γὰρ σπανίζων ἑτέρας δυνάμεως, ἀλλ' ἐκεῖνον διδάσκων ὡς εἰλήφει δύναμιν ἀρκοῦσαν τῇ χρείᾳ, τοῦτο ἔφη· ὅτι γὰρ καὶ τοῖς ἑβδομήκοντα δοὺς, οὐκ ἐμείωσε τούτου τὴν χάριν, τὰ πράγματα μαρτυρεῖ· τὰ αὐτὰ γὰρ καὶ οἰκονομῶν καὶ θαυματουργῶν διετέλει ἃ καὶ πρότερον· τοῦτο καὶ νῦν ὁρῶμεν γινόμενον· πολλοὶ γὰρ ὑπὸ ἑνὸς ἀνθρώπου ἱερέως βαπτιζόμενοι, ἄλλοι δὲ παρὰ ἀρχιερέως χειροτονούμενοι, καὶ τὴν θείαν δεχόμενοι δωρεὰν, οὔτε σμικρύνουσι τοῦ μεταδόντος τὴν χάριν, καὶ αὐτοὶ τὸ τέλειον δέχονται· μεμαρτύρηκε μέν τοι ὁ δεσπότης καὶ τῇ τοῦ θεράποντος ψήφῳ· ἔφη γὰρ αὐτῷ· ἔκλεξαι οὓς οἶδας.

## ΣΠΖ. Διατί προσέταξεν ὁ Θεὸς τὰ τῶν στασιαστῶν πυρεῖα τῷ θυσιαστηρίῳ γενέσθαι περίθεμα.

Εἰς ἔλεγχον τῶν κατὰ τῆς ἱερωσύνης θρασυνομένων, καὶ βεβαίωσιν τῶν ἱερουργεῖν τεταγμένων· τοῦτο γὰρ ἐπήγαγε· μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ· καὶ ἑξῆς· τούτου χάριν καὶ τὴν βλαστήσασαν τοῦ Ἀαρὼν ῥάβδον ἐντεθῆναι προσέταξε τῇ κιβωτῷ· καὶ πάλιν ἐνομοθέτησε τοὺς μὲν ἱερέας ἱερουργεῖν, τοὺς δὲ Λευΐτας ὑπουργεῖν, μήτε τῷ θυσιαστηρίῳ μήτε τοῖς ἱεροῖς πελάζοντας σκεύεσιν· εἶτα διδάσκει καὶ τίνα χρὴ τοὺς ἱερέας λαμβάνειν· τὰς γὰρ αὐτῷ προσφερομένας ἀπαρχὰς σίτου καὶ οἴνου καὶ ἐλαίου καὶ ἄρτων, αὐτοὺς ἐσθίειν προσέταξε, καὶ μέν τοι καὶ τὰ ἀναθήματα καὶ τὰ πρωτότοκα τῶν μὲν ἀκαθάρτων κτηνῶν ὁρίσας, τὰ λύτρα πέντε σίκλων ἕκαστον κατὰ τὸν σίκλον τὸν ἅγιον, ὅς ἐστιν εἴκοσι ὀβολοί· τῶν δὲ καθαρῶν πρωτοτόκων ζώων τὸ μὲν αἷμα ἐκχεθῆναι παρὰ τὴν τοῦ θυσιατηρίου βάσιν, τὸ δὲ στέαρ προσενεχθῆναι, τὰ δὲ κρέα αὐτοὺς λαμβάνειν· ὥσπερ δὴ τὸ στηθύνιον καὶ τὸν βραχίονα ἀπὸ τῶν ἄλλων θυμάτων κομίζονται· διαθήκην δὲ ἁλὸς τὴν κοινωνίαν ἐκάλεσεν· ἐπειδὴ κατὰ τὸν θεῖον ἀπόστολον, οἱ τῷ θυσιαστηρίῳ προσεδρεύοντες, τῷ θυσιαστηρίῳ συμμερίζονται· τινὲς δὲ φασὶν, ἐπειδὴ ταῖς θυσίαις ἐπιβάλλεσθαι τοὺς ἅλας προσέταξεν, εἶτα διδάσκει καὶ τοὺς ἱερέας καὶ τοὺς Λευΐτας καὶ τῶν ἀπὸ γῆς φυομένων τὰς δεκάτας, καὶ τῶν ἐκ ποιμνίων καὶ βουκολίων προσγενομένων κερ-

δῶν, καὶ τῶν ἐξ ἐμπορίας καὶ ἑτέρας τινὸς χρείας· τοὺς δὲ Λευΐτας τῶν δεκατῶν τὰς δεκάτας προσφέρειν τοῖς ἱερεῦσι· καὶ τούτων μὲν ἐν παντὶ τόπῳ κελεύει μεταλαγχάνειν· τὰ δέ γε ἐκ τῶν θυσιῶν ἀφωρισμένα αὐτοῖς, ἔνδον ἐσθίειν ἐν τῷ ναῷ· καλεῖ δὲ καὶ τὰς δεκάτας μισθὸν εἰς τὴν τοῦ λαοῦ ὠφέλειαν· ὑμῶν γάρ φησιν οἰκοδομούντων ἢ ἐμπορευομένων ἢ οἴκοι διαγόντων, οὗτοι ἀντὶ πάντων ὑμῶν τῇ ἐμῇ προσεδρεύουσι λειτουργίᾳ· τοῦτο γὰρ ἔφη· ὅτι μισθὸς ὑμῶν οὗτός ἐστιν, ἀντὶ τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

### ΣΠΗ. Τί δήποτε ὠργίσθη τῷ Μωϋσεῖ καὶ τῷ Ἀαρὼν ὁ θεὸς, ἡνίκα τὸ ὕδωρ ἐκ τῆς πέτρας ἐξήγαγεν.

Ἀθυμοῦσιν αὐτοῖς διὰ τὴν τῆς ἀδελφῆς τελευτὴν, ἐπέκειντο αὐτοῖς ὁ λαὸς διὰ τὴν τοῦ ὕδατος σπάνιν· δυσχεραίνοντες οὖν τὴν πολλὴν αὐτῶν ἀκρασίαν, ἀμφιβόλοις ἐχρήσαντο ῥήμασιν τὸ ὕδωρ ἐξαγαγόντες· ἔφη γάρ· ἀκούσατέ μου οἱ ἀπειθεῖς, μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ; τοῦτο γοῦν ὁ θεὸς ἔφη· ὅτι οὐκ ἐπιστεύσατέ μοι ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν ἣν ἔδωκα αὐτοῖς· τοῦτο καὶ Δαβὶδ φησὶ· καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτοὺς· καὶ ἑξῆς· ὀργιζόμενος γὰρ ἐκείνοις ἀμφιβόλως τὸν λόγον προήνεγκεν· καὶ ἦν οὐ τῆς ψυχῆς ἀλλὰ τῆς γλώσσης ἀμφιβολία· τοῦτο γὰρ ἔφη· καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ· ἰστέον μέν τοι ὅτι ἕτερον οἰκονομῶν ὁ θεὸς ταύτην ἐξενήνοχε τὴν ἀπόφασιν.

### ΣΠΘ. Διατί τὸν οὐρανὸν καὶ τὴν γῆν διαμαρτύρεσθαι προσετάχθη.

Οὐκ ἐπειδὴ ἔμψυχα ταῦτα καὶ λογικὰ, ἀλλ' ὅτι πάντων ἐστὶ τῶν κτισμάτων περιεκτικά· τοῦτο καὶ Ἡσαΐας ὁ προφήτης πεποίηκεν· ἄκουε γάρ φησιν οὐρανὲ καὶ ἐνωτίζου γῆ· καὶ ἑξῆς· καὶ Ἱερεμίας· ἐξέστη οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλέον ἡ γῆ, λέγει κύριος· ἐπειδὴ γὰρ εἰς μαρτυρίαν αὐτὰ τῆς ἀπειλῆς ὁ νομοθέτης ἐκάλεσεν, εἰκότως μετὰ τὴν τῶν νόμων παράβασιν καὶ φρίξαι λέγεται καὶ ἐκστῆναι· οὕτω γὰρ καὶ Ἰακὼβ καὶ Λάβαν τὸν οὐρανὸν ὠνόμασε βουνὸν τῆς μαρτυρίας· καὶ Ἀβραὰμ ὁ πατριάρχης καὶ Ἀβιμελὲχ τῶν Γεράρων ὁ βασιλεὺς φρέαρ τοῦ ὅρκου ὡς ἐκεῖ μεθ' ὅρκου ποιησάμενοι τὰς συνθήκας.

ΣϿ. Πῶς νοητέον τὸ, εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.

Καὶ ἐξ Ἰουδαίων πολλαὶ μυριάδες ἐπίστευσαν τῷ δεσπότῃ Χριστῷ, καὶ τὸ πλεῖστον τῶν κατὰ τὴν οἰκουμένην ἐθνῶν· ἀλλὰ τοῖς ἔθνεσι τὴν διδασκαλίαν οἱ ἐξ Ἰουδαίων πεπιστευκότες προσήνεγκαν· ἐξ Ἰουδαίων γὰρ οἱ θεῖοι ἀπόστολοι· ταῦτα τοίνυν προθεσπίζων ὁ προφήτης ἔφη· εὐφράνθητε ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, τουτέστι τῶν ἐξ ἐθνῶν πεπιστευκότων, καὶ ἐνισχυσάτωσαν αὐτοὺς πάντες ἄγγελοι Θεοῦ τοὺς εἰς αὐτὸν πεπιστευκότας· καὶ γὰρ τοῦ σωτῆρος ἡμῶν γεννηθέντος, χορὸς ἀγγέλων ὑμνεῖ τὴν θείαν φιλανθρωπίαν βοῶν· δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ τὰς ἀσπάρτους δὲ καὶ ἀλοχεύτους ἐκείνας ὠδῖνας Γαβριὴλ προείρηκεν ὁ ἀρχάγγελος· κἂν τῷ πρὸς τὸν διάβολον ἀγῶνι παρῆσαν τῶν ἀγγέλων οἱ δῆμοι· προσελθόντες γάρ φησιν οἱ ἄγγελοι, διηκόνουν αὐτῷ· καὶ μετὰ τὴν ἀνάστασιν ἄγγελοι τῷ τάφῳ προσεδρεύουσιν, εὐαγγελιζόμενοι ταῖς γυναιξὶ τὴν ἀνάστασιν καὶ τοῖς ἀποστόλοις μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον τοῦ δεσπότου· καὶ τῷ Κορνηλίῳ ἄγγελος τὰ κατὰ τὸν μέγαν Πέτρον ἐμήνυσε· καὶ αὐτὸν Πέτρον τῆς φυλακῆς ἄγγελος ἐξήγαγε· καὶ ὁ θεῖος Παῦλος τοῖς συμπλέουσιν ἔφη· ὤφθη μοι τοῦ Θεοῦ ἄγγελος οὗ εἰμι· καὶ πολλὰ τοιαῦτα· εἰπὼν δὲ περὶ τῶν πεπιστευκώτων ὁ προφήτης ταῦτα, προλέγει καὶ τῶν ἀπίστων τὰς τιμωρίας καὶ τὰς αἰτίας δι' ἃς πείσονται· ἔφη γάρ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικεῖται, καὶ ἐκδικήσει, καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ· υἱοὺς δὲ Θεοῦ κέκληκε τοὺς ἁγίους οὓς ἀνεῖλον οἱ μιαιφόνοι· ἵνα γὰρ τὰς τῶν προφητῶν σφαγὰς παραλίπω, καὶ τοῦ δεσπότου τὸ σωτήριον πάθος, τὸν μὲν καλλίνικον κατέλευσαν Στέφανον, ξύλῳ δὲ τὸν μέγαν ἀνεῖλον Ἰάκωβον, καὶ μυρία ἄλλα, καὶ τῶν τῷ κυρίῳ δὲ πεπιστευκότων τὰς οἰκίας ἐξεπόρθησαν, ὡς πολλαχοῦ Παῦλος ὁ θεῖος καὶ Θεσσαλονικεῦσι δὲ γράφων ἐπιμαρτύρεται· μιμηταὶ γὰρ ἐγένεσθε τῶν ἐν Ἱερουσαλὴμ ἁγίων· τὰ αὐτὰ γάρ φησι καὶ ὑμεῖς ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ ἐκεῖνοι ὑπὸ Ἰουδαίων τῶν καὶ τὸν κύριον ἀποκτεινάντων, καὶ τοὺς ἰδίους προφήτας καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόντων, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων· ταῦτα καὶ ὁ κύριος αὐτῶν κατηγόρησεν ἐν τῇ τοῦ ἀμπελῶνος παραβολῇ· ὅτι τῶν δούλων ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν· τούτου χάριν αὐτοὺς εἰς πᾶσαν τὴν οἰκουμένην διέσπειρεν.

ΣϠΑ. Τί δήποτε διὰ σμικρὰν πλημμέλειαν Μωϋσῆς πόῤῥωθεν ἰδεῖν προσετάχθη τὴν γῆν, εἰσαγαγεῖν δὲ τὸν λαὸν ἐκωλύθη.

Διδάσκει διὰ τούτων ἡμᾶς ὁ Θεὸς, ὡς τοὺς ἐν ἀρετῇ τελείους, τὴν ἄκραν ἀρετὴν ἀπαιτεῖ· καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμῶν, τοῖς ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης· τοῦτο καὶ σοφός τις· ὁ μὲν γὰρ ἐλάχιστος, σύγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται· καὶ ὁ κύριος ἐν τοῖς ἱεροῖς εὐαγγελίοις· ᾧ μὲν ὀλίγον δοθήσεται, ὀλίγον ἀπαιτήσουσι παρ' αὐτοῦ· ἰστέον μέν τοι καὶ τοῦτο, ὡς ἕτερα δι' ἑτέρων ὁ δεσπότης οἰκονομεῖ· ὥσπερ ἀμέλει καὶ τουτονὶ τὸν μέγαν προφήτην οὐκ εἴασεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσαγαγεῖν τὸν λαὸν, ἵνα μὴ ὡς Θεὸν αὐτὸν σεβασθῶσιν οἱ Ἰσραηλῖται· τούτου χάριν αὐτοῦ καὶ τὸν τάφον ἄδηλον ἐποίησεν ὁ σοφῶς τὰ καθ' ἡμᾶς πρυτανεύων Θεός. Εἰδέναι δὲ καὶ τοῦτο προσήκει, ὡς Μωϋσῆς τύπον ἔχει τοῦ νόμου· διὸ καὶ Μωϋσῆς τὴν προσηγορίαν ὁ νόμος ἔχει· ἔχουσι γάρ φησι Μωϋσέα καὶ τοὺς προφήτας· Μωϋσέα τὸν νόμον καλέσας· καὶ πολλαχοῦ τοῦτο εὕροις· ὥσπερ γὰρ Ἡσαΐας καὶ Ἱερεμίας καὶ Ἰεζεκιὴλ οὐ τοὺς ἄνδρας μόνους, ἀλλὰ καὶ τὰ ἐκείνων βιβλία καλοῦμεν· καὶ σχεδὸν τὸ αὐτὸ ἐπὶ πάντων καθορᾷν ἐστι τῶν συγγραφὰς θείας ἀπολελοιπότων· οὕτω καὶ Μωϋσῆν οὐ τὸν ἄνδρα μόνον ἀλλὰ καὶ τὸν νόμον ἐστὶν ἰδεῖν κεκλημένον· τύπος μὲν οὖν Μωϋσῆς τοῦ νόμου· Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ, τύπος τοῦ σωτῆρος· ὥσπερ τοίνυν Μωϋσῆς μὲν ἐξήγαγε τὸν λαὸν ἐξ Αἰγύπτου, Ἰησοῦς δὲ αὐτὸν εἰς τὴν ἐπηγγελμένην εἰσήγαγε γῆν, οὕτως ὁ νόμος τῆς μὲν ἀσεβείας ἀπαλλάττει τοὺς πειθομένους, ἡ δὲ τῶν εὐαγγελίων χάρις εἰς τὴν βασιλείαν εἰσάγει τῶν οὐρανῶν.

ΣϠΒ. Τί ἐστιν, ἐν ὀλίγῳ με πείθεις χριστιανὸν γενέσθαι;

Τουτέστι δι' ὀλίγων ῥημάτων, ἐν βραχέσι λόγοις, ἐν ὀλίγῃ διδασκαλίᾳ, χωρὶς πολλοῦ πόνου καὶ συνεχοῦς διαλέξεως· διὸ καὶ πρὸς αὐτὸν καταλλήλως ὁ Παῦλος φησὶν· ηὐξάμην ἂν τῷ θεῷ· καὶ ἑξῆς· οἷον ὅτι ἐμοὶ σπουδὴ τοῦτο τὸ γενέσθαι πάντας χριστιανούς· καὶ τοῦτο ἔστι μοι εὐχὴ πρὸς Θεὸν· ἐπεὶ ἕτοιμός εἰμι καὶ πολλῶν λόγων καὶ ὀλίγων τὴν ἐν Χριστῷ κηρύσσειν πίστιν καὶ μετὰ πόνου καὶ κόπου καὶ ἐκ τοῦ παραχρῆμα· κόπος καὶ πόνος ἐν τῇ διδασκαλίᾳ καὶ κηρύγματι οὐδαμῶς λογίζεταί μοι· ἀλλ' ἴσόν ἐστι κοπιᾷν καὶ μὴ, καὶ πολὺν χρόνον τρίβειν κηρύττοντι καὶ ὀλίγον μόνον εἴτινας ὁρῶ πρὸς τὸν Χριστὸν ἐπιστρέφοντας· ταῦτα δὲ ἔλεγεν, ἅμα

μὲν τὸ αὐτοῦ πρόθυμον καὶ διάπυρον ἐνδεικνύμενος, ἅμα δὲ κἀκεῖνον ἐκκαλούμενος, ὡς εἰ βούλοιτο καὶ πλείω ἀκοῦσαι καὶ τελειοτέρας διδασκαλίας ἀπολαῦσαι, οὐ μόνον οὐδὲν ἀποκνήσει, ἀλλ' οὕτως ἐστὶν ἕτοιμος καὶ τὸ πρόθυμον παρέχων, ὥστε καὶ εὐχῆς ἔργον αὐτὸ ποιεῖται, ἂν μόνον τυγχάνῃ τοῦ σκοποῦ· εὐξάμην γὰρ καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ οὐ μόνον σὲ κ. τ. λ.

## ΣϿΓ. Τί ἐστι, τοῦ ὁρισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει.

Τοῦ εἰς γνῶσιν ἐλθόντος, τοῦ ἐπιγνωσθέντος ἡμῖν καὶ φανερωθέντος υἱοῦ θεοῦ· πόθεν δὲ γνωσθέντος; διὰ τῶν προφητῶν, διὰ τῶν ἐπιδειχθέντων σημείων καὶ δυνάμεων, διὰ τοῦ ἁγιαστικοῦ αὐτοῦ πνεύματος ὃ παρέσχε τοῖς εἰς αὐτὸν πιστεύουσιν, δι' αὐτῆς αὐτοῦ τῆς ἐκ νεκρῶν παραδοξοτάτης ἐγέρσεως· τούτου οὖν τοῦ προαγγελθέντος διὰ τῶν προφητῶν, τοῦ γνωρισθέντος ἐν τῇ ἐπιδείξει τῆς δυνάμεως αὐτοῦ, τοῦ φανερωθέντος κατὰ τὸ ἁγιαστικὸν πνεῦμα ὃ παρέσχε τοῖς πιστεύουσιν εἰς αὐτὸν, τοῦ δηλωθέντος ἐκ τῆς ἀναστάσεως αὐτοῦ, τούτου εἰμὶ δοῦλος· εἰ γὰρ καὶ δοῦλος, ἀλλὰ τούτου δοῦλος, τοῦ διὰ τοσούτων καὶ τηλικούτων μαρτυριῶν πιστωθέντος ἡμῖν ὅτι υἱός ἐστι τοῦ θεοῦ· δι' οὗ φησιν καὶ ἡμεῖς ἐλάβομεν χάριν καὶ ἀποστολὴν εἰς ὑπακοὴν πίστεως, οἷον ἔχομεν τὰς μαρτυρίας φησὶν καὶ ἐξ ἄλλων ἃς εἴπομεν· μαρτυρεῖ δὲ καὶ τὸ ἡμέτερον, υἱὸν αὐτὸν ἀληθῆ εἶναι θεοῦ· ποῖον τοῦτο; τὸ τρέχειν μὲν ἡμᾶς καὶ κατεπείγεσθαι εἰς τὰ ἔθνη ἃ οὐκ ἔγνωμεν· ἐκεῖνα δὲ ὑπακούειν καὶ δέχεσθαι τὸν λόγον τῆς πίστεως· μαρτύριον γὰρ ὡς ἀληθῶς θεοφανείας τοῦτο· ἄνθρωπον καταλιπόντα πατρίδα καὶ γένος τρέχειν εἰς ἀλλοτρίαν οὐδεμιᾶς ὠφελείας ἢ κέρδους ἕνεκα σωματικοῦ· τί λέγω κέρδους καὶ ὠφελείας; ἀλλὰ κοπιῶντα, λιμώττοντα, τυπτόμενον, μαστιζόμενον, ὑπερορώμενον, ἀλλ' ὅμως τὸ οἰκεῖον ἔργον ἀνύοντα καὶ τὴν πίστιν καταγγέλλοντα· ἐλίμωττεν; ἀλλὰ καὶ ἄλλους ἔτρεφεν· ὑπερεώρων αὐτὸν; ἀλλ' ὕστερον καὶ ἐθαύμαζον· ἔτυπτον; ἀλλ' ἐπίστευον· ἐδίωκον; ἀλλ' ἐπεζήτουν· ἐμάστιζον; ἀλλὰ διὰ τῶν σουδαρίων αὐτοῦ καὶ σιμικινθίων, τῶν σωματικῶν ἀπηλλάσσοντο μαστίγων· ἆρα μὴ μικρὸν μαρτύριον τοῦτο ἢ ἐνδέον τῶν προειρημένων; εἰς τὸ ἐπιγνῶναι πάντας υἱὸν θεοῦ εἶναι τὸν Χριστόν;

## ΣϿΔ. Τί ἐστι, καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο, ἵνα καρπόν τινα σχῶ.

Καθ' ὑπερβατὸν εἰρῆσθαι μοι δοκεῖ, ἵν' ᾖ τὸ κατὰ συνέχειαν οὕτως· πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς, ἵνα τινὰ καρπὸν σχῶ· καὶ γὰρ

ἡ τούτου παρουσία πάντως αὐτοὺς καρποφορεῖν ἐποίησεν ἂν τὴν εὐσέβειαν· τὸ δὲ καρπὸν, οἶδα φησὶν ὅτι ἡ πίστις ὑμῖν ἐνέσπαρται, ἀλλὰ καὶ καρπὸν σχεῖν ἐπιθυμῶ παρ' ὑμῶν ἵνα καρπὸν σχῶ· τὰ γὰρ ὑμέτερα, ἐμὰ λογίζομαι· ἂν οὖν ἴδω καρπὸν ἐν ὑμῖν, οὕτως εὐφρανθήσομαι ὡς αὐτὸς ἐγὼ τὸν καρπὸν ἔχων, καὶ ἐν τούτῳ κομῶν· οὕτω μὲν γὰρ εἰ καθ' ὑπερβατόν τις ἐκλάβοι τὸ χωρίον· ἔσται γὰρ τὸ ἐφεξῆς· καὶ ἐκωλύθην ἄχρι τοῦ δεῦρο· εἰ δὲ μὴ καθ' ὑπερβατὸν, οὕτω νοηθείη ἂν· ἐκωλύθην ἄχρι τοῦ δεῦρο ἀναμένων καρπὸν τῆς πίστεως ἐν ὑμῖν ἰδεῖν· τί οὖν ἂν καὶ καρποφορῶμεν; τίς χρεία τῆς σῆς παρουσίας; πολλὴ μὲν οὖν· οὐ γὰρ πάντα τὸν καρπόν φησιν ἀνέμενον, ἀλλὰ τινὰ καρπὸν· ἵνα πρόθυμον αὐτὸς παρασκευάσω καὶ τὸν λείποντα φέρειν καρπὸν· ὥσπερ γὰρ περιττὸν τὸ τὸν τελείως καρποφοροῦντα διδάσκειν, οὕτω παντελῶς ἐπίπονον καὶ μοχθηρὸν τὸν μηδόλως εἰς εὐκαρπίαν εὔχρηστον τῷ τῆς διδασκαλίας ἀρότρῳ ἐξεργάζεσθαι καὶ ἀροτριᾷν· εἰ γὰρ καὶ κλητοὶ, ἀλλ' οὖν χρεία καὶ τῆς οἰκείας προαιρέσεως καὶ σπουδῆς· ἐπεὶ καὶ πολλοὶ κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

ΣϟΕ. Τί ἐστι, δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται.

Δικαιοσύνη γὰρ θεοῦ, τουτέστιν ἡ δικαιοσύνη τοῦ θεοῦ ἐν τῷ εὐαγγελίῳ αὐτοῦ ἀποκαλύπτεται καὶ φανεροῦται· πῶς καὶ τίνα τρόπον; ἐκ πίστεως μὲν τοῦ προσιόντος τὴν ἀρχὴν λαμβάνουσα τῆς φανερώσεως καὶ ἀποκαλύψεως· εἰς πίστιν δὲ προάγουσα καὶ τελειοῦσα τὸν πεπιστευκότα, εἰλικρινῆ καὶ ἀκέραιον· οὐχ ἣν τέχναι συγκροτοῦσιν, ἀλλ' ἣν ἡ ἄνωθεν ἔλλαμψις χαριζομένη τῷ μέτρῳ παρέχει τῆς προαιρέσεως· αὕτη γάρ ἐστιν ἡ τοῦ θεοῦ ἀποκαλυπτομένη διὰ τοῦ εὐαγγελίου δικαιοσύνη, ὅτι σπέρμα πίστεως εὑροῦσα, καρπὸν βλαστῆσαι παρεσκεύασε πίστεως· ἔστι δὲ καὶ ἄλλως ὑπολαβεῖν τὴν διάνοιαν τοῦ ῥητοῦ· ὅτι ἐν αὐτῷ τῷ πιστεύοντι ἡ δικαιοσύνη τοῦ θεοῦ καθορᾶται καὶ γινώσκεται· ὅτι μικρὰν πίστιν προαιρέσεως λαβὼν παρ' αὐτοῦ, ὅλην αὐτῷ τὴν ἐξ ἀποκαλύψεως καὶ θείας γνώσεως πίστιν παρέσχετο, ἐκ τῆς ἀτελοῦς πίστεως εἰς μεγάλην αὐτὸν χειραγωγήσας καὶ καταρτίσας πίστεως τελειότητα· εἶτα καθὼς γέγραπται· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· μὴ νομίσῃς δέ φησι καινὸν καὶ πρόσφατον· τοῦτο προφητικῇ φωνῇ τοῦ Ἀββακοὺμ ἄνωθεν προανακηρύττεται· ποίᾳ ταύτῃ; ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται· τουτέστιν ἡ τοῦ δικαίου καὶ σπουδαίου ζωή· δίκαιον γὰρ τὸν πᾶσαν τὴν ἀρετὴν κατορθώσαντα νῦν λέγει· τούτου οὖν ἡ ζωὴ πίστει ἐστὶ πετρατουμένη καὶ συμπεριλαμβανομένη· ἄρχεται μὲν γὰρ ἀπὸ τῆς κατὰ προαίρεσιν πίστεως· τελευτᾷ δὲ καὶ ἀποπερατοῦται εἰς τὴν κατὰ θείαν ἀποκάλυψιν πίστιν· διὸ ἀεὶ ὁ δίκαιος ἐκ πί-

στεως ζῇ· τὸ δὲ ζήσεται, ὅτι οὐκ ἔζησε μὲν, παύσεται δὲ, ἀλλὰ καὶ εἰσέτι ζήσεται, ὡς καὶ πρότερον ζήσας· ὅπερ ἴσον τῷ ἀεὶ ζῇ ἐκ πίστεως· τὸ δὲ ζήσεται, ἀντὶ τοῦ διὰ παντὸς ἐν αὐτῇ ἔσται καὶ στηριχθήσεται· ὥστε μηδὲ ζῆν αἱρεῖσθαι χωρὶς αὐτῆς μηδὲ ἀναπνεῖν.

### ΣϽϚ. Τί ἐστι το παρὰ τῷ ἀποστόλῳ εἰρημένον· πάραδοτε αὐτὸν τῷ σατανᾷ.

Ὅτι τὸ παραδοῦναι αὐτὸν τῷ σατανᾷ περὶ τοῦ ἡμαρτηκότος Κορινθίου τῷ θεσπεσίῳ Παύλῳ εἰρημένον, ἔστι φησὶ ἐξῶσαι αὐτὸν τῆς ἐκκλησίας· οἱ γὰρ τῶν ἐκκλησιῶν ἐξωθούμενοι, ἔξω τῆς θείας γινόμενοι κηδεμονίας, ὑπὸ τὴν βουλὴν καὶ τὴν δυναστείαν πίπτουσι τὴν ἐκείνου· καλῶς δὲ ἐπήγαγε καὶ τὸ, εἰς ὄλεθρον τῆς σαρκὸς, δεικνὺς ὅτι οὐδὲ τοῦτο ἀφειδίᾳ ποιεῖ καὶ μίσει, ἀλλ' ἵνα τῇ πείρᾳ γνόντες τὸ διάφορον, πρὸς μεταμέλειαν νεύσωσιν· οὕτω τε τῆς δυναστείας τοῦ διαβόλου ἔξω γινόμενοι τῇ τοῦ κρείττονος αἱρέσει, τῆς σωτηρίας αὐτοὺς τῆς μελλούσης καταστήσωσιν ἀξίους· ὅθεν καὶ ἐπήγαγεν· ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

### ΣϽΖ. Τί ἐστιν, εἰς τὸ τέλος ὑπὲρ τῆς κληρονομούσης.

Τρία ἡμῖν ἀπὸ τῆς ἐπιγραφῆς ζητήματα ἀνακύπτει· τίς ἡ κληρονομοῦσα, τίς ὁ κλῆρος, καὶ πότε ἡ κληρονομία· κληρονομοῦσα μέν ἐστιν ἡ ἐκκλησία καὶ τὸ πλήρωμα αὐτῆς· κλῆρος δὲ ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· τὸ δὲ πότε, αὐτὸς ἐδήλωσεν εἰπὼν, εἰς τὸ τέλος· ὅπέρ ἐστιν ὁ μέλλων, ἀλλ' οὐχ ὁ παρὼν αἰών· διατί δὲ κληρονόμους ἡμᾶς ἐγγράφει; ὅτι υἱοποιήσατο· τίνας δὲ; τοὺς ἀξίους· ἄξιοι δὲ τίνες; οἱ τῶν ἐντολῶν φύλακες· περὶ ταύτης τῆς κληρονομούσης καὶ ὁ Παῦλος ἔλεγεν· ἡρμοσάμην ὑμῖν παρθένον ἁγνὴν ἑνὶ ἀνδρὶ παραστῆσαι τῷ Χριστῷ· καὶ ὁ Ἰωάννης φησὶν· ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστὶν· ἀλλ' ὁ μὲν ἐνταῦθα νυμφίος μετὰ τὰς πρώτας ἡμέρας, καταλύει τὸ σφοδρὸν τοῦ ἔρωτος, ὁ δὲ ἡμέτερος νυμφίος μένει διηνεκῶς ἀγαπῶν ἡμᾶς, καὶ ἐπιτείνων τὸν πόθον· ὅπερ δηλῶν ὁ Ἰωάννης, νυμφίον αὐτὸν ἐπεκάλει· ὅτι ἀκμάζοντες οἱ πόθοι· οὐ διὰ τοῦτο δὲ μόνον νυμφίος, ἀλλὰ καὶ ὅτι πάντας ἓν σῶμα εἶναι βούλεται καὶ μίαν ψυχὴν κατὰ τὸν τῆς ἀρετῆς καὶ τῆς ἀγάπης λόγον· καὶ ὅτι καθάπερ ἡ νύμφη πάντα ποιεῖ πρὸς ἀρέσκειαν τοῦ ἀνδρὸς, οὕτω καὶ ἡμᾶς διὰ παντὸς τοῦ βίου τοιούτους εἶναι χρὴ, οἷα ἡ νύμφη κατὰ τὴν ἡμέραν ἐκείνην, οἷα ἐπὶ τῶν παστάδων

καθέζεται, ἐν μεριμνῶσα μόνον ὅπως ἀρέσῃ τῷ νυμφίῳ· ταύτης τῆς νύμφης καὶ ὁ Δαβὶδ μέμνηται λέγων· παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν· καὶ ἑξῆς· ἴδες τὸν ἱματισμὸν· θέλεις δὲ εἰδέναι αὐτῆς καὶ τὰ ὑποδήματα; Παῦλος διδάσκει ὁ νυμφαγωγὸς λέγων· ὑποδυσάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης· θέλεις ἰδεῖν καὶ τὴν ζώνην πῶς ἀπὸ ἀληθείας σύγκειται; περιζωσάμενοι φησὶ τὴν ὀσφῦν ἡμῶν ἐν ἀληθείᾳ· θέλεις καὶ τοὺς πόδας ἰδεῖν; ἄκουε τοῦ προφήτου λέγοντος· ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· καὶ τὸ δὴ θαυμαστὸν καὶ ἐκπλήξεως γέμον ὅτι καὶ κοσμήσας τοῦτον τὸν τρόπον ἦλθεν οὐχὶ τὴν δόξαν ἐπιδεικνύμενος τὴν ἑαυτοῦ, ἵνα μὴ ὑπερβολὴ τοῦ κάλλους ἐκπλήξῃ αὐτὴν καὶ παράφρονα ἐργάσηται, ἀλλ' ἔρχεται ἱμάτιον περιβεβλημένος οἷον ἡ νύμφη· μετέσχηκε γὰρ αἵματος καὶ σαρκὸς παραπλησίως αὐτῇ· καὶ οὐκ αὐτὸς αὐτὴν ἄνω καλεῖ, ἀλλ' αὐτὸς πρὸς αὐτὴν παραγίνεται, τηρῶν κἀνταῦθα τὸν τοῦ νυμφίου νόμον, ὃς αὐτὸν ἄγει πρὸς τὴν νύμφην· ὅπερ καὶ ὁ Παῦλος ἔλεγεν· ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ· τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δέ λέγω εἰς Χριστὸν καὶ τὴν ἐκκλησίαν· ἐλθὼν τοίνυν εἰς τὸ καταγώγιον αὐτῆς, καὶ εὑρὼν αὐτὴν ῥυπῶσαν, αὐχμῶσαν, γυμνὴν, πεφυρμένην αἵματι, ἔλουσεν, ἤλειψεν, ἔθρεψεν, ἐνέδυσεν ἱμάτιον οἷον εὑρεθῆναι ἕτερον οὐκ ἔνι, αὐτὸς αὐτῇ γενόμενος περιβολή· καὶ λαβὼν αὐτὴν οὕτως ἀνάγει εἰς τὸν οὐρανόν· ταύτης συνήγορός ἐστιν ὁ προφήτης· καὶ γὰρ πολλὰ καὶ περὶ τοῦ νυμφίου καὶ περὶ τῆς νυμφαγωγίας καὶ περὶ τῶν ἀγαθῶν τῶν διαδεξομένων αὐτὴν προεῖπε καὶ προανεφώνησε· διὰ δὴ τοῦτο καὶ ἐνταῦθα ὑπὲρ αὐτῆς ποιεῖται τὸν λόγον· καὶ τί αἰτεῖ ἡ κληρονομοῦσα; ἀκούσωμεν τί φησι· τὰ ῥήματά μου ἐνώτισαι κύριε.

## ΣϚΗ. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.

Ὅταν ἀκούσῃς θυμὸν καὶ ὀργὴν ἐπὶ θεοῦ, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς· συγκαταβάσεως γάρ ἐστι τὰ ῥήματα· καὶ γὰρ τὸ θεῖον ἁπάντων ἀπήλλακται τῶν παθῶν· διαλέγεται δὲ οὕτως ὥστε καθάψασθαι τῆς τῶν παχυτέρων διανοίας· ἐπεὶ καὶ ἡμεῖς ὅταν βαρβάροις διαλεγώμεθα, τῇ ἐκείνων χρώμεθα γλώσσῃ· κἂν πρὸς παιδίον φθεγγώμεθα, συψελλίζομεν, κἂν μυριάκις ὦμεν σοφοί· ἄλλως τε δὲ καὶ ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐκ ἐξ ἀνάγκης πάθος τῶν προβαλλομένων αὐτὰ ἐνδείκνυται· ἐν δυσὶ γὰρ τὸ δι' αὐτῶν ἐγγινόμενον πάθος συνίσταται, ἔν τε τῷ βαλλομένῳ, καὶ ἐν οἷς

ταῦτα πλήττοντα ἀλγεινὴν διάθεσιν ἀπεργάζεται· ὅ τε γὰρ θυμούμενος ἢ ὀργιζόμενος διατίθεται πῶς κατὰ ταῦτα· καὶ ὁ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἐκδεξάμενος, κἀκεῖνος πεπονθὼς διετέθη κατὰ τὴν πάθησιν· ἐν ἀμφοτέροις μὲν οὖν τὸ πάθος ὁρᾶται· ἀλλ' ὥσπέρ ἐστιν ἰδεῖν ἐνίοτε μόνον τὸν προβαλλόμενον τὸν θυμὸν καὶ τὴν ὀργὴν πάσχοντα, πρὸς ὃν δὲ ταῦτα ἀφίεται, ἀπαθῆ καὶ ἀναλλοίωτον, ἴσως φιλοσοφίᾳ τὴν ψυχὴν τονώσαντα, καὶ κρείττω τῆς ὀργῆς τῶν θυμουμένων καὶ ὀργιζομένων γενόμενον· ἀλλ' ὅμως κἂν ἐν θατέρῳ τὸ πάθος ὁρᾶται, οὐδὲν ἧττον θυμὸς ὁ θυμὸς καὶ ἡ ὀργὴ λέγεται· οὕτω κἂν μόνος ὁ τὸν θυμὸν καὶ τὴν ὀργὴν ἐκδεχόμενος κατὰ τὸ πάθος διατεθείη, τοῦ προβαλλομένου ταῦτα μηδὲν ὅλως ἀλλοιωθέντος ἢ κατά τι πάθος διατεθέντος, οὐδὲν ἔλαττον ταῦτα ἀλλ' ὁμοίως θυμὸς καὶ ὀργὴ πάθος καὶ ἄλγος τῷ ἐκδεξαμένῳ ἐμπεποιηκότα, ἀκολούθῳ λόγῳ καλοῖτ' ἂν· καὶ ἰατροὶ δὲ τέμνοντες καὶ καίοντες οὐ θυμῷ τοῦτο ποιοῦσιν, ἀλλὰ σκοπῷ τῆς διορθώσεως, οὐκ ὀργιζόμενοι τοῖς κάμνουσιν ἀλλ' ἐλεοῦντες αὐτοὺς καὶ τῶν νοσημάτων ἀπαλλάττοντες· ὅταν οὖν εἴπῃ μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, τουτέστι μὴ ἀπαιτήσῃς με δίκην τῶν ἡμαρτημένων, μηδὲ ἐπεξέλθῃς τοῖς πεπλημμελημένοις.

## ΣΘΘ. Ὅτι ἐταράχθη τὰ ὀστᾶ μου.

Ὀστᾶ δὲ ἐνταῦθα λέγει τὴν ἰσχὺν ἅπασαν· ταραχὴν δὲ τὴν πληγὴν τὴν κόλασιν τὴν τιμωρίαν· τινὲς φασὶν ἐνταῦθα ταραχὴν λέγειν αὐτὸν, τὸν ἐκ τῆς ἁμαρτίας γινόμενον (φόβον·) τοῦτο δὲ μάλιστα καὶ ἐν ἐπιθυμίαις ἀσελγείας συμβαίνειν εἴωθε, τοῦτο δὲ ἐν θυμῷ καὶ ἐν συμφοραῖς· πάντα γὰρ ταῦτα ταράττει ψυχὴν καὶ ὀστᾶ, καὶ αἱ κόραι διαστρέφονται, καὶ οὐδὲ οἱ ὀφθαλμοὶ κατὰ τάξιν βλέπουσιν, ἀλλ' ὥσπερ ἡνιόχου θορυβηθέντος ἀτάκτως οἱ ἵπποι φέρονται, οὕτω τοῦ λογισμοῦ διαταραχθέντος, πάντα συγχεῖται, πάντα διαστρέφειται· καὶ πῶς αὕτη γίνεται ἡ παραχή; ἀναγκαῖον γὰρ καὶ τοῦτο εἰπεῖν· οὐ γὰρ ὥσπερ ἐν θαλάσσῃ παρὰ τὴν τῶν πνευμάτων ἐμβολὴν, οὕτω καὶ ἐν ψυχῇ, οὐ κατά τινα ἀδόκητον περίστασιν, ἀλλὰ παρὰ τὴν ἡμετέραν ῥαθυμίαν συμβαίνει· καὶ γὰρ καὶ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι τὴν περίστασιν τῆς ἁμαρτίας ἡμεῖς κύριοι, τῆς ἐπιθυμίας ἀναπτομένης· ἀλλ' ἂν μὴ σὺ τὴν φλόγα ἀνάψῃς, οὐκ αἴρεται ἡ κάμινος, ἂν μὴ τροφὴν παράσχῃς τῇ ὕλῃ, ἂν μὴ τὰς εὐμόρφους ὄψεις περιεργάσῃ, ἂν μὴ θέατρον παρανομίας ἀναβαίνῃς, ἂν μὴ πιαίνῃς τρυφῇ τὴν σάρκα ἂν μὴ καταποντίζῃς οἴνῳ τὸν λογισμὸν, οὐκ αἴρεται ἡ φλὸξ, οὐ γίνεται χαλεπώτερον τὸ θηρίον, οὐ διατέμνεται καθάπερ ὑπὸ πνευμάτων ἀγρίων τῆς διανοίας τὸ καθαρόν· ἀρκεῖ οὖν ταῦτα φησὶ πρὸς τὸ διαφυγεῖν

τὴν φλόγα τῆς ἁμαρτίας; οὐκ ἀρκεῖ· ἀλλὰ δεῖ καὶ ἕτερα προστεθῆναι, προσευχὰς διηνεκεῖς, ἁγίων συνουσίαν, νηστείαν σύμμετρον, δίαιταν λιτὴν, ἀσχολίας ἀναγκαίας· πρὸ τῶν ἄλλων ἁπάντων, τοῦ θεοῦ τὸν φόβον, τὴν μέλλουσαν κρίσιν, τὰς ἐπαγγελίας τῶν ἀγαθῶν· διὰ τούτων πάντων δύνασαι χαλινῶσαι τὴν λυσσῶσαν ἐπιθυμίαν καὶ στῆσαι τὴν κυμαινομένην θάλασσαν.

### Τ. Κύριε ἐκέκραξα πρός σε, εἰσάκουσόν μου·

Τούτου τοῦ ψαλμοῦ τὰ μὲν ῥήματα ἅπαντες ὡς εἰπεῖν ἴσασι, καὶ διὰ πάσης ἡλικίας διατελοῦσι ψάλλοντες, τὴν δὲ διάνοιαν ἐνίων τῶν εἰρημένων ἀγνοοῦσιν· ὅπερ οὐ μικρὸν εἰς κατηγορίας λόγον· ψάλλειν μὲν καθ' ἡμέραν, μηδ' ἅπαξ δ' ἐπιζητῆσαι μαθεῖν τὸν νοῦν τῶν ψαλλομένων· καὶ γὰρ νωθείας καὶ χαυνότητος ἐσχάτης διὰ παντὸς τὸν ψαλμὸν καὶ ἐκ πρώτης ἡλικίας εἰς ἔσχατον γῆρας μελετῶντας διατελεῖν, τὰ ῥήματα μόνον εἰδότας ἔρημα διανοίας· καὶ παρακαθῆσθαι θησαυρῷ συνεσκιασμένῳ, καὶ βαλάντιον περιφέρειν ἐσφραγισμένον· καὶ οὐδὲ ὑπὸ πολυπραγμοσύνης παρωξύνθη τις μαθεῖν, τί ποτέ ἐστι τὸ λεγόμενον· καί τοι γε οὐδὲ ἐκεῖνο ἔστιν εἰπεῖν ὅτι σαφής τις ὢν πάντας εἰς ὕπνον ἤγαγε· καὶ οὐκ ἀφῆκε ζητῆσαι τὸ προχείρως κείμενον· καὶ γάρ ἐστιν ἀσαφὴς καὶ ἱκανὸς διεγεῖραι τὸν μὴ σφόδρα καθεύδοντα, μᾶλλον δὲ καὶ τὸν καθεύδοντα.

### ΤΑ. Φωνῇ μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην.

Δύο ἐνταῦθα ἀρετὰς μανθάνομεν, τό τε εὔτονον τῆς προθυμίας, τό τε συντεταγμένον τῆς διανοίας, καὶ ἕτερον πρὸς τούτοις τὸ αὐτοῦ εἶναι τὴν φωνήν· οὐ γὰρ πάντες οὔτε φωνῇ βοῶσιν, οὔτε πρὸς τὸν θεὸν, οὔτε τῇ οἰκείᾳ· δεῖ δὲ ἅπαντα ταῦτα συνελθεῖν· ὁ κατ' ἐχθρῶν βοῶν οὐκ ἀνθρώπου φωνὴν προήσεται, ἀλλὰ θηρίου καὶ ὄφεως· ὁ ῥαθυμῶν καὶ μὴ ἀκούων ὧν λέγει οὐ πρὸς τὸν θεὸν βοᾷ, ἀλλ' εἰκῇ καὶ μάτην φθέγγεται· ὁ μὴ διεγείρων τὴν διάνοιαν, κἂν μεγάλα κράζῃ, πάλιν οὗτος οὐ βοᾷ· φωνὴν γὰρ, ὡς πολλάκις ἔφθην εἰπὼν, οὐ τὸν τόνον λέγει τοῦ πνεύματος, ἀλλὰ τὴν συντεταγμένην διάνοιαν· ἀλλ' οὐχ οὕτως· ἀλλὰ τὰ τρία ταῦτα συνάγει· ὅτι τε φωνεῖ, καὶ πρὸς τὸν θεὸν, καὶ τῇ ἑαυτοῦ φωνῇ διὰ τοῦτο δεύτερον φησί· φωνῇ μου, καὶ φωνῇ μου.

## ΤΒ. Τί ἐστι τὸ εὐλόγησε Μελχὸλ τὸν Δαβίδ.

Τὸ δὲ, εὐλόγησε Μελχὸλ τὸν Δαβὶδ, λαμβάνει μὲν καὶ ἐκ τῆς προειρημένης ἀναπτύξεως τὸ σαφὲν· ἀντὶ γὰρ τοῦ ἐξουδένωσεν εἴρηται· ἀλλότριον γὰρ ἐδόκει τὸ γύναιον βασιλικοῦ φρονήματος καὶ ὄγκου, χοροῖς καὶ σκιρτήμασιν ἐνδιατρίβειν· ἀλλ' αὐτὸ μὲν τοῦτο τὸ χορείαις μὴ συγ[καταφέρεσθαι τὸν βασιλέα, οὐκ ἀνεπισκέπτως ἐλογίζετο ἡ τοῦ Σαοὺλ θυγάτηρ . . τὸ δὲ θεῖον πόθον ἐπιδεικνύμενον ἐπὶ τοσοῦτον ἁλῶναι τῷ ἔρωτι τοῦ ποθουμένου ἐνίκα τῆς γυναικείας φύσεως τὴν γνῶσιν· καὶ ἀγνοῦσαν διήλεγχε τὰ κέντρα τοῦ δαυιτικοῦ πόθου. Ἐπισημαίνεται δὲ Τὸ γράμμα τὸ ἱερὸν, ὡς μήτηρ οὐκ ἐχρημάτισεν αὕτη παιδίου, τῆς ἐπὶ τῷ Δαβὶδ χλεύης ἀπαγγέλλουσα τὴν δίκην· ἀφίεται δὲ ἡ Μελχὸλ εἰς τὴν περὶ τοῦ Δαβὶβ κατενεχθῆναι χλεύην ἡνίκα δίκην χρεωστοῦσα ἀπαιτηθῇ τὴν ἀπαιδίαν· ἀπαιτεῖται δὲ τὴν ἀπαιδίαν, ἵνα μηδεὶς ἐκ τοῦ σπέρματος ὅπερ ἀπεφύετο τοῦ Σαοὺλ Τοῦ βασιλικοῦ διάδοχος ἀξιώματος καταστῇ· ἔτι δὲ ἵνα μὴ στάσις καὶ φόνος τοῦ τε ἐξ αὐτῆς προεληλυθότος καὶ τῶν ἐξ ἑτέρων γυναικῶν ἐπιγεγονότων διαπραχθῇ.

## ΤΓ. Διατί ὁ Δαβὶδ τὸ ἐφοὺδ περιεβάλετο.

Εἴρηται δὲ ὅτι ἐπὶ τοῦ Δαυὶδ, ἐφοὺδ· καίτοι οὐκ ἐξὸν αὐτῷ εὐσεβῶς βιοῦντι ἱερέως στολὴν περιβαλέσθαι· ἀλλὰ περὶ τούτου τισὶ μὲν ἐῤῥήθη, ὡς ἐπειδὴ Σαμουὴλ μὲν ἀπεβίω, οἱ δὲ τούτου παῖδες ἐξητάζοντο ἐν αἰτίαις, ἔδει δὲ ἱερέα τῆς κιβωτοῦ τοῦ θεοῦ προπορεύεσθαι, καὶ οὐκ ἦν ὁ τὴν ὑπηρεσίαν ταύτην ἠξιωμένος, ἐξ ἀνάγκης ὁ βασιλεὺς τὴν τοιαύτην ἀναδέχεται λειτουργίαν· ἅτε δὴ καὶ τῶν ἀλλοφύλων, τὴν κιβωτὸν αὐτὸς ἀνενεγκών· διὸ καὶ χρησμὸν ἀνεῖλε τὸ ἐφοὺδ νίκην ἐπαγγελλόμενον τῷ Ἰσραήλ· καὶ τὴν νίκην ὁ Δαυὶδ ἀνατίθησι τῷ θεῷ· ἅμα δὲ οὐδ' ἀτιμάζοντος ἦν τοῦτο τὴν ἱερατικὴν στολὴν, ἀλλὰ σεβαζομένου καὶ τῆς ὅτι μάλιστα τιμῆς ἀξιοῦντος· ἐδείκνυ γὰρ δι' ὧν εἰς ἐκείνην κατέφευγεν, ὅση ὠφείλετο τοῖς ὡς ἀληθῶς ἱερεῦσιν ἡ τιμή· ὧν ἡ στολὴ τῷ βασιλεῖ δόξαν τε καὶ νίκην καὶ τοσαύτην χάριν προξενεῖ. Ἀλλ' οὕτω μὲν ἔνιοι φασίν· ἑτέροις δὲ δοκεῖ μὴ ἄν ποτε κατατολμῆσαι τὸν βασιλέα Δαυὶδ ἱερατικὴν στολὴν περιβαλεῖν, ἀλλ' εἶναι τί φασιν ἀποκεκληρωμένον τοῖς βασιλεῦσιν ἀμφίασμα, ὃ καὶ αὐτὸ ἔφερε τὴν ὀνομασίαν τῆς ἱρατικῆς στολῆς, καὶ τοῦτο κατ' ἐκεῖνο καιροῦ περιβεβλῆσθαι τὸν βασιλέα Δαυίδ.

## ΤΔ. Τί ἔπραττεν Ἀδὰμ ἐν παραδείσῳ.

Ἐν δὲ τῷ παραδείσῳ τεθεὶς ὁ Ἀδὰμ οὐκ ἀργὸν οὐδὲ ἄπρακτον ἐπολιτεύετο βίον, ἀλλ' ἀρετῆς μὲν ἐπεμελεῖτο, τοῖς δὲ κατ' αὐτὴν ἔργοις ἐνησχολεῖτο· διὸ καὶ ἡνίκα τοῦ φύλαξ εἶναι τῆς ἀρετῆς καὶ τῶν δεδομένων ἐξέστη, τοῦ παραδείσου τὴν ὑπερορίαν κατεδικάσθη· μέσον δὲ τοῦ παραδείσου τὸ ξύλον· διότι ζωῆς ἦν ξύλον· καὶ ἀναλογίαν τινὰ ἐπέχει πρὸς τὴν καρδίαν· ὥσπερ οὖν αὕτη ἐν μέσῳ τῷ τοῦ ζώου καταβέβληται σώματι, οὕτω κἀκεῖνο ζωῆς ὑπάρχον ξύλον, μέσον ἐπεφύτευτο τοῦ παραδείσου· εἰ δέ σοι φίλον καὶ ὁ ἀναγωγικὸς λόγος, ἡ γενικωτάτη φασὶν ἀρετὴ ἐν τῷ λογικῷ θεωρουμένη ζώῳ ὥσπερ ἀπὸ μέσης τινὸς ἀκρωρείας ἐπὶ πᾶσαν διαχεῖται πρᾶξιν· καὶ καθ' ὃν τρόπον ἡ ζωὴ ἐκ μέσου τινὸς χωρίου προχεομένη, πάντα τὰ τοῦ ζώου μέρη ζωογονεῖ τε καὶ συνέχει, οὕτω καὶ αὕτη ἐκ μέσης τινὸς οἱονεὶ πηγῆς προϊοῦσα ἄρδει τε καὶ ἐκτρέφει καὶ τὰς ὑποβεβηκείας αὐτῇ λοιπὰς ἀρετάς. Ἐγγὺς δ' ἂν εἴη διανοεῖν, μέσον εἰρῆσθαι τοῦ παραδείσου τὸ τῆς ζωῆς πεφυτεῦσθαι ξύλον, ὅτι καὶ Χριστὸς ἡ ζωὴ ἡμῶν ἐν μέσῳ τῆς γῆς τὸν ὑπὲρ ἡμῶν ἐδέξατο σταυρόν· καὶ γὰρ εἰς τὸ μεσαίτατον φασὶ τῆς γῆς τὸ ζωηφόρον ξύλον, τὸν σταυρὸν παγῆναι· τὸ δὲ ξύλον τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν εἴρηται μὲν, οὐδεὶς δὲ χῶρος αὐτῷ ἀποτέτακται· διατί; διότι ἡ κακία χῶραν οὐκ ἔχει, ἀλλὰ τῇ ἀρετῇ παρυφίσταται· ἄμεινον δὲ μετὰ ταῦτα περὶ τούτου διαληπτέον.

## ΤΕ. Διατί πρὸς ἑσπέραν ἐθύετο ὁ ἀμνός.

Πρὸς ἑσπέραν δὲ ἐθύετο ὁ ἀμνὸς, ὅτι τύπον προδιέγραφε τοῦ ἀληθινοῦ ἀμνοῦ καὶ ποιμένος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἐπὶ δυσμαῖς γὰρ τῶν αἰώνων καὶ ὁ πλάστης τὸν ὑπὲρ ἡμῶν ἑκούσιον ὑπέστη θάνατον· πλησιφαοῦς δὲ τῆς σελήνης οὔσης προσήγετο τὸ θῦμα· ἐπεὶ καὶ ὁ τοῦ γένους ἡμῶν σωτὴρ οὐκ ἄνθρωπος μόνον ἐχρημάτιζεν, ἀλλὰ καὶ Θεός· καὶ τύπον μὲν τῆς θεότητος φέρει τὸ φῶς, τὸ δὲ σεληνιακὸν σῶμα τῆς προσληφθείσης σαρκός· πλὴν ἐπειδὴ κατὰ τὴν κοσμογένειαν ὁλοκλήρῳ φωτὶ καταλαμπομένη ἡ σελήνη λαμβάνει τὴν προαγωγὴν, ὁ δὲ τοῦ σωτῆρος ὑπὲρ τοῦ γένους θάνατος ἀνανέωσίν τε καὶ ἀνακαίνισιν ἐπραγματεύετο τοῦ παντὸς, εἰκότως ἡ σελήνη τὸ φῶς ἀμείωτον κατ' ἐκεῖνο καιροῦ παρέχειν ὑπὸ τοῦ πάντα σοφῶς οἰκονομοῦντος ἀπετάχθη.

## ΤϚ. Τί ἐστι, θήσω τὸ τόξον μου ἐν τῇ νεφέλῃ.

Τὸ δὲ ἐν τῇ νεφέλῃ τόξον ἑλλήνων μὲν παῖδες φυσικόν τι νομίζουσιν ἔργον, καὶ ἀφ' οὗ νεφέλαι καὶ ἥλιος, κἀκεῖνο τὴν σύστασιν λαμβάνει· τῷ δέγε θεσπεσίῳ Μωϋσεῖ ὅσον ἀπὸ τῆς τῶν λέξεων προφανοῦν σημασίας οὐκ ἐδόκει τοῦτο, ἀλλὰ σύγχρονον εἶναι τῇ δεδομένῃ διαθήκῃ· ἰδοὺ γάρ φησι τίθημι τὸ τόξον μου ἐν τῇ νεφέλῃ, ὡς νῦν τιθεμένου καὶ τῆς διαθήκης χρηματίζοντος σημείου· οὐδὲν δὲ ἄτοπον ἐννοεῖν καὶ φάσεως μὲν ἀπαρχὴν προσβολὴν εἶναι τὸ τόξον, ἐπὶ βεβαιώσει δὲ τῆς πρὸς τὸν Νῶε διαθήκης τὸ θεῖον αὐτὸ προσλαμβάνειν· οἷον ὡς εἰ λέγοντες, ὅτι ἕως ἂν τοῦτο γίνηται καὶ ἡ φύσις τὸ οἰκεῖον προβάλληται ἔργον, οὐκ ἔσται κατακλυσμός· καθ' ἃ ἄν τις εἴποι· ἕως οὖν ἀνταναιρεθῇ ἡ σελήνη, καὶ ἕως ἂν ὁ ἥλιος τὸν οὐράνιον διατρέχων πόλον τὰ ἐπίγεια φωτίζει· ὅπέρ ἐστιν· ἕως ἡ φύσις τὸν οἰκεῖον εἱρμὸν διασώζει καὶ πρὸς λύσιν οὐ διαστρέφει, ἕως τότε τὸ ἀνθρώπινον γένος κατακλυσμῷ ἀτιμώρητον ἔσται· ὁ δὲ βασιλεὺς τῆς Συρίας μαθεῖν ἀποστέλλει περὶ τῆς ζωῆς αὐτοῦ πρὸς τὸν Ἐλισσαῖον· καίτοι μὴ τῷ θεῷ ἀλλ' εἰδώλοις λατρεύων, ὅτι προφήτην αὐτὸν πανταχοῦ διήγγελλεν ἡ φήμη, καὶ ἡ νόσος ἐπιστᾶσα τῷ βασιλεῖ συνηνάγκαζε πυθέσθαι πρὸς οἷον ἀποβήσεται τέλος.

## ΤΖ. Δίκαιος δὲ ὁ Νῶε τυγχάνων, διατί ἁλίσκεται μέθῃ, καὶ οὐ δίδωσι δίκην.

Δίκαιος δὲ ὁ Νῶε τυγχάνων ἁλίσκεται μέθῃ καὶ οὐ δίδωσι δίκην, ὅτι μήτε ἀκρασίᾳ κεχρημένος τὴν μέθην ὑπέστη, καὶ νόμον οὐκ εἶχε τῆς εἰς κόρον ἀπείργοντα οἰνοποσίας· ἄλλως τε δὲ καὶ ἀγνοίᾳ τῆς χρήσεως, ἀλλ' οὐχὶ πολυποσίᾳ κατέπεσεν εἰς μέθην· κιρνάμενος γὰρ ὁ οἶνος οὐχ οὕτως τῶν ἐπιθολούντων ἀτμῶν τὸν ἐγκέφαλον πληροῖ καὶ τὸ ἡγεμονικὸν ἐπισκοτίζει· ἡ δὲ ἄκρατος τούτου προσφορὰ θερμοτέρους τούτους ἀναφέρουσα καὶ δριμυτέρους καὶ ἐξ ὀλίγου πόματος μάλιστα τοῖς ἀσυνήθως πρὸς τοῦτο διακειμένοις ἐνεργάζεται τὸ πάθος· πλὴν ὁ θεσπέσιος Παῦλος πρὸ ἡμῶν τὸν ὑπὲρ αὐτοῦ ποιεῖται λόγον, ἁμαρτία φάσκων οὐκ ἐλλογεῖτο μὴ ὄντος νόμου· διὸ πολλὰ ἂν εὕροις κατὰ τὴν παλαιὰν ἐκείνην πολιτείαν τοὺς θαυμασίους ἐκείνους ἄνδρας διαπεπραχότας ἐξ ἀπειρίας, ἐξ ὧν αὐτοῖς οὐδεμία παρηκολούθησε δίκη· νυνὶ δὲ ἐπεὶ παρ' ἡμῖν καὶ νόμοι καὶ τῶν πρακτέων ἡ γνῶσις ἐπιφανεστάτη, εὐλόγως τοὺς παραβεβηκότας ἡ τῆς παρανομίας ὑποδέχεται τιμωρία.

## ΤΗ. Τί ἐστι, κύριε οὐχ ὑψώθη ἡ καρδία μου.

Τὸ δὲ, κύριε οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου, οὐδὲ ἐπορεύθην ἐν μεγάλοις, οὐδὲ ἐν θαυμασίοις ὑπὲρ ἐμέ· τάχα μὲν καὶ εἰς αὐτὸν ἐκληφθείη τὸν Δαβίδ· τὸ γὰρ βασιλείαν μὲν περιεζῶσθαι, κατ' ἐχθρῶν δὲ πολλάκις τρόπαια ἀναστῆσαι, καὶ πρὸ τούτων ἀπὸ ποιμένος ἐν βασιλείοις διαιτᾶσθαι, καὶ μειζόνων ἢ κατ' ἐλπίδας ἀξιοῦσθαι, καὶ ὀργὴν ὕστερον κατὰ τοῦ Νάβαλ ἐπιδεδεῖχθαι, θανάτου τε ἀπαίτησιν ἐπισκῆψαι τῷ παιδὶ, παρά τε τοῦ Ἰωὰβ καὶ τοῦ Σεμεεὶ λαβεῖν, καὶ ὅσα ἄλλα τοιαῦτα, θαυμασιώτερον μὲν ἀποφαίνει μᾶλλον τὸν Δαβίδ εἰ ἐν τοσούτοις καὶ τοιούτοις ἐξεταζόμενος, τὸ τῆς ψυχῆς οὐκ ἐκλονήθη πάγιον, οὐδὲ μειζόνων ἢ κατὰ τὰς ἐλπίδας ἀξιούμενος ἐπῆρεν ἑαυτοῦ καὶ ὑπερύψωσε τὴν καρδίαν, μεῖζον ἢ προσῆκε τὰ καθ' ἑαυτὸν φανταζόμενος· ἀλλ' εἰς τὴν παντοκράτορα καὶ κυριεύουσαν τῶν ὅλων ἅπαντα φέρων ἐτίθει πρόνοιαν, οὐδαμοῦ λήθην λαμβάνων τοῦ, ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ. Εἰ δέ τις ἐθέλοι τὸ εἰρημένον ἐκλαβεῖν καὶ ἐφ' ἑτέρου τινὸς τὴν ταπεινόφρονα ἀρετὴν κατορθωκότος, καὶ εἶναι τοῦτο ὥσπερ στήλην καὶ ὑπογραφὴν ἀνδρὸς ἂν φρόνημα τεταπεινωμένον καὶ συντετριμμένον φέροντος, οὐδ' οὗτος ἂν εἴη τοῦ εἰκότως φερόμενος ἔξω· ταπεινοφροσύνῃ δ' οὖν, ὥς ἐστι πολλαχόθεν λαβεῖν, καὶ ὁ μέγας ἐκεκόσμητο Δαβίδ. Ἐνίοις δὲ καὶ εἰς ὅλην τὴν ἀνθρωπίνην φύσιν ἔδοξεν ἐναρμόζεσθαι τὸ ῥητόν· αὕτη γάρ φησι διὰ τὴν ἀσθένειαν τῆς σαρκὸς καὶ τῶν περὶ τὸ σῶμα φυομένων τε καὶ ἀναστρεφομένων παθῶν, οὐδ' ὅν τινα καιρὸν ἀνατείνεσθαι τε καὶ ἀνυψοῦσθαι ὑπὲρ ἑαυτὴν δύναται, οἱονεὶ τῷ βάρει καθελκομένη· καὶ ποτὲ μὲν τούτῳ, ποτὲ δὲ ἐκείνῳ βαρυνομένη, καὶ μηδέποτε καθαρὰ τοῦ διενοχλοῦντός τε καὶ βιάζοντος καθεστηκυῖα, μηδὲ τὰς μεγίστας τε καὶ περὶ αὐτῆς ἀναλογίζεσθαι δεδυνημένη ἐννοίας· ἀλλὰ καλῶς γε ποιοῦσα, γῆν τε αὐτὴν καὶ σποδὸν ἡγεῖται, καὶ ἀναξίαν τῆς ὑπὲρ ἄνθρωπον ἀναβάσεως· ἵνα μὴ μεταλαβοῦσα τοῦ ξύλου ἐφέσει θεότητος, καὶ αὐτῆς τῆς πρεπούσης αὐτῇ καὶ ἐναρμοζομένης πάλιν τάξεως κατενεχθῇ· ἐντεῦθεν δὲ ὑψοῖ τὴν ψυχὴν καὶ τρέφει τὴν ἡδεῖαν τροφὴν, ἐκείνας τὰς ἐννοίας ἃς μετὰ τοῦ σώματος τραφῆναι οὐ δύναται· καὶ γὰρ τὸ, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ. . . .

Τῷ μέν τοι εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μεταφέροντι τὴν ἑρμηνείαν, καὶ προφητείαν εἶναι τὸν ἐκείνου βίον καὶ τρόπαιον ὑπογράφουσαν δόξαν ποιουμένῳ, οὐδὲ τοῦτο ἂν γένοιτο τοῖς δευτερείοις ἐναριθμεῖσθαι τῶν ὀρθῶς περὶ τῆς ῥήσεως τεθεωρηκότων· ὥσπερ γὰρ τὸ, ὤρυξαν χεῖρας

μου καὶ πόδας μου, Δαβὶδ μὲν λέγει, εἰς Χριστὸν δὲ ἐξέβη, οὕτως καὶ τὸ εἰρημένον, ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου, καὶ μυρία ἄλλα· τοῦτο δὲ καὶ ὁ Παῦλος συνορῶν, αἰχμαλωτίζειν παραινεῖ πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· καὶ γὰρ οὐδ' ὑψώθη Χριστὸς ὁ θεὸς ἡμῶν ὁ ὑπὲρ παντὸς ὕψους καὶ πάσης ὑπεροχῆς τελῶν, οὐδὲ ἐμετεωρίσθη· μᾶλλον δὲ τὸ ἀποστολικὸν εἰπεῖν· οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου. καὶ αὐτὸς δὲ ἐκεῖνος κατὰ καιρὸν τοῦ πάθους φησίν· ἠδυνάμην παρακαλέσαι τὸν πατέρα μου καὶ παρέστησέ μοι πλείονας ἢ δώδεκα λεγεῶνας ἀγγέλων· ἀλλ' οὔ μοι γνώμη τὸ ὑψοῦσθαι, μέγεθος δὲ καὶ θαυμασιότης ὑπὲρ αὐτὸν οὔτε ἦν οὔτε ὑπενοεῖτο, οὔτε αὐτὸς οὐδὲ ἐπεστράφη ποτὲ ὑπερενεχθῆναι τούτῳ· τί γὰρ ἂν εἴη θαυμασιώτερον ἢ μεῖζον τῆς ὑπὲρ πᾶν μέγεθος καὶ ἀξίωμα ὑπεριδρυμένης φύσεως θεϊκῆς; πλὴν ἀλλ' οὐδὲ ὡς ἄνθρωπος τοῖς κατὰ τὰ περίγεια καὶ τὴν σάρκα μεγάλην δόξαν καὶ ὄγκον περιβεβλημένοις οὐδὲ τούτοις συνημιλλᾶτο καὶ συνεπορεύετο· μᾶλλον δὲ τοὐναντίον ἅπαν ταπεινοφροσύνῃ καὶ μετριότητι ὅλον ἑαυτὸν διερρύθμιζε· διὸ καὶ ὁ προφήτης· χαῖρε φησὶ θύγατερ Σιών· καὶ τῆς αἰτίας ἡ χαρὰ, ὅτι πρᾶος καὶ ἥσυχος ἥκει σοι ὁ βασιλεύς· τὸ δὲ ἀπογεγαλακτισμένον ἐναρμοσθείη ἂν τοῖς εἰρημένοις, ὅτι καὶ τὴν ψυχὴν ἣν προσείληφεν ἐπὶ τὸ ἀρχαῖον αὐτὴν καὶ προγονικὸν ἐπανήγαγεν ἀξίωμα· τοῦτο γὰρ ἂν εἴη τὸ, ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ· εἰ δέ τις ἐθέλοι νοεῖν ὅτι καὶ τὴν μετὰ τῶν ἀνθρώπων ἀναστροφὴν θεοπρεπῶς τε καὶ ἀνθρωποπρεπῶς τελέσας πάλιν ἐπὶ τοὺς πατρικοὺς, ὧν οὐκ ἐξέστη, κόλπους ἐπανῆλθε, καὶ οὗτος ἂν τὰ εἰκότα ἐρεῖ· καὶ γὰρ ἐκεῖσε ἀναδραμὼν καὶ τὴν ὑπὲρ πάντων κρίσιν δεξάμενος, ἐδικαίωσε πάντας ἐν ἑαυτῷ, ὅπερ ὑποδηλώσει ἂν καὶ τὸ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.

## ΤΘ. Διατί ἐν βάτῳ καὶ οὐκ ἐν ἑτέρῳ φυτῷ τῷ Μωϋσεῖ ὀπτάνεται ὁ θεός.

Διὰ πολλὰς αἰτίας· μᾶλλον δὲ πρὸ τοῦ ἀποδοῦναι τὰς διατί ὤφθη αἰτίας, ἄμεινον εἰπεῖν ὅτι τρία τινὰ τὸ σύμβολον μηνύει· ἢ ὅτι ὥσπερ ἡ βάτος πυρὶ περιελαμβάνετο μὲν οὐ κατεκαίετο δὲ, οὕτω καὶ ὁ Ἰσραὴλ ἔκδοτος τοῖς πειρασμοῖς καὶ ταῖς τιμωρίαις καὶ τῇ φλογὶ τῆς ταλαιπωρίας ἣν αὐτοῖς οἱ αἰχμαλωτεύσαντες ὑφῆπτον, μόνῃ δὲ τῇ τοῦ θεοῦ δεξιᾷ τοῦ μὴ διωλολέναι καὶ ἀποτρεφρωθῆναι διετηρήθησαν· ἢ ὅτι ὁ θεὸς λόγος τὸ φῶς τὸ πατρικὸν καὶ τὸ ἄϋλον τῆς θεότητος πῦρ ἐν τῇ γεηρᾷ τε καὶ ὑλώ-

δει τῆς παρθένου μήτρᾳ περιαστράψαν, ἀκατάφλεκτον καὶ ἀπήμονα διασώσει τὴν δεξαμένην αὐτό· εἰ βούλει δὲ τὸ αὐτὸ τῆς θεότητος πῦρ τῇ ἀνθρωπίνῃ προσομιλῆσαν φύσει, πυρακτώσει μὲν καὶ θεοποιήσει, οὐ καταφλέξει δὲ καὶ ἐξαφανίσει· ἀλλὰ προτυποῖ μὲν τὸ ἐπὶ τῆς βάτου μυστήριον ἴσως ἂν τὰ τοιαῦτα· καὶ ἡ βάτος δὲ ὑποβάλλεται τῷ πυρὶ καὶ οὐχὶ φυτὸν ἕτερον· τάχα μὲν ὅτιπερ οὐδ' ἦν ἑτέρου τινὸς ἡ ἔρημος παρὰ τοῦτο φυτοῦ καρποφόρος· ἔτι δὲ καὶ ἵνα μάθωμεν, ὡς τὴν ἀνθρωπίνην φύσιν τὸ τῆς θεότητος περιλαβὸν πῦρ, οἱονεί τινας ἀκάνθας τὰς ἁμαρτίας προβεβλημένην, ταύτην μὲν ἐφλόγιζεν, οὐ κατέκαιε δέ· τὰς δὲ περὶ αὐτὴν ἀκάνθας κατέκαιε καὶ διέφθειρεν· εἰ βούλει δὲ, καὶ ἐπείπερ τὰ πλήθη τῶν ἐθνῶν ταῖς χαμαιπετέσι περὶ θεοῦ συρόμενα διανοίαις, καὶ οἷον τῇ ἀθεότητι περικεχυμένα, καὶ τὰς τῶν ἁμαρτιῶν ἐκφέροντα ἐκφύσεις, καὶ τὴν τοῦ σεβάσματος σύστασιν σαθρὰν, ἔμελλε δὲ ταῦτα τῇ τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσει τε καὶ ἐλλάμψει, τῆς μὲν ἀκανθώδους καὶ ζιζανιώδους περιφλέγεσθαι καὶ ἀποκαθαίρεσθαι πλάνης, τὰς δὲ τοῦ θεϊκοῦ πυρὸς ἀκτῖνας ὑποδέχεσθαι· αὐτὸς γάρ φησι βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ καὶ πυρί· ἵν' ἐμφανέστερόν τε καὶ τηλαυγέστερον τὸ εἰκονιζόμενον προσδιατυπωθῇ, ἡ βάτος παραλαμβάνεται ὑπηρετουμένη μὲν, οὐ φλεγομένη δὲ τῷ πυρί· χαμερπή τε γάρ ἐστι καὶ ἀκανθώδης καὶ τὴν ὑπόστασιν ἀσθενὴς καὶ κατὰ τὴν ὄψιν διηπλωμένη τῆς γῆς· καθ' ἃ καὶ τὴν ἀναλογίαν πρὸς αὐτὴν διασώζει τὰ ἔθνη.

Ἔτι δὲ τοῦ τοιούτου μὲν φυτοῦ σχεδόν τι οὐδὲν ταπεινότερον, ἀλλ' αὔξην μέν τινα δέχεται, οὐδέπω δ' ἐπαίρεται τῆς γῆς· ἀεὶ δὲ ταύτῃ προσέρπει· τὸ δὲ πῦρ κοῦφον τε καὶ τῶν ὅσα κρίνεται αἰσθήσει ἀνωφερέστατόν τε καὶ ἀνώτατον· ὡς ἂν οὖν ἐπιδειχθῇ ὅτι ἡ πάντων ὑπερέκεινα τῶν ὄντων ἀνῳκισμένη τε καὶ ὑψηλοτέρα τῆς θεότητος φύσις, πῦρ γὰρ πολλάκις ἡ γραφὴ τὸν θεὸν ὀνομάζειν, πρὸς τὴν ταπεινοτέραν φύσιν τῶν ἀνθρώπων τῇ πηλῷ καὶ γῇ συμπεφυρμένην οὐκ ἀπηξίωσε κατελθεῖν εἰκότως τῷ ὑποδείγματι κατάλληλον παρελήφθη φυτόν. Ἔτι δ' ἂν ἐπιθεωρήσαις, ὡς τοῦ Ἑβραίων ἔθνους αὐτομολεῖν πως ἐπιῤῥεπῶς ἔχοντος πρὸς πολυθεΐαν, ἅτε τοῖς τῶν Αἰγυπτίων ἔθεσιν οὐκ ὀλίγοις ἔτεσι συναναπεφυρμένου, ἵνα μὴ αὐτοῖς πρόβασίς τις εἰς πολυθεΐαν περιγένηται ἐν τῷ τοιούτῳ εἰδεχθεῖ τε καὶ ταπεινῷ καὶ ἀνεπιτηδείῳ πρὸς παραγωγὴν ζοάνων παραδείκνυται τὸ θαῦμα· ἵνα μὴ καταπλαγέντες τὸ ὁρώμενον, ἢ αὐτό γε τὸ εἶδος τοῦ θεοῦ αὐτοῦ εἰς θεὸν ἀναγραψάμενοι προσκυνήσωσιν· ἢ διαγλύφοντες ἐξ αὐτοῦ ἀπεικάσματά τε καὶ ὁμοιώματα, ὡς θεοὺς αὐτῶν τὰ τῶν χειρῶν ἔργα προσκυνήσωσιν· οἱ γὰρ μετὰ τοσαύτης ζημίας μοσχοποιήσαντες, καὶ ὡς θεῷ τῷ τύπῳ τῆς τοῦ βοὸς κεφαλῆς προσκυνήσαντες, ἐν ᾧ μηδὲ θεοση-

μείαν μηδ' ἡντιναοῦν ἐθεάσαντο, τί ἂν οὗτοι οὐκ ἐτόλμησαν, εἰ τῶν ὡραίων τί φυτῶν καὶ πρὸς χρείαν ἐπιτηδείων τὸ πῦρ αὐτοῖς ἀφλέκτως φέρον ἐφαίνετο, μάλιστα ἀκηκοότες τοῦ νομοθέτου λέγοντος· ἐλάλησεν ὁ θεὸς τῷ Μωϋσεῖ ἐκ τῆς βάτου.

ΤΙ. Διατί ὁ θεσπέσιος Δαβὶδ παραχωρεῖται πεσεῖν εἰς ἁμαρτίαν καὶ τότε τηλικαύτην.

Τάχα μὲν καὶ διά τινας ἑτέρας ἀποῤῥήτους αἰτίας· πλὴν ὡς ἂν καὶ τῷ βίῳ μετανοίας προστεθειμένον εἴη παράδειγμα· εἰ γὰρ οὗτος βασιλεύς τε ὢν καὶ κατὰ τὴν καρδίαν πεπολιτεύεσθαι μεμαρτυρημένος θεοῦ, πεσὼν οὗτος θᾶττον ἀνέστη καὶ διὰ μετανοίας καὶ δακρύων ἐσπούδασεν ἐκκαθᾶραι τὸ ὀλίσθημα, πῶς οὐ χρὴ καὶ ἡμᾶς οὐχ ἅπαξ πεσόντας, ἀλλὰ διὰ παντὸς πίπτοντας, θερμοῖς τοῖς δάκρυσι καὶ συντετριμμένῃ καρδίᾳ ἀπαλείφειν πειρᾶσθαι τὰ ἁμαρτήματα; ἔτι δὲ, ἵνα μὴ δήποτε τινὲς τῶν ἐν κατορθώμασι διαλαμπόντων, οἷα δὴ τὰ ἀνθρώπινα εἰς παράπτωμά τι κατωλισθηκότες ἀπογνώσει ἑαυτοὺς καὶ ἀπελπιστίᾳ παραδῶσιν· ἀλλ' ἔχοντες τὸν μακάριον ἐκεῖνον Δαβὶδ τηλικαύτην μὲν παρανομίαν εἰργασμένον, οὕτω δὲ ταχεῖαν τὴν θεραπείαν εὑρημένον, καὶ αὐτοὶ πρὸς τὸν ὅμοιον διαναστῶσι ζῆλον, καὶ τοῦ πτώματος ἀνασφαλέντες, καὶ τῆς μετανοίας ὅλοι γεγονότες, τῶν προτέρων ἔχωνται κατορθωμάτων· ἴσως δὲ καὶ συγχωρεῖ ὁ θεὸς εἰς ἁμαρτίαν πεσεῖν τὸν Δαβὶδ, ἵνα μὴ τὰς τῆς ἱερᾶς γραφῆς περὶ αὐτοῦ μαρτυρίας τὸ Ἰουδαίων ἔθνος ἀκούοντες εἰς θεὸν αὐτὸν ἀναστήσωσι· καὶ γὰρ καὶ τὸ Μωϋσέως σῶμα διὰ τὴν αὐτὴν αἰτίαν μετατεθὲν, ἄγνωστον μέχρι καὶ τήμερον χρηματίζει τοῖς ἐξ Ἰσραήλ· καὶ ὁ θεσπέσιος δὲ Παῦλος τοιοῦτόν τι περὶ αὐτοῦ ὑποδηλοῖ λέγων· ἵνα μή τις ὑπολογίσηταί τις περὶ ἐμοῦ ὑπὲρ ὃ βλέπει καὶ ἀκούει· ἀλλὰ καί τινες τῶν ἐλληνιζόντων ἐπεὶ τερατουργοῦντας εἶδον αὐτόν τε καὶ Βαρνάβαν, ὡς θεοῖς προσφέρειν θυσίας ὥρμησαν.

ΤΙΑ.

Τὸ μέν τοι ῥητὸν ὃ ἐν τῇ δευτέρᾳ τῶν βασιλειῶν ἀνέσεισε κεῖται τὸν Δαβὶδ, τοῦτο δὴ ἐν τῇ πρώτῃ τῶν παραλειπομένων, ἀνέστη, παρατέθειται, σατὰν τῷ Ἰσραήλ· καὶ ἀπέσεισε τὸν Δαβὶδ ἀριθμῆσαι τὸν λαόν· καὶ οὐκ ἔστιν ἀλλήλοις ἐναντία ταῦτα, εἰ καὶ δοκεῖ· ἡ μὲν τοῦ θεοῦ ὀργὴ ἀνέσεισε τὸν Δαβὶδ, ἤτοι ἐκίνησε καὶ διεσάλευσε πρὸς τὴν ἀρίθμησιν, διὰ τὴν ἀπόστασιν τοῦ λαοῦ· τὸ δὲ σατὰν ὡς ἐπίπαν εἴωθεν ἐν τῇ θείᾳ

ΚΑΤΑ ΤΩΝ ΔΥΟ ΤΑΣ ΥΠΟΣΤΑΣΕΙΣ ΧΡΙΣΤΟΥ ΛΕΓΟΝΤΩΝ, ΤΗΝ ΔΕ ΟΙΑΝΟΥΝ ΣΥΝΘΕΣΙΝ ΕΠ' ΑΥΤΟΥ ΟΥΧ ΟΜΟΛΟΓΟΥΝΤΩΝ.

### SAPIENTISSIMI MONACHI

# LEONTII HIEROSOLYMITANI

ADVERSUS EOS QUI DUAS ADFIRMANT CHRISTI PERSONAS, NULLAMQUE IN IPSO CONIUNCTIONEM CONFITENTUR.

## LIBER I.

## ΠΡΟΟΙΜΙΟΝ.

Ἐντεῦθεν ἡμῖν ἡ διχότομος δόξα, μᾶλλον δὲ ἡ διχότμητος γλῶσσα,
κατεξανίσταται· ἧς τὸ μέρος μετὰ τῶν ἀπίστων τεθήσεται, ἥκοντος τοῦ δε-
σπότου καὶ κριτοῦ τῶν ἁπάντων ἐλέγξαι ὅσα ἐλάλησαν κατ' αὐτοῦ ἁμαρ-
τωλοὶ ἀσεβεῖς, ὡς γέγραπται· ἐὰν ἄρα μὴ νοήσῃ τῇ καρδίᾳ ἐπιστραφῆναι
πρὸς κύριον, ἀναγγεῖλαί τε ἐν ἀνθρώποις τὴν ἑαυτῆς μέμψιν· ταυτὶ γὰρ
ἡμῖν ἑτέρωθεν ἐγκαλοῦσιν οἱ τῆς ἀφράστου καὶ θεοπρεποῦς ἑνώσεως τοῦ
λόγου πρὸς τὴν σάρκα διαιρέται, καὶ τῆς καθ' ἡμᾶς οἰκονομίας αὐτοῦ
Α ἀπαγορευταὶ, οἱ τὸν ἐξαγοράζοντα αὐτοὺς θεὸν ἐξαρνούμενοι φασίν. Πρῶ-
τον μὲν, ὅτι οὐκ ὀρθῶς σύνθεσιν τῆς θείας καὶ ἀνθρωπείας φύσεως δοξά-
Β ζομεν. Δεύτερον, ὅτι δύο οὐσῶν τῶν ὑποστάσεων Χριστοῦ, οὐ καλῶς καθ'
ὑπόστασιν ἕνωσιν γενέσθαι λέγομεν, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν γινώ-
Γ σκομεν. Καὶ τρίτον πάλιν, ὅτι δύο ὄντων υἱῶν, κακῶς ἕνα ὁμολογοῦμεν
Δ εἶναι υἱὸν τὸν Χριστόν. Τέταρτον, ὅτι ψευδῶς θεοτόκον τὴν ἁγίαν παρθέ-
Ε νον ὀνομάζομεν. Πέμπτον ὅτι μὴ ψιλὸν ἄνθρωπον μόνον τῇ φύσει ἴσμεν
ς Χριστὸν, ἀλλὰ καὶ θεόν. Ἕκτον, ὅτι μὴ θεοφόρον ἄνθρωπον ἀλλὰ θεὸν
Ζ ἐνανθρωπήσαντα ἴσμεν τὸν λόγον. Ἕβδομον, ὅτι ἀθέσμως τὸν ἕνα τῆς ἁγίας

τριάδος πεπονθέναι σαρκὶ κηρύττομεν. Ἐν ὀγδόῳ δὲ τῆς δυσσεβείας, τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνούμενοι, ἀσυστάτους τινὰς ἑτέρας τερατεύονται. Ὅσα μὲν οὖν οὐκ ἀλόγως τοῖς λέγουσι τὴν μίαν τὲ φύσιν ὡς καὶ ὑπόστασιν ἐπὶ Χριστοῦ ἀπορήσοιεν, τούτων ἡμεῖς οὐχ' ὑπεραπολογησόμεθα· τοῖς δὲ ἐν ἑκάστῳ τῶν προειρημένων κεφαλαίων ὑπ' αὐτῶν λεγομένοις καθ' ἡμῶν ἰδίως τῶν μίαν μὲν τὴν ὑπόστασιν, δύο δὲ τὰς φύσεις Χριστοῦ τοῦ κυρίου ἡμῶν ὁμολογούντων ἐν δυνάμει αὐτοῦ τοῦ θεοῦ ἡμῶν Χριστοῦ ὑπαντήσαντες, καὶ ταῦτα ἀνατρέψαντες, πᾶσαν αὐτῶν τὴν τοῦ δόγματος ὑπόθεσιν ἀσεβεστάτην διελέγξομεν· ἐγκαλοῦσι δ' οὖν ἡμῖν ὡς εἴρηται πρωτίστως περὶ τῆς ὁμολογίας τῆς τῶν φύσεων συνθέσεως ἐπὶ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ θεοῦ καὶ λέγουσι τάδε. H

## CAP. I.

Πᾶν ὅτι οὖν συντιθέμενον ἑτέρῳ, ἢ ὅλον ὅλῳ συντίθεται, ἢ μέρος μέρει, ἢ μέρος ὅλῳ· ἄλλως γὰρ σύνθεσιν λέγειν ἀδύνατον· ὅλον δὲ καὶ μέρος ἐπὶ τοῦ ἀπεριγράφου, οὐ λέγεται· οὐκ ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ ἀπερίγραφος ὑπάρχων· εἰ δὲ συνετέθη, καὶ ἐμμερὴς καὶ περιγραπτός ἐστιν, ὅπερ ἀσεβές. Πρῶτον μὲν οὖν οἱ πάντα τρόπον τῶν γινομένων ὑπὸ θεοῦ συνθέσεων τῇ οἰκείᾳ γνώσει περιορίζοντες, πῶς λέγουσι πᾶν τὸ συντιθέμενον ἢ ὡς ὅλον ἢ ὡς μέρος συντίθεσθαι; τὸ γὰρ αἰσθητὸν τόδε πᾶν, ἤγουν ὁ κόσμος ὁ ὁρατὸς, ἐν συνθέσει ἐστὶ δηλαδή· τί οὖν φασὶ, ἐξ ὅλων ἢ ἐκ μερῶν τινῶν εἶναι προϋπαρξάντων τούτου τὴν σύνθεσιν; ἢ μᾶλλον ἐκ μὴ ὄντων ὅλως συμπαγῆναι αὐτόν; εἰ μὲν γὰρ ἔκ τινων προϋπαρξάντων ὅλων ἢ μερῶν κατ' ἀρχὰς γενέσθαι αὐτὸν οἴονται, τὴν οἰκείαν δόξαν γνωριζέτωσαν ἡμῖν, ἵνα εἰ οὕτως λέγωσιν, ὡς πρὸς ἕλληνας λοιπὸν, καὶ οὐ περὶ τοῦ τρόπου τῆς οἰκονομίας διαφερομένους μόνον πρὸς ἡμᾶς, διαλεξώμεθα· εἰ δὲ τῆς φιλονεικίας προκρίναντες τὴν εὐσέβειαν ἐκ μὴ ὄντων φασὶ τὸν σύνθετον κόσμον γενέσθαι, ἀκούσονται ὅτι τὸ μὴ ὂν, οὔτε ὅλον, οὔτε μέρος ἐστί· πῶς οὖν οὔτε ὅλου τινὸς οὔτε μέρους προϋπάρξαντος, ἡ σύνθεσις τοῦδε τοῦ παντὸς γέγονε κόσμου; παντὸς συνθέτου γινομένου ὅλου τινὸς ὅλῳ, ἢ μέρους μέρει, ἢ μέρους ὅλῳ τινὶ, ἀναγκαίως συντεθειμένου, ὡς φατέ· ψευδὴς ἄρα ἡ καθόλου ὑπόφανσις τῆς πρώτης εὐθὺς προτάσεως.

Καὶ ἕτερον δ' οὖν ἡμῖν πυνθανομένοις ἀποκρίνασθε· ἐπεὶ πᾶν σῶμα καὶ ἐκ ποιοῦ καὶ ποσοῦ συγκεῖσθαι λέγεται, τούτων ὡς ὅλων, ἢ ὡς μερῶν λέγεται εἶναι τὴν σύνθεσιν; εἰ μὲν γὰρ ὡς ὅλων, ἐπεὶ χωρισταὶ οὐσίαι ταῦτα οὐκ εἰσὶ πρὸ σώματος, ποῦ καὶ πῶς ὄντων ὅλων; εἶτα δὲ πῶς τῆς ὁλότητος τοῦ ποιοῦ καὶ ποσοῦ ἐν τῷ ἑνὶ σώματι τῷ πρώτῳ τῶν ἀτόμων συντεθείσης, μετὰ τὸ πρῶτον σῶμα, δεύτερον ἔτι γέγονέ τι ἐκ ποιοῦ

καὶ ποσοῦ σῶμα; οὐδὲ γὰρ ἦν τι ὑπολειφθὲν ἀσύνθετον, τῶν τοῦ ποιοῦ καὶ ποσοῦ ὁλοτήτων συντεθεισῶν· εἰ δὲ ὡς μέρος μέρει ἀλλήλοις τάδε σύγκειται, πρῶτον μὲν ποίας ὁλότητος μέρος τὸ ποιὸν ὡς ποιόν; εἰ μὲν γὰρ ὁμοιομεροῦς, ποσῷ διάφορον μόνον ἐστὶ πρὸς τὴν οἰκείαν ὁλότητα· κατά γε οὖν ποσὸν, καὶ μέρος ἐστίν· εἰ δὲ καθ' ὃ μέρος ἐστὶ, κατὰ τοῦτο καὶ σύγκειται, κατὰ ποσὸν ἄρα, καὶ τὸ ποιὸν τῷ ποσῷ σύγκειται ἐν σώματι· εἰ δὲ ἀνομοιομεροῦς ἐστὶ τάδε ὁλότητος, ἐπείπερ οὐ ταυτὸν τῷ τε ὅλῳ καὶ τῷ μέρει εἶδος ἐστὶν, ἐπὶ τῶν τοιῶνδε τοῦ ὅλου ποιοῦ ὄντος· τούτου δὲ μέρος ποσὸν, ἢ ἕτερόν τι ἔσται· καὶ τοῦ ὅλου πάλιν ποσοῦ ὄντος, τὸ τοῦδε μέρος, ποιὸν ἢ ἕτερόν τι ἔσται· καὶ ἄλλως δὲ εἰ ὡς μέρους πρὸς μέρος ἐστὶ τούτων ἡ σύνθεσις, ζητητέον ἔτι καὶ τῆς τούτων ἑκατέρας ὁλότητος τὴν σύνθεσιν, εἰ ἐξ ὅλων ἢ μερῶν ἐστὶ; καὶ ἐπ' ἄπειρον τοῦτο, ἕως οὗ εὕροιμέν τι ὃ τῶν πάντων συνθέτων ὄν· μόνον γὰρ τὸ θεῖον πάντη ἁπλοῦν, μήτε ἐξ ὅλων μήτε ἐκ μερῶν γέγονεν· καὶ οὕτω πάντως δειχθήσεται, οὐ πᾶν σύνθετον, ὅλου τινὸς ὅλῳ, ἢ μέρους μέρει, ἢ μέρους ὅλῳ συντεθέντος, συγκεῖσθαι· ταῦτα μὲν οὖν τῆς πρώτης ὑμῶν προτάσεως τὰ ἀνακόλουθα.

Καὶ τῆς δευτέρας δὲ τὶς ἡ ἀπόφασις τοῦ πᾶν τὸ καθ' οἱανοῦν σύνθεσιν συντιθέμενον, πάντως ἐμμερὲς εἶναι δεῖν καὶ περιγραπτὸν· καὶ οὐχὶ καὶ ἀμερές τι ὅλον δύνασθαί ποτε συντίθεσθαι, παρελθόντες ἀποκρίνεσθαι· ἰδοὺ γὰρ τὸ σημεῖον ἀναντιῤῥήτως ἀμερές ἐστι, συντιθέμενον δὲ γραμμὴν ἀπετέλεσε· πῶς οὖν συνετέθη τὸ οὐκ ἐμμερές; τὸ γὰρ σημεῖον, κοιναῖς ὁμολογίαις ἀμερὲς δέδοται εἶναι· ὁμοίως δὲ καὶ τὰ ἔσχατα μόρια τοῦ χρόνου, ἀμερῆ ὄντα, χρόνον ἐκ συνθέσεως ἀποτελεῖ· εἶτα δὲ καὶ περὶ ψυχῆς ἡμῖν τί φατὲ; ἢ γὰρ ἐμμερὴς καὶ αὕτη ὑμῖν δοκεῖ εἶναι ἐπεὶ σύγκειται τῷ σώματι; ἢ ἀμερὴς οὖσα καὶ ἀσύνθετος, πρὸς σῶμα πεφυκεῖν εἶναι, κατὰ τὸ ὑμέτερον ἀξίωμα; εἴπερ πᾶν τὸ συντιθέμενον, ἐμμερές ἐστιν· εἰ μὲν οὖν ταύτην ἀμερῆ τε καὶ ἀπερίγραπτον, δι' ὃ δὴ καὶ ἀσύνθετον ἴστε πρὸς τὸ σῶμα, οὐ πλείστοις ὑμᾶς λόγοις ἐγκόψομεν, ἀλλὰ πυρὸς θρυαλλίδα τῇ ὑμετέρᾳ σαρκὶ, εἴγε λοιπὸν καὶ ὑμερέρα λέγοιτο, προσάψαντες, πυθόμεθα ὑμῶν· ἆρά γε ἀλγεῖ ἐπεὶ τῷ καιομένῳ ἡ προσδιαλεγομένη ἡμῖν ψυχὴ ὑμῶν περὶ τούτων; ἢ οὐχὶ; οὐδὲ γὰρ πρὸς τὸ σῶμα τὴν πεῦσιν ποιούμεθα· κἂν μὲν εἴποιτε μὴ πάσχειν τὶ τῇ ψυχῇ ἐπὶ τῷ καιωμένῳ, ἀπελευσόμεθα σιγήσαντες, οἷα τῇ ἀπαθείᾳ ὑμῶν ἐληλεγμένοι, τὴν περὶ τούτων ἄγνοιαν ἐναργέστατα· εἰ δὲ καὶ ἄγαν σφοδρῶς ὀδυνᾶσθαι ἐπὶ τούτῳ εἴποιτε, καὶ μὴ δὲ καρτερεῖν διαλέγεσθαι περὶ τούτων διὰ τὸν φλογισμὸν, ἀκούσεσθε παρ' ἡμῶν, ὅτι οὐχ ἀφεξόμεθα οὐδὲ ἀποστήσομεν τὴν θρυαλλίδα ἕως ἂν ὁ λόγος ἡμᾶς πείσῃ τὴν αἰτίαν τῆς συμπαθείας·

ἄπορον παρ' ἡμῖν ἀνακύπτει μέγα· διότι ἡμεῖς σῶμα καίομεν ἐμμερὲς καὶ οὐχ' ὑμᾶς· ἤγουν ψυχὴν ἀμερῆ καὶ ἀσύνθετον πρὸς σῶμα τὴν ὑμετέραν, ᾗ προσλαλοῦμεν· καὶ ὅμως αὐτῇ τῆς φυσικῆς αὕτη ἐνεργείας ἐμποδίζεσθαι φησί· καὶ γὰρ εἰ ἀμερὴς ὄντως ἐστὶν ἡ ψυχὴ, ἢ ἑτέρα τὶς οἱαοῦν φύσις καθ' ὑμᾶς, οὐδενὶ τρόπῳ πρός τι συγκείσεται, τὸ δὲ κατὰ μηδένα τρόπον τινὶ συγκείμενον· ἀλλ' ἀπόλυτον ἀεὶ καὶ καθ' ἑαυτὸ ὑφιστάμενον, οὔτε τυπτομένῳ ἑτέρῳ τινὶ συμπλήττεται, οὔτε πάσχοντι συγκολαφισθήσεται, οὔτε ἡδομένῳ συνευφραίνεται, ἢ ἁπλῶς τῶν αὐτῶν ἀπολαύσειεν· οὐδὲ τουτὶ πάθος τὸ αὐτὸ, κατ' ἀριθμὸν τῶν ἑτέρῳ συμβαινόντων, τινὶ συμμερισθήσεται· ἀμέλει τοῦ πλουσίου ἐν σπατάλῃ κατευωχουμένου, Λάζαρος οὐκ εὐφραίνετο· ὁμοίως δὲ οὔτε ἐν γεέννῃ τοῦδε φλογιζομένου, Λάζαρος ὠδυνᾶτο· ἀλλ' οὐδὲ ἡμεῖς νῦν ὑμῖν φάσκουσιν ὀδυνᾶσθαι ἐπὶ τῇ θρυαλλίδι, συνηλγήσαμεν, ἀσύνθετοι πρὸς ὑμᾶς ὁμολογουμένως ὑπάρχοντες.

Εἰ δὲ ταῦτα ἀντιπεριτραπείσης αὐτοῖς τῆς ἰδίας κακουργίας, αἰσθήσει μάχεσθαι, τοὺς ἄγαν φυσιολογεῖν βουλομένους καὶ εἰς τὰ θεῖα σαφῶς παρίστησι, μή τι ἄρα τὸ ἕτερον αἱρήσονται σκέλος τῆς διαιρέσεως, περὶ ψυχῆς λέγειν, ὅτι ἐμμερής τέ ἐστιν ἅτε καὶ περιγραπτὴ, καὶ διὰ τοῦτο καὶ σύγκειται ἡ ψυχὴ τῷ ἐμμερεῖ καὶ περιγραπτῷ σώματι· εἰ οὖν τοῦτο λέγοιτε, πάλιν σκέψασθε φαίημεν τὰ συναγόμενα· πρῶτον μὲν γὰρ συναύξοιτο καὶ συναπομειοῖτο καὶ συνδιατέμνοιτο τῷ σώματι· εἰ δὲ μή γε, τὸ αὐξηθὲν σῶμα οὐ ζωώσει, μὴ ἐγγενομένη κατὰ σύνθεσιν καὶ αὐτῷ· οὐδὲ τῷ μειωθέντι ἀρκεσθείη, μὴ συμπερισταλεῖσα αὐτῷ πως· εἶτα δὲ, τὶ ἂν εἴποιτε ἔτι, ἐπεὶ τὸ ἐμμερὲς καὶ περιγραπτὸν πᾶν ἐν τόπῳ ἐστίν· τὸ δὲ ἐν τόπῳ ὂν, ἢ σῶμα, ἢ συμβεβηκὸς σώματι ἀχώριστόν ἐστιν, ἀνάγκη ἢ συμβεβηκὸς καὶ τοῦτο ἀχώριστόν τι· ὅθεν οὐδὲ ἀθάνατον ἔτι, ἢ αὐθύπαρκτον, οὐδὲ οὐσίαν οἴεσθαι τὴν ψυχὴν, ἢ σῶμα εἶναι λέγειν αὐτὴν, ὑπὸ σώματος περιεχόμενον· εἰ δὲ σῶμα ἡ ψυχὴ, διὰ σώματος οὐ χωρήσει, μὴ διαιροῦσα τοῦτο, ἢ διαιρουμένη ὑπὸ τούτου, εἰ ἀληθὲς τὸ σῶμα διὰ σώματος μὴ χωρεῖν, ἄνευ τῆς θατέρου διαιρέσεως· ἀλλὰ καὶ ἐν ὄγκῳ μείζονι τὰ ἔμψυχα σώματα παρὰ τὰ νεκρὰ ὁρᾶσθαι ἀναγκαῖον, εἴπερ πᾶν σῶμα σώματι ἐπιγινόμενον, ἐν ὄγκῳ μείζονι τοῦτο δείκνυσιν· ἔτι μέν τοι καὶ αὕτη εἰ σῶμά ἐστιν ἡ ψυχὴ, συνεχές τε ποσὸν ἔχει καὶ σχῆμα· σῶμα οὖν δι' ὅλης αὐτῆς ἐν τῇ συνθέσει εἰσδεξαμένη, ἐν ὄγκῳ μείζονι καὶ αὐτὴ κατασταθήσεται· ὃ γὰρ ἐμποιήσει ἑτέρῳ τὸ ἕτερον σῶμα, ὡς σῶμα, τοῦτο καὶ αὐτὸ πείσεται ὑπὸ τοῦ ἑτέρου· ἔτι δὲ καὶ ἄλλων ἀτόπων πλῆθος, ὃ διὰ τὴν ἐπὶ πλεῖστον παρέκβασιν τῶν ζητουμένων παροpατέον ἡμῖν πρὸς τὸ παρὸν, καὶ τῶν εἰρημένων δεικνύντων οὐκ ἐλλιπῶς τὸ ἀνίσχυρον τῆς ὑμετέρας ὑποθέσεως· ἀλλὰ ταῦτα μὲν, καὶ τῆς δευτέρας ἀπο-

φαντικῆς ὑμῶν ἕνεκα προτάσεως, λεγούσης ὅτι τὸ συντιθέμενον πάντως καὶ ἐμμερὲς εἶναι ἀνάγκη, καὶ περιγραπτὸν, ἐξ οὗ τὸ γενναῖον ὑμῖν ὅλον ἐπιχείρημα κατεσκεύαστο.

Ἐπεὶ οὖν καὶ τὰ εἰρημένα ἀρκοῦντα ἐστὶ εἰς κατάλυσιν τῆς ψαμμαίας ὑμῶν οἰκοδομῆς διὰ τόδε ἑπόμενα μυρία καὶ ἄλλα ἀτοπήματα ταῖς ὑμετέραις ὑποθέσεσι, παραλείψομεν, εἴγε τὸ νοερὸν καὶ πνευματικὸν καὶ ἰσάγγελον, ἔτι μὴν καὶ τὸ κατ' εἰκόνα θεοῦ, καὶ ἐμφύσημα τῆς δόξης τοῦ παντοκράτορος, τοῦτο ὑμεῖς ἁπλῶς ἐμμερὲς εἶναι ὑποτίθεσθε, διότι συντίθεσθαι ὡμολόγηται· ἔσται γὰρ τούτου δοθέντος, καθ' ὑμᾶς ἐξ ἀνάγκης· ἢ καὶ τὰ συγγενῆ καὶ πρωτότυπα καὶ προακτικὰ τούτου ἤγουν τῆς ψυχῆς, ἐμμερῆ κατ' αὐτὴν λογίζεσθαι εἰκόνος τούτων οὔσης καὶ ὁμοιώσεως ταύτης· ἢ ἀμερῆ φάσκοντας εἶναι ταῦτα καὶ ταύτην σὺν ἐκείνοις τῆς ἐμμερείας ἀφιέναι τῆς κατὰ τὰ σώματα· εἴτε δὲ ἑκόντες, εἴτε ἄκοντες, παραβλέπετε τὴν ἀλήθειαν, ἡμεῖς ὑμῖν ἐν δυνάμει Χριστοῦ ταύτην ὑποδείξομεν· ἔσται γὰρ ἢ εἰς σύνεσιν εἰ βούλεσθε, ἢ εἰς τὴν κατάκρισιν ὑμῶν τὰ λεγόμενα παρ' ἡμῶν. Τὸ ὅλον οὐχ' ὡς οἴεσθε, τὸ κατὰ τὰ μέρη, ἢ ἐκ μερῶν, τέλειον ἀεὶ σημαίνει ἁπλῶς καὶ πάντως· οὕτως γὰρ ἂν πάντα δέον ἦν τὰ ἁπλᾶ, ἢ ἀτελῆ λέγεσθαι, ἀμερῆ ὄντα, καὶ ἐκ μερῶν συγκειμένην οὐκ ἔχοντα τὴν οἰκείαν ὁλότητα· ἢ ὅλα τὲ καὶ τέλεια λεγόμενα, σύνθετα εἶναι ἐκ μερῶν, καὶ οὐκέτι ἁπλᾶ· ὡς μηδὲν λοιπὸν τῶν ἐν ἁπλότητι, τέλειον εἶναι· ἢ ὁλόκληρον φαίνεσθαι· τούτου δὲ δοθέντος, καὶ καθ' ὑμῶν ἔσται τὰ ὑμέτερα, μὴ δὲ αὐτῷ τῷ θείῳ ἄνευ τῆς ἐκ μερῶν ὁλότητος, συγχωροῦντα τὴν ἁπλότητα· καὶ γὰρ ἀναγκαίως δεῖσθαι καὶ αὐτὸ συνθέσεως καὶ μερῶν πρὸς τελείωσιν καὶ ὁλότητα αὐτοῦ παριστάνοντα, θατέρου πάντως ἐκπεσεῖν εἴη βιαζόμενα, ἢ τοῦ ἁπλοῦ ἢ τοῦ τελείου, τόδε τὸ ἀμερῶς ὑπερτέλειον θεῖον ὅλον· ἀλλ' ἔστιν ἀληθῶς ὅλον ὦ οὗτοι κυρίως· τὸ κατὰ τὸν οἰκεῖον λόγον ἀπηρτισμένον, κἂν ἁπλοῦν εἴη καὶ ἀμερὲς, κἄν τε σύνθετον καὶ ἐμμερές· μόνον εἰ ἀνελλιπῶς ἔχειν τοὺς ἑαυτοῦ λόγους θεωρηθείη· ὅτι γὰρ ταῦτα οὕτως ἔχει, καὶ οὐκ ἐμποδίζει τῷ λόγῳ τοῦ ὅλου, τὸ ἀμερὲς εἶναι τὸ ὑποκείμενον, ἰδοὺ δὴ τέλειον φαμὲν καὶ ὅλον τὶ εἶναι, καὶ τὸ σημεῖον, καὶ τὴν μονάδα, καὶ τὸ νῦν τοῦ χρόνου τὸ ἀμερὲς καὶ ἀκαριαῖον, καὶ τὸ θεῖον, καὶ τὰ ἁπλᾶ πάντα· καὶ οὐχ' ὅτι ἀνελλιπῶς τὰ οἰκεῖα μέρη ἔχουσι, διὰ τοῦτο τούτοις μαρτυροῦμεν τὴν ὁλότητα· προωμολόγηται γὰρ ἡμῖν ἡ τούτων ἀμέρεια· ἀλλ' ὅτι ὅλον ἔχουσι τῆς οἰκείας τοῦ εἴδους ἀμερείας τὸν λόγον σῶον τὲ καὶ ἀπαράβλαπτον καὶ τέλειον, τούτων ἕκαστον, κατὰ τὴν ἰδίαν φύσιν, τοῦ εἴδους γνωριστήριον φέρουσι· ταῦτα μὲν οὖν καὶ περὶ τὸ ὅλον δεικνῦντα, ὡς καὶ ὅλον ὅλῳ συν-

τίθεσθαί τι δυνατὸν, και οὐκ ἐμμερες εἶναι τὸ λεγόμενον ὅλον, ἐκ τῆς συνθέσεως, ἀνάγκη.

Ὁμοίως δὲ τοῖς εἰρημένοις περὶ τοῦ ἀμεροῦς, καὶ τὸ ἀπερίγραπτον ὅλον δέον εἶναι καὶ λέγεσθαι· τῷ λόγῳ γὰρ τοῦ ἀπεριγράπτου ὅλου μετὰ τῶν ἰδιωμάτων πάντων τῆς ἀπεριγραψίας, τέλειον τοιόνδε ἐστίν· ἐπεὶ οὐκ ἔσται ἄλλως ἀπερίγραπτον· εἰ γὰρ κατὰ τὴν σφῶν ὑπόθεσιν ἐκ τοῦ ἀνελλιποῦς τῶν μερῶν τὸ ὅλον νοεῖται μόνως, ἐπεὶ ἀμερής ἐστι καὶ ἀπερίγραπτος ὁ Θεὸς, τὸ ὅλον οὐχ' ἕξει· μὴ ἔχων δὲ τὸ ὅλον, εἰ καὶ συνθέσεως ἠλευθέρωται, ἀλλὰ ἀτελειότητα κατηγορηθήσεται· εἰ δὲ ὅλον τί ἐστι, καὶ συντίθεσθαι δύναται· εἰ οὖν καὶ τὸ ἀπερίγραπτον αὐτοῦ ἔχει καὶ τὸ τοῦ ἀπεριγράπτου ἀνελλιπῶς, ὡς ἀπεριγράπτου μέν τοι, δύναιτο ὅσον τῷγε, καὶ ἐπὶ τῷδε, ὡς δοκεῖ τῇ ἀποφάνσει αὐτῶν· καὶ οὕτως συντίθεσθαι ὅλον τὶ ὂν, τῷ τῆς ἀπεριγραψίας λόγῳ καὶ ἀμερείας ἀπηρτισμένον· ταῦτα δὲ ἡμῖν κατεξήτασται, διὰ τὸ μὴ ὀρθῶς εἰδέναι ὑμᾶς τὸ ὅλον, ἀλλ' ἐπὶ σωμάτων μόνον, μᾶλλον δὲ ἐπὶ συνεχῶν ποσῶν μόνων παράθεσιν τοπικὴν μορίων τινῶν συναπτομένων, καὶ θέσιν ἐχόντων πρὸς ἄλληλα, τοῦτο λογιζομένων συνεστᾶναι. Ἐοίκατε δὲ ὦ γεννάδαι ἐκ τῆς ἄγαν κατ' αἴσθησιν σπουδαζομένης ὑμῖν φυσιολογίας, εἰς τοσήνδε τὴν ἀναισθησίαν κατασπασθῆναι· ἴδωμεν γὰρ καὶ ἀκριβέστερον ὅμως τὸ ἀπερίγραφον ὑμῖν πῶς λέγεται, τῷ ἐμμερεῖ μὴ δυνατὸν εἶναι συντίθεσθαι· πρῶτον μὲν γὰρ τὸ ἀπερίγραπτόν τι εἶναι, ἐπιπολαιότερον ἐκ τοπικῆς σχέσεως λέγεται· ἆρα οὖν καὶ τῇ κατὰ τόπον ἑνώσει παρεμποδὼν τὸ ἀπερίγραπτον· αὕτη δὲ παράθεσίς ἐστι καὶ οὐ σύνθεσις· εἰ μὲν οὖν τοιαύτην εἶναι καὶ τὴν ἕνωσιν τοῦ λόγου πρὸς τὴν σάρκα οἴεσθε, ὅτι ὑπερεκτείνεται θατέρου τὸ ἕτερον συντιθέμενον τῶνδε, καὶ δέον ὡς τὰ διπλᾶ καττύματα τῶν πεδίλων, τὰ οὕτως ἑνούμενα ἀλλήλοις καὶ παρατιθέμενα, μὴ θάτερον ἐξέχον ἀπαιωρεῖσθαι καὶ περιττεύειν θατέρου καττύματος, πρόδηλοι οὖν κἀντεῦθεν γεγόνατε ὡς καὶ τὴν ἕνωσιν καὶ τὸ ἀπερίγραφον, οὐ θεοπρεπῶς ἀλλὰ σώματος μεγέθει φαντάζεσθε, μυριόπηχύ τι ἢ ἁπλῶς ἀπειρόποσον κατὰ μορίων τινὰ θέσιν πρὸς ἕτερον ἔλαττόν τι σῶμα συνάπτεσθαι λογιζόμενοι· πλὴν οὐδὲ εἰ τοῦτο οἴεσθε, ἐκωλύετο ἂν αὐτῶν εἶναι παράθεσις καθ' ὑμᾶς· ἐδώκατε γὰρ καὶ μέρους πρὸς ὅλον τὶ τινὸς γενέσθαι σύνθεσιν, ὥστε καὶ τοῦ βραχέος πρὸς τὸ μέγα ἐστὶ παράθεσις· εἰ δὲ εἴποιτε οὐχ' ὅλον πρὸς μέρος αὕτη ἐστὶ ἡ παράθεσις ὄντως ἀλλ' ἐκ μέρους αὐτοῦ ὅλου πρὸς ὅλον τὸ μέρος, σκοπεῖτε ὅμως καὶ οὕτως· ὅτι ὧν τὰ μέρη περιγραπτὰ, τούτων καὶ τὸ ὅλον· ὥστε εἰ καὶ μὴ τῷδε τινὶ τῷ ἐμμερεῖ, ἀλλ' ἑτέρῳ μείζονι, ἔχοι ἂν φύσιν παρατίθεσθαι, καὶ τὸ τοῦ παρατεθέν-

τος θείου μέρους ὅλον, οὐδὲν ἄρα ἐκ τῆς τοπικῆς ἀπεριγραψίας, φύσει ἀπερίγραπτον δειχθήσεται.

Ἐρωτητέον δὲ ὑμᾶς ἔτι· τὸ ἀπερίγραφον τοῦτο ἤγουν ὁ Θεὸς, περιγράφει τὸν κόσμον, ἢ οὔ; εἰ μὲν γὰρ οὐ περιγράφει, οὔτε ἐν αὐτῷ ὁ κόσμος ἄρα, οὔτε ὄντως ἐλάττων αὐτοῦ ἀναγκαίως δειχθήσεται· καὶ τ' ἄλλα δὲ βλάσφημα ἕψονται· εἰ δὲ περιγράφει, ἐπεὶ πᾶν ἐμμερὲς, εἴτε περιγράφεται, ἢ μέρος ὑπὸ μέρους, ἢ ὡς ὅλον ὑπὸ ὅλου, ἢ ὡς μέρος ὑπὸ ὅλου, ἢ ὡς ὅλον ὑπὸ μέρους, περιγράφεται· τοῖς γὰρ ὑμετέροις χρησόμεθα· δέον πάντως ἐμμερῆ εἶναι καὶ τὸν Θεὸν τὸν περιγράφοντα τὸ περιγραφόμενον ἐμμερές· ταῦτα δὲ πάλιν πῶς λέγετε γίνεσθαι; εἰ γὰρ ὡς σῶμα τί μεῖζον, τὸ ἔλαττον, καὶ ὡς οἱ τοὺς κανθάρους εἰς τὰς κηρίνας σφαίρας κατακλείοντες, οὕτω περιγράφει Θεὸς, τόπος ἐστὶ μόνον τῶν ἐν αὐτῷ, καὶ συνεχές τι ποσὸν ὁ Θεὸς, σῶμα τὲ σωμάτων, καὶ ἐμμερὴς, καὶ σύνθετος, καὶ οὐ μόνον ἐλευθερούμενος συνθέσεως, ἀλλὰ καὶ ἀναγκαίως πεφυκὼς ἐπιδέχεσθαι σύνθεσιν· εἰ δὲ ταῦτα μετὰ πολλῆς τῆς βδελυρίας ἀνόητα, ἑτέρως περιγράφειν τὸν κόσμον λέγοιτ' ἂν ὁ Θεὸς, ἢ ὡς τὰ σώματα περιγράφουσι· δεῖ γὰρ ἀληθῶς εἰπεῖν, ὅτι περιγράφει μὲν τὰ πάντα σώματα καὶ ἀσώματα, οὐχ' ὡς σῶμα δὲ· ἀπερίγραφός τε ἐστὶν, οὐχ' ὡς σῶμα μὴ ἔχων ὑφ' οὗ περιγραφείη μείζονος σώματος· καὶ ὡς ἐν κενῷ που τόπῳ τοῦ παντὸς, μέρη τινὰ τῶν αὐτοῦ παραιωρημένος, ἀλλ' ὡς δυνάμει πᾶσαν φύσιν ὑπερεκπίπτων, καὶ παντὸς τόπου καὶ χρόνου ὑπερεξαπλούμενος· οὔτε γοῦν ἄρα συντιθέμενος ὡς σῶμα ἢ μεριστή τις φύσις συντεθήσεται, ἵνα ὡς μέρος ἢ ὅλον, μεριστὸς συγκείμενος λογισθήσεται· ἀλλ' ὃν τρόπον οὐκ ἀναγκαίως αὐτῷ γέγονεν ὁ τοῦ σώματος λόγος καὶ τῆς ἐμμερείας εἰς τὸ περιγράφειν τὰ ἐμμερῆ, οὕτως οὐδὲ εἰς τὴν πρὸς ἄνθρωπον σύνθεσιν, τὴν τοιάνδε ὑπόνοιαν ἐπισύρεται· ἄλλως γὰρ οὐδὲ μέγα οὕτως τῷ ἀπεριγράφῳ, εἰ οὐ χωρεῖται ὑπὸ τοῦ περιγραπτοῦ· καὶ σώματι γὰρ ἀπεριγράπτῳ ἔνεστι τόδε, ἤγουν τῷ οὐρανίῳ· ἀλλ' εἰ καὶ ἐν τῷ μείονι καὶ περιγραπτῷ ὑπ' αὐτοῦ ἀκωλύτως ὅλος τὲ καὶ ἀπεριγράπτως δύναιτο χωρῆσαι ἐν οὐδενὶ στενοχωρούμενος, τοῦτο ἀληθῶς δυνάμεως φυσικῆς τὸ ἀπερίγραπτον οὐδενὶ βιαίῳ ἀποκλειομένης καὶ περιγραφομένης ἐνεργεῖν ὃ βούλεται· τοῦτο γάρ ἐστι καὶ τὸ ὡς ἄγαν θαυμαστὸν εἰρημένον τῷ φήσαντι περὶ Χριστοῦ τοῦ κατὰ σάρκα, ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.

Κακῶς οὖν τάλανες ἀξιοῦτε καὶ ἐπὶ Θεοῦ πᾶν τὸ συντιθέμενον, ἢ ὡς μέρος ἢ ὡς ὅλον μεριστὸν δηλαδὴ συντίθεσθαι· ἤρκει μὲν οὖν καὶ μιᾶς μόνον τῶν ὑμετέρων προτάσεων ἔλεγχος πρὸς καθαίρεσιν παντὸς ὑμῶν τοῦ ἐπιχειρήματος· εἴπερ ἑνὸς ἀτόπου δοθέντος, πάντα ἄτοπα ὡμολόγηται· ἰδοὺ

δὲ δι' ὅλων ὑμῶν τῶν προτάσεων, εἰ καὶ μακρότερον τὸν ἔλεγχον παρέτείναμεν, ψευδέστατον ὑμῶν τὸ συμπέρασμα δέδεικται τοῦ ὅλου συλλογισμοῦ· ἐν μὲν γὰρ τῇ πρώτῃ, κακῶς ἠξιοῦτε, πᾶν συντιθέμενον ὡς μέρος ἢ ὅλον μεριστὸν συντίθεσθαι· ἐλήλεγκται γὰρ οὐχ' οὕτως ἔχοντα τὰ πράγματα, εἴπερ ἐκ μὴ ὄντων σύγκειται τόδε τὸ πᾶν θείᾳ βουλήσει συναρμοσθέν· ἀλλὰ καὶ τὰ σώματα ἐκ ποιοῦ τε καὶ ποσοῦ κατηρτισμένα ἐστὶν οὐσιωδῶς· ὧν ἐν οὐδετέρῳ τὸ ὅλον ἢ μέρος πρὸ τῆς συνθέσεως αὐτῶν, λέγειν δυνατὸν, διὰ τὰ ἀνωτέρω ἡμῖν εἰρημένα· ἡ δὲ δευτέρα ὑμῶν πρότασις ἐπλάνα φάσκουσα τὸ ὅλον ἐπὶ ἀμερῶν ἢ ἀπεριγράφων μὴ λέγεσθαι· καὶ ἐδείχθη τό τε σημεῖον, καὶ ἡ μονὰς, καὶ τὸ νῦν, καὶ ψυχὴ, καὶ τὰ ἁπλᾶ πάντα, καὶ τὸ θεῖον, ὅλα τε λέγεσθαι ἐν τοῖς καθ' ἑαυτὰ λόγοις, καὶ ἀμερῆ εἶναι, εἰ καὶ μὴ ὡσαύτως ἑκάστου ἐστὶν ἡ ἀμέρεια.

Εἰ δὲ καὶ ἐδόθη ὑμῖν πάντα τὰ ἁπλᾶ ἐξ ἀνάγκης, ἐπεὶ ἀμερῆ ἐστι, μήτε ὅλα λέγεσθαι μήτε εἰς σύνθεσιν ἔρχεσθαι πώποτε, ἡδέως ἂν πυθοίμην ὑμῶν πῶς οὖν οὐκ ἐκ συνθέτων γενέσθαι τὰ ὄντα σύνθετα πάντα δοθείη; καὶ ἐπ' ἄπειρον τὴν ἀνάβασιν ποιήσει, εἴπερ μὴ ἐξ ἁπλῶν ἐστι τὰ σύνθετα, διότι οὐκ ἐξ ἀμερῶν δύνανται εἶναι καθ' ὑμᾶς, τῶν πρώτων συνθέτων, οὐκ οἶδα ὅθεν συντεθέντων, ἐὰν μὴ παρελθόντες ἡμῖν ὑποδείξητε· ἀλλὰ καὶ τὸ ἀπερίγραφον τῷ λόγῳ τοῦ ἀπεριγράφου ὅλον εἶναι, ὥσπερ καὶ τὸ περιγραπτὸν τῷ λόγῳ τοῦ περιγραπτοῦ δέδεικται· καὶ συντίθεσθαι οὖν δυνάμενον, εἴγε τοῦτο ὑμῖν δοκεῖ συνθέσεως εἶναι κωλυτικόν· καὶ ὅτι ὡς περιγράφειν τὸ ἐμμερὲς οὐκ ἐμποδείζεται τὸ ἀμερὲς, οὕτως οὐδὲ συντίθεσθαι κατὰ τὸ ἑαυτῷ μέν τοι οἰκεῖον, καὶ οὐκ ἐμμερῶς· οὐκοῦν καὶ μειρακίοις εὔδηλον τὸ ἀνίσχυρον τοῦ ὑμετέρου ἀσεβοῦς συμπεράσματος, τὸ λέγον· οὐκ ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· οὕτω μὲν οὖν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου ἐξεχύθη καὶ διεσκορπίσθη πάντα ὑμῶν τὰ σοφίσματα, διὰ τὸ ἐν ἀπιστίᾳ συμπαγῆναι καὶ ἐν ἀγνοίᾳ τῆς δυνάμεως τοῦ θείου βουλήματος.

Ἀλλ' ὦ οὗτοι, εἰ καὶ μηδεὶς ἦν ὁ λόγος ὁ ἐλέγχων ὑμῶν τὴν ἀτοπίαν, ἆρά γε οὕτως ἐννοεῖν οὐ φρίττομεν, ὅτι ὁ μὴ ὄντα τάδε τὰ ὄντα πάντα καὶ τὰς τοιάσδε αὐτῶν συνθέσεις ἐξευρὼν θεὸς πάσας καὶ ποιήσας εἶναί τε αὐτὰ, καὶ τοιῶσδε εἶναι, οὐκ ἠδύνατο καινοτέραν τινὰ καὶ ἀναγκαιοτέραν σύνθεσιν παρὰ τὰς ἐγνωσμένας ἡμῖν ἤδε προβάλλεσθαι, καὶ ἐφευρεῖν ἑαυτῷ, ὑπὲρ τῶν ὄντων ἑαυτὸν συνθεῖναι τῶν ὄντων τινὶ βουλόμενος, καὶ τὴν μήπω ἐντεταγμένην τοῖς οὖσιν ἐμφανίσαι· πῶς οὖν εἰ τοῦτο διαμφιβάλλοιμεν, οὐχὶ καὶ τὰ λοιπὰ πάντα τῶν ὄντων, ἐκ τινῶν προγεγονότων εἶναι, εἰκότως δοξάσομεν; οὐ γὰρ ἦν οὔπω τὶς ἐγνωσμένη τινὶ σύνθεσις τῶν ὄντων· ὅτε κατ' ἀρχὰς θεῷ ἐμηχανήθη· καὶ ὅμως οὐδε-

νὸς αὐτῶν πρώην ὄντος, ὕστερον ποιήσειν τὸν θεὸν τὰ πάντα σύνθετα ὁμολογοῦμεν· πότε δὲ καὶ ποῖ ἄλλος γέγονε κόσμος ἢ ἐπεφάνη τοιόσδε Χριστὸς τῷ κόσμῳ; δῆλον οὖν, ὅτι ἐν ἀρχῇ τε καὶ ἐκ μὴ ὄντων, κατὰ την τῶν χριστιανῶν εὐσέβειαν καὶ κατὰ τὴν ἑβραϊκὴν δόξαν, ποιεῖ ὁ Θεὸς ἃ βούλεται· καὶ φύσεως γὰρ αὐτὸς ποιητὴς ὢν, πῶς οὐ δύναιτο ἂν εἶναι καὶ τῶν φυσικῶν καινιστὴς ἀθεώρητος;

## CAP. II.

Πᾶν οὖν συντιθέμενον ἑτέρῳ, περιγραπτόν ἐστι καὶ ἐμμερὲς, καθὼς ἐδιδάχθη ἀνωτέρω· πᾶν δὲ περιγραπτὸν καὶ ἐμμερὲς, ἑτεροούσιόν ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ· εἰ δὲ τοῦτο, οὐ συνετέθη ὁ Θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, ὁμοούσιος ὢν τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ πατρί· ἢ συντεθεὶς, ἑτερούσιός ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ πατρὶ, ὅπερ ἀσεβές. Ἀλλ' οὐχ' ὡς ἀπεφάνθη παρ' ὑμῶν, πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ κατὰ τὴν οἱανοῦν σύνθεσιν, περιγραπτόν ἐστι καὶ ἐμμερὲς, ὡς ἀπεδείχθη ἀνωτέρω ἀληθῶς παρ' ἡμῶν, καὶ μάτην ἑαυτοὺς περὶ τῶν ἀβεβαίων πληροφορεῖτε· ἐπὶ δὲ τοῖς ὡμολογημένοις κατασκευάζειν ἕτερά τινα πρὸς ἀπόδειξιν τῶν ὑμετέρων ἐπιχειροῦντες, ταυτὸν πεπόνθατε τοῖς οἰκοδομεῖν ἐν ἀέρι, ἢ παπύρῳ στηρίζεσθαι βουλομένοις· ἐπεὶ οὖν τὰ ἐναντία μᾶλλον ὧν ὑπέθεσθε ἀποδέδεικται ἡμῖν, δῆλον ὅτι καὶ τὰ ἐναντία τοῖς ὑμετέροις συμπεράσμασι συναχθήσεται· εἰ γάρ τινι τῶν ἐναντίων ἕπεται, καὶ τῷ ἐναντίῳ τοῦδε πάντως τὸ ἐναντίον ἕψεται.

## CAP. III.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ, ἑτεροούσιόν ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ πατρί· πᾶν δὲ ἑτεροούσιον τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ πατρὶ, οὐκ ἔστι κυρίως υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρός· πᾶν τὸ ἄρα συντιθέμενον ἑτέρῳ, οὐκ ἔστι κυρίως υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρός· εἰ δὲ πᾶν συντιθέμενον ἑτέρῳ οὐκ ἔστι κυρίως υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρὸς, οὐ συνετέθη ὁ Θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ κυρίως ὑπάρχων υἱὸς τοῦ πατρός· ἢ συντεθεὶς, οὐ κυρίως ὑπάρχει τοῦ πατρὸς υἱὸς ὁ Θεὸς λόγος, ὅπερ ἀσεβές. Ταῖς ὑμετέραις πάλιν συμπεριαγόμενοι ταυτολογίαις, καὶ ἡμεῖς φαμέν· ἀλλ' ὦ οὗτοι οὐ πᾶν συντιθέμενον ἑτέρῳ, ἑτεροούσιόν ἐστι τῷ ἁπλῷ καὶ ἀπεριγράφῳ πατρί· καὶ πᾶς ὑμῶν καὶ ὁ παρὼν ἀναιρεῖται συλλογισμὸς, τῆς πρώτης αὐτοῦ προτάσεως ἀνατραπείσης· οὐδὲν γὰρ ἀκατάπτωτον μένει τοῦ οἰκοδομήματος, τῶν θεμελίων ἐκ βάθρων προανατετραμμένων· οἱ δὲ παρ' ἑαυτοῖς καὶ μόνον φρόνιμοι, πολλάκις τοῖς ἀβεβαίοις ἐνισχυριζόμενοι, οὐδὲν ἕτερον δοκοῦσι ποιεῖν, ἢ ἐφ' ὕδατος γράφειν, καὶ κατὰ πυρὸς ξαίνειν, καὶ εἰς ἀέρα δαίρειν.

## CAP. IV.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ, καταχρηστικῶς πως λέγεται, εἴπερ καὶ λέγεται υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρός· πᾶν δὲ τὸ καταχρηστικῶς πως λεγόμενον υἱὸς τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρὸς, κυρίως κτίσμα τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρὸς ὑπάρχει· πᾶν οὖν ἄρα συντιθέμενον ἑτέρῳ, κυρίως κτίσμα τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου πατρὸς ὑπάρχει· εἰ δὲ τοῦτο ᾖ, οὐ συνετέθη ὁ θεὸς τῷ ἐξ ἡμῶν ἀνθρώπῳ κτίστης ὑπάρχων τοῦ παντὸς καὶ οὐ κτίσμα τοῦ πατρός· ἢ συντεθεὶς, κτίσμα ἐστὶ τοῦ ἁπλοῦ καὶ ἀπεριγράφου, καὶ οὐχ' υἱὸς κυρίως, ὅπερ ἀσεβές. Τοῖς ἀναποδείκτοις ὑμῶν ἀξιώμασιν ἀεὶ ἀντιτιθέναι καταφάσκουσι μὲν ἁπλῶς τινὰ τὴν ἀπόφασιν αὐτῶν· ἀποφάσκουσι δὲ τὴν κατάφασιν, κόπος μὲν οὐδεὶς τῷ ἀντιλέγοντι· δέον δὲ ἦν ὑμᾶς, τὰ πρῶτα γενναίως προβάλλεσθαι, ἵνα μὴ τὰ δεύτερα σαθρῶς ἐπιφέρητε· ἐπεὶ γὰρ ἐν τοῖς πρώτοις ἐκ ῥιζῶν ἀνατέτραπται τὰ ὑμέτερα, λῆρος ἂν δόξειε περὶ τῶν δευτέρων ἐπὶ πλεῖστον ὑμῖν ἀποκρίνασθαι, πάντων ὑμῶν τῶν μέχρι τοῦ παρόντος συλλογισμῶν, τῇ τοῦ πρώτου ὑμῶν ἐπιχειρήματος δυνάμει ἐπιστηριζομένων· ἄλλως δὲ ἑνὸς ὄντος μόνου υἱοῦ ἀληθοῦς τῷ ἀπεριγράφῳ πατρὶ τοῦ καὶ συντεθέντος, πῶς ἐστι διὰ καθολικῆς ἀποφάσεως δεικνύειν, ὅτι οὐ συντίθενται οἱ κυρίως υἱοὶ τοῦ ἀπεριγράφου, ἢ διὰ καταφάσεως ὅτι πᾶς υἱὸς τοῦ ἀπεριγράφου, κυρίως ὢν, καὶ ἀσύνθετός ἐστιν; εἰ γὰρ καὶ τὰ ἰδικῶς ὄντα, ἐφ' ὧν οὐκ ἔστιν εἶδος ἢ γένος, διὰ τῶν καθόλου δεικτέον· ἐπεὶ πᾶν σῶμα ἐν τόπῳ, καὶ ὁ οὐρανὸς ἄρα ἐν τόπῳ, καὶ τόδε ἐπ' ἄπειρον· καὶ ἐπεὶ οὐδὲν ἄστρον ἡμεροφανὲς, οὐδὲ ὁ φωσφόρος, καί τοι κατὰ πλείους ὤφθη καιρούς· καὶ ἐπεὶ οὐδεμία στιγμὴ ἐν τῷ μεσητάτῳ πάντη τοῦ κύκλου, οὐδ' ἄρα τὸ κέντρον· τίνα δὲ καὶ θέλοιεν ἔχειν λόγον σύνθεσις μετὰ υἱότητος ἀγχινουστάτου, εἴτε κυρία εἴτε καταχρηστική; ποιὸν γὰρ ποιῷ, καὶ ποσὸν ποσῷ, καὶ ὁ ποσὸς κυρῷ, καὶ λίθος ξύλῳ συντιθέμενος· ἄρα διὰ τὸ καταχρηστικῶς εἶναι υἱὸς τοῦ ἀπεριγράφου συνετέθη, ἢ οὐδὲ διὰ τὸ καταχρηστικῶς, οὐδὲ διὰ τὸ κυρίως; εἰ δὲ δι' οὐδὲν τούτων συντίθεται τινὰ, οὐδὲ διά τι τούτων ἀσύνθετα μένοιεν τ' ἂν, ἀλλὰ δι' ἑτέρους οἰκείους καὶ ἀναγκαίους τῇ συνθέσει λόγους.

## CAP. V.

Πᾶσα οὐσία ἀπερίγραφος πανταχοῦ, καὶ ἐν ἑκάστῳ καὶ ἐφ' ἑαυτῇ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ὑπάρχει ἀπερινοήτως καθὸ οὐσία, ἐπεὶ τοῦτο ἴδιον ἀπεριγράφου· πᾶν δὲ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἐν πᾶσιν ὑπάρχον, ἀλλοίως καὶ ἀλλοίως οὐ δύναται εἶναι ἔν τινι καθὰ οὐσία· τὸ γὰρ ὡσαύτως ἀναιρετικόν ἐστι τοῦ ἀλλοίως καὶ ἀλλοίως· πᾶσα ἄρα οὐσία ἀπερίγραφος οὐ δύναται ἀλλοίως καὶ ἀλλοίως εἶναι ἔν τινι καθὸ οὐσία· εἰ δὲ

τοῦτο, ζητητέον ἄρα τὴν οὐσίαν τοῦ Θεοῦ λόγου περιγραπτὴν εἶναι φαμὲν, ἢ ἀπερίγραπτον; καὶ εἰ μὲν περιγραπτὴν εἴποιμεν, πρόδηλον τὸ βλάσφημον· εἰ δὲ ἀπερίγραφον, ἢ πᾶσι σύγκειται ἡ οὐσία τοῦ Θεοῦ λόγου, ἢ οὐδενὶ σύγκειται ἡ οὐσία τοῦ Θεοῦ λόγου· ἀλλοίως γὰρ καὶ ἀλλοίως ἔν τινι οὐ δύναται εἶναι καθὸ οὐσία, ἐπὶ καὶ ἀπερίγραφος· ὡμολόγηται δὲ ὅτι πᾶσιν οὐ σύγκειται· οὐδὲ ἄρα τινὶ σύγκειται· καὶ ἀσεβοῦσιν οἱ λέγοντες συγκεῖσθαι τὴν οὐσίαν τοῦ θεοῦ λόγου τῇ ἐξ ἡμῶν εἰς οἰκείαν αὐτοῦ φανέρωσιν ληφθείσῃ σαρκί. Ὄντως ἐν ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλὸς, καὶ ἐπιστρέφει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· κατὰ γὰρ τὰ νῦν παρ' ὑμῶν εἰρημένα εἰ πανταχοῦ καὶ ἐν ἑκάστῳ, ἤγουν ἐν ἑνὶ καὶ παντὶ περιγραπτῷ, καὶ ἐφ' ἑαυτῇ ἤγουν ἐν τῷ ἀπεριγράπτῳ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ὑπάρχει ἡ ἀπερίγραφος οὐσία· καὶ τοῦτο ἴδιον ὡς φατὲ ἀπεριγράφου οὐσίας, μὴ ἑτέρως εἶναι ἐν τῷ περιγραπτῷ καὶ ἑτέρως ἐν ἑαυτῇ, ἤγουν ἐν τῷ ἀπεριγράπτῳ· καὶ οὐ δύναται ἀλλοίως εἶναι ἐν οἷς ἐστὶν, εἰ καὶ ἀλλοῖα εἰσὶν ἐκεῖνα, καθὼς ἤδη ὑπέθεσθε· ἔν τε γὰρ τοῖς περιγραπτοῖς καὶ ἐν ἑαυτῇ ἀπεριγράπτῳ οὔσῃ ὁμοίως ἐστὶ, πῶς διὰ τὸ ἀπερίγραπτον εἶναι, οὐ δυνατὸν εἶναι αὐτὴν ἔν τινι περιγραπτῷ πρώην τε καὶ νῦν; ἔσται γὰρ κατὰ τὸ ἀκόλουθον τοῖς ὑμετέροις, οὐδὲ ἐν ἑαυτῇ δυναμένη εἶναι, εἴπερ ὁμοίως ἔν τε ἑαυτῇ καὶ ἐν τοῖς παρ' αὐτὴν ἐστιν· ἀνάγκη δὲ ἦν μᾶλλον, εἴγε ὁμοίως ἐστὶν ἐν πᾶσιν, ὡς καὶ ἐν ἑαυτῇ, μηδὲν ἐμποδίζεσθαι τοῦ εἶναι αὐτὴν ἐν περιγραπτῷ, ἀλλ' ὡς ἐν ἀπεριγράπτῳ, καὶ ὡς ἐν ἑαυτῇ ἁπλῶς, οὕτω γε κατὰ τὰ ὑμέτερα, καὶ ἐν τῷ περιγραπτῷ εἶναι· καὶ τοὐναντίον ὑμῖν ἀπεδείχθη ἤπερ βούλεσθε, ἐν τούτῳ τε καὶ τοῖς προλαβοῦσιν ἐπιχειρήμασι, τοῦ μὴ δυνατὸν εἶναι συντίθεσθαι περιγραπτῷ τὸ ἀπερίγραπτον.

Εἰ δ' οὖν διὰ τὸ μὴ ἀλλοίως καὶ ἀλλοίως ἐνεῖναι τισὶ δύνασθαι τὸ ἀπερίγραπτον, οὕτως ἐν Χριστῷ, ὡς καὶ ἐν πᾶσιν εἶναι αὐτὴν βιάζεσθε· ἄρα οὖν διὰ τὸ ὡσαύτως ἐμφαίνεσθαι, καὶ ἐφ' ἑαυτῇ ὡς φατὲ, ὡς καὶ ἐν πᾶσιν, οὕτως ἔσται ἐν ὕδατι, καὶ λίθῳ, καὶ φυτῷ, καὶ μύρμηκι, καὶ ἰχθύϊ, καὶ ἵππῳ, καὶ ἀνθρώπῳ, καὶ ἀγγέλῳ, καὶ ἐν πᾶσιν ὡς ἐφ' ἑαυτῇ· εἰ δὲ οὐχ' ὁμοίως ἐφ' ἑαυτῇ καὶ ἐν μύρμηκι ἐστὶ, λέλυται τὸ ὡσαύτως, καὶ ἔσται ἐν Χριστῷ παρὰ τοὺς ἄλλους τῶν ὄντων πάντας· πρὸς δὲ τὸ λέγειν ὑμᾶς, ἐπεὶ ὡμολόγηται ὅτι ἐν πᾶσιν οὐκ ἔστιν, οὐδ' ἄρα ἔν τινί ἐστι, τοὺς εἰπόντας ὅτι ἐν πᾶσιν ἐστὶν ὡς καὶ ἐφ' ἑαυτῇ, τοὐναντίον ἀκούσεσθε· ὅτι ἐπεὶ μᾶλλον τοῦδε ὡμολόγηται πᾶσιν ὅτι ἐν ἑαυτῇ ἐστι, σαφὲς ἂν εἴη ὅτι οὐκοῦν καὶ ἐν πᾶσιν ὄντως ἐστί· τὰ γὰρ ἐξ ὑμῶν φασὶν ὅτι ἐν πᾶσιν ὁμοίως ἐστὶν, ὡς καὶ ἐν ἑαυτῇ· ἢ οὖν οὐδὲ ἐν ἑαυτῇ ἐστιν, ἀλλὰ παρ' ἑαυτήν τε καὶ ἑαυτῆς διακεκριμμένη, ἢ ἐν ἑαυτῇ ἐστὶ καὶ

ἐν τινὶ καὶ ἐν πᾶσιν ἐστὶν· ὡς μὴ δὲ μίαν εἶναι ἢ ἐπινοεῖσθαι λοιπὸν μόνην, ἀλλὰ πᾶσαν τῷ ἀπεριγράφῳ μαρτυρεῖσθαι σύνθεσιν παρ' ὑμῶν τῶν βουλομένων ἀθετῆσαι τὴν ἀληθῶς τοῦ λόγου πρὸς τὴν σάρκα, ὑπερένδοξον ἕνωσιν.

## CAP. VI.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν, μέρος εὑρίσκεται ταύτης τῆς φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως ζώσης, φυσικῇ ἀνάγκῃ συμπάσχει τῷ μέρει μεθ' οὗ τὴν τοιάνδε φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν ἀπετέλεσε· μὴ θέλουσα δὲ ἡ ψυχὴ, συμπάσχει τῷ σώματι· ὡς καὶ παύεσθαι τῶν οἰκείων ἐνεργειῶν ποτὲ, τῶν τοῦ σώματος μελῶν, μεθ' ὧν ἐνεργεῖ, βλαπτομένων· ὁμοίως καὶ τὸ σῶμα φυσικῇ ἀνάγκῃ συντήκεται ταῖς λύπαις τῆς ψυχῆς καὶ ταῖς μερίμναις· τὸν δὲ θεὸν λόγον, ἀνάγκῃ λέγειν συμπεπονθέναι τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ, οὐ θέμις· οὐκ ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ εἰς μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν· εἰ δὲ συνετέθη, καὶ πέπονθεν ἀνάγκῃ, ὅπερ ἀσεβές. Ἡδέως ἂν ὑμῶν πυθοίμην πρό γε ἁπάντων, εἰ ταυτὸν φύσιν καὶ ὑπόστασιν οἴεσθε καὶ ὑμεῖς, ὥσπερ καὶ οἱ φύσεως μιᾶς ὑπερμαχοῦντες; εἰ γὰρ τοῦτο καὶ ὑμεῖς φατὲ, ἴδε ἀκονητὶ ἡμῖν φωραθήσεσθε σοφιζόμενοι, καὶ τὰ ἑτερώνυμα καὶ ἑτερόσχημα διὰ προλήψεως τῶν πολυωνύμων συσκιάζοντες· ἐλεγχθήσεσθε γὰρ τέως ἡμῖν ἐν τούτῳ· πρῶτον μὲν κατὰ τὸν τριαδικὸν λόγον· εἰ γὰρ τὸ αὐτὸ ἐκδέχεσθε τάδε εἶναι, ἢ τρεῖς τὰς οὐσίας, ἢ μίαν οἴεσθε τὴν θείαν ὑπόστασιν· δεύτερον δὲ, ὅτι καὶ δύο φύσεις ἡμῶν λεγόντων, εἰσπράττετε ἡμᾶς δύο λέγειν καὶ ὑποστάσεις τοῦ κυρίου· ὡς οὐκ ἐντελῶς εἰρημένον πρὸς τὴν ὑμετέραν δόξαν τοῦ διττοῦ τῆς φύσεως, ἐὰν μὴ πρόσεστι καὶ τὸ διπλοῦν τῆς ὑποστάσεως· καὶ τὰ ἄλλα δὲ ὑμᾶς θριαμβεύσει τὰ περὶ τούτου ἐν τῷ ἰδίῳ εἰρημένα κεφαλαίῳ· ἐν ᾧ κοινῶς ὑμεῖς τε καὶ οἱ ἀπὸ Εὐτυχοῦς, τοῦτο ἡμῖν ἐσκαιωρήσατε λέγοντες, ὅτι φύσις καὶ ὑπόστασις ταυτὸν σημαίνει· ἢ οὖν δύο καὶ τὰς ὑποστάσεις, ἢ μὴ δὲ τὰς φύσεις λέγοιτε· ἀλλ' ἑτέρωσε μὲν τάδε ὑμῖν τε κἀκείνοις διήλεγκται.

Εἰ δὲ τοῦτο νῦν αἰδεῖσθε λέγειν, καὶ ὡς ἕτερον λαμβάνετε ἑκάτερον, τοῦτο γὰρ δοκεῖ μαρτυρεῖν ὑμῖν ὁ καὶ σύνδεσμος, φασκόντων εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν ζῶσαν· ἐπεὶ οὐκ εἰρήκατε μίαν φύσιν, εἴτουν ὑπόστασιν, ἀλλὰ προσθετικῷ τινὶ συνδέσμῳ καὶ τὸ ἕτερον ἐπηγάγετε, τοῦτο λέγειν ἔχοιμεν πρὸς ὑμᾶς, ὡς εἰ πρὸς τοὺς λέγοντας μίαν φύσιν ἐκ τῆς συνθέσεως ἀποτελεῖσθαι ἀπετείνεσθε μόνον διὰ τῶνδε, εἶχεν ἄν τι ὑμῖν τὸ ἐπιχείρημα· ἐπειδὴ δὲ πρὸς τοὺς μίαν τὴν ὑπόστασιν καὶ οὐ τὴν φύσιν ἐκ τῆς συνθέσεως ἡμᾶς ὁμολογοῦντας, τὸ αὐτὸ ἐγκαλεῖν

ἀπηρυθριάσατε, πρῶτον μὲν, πῶς μέρος φατὲ τῆς ἐνουσίου ὑποστάσεως πᾶν τὸ συντιθέμενον εἰς τὸ ἀποτελέσαι αὐτὴν, ἀκούσωμεν· τῆς γὰρ ὑποστάσεως ἡ ὑπογραφὴ, ἐξ ἰδιοτήτων τινῶν παρὰ τὰ ὁμοουσία ἔν τινι ἐπουσιωδῶν ἢ ἐπισουδιωδῶν καὶ συμβεβηκότων τινῶν, ἀχωρίστως ὄντων ἢ ἐπιγενομένων, συνίσταται· οὔτε δὲ αἱ οὐσίαι τῶν συνθέτων μέρη τῶν ὑποστάσεων εἰσὶ· τῶν γὰρ οὐσιῶν, οὐσίαι τὰ μέρη γίνονται, οὐ τῶν ὑποστάσεων, οὐδὲ μὴν τῶν συμβεβηκότων τί τῶν γινομένων, χωρὶς τῆς τοῦ ὑποκειμένου ἀναιρέσεως, ὡς μέρος ἔν τινι ὑποστάσει ὑπάρχει· ἀλλ' οὐδὲ αὗται αἱ φυσικαὶ ἰδιότητες, ὡς μέρος εἰσὶ τῶν ὑποστάσεων ὧν εἰσὶν οὐσιῶν, ἀλλα καὶ μερικοὶ λόγοι· εἰ γὰρ μέρη αἱ ἰδιότητες εἰσὶ τῆς ὑποστάσεως, τὸ δὲ ὅλον συγγενὲς τοῖς ἑαυτοῦ μέρεσι καὶ ταυτὸν, καὶ οὐδὲν γένος παρὰ πάντα αὐτοῦ τὰ μέρη, ἔσται καὶ τὸ ὅλον τῆς ὑποστάσεως, ἰδιότης καθόλου μόνον ἀνούσιος· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐπεὶ πᾶσα ἰδιότης ἐστὶ τὸ ὅλον τῆς ὑποστάσεως, εἴπερ ἰδιότης ἢ ἑτέρου τινὸς ἔσται ἰδιότης· καὶ τοῦτο πάλιν ἐπ' ἄπειρον ζητητέον· ἢ οὐχ' ἑτέρου οὖσα, οὐδὲ ἰδιότης ἔσται, οὐδὲ ὑπόστασις ἄρα· οὐκ ἄρα οὖν οὐδὲ αἱ οὐσίαι, οὐδὲ τὰ συμβεβηκότα, οὐδὲ αἱ ἰδιότητες αἱ οὐσιώδεις ὡς μέρη εἰσὶ τῆς ἐνουσίου ὑποστάσεως· ἀλλ' ἐκ τῆς οὐσίας, περὶ τὴν οὐσίαν ἢ καὶ ἀλλαχόθεν ἐν αὐτῇ καὶ περὶ αὐτὴν, τινὰ ἐστὶ τάδε ἰδίως ἐν τῷδε τινὶ θεωρούμενα· πλὴν εἰ καὶ τοῦτο ὑμῖν συγχωρήσομεν, οὐ γὰρ σπουδαῖον περὶ τούτου νῦν ἀντιτάσσεσθαι, καὶ ὡς μέρος εἴη ἐν τῇ ὑποστάσει ἑαυτοῦ ὁ θεὸς λόγος· ἀκόλουθον ἔσται, μείζονα τῆς οὐσίας τῆς θεότητος πάσης ἕκαστον τῶν τριῶν ἁγίων προσώπων ὡς ὅλον καὶ αὐτὸ νοεῖσθαι· καὶ οὕτω μὲν τόδε.

Ἡ δευτέρα δὲ ὑμῶν πρότασις πάλιν, πῶς ἔχει τὸ βέβαιον; ὅτι πᾶν μέρος ὑποστάσεως λεγόμενον, συμπάσχειν τῷ ἑτέρῳ ἀνάγκη· καὶ τοῦτο ἀεὶ καὶ κατὰ πάντα ἀδιορίστως· τῆς γὰρ τοῦ κόσμου ὑποστάσεως καὶ φύσεως, ἵππος, καὶ γὺψ· καὶ οὐ μόνον οὐ συμπάσχει θατέρῳ θάτερον εἶδος, ἀλλὰ καὶ εὐσθενεῖ τὸ γύπτιον, ἵππων ἀναιρουμένων· τὸ δὲ λεόντειον αὐτόθεν οὐδὲ ἔχει τὸ εἶναι, εἰ μὴ διὰ τῆς τοῦ βοείου τυχὸν καὶ τῶν τοιούτων ἐπιβουλῆς, ζωοφθόρον τὶ ὂν καὶ σαρκοφάγον· τί δὲ ἂν εἴποι τὶς ὄρνιθας πεπονθέναι, εἰ νοσοῖεν αἱ τούτων ἐπίβουλοι ἀλώπεκες; τοὐναντίον γάρ ἐστιν ἰδεῖν, ὡς ἑτέρου πάσχοντος μέρους τῶν ἐν τῷ κόσμῳ, ἕτερον εὐεκτεῖ· καὶ ἑτέρου εὐθαλοῦντος, ἕτερον δυσπραγεῖ· ἀλλὰ καὶ τοῦ ἑνός τινος ἀνθρώπου κατά τινα διδάξαντα ἡμᾶς, κατὰ τὸ ἔξω διαφθειρομένου, ὁ ἔσω ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ· καὶ γὰρ τοῦ αὐτοῦ κατ' ἀριθμὸν ἑνὸς, τὸ μὲν πνεῦμα, κατὰ τῆς σαρκὸς ἐπιθυμεῖ· ἡ δὲ σὰρξ, κατὰ τοῦ πνεύματος· καὶ τὰ τοῦ ἑνὸς ὁμοφυῆ πάντη πλεῖστα ὄντα μέρη, ἀντίκεινται ἀλλήλοις· καὶ διὰ τῆς θατέρου τῶν μερῶν θλίψεως, τὸ ἕτερον εὐε-

κτεῖ· κατακλιθέντες γὰρ ἐπὶ δεξιὰν πλευρὰν, τὴν λαιὰν ἀνεπαύσαμεν· καὶ καμνούσης τῆς λαιᾶς χειρὸς, ἡ δεξιὰ διαναπαύεται· ἀλλὰ καὶ ἐκ μιᾶς ὑποστάσεως τοῦδε τινὸς, τηκομένης πιμελῆς, ἀδρύνονται αἱ σάρκες ἐν γυμνασίοις· ὀστᾶ δὲ καὶ χόνδροι μαστιζομένου τοῦ δέρματος, οὐδὲν αἰσθάνονται, καί τοι ἐν τῷ αὐτῷ ὄντα ἑνὶ συνθέτῳ σώματι· τινὰ δὲ μόρια τοῦ σώματος πρώην καὶ ἀσθενοῦντα, ἑτέρων τοῦ αὐτοῦ σώματος μορίων παθόντων, οὐ μόνον οὐ συνεπάθησαν, ἀλλὰ καὶ ἀπηλλάγησαν τοῦ πρώην ἐνόντος αὐτοῖς πάθους· ὡς ἔστι ἐπὶ τῶν κεφαλαλγούντων ἢ ὀφθαλμιώντων, εἰ ποδαλγήσαιεν, ἰδεῖν· καὶ ἐπὶ τῶν καιομένων τὴν χεῖρα διὰ τὰ ἐνστόμια πάθη· καὶ τὸ βρέγμα, λώβης χάριν· εἰ γὰρ καὶ συμπαθείᾳ τινὶ γίνεται τάδε, ἀλλὰ τὸ ἑτέρου φθαρτικὸν πάθος, ἑτέρου σωστικὸν φαίνεται· ὥσπερ καὶ ἐπὶ τῶν ζώων τῶν σαρκοφάγων εἴρητο ἀρτίως· πῦρ δὲ ὕδατι συντεθὲν εἰς μίαν σώματος φύσιν καὶ ὑπόστασιν, θαυμαστὸν εἰ συμπάσχει ὡς μέρος· καὶ οὐ μᾶλλον πλεονάζειν τὲ καὶ ἐπιτείνεσθαι λέγεται τῇ τοῦ ἀντιπάλου ἀμβλύτητι καὶ ἑνώσει.

Εἰ δὲ οὐ τὰς οὐσίας αὐτὰς, ἢ τὰ μέρη τῶνδε, λέγετε μέρη τῶν ὑποστάσεων, ἀλλὰ τὰ περὶ τὴν οὐσίαν, πῶς οἷον ὅτι σιμότης γλαυκότητι ἢ φαλακρότης ἰσχνότητι συμπέπονθε; πλεῖστον ἡμῖν καί τοι οὐ παίζουσιν ἀλλὰ σπουδάζουσιν ἐξεγερεῖτε γέλωτα οἱ δεινοὶ περὶ τὸ λέγειν καὶ τοῖς φυσικοῖς ἀεὶ πράγμασιν ἑπόμενοι· πῶς οὖν συμπάσχειν πᾶν μέρος ὑποστάσεως τῷ ἑτέρῳ συνεισάγετε ἁπλῶς; ἵνα λεγόντων ἡμῶν εἰς μίαν ὑπόστασιν συνεληλυθέναι τὸν λόγον τῇ σαρκὶ, καὶ συμπάσχειν αὐτῇ τοῦτον κατὰ φύσιν ἀποδείξητε· οὓς ἐχρῆν ἀληθῶς νοεῖν, ὡς τὰ ἐπιγινόμενα πάθη τῷ ἐκ διαφόρων συνθέτῳ, ὡς ἀνῆκεν ἑκάστῳ μέρει τῶν ἐν αὐτῷ, ἐγγίνεται· οὐ γὰρ ὡς τήκει τὸ πῦρ σάρκας, οὕτω καὶ ψυχήν· εἰ οὖν εἴη τῶν συντεθέντων τὶ, καὶ πάντη ἀπαράδεκτον τοῦ κατὰ τοῦ συνθέτου φερομένου πάθους, δῆλον ὡς καὶ συγκείμενον τῷ παθητῷ, οὐ συμπείσεται· οὐ γὰρ καὶ τὸ ἀμίαντον χόρτῳ συμφυρὲν, καὶ καυθήσεται· οὐδὲ τὸ πῦρ τῷ σιδήρῳ συντυπτήσεται· ἅπερ καὶ δι' αἰσθήσεως, καὶ ἐν αἰσθητοῖς ὁρᾶται· τί οὖν εἴποιμεν εἰκότως περὶ τῆς τῶν ἀϋλοτέρων καὶ μετὰ συμπλοκὴν φυλαττομένης σαφοῦς ἀπαθείας, λογίσασθε· καὶ οὕτω μὲν τάδε.

Τὸ δὲ ἕτερον, πανουργήσαντες οὐκ ἐλάθετε· οὐκ οἴδαμεν γὰρ ὅθεν τόδε κατασκευάσαντες, πλὴν πᾶσαν ἀκούσιον εἶναι τὴν συμπάθειαν θατέρου μέρους πρὸς θάτερον τῶν συντιθεμένων ἔφητε· ὅπερ καθ' εἱρμὸν ταῖς προλαβούσαις ἅμα προτάσεσιν ὑμῶν συνψεύδεται καθολικῶς λεγόμενον· ἰδοὺ γὰρ παθητικῶς τοῦ σώματος τοῖς ἥδουσι τῶν αἰσθητῶν ὑποκειμένου, ἡ ψυχὴ ἑκουσίως συμπάσχει τὰ τοιαῦτα πάθη τῷ σώματι· ὅθεν καὶ ἐφίεται καὶ ἐπιτρέχει καὶ πάντα ποιεῖ πρὸς τεῦξιν τῶν καθ' ἡδονὴν παθῶν

ἐν τοῖς ἀσελγεστέροις· τί οὖν ἀναγκαῖον ἢ πιθανὸν ἢ ψιλῶς ἐνδεχόμενον συναγαγόντες ἐξ ἀνάγκης λύειν, συμπεπονθέναι τὸν θεὸν λόγον τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ ἡμᾶς ἀποδείξετε, ὅπερ συνάγειν ἐδόξατε; ἔξεστι γὰρ ὑμῖν τοῖς ὑμετέροις ἐπισκέπτουσι, καὶ εἰς τὰ νῦν παρ' ἡμῶν εἰρημένα βλέπουσι, συναισθάνεσθαι τῆς ἀληθείας, καὶ εἰδέναι ὅτι πάσης μὲν ὑποστάσεως οὐ περιττευούσης φύσεσιν, ἀλλὰ κατὰ μίαν τινὰ σύνθετον φύσιν ὑπαρχούσης ἐκ διαφόρων δυνάμεων, ἡ φυσικὴ σύνθεσις οὖσα κατὰ πάντα, συμπάσχοντα τὰ φυσικὰ αὐτῆς μέρη δείκνυσιν· εἰ δὲ ἐκ πλειόνων εἴη φύσεων ἢ ὑποστάσεων, κατὰ ἀναλογίαν τῆς ὁμοιότητος αὐτῶν πρὸς ἀλλήλας εἶναι ἀνάγκη καὶ τὰς συμπαθείας τῶνδε ἐν αὐτῇ μόνον· καὶ γὰρ οὕτω καὶ τὰς ἑνώσεις αὐτῶν τὰς φυσικὰς ἔχει· οὐδὲν γὰρ πάντη ἄνευ τινὸς ταυτότητος καὶ συγγενείας, συνάπτεται ἑτέρῳ οὐδὲ συμπάσχει ἄρα οὐδὲ ἐπὶ τῶν ἀψύχων· ἀμέλει τοίνυν τὰ ἁπλᾶ στοιχεῖα λεγόμενα, εἴτουν αἱ πρῶται ποιότητες διὰ τοῦτο οὐκ εἰσὶν ἐν ὑπάρξει καθ' αὑτὰ ὑφεστῶτα· ὅτι καὶ εἰ ἦσαν, ἄχρηστα ἂν ἦν εἰς τὴν κοσμικὴν τῶν σωμάτων σύνθεσιν· οὐ γὰρ ἦν αὐτοῖς πάντη διαφέρουσιν ἀλλήλων πῶς συνάπτεσθαι· καθάπερ τῷ πυρὶ καὶ ὕδατι, καὶ γῇ καὶ ἀέρι, διὰ μιᾶς τῶν ἐν αὐτοῖς ποιοτήτων ἀλλήλοις κιρναμένων ὅτε δέοι, καὶ διὰ τῆς ἑτέρας εἰ δέοι διακρινομένων· ὅθεν οὐδὲ πῦρ ὕδατι, οὐδὲ γῇ ἀέρι, ἀμέσως συντίθεται.

Ὁμοίως δὲ καὶ ψυχῆς καὶ σώματος ἔστιν ἰδεῖν καὶ πάντων τὰς ἑνώσεις ὑπὸ τοῦ δημιουργοῦ λόγου τεταγμένας· ἔστι γάρ τις αὐτῷ πάντως γνωστὴ, ἡμᾶς δὲ πολλάκις λανθάνουσα, ἐν πᾶσι τοῖς κτιστοῖς, ὁμοίωσίς τε καὶ διαφορά· ἐπεὶ οὖν οὐκ ἐξ ὁμοιώσεως καὶ συγγενείας φυσικῆς, θεὸς σαρκὶ φυσικῶς ἥνωται, οὐδὲ συμπάσχει ἀνάγκῃ, ἐκ βουλήσεως δὲ ἀγαθῆς καὶ εὐεργετικῆς, κατ' εὐδοκίαν προσλαβόμενος αὐτήν· ἵνα τε εἴη διὰ τῆς ὁμοιώσεως, βεβαία ἡ ἕνωσις αὐτοῦ πρὸς αὐτὴν, καὶ ἡ διὰ τῆς ἑνώσεως ἡμῖν εὐεργεσία, ἑαυτὸν τρέψαι κατ' αὐτὴν οὐ δυνάμενος· οὐδὲ μὴν πρὸς τὸν ἑαυτοῦ σκοπὸν οὑτωσὶ χρησιμουργῶν, τοὐναντίον συναπαθίζει αὐτὴν ἑαυτῷ, καὶ τρεπτὸν φύσει κατὰ τὴν κρείττονα τροπὴν καὶ φύσιν ἐφάπαξ, ἤγουν εἰς τὴν ἰδίαν αὐτοῦ ἀτρεψίαν· οὐ τρεπόμενος ὁ ἄτρεπτος τῇ φύσει, εἰς τὴν χείρονα φύσιν ἐξωμοιώθη αὐτῇ· καὶ σύνθεσιν φυσικὴν ἀϊδίως ἑαυτῷ μεμηχάνηται, ἀρχῆς μὲν τῆσδε γενομένης τῆς ἑνώσεως τῆς τοῦ ἀγαθοῦ βουλῆς καὶ εὐδοκίας· πέρατος δὲ καὶ ἀποτελέσματος, καὶ βεβαιώσεως τῆς ἀφομοιώσεως τῆς πρὸς αὐτὸν, τῆς συντεθείσης φύσεως σὺν αὐτῷ· τῇ γὰρ ἐκ φυσικῆς ἀγαθότητος εὐδοκίᾳ καὶ τοῖς τὴν φύσιν ἀνομοίοις ὅλον ἑαυτὸν ἄκρᾳ τῇ ἀγαθότητι χαριζόμενος, ἑνοῦται νῦν ὁ κατ' ἀρχὰς τῆς κτίσεως καὶ αὐτῷ τῷ πάντη ἀντικειμένως ἔχοντι πρὸς αὐτὸν, τὸν ὄντα τῷ μὴ ὄντι ἑαυτόν πως ὡς αὐτὸς οἶδε συνάψας, καὶ τὰ πως ὄντα, καὶ πό-

τε πάντα ἑαυτῷ παραστήσας, νῦν δὲ προβιβάσας ἤδη εἰς τὸ εἶναι, καὶ εἰς τὸ ὑψηλότερον εἶναι αὐτὰ ἄγων, ἑαυτῷ ἐνυπέστησε· πάντα ἐγκολπισάμενος καὶ περιπράξας ὁ ὢν ἑαυτῷ, ἵνα μηδὲν ἔτι τῶν ἰδίων διὰ τῆς φθορᾶς, εἰς τὸ μὴ ὂν πάλιν ἀνακάμψῃ· μένοι δὲ τὰ ὅλα σὺν τῷ ἀφθάρτῳ ἄφθαρτα, πάσης τῆς κτίσεως ἐλευθερωθείσης ἀπὸ τῆς δουλείας τῆς φθορᾶς ἐν Χριστῷ· διὰ γὰρ τῆς ἀπ' ἀρχῆς εὐθυ . . . τὰ ὁμοειδῆ τῇ ἀπαρχῇ, εἶτα καὶ τὰ συγγενῆ τούτοις πάντα καὶ πρὸς τὴν χρείαν τῆς καταλλήλου εὐφροσύνης τῶν ἐλευθερωθέντων πρώτως γενόμενα εἴδη, πλουτεῖ θεὸν καὶ ἔσται ὁ θεὸς τὰ πάντα ἐν πᾶσι.

## CAP. VII.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ πρὸς μιᾶς φύσεως καὶ ὑποστάσεως ζώσης σύστασιν, μέρος δείκνυται τῆς ἀποτελεσθείσης φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος φύσεως ἢ καὶ ὑποστάσεως ζώσης, δέεται πάντως τοῦ ᾧ συνετέθη μέρους, πρὸς εὐεργεσίαν ἰδίαν· δέεται γὰρ ἡ ψυχὴ τοῦ σώματος, καὶ τὸ σῶμα τῆς ψυχῆς, θάτερον θατέρου οἰκείαν εὐεργεσίαν· ἡ μὲν πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν θείαν, τὸ δὲ πρὸς τὴν ζωὴν μετ' αὐτῆς τῆς καὶ τῶν ὁρωμένων ἁπάντων κρείττονα τιμὴν ἔχειν· τὸν δὲ θεὸν λόγον ὑπολαμβάνειν δέεσθαί τινος πρὸς οἰκείαν εὐεργεσίαν, οὐ θέμις· οὐκ ἄρα συνετέθη τῷ ἐξ ἡμῶν ἀνθρώπῳ εἰς μιᾶς φύσεως ἢ ὑποστάσεως ζώσης σύστασιν· εἰ δὲ συνετέθη, καὶ δέεται αὐτοῦ πρὸς οἰκείαν εὐεργεσίαν, ὅπερ ἀσεβές. Ἐπεὶ τῆς αὐτῆς δυνάμεως, μᾶλλον δὲ ἀδυναμίας, τοῦ προειρημένου ὑμῖν συλλογισμοῦ μᾶλλον δὲ παραλογισμοῦ, καὶ τὸ παρὸν ἐπιχείρημά ἐστι, δῆλον ὅτι καὶ τῆς ὁμοίας ἔλαχε καταπτώσεως· εἰ καὶ μετά τινος ἀντεκλογῆς λέξεων, ἐκ τῶν ἑπομένων τοῖς πρώτοις, τὰ δεύτερα εἰσηγάγετε, πλῆθος ἡμῖν καὶ εὐπορίαν ἐπιχειρημάτων ἐμφανίζοντες· τὸ γὰρ συμπάσχον τινὶ ὁμολογουμένως, τούτῳ κατά τι πάντως καὶ συνήδεται· τοῦτο ἄρα καὶ δεῖται αὐτοῦ διὰ τὴν οἰκείαν ἡδονήν· εἴπερ οὖν ἡ τεῦξις τῆς τοιᾶσδε ἡδονῆς εὐεργεσία τὶς τῷ ἡδομένῳ λελόγισται, τὸ αὐτὸ ἡμῖν ἔκ τε τῆς συμπαθείας πρώην, καὶ νῦν ἐκ τῆς εὐεργεσίας δι' ἀμφοτέρων τῶν ἐπιχειρημάτων ἠπορήσατε· ἀλλ' ἐν μὲν τοῖς φθάσασιν, ἰδοὺ οὔτε μέρη εἶναι πάντως φυσικὰ τὰ συντιθέμενα εἰς ὑπόστασιν ἐδείκνυτο, οὔτε συντεθέντα πάντως καὶ συμπάσχειν· οὔτε συμπάσχοντα, πάντως καὶ ἀκουσίως συμπάσχειν· τίνος οὖν ἀκαταλύτου φυλαχθέντος ἐν τῷ πρώτῳ ὑμῶν ἐπιχειρήματι, πρὸς τὸ θάτερον ἐλθεῖν ἐτολμήσατε, οὐ φανερόν.

Τὸ δὲ παράδειγμα τόδε τὸ παρ' ὑμῶν ὅτι πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν δεῖται τοῦ σώματος ἡ ψυχή, πῶς ἄρα ὑμῖν εἴρηται; οὐδὲ γὰρ τοῦτο, καί τοι πῶς λέγεσθαι δυνάμενον, καλῶς ὑμεῖς

προηγάγετε· καὶ γὰρ οὐ πρὸς τὴν μάθησιν τῶν ἀληθῶν καὶ θείων, τοῦτό ἐστι τὸ ὁδηγοῦν καὶ συναιρόμενον τῇ ψυχῇ· ἀλλ' ἔστιν ὅτε καὶ τὰ μέγιστα παραβλάπτει, τὴν τῶν νοητῶν νοητὴν ἐπισκιάζον θεωρίαν διὰ τῆς τῶν αἰσθητῶν φαντασίας· ὥσπερ καὶ ὑμεῖς συχνοτέρως προσπταίετε πάθει περὶ τῶν θεοπρεπῶν ἐρευνῶντες τινὰ μυστηρίων· ὅτι γὰρ τῶν ὑλικῶν καὶ σωματικῶν καὶ τῶν κατ' αἴσθησιν μαθήσεων λίθοι καὶ ξύλα καὶ ζῶα καὶ οὐρανὸς καὶ ἥλιος καὶ ὕδωρ καὶ πῦρ ἐστιν, ἐν οἷς ὁ ὄλισθος τῶν ἀσεβῶν καὶ εἰδωλολατρῶν, τῶν μηδὲν πλέον τῶν ὁρωμένων δεξασάντων εἰς θεοσέβειαν, γέγονεν εὔδηλον ἅπασι· καὶ ὅτι ἡ ψυχὴ οὐ πειθομένη τῇ διὰ τοῦ σώματος αἰσθήσει μόνῃ λόγῳ εὗρε, καὶ οὐ δι' αἰσθήσεως τὸν ἀόρατον τοῦδε τοῦ παντὸς δημιουργὸν, καί τοι μὴ ὀφθέντα αἰσθήσει πώποτε, ἢ σωματικῶς ὄντα, ὅλως γνωστὸν, οὐδὲ ὑμᾶς οἶμαι διαμφιβάλλειν· πῶς δὲ καὶ τὸ ἐπιθυμοῦν κατὰ τοῦ πνεύματος, πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν, συμβάλλεσθαι αὐτῷ εἴποιτε ἂν ὀρθῶς, εἰ μή τι ἄρα τοῖς τούτων ἐναντίοις τὸ πνεῦμα συναίρεσθαι νομίζετε, ἄδηλον· ὁ δὲ λέγων τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου, ἆρα τοῦ πρὸς μάθησιν τῶν θείων ἐντολῶν καὶ εὐαρέστησιν χρειώδους ῥυσθῆναι δυσωπεῖ; καὶ πῶς ἐν ὁσίοις καὶ θεοδιδάκτοις καὶ φιλοθέοις οὗτος ἐπίσημος; τί δὲ ἂν εἴποιμεν ἐκ τῶν καθημέραν περὶ τὰς σωματικὰς ἐπιμελείας ἡμῶν πνευματικῶν μαθήσεων καὶ πράξεων ἡμῖν ἀμβλυνομένων; ἀλλ' ἔστιν ἀληθῶς ἰδεῖν τὸ ἐναντίον· ἢ βούλεσθε δεῖξαι κερδαίνουσαν τὴν ψυχὴν διὰ σώματος; τῇ γὰρ πρὸς τοῦτο μάχῃ καὶ τῇ τούτου παιδείᾳ, μισθὸν ἑαυτῇ περιποιεῖται, μέχρι μόνον τοῦδε τῆς κατ' αὐτὸ φροντίδος ἀντεχομένη τοῦ μὴ ὀδυνοῦν αὐτὴν, τῶν ἰδίων ἐνεργειῶν ἐμποδίζειν· ἢ θνῆσκον διὰ τὸ ὑπ' αὐτῆς ἀπρονόητον, αὐτονομίαν τῆς λύσεως τοῦ πρὸς αὐτὸ δεσμοῦ κατηγορεῖν· διὸ δὴ καὶ ἐν σαρκὶ ζῶντες, μὴ κατὰ σάρκα περιπατεῖν προστετάγμεθα.

## CAP. VIII.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μίαν φύσεως ἢ ὑποστάσεως σύστασιν, μέρος τῆς ἀποτελεσθείσης ἐξ αὐτῶν φύσεως δείκνυται· πᾶν δὲ μέρος ἑτεροούσιον μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως, οὐ καλεῖται τῷ ὀνόματι ἐκείνου ὥπερ σύγκειται· καὶ ἐπὶ τοῦ ἀνθρώπου γὰρ, εἰ καὶ τὰ μέρη αὐτοῦ καλεῖται τῷ τοῦ ὅλου ὀνόματι μετὰ προσθήκης τινὸς τοῦ ἔσω καὶ ἔξω, ἢ οὐκ ἄνευ προσθήκης τοιᾶσδε· εἰ δὲ καὶ τὸ ὅλον ἀπὸ μέρους ποτὲ σημαίνεται, ἀλλ' οὖν γε τὰ μέρη τῶν ἑτέρων μερῶν οὐκ ἠξίωται τῶν ὀνομάτων· οὔτε γὰρ ψυχὴ σὰρξ καλεῖται, οὔτε σὰρξ ψυχή· πᾶν ἄρα συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν, οὐκ ἠξίωται τοῦ ἑτέρου μέρους τοῦ ὀνόματος· εἰ δὲ τοῦτο, ἢ οὐ συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, υἱὸς ἀνθρώπου λεγόμενος, ἢ συν-

τεθεὶς, οὔτε αὐτὸς λέγεται υἱὸς ἀνθρώπου, οὐδὲ τὸ ἐξ ἡμῶν, υἱὸς θεοῦ, ὅπερ ἀσεβές.

Νῦν ὥσπερ ἀμελήσαντες περὶ τῶν πραγμάτων ζητεῖν, εἰς τὴν περὶ τῶν κλήσεων ἔρευναν μετεχωρήσατε, καὶ θαυμαστόν τι ἡμᾶς ἐδιδάξατε διὰ παντὸς τοῦδε τοῦ ἐπιχειρήματος ὑμῶν, ὡς μᾶλλον ἂν λέγοιτο τῷ τοῦ ἑτέρου ὀνόματι τὸ πάντη αὐτοῦ κεχωρισμένον, ἢ τὸ κατά τι αὐτῷ συγκείμενον· καί τοι ἡμῶν μὴ δὲ τοῦτο λεγόντων, ὡς ὁμοίως λέγεται, εἰ καὶ λέγοιτο θάτερον μέρος τοῦ συνθέτου τῷ τοῦ ἑτέρου ὀνόματι· ἴδωμεν δὲ καθεξῆς τὴν ὑμετέραν κατασκευήν· λέγετε γάρ· πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ ἑτεροουσίῳ εἰς μίαν φύσεως ἢ καὶ ὑποστάσεως σύστασιν, μέρος τῆς ἀποτελεσθείσης ἐξ αὐτῶν φύσεως δείκνυται· εἴρηται μὲν οὖν ἡμῖν ἤδη ἐν τοῖς ἔμπροσθεν ὡς τὰ ἐκ συνθέσεως μίαν φύσιν ποιοῦντα, οὐχ' ἡμῖν, τοῖς δὲ μίαν φύσιν τοῦ κυρίου λέγουσι, προσαγάγοιτε ἂν εἰκότως· τὰ δὲ ἐκ συνθέσεως, μίαν εἶναι τὴν ὑπόστασιν μόνον παριστάνοντα δέδεικται, ὡς οὐ κυρίως ἄν τις εἴποι μέρη ὑποστάσεως ἰδιώματά τινα οὐσιῶν, εἰ καὶ μὴ ἄνευ τῶν ἰδίων οὐσιῶν, ταῦτα θεωρεῖται· τούτων γὰρ ἡ ἄθροισις, μίαν παρέστησε τὴν ὑπόστασιν, καθ' αὐτὰ χωρὶς τῶν φύσεων, οὔτε εἶναι, οὔτε ἀλλήλοις συνελθεῖν δυναμένων· ὧν δὲ ὕπαρξις ἡ συνέλευσις ἰδικὴ οὐκ ἔστιν, ἅτε ἄλλοις παραπεμπομένων, πῶς ἂν τούτων ἰδία ὁλότης ἐπινοοῖτο; ὧν καὶ ἀμειβομένων, οὐχ ἅμα δὲ πάντων ἐν τοῖς ἀτόμοις, ἡ αὐτὴ κατ' ἀριθμὸν λέγεται εἶναι ὑπόστασις· οὐδέποτε δὲ τὸ αὐτὸ κατ' ἀριθμὸν ὅλον ἀμειφθέντος τινὸς αὐτοῦ ἢ τινῶν μερῶν ὑποληπτέον.

Εἰ δὲ μέρη τῆς ὑποστάσεως τὰς τῶν κατ' αὐτὴν ἰδιωμάτων φύσεις λέγετε, ἢ καὶ τὸ ὅλον ὁμοίως τοῖς μέρεσι φύσιν εἰδότες πᾶσαν ὑπόστασιν, φύσιν τινὰ κατὰ σύγχυσιν τῶν συνθεισῶν ἴστε φύσεων, καὶ ἐπεὶ γέννησιν ἑτέρας παρὰ τὰς ἐν τῇ ὑποστάσει συνελθούσας· ἢ οὐχ' ὁμοίως τοῖς μέρεσιν ἑαυτοῦ, τὸ ὅλον τῆς ὑποστάσεως εἶναι λέγετε, εἴπερ οὐσίας τὰ μέρη, ἀνούσιον τόδε τι εἶναι νομίζετε, καὶ ἐκ συνθέσεως τῶν ἐνυπάρκτων συνάγετέ τι ἀνύπαρκτον· μέσον γάρ τι οὐσιῶν καὶ ἀνουσίων, οὐκ ἔστι· εἰ δὲ μέρη τῆς ὑποστάσεως, τάς τε οὐσίας καὶ τὰ ἐνούσια ἰδιώματα αὐτῆς λέγετε, καὶ οὕτω πάλιν ἐπεὶ ἅμα καὶ ἐν ταυτῷ οὐσιώδη τε εἶναι αὐτὴν καὶ ἀνούσιον οὐκ ἔστι, θατέρῳ τῶν μερῶν ἑαυτοῦ μόνον τὸ ὅλον αὐτῆς ὁμοιωθήσεται εἰκότως, καὶ τῷ ἑτέρῳ διενέξεται, καὶ ἔσται οὕτως πρῶτα μὲν ἕτερον ἀριθμητὸν ἐξ οὐσίας τε ἀπὸ μέρους ὂν, πῶς ἀνούσιον εἴη, ἄπορον· ἢ ἐκ συμβεβηκότος ἀπὸ μέρους ὂν, πῶς οὐσία τίς εἴη, ἄδηλον· πρὸς τῷ καὶ εἰ τὰ ἐνούσια ὥσπερ καὶ αἱ οὐσίαι μέρη καὶ αὐτὰ τοῦ ὅλου ἐστὶν ἐν ταῖς οὐσίαις, τὰ μέρη τοῦ ὅλου ἐν μέρεσιν αὐτοῦ ὑπάρχειν ἐπ' ἄπειρον, καὶ οὐκ ἐν τῷ ὅλῳ ἁπλῶς θεωρεῖσθαι· ἔτι μὴν καὶ θατέρου

μέρους, ἤγουν τῆς οὐσίας φθαρέντος, ἐν τῷ ὅλῳ συμφθείρεσθαι καὶ τὰ ἕτερα ἀνάγκη, ἤγουν τα ἐνούσια μέρη τὰ συμβεβηκότα πάντα· οὐκοῦν καὶ τὸ ὅλον συναναιρεῖσθαι τῷδε τῷ ἑνὶ τῶν ἰδίων μερῶν, τίς ἂν εὐλόγως εἴποι τὸ πάντων ἀτοπότερον; εἴπερ γὰρ ἡ οὐσία μέρος, καὶ τὰ συμβεβηκότα μέρος· τούτων δὲ οὐδὲν πλεῖον ἐστὶ τῷ ὅλῳ, ἐνούσια δὲ συμβεβηκότα, ἀναιρουμένης τῆς οὐσίας, ἤγουν τοῦ ἑνὸς μέρους τοῦ ὅλου, πάντα συναναιρεῖται τὰ ἄλλα μέρη, καὶ τὸ ὅλον ἄρα ἐξ ἑνὸς μέρους τῶν ἑαυτοῦ ἀπόλλυται· ποῖα οὖν ταῦτα μέρη καλεῖν ἠξιώσατε ὑποστάσεως πρὸς ἡμᾶς; εἴπερ μὴ δὲ αἱ οὐσίαι μὴ δὲ τὰ φυσικὰ ἰδιώματα ἢ συμβεβηκότα ὡς μέρη εἰσὶν ἐν τῇ ὑποστάσει· οὐ γὰρ τὸ ἔν τινι, πάντως καὶ ὡς μέρος ἐστὶν ἐν αὐτῷ· πολλαχῶς γὰρ τὰ ἔν τινι.

Ἔτι μὴν εἰ πρὸς ἡμᾶς τοὺς εἰς μιᾶς ὑποστάσεως ἕνωσιν μόνον πιστεύοντας εἶναι τὴν σύνθεσιν τῶν φύσεων ἀντειρήκατε, πῶς ὡς οἴεσθε εὐφυῶς ἡμᾶς παρακρουόμενοι, φύσεως εἶναι μέρη τὰ συντεθέντα εἰς ὑπόστασιν ἀπεφήνασθε; εἰ μὲν γὰρ ὡς ταυτὸν εἰδότες φύσιν τὲ καὶ ὑπόστασιν τοῦτο φατὲ, ἤδη διὰ τῶν οἰκείως πρὸς τοῦτο εἰρημένων, ἤγουν τὸ μὴ ταυτὸν τάδε εἶναι, καταβέβλησθε· εἰ δὲ ἕτερον οἰόμενοι φύσιν, καὶ ἕτερον ὑπόστασιν, ὅμως πᾶν τὸ συντιθέμενον εἴτε εἰς φύσεως ὁλότητα, εἴτε εἰς ὑποστάσεως λόγου σύστασιν, οὐ γὰρ πᾶσα σύνθεσις καὶ συναγωγὴ, φυσικῆς ὁλότητός ἐστι μέρος δείκνυσθαι φύσεως φατὲ, δῆλον ὅτι μέρη φύσεως τυχὸν ἀνθρωπείας ἴστε καὶ ξανθότητα, καὶ λευκότητα καὶ γλαυκότητα· καὶ ταῦτα γὰρ ὑποστάσεως, εἰ καὶ μέρη φυσικὰ, ἀλλὰ μερικοὶ λόγοι τῶν ἐν αὐτῇ· ἔσται οὖν κατὰ φύσιν συγγενὴς, ἥτε γύψος καὶ χρυσὸς καὶ θάλασσα τῷ ἀνθρωπείῳ εἴδει κατ' οὐσίαν, ἐκ μέρους ἔχοντα πρὸς αὐτὸν τὴν τοιαύτην ἐν τοῖς τοιούτοις οὐσιώδη ὁμοιότητα· πλὴν οὐκ ἐν τούτοις μόνον ὑμῖν τὸ ἄτοπον, ἀλλ' ὅτι καὶ εἴπατε ἁπλῶς, τὰ μέρη τοῦ ὅλου, τῶν ἑτέρων μερῶν τῶν σὺν αὐτοῖς ἐν τῷ ὅλῳ μὴ ἀξιοῦσθε τῶν ὀνομάτων· οὔτε γὰρ ψυχὴ ἡ σὰρξ καλεῖται, οὔτε ἡ ψυχὴ σὰρξ· καὶ μὴν τὸ ὅλον ἡ ἁγία γραφὴ ἐκάλεσε σάρκα λέγουσα· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις· διότι εἰσὶ σάρκες· ἐν δὲ τῷ ὅλῳ ἤγουν τῷ ἀνθρώπῳ, ὡς μέρος δηλονότι ἡ ψυχή ἐστι, μάλιστά τε αὐτὴ νῦν κατηγορεῖται γενέσθαι σάρξ· ἡ γὰρ σὰρξ οὐδὲ ἐκ κακώσεως ἑαυτῆς γέγονε σάρξ, οὐδὲ ἐγκαλοῖτο ἂν ὑπὸ θεοῦ ὅτι γέγονε σὰρξ, οὕτως ὑπ' αὐτοῦ γενομένη.

Πῶς οὖν οὐκ ἠξίωται τοῦ ἑτέρου μέρους τοῦ ὀνόματος, τὸ ἕτερον; καὶ τοῦτο θεοῦ καλεῖν εἰωθότος τάδε· καὶ ἢν μὲν εἰπεῖν ὅτι οὐχ' ὁμοίως οὐδὲ φύσει λέγεται, εἴγε ὀρθῶς ἐξετάζειν ἠβούλεσθε· καὶ συνεφήσαμεν ἂν καὶ ἡμεῖς τοῦτο ὑμῖν· οὐδὲ γὰρ φαμὲν ὁμοίως πατέρα τοῦ λόγου καὶ τῆς σαρκὸς κατὰ φύσιν τὸν αὐτὸν· ἢ ὁμοίως μητέρα τοῦ λόγου καὶ τῆς

σαρκὸς κατὰ φύσιν εἶναι τὴν αὐτὴν, ὅσον καῖὰ τὸν τῆς φύσεως τρόπον καὶ λόγον· ἀλλ' ἴσμεν ὅτι τοῦ μὲν τῶν μερῶν ὡς εἰπεῖν ἐν Χριςῖῷ, καῖὰ φύσιν· τοῦ δὲ κατὰ χάριν τὴν διὰ τῆς ἑνώσεως τῆς πρὸς τὸ κατὰ φύσιν, ὁ αὐτὸς εἷς πατήρ ἐστι· καὶ ἑτέρως τοῦ μὲν κατὰ φύσιν, τοῦ δὲ κατὰ χάριν διὰ τῆς πρὸς τὸ κατὰ φύσιν ἑνώσεως, ἡ αὐτὴ μία μήτηρ ἐστί· πλὴν τὸ συμπέρασμα τὸ ὑμέτερον φάσκον ὅτι ἢ οὖν οὐ συνετέθη ὁ Θεὸς λόγος τῷ ἐξ ἡμῶν, υἱὸς ἀνθρώπου λεγόμενος ὡς τῆς συνθέσεως καταργουμένης ὑπὸ τῆς κλήσεως· ἢ συντεθεὶς, οὔτε αὐτὸς λέγεται υἱὸς ἀνθρώπου, οὐδὲ τὸ ἐξ ὑμῶν υἱὸς Θεοῦ, μάλιστά γε ὑμᾶς πλείστῃ περιπεσόντας ἀπροσεξίᾳ τῶν οἰκείων παρίστησι· θαυμαστὸν γὰρ εἰ ὑμεῖς, υἱὸν ἀνθρώπου τὸν αὐτὸν καὶ Θεὸν λόγον φατὲ· καὶ τὸ ἐξ ἡμῶν πάλιν ὑπάρχον, υἱὸν Θεοῦ· ὅπερ καὶ μὴ δοξάζειν, ἀσεβὲς νῦν ἐκηρύξαῖε, εἰ τῶν ὑμεῖέρων ἐπαΐειν ἐθέλοιτε· τὴν αὐτὴν ἑκαῖέραν ὀνομασίαν ἑκαῖέρῳ τῶν μερῶν προσάψανῖες, σὺν ἀκροτάτῃ ματαίᾳ πανουργίᾳ καὶ οὐκ ὀρθῇ τῇ διανοίᾳ· ἀλλ' ἵνα φησὶ ἐκ τῆς ἀντιδόσεως τοῦ ὀνόματος δείξητε μὴ εἰς σύνθεσιν ὡς ὅλου ἥκειν τάδε τὰ ὡς μέρη συνελθόντα κατὰ τὴν προεκτεθεῖσαν ὑμῖν ἀλόγιστον ἀπόφασιν· ὅτι τὸ συνῖιθέμενον εἰς μίαν ὑπόςῖασιν, οὐκ ἠξίωῖαι τῆς κλήσεως τοῦ συνόνῖος αὐτῷ μέρους· ἠξίωῖαι δὲ τῆς τε τοῦ λόῖου ἡ σὰρξ, καὶ τοῦ υἱοῦ τοῦ Θεοῦ ὁ υἱὸς τοῦ ἀνθρώπου· εἰ μὲν γὰρ ἀληθῶς ᾧ οὗτοι ἠξίωται τοῦ ὀνόματος, οὐδὲ ζητεῖν δεῖ τι περὶ τῆς συνθέσεως· οἰκειωθὲν γὰρ δι' αὐτῆς θάτερον θατέρῳ κατὰ φύσιν, μετέσχε καὶ τῶν φυσικῶν ὀνομάτων· εἰ δὲ οὐκ ἀληθῶς ὀνομάζεται, οὐδὲ ἀληθῶς κατά γε ὑμᾶς κεκώλυται τῆς συνθέσεως τῆς πρὸς ἄλληλα.

Τοῦτο γοῦν αὐτὸ εἰ ὅλως ὑμᾶς ὁ Θεὸς ὁμολογεῖν κατανύξειεν, ὡς ὁ αὐτὸς υἱός τε Θεοῦ καὶ υἱὸς ἀνθρώπου ἀληθῶς ὀνομάζεται, οὐδεμίαν ἔτι πρὸς ὑμᾶς ἀντίςῖασιν ποιούμεθα, ἀλλ' ὡς φίλους καὶ ἀδελφοὺς ἀσπασόμεθα· εἰ μέν τοι εἰ τῷ μὴ συγκεῖσθαι τὸν Θεὸν λόγον τῷ ἀνθρώπῳ, ἐκ τούτου ὑμᾶς ἔχειν ἀκωλύτως φατὲ τὸ θάτερον ὀνομάζειν μέρος τῷ θατέρου ὀνόματι, τῶν ἀσυνθέτων καὶ διακεκριμένων· εἰ συντεθεῖεν γὰρ, τῆς τοιαύτης μεταδόσεως τῶν ὀνομάτων ἄμφω τὰ συνελθόνῖα στηρίζεσθαι, δῆλον ὡς τοῦτο συνάῖοιτε, ὅτι τὰ πάνῖα διακεκριμένα ταῖς ὁλότησιν αὐτῶν, καθ' ὅσον ἂν ἀλλήλων ἀφίστανται, τοσοῦτον μᾶλλον δύναιντ' ἂν συνονομάζεσθαι τοῖς ἀλλήλων ὀνόμασι· τὰ δὲ συνελθόντα καὶ συγκείμενα ταῖς φύσεσιν εἰς μίαν ὁλότητα τοῖς ὀνόμασιν, ἀναγκαῖον μὴ συνάπτεσθαι· οὗ τί ἂν εἴη ῖελοιότερον; εἴ τις τῶν πραῖμάτων νομίζοι τὴν συνέλευσιν ποιεῖσθαι τὴν τῶν καῖ' αὐτὰ ὀνομάτων διάκρισιν· τὴν δὲ διάκρισιν τῶν πραῖμάτων, τὴν τῶν κατ' αὐτὰ ὀνομάτων συνέλευσιν· καί τοι, τὰ ἐναντία ὁρῶμεν· ὅτε γὰρ πυρὶ πυρωθεὶς ὁ σίδηρος ἑνωθῇ, τότε καὶ πῦρ ὀνομάζεται·

καὶ ὅτε χρυσῷ ἡ κιβωτὸς προσπλασθῇ, χρυσῆ· καὶ ἐν τοῖς λοιποῖς δὲ ὁρῶμεν ὅτι ὁ ἐν τῷ λευκῷ λευκός· καθ' ὑμᾶς δὲ ἔδει, ὅτε πυροῦταί τι, ὕδωρ μᾶλλον καλεῖσθαι· καὶ ὅτέ τις σωφρονεῖ, τότε ἀκόλαστος λέγεσθαι· καὶ ὅτε ἀδικεῖ, δίκαιος· τότε γὰρ μᾶλλον διέστηκε τάδε τῶν ἐναντίων αὐτοῖς· καίτοι πᾶν παρώνυμον, ἐκ μεταλήψεως καὶ ἑνώσεως τοῦ πράγματος, ἔσχε καὶ τοὔνομα· ἀλλ' ὄντως ἐοίκατε τὸ τῶν ἐσχάτως νοσούντων τὴν παραφροσύνην πεπονθέναι, οἳ πολλάκις ἑαυτοὺς καὶ σφοδρῶς παίοντες οὐκ αἰσθάνονται.

## CAP. IX.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν, μέρος δείκνυται τῆς ἐν αὐτῷ ἀποτελουμένης μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως· πᾶν δὲ μέρος μιᾶς φύσεως ἢ καὶ ὑποστάσεως, οὐκ οἶδε πῶς, ἢ ποῦ, ἢ πότε συνετέθη τῷ ᾧπερ συνετέθη, μήτι γε μετὰ ταῦτα ἀμυδρῶς πῶς μάθοι· πᾶν ἄρα συντιθέμενον ἑτέρῳ, εἰς τὸ ἀποτελέσαι μίαν φύσιν ἢ καὶ ὑπόστασιν, οὐκ οἶδε πῶς ἢ ποῦ ἢ πότε συνετέθη τῷ ᾧπερ συνετέθη, μήτι γε μετὰ ταῦτα ἀμυδρῶς πῶς μάθοι· εἰ δὲ τοῦτο, ἢ οὐ συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ πάντα ἐπιστάμενος, καὶ μηδήποτε μηδὲν μανθάνων, ἢ συντεθεὶς, οὐκ οἶδε πῶς ἡνώθη τῷ ἡμῶν ἀνθρώπῳ, ὅπερ ἀσεβές. Ἡ μὲν πρώτη ὑμῶν κἂν τούτῳ τῷ ἐπιχειρήματι πρότασις, οἷά τις οὖσα τρόπις καὶ τοῦ πρώην καὶ τοῦ παρόντος συλλογισμοῦ ἤδη προκατέακται ἐν ταῖς προλαβούσαις ἡμῶν ὑπαντήσεσι· πλὴν δεδόσθω καὶ οὕτως ἔχειν καθ' ὑπόθεσιν, ὅτι καὶ μέρη εἰσὶ τὰ τῆς ὑποστάσεως συστατικὰ, καὶ οὐκ ἴσασι πῶς ἢ ποῦ ἢ πότε συνετέθησαν· ἀλλ' ὦ οὗτοι ὅλον τοῦτο οὐ νοήσειέ τις ἂν, κἂν εἰ μικρὸν μετέχοι λογικῆς φύσεως ἐμπύρευμα, ὅτι ταῦτα τότε συμβαίνειν ἀνάγκη· ἡνίκα δὲ ὡμολόγηται ὅτι ὁ αὐτός ἐστι τῆς συνθέσεως ποιητὴς ὁ συγκείμενος, πῶς ἂν ἀγνοήσειε τὴν ἑαυτοῦ σύνθεσιν, ὃς καὶ πάσης συνθέσεώς ἐστι ποιητής; ἄλλως δὲ πάλιν εἰπεῖν πᾶν μέρος ὃ τέλειον ὑπάρχει κατὰ γνῶσιν, προϋπάρχει τε τῆς οἰκείας συνθέσεως, κἂν εἰ ὑφ' ἑτέρου συντίθεσθαι λέγοιτο, δέον καὶ αὐτὸ πάντως εἰδέναι, ποῦ τε καὶ πῶς, καὶ πότε συνετέθη, εἴγε μὴ τῆς οἰκείας τελείας γνώσεως, ἢ μετὰ τὴν σύνθεσιν ἐξέστη, ἢ πρὸ συνθέσεως ἀπολέλειπται· ἢ οὖν οὐ τέλειος τὴν γνῶσιν ὁ θεὸς λόγος, ἢ οὐ προϋπάρχων τῆς συνθέσεως ἑαυτοῦ καθ' ὑμᾶς ἔσται, ἢ πάντως τὴν ἰδίαν σύνθεσιν εἴσεται· τί οὖν ἡμῖν ἡ ἀχυρμία τῶν εἰρημένων ἀναγκαῖον ἐπαγίεται, εἰς δεῖξιν ἀσφαλῆ τοῦ λέγειν, ὡς εἰ συνετέθη ὁ θεὸς λόγος, οὐκ οἶδε πῶς ἢ ποῦ ἡνώθη τῷ ἐξ ἡμῶν ἀνθρώπῳ;

## CAP. X.

Εἰ σύνθετος ὁ δεσπότης Χριστὸς καθὰ φασὶ, μέρος ὁ θεὸς λόγος καθὰ βούλεται τῶν συνθέτων ὁ νόμος· πᾶν δὲ μέρος, ἔλαττον κατά τι καθέστηκε τοῦ ἰδίου ὅλου· ἐλάττων ἄρα τινὸς κατά τι ὁ θεὸς λόγος· οὐκ ἂν γὰρ εἴη μέρος, μὴ ἔλαττον ὢν τοῦ ὅλου· εἰ δὲ τοῦτο, οὐδὲ θεὸς ἀληθινὸς ὁ θεὸς λόγος· ἐπεὶ τὸν ἀληθινὸν θεὸν, οὐδενὸς ἐλάττονα λέγειν δυνατόν· ἀσύγκριτος γὰρ ὁ θεὸς πάμπαν καὶ ἀπαράβλητος· ἢ γοῦν ὁμολογείτωσαν φανερῶς τὴν πρὸς τοὺς ἀληθινὸν θεὸν εἰδότας τὸν θεὸν λόγον ἐναντιότητα, ἢ παυσάσθωσαν σύνθετον ἡμῖν εἰσάγοντες οὐσίαν ἔκ τε τοῦ θεοῦ λόγου καὶ τῆς ἡμῶν σαρκὸς ἐμψύχου. Αἱ καθολικαὶ ὑμῶν καταφάσεις· καὶ αἱ ἐκ τούτων ἀποδείξεις, ἀνόνητοι ὑμῖν ἀληθῶς νῦν ἀποδειχθήσονται· δι' ὧν γὰρ ἰσχύειν ἡγήσασθε, διὰ τούτων προφητικῶς φαμὲν ὑμῖν ἡττηθήσεσθε· τὸ γὰρ καίριον ἠγνοήσατε περὶ ὅτου ὁ λόγος, οὐκ ἐπισκέψαντες αὐτοῦ τῇ φύσει· οὐ γὰρ ἐπειδὴ πᾶν μέρος ἔλαττον τοῦ ὅλου καθέστηκε, διὰ τοῦτο καὶ ὁ θεὸς ὡς μέρος θεωρούμενος τοῦ λόγου καὶ τῆς σημασίας τοῦ ὅλου, τῆς κατ' αὐτὸν συνθέσεως, ἐλάττων τοῦ ὡς ὅλου λεγομένου κατ' αὐτὸν συνθέτου νομισθήσεται· τοὐναντίον μὲν οὖν, ἐπεὶ πάντα τὰ ἄλλα τῶν ὄντων συντιθέμενα ὡς μέρη τὲ καὶ ἐλάττονα τοῦ οἰκείου ὅλου τεθεώρηται· θεὸς δὲ οὐχ' εἷς τῶν πάντων, ἀλλὰ περὶ πάντα, καὶ ὑπὲρ πάντα ὑπεροχικῶς ἔχει· ἀκολούθως οὐδὲ κατὰ πάντα τὰ ἄλλα τὸν λόγον ἔχοι συντεθεὶς· ἢ ὡς μέρος λογισθήσεται ὅλου τινός.

Ἔστι γὰρ ὑμᾶς ἐπισκέπτειν, ὡς πᾶσαι αἱ καθόλου τῶν προτάσεων ἀποφάνσεις τότε ἔχουσι τὸ ἀναγκαῖον εἰς ἀπόδειξιν, ἡνίκα τινὸς ταυτογενοῦς ἢ ταυτοειδοῦς τῶν ὑπὸ τὸν προσδιορισμὸν ὁ λόγος ζητεῖται· εἰς γὰρ τὴν τῶν ἑτεροειδῶν ἢ ἑτερογενῶν φύσιν, οὐδὲν ἔχοι ἂν λυσιτελοῦν εἰς ἀπόδειξιν οὐδὲ τὰ καθόλου ἀποφαντικὰ, εἴπερ μὴ συμπεριλαμβάνοι ὡς ὁμοειδὲς τὸ ζητούμενον· καὶ δείκνυσιν ἢ ὑποκείμενον ἢ παραβαῖνον τὸν λόγον τῶν ὁμοφυῶν αὐτοῦ· οἷον εἰ περὶ Παύλου τοῦ ἀνθρώπου ζητοῖτο εἰ ζῶον ἐστὶν, ἡ καθ' ὅλου κατάφασις τοῦ εἴδους φάσκουσα πάντα ἄνθρωπον ζῶον εἶναι χρησιμεύσοι ἂν πρὸς τὴν κατασκευὴν τοῦ ζητουμένου· ὁμοίως δὲ καὶ ἐξεταζομένου ἡμῖν εἰ Παῦλος οὗτος τὸ ζῶον οὐσία ἐστὶ, πρόσφορος εἴη ἂν ἡ καθόλου κατάφασις φάσκουσα πᾶν ζῶον οὐσία· εἰ δὲ ἑτερογενοῦς τινὸς ἢ ἑτεροειδοῦς ζήτησις πρόκειται, πᾶσαι αἱ καταφάσεις καὶ ἀποφάσεις, ὅσαι ἂν εἶεν μὴ περὶ τῶν ὁμοειδῶν ἢ ὁμογενῶν τόδέ τι λέγουσαι, ἀργαὶ καὶ ἀνόνητοι καθεστήκασι πρὸς τὸ ζητούμενον· οἷον ζητουμένου εἰ οὐ λογικὸς ὁ Παῦλος, τοῦτό τις σπουδάζων ἀποδεικνύειν ἤγουν ὅτι οὐκ ἔστι λογικὸς, λέγοι πᾶς λίθος καὶ πᾶσα μέλανσις ἄλογος, οὐ-

δὲν οὐδόλως τῷ προκειμένῳ συνήγαγεν· εἰκότως οὖν ἐπὶ τούτῳ γελασθήσεται· καθ' ὅλου μὲν καταφάσκων τινὸς τὸ ἄλογον, ἀλλ' ἀνομοειδοῦς.

Φάσκοντες οὖν καὶ ἡμεῖς· πᾶν μέρος, ἔλαττον τοῦ οἰκείου ὅλου, εἰ μὲν πάντων τῶν μερῶν ὧν συντιθεμένων μεῖζον τὸ ὅλον γινώσκεται, καὶ τοῦτο τούτοις ὁμογενὲς καὶ ὁμοειδὲς φατὲ εἶναι τὸν θεὸν λόγον, καλῶς τὴν ἐκ τῆς καθόλου καταφάσεως ὁμοίαν αὐτῷ κατηγορίαν ἐπάγετε, ἵνα ὡς πάντα τὰ ὁμογενῆ καὶ ὁμοειδῆ μέρος γενόμενος, ὁμοίως ἔχειν καὶ αὐτὸς πρὸς τὸ οἰκεῖον ὅλον λογισθήσεται· εἰ δὲ τοῦτο οὐ τολμήσετε τὸ ἄθεον ἀπερεύξασθαι, διὰ τὸ μὴ φέρειν τὸν λικμῶντα ὑμᾶς ἔλεγχον τῆς ἀσεβείας παραχρῆμα ὑμῖν ἐπισκέπτοντα, δῆλον ὅτι οὐκ εὐλόγως· ἐπεὶ ἐν τοῖς ἄλλοις πράγμασι φυσικοῖς, τοῦτο βλέπετε καθολικῶς, καὶ ἐν τῷ ὑπὲρ φύσιν καὶ παρὰ τὰ ἄλλα ὄντι τὸν λόγον λόγῳ, τοῦτο ὀρθῶς φαίνεσθε· αὐτόθεν δὲ οἱ διὰ τιμὴν προσποιούμενοι, τῆς συνθέσεως ἐλευθεροῦν τὸ θεῖον, ἤδη λίαν ἀθέσμως αὐτὸ ἠτιμάσατε, οἰόμενοι μηδὲν ἔχειν τὴν αὐτοῦ φύσιν ἐξαίρετον παρὰ τὰ λοιπὰ γνωστά· διὸ δύναιτο ἂν καθ' ὑμᾶς, ὁμοίους λόγους τοῖς πᾶσιν εἰσπραττόμενος, καὶ πρὸς σύνθεσιν ἥκειν καὶ αὐτὸς σὺν ἑτέρῳ.

Καὶ ποῦ ὑμῶν αἱ προκείμεναι ἀπαγορεύσεις αὐτοῦ τῆς συνθέσεως, διὰ τὸ ἀσύγκριτον καὶ ἀπαράβλητον αὐτοῦ τῆς φύσεως παρὰ πάντα; ἀλλὰ δῆλον, ὡς καὶ ἐφ' ὧν λέγοιτό τι ποιεῖν ἢ πάσχειν θεὸς ὁ ὑπὲρ ἡμᾶς, οὐχ' ὁμοίως ἡμῖν ἐν τοῖσδε θεωρεῖται, εἰ καὶ τοῖς αὐτοῖς ἡμῖν ὑποβάλοιτο λόγοις, τινῶν γινομένων κατ' οἰκονομίαν αὐτοῦ, εἰς σωτηρίαν ἡμῶν· διαφόρῳ γὰρ τρόπῳ ἀναλόγῳ τῆς ἰδίας φύσεως· ὥσπερ γὰρ καὶ γεννᾷν ὁμοίως ἡμῖν λεγόμενος καὶ γεννᾶσθαι, οὐχ' ὁμοτρόπως πάντη, ἀλλὰ καὶ ὑπὲρ ἡμᾶς, οὕτω καὶ συντιθέμενος, ἐν κρείττονι λόγῳ τῶν καθ' ἡμᾶς· οὐδὲ γὰρ ἐν τοῖς φθαρτοῖς εἰ καὶ λέγοιτο ἐπὶ πάντων σύνθεσις, ὁ αὐτὸς λόγος καὶ τρόπος ἐπὶ πάσης συνθέσεως, ἀλλ' οἰκείως ἔχει ἐπὶ ἑκάστης φύσεως· ὑμεῖς δὲ νῦν ὡς τῆς αὐτῆς ὄντα τὸν θεὸν τοῖς κτιστοῖς οὐσίας, ὑπὸ τῶν αὐτῶν τὰ καὶ τούτοις συμβαίνοντα, καὶ αὐτῷ ἕπεσθαι νομίζετε· μόνην οὖν ἔσται νοεῖν καθ' ὑμᾶς φύσεως θείας μακαριότητα, τὴν ἔκκλισίν τε καὶ παραίτησιν αὐτῆς τὴν ἀπὸ τῶν δοκούντων εὐτελεστέρων καὶ ταλαιπωροτέρων καὶ ἀτιμοτέρων διαθέσεων, οὐ τὴν κατὰ φύσιν καὶ ἰσχὺν οὐσιώδη τῶν τοιούτων ὑπεροχὴν καὶ ἐλευθερίαν, καὶ τὸ πρὸς τὰς τοιαύτας ταπεινώσεις οὐσιωδῶς ἀμέθεκτον καὶ ἀνυπόβλητον· οὕτω δ' οὖν ὥρα ὑμᾶς καὶ τὸ ἀόρατον αὐτοῦ, μὴ ἐκ φύσεως, ἀλλ' ἐξ ἀποκρύψεως τινὸς ἀντιφράττοντος αὐτῷ πρὸς πᾶσαν ὄψιν ὑποπτεύειν· καὶ τὸ ἄφθαρτον ἄρα τοῦδε, τῷ μὴ παρεμβαλεῖν, ἀλλ' ἀφεστηκέναι τῶν παρ' ἡμῖν φθαρτικῶν τόπων, καὶ ποιῶν παθῶν τε καὶ ἐνεργειῶν καὶ ἁπλῶς πάσης τῆς κατ' αὐ-

τοῦ ἐπιβουλῆς· τοῦτο οὖν δέον ἐστὶ νοεῖν ὑμᾶς· τὸ καὶ μειρακίοις εὔδηλον, ὡς ὧν αἱ φύσεις διάφοροι, τούτων καὶ αἱ συνθέσεις· καὶ τὰ ταύταις παρεπόμενα, διάφορα.

Πῶς οὖν εἰ τὸ διάφορον τῆς θείας φύσεως μὴ ἀρνεῖσθε πρὸς ἡμᾶς, τὸ ὅμοιον τῆς συνθέσεως αὐτῆς ἀπαιτεῖτε καθ' ἡμᾶς; ἀλλ' ὄντως τὸ οὕτως εὔκολον ὑμῶν εἰς ἀσέβειαν φρίξαντες, δεῖν ὑμᾶς ὑπομιμνήσκειν νομίζομεν, ὅτι γραμματικοῖς μὲν φάσκουσι σεσημειῶσθαι τινὰ λέξιν ἐν τοῖς ἰδίοις καθολικοῖς κανόσι, παραχωροῦμεν καὶ ἀνεχόμεθα, μὴ προτιθέντες τῆς χρήσεως τὸν κανόνα· προτέρα γὰρ αὕτη· καὶ γὰρ ὁ κανὼν τῆς ἀναλογίας, ἐκ τῆς χρήσεως εὕρηται αὐτοῖς· καὶ οὐχ' ἡ χρῆσις, ἐκ τοῦ κανόνος εἴληπται· καὶ βασιλεῖ τοὺς νόμους ὑποτάττομεν, οὐ τοῖς νόμοις τὸν βασιλέα· τὸν δὲ θεὸν τὸν πρὸ πάσης τε κτίσεως, καὶ πάσης συνθέσεως εὑρετήν, οὕτως ἀξιοῦμεν μὴ δύνασθαι παρὰ τοὺς πάλαι ταύτης νόμους βουληθέντα συντίθεσθαι; ἢ καινότερόν τι καὶ ἰδικώτερον, τῇ κατ' αὐτὸν συνθέσει νομοθετεῖν; καὶ πῶς ταῦτα πάλιν οὐκ εἰς τὴν προειρημένην ὑμᾶς ἀποκλείουσιν ἀθεΐαν; τοῦ μὴ δὲ ἐκ μὴ ὄντωνοῦν ποιητὴν εἶναι δοξάζειν τὸν τοῦ παντὸς δημιουργὸν τὸν καὶ σαρκωθέντα λόγον ἀκαταλήπτως· τί δὲ καὶ μόνῳ τούτῳ τῆς θεοπρεποῦς συνθέσεως ἐνεσκέψατε τῷ θαυμαστῷ, εἰ ἄρα μηδενὶ τῶν ὑπὲρ λόγον καὶ φύσιν ἡμετέραν πιστεύετε; καὶ γὰρ καὶ ἄλλους ὑμῖν λόγους παραδοξοτέρους κηρύττομεν κατὰ τήνδε καὶ περὶ τῆσδε τῆς ὑπὲρ φύσιν θείας ἑνώσεως· καὶ γὰρ καὶ ἄσπορον σύλληψιν φαμὲν τοῦ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃν εἰ καὶ ἄνθρωπον οἴεσθε εἶναι ψιλόν, πολλῷ μᾶλλον ἀπιστότερον ἔσται· φυσικῷ γὰρ λόγῳ, τίς ἀνθρώπων ἀσπόρως συνελήφθη πώποτε;

Τί οὖν εἴποιτε; ἐπεὶ μὴ φύσει τόδε δυνατόν, οὐδὲ ὑπὸ θεοῦ γεγονέναι δύναται; ἢ δεῖ τοὐναντίον εὐσεβῶς ἐννοήσαντας ἰδεῖν, ὅτι εἰ τῶν γινομένων φύσει ἦν, οὐδ' ἂν θεοῦ ἐνέργεια ἀλλὰ φύσεως ἦν, καὶ ἐκ ταύτης ἐγεγόνει τὸ γινόμενον; ἡνίκα δὲ θείας ἀμέσως φύσεως γένοιτο ἐπινοίᾳ τὸ γινόμενον, οὐκ ἐκ προϋπάρξεως, ἀλλ' ἐκ μὴ ὄντος, νεωστὶ τοῖς οὖσι συντάττεται καὶ συνομολογεῖται· καὶ οὐ δέον ἐκ τῶν πάλαι ἐγνωσμένων, τοὺς λόγους καὶ τὴν δόξαν ζητεῖν τῶν παραδόξων, ἅπαξ μὴ ἀρνουμένους ὅτι ἔστι τὶ καὶ παράδοξον γίνεσθαι ὑπὸ θεοῦ· νόμοι γὰρ φύσεως καταλύονται ῥᾷστα τῷ νομοθέτῃ ἐν καιρῷ· εἰ γὰρ μὴ οὕτως ταῦτα καταδέχεσθε, ὥρα ὑμᾶς, μὴ δὲ τὴν ἐκ παρθένου μήτρας προέλευσιν προσίεσθαι οὑτινοσοῦν σώματος, κἂν ὡς βούλεσθε ἀνθρώπου ψιλοῦ τίς εἶναι λέγοι τὴν γέννησιν τὴν ἀπ' αὐτῆς· πᾶν γὰρ σῶμα διὰ σώματος χωροῦν, θάτερον δείξει διαιρεθέν· ἀλλ' οὐδὲ ἀβρόχῳ ποδὶ πεζεύειν ἐπὶ θαλάσσης ἀνδρεῖον σῶμα ἔχοι λόγον, ἐπεὶ μὴ δὲ φυσικὴν πιθανότητα· τὰ γὰρ κουφότερα τοῖς

βαρυτέροις, οὐ τὰ βαρύτερα τοῖς κουφοτέροις ἐπινήχεται σώμασιν· ἀλλ' οὐδὲ ὑπὸ πηλοῦ καὶ πτυέλου ὀφθαλμοὺς διαπεπλάσθαι ποτὲ, καὶ πρὸς τὴν παραχρῆμα ὁρατικὴν ἐνέργειαν ἀπαρτίζεσθαι τοῦ ἐκ γεννητῆς τυφλοῦ, οὐ δὲ νεκροὺς ἐκ τάφου ἀνίσtασθαι, οὔτε δέ τινα τῶν ἄλλων ὁμοίων θαυματουργιῶν δύναμιν τοῦ Χριστοῦ ἢ τῶν ἁγίων ὁμολογεῖν ἐστιν, ἐπεὶ μὴ τοῖς φυσικοῖς λόγοις προεγνωσμένην ἔχουσι τῆς αἰτίας τὴν ἀπόδειξιν· οὐκοῦν, οὐκ ἐκ τοῦ συντεθεῖναι ἤδη εὐλόγως τῆς θείας τελειότητος μερικὴν ἀτέλειαν καtηγορήσετε· ὁ γὰρ ὡς μέρος λεγόμενος τοῦδε τοῦ ὅλου συνθέτου θεὸς ἅπαξ νοούμενος, ὡς ὅλον τὶ μεῖζον ἔχειν ἑαυτοῦ ὡς μέρους, οὐ νοηθήσεtαι· τῶν τῆς φύσεως αὐτοῦ ἀκολούθων λόγων νικώντων· καὶ τοὺς τῆς συνθέσεως αὐτοῦ· εἰ γὰρ καὶ τῆς συνθέσεως τῆς θείας ὁ λόγος ἀπαιτεῖ, μεῖζον εἶναι τοῦ μέρους τὸ ἴδιον ὅλον, ἀλλὰ τῆς φύσεως τῆς θείας ἀπαιτεῖ λόγος, μηδὲν αὐτῆς μεῖζον ἐπινοεῖσθαι· τῶν δύο οὖν ἐναντίων λόγων, τίς μᾶλλον τῷ ἑτέρῳ ἀνατραπήσεται; εἰ μὲν οὖν τῇ φύσει συναναιρεῖται ἡ σύνθεσις, οὐ συναναιρεῖ δὲ, πῶς οὐ δέον τῇ φύσει παραχωρεῖν τὴν σύνθεσιν; εἰ δὲ μὴ οὕτως ἔχει, δῆλον ὡς δέον κρατεῖν ὑπὲρ τὴν φύσιν τὴν σύνθεσιν· φανερὸν οὖν ἐκ τῶν ἀποδεδειγμένων πάντων, ὡς καὶ μέρος ὁ λόγος, οὐ μετὰ μερικῆς ἀτελείας λέγεται· καὶ συντιθέμενος, οὐ καθὼς φατὲ τῷ νόμῳ τῶν συνθέτων οὐσιῶν τῶν παρ' αὐτῶν ὑποβάλλεται· οὔτε ἔλαττον τοῦ λεγομένου ὅλου, κατά τινα τρόπον σημασίας τοῦ συνθέτου· ἢ κατὰ τὴν τῶν κτιστῶν σμικρότητα καὶ σχέσιν φυσικὴν, τὴν ἑαυτοῦ ἄκτιστον οὐσιώδη τελειότητα ἐπιδείκνυται· οὐκ ἔλαττον οὖν ἄρα τινὸς ἢ κατά τι ὁ θεὸς λόγος, οὐδὲ συντιθέμενος, οὐδὲ ἀσύνθετος· καὶ οἴχεται ὑμῶν καπνοῦ δίκην διαλυθέντα τὰ ἄλυτα ὡς οἴεσθε καὶ δυσκαταγώνιστα σοφίσματα· πλὴν καὶ τούτων οὕτως ἐχόντων, ἡμεῖς σύνθετον μὲν κατ' οὐσίαν τὴν αὐτοῦ πρὸς τὴν ἡμετέραν οὐσίαν φαμὲν τὸν λόγον· καὶ ὡς μέρος τοῦ συνθέντου ὅλου Χριστοῦ διαστέλλομεν· σύνθετον δὲ οὐσίαν, ἀπὸ τῆς αὐτοῦ τὲ καὶ τῆς ἡμετέρας, οὐ φαμέν ποτε, μὴ γένοιτο.

## CAP. XI.

Πᾶσα μία φύσις ἢ καὶ ὑπόστασις συγκειμένη ἐκ μερῶν ἑτεροουσίων, ἔχει τινὰς ἐνεργείας, ἃς οὐδ' ὁπότερον, ἐξ ὧν συνέστηκε, δύναται καθ' ἑαυτὸ καὶ χωρὶς τῆς τοῦ ἑτέρου ἐνεργείας ἐκτελέσαι τινὶ τρόπῳ πότε· οἷον ψυχὴ καὶ σῶμα, δέονται ἀλλήλων εἰς τὸ καταρτίσαι πλεῖον, οἰκοδομῆσαι οἶκον, ὑφᾶναι χιτῶνα, καὶ εἴτι τοιοῦτον· ὅπερ ὡς εἶπον ἀδύνατον ἑνὶ αὐτῶν χωρὶς τῆς θατέρου συνεργίας ἐκτελέσαι, δι' οὐδήποτε τρόπου· εἰ τοίνυν μία φύσις, ἢ μία ὑπόστασις ἀπετελέσθη ἐκ συνθέσεως ὡς φασὶ τῆς τοῦ θεοῦ λόγου πρὸς τὸν ἐξ ἡμῶν ἄνθρωπον, εἰσὶ τινὲς ἐνέργειαι τῆς τοιᾶσδε φύσεως καὶ ὑποστάσεως, ἃς ὁ θεὸς λόγος καθ' ἑαυτὸν οὐκ ἠδύ-

νατο πληρῶσαι τινὶ τρόπῳ· τὸ δὲ μὴ δύνασθαι, διχῶς λέγεται παρὰ τῇ θείᾳ Γραφῇ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ· ἢ ὡς ἀδύνατον τὸν θεὸν ψεύσασθαι, διὰ τὸ ἀπερίγραπτον· ἢ ὡς δῶρα τὲ καὶ θυσία μὴ δυνάμεναι κατὰ συνείδησιν τελειῶσαι τὸν λατρεύοντα, διὰ τὸ ἀσθενὲς καὶ ἀνέφικτον οἱασοῦν ἐνεργείας, εἰ δώσουσιν· ἃς οὐ δυνάμενος ὁ θεὸς λόγος πληρῶσαι καθ' αὐτὸν, τῇ τοῦ ἀνθρώπου ἐνεργείᾳ ἐξετέλεσεν· ἢ ἀσθενῆ δεικνύουσι τὸν θεὸν λόγον, ἢ πεπραχότα τὰ ἀπρεπῆ· καὶ εἰ μὲν τὸ πρῶτον, ἔτι καὶ νῦν ὁ πατὴρ ἀτονεῖ πρὸς τὴν ἀποπλήρωσιν τῶν τοιῶνδε ἐνεργειῶν, μὴ συγκείμενος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· καὶ κατὰ τοῦτο, μείζων ὁ υἱὸς τοῦ πατρὸς· ὅπερ ἀσεβές· εἰ δὲ τὸ δεύτερον, πρόδηλον τὸ βλάσφημον· ὁ θεὸς γὰρ οὐδὲν τῶν ἀπρεπῶν διαπράττεται, οὔτε καθ' ἑαυτὸν, οὔτε μεθ' ἑτέρου· εἰ δὲ οὐδέτερον δοῦναι ὅσιον, οὐδὲ ἄρα οὐδὲ ἡ σύνθεσις γεγένηται τοῦ θεοῦ λόγου καὶ τοῦ ἐξ ἡμῶν ἀνθρώπου.

Ὅμοιόν τι πεπονθέναι ἡμῖν δοκεῖτε τοῖς ἀφυῶς ἐν ταῖς τοξείαις τῶν σκοπῶν ὑπερακοντίζουσι, καὶ ἀτεχνίαν μᾶλλον ἤπερ εὐστοχίαν ἐπιδεικνυμένοις, τῷ μὴ εἰδέναι καθ' οὗ τὲ καὶ ὅσον καὶ ὅπως τὰ βέλη δέον ἀποπέμπεσθαι· καὶ γὰρ καὶ ἐν τούτῳ μᾶλλον πρὸς τοὺς μίαν τὴν φύσιν λέγοντας ἀντιλέγειν ὀνειροπολήσαντες, ὥσπερ κἀν τῷ πρὸ τοῦδε ἐπιχειρήματι, νῦν ὥσπερ τῇ ῥύμῃ τῆς πρὸς φιλονεικίαν ἐφέσεως, καὶ πρὸς ἡμᾶς τοὺς μίαν λέγοντας τὴν ὑπόστασιν καὶ οὐχὶ τὴν φύσιν, ἐπὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἀντιφέρεσθε· ἀλλ' ἡμεῖς γε συντόμως ὑμῶν τὴν κατασκευὴν, ἀνασκευάσομεν· πᾶσα γὰρ ἐνέργεια, ἐκ δυνάμεώς ἐστι· πᾶσα δὲ δύναμις τῶν συνθέτων, ἢ ἐκ τῶν κατ' αὐτὰ μερῶν, ἢ ἐκ τῆς συνθέσεως αὐτῆς ἐνυπῆρξεν αὐτοῖς· εἴπερ οὖν τὸ μὲν ἓν μέρος τῆσδε τῆς συνθέτου ὑποστάσεως αὐτός ἐστιν ὁ θεὸς λόγος, τοῦ δὲ ἑτέρου μέρους τοῦ σὺν αὐτῷ, καὶ τῆς ἑαυτοῦ δὲ πρὸς ἐκεῖνο συνθέσεως αὐτός ἐστιν αἴτιος, πᾶν δὲ αἴτιον, μεῖζον τήν τε δύναμιν καὶ τὰς ἐνεργείας ὑπὲρ τὰ ἴδια αἰτιατὰ, πῶς τὸ κατὰ Χριστὸν ὅτι ἂν τις εἴποι γεγονὸς σύνθετον, μείζονα ἕξει τινὰ ἐνέργειαν τοῦ ἐν αὐτῷ μὲν, αἰτίῳ δὲ αὖ τοῦ μέρους, ἤγουν τοῦ θείου λόγου; ἀλλ' ἐπεὶ περὶ οὐσιῶν ἡμῖν παρέσχε τῶν ὑμετέρων ἀτοπιῶν ἡ ὑπερβλύζουσα ἀλογία, ἔτι καὶ τούτων οὕτως ἐχόντων, ὅμως καὶ τοῦτο λεκτέον ὑμῖν, ὅτι εἰ τοῖς νοητοῖς ὀφθαλμοῖς ἀτενίσητε, εὔκολον ἰδεῖν πάνυ ὡς καὶ γεγόνασι πλεῖσται καὶ τραναί τινες ἐνέργειαι τῷ συνθέτῳ, ἃς οὔτε θεὸν ἄσαρκον, οὔτε ἄνθρωπον ἀθέωτον ἦν δυνατὸν ὥσπερ νῦν γεγόνασι διαπράξασθαι· τίνι γὰρ εἴπατε ἡμῖν λόγῳ, ἢ θεὸς ἄσαρκος σωματικὸς διὰ μήτρας ἀφθόρου χωρήσει, ἢ σῶμα ἀθέωτον διὰ σώματος ἀφθόρου μήτρας χωρήσει πώποτε; μ̄ δὲ ἡμέρας τίς νηστεύσας, οὐκ ἐπείνασεν ἄνθρωπος; τίς δὲ πρώην ἢ μετὰ τεσσαράκοντα ἡμέρας θεὸς ὅλως ἐπεί-

νασεν; ὑπὲρ ὕδατος δὲ τίς ἂν εἴποι Θεὸν ἀληθῶς σαρκικῶς ποδὶ πεζεῦσαι ποτὲ; ἢ ἀνθρωπείαν ἀθεεὶ φύσιν ἴχνεσιν ἀβυθίστοις θαλάσσια νῶτα διαπορεύεσθαι; καὶ τὰ τούτοις ὅμοια μεγαλουργήματα, ὧν οὐδὲ φύσις θεία ποτὲ τὶ σαρκικῶς διαπέπραχεν, οὔτε ἀνθρωπεία τὸ σύνολον ἐθαυματούργησεν· εἰ οὖν πρὸς ταῦτα πάντα μηδέν ἐστι ὑμῖν λέγειν, καλὸν ὑμᾶς ἐξ ἐπιγνώσεως, θάτερον διαπράττεσθαι· ἢ βλέποντας τὰ ὡς ἀληθῶς θαυμαστὰ καὶ ἐξαίσια, λαλεῖν οὕτως ὡς τῶν μεγάλων θεατάς, ἢ μὴ ὁρῶντας τὶ μέγα, μὴ ληρεῖν περιττά.

## CAP. XII.

Πᾶν ὁτοιοῦν συγκείμενον ἑτέρῳ, ἢ δι' ἑαυτὸ σύγκειται, ἢ δι' ἕτερον· καὶ σύγκειται μὲν δι' ἑαυτό, οἷον ψυχὴ τῷ σώματι· δι' ἕτερον δέ, τὰ μέρη τῆς οἰκίας· δι' ἄνθρωπον γάρ· ὁ δὲ Θεὸς λόγος, οὔτε δι' ἑαυτὸν συγκείσεται, ἀπροσδεὴς γάρ· οὔτε δι' ἕτερον, οὔ τινος γὰρ χείρων· ἐπεὶ πᾶν συγκείμενον ἑτέρῳ, οὐ δι' ἑαυτό, ἀλλὰ δι' ἕτερον, ἧττον ἐκείνου καθέστηκε δι' ὅπερ σύγκειται· εἰ δὲ μήτε δι' ἑαυτόν, μήτε δι' ἕτερον συντιθήσεται ὁ Θεὸς λόγος, ἀσύνθετος ἄρα καὶ τινὶ ποτὲ εἰς σύνθεσιν μὴ συντρέχων. Μιᾶς καὶ τῆς αὐτῆς ἀσεβοῦς ῥίζης, ἅπαντα ὑμῶν τὰ βλαστήματα, καὶ τὴν ὁμοιοτροπίαν τῆς ἀτοπίας ἔχοντα, ἐν τῇ παραλόγῳ τοῦ ὑπὲρ πάντα Θεοῦ σὺν τοῖς πᾶσι καταμίξει· εἰ γὰρ ὡς βούλεσθε πᾶν ὁτιοῦν συγκείμενον ἑτέρῳ, ἢ δι' ἑαυτὸ ἢ δι' ἕτερον σύγκειται· εἰ δὲ τῶν πάντων ὁ Θεός, ὡς οἴεσθε, ἐκ τῆς καθόλου ὑμῶν προτάσεως τὰ τῆς ὑμετέρας ἀποπλανήσεως δείξομεν· εἴποιμεν γὰρ ἂν καὶ ἡμεῖς οὕτως τοῦτο· ἐπεὶ πᾶν τὸ ποιοῦν τι, ἢ δι' ἑαυτὸ ἢ δι' ἕτερόν τι ποιεῖ· τὸ δὲ ποιοῦν δι' ἑαυτό, ἐπιδεὲς τοῦ γινομένου καθ' ὑμᾶς· καὶ τὸ δι' ἕτερόν τι ποιοῦν, ἧττον ἐκείνου καθέστηκεν ὡς φατέ· θεὸς ἄρα ποιῶν τὸν κόσμον ἢ δι' οἰκείαν χρείαν, ἢ διὰ τὴν ἑτέρου κρείττονος λειτουργίαν, τοῦτον ποιεῖ· ἢ εἰ μήτε δι' ἑαυτόν, μήτε δι' ἕτερον μείζονα ποιεῖ, οὐδὲ ποιήσει πώποτε· καὶ πῶς ὑμῖν ταῦτα λέγειν ἐξείη, μὴ τὴν ἀκροτάτην αἱρουμένοις κακοδοξίαν ἐπιγράφεσθαι; ἀλλὰ καὶ τὸ προνοοῦν τινός, ἢ δι' ἑαυτὸ ὡς ψυχὴ σώματος, ἢ δι' ἕτερον, ὡς τῆς κατ' οἶκον ὑπηρεσίας οἱ θεράποντες, διὰ τὸν ἴδιον δεσπότην· καὶ Θεὸς οὖν κατὰ τὰ ἐξ ὑμῶν λεγόμενα προνοῶν πάντων, ἢ διὰ τὴν ἑαυτοῦ χρείαν τοῦτο ποιεῖ, καὶ ἔσται τῶν προνοουμένων ὑπ' αὐτοῦ ἐπιδεής· ἢ ὡς ὑποδεής τις, οὐχ' ἑνὸς μόνου δεσπότου, ἀλλὰ τῶν ἁπάντων· καὶ ἥττων φανήσεται τῶν προμηθουμένων ὑπ' αὐτοῦ, καὶ κοράκων, καὶ κρίνων τοῦ ἀγροῦ, καὶ κτηνῶν οἷς ἑτοιμάζει ἐν καιρῷ τὰ σιτία καὶ περιβόλαια· ταῦτα δὲ τὶς ὑποίσει τὰ βλάσφημα;

Ἀλλ' οὐκ ἐλάθετε καὶ τοῦτο πάλιν ἑκοντὶ παρορῶντες, καὶ τοῦ μυστηρίου τῆς θείας ἐνανθρωπήσεως τὸ κεφαλεωδέστερον παρασιωπῶντες, οἳ

τὸν ἕτερον τρόπον τῶν γινομένων οὐδὲ ὅλως εἰς μνήμην ἀγαγόντες· ὅς ἐστιν ὁ κατὰ πρόνοιαν τῶν χειρόνων, ὁ τῇ ὑπὸ τοῦ κρείττονος δι' ἀγαθότητα προϊούσῃ κηδεμονίᾳ γινόμενος· καθ' ὃν καὶ γνωρίζεται ἰδιαίτατα ὁ ἀγαθός τε καὶ παναλκὴς Θεὸς καὶ πάντων αἴτιος· διὰ τοῦτον οὖν καὶ συντεθεῖσθαι λέγεται, τὸν ἴδιον σκοπὸν ἀληθῶς ὑπὸ τῶν ὀρθοδόξων περὶ αὐτοῦ λογιζομένων τὴν περὶ αὐτοῦ ἀλήθειαν· φησὶ γὰρ αὐτὸν τὰ λόγια· ὅτι οὐχ' ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ, ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· τί οὖν χρήσιμον ἐκ τούτου γένοιτο, τέλος κατὰ τὸν σκοπὸν ἐκβεβηκὸς τοῦ κενωθέντος; οὐδὲν ἄλλο πλὴν τοῦ ἡμᾶς ἐκ δουλείας ῥυσθῆναι οὓς προσελάβετο, καὶ εἶναι ἴσα Θεῷ, κατὰ τὴν ἀρχῆθεν αὐτοῦ περὶ ἡμῶν εὐδοκίαν, τοῦ εἶναι κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν· ἆρα δὲ οὕτως ἀληθῶς διάκεισθε, τὴν οἱανοῦν ἐπαρκίαν οὐδέποτε ἐκ τῶν ἀπροσδεῶν γινομένην τοῖς χείροσιν οἰόμενοι, μήτε ἑαυτοὺς μὴ δὲ ἕτερόν τινα ἰδόντες ἢ ἀκηκοότες πώποτε διὰ τὸν ἐν λάκκῳ ἢ ἐν βοθύνῳ καταπεπτωκότα ἄνδρα τυχὸν ἢ κύνα ἢ ἕτερόν τι κτῆνος, πολλάκις ἑαυτὸν ἐπαφέντα τῷ κινδύνῳ, ἵνα ἐκεῖνο ἀνασπάσηται; εἰ δὲ τοῦτο τῶν ὁσημέραι γινομένων τοῖς μὴ σατανικοῖς τὴν πρόθεσιν, καὶ ταῖς φθοραῖς τῶν ὀλλυμένων ἐπιτερπομένοις, τί ἂν εἴπομεν ἐπὶ τούτοις προφανῶς γινομένοις; ἆρά γε ὅτι δι' ἑαυτὸν ὁ ἐν ἀσφαλείᾳ ἑστὼς συνεκινδύνευσε καὶ συνεβυθίσθη τῷ ἀπολλυμένῳ; ἀλλὰ τί τὸ χρήσιμον αὐτῷ ὅσον ἐπὶ τούτῳ, σημάνατε· εἰ δὲ ὡς κρείττονι τῷ βοηθουμένῳ ὁ βοηθῶν ἐπεκούρησε, πολλάκις μὲν οὖν καὶ κυνὸς χείρονα τὸν σεσωκότα τοῦτον ἄνδρα δείκνυσιν ὑμῶν ὁ λόγος αὐτός· ἀλλὰ καὶ τὸν παρατυχόντα βασιλέα ζωΰφίῳ κατ' οἰκείαν αἵρεσιν ἐπαμύνοντα· ὁ δὲ τὸν τοῖς λῃσταῖς περιπεσόντα θεραπεύσας σαμαρείτης, καὶ ἀνακομισάμενος εἰς τὸ ὑποζύγιον καὶ θητεύων καὶ παντοίως ἐπιλούμενος καὶ προσδαπανῶν, ἢ αὐτὸς πεπονθὼς τὰ ἐκείνου ἐποίει τάδε, καθὼς φατὲ δι' ἑαυτόν τε καὶ οὐ δι' ἐκεῖνον ἤλγει ἐπὶ ταῖς ἐκείνου πληγαῖς· ἢ ὡς κρείττονι δουλεύων, οἰκετικῶς ταῦτα εἴρηται ποιεῖν· καὶ ἔσται καθ' ἕτερον οὐκ ἐνάρετος οὐδὲ μισθὸν ἢ εὐχαριστίαν εἰκότως ὀφειλόμενος· οὕτως δ' οὖν πάντων μᾶλλον ἂν εἴη Θεὸς ὁ πᾶσι βοηθός, χείρων πάντων ἐλαττοῦσθαί τε, οὐ τινὸς ἢ τινῶν ὑποπτεύοιτο μόνον καθ' ὑμᾶς ὁ πᾶσιν ἐπαρκῶν, ἀλλὰ τῶν ὅλων· καὶ τίς ἀνέξεται τῆς τοσαύτης παρανοίας; οὐκοῦν δῆλον; ὡς δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἡμῖν συνετέθη ὁ Θεὸς ἡμῶν.

## CAP. XIII.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ, ἢ μένει ἐν τῇ συνθέσει τῇ πρὸς ὃ συνετέθη ἀδιαλύτως, ἢ οὐ μένει· καὶ οὐ μένει μὲν, οἷον τὰ μέρη τῶν ἀλόγων ζώων· μένει δὲ, οἷον τὰ τῶν ἀνθρώπων, μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν· πᾶν δὲ τὸ μένον ἀδιαλύτως, ἢ καὶ μὴ μένον, ἐν τῇ πρὸς τὸν ᾧ

συνετέθη συνθέσει, οὔτε ἀφ' ἑαυτοῦ μένει, ἀλλὰ κατὰ τὸν ἐντεθέντα τῇ φύσει ὅρον ὑπὸ τοῦ δημιουργοῦ διαλύεται, οὔτε τῇ οἰκείᾳ δυνάμει μένει, ἀλλὰ τῇ κρείττονός τινος καὶ ὑπερβεβηκότος· τοῦ δὲ θεοῦ λόγου εἶναι τινὰ κρείττονα δύναμιν, οὐ θέμις εἰπεῖν· οὐκ ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· εἰ δὲ συνετέθη, ἢ οὐ μένει ἀδιαλύτως ἐν τῇ πρὸς αὐτὸν συνθέσει, ἢ μένων, κρείττονός τινος δυνάμει μένει, ὅπερ ἀσεβές.

Καιρὸς ἡμῖν τῆς ὑμετέρας θρασυλογίας παρακμαζούσης, δαυϊτικῶς ἐπιφθέγγεσθαι· τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι· τί γὰρ δὴ τοῦτο ὑμᾶς βούλεται τὸ ἐξ ἀπορίας πρόβλημα; τοὐναντίον γὰρ ἡμεῖς εἴποιμεν ἄν, ἐπεὶ πάντα τὰ συντιθέμενα ὑπό τινος μείζονος διατηρεῖται ἢ κατὰ καιρὸν διαλύεται· τοῦτο αὐτὸ μάλιστα ζητητέον τοῖς ἀσφαλῶς ἐρευνᾷν βουλομένοις τί τὸ πάντων διατηρητικὸν τῶν συντιθεμένων ἐστίν· εἰ δὲ πῇ μὲν ἀμέσως, πῇ δὲ διὰ μέσων ὥς τινες φασὶ φύσεως τυχὸν ἢ ἑτέρας δυνάμεως, πάντων ὅμως ὁ θεῖος μόνος λόγος διατηρητικός τε καὶ διοριστικός ἐστιν, ἐπεὶ καὶ προακτικός· ὡς καὶ τὰ μέσα καὶ τὰ διὰ τῶν μέσων συσφιγγόμενα ἢ διακρινόμενα τῇ αὐτοῦ διατάξῃ τε καὶ συνοχῇ, καὶ διατηρεῖσθαί τε καὶ συντίθεσθαι· πῶς οὐκ ἠλίθιον αὐτοῦ παρόντος, ἕτερον ζητεῖν συνοχέα ἐπὶ τῆς αὐτοῦ συνθέσεως; μήτι δὲ ἄρα τοῦτο φατὲ, ὅτι τὰ μὲν ποῤῥωτέρω που τῆς αὐτοῦ φύσεως διατηρεῖν οἷός τε ἂν εἴη, τὸ δὲ τῇ φύσει ἰδίως τῇ αὐτοῦ ἑνούμενον συνέχειν οὐ δύναται; καὶ τί τούτου ἂν εἴη ληρωδέστερον; εἰ δὲ διότι μὴ ὑπ' ἄλλου διατηρεῖται κρείττονος, διὰ τοῦτο μὴ δὲ ὑφ' ἑαυτοῦ, μὴ δὲ ὅλως διατηρεῖσθαι τὴν αὐτοῦ σύνθεσιν ἀδιαλύτως νομίζετε, ὁμοίως ἂν διότι μὴ δὲ ὑπ' ἄλλου γέγονε κρείττονος· πᾶν γὰρ ὂν ὑπό τινος κρείττονος γεγένηται, μὴ δὲ εἶναι αὐτὸν ὁμολογήσοιτε ἄν· θεοῦ γὰρ οὐδὲν κρεῖσσον· καὶ ἀνάγκη μὴ δὲ εἶναι θεὸν, ἐπεὶ μὴ δὲ ἔσχεν ὑφ' ὃ τοῦ κρείττονος γεγένηται· ἢ ὄντα κατὰ τὴν ὑμετέραν δοκήσει σοφίαν, ὑπό τινος κρείττονος γεγενῆσθαι ἀνάγκη· τούτων δὲ τὴν ἀσέβειαν ὅση, ὑμῖν καταλείψομεν ἀφυπνοῦσιν ἐκμετρήσασθαι· ἀλλ' οὕτως μὲν τάδε· ἐν δὲ τῷ συμπεράσματι, πῶς τὴν διάκρισιν τοῦ λόγου ἀπὸ τοῦ συγκειμένου αὐτῷ παρεχωρήσατε, τὴν δὲ συνοχὴν, ὑπὸ κρείττονος εἶναι συνησαγέτε, οὐκ ἴσμεν· ἐν ἀρχῇ γὰρ τῆς κατασκευῆς ὑμῶν, πᾶν τὸ μὴ μένον, ἢ μένον ἐν τῇ συνθέσει, οὔτε ἀφ' ἑαυτοῦ μένειν, οὔτε ἀφ' ἑαυτοῦ διαλύεσθαι ἐλέγετε συλλογιστικώτατοι.

## CAP. XIV.

Εἰ σύγκειται ὁ θεὸς λόγος τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ ὡς σύγκειται ἡ λογικὴ ψυχὴ τῷ ἡμετέρῳ σώματι, τῆς ἐξ ἡμῶν ἐμψύχου σαρκὸς καθευδοκούσης, εἴργεται ὁ θεὸς λόγος τῶν οἰκείων ἐνεργειῶν ἀβουλήτως, καθάπερ ἡ ψυχὴ παύεται τοῦ ἐνεργεῖν ἐξ ἀνάγκης, τοῦ σώματος εἰς ὕπνον

τρεπομένου· εἰ δὲ μὴ σύγκειται ὁ θεὸς λόγος τῇ ἐξ ἡμῶν ἐμψύχῳ σαρκὶ, ὡς σύγκειται ἡ ψυχὴ τῷ ἡμετέρῳ σώματι, σύγκειται δὲ ὅλως, δότωσαν ἡμῖν δεῖγμα τῆς συνθέσεως καθ' ἣν βούλονται συγκεῖσθαι τὸν θεὸν λόγον τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· εἰ δὲ μὴ εὐποροῦσι τούτου, βεβαιούτωσαν τὸ λεγόμενον αὐτοῖς γραφικῇ μαρτυρίᾳ· πιστοτέρα γὰρ ἡμῖν αὕτη πάσης φυσικῆς ἀποδείξεως· εἰ δὲ πρὸς ἐκείνῳ καὶ ταύτης ἀμοιροῦσιν, ἀμάρτυρον ἄρα τὸ λεγόμενον αὐτοῖς, καὶ ἀπόφανσις ψιλή· διὸ καὶ ἄδεικτον· τὸ γὰρ φυσικῷ λόγῳ μὴ δεικνύμενον καὶ γραφικῇ μαρτυρίᾳ μὴ βεβαιούμενον, πλάσμα τοῦ λέγοντος εἴη ἄν· καὶ τοῦτο ἀπίθανόν τε ἅμα καὶ ἀσεβές.

Ἆρα γὰρ οὕτως ἀνάγκη ὦ σοφοὶ τὸ κατά τι πρὸς ὁμοίωσιν τινὸς παραλαμβανόμενον, καὶ κατὰ πάντα τὸν ἑαυτοῦ λόγον ἐοικέναι τῷ παραδείγματι; καὶ πῶς ἂν ἔτι μένοι λεγόμενον παράδειγμα; ἔσται γὰρ καὶ τοῦτο πρωτότυπον, τῷ ἀνελλιπεῖ τῆς ὁμοιώσεως· μάλιστα δὲ ὁπηνίκα τῶν περὶ τὴν οὐσίαν ἰδιωμάτων, ἢ ἐν οὐσίᾳ προσιγνομένων, καὶ οὐκ οὐσίας εἶναι λέγοιτο ὁμοίωσις, πῶς καὶ τὰ θατέρου ἴδια, θατέρῳ τὶς ἐπισύρεται ὡς ἰδικά; ἔσται γὰρ λοιπὸν κοινά· δέον γοῦν ὑμᾶς, εἰ ταῦτα οὕτως ἔχειν οἴεσθε, καὶ τὰ τοιάδε ἄρα λογίζεσθε τυχόν· ἐπεὶ ἐν τοῖς αἰθίοψι τὸ μέλαν οὕτως ὁρατέον, ὡς καὶ ἐν τοῖς κόραξιν, ὅσα τοῖς κόραξι προσμαρτυρεῖται, ἀναγκαῖον προσεῖναι καὶ τοῖς αἰθίοψιν· εἴπερ ἐφ' ὧν ἐκ μέρους τῶν ἐπουσιωδῶν ἐστὶν ὁμοίωσις, καὶ τὰ λοιπὰ πάντα ὡσαύτως ζητεῖν ἐν ἑκατέρῳ τῶν ὁμοίων ἀνάγκη· λέγεται δὲ περὶ τῶν κοράκων, ποτὲ μὲν αὐτοὺς ἵπτασθαι, ποτὲ δὲ πεζεύειν ἠρεμοῦντας τῆς πτήσεως· οὐκοῦν καὶ τοὺς αἰθίοπας, οὕτως ἔχειν δοξαστέον; ἀλλὰ καὶ τοὔμπαλιν τὰ τῶν αἰθιόπων τοῖς κόραξι πάλιν· λέγονται δὲ καὶ οἱ ἐν θεάτρῳ λαοὶ, οἵτε ἐν αὐτῷ λίθοι ὁμοίαν ἔχειν τὴν παράθεσιν, καὶ καθ' ὁμοίαν ἕνωσιν τοπικὴν συγκεῖσθαι ἀλλήλοις ὡμολόγηται· ἕψεται οὖν καὶ τοῖς λίθοις γελαστικὸν, καὶ τοῖς ἀνθρώποις τὸ πελεκητόν· ἐπεὶ ἐν θατέροις ἡ παράθεσις ὁμοία φαίνεται ὡς τῆς εὐκολίας· ὦ τῆς ἀπροσεξίας ὅση.

Ἀλλ' ἵνα μὴ διὰ τῶν προτέρων ἀπελεγχθέντες ἤδη τὰ ὑστέρας ὑμῶν ἀτοπίας διαλάθετε, ἐπιμνηστέον καὶ τῶν λοιπῶν τοῦ ἐπιχειρήματος· πῶς τὲ τὴν ψυχὴν ἐξ ἀνάγκης τῶν οἰκείων παυομένην ἐνεργειῶν ἡμῖν δείκνυτε, τρεπομένου τοῦ σώματος εἰς ὕπνον· πρῶτον μὲν γὰρ οὐδὲ σώματος ὄντα τὸν ὕπνον· ἐπεὶ μὴ δὲ τὴν ἐγρήγορσιν δεῖξαι δύνασθε, εἰ μὴ ἄρα καὶ τοῖς ἄλλοις ἀψύχοις τοῦτον ἐλογίζεσθε· ἀλλὰ καὶ ἀναγκαίως καὶ αὐτὸς οὗτος ψυχῆς ἴδιόν τι εἶναι λογισθήσεται, ἢ τοῦ συναμφοτέρου, ὦ φυσικώτατοι· ἀφείσθω δὲ καὶ τοῦτο ὑμῖν· εἰ καὶ ὅτι μάλιστα ἐν τοῖς ὕπνοις ταῖς φυτικῆς δυνάμεως τῆς ψυχῆς, πλείστην οἱ πολλοὶ δοξάζουσι τὴν ἐνέργειαν, καὶ οὐκ ἔστιν ἀργὴ οὐδὲ κατὰ τόδε ἡ ψυχή· τὸ δὲ ἀναντίῤῥη-

τον ἡμῖν προβλητέον, ὅτι τῆς φανταστικῆς μὲν καὶ ἄγαν, ἀλλὰ καὶ τῆς μνημονικῆς πολλάκις, ἔτι δὲ καὶ τῆς νοερᾶς τῆς ψυχῆς δυνάμεως, πολλὴ ἐνέργεια κατὰ τοὺς ὕπνους προάγεται· καὶ μάρτυρες ἀμέτρητοι μὲν αἱ τῶν καθημέρας ὀνείρων ἐποψίαι, εἴτε δίαιταν, εἴτε φροντίδα, εἴτε μελέτην, εἴτε πλάνην τινὰ, ἢ ἑτέραν ἔχοιεν αἰτίαν· εἰ δὲ καὶ σπάνιοι καὶ εὐαρίθμητοι, πλὴν ὡμολογημέναι τοῖς ἀξίοις καὶ θεοφάνειαι, καὶ μελλόντων ἐκβάσεων προῤῥήσεις, καὶ ἰατρεῖαι, καὶ ποικίλαι τῆς προνοίας κηδεμονίαι γίνονται τοῖς ὑπνοῦσι· τί οὖν οὕτω δὴ ἀβασανίστως ἀργὴν, καὶ τοῦτο ἐξ ἀνάγκης, ἐν τοῖς ὕπνοις τὴν ψυχὴν ἀπεφήνασθε; ὅτι μὲν γὰρ οὐ πάσας αὐτῆς τὰς ἐνεργείας ἐν τοῖς ὕπνοις ἐπιδείκνυται καὶ πάντοτε, ἀληθές ἐστι· φυτικὴν φέρε καὶ τοπικὴν κίνησιν, αἰσθητικήν τε καὶ φανταστικὴν, μνημονικήν τε καὶ νοητικὴν, καὶ ἀμφοτέραν ὀρεκτικήν· ἀλλὰ ταῦτα οὐδὲ ἐν ἐγρηγορήσει ἅμα ἐνεργεῖν, καὶ πάντη κατὰ τὸ αὐτὸ προσμαρτυρεῖται· οὐδὲ γὰρ πέφυκε πάντοτε καὶ πάσας τὰς ἑαυτῆς προΐσχεσθαι ἐνεργείας· ἐπείπερ οὐδὲ ἁπλῆς ἐστι πάντη φύσεως· ἵνα καὶ μιᾶς εἴη τὰ ἐξ αὐτῆς πάντα, καὶ ὑφὲν ἐνεργείας· ἀλλὰ πῆ καὶ πότε καὶ τινὰς ἐνεργεῖ· θεοῦ δὲ μόνου ἐστὶν ἅμα τε καὶ πᾶσαν καὶ ἀχρόνως ἑαυτοῦ ἐνέργειαν καὶ πάντοτε προΐσχεσθαι.

Πῶς οὖν εὐλόγως τοῦ παραδείγματος ἐπελάβεσθε; καὶ τοῖς λέγουσιν ὁμοίαν ψυχῆς πρὸς σῶμα γενέσθαι τὴν σύνθεσιν τοῦ λόγου πρὸς τὸν ἄνθρωπον κατά τι ὁμοίαν οὐκοῦν συμβαίνειν καὶ τὴν ἁγίαν καθ' ὕπνον τῷ θεῷ λόγῳ ἐπαγέτε; ὅπου γε καὶ ἡ παράβλησις τῆς ὁμοιώσεως, οὐ δι' ἕτερόν τι τοῖς εἰρηκόσιν ἐξείληπτο· ἢ διὰ μόνην ἀναίρεσιν τῶν ἐγνωσμένων ἑτέρων συνθέσεως, σχέσεως τυχὸν ψιλῆς, ἢ παραθέσεως τοπικῆς, ἢ ἀλλοιωτικῆς ἑνώσεως, ἢ συγχυτικῆς κράσεως· σημασίαν γὰρ μόνον φυσικῆς ἀσυγχύτου γενομένης συγκράσεως καὶ ἀτρέπτου τῶν διαφερόντων οὐσιῶν ἑνώσεως ἐκ τοῦδε παρέστησαν· οὐ διὰ τοῦτο οὖν, καὶ πάντα τὰ ἡνωμένα τοῖς ἐπὶ τῇ τοιᾷδε ἑνώσει συγκειμένοις, καὶ ἐπὶ τοῦ λόγου λέγειν ἡμᾶς εἰσπράξετε· οὕτω γὰρ ἂν καὶ πασχούσης τῆς σαρκὸς, τὸν λόγον ὀδυνᾶσθαι, καὶ αὐξανομένης συναυξάνεσθαί πως, καὶ ταῖς ἐνεργείαις αὐτῇ συμπαρατείνεσθαι, καὶ παρακμαζούσης συστέλλεσθαι καὶ ἐμποδίζεσθαι· ὥσπερ ἐπὶ ψυχῆς συμβαίνει καὶ σώματος· εἴποιτε ἂν καὶ ὑφ' ἑτέρου καὶ οὐχ' ἑαυτοῦ συντεθῆναι, καὶ ἄκοντα μετασχεῖν καθ' ὅσον θέμις τῶν ἐκ τῆς σαρκὸς, ἢ διὰ ἀνάγκην, ἢ διὰ μισθόν· ταῦτα γὰρ ἐπὶ ψυχῆς καὶ σώματος συμβαίνει.

Διὰ ταῦτα γοῦν τόδε ἡμῖν προαποδέδεικται, ὡς οὐ τὸ κατά τι ὅμοιον, καὶ κατὰ πᾶν εἶναι τὸ αὐτὸ ἀναγκαῖον· εἰ δὲ πάντα ἕψεται τῇ τοιᾷδε συνθέσει τοῦ λόγου ὅσα καὶ τῇ ψυχῇ συντιθεμένῃ τῷ σώματι, μὴ δὲ συγ-

κεῖσθαι αὐτὸν λέγειν καταδέχεσθε· ἀλλὰ ἀπαιτεῖτε ἢ κατὰ πάντη ὁμοίαν λέγειν τὴν ἕνωσιν, ἢ ἑτέραν τινὰ καθ' ἣν ἀπαραλλάκτως ἔοικεν ἡ τοῦ λόγου σύνθεσις ὑποδεικνύειν ὑμῖν ὡς οὐκ εὐπαραδέκτων εἰς πίστιν τῶν οὐκ ἐξ ἐπαγωγῆς τῶν ὁμοίων, ἀλλ' ἐν ἰδιάζοντι λόγῳ θεωρουμένων. Πρῶτον μὲν πάλιν ἐροῦμεν ὑμῖν· δότε ἡμῖν τινὰ φύσιν ἐν τοῖς οὖσιν ᾗ κατὰ πάντα ἐστὶν ἡ τοῦ λόγου τοῦ θείου φύσις ὁμοία, καὶ δώσομεν καὶ ἡμεῖς σύνθεσιν ἢ κατὰ πάντα ἐστὶ τῇ κατ' αὐτὸν συνθέσει ὁμοία· εἰ δὲ μὴ ἔστι φύσις τῷδε ὁμοία, δῆλον ὡς οὐδὲ σύνθεσις φυσικὴ ὁμοία τῇ τοῦδε· οὗ γὰρ οὐκ ἔστιν ὅμοιον ὄργανον μουσικὸν ἐν τοῖς οὖσιν, ἀνάγκη καὶ τὸν φθόγγον πάντων τῶν ὄντων παραλλάσσειν· ὥρα δὲ ὑμᾶς ἐπεὶ μὴ εὐποροῦμεν ἕτερόν τινα δεῖξαι δημιουργὸν ἐκ μὴ ὄντων προάγοντα τὰ γινόμενα, μὴ δὲ τόδε περὶ θεοῦ καταδέχεσθαι· ἀλλ' οὐδὲ πατέρα τοιῶσδε γεννῶντα θεὸν, ἢ υἱὸν τοιῶσδε γεννώμενον, θεὸν πιστεύειν· οὔτε δὲ Χριστὸν αὐτόν γε τὸν καθ' ἡμᾶς ὄντως γενέσθαι· ἀλλ' οὐδὲ τὸν καθ' ὑμᾶς διαγραφόμενον· ἐπεὶ μήποτε τοιόνδε τινὰ ἄλλον ἔχομεν ὑμῖν ἐπιδείξασθαι, ἢ ὑμεῖς ἡμῖν· εἰ μὴ ἄρα τοῖς προφήταις αὐτὸν ἴσον πάντη λέγετε κατὰ τὴν νῦν οὖσαν ἰουδαϊκὴν γνώμην· καὶ ἁπλῶς πάντα τὰ σπάνια καὶ ὑπερέχοντα τὴν φύσιν καὶ τὰ θαύματα καὶ ὧν οὐκ ἐν πᾶσιν ἡ γνῶσις ἐστὶν, ὧν τε μὴ κανὼν καὶ τέχνης λόγος περιγράφει τὴν ἐπιστήμην, ἢ οἷς ἡ πεῖρα μὴ μαρτυρεῖ, πάντων ἡ ἀναίρεσις καθ' ὑμᾶς ἔσται, ἢ ὡς εἰπεῖν δι' ὑμᾶς· καὶ τί τούτων ὑμῖν χεῖρον ἄν τις ἐγκαλέσειεν; Εἰ δὲ δὴ ὅλως τοῦ γραφικοῦ λόγου τῆς διδασκαλίας ἀξιούμενοι, κατανύγεσθε πεισθῆναι, καθὼς νῦν ἡμῖν ὑπέσχεσθε, καὶ τὴν ἐκ τῶν θεοπνεύστων λογίων μαρτυρίαν παραδέχεσθε, ὀψὲ γοῦν διεγνωκότες ὅτι ἐμώρανεν ὁ θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου, μυρίαις ἂν ὑμᾶς ἔχοιμεν δυσωπῆσαι ταῖς χρήσεσιν· ὡς θεοῦ ἀληθοῦς πρὸς ἄνθρωπον ἀληθῆ γέγονεν ἀληθῶς ἡ φυσικὴ σύνθεσις τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὐ προϋποστάσης τῆς πρὸς τὸν λόγον ἑνώσεως τῆς ἁγίας αὐτοῦ σαρκὸς, ἀλλ' ἅμα τε φύσις καὶ συμφύησις τῷ ὑπερφυεῖ.

Σκεπτέον δὲ καὶ οὕτως ἔτι περὶ τούτου τὰ παρ' ἡμῶν· ὅτι τινὰ ὀργανικὰ μόρια ἐν ἡμῖν τῶν φυσικῶν τε καὶ ἰδικωτάτων ἐνεργειῶν εἰσὶ· καὶ οὐχ' ἁπλᾶ ὄργανα ὡς ἔξωθεν ἐνεργούμενα νοοῖντο ἂν, ἀλλὰ καὶ συνεργοῦντα τοῖς ἐν αὐτοῖς τε καὶ δι' αὐτῶν ἐνεργοῦσι κατὰ φύσιν, καὶ μετ' αὐτῶν τι προάγουσιν· ὥσπερ ἀνθρώπῳ γλῶττα καὶ ὑπερῴα καὶ τὰ λοιπὰ φωνητικά τε καὶ διαλεκτικὰ ἢ καὶ γελαστικὰ μόρια· ἐπεὶ οὖν ἰδικωτάτη τῆς θείας φύσεως ἐνέργεια ὡμολόγηται ἡ τῶν μηδέπω μὴ δὲ δυνάμει ὄντων, ἀλλ' ἄνευ φύσεως τινὸς ἀμέσως ἐξ αὐτοῦ προαγομένων ποίησις, οἷα ἐστὶν ἡ ἀπὸ γῆς τῆς ἀνθρωπίνης σαρκὸς πρὸς ζωὴν πλάσις· ταύτην δὲ ὁ δεσπότης ἡμῶν καὶ θεὸς Ἰησοῦς ὁ Χριστὸς ἐπεδείξατο ἐπὶ τοῦ ἐκ γεννη-

τῆς τυφλοῦ, καὶ διὰ σώματος οἰκείου ταύτην ἐνήργησε, δακτύλοις πηλοποιῶν καὶ διαπλάττων αὐτοῦ τοὺς ὀφθαλμοὺς, καί τοι λόγῳ μόνῳ τάδε ποιεῖν δυνάμενος, δῆλον ὡς κατὰ φύσιν τὴν σάρκα αὐτοῦ παριστῶν αὐτῷ συγκεῖσθαι, τάδε οὕτως ποιεῖ· διότι τὰ ἰδικωτάτως αὐτοῦ τῆς φύσεως ὄντα, διὰ τοῦ σώματος, ἀνθρωπίνως ἐνεργῶν προβάλλεται· ὥσπερ οὖν τις οὐδὲ θελήσας δύναιτο ἂν δι' ὀργάνου τινὸς ἀσυνθέτου πρὸς αὐτὸν ὄντος κατὰ φύσιν, αὐτὸς λαλεῖν ἢ γελᾶν καὶ προσδιαλέγεσθαι, οὕτως οὐδὲ θεὸς μὴ κατὰ φύσιν τῇ ἰδίᾳ σαρκὶ συγκείμενος, τὰς ἰδικωτάτας θεοῦ ἐνεργείας διὰ σαρκὸς ἂν προΐσχετο· ἀλλ' ὄντως θεία δύναμις μόνη ἰδίῳ σώματι ἀπὸ γῆς σαρκίνους ὀφθαλμοὺς ἔπλασε καὶ ἐζώωσε καὶ ἐφώτισεν, ἢ καὶ ἰδίῳ σώματι ἐκ γῆς ἀνέστησε τὸν ἄνθρωπον, καὶ τὴν τοῦ θανάτου δύναμιν κατήργησεν· οὐ γὰρ ἄλλῳ ταῦτα ἐνεργεῖν δυνατὸν, ἃ πρὸς ἔνδειξιν τῆς οἰκείας συνθέσεως, διὰ σαρκὸς ἐνεργῶν ὁ θεὸς λόγος ἐγνώσθη ἡμῖν.

## CAP. XV.

Πᾶν ὁτιοῦν συντιθέμενον ἑτέρῳ εἰς μίαν φύσεως ἢ καὶ ὑποστάσεως ζώσης σύστασιν, ἐξίσταται κατά τι τῶν ἐν οἷς ἦν πρὸ τῆς συνθέσεως· πᾶν δὲ ἐξιστάμενον κατά τι τῶν ἐν οἷς ἦν, ἢ κρεῖττον ἑαυτοῦ γίνεται κατ' αὐτὸ ἐκεῖνο καθ' ὃ ἐξέστη τῶν ἐν οἷς ἦν, ἢ χεῖρον· τὸν δὲ θεὸν λόγον γεγενῆσθαι ἑαυτοῦ κρείττονα ἢ χείρονα, οὐ θέμις εἰπεῖν· οὐκ ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, κρείττων ἢ χεῖρον ἑαυτοῦ μὴ γενόμενος· εἰ δὲ συνετέθη, προέκοψεν ἢ ἐπὶ τὸ κρεῖττον, ἢ ἐπὶ τὸ χεῖρον, ὅπερ ἀσεβές· τῶν γὰρ χειρόνων ἄδεκτος ἡ θεία φύσις· ἀλλὰ καὶ παντὸς οὑτινοσοῦν κρείττων καθέστηκεν αὕτη χορηγὸς ὑπάρχουσα ἁπάντων τῶν καλῶν, καὶ μὴ δεομένη τινός. Ἀλλ' εἰ μέν τι ἦν τοῦ συνθέτου λόγου μετὰ τὴν σύνθεσιν, ἢ πρὸ τῆς συνθέσεως ἀλλότριον ἢ μεῖζον εἶναι, τάχα ἂν ἐν ἐκείνῳ αὐτὸν ἐξιστῶσα ἡ ἑκουσία σύνθεσις αὐτοῦ κατέστησε κρειττόνως· χειρόνως γὰρ οὐκ ἔστιν· ἐπείπερ κατ' εὐδοκίαν αὐτοῦ γενέσθαι ὡμολόγηται· οὐδεὶς γὰρ τοῖς χείροσιν ἐνευδοκεῖ· εἰ δὲ πάντα ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν καὶ αὐτός ἐστιν ὁ ὑπὲρ πάντα, καὶ πρὸ τῆς συνθέσεως καὶ μετὰ τὴν σύνθεσιν αὐτοῦ, τί ἕτερον ἐπινοηθήσεται, ἐν ᾧ γένοιτο ἂν μετὰ σύνθεσιν κρείττων ἢ χείρων τῶν ἐν οἷς ἦν πρώην ἐξιστάμενος; οὐ γὰρ ὑμῖν μὲν ἐξὸν ἂν εἴη μαρτυρεῖν τῇ φύσει τῆς συνθέσεως, ὡς τῶν ὑπ' αὐτὴν τρεπτικήν τε καὶ ἀλλοιωτικήν· ἡμῖν δὲ τῇ φύσει τοῦ πάσης συνθέσεως αἰτίου, τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἐπιγινώσκειν οὐ συγχωρηθήσεται· εἰ μὲν οὖν τούτου μὴ κατ' ἐξουσίαν ἡμᾶς κωλύετε, οὐκ ἄλλως ἔχοιμεν τοῦτο ὑμῖν οὕτως ἐμφανῶς ἐπιδείκνυσθαι, ἢ αὐτῷ τῷδε τῷ καὶ τῇ καθ' ὑμᾶς ἀλλοιωτικῇ τε καὶ ἐξιστώσῃ καὶ τρεπούσῃ συνθέσει ὑποβληθεῖσαν τὴν οἰκείαν ἀτρεψίαν διαφυλάξαι αὐτοῦ, τὴν οὐσίαν τῶν ἑαυτῆς

ὅρων καὶ λόγων ἀπεριορίστως καὶ ὑπὲρ λόγον ἐντὸς μείνασαν, καὶ ἀνεξιτήτως ἔχουσαν πρὸς πᾶν τὸ αὐτῆς ἀλλότριον· οὐκοῦν ἀληθῶς καὶ τούτῳ λίαν ἀχρείως προσερείδεσθε τῷ ἐπιχειρήματι ἀθλιώτατοι.

## C A P. XVI.

Πᾶν ὁτιοῦν ἑτέρῳ συντιθέμενον ἢ ἄγει τὸ ᾧ συντίθεται, ὥσπερ ἡ ψυχὴ τὸ σῶμα· ἢ ἄγεται ὑπ' αὐτοῦ, ὥσπερ τὸ σῶμα ὑπὸ τῆς ψυχῆς· ἢ οὔτε ἄγει, οὔτε ἄγεται, ὥσπερ τὰ μέρη τῆς οἰκίας· πᾶν δὲ τὸ ἐν συνθέσει ἀγόμενον, ἢ μήτε ἄγον, μήτε ἀγόμενον, τοῦτο πάντως ἄλογόν τέ ἐστι καὶ ἄνουν, καθάπερ τὸ σῶμα καὶ τὰ μέρη τῆς οἰκίας· εἰ τοίνυν συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, ἢ ἄγει ἢ ἄγεται ἢ οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο· καὶ εἰ μὲν ἄγει, ἔσται ὁ ἐξ ἡμῶν ἄνθρωπος, ἄλογός τε καὶ ἄνους, ὅπερ ἀσεβὲς καὶ βλάσφημα Ἀρείου τε καὶ Ἀπολιναρίου· εἰ δὲ ἄγεται, τετράφθω τὸ ἐκ τούτου βλάσφημον εἰς κεφαλὴν τῶν συγκεῖσθαι λεγόντων τὸν θεὸν λόγον τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· εἰ δὲ οὐδὲ ἄγει ὡς ἐν συνθέσει, διὰ τὸ μὴ ἄλογον εἶναι τὸν κυριακὸν ἄνθρωπον· μὴ δὲ πάλιν ἄγεται, διὰ τὸ ἐκ τούτου ὡμολογημένον βλάσφημον, οὐδὲ ἄρα οὐδὲ συνετέθη τῷ ἐξ ἡμῶν ἀνθρώπῳ· πᾶν γὰρ ὁτιοῦν συντιθέμενον ἑτέρῳ, ἢ ἄγει ἢ ἄγεται ἢ οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο, καθὼς εἴπομεν.

Θαυμάσαντες ὅπως τὰς τοιάςδε τῶν ἀναγκαστικῶν συλλογισμῶν μεθόδους ἐφευρίσκετε, εὐξαίμεθα ἂν τῆς τοιᾶςδε ὑμῶν συνέσεως μὴ μαθεῖν τὴν δεινότητα· τί γὰρ ὑμῖν εἰς πίστωσιν τοῦ μὴ συγκεῖσθαι τὸν λόγον τῇ σαρκὶ ἔχουσι τὰ εἰρημένα σκοπητέον· ἐξὸν γὰρ ἡμᾶς ἀντιστρέψαντας, τοὐναντίον εἰς δεῖξιν τῆς συνθέσεως, τοῖς ὑμετέροις χρήσασθαι ῥήμασι, λέγοντας οὕτως· πᾶν ὁτιοῦν μὴ συντιθέμενον ἑτέρῳ, ἢ ἄγει τὸ ᾧ οὐ σύγκειται ὥσπερ ὁ κύβερνος τὴν ναῦν, ἢ ἄγεται ὑπ' αὐτοῦ, ὥσπερ ἡ ναῦς ὑπὸ τοῦ κυβέρνου· ἢ οὔτε ἄγει οὔτε ἄγεται, ὥσπερ τὸ Σινᾶ ὄρος ὑπὸ τῆς θαλάσσης· πᾶν δὲ τὸ ἀσυνθέτως ἔχον, καὶ ἢ ἀγόμενον μόνον, ἢ μήτε ἄγον μήτε ἀγόμενον, ἄλογόν τέ ἐστι καὶ ἄνουν, καθάπερ τὰ εἰρημένα· εἰ τοίνυν οὐ συνετέθη ὁ λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ, καὶ αὐτὸς ἢ ἄγει ἢ ἄγεται ἢ οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο· καὶ εἰ μὲν ἄγει, ἔσται ὁ ἐξ ἡμῶν ἄνθρωπος ἄλογός τε καὶ ἄνους· εἰ δὲ ἄγεται, τετράφθω τὸ βλάσφημον εἰς κεφαλὴν τοῦ δράκοντος τοῦ πρώτως τὰ τοιαῦτα ὑμῖν ἐνηχήσαντος ἀσεβήματα· συνέντες οὖν τῶν οὕτως εἰρημένων ὑμῖν τὸ ἀνόητον, εἰ ἐπαναλάβοιτε ἑαυτοὺς, καὶ ἀπὸ τῆς δευτέρας ὑμῶν προτάσεως, τῆς κατασκευῆς λοιπὸν ἄρχοισθε τοῦ συλλογισμοῦ οὕτω λέγοντες ἴσως· ὅτι τὰ ἐν συνθέσει ἀγόμενα, ἄλογα ἴσμεν πάντα, οὐχ' ἁπλῶς διὰ τὸ ἄγεσθαι ἀλλὰ διὰ τὸ ἐν συνθέσει ὄντα ἄγεσθαι· ἐροῦμεν καὶ πρὸς τοῦτο· ἆρα οὖν ταῦτα διὰ τὸ ἐν συνθέσει ἄγεσθαι, ἢ τὸ ἁπλῶς ἄγεσθαι, ἄλογα ἴστε· ἢ διὰ τὸ τῇ

φύσει αὐτῶν ἀεὶ τοιαῦτά τινα εἶναι· κἂν ἰδίᾳ τε κἂν ἐν συνθέσει λεγόμενα, καὶ θεωρούμενα εἴη, ἄλογα γνωριζόμενα ὑπό τε τῶν συγκειμένων καὶ τῶν μὴ συγκειμένων αὐτοῖς, ἰσχὺν δὲ ὅλως τοῦ ἄγειν αὐτὰ ἐχόντων φερόμενα· οὐ γὰρ τὸ φύσει λογικὸν ἐν συνθέσει ἄλογον ἐσόμενον δείξετε, ἢ τοὔμπαλιν· διὰ τὴν σύνθεσιν γὰρ, οὐδὲν ἧττον λογικόν ἐστιν.

Εἰ μὲν οὖν οὐχ' οὕτως ταῦτα εἶναι συντίθεσθε, ἀλλὰ διὰ τὸ ἐν τῇ συνθέσει ἄγεσθαι, ἄλογον γενέσθαι τὸ σῶμα λογίζετε, καθ' ἑαυτὸ ἄρα γενόμενον, λογικὸν ἴστε δηλονότι· τὸ δὲ ἀσύνθετον πρὸς ψυχὴν γινόμενον σῶμα, ἐν δὲ τῇ πρὸς τὴν λογικὴν ψυχὴν συνθέσει μεταλαμβάνειν τῆς ἀλογίας οἴεσθε· καὶ τίς ἀνέξεται τῆς τοιαύτης ἀλογίας τῶν ταῦτα οἰομένων; ἔτι δὲ τῆς συνθέσεως γινομένης αἰτίας τῆς ἀλογίας τῷ σώματι, εἰ ταύτην κυρίως αἰτίαν τῆς ἀλογίας ὑποτίθεσθε, καὶ τὴν ψυχὴν ὁμοίως ἀλογεῖν βιάσεσθε ἂν, ἐπεὶ καὶ αὐτὴ συνετέθη· εἰ δὲ ἀλογεῖ, καὶ αὐτὴ ἄγεται· εἰ δὲ ἄγοιτο ἐν τῇ συνθέσει, καὶ αὐτὴ ὑπ' οὐδενὸς ἑτέρου ἢ ὑπὸ τοῦ συγκειμένου αὐτῇ σώματος ἀχθήσεται· καὶ ἔσται ὑμῖν τὸ ἐναντίον ἀποδεικνύειν, ὧν ἤρξασθε κατασκευάζειν, ὡς τῷ σώματι τοὐναντίον ἡ σύνθεσις τοῦ ἄγειν τὶ, ἤγουν τὴν ψυχὴν, καὶ οὐ τοῦ ἄγεσθαι, γέγονε αἰτία· οὐκοῦν ἐπεὶ ταῦτα οὕτως, μάταιον φρονεῖν τὴν ψυχὴν, δηλαδὴ τῷ φύσει εἶναι λογικὴν ἔν τε τῇ συνθέσει καὶ ἄνευ συνθέσεως· οὐκ ἀγομένην τε ὑπ' ἐκείνων ἃ πέφυκεν, ἄγειν· ἀλλ' ἄγουσαν αὐτὰ οἴδαμεν· καὶ τὸ σῶμα δὲ διότι ἄλογον κατὰ φύσιν καὶ ἄψυχόν ἐστι ἔν τε τῇ συνθέσει καὶ ἄνευ συνθέσεως, ἀγόμενον μᾶλλον καὶ οὐκ ἄγον γινώσκομεν.

Τούτων δὲ οὕτως δεικνύντων, ὅτι οὐχ' ἡ σύνθεσις ἀλλ' ἡ φύσις τό τε ἄλογον ἢ λογικὸν εἶναί τι τοῦ ἄγειν ἢ ἄγεσθαι αὐτὸ αἴτιόν ἐστιν, ἐξεταστέον ἡμῖν λοιπὸν ἐκ περιουσίας, καὶ εἰ τῶν λογικῶν ἡ φύσις ἄγειν δὴ κατὰ πάντα πέφυκεν, ἄγεσθαι δὲ κατ' οὐδὲν οὐδέποτε, ἵνα γνῶμεν εἰ ὄντως εἴπερ ἄγοιτο ὑπὸ τοῦ λόγου ὁ κυριακὸς ἄνθρωπος, ἄνους καὶ ἄλογος δειχθήσεται· εἰ μὲν οὖν οὐκ ἄγεται οὐδὲ ὅλως, οὔτε θεράποντες ὑπὸ δεσπότου, οὐ πόλις ὑπ' ἄρχοντος, οὐχ' ὁπλῖται ὑπὸ τοῦ στρατηγοῦ ἤχθησαν ἢ ἀχθήσονται πώποτε· καί τοι καὶ μέχρι θανάτου τῷ ἐκείνου νεύματι καθελκόμενοι ὁρῶνται· οὔτε δὲ ψυχαὶ ὁσίων οὔτε ἄγγελοι οὔτε δυνάμεις ἢ τί ὅλως τῆς τῶν ἁγιοπρεπῶν τάξεων φάλλαγγος λογικὸν ἢ νοερὸν ὑπὸ θεοῦ ἄγοιτο ἂν κατ' οὐδὲν, ὡς βούλεται δεικνύειν τὰ τῆς ὑμετέρας ἀγχινοίας· ἢ ἀγόμενον, ἄλογον δείκνυται πάντη· δεδώκατε γὰρ τοῦτο ὥσπερ τεκμήριον λογικοῦ, τὸ μὴ ἄγεσθαι ἁπλῶς, μὴ προσθέντες δεόντως τὸ μὴ κατὰ πάντα ἀνεξουσίως ἄγεσθαι· καὶ ταῦτα μὲν τὰ κομψὰ ὑμῶν ὦ βέλτιστοι ἐπιχειρήματα συλλογιζόμενα, οὕτως εἰς γέλωτα ὑμᾶς τοῖς ὄντως λογικοῖς προτιθέασι.

## CAP. XVII.

Τὸ φύσει ἀπαθὲς, παθητῷ συγκεῖσθαι οὐ δύναται· τῶν γὰρ εἰς τὸ σύνθετον γίνεσθαι φαινομένων, ἢ καὶ τὸ ἀπαθὲς μετασχεῖν λέξομεν, ἢ μὴ δὲ τὸ παθητὸν πεπονθέναι, ἀλλὰ μόνον δοκεῖν ὑπολάβοιμεν· εἰ οὖν θεία φύσις ἦν ἐν τῷ πάσχοντι σώματι, ἄρα ἢ καὶ αὐτὴ οὐκ ἀπαθὴς μεμένηκεν, ἢ οὐδὲ ἡ σὰρξ ἀληθῶς πέπονθε. Θαυμαστὸν εἰ οὕτως φρονεῖτε ὥσπερ καὶ λαλεῖτε ὦ σοφώτατοι· οὐ γὰρ δή τις τοῦτο φησὶ, οὐδὲ τῶν πάντη ἠλιθίων, ὡς ἐπεὶ σύγκειται ψυχὴ τῷ σώματι, πάντως καὶ συντέμνεται καὶ συνθάλπεται καὶ συμψύχεται· καί τοι οὐ τοσαύτην ἀπάθειαν μεμαρτυρημένη ὅσον τὸ θεῖον, ἀλλ' ἀσυγκρίτως πρὸς τὸ τῆς θείας φύσεως ἀπαθὲς διαφέρουσα· οὐ μέν τοι· ἐπεὶ μὴ αὐτὴ τέμνεται διὰ τόδε, οὐδὲ τὸ ταύτης σῶμα ἀληθῶς τέμνεσθαι ἢ ψύχεσθαι εἴποι τις ἄν· ψυχὴ δὲ τῶν εἰς ἐκεῖνο γινομένων παθῶν, ἑτέρως ἀντιλαμβάνεται· οὐδὲ γὰρ τὴν τομὴν ἢ διαίρεσιν τοῦ ὀργάνου, εἰ καὶ τὴν ὀδύνην ἐπὶ τούτοις πέπονθεν ἡ ψυχή· πλὴν πάντων μᾶλλον, ἐκεῖνο ὑμῖν φαμὲν, ὡς εἰ διὰ τὸ φύσει ἀπαθὲς μὴ συντίθεσθαι τῇ παθητῇ φύσει λέγετε τὸν θεὸν λόγον, ἵνα μήτι τῶν συμβαινόντων αὐτῇ παθῶν καταλειφθὲν ἐν αὐτῇ ὑποστῇ τὸ θεῖον, μᾶλλον αὐτὸ καθυβρίζετε ἐν τούτοις, ἤπερ δοξάζετε· εἰ γὰρ τὸ μὴ συμπαρεῖναι ταῖς ὕλαις ταῖς τυπτομέναις ἄθραυστος ὁ ἀδάμας νομίζεται, οὐκ ἂν ἔχει τὸ ἄνθραυστον κατὰ φύσιν, ἀλλ' ἐκ συμβεβηκότος κατὰ φυγὴν. καὶ ἀπόστασιν τὴν ἀπὸ τοῦ θραύοντος, ἔσται αὐτῷ τὸ τῆς ἀθραυσίας ἐξαίρετον· οὕτω δὲ δυνατὸν εἴη καὶ τὴν ὕελον ἔχειν τοῦτο τὸ ἐξαίρετον, καὶ πᾶν ἕτερον τῶν σαθροτάτων σωμάτων· τότε δὲ μᾶλλον τὸ ἑνὸς ἀπαθὲς ἐκ φύσεως γνωρισθήσεται, εἰ τοῖς πληττομένοις ἀπλήκτως συμπλήττοιτο· καὶ οὕτως δοκιμασθεὶς, εἰκότως θαυμάζοιτο ἂν ὁ ἀδάμας, δοκιμὴν τῆς ἑαυτοῦ φύσεως ἐν τῇ βασάνῳ τοῦ πράγματος παρεχόμενος· ὁμοίως γὰρ καὶ τὸ λεγόμενον ἀμίαντον, οὐχὶ τῷ μὴ προσομιλεῖν τῇ πυρείᾳ φύσει μαρτυρεῖται τὸ ἄκαυστον· οὕτω γὰρ ἂν πᾶσαν ὕλην καὶ τὸν χόρτον αὐτὸν, δυνατὸν εἴη λέγειν ἄφλεκτον· ἀλλ' ὅτι καὶ ἐνὸν καὶ συντιθέμενον τοῖς καιομένοις σώμασιν, οὐ συμφλέγεται τούτοις, διὰ τοῦτο αὐτὸ εἰκότως ἐκπληττόμεθα· ὅτι μὲν οὖν ἡ δεσποτικὴ σὰρξ πέπονθεν, ἰδοὺ καὶ ἡ αἴσθησις τοῖς αὐτόπταις ἐμαρτύρησεν· ὅτι δὲ ὁ λόγος οὐ συμπέπονθεν, ἡ ἐνέργεια αὐτοῦ ἔν τε τῷ πάσχειν καὶ μετὰ τὸ πάθος τῆς σαρκὸς αὐτοῦ πεπληροφορήκασιν· οὐ γὰρ ἂν παθὼν καὶ θανὼν καὶ αὐτὸς τῇ θανούσῃ φύσει ἤγουν τῇ ἀνθρωπείᾳ ζωὴν ἔδωκεν, ἑαυτὸν ἀναστῆσαι μαρτυρούμενος ἀληθῶς· κατ' ἄλλο μὲν οὖν τι τέθνηκε τῶν ἐν αὐτῷ· κατ' ἄλλο δέ τι τῶν αὐτοῦ, ζῶν καὶ οὐ θανὼν Χριστὸς ἑαυτὸν ἀνέστησε.

φύσει αὐτῶν ἀεὶ τοιαῦτά τινα εἶναι· κἂν ἰδίᾳ τε κἂν ἐν συνθέσει λεγόμενα, καὶ θεωρούμενα εἴη, ἄλογα γνωριζόμενα ὑπό τε τῶν συγκειμένων καὶ τῶν μὴ συγκειμένων αὐτοῖς, ἰσχὺν δὲ ὅλως τοῦ ἄγειν αὐτὰ ἐχόντων φερόμενα· οὐ γὰρ τὸ φύσει λογικὸν ἐν συνθέσει ἄλογον ἐσόμενον δείξετε, ἢ τοὔμπαλιν· διὰ τὴν σύνθεσιν γὰρ, οὐδὲν ἧττον λογικόν ἐστιν.

Εἰ μὲν οὖν οὐχ' οὕτως ταῦτα εἶναι συντίθεσθε, ἀλλὰ διὰ τὸ ἐν τῇ συνθέσει ἄγεσθαι, ἄλογον γενέσθαι τὸ σῶμα λογίζετε, καθ' ἑαυτὸ ἄρα γενόμενον, λογικὸν ἴστε δηλονότι· τὸ δὲ ἀσύνθετον πρὸς ψυχὴν γινόμενον σῶμα, ἐν δὲ τῇ πρὸς τὴν λογικὴν ψυχὴν συνθέσει μεταλαμβάνειν τῆς ἀλογίας οἴεσθε· καὶ τίς ἀνέξεται τῆς τοιαύτης ἀλογίας τῶν ταῦτα οἰομένων; ἔτι δὲ τῆς συνθέσεως γινομένης αἰτίας τῆς ἀλογίας τῷ σώματι, εἰ ταύτην κυρίως αἰτίαν τῆς ἀλογίας ὑποτίθεσθε, καὶ τὴν ψυχὴν ὁμοίως ἀλογεῖν βιάσεσθε ἂν, ἐπεὶ καὶ αὐτὴ συνετέθη· εἰ δὲ ἀλογεῖ, καὶ αὐτὴ ἄγεται· εἰ δὲ ἄγοιτο ἐν τῇ συνθέσει, καὶ αὐτὴ ὑπ' οὐδενὸς ἑτέρου ἢ ὑπὸ τοῦ συγκειμένου αὐτῇ σώματος ἀχθήσεται· καὶ ἔσται ὑμῖν τὸ ἐναντίον ἀποδεικνύειν, ὧν ἤρξασθε κατασκευάζειν, ὡς τῷ σώματι τοὐναντίον ἡ σύνθεσις τοῦ ἄγειν τὶ, ἤγουν τὴν ψυχὴν, καὶ οὐ τοῦ ἄγεσθαι, γέγονε αἰτία· οὐκοῦν ἐπεὶ ταῦτα οὕτως, μάταιον φρονεῖν τὴν ψυχὴν, δηλαδὴ τῷ φύσει εἶναι λογικὴν ἔν τε τῇ συνθέσει καὶ ἄνευ συνθέσεως· οὐκ ἀγομένην τὲ ὑπ' ἐκείνων ἃ πέφυκεν, ἄγειν· ἀλλ' ἄγουσαν αὐτὰ οἴδαμεν· καὶ τὸ σῶμα δὲ διότι ἄλογον κατὰ φύσιν καὶ ἄψυχόν ἐστι ἔν τε τῇ συνθέσει καὶ ἄνευ συνθέσεως, ἀγόμενον μᾶλλον καὶ οὐκ ἄγον γινώσκομεν.

Τούτων δὲ οὕτως δεικνύντων, ὅτι οὐχ' ἡ σύνθεσις ἀλλ' ἡ φύσις τό τε ἄλογον ἢ λογικὸν εἶναί τι τοῦ ἄγειν ἢ ἄγεσθαι αὐτὸ αἴτιόν ἐστιν, ἐξεταστέον ἡμῖν λοιπὸν ἐκ περιουσίας, καὶ εἰ τῶν λογικῶν ἡ φύσις ἄγειν δὴ κατὰ πάντα πέφυκεν, ἄγεσθαι δὲ κατ' οὐδὲν οὐδέποτε, ἵνα γνῶμεν εἰ ὄντως εἴπερ ἄγοιτο ὑπὸ τοῦ λόγου ὁ κυριακὸς ἄνθρωπος, ἄνως καὶ ἄλογος δειχθήσεται· εἰ μὲν οὖν οὐκ ἄγεται οὐδὲ ὅλως, οὔτε θεράποντες ὑπὸ δεσπότου, οὐ πόλις ὑπ' ἄρχοντος, οὐχ' ὁπλῖται ὑπὸ τοῦ στρατηγοῦ ἤχθησαν ἢ ἀχθήσονται πώποτε· καί τοι καὶ μέχρι θανάτου τῷ ἐκείνου νεύματι καθελκόμενοι ὁρῶνται· οὔτε δὲ ψυχαὶ ὁσίων οὔτε ἄγγελοι οὔτε δυνάμεις ἤ τί ὅλως τῆς τῶν ἁγιοπρεπῶν τάξεων φάλλαγγος λογικὸν ἢ νοερὸν ὑπὸ θεοῦ ἄγοιτο ἂν κατ' οὐδὲν, ὡς βούλεται δεικνύειν τὰ τῆς ὑμετέρας ἀγχινοίας· ἢ ἀγόμενον, ἄλογον δείκνυται πάντη· δεδώκατε γὰρ τοῦτο ὥσπερ τεκμήριον λογικοῦ, τὸ μὴ ἄγεσθαι ἁπλῶς, μὴ προσθέντες δεόντως τὸ μὴ κατὰ πάντα ἀνεξουσίως ἄγεσθαι· καὶ ταῦτα μὲν τὰ κομψὰ ὑμῶν ὦ βέλτιστοι ἐπιχειρήματα συλλογιζόμενα, οὕτως εἰς γέλωτα ὑμᾶς τοῖς ὄντως λογικοῖς προτιθέασι.

## CAP. XVII.

Τὸ φύσει ἀπαθὲς, παθητῷ συγκεῖσθαι οὐ δύναται· τῶν γὰρ εἰς τὸ σύνθετον γίνεσθαι φαινομένων, ἢ καὶ τὸ ἀπαθὲς μετασχεῖν λέξομεν, ἢ μὴ δὲ τὸ παθητὸν πεπονθέναι, ἀλλὰ μόνον δοκεῖν ὑπολάβοιμεν· εἰ οὖν θεία φύσις ἦν ἐν τῷ πάσχοντι σώματι, ἄρα ἡ καὶ αὐτὴ οὐκ ἀπαθὴς μεμένηκεν, ἢ οὐδὲ ἡ σὰρξ ἀληθῶς πέπονθε. Θαυμαστὸν εἰ οὕτως φρονεῖτε ὥσπερ καὶ λαλεῖτε ὦ σοφώτατοι· οὐ γὰρ δή τις τοῦτο φησὶ, οὐδὲ τῶν πάντη ἠλιθίων, ὡς ἐπεὶ σύγκειται ψυχὴ τῷ σώματι, πάντως καὶ συντέμνεται καὶ συνθάλπεται καὶ συμψύχεται· καίτοι οὐ τοσαύτην ἀπάθειαν μεμαρτυρημένη ὅσον τὸ θεῖον, ἀλλ' ἀσυγκρίτως πρὸς τὸ τῆς θείας φύσεως ἀπαθὲς διαφέρουσα· οὐ μέν τοι· ἐπεὶ μὴ αὐτὴ τέμνεται διὰ τόδε, οὐδὲ τὸ ταύτης σῶμα ἀληθῶς τέμνεσθαι ἢ ψύχεσθαι εἴποι τις ἄν· ψυχὴ δὲ τῶν εἰς ἐκεῖνο γινομένων παθῶν, ἑτέρως ἀντιλαμβάνεται· οὐδὲ γὰρ τὴν τομὴν ἢ διαίρεσιν τοῦ ὀργάνου, εἰ καὶ τὴν ὀδύνην ἐπὶ τούτοις πέπονθεν ἡ ψυχή· πλὴν πάντων μᾶλλον, ἐκεῖνο ὑμῖν φαμὲν, ὡς εἰ διὰ τὸ φύσει ἀπαθὲς μὴ συντίθεσθαι τῇ παθητῇ φύσει λέγετε τὸν θεὸν λόγον, ἵνα μήτι τῶν συμβαινόντων αὐτῇ παθῶν καταλειφθὲν ἐν αὐτῇ ὑποστῇ τὸ θεῖον, μᾶλλον αὐτὸ καθυβρίζετε ἐν τούτοις, ἥπερ δοξάζετε· εἰ γὰρ τὸ μὴ συμπαρεῖναι ταῖς ὕλαις ταῖς τυπτομέναις ἄθραυστος ὁ ἀδάμας νομίζεται, οὐκ ἂν ἔχει τὸ ἄνθραυστον κατὰ φύσιν, ἀλλ' ἐκ συμβεβηκότος κατὰ φυγὴν. καὶ ἀπόστασιν τὴν ἀπὸ τοῦ θραύοντος, ἔσται αὐτῷ τὸ τῆς ἀθραυσίας ἐξαίρετον· οὕτω δὲ δυνατὸν εἴη καὶ τὴν ὕελον ἔχειν τοῦτο τὸ ἐξαίρετον, καὶ πᾶν ἕτερον τῶν σαθροτάτων σωμάτων· τότε δὲ μᾶλλον τὸ ἑνὸς ἀπαθὲς ἐκ φύσεως γνωρισθήσεται, εἰ τοῖς πληττομένοις ἀπλήκτως συμπλήττοιτο· καὶ οὕτως δοκιμασθεὶς, εἰκότως θαυμάζοιτο ἂν ὁ ἀδάμας, δοκιμὴν τῆς ἑαυτοῦ φύσεως ἐν τῇ βασάνῳ τοῦ πράγματος παρεχόμενος· ὁμοίως γὰρ καὶ τὸ λεγόμενον ἀμίαντον, οὐχὶ τῷ μὴ προσομιλεῖν τῇ πυρείᾳ φύσει μαρτυρεῖται τὸ ἄκαυστον· οὕτω γὰρ ἂν πᾶσαν ὕλην καὶ τὸν χόρτον αὐτὸν, δυνατὸν εἴη λέγειν ἄφλεκτον· ἀλλ' ὅτι καὶ ἐνὸν καὶ συντιθέμενον τοῖς καιομένοις σώμασιν, οὐ συμφλέγεται τούτοις, διὰ τοῦτο αὐτὸ εἰκότως ἐκπληττόμεθα· ὅτι μὲν οὖν ἡ δεσποτικὴ σὰρξ πέπονθεν, ἰδοὺ καὶ ἡ αἴσθησις τοῖς αὐτόπταις ἐμαρτύρησεν· ὅτι δὲ ὁ λόγος οὐ συμπέπονθεν, ἡ ἐνέργεια αὐτοῦ ἔν τε τῷ πάσχειν καὶ μετὰ τὸ πάθος τῆς σαρκὸς αὐτοῦ πεπληροφορήκασιν· οὐ γὰρ ἂν παθὼν καὶ θανὼν καὶ αὐτὸς τῇ θανούσῃ φύσει ἤγουν τῇ ἀνθρωπείᾳ ζωὴν ἔδωκεν, ἑαυτὸν ἀναστῆσαι μαρτυρούμενος ἀληθῶς· κατ' ἄλλο μὲν οὖν τι τέθνηκε τῶν ἐν αὐτῷ· κατ' ἄλλο δέ τι τῶν αὐτοῦ, ζῶν καὶ οὐ θανὼν Χριστὸς ἑαυτὸν ἀνέστησε.

## CAP. XVIII.

Τὸ συντεθῆναι τὸν θεὸν λόγον τῷ ἐξ ἡμῶν ἀνθρώπῳ καθ' ὑμᾶς, ἢ αὐτὸν μόνον εὐηργέτησεν, ἢ τὸν ᾧ συνετέθη ἄνθρωπον, ἢ ἀμφοτέρους ἅμα, ἢ οὐδ' ἑαυτὸν οὐδὲ ἐκεῖνον, ἀλλ' ἡμᾶς αὐτοὺς μόνους, ἢ θεὸν καὶ ἡμᾶς· τὸν δὲ ἐξ ἡμῶν ἑαυτῷ συντεθέντα ἄνθρωπον οὐδαμῶς, ἢ αὐτόν τε καὶ ἡμᾶς ἅμα, ἢ ἡμᾶς τε καὶ τὸν ἐξ ἡμῶν ἄνθρωπον, θεὸν δὲ οὐδὲ ὅλως· ἀλλ' εἰ μὲν τὸν θεὸν εὐηργέτησεν, ἢ τὸν ᾧ συνετέθη ἄνθρωπον μόνον, ἢ τὸν θεὸν καὶ τὸν ἄνθρωπον κοινῶς, ἡμᾶς δὲ οὐκέτι, πῶς οὐ ψευδὲς τὸ δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σεσαρκῶσθαι, καὶ ἐνηνθηκέναι τὸν κύριον ἡμῶν Ἰησὸν Χριστόν; εἰ δὲ ἡμᾶς αὐτοὺς μόνον, ἢ θεὸν καὶ ἡμᾶς, τὸν δὲ ἐξ ἡμῶν ἄνθρωπον οὐδαμῶς, πῶς οὐ κρείττους ἡμεῖς βελτιωθέντες οὐ ἦμεν, τοῦ ἐξ ἡμῶν ἀνθρώπου μηδαμῶς ἐκ τῆς δι' αὐτοῦ οἰκονομίας εὐεργετηθέντος; οὐ γὰρ ἀνενδεὴς οὐδὲ ὁ ἐξ ἡμῶν ἄνθρωπος παντάπασιν, ἐπεὶ καὶ κτιστὸς, οὐ μὴν ἀλλὰ καὶ παθητὸς καὶ φθαρτὸς ἦν κατὰ τοὺς σοφούς· εἰ δὲ καὶ τὸν θεὸν καὶ τὸν ἐξ ἡμῶν ἄνθρωπον καὶ ἡμᾶς αὐτοὺς, πῶς οὐ προσδεὴς ὁ θεὸς λόγος καθ' ἡμᾶς, καὶ κατὰ τὸν ἐξ ἡμῶν ἄνθρωπον αὐτῷ συντεθέντα; εἰ δὲ ἡμᾶς τὲ καὶ τὸν ἐξ ἡμῶν ἄνθρωπον εὐηργέτησεν τὸ συντεθῆναι τὸν θεὸν λόγον τῷ ἐξ ἡμῶν ἀνθρώπῳ καθ' ὑμᾶς, θεὸν δὲ οὐδ' ὅλως ἐπεὶ καὶ πάντη ἀνενδεὴς, ὁ βουλόμενος παρελθὼν λεγέτω ἡμῖν τί τὸ προσγενόμενον εὐεργέτημα· ἢ τῷ ἐξ ἡμῶν ἀνθρώπῳ ἢ τινὶ τῶν κτισμάτων ἐκ τῆς συνθέσεως τοῦ θεοῦ λόγου καὶ τοῦ ἐξ ἡμῶν ἀνθρώπου· ὅπερ μὴ ἠδύνατο διαβαίνειν εἴς τε αὐτὸν καὶ ἡμᾶς, ἄνευ τῆς οὐσιώδους αὐτοῦ πρὸς ἀλλήλους συνθέσεως· εἰ δὲ οὐδὲν ἔχουσιν εἰπεῖν, ἤρκει γὰρ ἡ μεσιτεία τοῦ ἐξ ἡμῶν ἀνθρώπου ἤτε εὐδοκία τοῦ θεοῦ λόγου, καὶ τῆς τοιᾶσδε συνθέσεως δίχα, καὶ ἡμῖν παραίτιον γενέσθαι παντὸς οὑτινοσοῦν εὐεργετήματος, καὶ αὐτὸν ἀποδεῖξαι πάλιν κρείττονα καὶ δεσπότην ἁπάσης ὁμοῦ τῆς κτίσεως, εἰς πρόσωπον τοῦ θεοῦ λόγου, οὗπερ οὐδὲν τιμιώτερον, εἰς κτιστὴν φύσιν διαβαίνειν δυνάμενον, πῶς οὐκ ἔσται περιττὴ καὶ εἰκαία τοῦ θεοῦ λόγου πρὸς τὸν ἐξ ἡμῶν ἄνθρωπον, ἡ ἐπιφημιζομένη σύνθεσις; ἀλλ' εἰ μάτην τὲ καὶ εἰκῆ ποιεῖ ὁ θεὸς οὐδὲν, οὐδ' ἄρα συνετέθη ὁ θεὸς λόγος τῷ ἐξ ἡμῶν ἀνθρώπῳ.

Τοῖς νοήμασιν ἀποστενωθέντες οἷά τινα ἐρίων μηρύματα καταξαίνοντες ἡμῖν, νυνὶ ταῖς λέξεσιν ἐμπλατύνεσθε· διὸ τὸ, ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν ἀπατοῖτε· τί γὰρ δὴ ὑμῖν, εἴπατε, ταύτης χρεία ἦν τῆς πολυσχιδοῦς διαιρέσεως; εἰς τίνα τὲ καὶ τίνας καὶ τίνα γέγονε τὰ τῆς εὐεργεσίας τῆς θείας οἰκονομίας; ἡμῶν εὐσυνόπτως καὶ παῤῥησίᾳ τοῦτο ὑμῖν ἁπλῶς βοώντων, ὅτι οὐ διά τινα εἰς αὐτὴν συντείνουσαν εὐεργεσίαν ἡ θεία φύσις τῇ ἡμετέρᾳ συντεθῆναι κατεδέξατο· τοῦτο γὰρ λέγειν ἢ νοεῖν

μὴ Γένοιτό τινι τῶν θεοσεβῶν· ἀλλὰ διὰ τὴν ἐξ αὐτῆς εἰς ἡμᾶς μόνον μεγίστην εὐεργεσίαν, γέγονεν αὐτῆς ἡ ἐνανθρώπησις· ὥστε γενέσθαι τῷ μὲν κυριακῷ ἀνθρώπῳ ὡς ἀπαρχῇ τοῦ ἀνθρωπίνου φυράματος καὶ πρωτοτόκῳ τῶν πολλῶν ἀδελφῶν καὶ κεφαλῇ τοῦ τῆς ἐκκλησίας σώματος, πρώτως καὶ πρωτοδόχως καὶ ἀμέσως διὰ καθ' ὑπόστασιν πρὸς αὐτὸν συνανακρατικῆς ἑνώσεως αὐτῆς, εἰς τὴν ἰδικὴν φύσιν αὐτοῦ, τὸν πλοῦτον τῆς ἐκθεώσεως, ἐκ τῆς πρὸς θεὸν συμφυΐας· εἰς δὲ τὸ λοιπὸν τῆς ἀνθρωπότητος φύραμα καὶ τοὺς λοιποὺς ἀδελφοὺς τοὺς ἐκ σπέρματος Ἀβραάμ, καὶ τὸ σῶμα τῆς ἐκκλησίας, δευτέρως καὶ μεταληπτικῶς καὶ ἐμμέσως διαβῆναι τὰ τῆς ὑπεργεσίας διὰ τῆς κατὰ φύσιν ἑνώσεως, τῆς πρὸς τὸν πρῶτον εὐεργετηθέντα ἐξ ἡμῶν κυριακὸν ἄνθρωπον, ὡς ἐκ τοῦ αὐτοῦ φυράματος εἰ καὶ ἀπαρχὴν, καὶ ὡς ἀδελφὸν ὁμονογενῆ εἰ καὶ πρωτότοκον, καὶ τοῦ αὐτοῦ σώματος εἰ καὶ κεφαλὴν ὄντα τὸν μεσιτεύσαντα ἡμῖν, ἕνα μεσίτην τυγχάνοντα θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπον Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν.

Εἴγε οὖν φατὲ, ὅτι τῆς οὖν χρεία ἦν συντεθῆναι τὸν μηδὲν εὐεργετηθέντα θεὸν τῇ εὐεργετηθείσῃ φύσει, καὶ ἐκ τούτου ἀδοξεῖν καὶ ἀτιμάζεσθαι, ἐροῦμεν ὑμῖν· ὡς ἡ τῶν εὐεργετουμένων θεώσις, δι' ἧς τοσαύτην ἀγαθότητα καὶ δύναμιν εὐεργετικὴν ἔχειν ἑαυτὸν θριαμβεύσας τῷ κόσμῳ, μᾶλλον καὶ μᾶλλον δοξάζεταί τε καὶ ἀγαπᾶται παρὰ πάντων ὁ συντεθεὶς ἡμῖν δι' ἡμᾶς θεὸς ἡμῶν· καὶ αὕτη μὲν ἡ αἰτία ὅμως κατὰ ταύτην ὑμῶν τὴν ἀπόνοιαν, οὔτε δημιουργεῖν ἔδει αὐτὸν δι' ἑαυτοῦ κατὰ τὴν πρώτην κτίσιν τὸν ἄνθρωπον· ἀλλ' ὥσπερ τῇ γῇ ἢ τοῖς ὕδασι προσέταττεν ἐξαγαγεῖν φυτὰ καὶ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος, καὶ ψυχὰς ἑρπετῶν ζωσῶν, καὶ τὰ λοιπὰ, οὕτως ἔδει καὶ νῦν ἑτέρῳ μέσῳ τὴν δημιουργίαν ἐπιτρέψαντα, μὴ ἑαυτὸν διὰ τῆς αὐτουργίας τῆς ἀνθρωπίνης ποιήσεως καθυβρίζειν· ἔτι δὲ μὴ δὲ κατ' εἰκόνα ἰδίαν καὶ ὁμοίωσιν τοῦτον προαγαγεῖν, καὶ τὸν ἴδιον χαρακτῆρα ἐν τῷ χοϊκῷ καταβιβάζειν φυράματι· ἔτι δὲ μάλιστα μὴ δὲ ψυχὴν ζῶσαν καὶ πνοὴν ζωῆς τῷ ἰδίῳ ἐμφυσήματι ἐνιέναι αὐτῷ, καὶ ἐνοικίζειν ἑαυτὸν ἐξ ἀρχῆς τῷ πηλῷ, καὶ ὥσπερ ἀρραβῶνα τῆς πρὸς αὐτὸν συνθέσεως καταβάλλεσθαι ἐκ τῆς οἰκείας φύσεως πρὸς τὴν ἀπὸ γῆς σάρκα· οὐ γὰρ δὴ διά τινα οἰκείαν εὐεργεσίαν, οὐδὲ τάδε πέπραχεν· εἰ δὲ ταῦτα, ἑτέραν μὲν δυνάμει μείζονα ἦν τοῦ ποιεῖν· οὐ γὰρ δή τι οὕτως θείας φύσεως χαρακτηριστικόν ἐστιν, ὡς τὸ τῶν λογικῶν ζώων δημιουργικὸν, καθ' ὃ πάντων τῶν κτιστῶν καὶ νοερῶν ὁ μόνος κτίστης τῶν νοητῶν τε καὶ λογικῶν πάντων διαστέλλεται· τί ὑμῖν ἀπεμφαῖνον ἔδοξεν εἰς τὰ τῆς κτίσεως τοῦ ἀνθρώπου μηδενὶ ἑτέρῳ τῶν παρ' αὐτὸν καὶ ὑπ' αὐτὸν ὄντως ἐγχειρισάμενος, καὶ νῦν τὰ τῆς ἀνακτί-

σεως αὐτοῦ αὐτουργικῶς αὐτὸς ὑπεδύσατο; ἔτι δὲ τί ἂν εἴποιτε Μωϋσέως ἄγγελον συνοδοιπόρον καὶ ὁδηγὸν πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἐξ Αἰγύπτου μὴ καταδεχομένου λαβεῖν, τοῦ Θεοῦ τοῦτο προτείνοντος αὐτῷ; ἀλλ' εἰ μὲν αὐτὸς συμπορεύσῃ μεθ' ἡμῶν, φήσαντος ἐπείτοι γε οὐκ ἀναβησόμεθα· καὶ τῆς θεοπρεποῦς φιλανθρωπίας τοῦ ἀγαθοῦ πάντων κυρίου, καὶ τοῦτο διακονῆσαι κατὰ τὴν τοῦ ἰδίου θεράποντος ἀπόφασιν καταδεξαμένης· καὶ ὁ φήσας δὲ προφήτης· οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς, πῶς οὐ καθ' ὑμᾶς ταῦτα ἤδη ἀπαξιοῦν ἡγούμενος, τὸν μηδὲν εἰς οἰκείαν φύσιν ὠνούμενον, τὴν ἡμετέραν σωτηρίαν δι' ἑαυτοῦ ἀνεπαισχύντως ἐργάζεσθαι, ἀλλ' οὐ μέσῳ τινὶ διακόνῳ κεχρῆσθαι εἰς τὴν καθ' ἡμᾶς παρ' αὐτοῦ εὐεργεσίαν, πῆ τῶν λογίων διεμαρτύρετο; ὁ γὰρ αἰσχύνης καταφρονήσας θανάτου σταυροῦ, αὐτὸς οὗτος ἦν κατὰ τὸν ἀπόστολον τὸν θεοδίδακτον, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων καὶ ἑαυτὸν οὐχ' ἕτερον κενώσας.

Εἰ δὲ ἔστιν ὑμᾶς εὐσεβῶς ἀνοίξαντας τὰ ὦτα ἀνοιγομένοις χείλεσιν ὑποτίθεσθαι καὶ ἑτέρως τὶ τὸ προσγενόμενον εὐεργέτημα ἡμῖν, καὶ τῷ κυριακῷ ἀνθρώπῳ, οὐκ ἄνευ τῆς πρὸς τὸν λόγον συνθέσεως αὐτοῦ, οὐκ ἠδύνατο διαβαίνειν εἰς ἡμᾶς, σὺν θεῷ τῷ σωτῆρι ἡμῶν ἀποκρινούμεθα· καὶ χρείαν εἶναι πάντως φήσομεν, καὶ ἀναγκαίως γενέσθαι διὰ τῆς πρὸς αὐτὸν συνθέσεως τὴν ἡμετέραν ἀνανέωσιν· ὥσπερ γάρ εἴ τις ἔκ τινος δακτυλίου σφραγίδα ἀνατυπωσάμενος ἐν φύσει ἁγνοῦ κηροῦ, ταύτην δὲ κατὰ γῆς πεσοῦσαν καὶ κόνει προσπλασθεῖσαν λοιπὸν, εἰ θεασάμενος εὕροι διὰ τὸν ἐμπλασθέντα χοῦν ἐκ τῆς γῆς ἀμαυρώτατον ἤδη γενόμενον καὶ ἀγνώριστον τὸ ἔναγχος ἐνδοθὲν τῷ κηρῷ ἐκμαγεῖον τοῦ χαρακτῆρος τοῦ δακτυλίου, βουλόμενος δὲ τρανῶσαι πάλιν καὶ ἀνανεῶσαι τὴν πρώην τυπωθεῖσαν σφραγῖδα τὴν συγκαλυφθεῖσαν ἐπὶ τῇ συναναφύρσει τοῦ χοὸς τῇ γενομένῃ πρὸς κηρὸν, τὸν δακτύλιον πάλιν αὐτὸν, ἀφ' οὗ τετύπωτο καὶ πρώην ἡ εἰκὼν, ἐν τῷ κηρῷ ἐνθεὶς καὶ συνάψας σφοδρότερον ἐνίησι τῷ αὐτῷ πάλιν κηρῷ τὸν ἔναγχος χαρακτῆρα μετὰ τρανοτέρας τῆς παραθέσεως καὶ προσενώσεως καὶ ἐμβατεύσεως τῆς διαπλαστικῆς φύσεως τοῦ σιδήρου καθ' ὃν ὁ χαρακτὴρ ἔγκειται, καὶ γεωθέντι τῷ κηρῷ καὶ οὐκ εὐπαραδέκτῳ γινομένῳ τῆς μεταμορφώσεως, ὅμως τὴν προτέραν αὖθις μορφὴν διατυπώσεται, οὕτω καὶ θεὸς τὴν κατ' εἰκόνα ἑαυτοῦ κτισθεῖσαν ἀνθρωπότητα, καὶ τῇ τῶν γηΐνων περιπλοκῇ, τὸ τῆς θείας εἰκόνος κάλλος ἀμαυρώσασαν, διὰ τῆς ἑαυτοῦ πάλιν ἐνδόσεως ἐκτενεστέρας καὶ δραστικωτέρας πρὸς τὸ ἀρχαῖον αὐτῆς ἀπ' αὐτοῦ κάλλος ὅ ἐστι τὸ τῆς θείας ὁμοιώσεως ἀνετυπώσατο, τὴν θεϊκὴν ἑαυτοῦ χαρισάμενος συμπλοκὴν τοῖς τῇ γηΐνῃ προσπεπλασμένοις στολῇ, καὶ τὴν ἕνωσιν αὐτοῦ τὴν πνευματι-

κὴν τοῖς τὴν σαρκικὴν σύμφυρσιν παθοῦσιν ἐνεργήσας· παντοδυνάμῳ γὰρ ἀγαθότητι, αὐτὸς εἰς ἑαυτὸν τοὺς λογικοὺς ὁ λόγος ἀνεκαλέσατο.

## CAP. XIX.

Τὸ σῶμα κατ' οὐσίαν συγκείμενον τῇ ψυχῇ, κερδαίνει ἐκ ταύτης τὸ ζῆν καὶ τὸ αἰσθάνεσθαι· τὸ δὲ σῶμα τοῦ κυρίου συντεθὲν οὐσιωδῶς καθ' ὑμᾶς, εἴπατε τί προσεκτήσατο, αἴσθησιν, ἢ κίνησιν; ἀλλὰ ταῦτα εἶχεν ἐκ τῆς ψυχῆς· ἀλλ' ἀπάθειαν καὶ ἀφθαρσίαν; ἀλλὰ τοῦτο ἐξ ἀναστάσεως ἐσχηκέναι φατὲ, καθὰ καὶ πάντες μέλλουσιν ἔχειν οἱ ἄνθρωποι· πῶς οὖν οὐ χείρων ἡ οὐσία τοῦ θεοῦ τῆς ψυχικῆς, εἴγε ἡ μὲν πολλῶν αὐτῷ μεταδίδωσιν, ἡ δὲ οὐδενὸς κρείττονος γνωρίσματος; ἆρα δὲ μὴ τὸ ἄνευ σπορᾶς διαπεπλάσθαι φατὲ, ἀλλὰ τοῦτο ἐνεργείας σύμβολον τοῦ ἁγίου πνεύματος, οὐκ οὐσιώδους συμπλοκῆς τοῦ λόγου τεκμήριον; πρὶν ἢ γὰρ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ πνεύματος ἁγίου· ἀλλὰ σημεῖα καὶ δυνάμεις; ἀλλὰ καὶ τούτων μείζονα ἐποίησαν οἱ ἀπόστολοι, κατὰ τὴν αὐτοῦ τοῦ κυρίου πρὸς αὐτοὺς ἐπαγγελίαν· ἀλλ' ἀξίαν καὶ δεσποτείαν, καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα δοθὲν αὐτῷ; καὶ τίνι ἐδόθη τοῦτο διὰ τῆς πρὸς τὸ κρεῖττον οὐσιώδους ἑνώσεως θεῷ λόγῳ; καὶ τίνι κρείττονι ἡνώθη ὁ λόγος; ἀλλὰ σαρκὶ ἤγουν ἀνθρώπῳ τῷ ἐξ ἡμῶν· οὐκοῦν πρῶτον μὲν ἰδοὺ τὸ τῆς ἀξίας ἀκούοντες ὄνομα δοθὲν αὐτῷ, τὴν φύσιν ἀντεισαγέτε· δεύτερον δὲ τοῖς λέγουσιν ἀξίαν ἀσύγκριτον εἶναι τὴν ἕνωσιν τῆς ἐξ ἡμῶν σαρκὸς πρὸς τὸν θεὸν λόγον, καὶ οὐ φυσικὴν σύνθεσιν, ὑμεῖς ἀντιφέρεσθε· τρίτον εἰ ἡ ἀξία καὶ δεσποτεία τοῦ ἐξ ἡμῶν ἀνθρώπου, οὐκ ἐκ τῆς οἰκείας οὐσίας πρόσεστιν αὐτῷ θελήσεως, ἀγάπης ἄρα καὶ εὐδοκίας χάρισμα εἶναι αὐτὴν ἀνάγκη, οὐκ οὐσιώδους ἑνώσεως δώρημα· ἐπεὶ μηδὲν τῶν κατ' οὐσίαν ἡνωμένων, ἀξίαν τινὰ καὶ δεσποτείαν δωρεῖται ᾧπερ ἂν ἥνωται· ἀλλ' ἆρα μὴ τὸ ἀναμάρτητον τοῦ κυριακοῦ ἀνθρώπου λέγουσι τεκμήριον τῆς οὐσιώδους πρὸς τὸν λόγον ἑνώσεως; καὶ πῶς ἐπὶ τὸ πνεῦμα τὸ ἅγιον ἀναφέρει τοῦτο ἡ θεία γραφὴ λέγουσα, ὃς διὰ πνεύματος αἰωνίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ θεῷ; καὶ τὸ πνεῦμα Ἰησοῦ καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων· καὶ ἀλλαχοῦ ἐδικαιώθη ἐν πνεύματι· οὐκοῦν τῷ πνεύματι ἐν ᾧ δεδικαίωται, καὶ οὐ τῷ λόγῳ ἐν ᾧ τὸ κατ' οὐσίαν· ἔσται δὲ οὕτως καὶ οὐ προαιρετικὸν ἀλλ' οὐσιῶδες τὸ κατόρθωμα.

Ὥσπερ οἱ τὰς μεγάλας πυρκαιὰς ἀξάπτειν ἐθέλοντες, καὶ τῷ παμφάγῳ πυρὶ νικώμενοι, μετὰ τὴν τῆς ἁδροτέρας ὕλης δαπάνην μαραγγιῶσαν ἤδη αὐτοῖς τὴν φλόγα θεώμενοι, καὶ μὴ διαρκοῦσαν τὴν ὕλην εἰς παραμονὴν τοῦ σπουδαζομένου κεκτημένοι, καρφολογίαις τισὶ ταύτην ἐξ ἀπορίας ἐπιτρέφειν σπουδάζουσιν, ἵνα μὴ τελείως αὐτοῖς ἡ λαμπὰς ἀποσβέν-

νυται, οὕτω δὴ καὶ ἡμεῖς νῦν τῆς τῶν προτάσεων ὑμῶν ἐξ ἀναλωθείσης πάσης ὑλαιοτάτης συρφετολογίας τῷ τοῦ ψεύδους ἀναλωτικῷ πυρὶ τῆς ἀληθείας, βαττολογίαις τισὶ μόνον τὴν ἐκκαυθεῖσαν ὑμῖν ἔριν, πρὸς ἡμᾶς παρυφάπτετε· ποίαν γὰρ ἡμῖν ἀνάγκην ἐπάξει καθολικῆς ὁμοιότητος ἡ πρός τι τοῦ παραδείγματος τῆς ψυχῆς καὶ τοῦ σώματος ἐξ ὑμῶν εἰρημένη παράθεσις; ἆρα γὰρ πάλιν ὑμᾶς ὑπομνήσομεν, ὡς τοῦτο ἠγνοήσατε ὦ σοφώτατοι, ὅτι οὐ πάντως ὧν αἱ συνθέσεις αἱ αὐταὶ κατά τι τούτων καὶ αἱ ἐνέργειαι αἱ αὐταὶ πᾶσαι, ἢ τὰ ἄλλως ἑπόμενα; ἀλλ' οὐκ οἶμαι τοῦτο ὑμᾶς ὅλον ἠγνοηκέναι· ἀνὴρ γὰρ ἀνδρὶ κατὰ τόπον ἥνωται τὸν ἐν ἐκκλησίᾳ· καὶ ψηφὶς ψηφίδι ὁμοίως κατὰ τόπον ἥνωται ἐν αὐτῇ· καὶ τῷ μὲν ἡ σύνθεσις ἢ παράθεσις, ὁμιλίαν τε καὶ θέρμην τὴν ἐξ ἀλλήλων καὶ τὰ λοιπὰ ἀμφοτέροις χαρίζεται· τῶν δὲ ἡ σύνθεσις οὐδὲν τοιοῦτον ἐπιδείκνυται· δέον δὲ ὑμᾶς ἦν τοῦτο ἐπισκέπτειν, ὡς ὧν αἱ φύσεις οὐχ' αἱ αὐταί, οὐδὲ αἱ μεταδόσεις· ἐπεὶ μὴ δὲ αἱ ποιότητες αἱ αὐταί εἰσιν, μὴ δὲ αἱ δυνάμεις ἢ αἱ ἐνέργειαι γένοιντο ἂν αἱ αὐταί, εἰ καὶ αἱ συνθέσεις εἶεν αἱ αὐταί πως νοούμεναι· ταῦτα οὖν πρὸς τὸ ἀπαιτεῖν ἡμᾶς φυτικὴν ζωὴν καὶ αἴσθησιν καὶ κίνησιν τοπικὴν ἐκ τοῦ λόγου δεῖξαι τῇ σαρκὶ γενομένην, διότι ταῦτα ἐκ ψυχῆς πέφυκε γίνεσθαι συντιθεμένης τῷ σώματι.

Ἐπειδὴ δὲ εἰ καὶ μὴ τὰ τῆς ψυχῆς, ἀλλ' ὅμως κἂν ἕτερόν τι ἰδεῖν τῶν παρὰ τοῦ λόγου τῇ σαρκὶ κερδαινομένων ἡμᾶς εἰσπράττετε, εἴγε ὡς φατὲ μὴ μέλλοι πάντη ἀνόνητος ταύτῃ εἶναι τῆς θείας συνθέσεως ὁ τρόπος, μηδέν τι τῶν τῆς ψυχῆς ἢ ὑπὲρ ταύτην αὐτῇ δωρούμενος· τοῦτο γὰρ βούλεται ὑμῶν ἡ ῥῆσις φάσκουσα, ὅτι εἰ ἀπάθειαν καὶ ἀφθαρσίαν τῇ συνθέσει μαρτυρήσοιμεν, ψευδόμεθα· τοῦτο γὰρ ἐξ ἀναστάσεως ἐσχηκέναι ὁ κυριακὸς ἄνθρωπος μεμαρτύρηται· ἀκούσεσθε παρ' ἡμῶν καὶ περὶ τοῦδε τάδε οἱ τῶν θείων δωρεῶν ἀνεπίσκεπτοι, ὅτι καὶ πλεῖστά εἰσι τὰ ἐκ τοῦ λόγου τῇ σαρκὶ δωρήματα καὶ μέγιστα· εἰ γὰρ καὶ τὴν ἀπάθειαν καὶ τὴν ἀφθαρσίαν ἐξ ἀναστάσεως ἐπεδείξατο καθὰ πάντες μέλλομεν ἔχειν οἱ ἄνθρωποι, ἀλλὰ καὶ πρὸ ἀναστάσεως, πᾶσι τοῖς πιστοῖς τὰ ὑπὲρ ἄνθρωπον ἤγουν θαυματουργικὰ δεδώρηται χαρίσματα· καὶ ἀναμαρτησία δὲ καὶ ἐξουσία πολλή τε καὶ ποικίλως μαρτυρηθέντα αὐτῇ, πόθεν προσγενέσθαι τῇ σαρκὶ εἴποιμεν αὐτῇ; οὐ γὰρ ἂν ἁπλῶς τις εἴποι αὐτὸ τοῦτο τὸ ἐν ὑποκειμένῳ θεωρούμενον πρᾶγμα, καὶ μὴ αὐτὸ βεβηκὸς νοούμενον, ἤγουν τὴν ἀνάστασιν, φύσιν εἶναι τινὰ ἐνεργητικὴν ἐγέρσεως καὶ ἀπαθείας καὶ ἀφθαρσίας σώματος Χριστοῦ· μόνον γὰρ ταῖς οὐσίαις ἐνθεωρούμενόν τι ἐστὶ, καὶ ἐπισυμβαῖνον αὐτῇ ὥσπερ καὶ ἡ κατάκλεισις καὶ ὕψωσις καὶ ταπείνωσις καὶ τὰ τοιαῦτα· ταῦτα γὰρ οὐσία μέν τις ἐνεργήσοι, καὶ εἰς οὐσίαν ἐνεργηθείη ἄν· αὐτὰ μέν τοι, οὔτε ἑαυτὰ, οὔτε ἕτερόν τι ἐξ ἑαυτῶν ἐν

οὐσίαις ἐνεργήσοι πώποτε· οὐδὲ γὰρ ἡ Λαζάρου οὐδὲ τῆς παιδὸς Ἰαείρου ἢ τῶν ἄλλων ἀνάστασις τί πεποίηκεν εἰς αὐτοὺς αὕτη αὐτουργικῶς.

Πῶς οὖν ἐξ ἀναστάσεως ταῦτα ἐσχηκέναι τὸν κυριακὸν ἄνθρωπον φατέ; εἰ γὰρ ἐκ τοῦ ἀνυπάρκτου πράγματος ταῦτα γέγονεν αὐτῷ, οὐχ' ὁ ὑπάρχων καὶ ὢν Θεὸς τούτων αἴτιος ἡμῖν τὲ καὶ αὐτῷ λογισθήσεται, οὐδὲ ὁ Θεὸς αὐτὸν ἐγείρειν· εἰ δὲ ὑπάρχον τί ἐστι, καὶ φύσις ἐστὶν ἡ ταῦτα ποιήσασα καὶ λεγομένη ἀπαθείας καὶ ἀφθαρσίας εἶναι χαριστική· ἐπεὶ οὐχ' ἑτέρα φύσις ἔσται τούτων παρεκτικὴ πλὴν Θεοῦ· οὔτε γὰρ ἀνθρώπου τόδε καθὼς εἴρηται· τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; Θεὸς ἀληθινὸς ἔσται τὸ τῶνδε ποιητικὸν αἴτιον· καὶ ἔσται ἀληθῶς ἐντεῦθεν ἰδεῖν ὑμᾶς ὡς αὐτὸς ἦν ὁ τῶνδε αἴτιος, καὶ τάδε ποιῶν, ἤγουν τὴν ἀπάθειαν καὶ ἀφθαρσίαν· εἴπερ αὐτὸς ἑαυτὸν ὄντως ἀναστῆσαι λέγεται, ὁ καὶ φήσας· ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀνάστασις, ἧς μᾶλλον ὑμεῖς φωνῆς παρηκούσατε· καί τοι ἐγώ εἰμὶ ὁ λαλῶν σοι δεικτικὸν ὄν· καὶ ἐκ τοῦ κατὰ τὴν προσφορὰν αἰσθητοῦ λόγου ἐνηχούμενοι μετὰ τῆς ἀδελφῆς Λαζάρου αἰσθητῷ σώματι ἑκοντὶ κοφεύετε· ὥσπερ, φησὶ, ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ οὕτως καὶ τῷ υἱῷ δέδωκεν ἐξουσίαν ἐγείρειν τοὺς νεκρούς. Εἰ μὲν οὖν ἀρκεῖ ταῦτα ὑμῖν εἰς πίστωσιν, ἐπεί τοι γε καὶ ἑτέρων ἀκούσεσθε λεγομένων ὑμῖν· εἰ γὰρ καθὰ πάντες μέλλουσιν ἔχειν οἱ ἄνθρωποι, ἔσχε καὶ ὁ κύριος τὴν ἀνάστασιν, τίς ἡ χρεία τοῦ αὐτὸν ἀναστῆσαι πρῶτον; εἰ γὰρ καὶ αὐτὸς καθ' ἡμᾶς ἀνέστη, καὶ ἡμεῖς κατ' αὐτὸν ἀνιστάμεθα, τίς ἡ χρεία τοῦ προγενέσθαι αὐτοῦ τὴν ἀνάστασιν; εἴπερ ἡμεῖς μὴ δι' αὐτῆς ἀνιστάμεθα· καὶ τῷ προγενέσθαι αὐτήν· καὶ αὐτοῦ γὰρ μὴ ἀναστάντος, ὁ ἀναστήσας αὐτὸν καθ' ἡμᾶς, ἀνιστᾷ ἂν ἡμᾶς κατ' αὐτὸν διὰ τῆς κοινῶς ἐν ἅπασι γινομένης καὶ ὁμοίας αὐτοῦ ἐνεργείας· οὕτω μὲν οὖν δέδεικται αὐτοῦ τὲ ἡ ἀνάστασις αὐτοενέργεια εἶναι, καὶ ἡμῶν ἐκ συνθέσεως τῆς πρὸς τὸν λόγον τῆς σαρκὸς ἀνάστασις.

Σκοπητέον δὲ λοιπὸν καὶ τὸ ἕτερον τὸ παρ' ὑμῶν εἰρημένον· τὸ γὰρ παράδοξον τῆς θεοπρεποῦς αὐτοῦ γεννήσεως, ἐπὶ τὸ ἅγιον πνεῦμα ἀνάγετε, καὶ σύμβολον εἶναι ταύτην τούτου νομίζετε, καὶ οὐκ οὐσιώδους συμπλοκῆς τοῦ λόγου τεκμήριον· εἴπατε οὖν ἡμῖν ὄντως ὦ οὗτοι, διὰ τί ἐπὶ τῆς τούτου καὶ μόνου γεννήσεως τοῦτο γεγένηται; καὶ διὰ τί τήνδε τὴν αὐτοῦ τοιαύτην γέννησιν, τὸ τοιόνδε σύμβολον κατηρτίσατο μόνον; καὶ γὰρ ἐκ τῶν ὑμετέρων λημμάτων ἔχομεν, ὅτι ὧν ἀσυγκρίτως διαφέρουσιν αἱ φύσεις, τούτοις οὐ δυνατὸν τὴν αὐτὴν σύνθεσιν ἐπισυμβαίνειν· νῦν οὖν ὑμῖν διὰ τὸ ὑμέτερον ἀρτίως θέμα, ἐναντίως μὲν τῷ σκοπῷ τόδε αὐτὸ ἀξίωμα φήσομεν, ὅτι ὧν αἱ γεννήσεις διάφοροι ἀσυγκρίτως, οὐδέποτε αἱ αὐταὶ

φύσεις γενήσονται· ὅτι γὰρ τὸ ἐν ἀνομίαις συλληφθῆναι ἀσύγκριτον ἔχει τὸ διάφορον, οὐκ ἀμφιβάλοι ἂν οὐδὲ ὅλως τις τῶν ὄντων· ἔτι δὲ καὶ οὕτως πάλιν ἐροῦμεν· εἰ τὸ ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· τὸ δὲ ἐκ τοῦ πνεύματος, πνεῦμα ἐστὶ· σὰρξ δὲ καὶ πνεῦμα οὐ τῆς αὐτῆς οὐσίας· πᾶς δὲ ἄνθρωπος σὰρξ ἐκ σαρκὸς· διὸ καὶ ἐκ σαρκὸς ὁμοουσίως σαρκωθεὶς ἐγεννήθη· ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου τῶν ἑτεροουσίων σαρκωθεὶς ἐγεννήθη· πῶς οὖν οὐκ οὐσιώδους συμπλοκῆς τοῦ λόγου τεκμήριον, ἡ τοιάδε γέννησις ἐν ᾗ τὸ τοῦ ἁγίου πνεύματος σύμβολον ὡς ἐνομίζετε ὑμεῖς γέγονε; καὶ τὸ οὖν ἐκ πνεύματος καὶ πνεῦμα εἶναι μετὰ τοῦ καὶ σάρκα, τόδε παρίστησιν αὐτὸν· πνεῦμα δὲ ὁ θεός· καὶ ὁ κύριος τὸ πνεῦμα ἐστὶ· συνελήφθη γὰρ ἐκ πνεύματος ἁγίου· οὐ γὰρ ἁπλῶς πνεύματος εἴρηται· ταῦτα μὲν οὖν καὶ περὶ τῆς οὐ δοκούσης ὑμῖν παραδόξου θείας τοῦ σωτῆρος ἡμῶν γεννήσεως.

Τὸ δὲ ἕτερον τῆς ὑμετέρας διαβολῆς, ἐν ᾗ πῶς τὰς θεοσημείας τοῦ δεσπότου ὡς οὐδὲν ἔχειν δι' οἰκείας ἀποδείξεως παρεγχαράσσειν . . . ὅθεν ὑμῖν τοῦτο μὴ θεοῦ . . . Ἡδέως ἂν τοῦτο πυθοίμεθα παρ' ὑμῶν, ἆρά γε βασιλέως λοιδορήσαντος ἢ ἀπειλήσαντος λόγῳ μόνῳ τινὶ, τῶν δὲ τούτου ὑπασπιστῶν παρ' αὐτὰ καὶ αἰκιζόντων πολλάκις ἢ ἀναιρούντων τὸν ὑβρισθέντα ὑπὸ τοῦ κυρίου αὐτῶν, ἐπεὶ μείζονες αἱ πληγαὶ αὐτῶν, μείζους ἢ ὁμοίους ἄρα καὶ τοὺς ὑπηρέτας τοῦ βασιλέως εἴποιμεν εἶναι; πάλιν ἐν εὐεργεσίαις ταῦτα ὁρῶντες συμβαίνοντα, ὡς ᾧ τινι λόγου μόνου μεταδίδωσι καὶ συντυχίας ὁ βασιλεὺς, δῶρα τε ποικίλα καὶ τιμαὶ παρὰ τῶν ὑπηκόων τοῦ βασιλέως προσφέρονται, μείζονας εὐεργέτας εἶναι φήσομεν τοὺς ὑπηκόους; ἢ ὄντως δέον εἰδέναι τοὺς περὶ τούτου διαγινώσκοντας, πόθεν ἡ ἀρχὴ τοῦ γενομένου καὶ τίνος δυνάμεως ἐνέργεια, καὶ τίς ἡ τούτων πρώτως αἰτία παρασκευαστική; εἰ γὰρ μὴ τούτοις ἐπισκέψομεν, καὶ τὴν μάστιγα εἶναι μείζονα εἴποιμεν ἂν τοῦ ἡνιόχου, καὶ τὸ βέλος τοῦ τοξότου, καὶ τὸν μαθητὴν τοῦ διδασκάλου, καὶ πόδας ἐπὶ κεφαλὴν τὸ δὴ λεγόμενον ἀναστρέψομεν· ἄλλως δὲ πάλιν· εἰ καθ' ὑμᾶς ἴσον αὐτὸν ἑαυτοῖς οἱ ἀπόστολοι αὐτοῦ γήϊνοι ὄντες διεγνώκεισαν, καὶ αὐτὸς ὁ τούτων καὶ ἡμῶν κύριος, πῶς μὴ δὲ πατέρα μὴ δὲ ῥαββὶ μὴ δὲ κύριον ἢ καθηγητὴν καλεῖν τινὰ τῶν ἐπὶ γῆς προσταττομένης, κύριον αὐτὸν καὶ θεὸν ἐκάλουν καὶ διδάσκαλον; ἀλλὰ καὶ ὁ ταῦτα αὐτοῖς προστάξας, ὡς καλῶς παρ' αὐτῶν τάδε λεγόμενα αὐτῷ ἀπεδέχετο, εἰπών· ὑμεῖς φωνεῖτέ με ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ· οὐκοῦν σαφὲς ὡς εἰ καὶ τὰ αὐτὰ ἢ καὶ μείζονα παρὰ τῶν αὐτῶν ἐγίνετο, οὐχ' ὁμοίως οὐδὲ ἐξ ὁμοίων γίνεσθαι ὡμολόγησαν· ἀλλ' ἐκ τοῦδε μὲν, ὡς κυρίου αὐτῶν, ἐκ τῶνδε δὲ ὡς δούλων αὐτοῦ καὶ λειτουργῶν.

Πλὴν καὶ τούτων εἰς ἔλεγχον τῆς ἀπολομίας τῶν εἰρημένων ὑμῖν . . . ἔτι μαθεῖν ὅμως βουλόμεθα παρ' ὑμῶν, ποῦ ἢ πότε οὗτοι εἰ καὶ τὰ αὐτὰ . . . κατὰ τὸν αὐτὸν τρόπον αὐτῷ ταῦτα προεβάλοντο, ἢ ὁμοίως αὐτῷ ἐν τοῖς ὑπὲρ ἄνθρωπον ἐγνωρίζοντο; ὁ μὲν γὰρ αὐθεντίᾳ καὶ ἐξουσίᾳ ἰδίᾳ καὶ οἰκείῳ προστάγματι, ἔλεγε· θέλω, καθαρίσθητι· οὗτοι δὲ ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ναζωραίου ἔγειραι καὶ περιπάτει λέγοντες· ἰδοὺ σαφῶς ἐκείνου εἶναι τὴν ἐνέργειαν, αὐτῶν δὲ τὴν ὑπουργίαν μάλιστα ὡμολόγουν· καὶ αὐτὸ γὰρ ὅλως τὸ ὑπ' αὐτῶν διακονούμενον διὰ τῶν θαυμάτων ἡ εἰς τὸν δεσπότην αὐτῶν πίστις ἦν, ὃ καὶ μόνον ἐσπουδάζετο αὐτοῖς· ἔτι μὴν, ποῦ τὸ ἰδίως θεοῦ χαρακτηριστικὸν, τὸ δημιουργικὸν λέγω, ὥσπερ αὐτὸς τοῦτο εἰς τὸν ἐκ γεννητῆς τυφλὸν, καὶ οὗτοι ἐπεδείξαντο; τὸ γὰρ ἐκ πηλοῦ τὸ καιριώτερον καὶ ποικιλώτερον μέρος τῶν ἐν ἀνθρωπείῳ σώματι πλάσας, δι' ἑνὸς μορίου παρέστησεν, ὡς αὐτὸς ἦν καὶ ὁ λαβὼν χοῦν ἀπὸ τῆς γῆς ἐξ ἀρχῆς καὶ πλάσας τὸν ἄνθρωπον· τίς δὲ αὐτῶν ἢ προφητῶν ἑτέρους, ἀλλ' ὅμως ἑαυτὸν, ἐκ νεκρῶν ἀναστῆσαι ἠδυνήθη; ἢ τίνος ἀδιάφθορον τὸ σῶμα τῶν ἐπὶ τῆς γῆς ἐν τάφῳ γέγονεν; ἢ τίς ἔχειν ἐξουσίαν τῆς ἀποθέσεως τῆς ἑαυτοῦ ψυχῆς καὶ ἀπολαβῆς μεμαρτύρηται; οὐδὲ ἀκούσεσθε ὀψὲ γοῦν πότε τοῦ λέγοντος, τίς ἐστι ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου; τίς δὲ αὐτῶν ἐπ' ἐξουσίας ἐπιτάσσειν τοῖς πνεύμασι τοῖς ἀκαθάρτοις, ἢ ἐπ' ἐξουσίας ἐπιτιμᾶν τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ εἴρηται; ἢ τίνος ἑτέρου ἐθαυμάσθη ὁ λόγος ὅτι ἐπ' ἐξουσίας ἦν καὶ οὐχ' ὡς οἱ τῶν λοιπῶν; τίνος δὲ τῶν ἀποστόλων ἢ προφητῶν ἀποθνήσκοντος οὐρανὸς καὶ γῆ, ἥλιος καὶ σελήνη, ἡμέρα καὶ νὺξ, νεκροὶ καὶ ζῶντες συνεσείσθησαν, καὶ τῶν οἰκείων ὅρων καὶ τόπων ἐξέστησαν; τίνος δὲ ἐν τῇ γεννήσει ἄσπορος ὠράθη τόκος, ἀστέρος ἀπ' οὐρανοῦ δρόμος, ἀγγέλων ὑμνολόγος χορὸς; τίς δὲ αὐτῶν ἐν μὲν τῷ σαρκικῷ σώματι τὰ πνευματικὰ ἐπεδείξατο, ὑμένος τοῦτο διαβιβάζων παρθενικοῦ, καὶ ὑδάτων ἐπιπολάζων; ἐν δὲ τῷ πνευματικῷ σώματι, τὰ σαρκικὰ προεβάλετο, χερσὶν αἰσθηταῖς ψηλαφώμενος; καὶ βρωτὰ μετὰ τὴν ἀνάστασιν ὑπὸ τῶν μαθητῶν προσιέμενος, καὶ ἐσθίων, εἰ καὶ μὴ τρεφόμενος; δεικνὺς διὰ τούτων, ὅτι τῆς σαρκικῆς τε καὶ πνευματικῆς φύσεως, αὐτός ἐστιν ὁ ποιητής τε καὶ κατασκευαστὴς, καὶ ποιῶν πάντα καὶ μετασκευάζων, καὶ θαυματουργεῖν ἀεὶ δυνάμενος, ἐν ἅπασι τοῖς φυσικοῖς καταστήμασι· τῷ γὰρ ποιοῦντι τὶ, τούτῳ μόνῳ καὶ τὸ μετασκευάζειν αὐτὸ, εὔκολον· τίς δὲ εἰς οὐρανὸν ἀναβέβηκεν, ἢ ἐκ τοῦ οὐρανοῦ καταβεβηκέναι μόνος μεμαρτύρηται, τῶν τῆς ἀνθρωπίνης μόνης ὄντων φύσεως; οὐκοῦν οὐδὲ τοῦτο ἡμῖν τὸ ἀσεβὲς πα-

ραστῆσαι κατὰ γνώμην ἐκβέβηκεν, ὡς ἡ αὐτὴ τῶν τε οὐσίων ἀνδρῶν, καὶ τῆς δεσποτικῆς ἐξουσίας ἡ θαυματουργία ἐστί.

Τὸ δὲ ἕτερον ὧν φατέ ἐστι, τὸ τὴν ἀξίαν καὶ δεσποτείαν καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, καὶ τὰ λοιπὰ τῇ σαρκὶ ὑπὸ τοῦ κρείττονος αὐτῆς λόγου δοθῆναι, καὶ μὴ δέον εἶναι συνθέσει ταῦτα προσλογίζεσθαι. Ἀληθῶς μὲν οὖν ἐκ τοῦ λόγου δίδοσθαι τὰ εἰρημένα συντιθέμεθα· πλὴν τοῦτο ὑμᾶς ἐρωτήσομεν· τάδε τὰ ὄντα τινὰ ἐν τῷ δέ τινι φυσικῶς ποτὲ, καὶ τῷ δέ τινι μεταδίδονται, ὅτε ἀσυνθέτως ἔχει πρὸς τὸν ἔχοντα, ὁ μὴ ἔχων αὐτὰ κατὰ φύσιν, ἢ ὅτε πρὸς τόνδε συνετέθη; τί δήποτε οὖν πολλῶν ὄντων τῶν ἀσυνθέτων πρὸς τὸν ἔχοντα τάδε φυσικῶς, ἑνὶ μόνῳ τῷδε δέδονται; ἰδοὺ γὰρ ἐν παραδείγματι βλέπομεν, ὡς ἡνίκα κατὰ φύσιν συντεθῇ τὸ πῦρ τῷ σιδήρῳ, τότε πεπυρωμένος λέγεται ὁ σίδηρος, τὸ ὄνομα καὶ τὴν ὡς ἄν τις εἴποι ἀξίαν φυσικὴν τοῦ πυρὸς, ἐκ τῆς συνθέσεως προσκτησάμενος· καὶ ὅτε φῶς τῷ ὕδατι εἰσκραθὲν τοῦτο φωτίσει κατὰ σύνθεσιν; πεφωτισμένον ὀνομάζεται ὕδωρ· καὶ ὅτε χρυσῷ ἐπιχριόμενος ἑνωθῇ, τότε χρύσεος ἀνδριάς· ὅτε δὲ τῷ σκεπάρνῳ εἰς ἐνέργειαν μόνον χρῆται ὁ τέκτων, οὐ κατὰ σύνθεσιν φυσικὴν αὐτῷ ἡνωμένος, τότε οὐδὲ τὸ ὄνομα οὐδὲ τὴν ἀξίαν αὐτοῦ μεταδίδωσι τῷ ὀργάνῳ, ἢ παρ' αὐτοῦ μεταλήψεται ὁ ἐργαζόμενος· ἀλλ' οὐδ' ὁ βασιλεὺς, ἢ εὐγενής τις ὁντιναοῦν τῶν οἰκείων θεραπόντων εἰ προσλάβοιτο, καὶ οἱαισοῦν ἀξίαις τιμήσει, κατὰ φύσιν δὲ αὐτῷ μὴ ᾖ συγκείμενος, οὔτε τὸ ὄνομα, οὔτε τὴν ἀξίαν καὶ δεσποτείαν τὴν βασιλικὴν, οὔτε τὴν εὐγένειαν αὐτοῦ τῷδε συγχωρήσειεν· οὐδὲ γὰρ δυνατόν ἐστιν οὐδὲ εἰ βούλοιτο, ὥσπερ οὖν ὑποδείξομεν, ὅσον ἂν καλλωπίσοι τινὰ τῶν ἰδίων ἵππων, ἄνθρωπον αὐτὸν ὀνομάζειν ἀληθῶς εἶναι ὡμολογημένου ὀνόματος καὶ οὐ δύο τῶν ὑπὲρ πάντα τὰ φυσικὰ ὀνόματα· τρία γὰρ καὶ οὐχ' ἓν εἰ τὰ ὑποστατικὰ θεῖα καὶ ὑπερέχοντα φῇ τις, τοῦτο ἔσται, τί ἂν ἄλλο ἢ ὁ θεὸς καὶ κύριος ὁ φύσει; ὁ θέσει γὰρ οὔτε μόνῳ αὐτῷ χαρισθὲν οὔτε ὑπὲρ πᾶν ὄνομα ἐστί· πολλῶν ὄντων κατά τι λεγομένων θεῶν τὲ καὶ κυρίων ἐν οὐρανῷ τὲ καὶ γῇ· εἰ οὖν ἕτερος τοῦτο λάβοι παρὰ τὸν ὄντως φύσει θεὸν, ἀνάγκη ἐστὶν ἢ ἀνώνυμον μεῖναι τὸν δόντα ἢ ἐν θατέρῳ αὐτῶν ψευδῶς ὀνομάζεσθαι λοιπὸν τοῦτο· ἢ γὰρ ἐκ τοῦ προσφάτως αὐτὸ λαμβάνοντος ἑτεροουσίου ὄντος, καὶ οὐ κυρίως αὐτὸ κτησαμένου, ψευδῶς κέκληται· ἢ ἐπὶ τοῦ πρώην ἔχοντος αὐτὸ, οὐκ ἀληθῶς λέγεται λοιπὸν ὡς νεωστὶ ἀποκτησαμένου, καὶ μὴ μείναντος μὴ δὲ ἐν τῇ ἰδίᾳ φύσει τοῦ ὀνόματος· πᾶν γὰρ φυσικὸν κύριον ὄνομα, μιᾶς καὶ οὐ δύο φύσεων διαφόρων ἐστίν· ἢ οὖν οὐ κυρίως καὶ ἀληθῶς τοῦτο δεδόσθαι λέγεται τινὶ, ἢ εἰ ἀψευδῶς δέδοται, ἐκ συνθέσεως αὐτοῦ τοῦ τούτου μόνου ἀληθῶς ὀνομαζομένου κατ' αὐτὸ καὶ πρὸς τὸ ἑτέρως μετεδόθη· οὕτως

γὰρ καὶ ἔτι τῷ αὐτῷ ἐνυπάρχοντι ὀνόματι καὶ ἐν τῷ ἑτέρῳ ἔσται, διὰ τὸν γενόμενον ἐν αὐτῷ· οὐ γάρ ἐστι τι τῆς φύσεως ὄνομα ἀληθῶς ὀνομάζεσθαι ἀποχωροῦν τοῦ ἰδίου ὑποκειμένου· ὁμοίως δὲ καὶ ὁ τῆς ἀξίας καὶ δεσποτείας λόγος καὶ τὰ λοιπὰ πάντα νοεῖται.

Ἐπεὶ οὖν διὰ ταῦτα ἡμῖν μὲν ἐκ τῆς φύσεως δοθῆναι καὶ τὸ τῆς ἀξίας ὄνομα, καὶ φύσιν εἶναι τὴν ἀξίαν ἐπὶ θεοῦ, οὐ γὰρ ἐπίκτητόν τινα περιβολὴν, ὑμῖν δὲ ὡς ἔοικεν, οὐχὶ ταῦτα οὕτως ἔχειν φαίνεται, εἴπατε τί μάλιστα βούλεσθε ἡμᾶς νοεῖν, ἀληθῶς οὖσαν τὴν κατὰ Χριστὸν ἀξίαν καὶ δεσποτείαν καὶ τὸ ὄνομα· καὶ εἰδῶμεν εἰ μὴ πάντως ὅσον ἂν τῷ μᾶλλον ὑπερέχοι τὰ καθ' ἡμᾶς, τὸ λεγόμενον παρ' ὑμῶν, ἐπεὶ εἶδος τοῦτο οὐκ ἐξαλλάσσει· καὶ γὰρ ἂν οὕτω πᾶς ἄνθρωπος παντὸς ἀνθρώπου ἑτεροούσιος γένοιτο, κατὰ τίνα εἶναι τῶν ὁσίων ἀνθρώπων τὸν Χριστὸν ἡμῖν τὸν ὄντως θεὸν καὶ υἱὸν θεοῦ ζῶντος ὡμολογημένον ὑποτίθεσθε; ἔνεστιν οὖν ἀκηκοέναι ὅπως ἀξίαν εἶναι καὶ οὐ σύνθεσιν φυσικὴν ταύτην ἐπὶ Χριστοῦ κατασκευάζετε λέγοντες, ὡς ἡ ἀξία ἐκ θελήσεως δίδοται· ἐπεὶ οὖν εὐδοκίᾳ γεγένηται καὶ τὰ τῆς οἰκονομίας, πάντως ἀξία τὶς ἔσται τὸ δοθέν. Ἀλλὰ καὶ πρὸς τοῦτο φαμὲν· ὅτι μὲν ὡς τιμήν τινα οἴεσθε τὴν ἀξίαν διὰ τὸ ἐκ θελήσεως δεδόσθαι, ἐροῦμεν ὑμῖν ὅτι καὶ πληγαὶ καὶ πέδαι καὶ ἀτίμιαι τοῖς κακούργοις οἰκέταις καὶ δημόταις ἐκ θελήσεως δίδονται τῶν οἰκείων ἀρχόντων καὶ δεσποτῶν· τῷ οὖν καθ' ὑμᾶς λόγῳ ἐπεὶ ἐκ θελήσεώς ἐστι ταῦτα δεδομένα, ἀξίαι λογισθήσονται καὶ τιμαί· μὴ δὲ γὰρ τοῦτο ὑμῖν εἰς ἀτοπίαν πλήρη παροράσθω λέγειν· ἄλλως τε εἰ λεγόντων ἡμῶν τὴν φυσικὴν σύνθεσιν, μὴ κατ' εὐδοκίαν καὶ φιλανθρωπίαν αὐτοῦ τοῦ παναγάθου θεοῦ ταύτην ἔφαμεν γενέσθαι, εἴχετε ἂν εἰκὸς ἐκ τοῦ μὴ κατ' εὐδοκίαν εἶναι τὴν οἰκονομίαν, μὴ σύνθεσιν εἶναι διαβεβαιοῦσθαι· νῦν δὲ τοῦτο αὐτὸ ὑπερβοῶμεν ὑμῶν ὡς ἀγαθότητος ἀκροτάτην ἔνδειξιν ἔχει, τὸ κατ' εὐδοκίαν εἶναι τὴν τοιάνδε σύνθεσιν· οὕτως γὰρ ἴσμεν παντελῶς ἄφθονον τὸ θεῖον, ὡς εὐδοκεῖν οὐ συμβεβηκυίας οὐδὲ ἀνοσίου τινὸς ἀξίας μεταδοῦναι ἡμῖν μόνον, ἀλλὰ φυσικῆς καὶ ταύτης οὐ τῆς τυχούσης· οὐχ ἑτέρου γὰρ ἀγαθοῦ ἀλλ' ἑαυτοῦ ἡμῖν τοῖς αὐτοῦ μεταδέδωκεν· οὗ τί ἂν εἴη λοιπὸν τὴν οἱανοῦν φύσιν ἀφθονωτέραν ἢ ἀγαθοτέραν θεοῦ ἐννοεῖν συγχωροῦν, εἴπατε ὑμεῖς, καὶ ἐν τούτῳ ὑμῖν συμφωνήσομεν.

Ἀλλ' ἐπεὶ καὶ πρὸς τοῦτο καταβληθέντες ἔτι ψυχοῤῥαγικῶς ἀσπαίροντες οὐκ ἐνδιδόατε τῷ ἀληθεῖ τῆς εὐσεβείας λόγῳ, ἀλλὰ καὶ τὸ ἀναμάρτητον ἡμῖν οὐ θείας ἑνώσεως εἶναι σύμβολον ἐπὶ τοῦ δεσπότου ἡμῶν Χριστοῦ διαβεβαιοῦσθε, καὶ τοῦτο ὑμῖν συνεξετάσομεν· ἐν οἷς μὲν οὖν ἐστι τὸ ἁμαρτάνειν, ἐν τούτοις θαυμάζεται καὶ τὸ ἀναμάρτητον· ἐπεὶ οὐδὲ κυρίως ἐπαινετὸν λέγειν τὸ ἀναμάρτητον· τίνος οὖν ἴδωμεν ἡ ἁμαρτία,

ἢ δῆλον ὡς τοῦ καθέκαστον τῶν ἀνθρώπων αὐτεξουσίου; τούτου γὰρ καὶ ἡ δικαιοσύνη· εἰ γὰρ μὴ τοῦ κατὰ προαίρεσιν καὶ ἐφ' ἡμῖν αἱ ἁμαρτίαι τὲ καὶ αἱ δικαιοσύναι, ἵνα πάντα παραλείψωμεν, ἄδικος ὁ κολάζων τόν τε οὐκ ἐξ ἑαυτοῦ ἁμαρτάνοντα, καὶ γεραίρων τὸν οὐκ ἀφ' ἑαυτοῦ δικαιοπραγοῦντα· εἰ οὖν ὡμολογημένως ἡ ἁμαρτία τὲ καὶ ἡ δικαιοσύνη ἐκ τοῦ ἐφ' ἡμῖν, καὶ τοῦ κατὰ φύσιν ἡμῶν αὐτεξουσίου, τὸ δὲ ἀναμάρτητον ἤγουν δίκαιον τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐκ πνεύματος ἁγίου μεμαρτύρηται, καὶ ὑμῖν ἀνάγκη ἐστὶ τοῦτο εἶναι αὐτοῦ τὸ αὐτεξούσιον, ἐξ οὗπερ ἐδικαιώθη· ὥσπερ καὶ ἡμεῖς ἐκ τοῦ καθ' ἡμᾶς αὐτεξουσίου· εἰ δὲ ὅπερ τῆς ἡμετέρας φύσεως ἐστὶ αὐτεξούσιον καὶ τῆς δικαιοσύνης ἡμῶν αἴτιον, τοῦτο τῆς Χριστοῦ φύσεως ἴσμεν εἶναι τὸ πνεῦμα τὸ ἅγιον, τοῦτο δὲ ἀληθῶς θεὸς ἀληθινὸς, πῶς οὐχὶ σαφέστατα ἡμῖν καὶ ἄκοντες τὴν θείαν φύσιν διὰ τοῦ πνεύματος ἐν Χριστῷ εἶναι δεδώκατε; οἱ πρώην μὲν ὑπολαμβάνοντες ἀνομίαν, ὅτι ὅμοιός ἐστιν ὑμῖν· ἐλεγχθέντες δὲ κατὰ πρόσωπον νῦν ὑπ' αὐτοῦ ὅτι ὑπὲρ ἡμᾶς ἦν νοούμενος ὁ καθ' ἡμᾶς θεωρούμενος· ὃ γὰρ ἐν ἡμῖν ὁ ἡγεμονικὸς λόγος κατορθοῖ μερικῶς, τοῦτο παντελῶς ὁ θεῖος λόγος πρὸς τῷ ἡμετέρῳ καὶ τοῦδε καὶ τῶν λοιπῶν ἡγεμονευόντων ἐν Χριστῷ κατώρθωσεν· εἴτε οὖν ὡς συνυπάρχων τῷ ἁγίῳ πνεύματι, εἴτε καὶ ὡς πνεῦμα ἅγιον ἀπὸ τῆς φύσεως λεγόμενος, οὐκ ἀπὸ τῆς ὑποστάσεως, αὐτὸς ἑαυτοῦ τῆς δικαιοσύνης οὐχ' ἕτερος αἴτιος.

## CAP. XX.

Ὁ λόγος ὁ θεῖος, ἄτρεπτός ἐστι τὴν ὑπόστασιν ὡς καὶ τὴν φύσιν, ἢ οὐχί· εἰ μὲν οὖν οὐχὶ, οὐδὲ πάντη ἁπλοῦς, οὐδὲ ἄφθαρτος φασὶ, ἀλλ' οὐδὲ θεός· ἔτι μὴν καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον, εἰ μὴ ἄρα ἑτέρως ὑφεστήκασιν, τοῖς αὐτοῖς ὑπενεχθήσονται· δυνάμει γὰρ τρεπτοὶ καὶ αὐτοὶ τὰς ὑποστάσεις νοηθήσονται· εἰ δέ γε διὰ τὸ ἐναργὲς τῆς ἀσεβείας, πᾶς τις ὁμολογεῖ ἄτρεπτον καὶ καθ' ὑπόστασιν τὸν λόγον, πῶς ἐξ ἁπλῆς σύνθετον ἕξει τὴν ὑπόστασιν; Ἀλλὰ πῶς τὸ ἁπλοῦν τῆς ὑποστάσεως νοεῖται ὑμῖν; αἱ γὰρ ὑποστάσεις, φύσεις εἰσὶ μετὰ ἰδιωμάτων· εἰ μὲν οὖν τῷ μίαν τὲ ἔχειν φύσιν καὶ ἓν ἰδίωμα ἁπλοῦν τὴν ὑπόστασιν ἁπλῶς οἴεσθε, ἢ φύσεις μὲν ὅσας τύχοι, ἰδίωμα δὲ ἓν μόνον ἁπλοῦν; οὔτε μία ἔσται τινὸς ἁπλῆ ὑπόστασις οὐδὲ τῶν θείων αὐτῶν· ὁ πατήρ τε γὰρ λόγου ἐστὶ γεννήτωρ καὶ ἀγέννητος καὶ ἐκπορευτὴς πνεύματος ἁγίου· καὶ ὁ υἱὸς, γεννητὸς καὶ λόγος καὶ διαπορθμευτὴς τοῦ ἁγίου πνεύματος· ἅ ἐστι πλείονα ἁπλᾶ ἰδιώματα τῆς αὐτῆς ὑποστάσεως ἐξ ὧν ἅμα πάντων, καὶ τὸ ἓν σύνθετον ἰδίωμα νοεῖται, τῆς πατρικῆς ἢ υἱϊκῆς ὑποστάσεως· εἰ δὲ τῷ φύσιν μὲν μίαν ἔχειν, ἰδιώματα δὲ ἁπλᾶ ὅσα ἂν τύχοι, τί ἂν διαφέροι ἁπλῆ ὑπόστασις ἁπλῆς φύσεως, λέξατε· εἰ δὲ οὐδὲν, ἀνάγκη ἄρα, ὥσ-

περ τὴν ἀσύνθετον φύσιν ἐν τῷ μὴ σὺν ἑτέρᾳ φύσει ἡνῶσθαι νοοῦμεν, οὕτως καὶ τὴν ἀσύνθετον ὑπόστασιν, ἐν τῷ μὴ σὺν ἑτέρᾳ ὑποστάσει ἡνῶσθαι, ὀρθῶς δοξάζειν· ὑποστάσει δὲ ὑπόστασιν ἑνωθῆναι, οὐχ' ἡμεῖς ἀλλ' ὑμεῖς φατέ· ὥστε καὶ ὑμεῖς λέγετε σύνθεσιν ὑποστάσεων· ἡμεῖς γὰρ ὥσπερ τὸν ἐν καμίνῳ πυρωθέντα σίδηρον οὐχ' ὑπόστασιν ἀποσπάσαι τινὰ μερικὴν ἐκ τοῦ πυρείου εἴδους, ἀλλὰ φύσιν μόνον ἐν τῇ ἰδίᾳ ὑποστάσει προσδέξασθαι· μένει γὰρ ὡσαύτως ἀνελλιπὴς ἡ τοῦ πυρὸς ἐν τῇ καμίνῳ ὑπόστασις καὶ μετὰ τὴν τοῦ σιδήρου πύρωσιν· οὕτω φαμὲν τὸν λόγον ἐκ τῆς ἡμετέρας φύσεως εἰς τὴν ἰδίαν ὑπόστασιν προσλαβέσθαι φύσιν ἰδικήν τινα· κατὰ τὴν ὑπόστασιν οὖν ταῖς φύσεσιν ἡ σύνθεσις, εἴτ' οὖν ἕνωσις ἡ πρὸς ἀλλήλας· οὔτε δὲ φύσις σύνθετος ἐκ τῶνδε γέγονεν· οὐ γὰρ κατὰ σύγχυσιν συνετέθησαν, οὔτε ὑπόστασις σύνθετος· ὅτι οὐκ ἐξ ὑποστάσεων· ἀλλ' ἀσυνθετώτερον ἰδίωμα τῆς τοῦ λόγου γέγονεν ὑποστάσεως, πλειόνων ἐπισωρευθέντων ἐν αὐτῇ τῶν ἁπλῶν ἰδιωμάτων μετὰ τὴν σάρκωσιν· ὅπερ οὐδὲ σύνθετον οὐδὲ τρεπτὴν δείκνυσιν οὔτε τὴν φύσιν οὔτε τὴν ὑπόστασιν αὐτοῦ.

## CAP. XXI.

Ἀλλὰ φασὶ καὶ τόδε οἱ πάντα λόγον εἰς ἀθέτησιν τῆς σαρκώσεως τοῦ θείου λόγου διερευνῶντες, ὅτι πᾶν τὸ ἐκ διαφόρων μερῶν συγκείμενον ὅλον, ἑτερόν τε ὁρᾶται, καὶ ἑτέρως ὀνομάζεται παρὰ τὰ ἐξ ὧν ἐστιν· εἰ οὖν ἐκ θεοῦ καὶ ἀνθρώπου σύνθετος ὁ Χριστὸς, οὔτε θεὸς ἀληθῶς, οὔτε ἄνθρωπος. Πρῶτον μὲν οὖν καὶ τοῦδε ψευδὴς ἡ ἀπόφασις· ἔστι γὰρ ἐφ' ὧν διαφόρων μερῶν ὁλότης γενομένη, οὐκ ἄλλη παρ' ἑκάτερα τὰ μέρη αὐτῆς νοεῖται ἢ λέγεται, ἢ δι' ἐπικράτειαν θατέρου τῶν μερῶν ἐν τῇ συνθέσει· ὥσπερ φαμὲν τό τε ἄνεφθον λάχανον, καὶ τὸ μετὰ μίξιν καρυκείας πλειόνων ἑψηθὲν ὁμοίως λάχανον καὶ σεμίδαλιν καὶ τὰ ὄσπρια· ἢ διὰ τὸ μὴ εἶναι ὅλως ἕτερόν τι εἶδος γινόμενον ἐκ τῶν ὁμογενῶν τοῦ συνθέτου μερῶν τῶν ἀνομοιοειδῶν· διά τοι γὰρ τοῦτο καὶ ἄρτιον μέρος ἀριθμοῦ, καὶ περιττὸν συντεθέντα εἰς μίαν ὁλότητα, ὁ ἑπτὰ τυχὸν καὶ ὁ ὀκτὼ, οὐχ' ἕτερον εἶδος ἀριθμοῦ παρά τε τὸν ἄρτιον καὶ περιττὸν ἐποίησαν ἐν δεκαπέντε· ἀλλ' ὁμοίως θατέρῳ τῶν ἑαυτοῦ μερῶν λεγόμενον περιττόν· διότι οὐδὲν παρὰ τὸν ὅρον τοῦ περιττοῦ οὐδὲ ἐν αὐτῷ ὤφθη, ὥσπερ οὐδὲ ἐν τῷ ἑβδόμῳ· δῆλον οὖν ὡς ἐφ' ὧν πρὸς τῷ διαφόρῳ τῶν συνελθόντων μερῶν καὶ ἕτερος εἴδους λόγος ἐν τῷ ὅλῳ φανῇ, τότε ἐξαλλάσσειν ἀνάγκη τάτε ὀρισσὰ καὶ τοὺς ὁρισμοὺς καὶ τὰ ὀνόματα, ὅπερ ἐξ ἀρχῆς ἠγνόησαν· λέγεται οὖν περιττὸς ἀληθῶς καὶ ὁ δεκαπέντε σύνθετος ὅλος, ὡς ὁ ἕβδομος· καὶ περιέχει δὲ ἐν τῇ οἰκείᾳ ὁλότητι ἀληθῶς περιττὸν φυλαττόμενον τὸν ἑπτὰ ἐν ἑαυτῷ· οὕτως οὖν μοι νόει τόν τε λόγον

οὐκ εἰς οὐσίαν τὴν ὡς λόγου γυμνοῦ ἔχει τὴν σάρκα, ἀλλ' εἰς οὐσίαν τὴν ὡς μίαν τῶν τῆς ὑποστάσεως αὐτοῦ, τοῦ καὶ διουσίου ὄντος Χριστοῦ· εἰ δὲ διὰ τόδε ἠλλοτρίωται ἡ τοῦ λόγου οὐσία τῶν ὁμοουσίων αὐτῇ ἁπλῶν ὑποστάσεων, διότι ἐν συνθέτῳ ὑποστάσει νῦν μετὰ τῆς οὐσίας τῆς σαρκὸς ὁρᾶται, ἄρά γε καὶ Ἰωάννου ἡ ψυχή ποτε ἑτεροούσιος ἦν πρὸς τὴν τοῦ ἰδίου ἀδελφοῦ Ἰακώβου ψυχὴν, ὃν προανεῖλεν αὐτοῦ μαχαίρᾳ ὁ Ἡρώδης πάλαι· καὶ γὰρ ἡ μὲν Ἰακώβου ψυχὴ, ἐν ἁπλῇ ὑποστάσει γέγονε μετὰ θάνατον· ἡ δὲ Ἰωάννου ἐν συνθέτῳ ἦν ἔτι φαινομένῃ ὑποστάσει.

## CAP. XXV.

Ὁ λόγος καθ' ὑπόστασιν ἄμετρος, ἡ σὰρξ καθ' ὑπόστασιν ἔμμετρος· ὁ τὴν καθ' ὑπόστασιν θεοῦ καὶ σαρκὸς δογματίζων ἕνωσιν, ἢ τὸν θεὸν κάμπτει εἰς τὸ σύμμετρον τῆς σαρκὸς, ἢ τὴν σάρκα ἀποτείνει εἰς τὸ ἄμετρον τοῦ θεοῦ· μήτε γὰρ τούτου μήτε ἐκείνου γινομένου, ἀδύνατον σαρκὶ καθ' ὑπόστασιν ἑνωθῆναι τὸν θεόν. Εἰ τὸ ἄμετρον τοῦ λόγου κατά τι ποσὸν συνεχὲς νοεῖς ὥσπερ καὶ τὸ ἔμμετρον τῆς σαρκὸς, ὀρθῶς συνελογίσω· εἰ δὲ ἑτέρως ἄμετρος ὁ λόγος ἤγουν τῇ δυνάμει, ἡ δὲ σὰρξ ἔμμετρος, οὐδὲν ἄτοπον τὴν ὑπερέχουσαν δύναμιν ἑνοῦσθαι ἐλάττονι.

## CAP. XXVI.

Ἄκτιστος τοῦ λόγου ἡ ὑπόστασις, κτιστὴ τῆς σαρκὸς ἡ ὑπόστασις, οὔτε ἡ σὰρξ ἀκτίστως δύναται ἑνωθῆναι τῷ λόγῳ, οὔτε ὁ λόγος κτιστῶς δύναται ἑνωθῆναι τῇ σαρκί· κατὰ ποίαν οὖν ὑπόστασιν γέγονεν, ἡ καθ' ὑπόστασιν ἕνωσις; Τὰ τῶν ἑνουμένων κατηγορήματα, οὐχὶ ταῦτα καὶ τῆς ἑνώσεώς ἐστι πάντως· ἕνωσις μὲν οὖν καθ' αὑτὴν, οὔτε ἄκτιστος, οὔτε κτιστή τίς ἐστιν· ἤτε γὰρ κτίσις καὶ ἡ ἕνωσις, οὐκ οὐσίαι· κτίσματα δὲ καὶ ἄκτιστα ἑνούμενα καθ' ὑπόστασιν, οὐσίαι τινὲς ἂν εἶεν· ὥσπερ οὖν προούσαις ταῖς ψυχαῖς ἑνοῦσθαι τὰ ἐν τῇ ἀναστάσει ἡμῖν ἀποδιδόμενα σώματα οὐ κεκώλυται, οὕτως οὐδὲ τῷ ἐφοσονοῦν, ἀκτίστως προϋπάρχοντι λόγῳ, τὸ προσφάτως κτιζόμενον τῆς σαρκὸς, διὰ τὴν προΰπαρξιν ἁπλῶς· εἰ δὲ διὰ τὴν τοῦ ἀκτίστου φὴς πρὸς τὸ κτιστὸν ἑτεροφυΐαν, οὐκ ἄρα οὖν οὐδὲ ἑτέρα ὑπόστασις ἐξ ἀνομοφυῶν ἔσται· καί τοι πᾶσα, σύνθεσις ἡ καθ' ὑπόστασιν, ἐξ ἀνομοουσίων, οὐδεμία δὲ ἐξ ὁμοουσίων, πλὴν εἰ μὴ τῶν ὁμοιομερῶν εἴη τὶς συλλογή· ὥστε μᾶλλον ἐκ τῆς ἀνομοφυΐας καθ' ὑπόστασιν ὑποπτευτέαν εἶναι τὴν ἕνωσιν τοῦ λόγου καὶ τῆς σαρκός.

## CAP. XXVII.

Ἡ διαφορὰ τοῦ ἀκτίστου καὶ τοῦ κτιστοῦ, τὴν καθ' ὑπόστασιν φυσικῶς κωλύει ἕνωσιν· ἡ καθ' ὑπόστασιν ἕνωσις θεοῦ καὶ σαρκὸς, ἀκτίστου καὶ κτιστοῦ, ἀναιρεῖ τὴν διαφοράν· ὁ ἄρα ἀναθεματίζων τοὺς μὴ ὁμολογοῦντας τὴν καθ' ὑπόστασιν ἕνωσιν, τοὺς ὁμολογοῦντας ἀκτίστου καὶ κτιστοῦ

τὴν διαφορὰν, ἀναθεματίζει. Διὰ τί δὲ ἄρα κωλύει τὴν καθ' ὑπόστασιν ἕνωσιν φυσικῶς ἐπὶ τοῦ ἀκτίστου καὶ κτιστοῦ ἡ διαφορά; εἰ μὲν γὰρ τῇ θατέρου προϋπάρξει ὡς μὴ δυναμένου τινὸς συνάπτεσθαι τῇ μὴ συμπροσελθούσῃ αὐτῷ εἰς τὸ εἶναι φύσει, ἄρα γε οὐδὲ τῷ πλασθέντι πρῶτον σώματι Ἀδὰμ, τὸ θεῖον ἐμφύσημα καθ' ὑπόστασιν ἡνώθη· εἰ δὲ αὐτὴ ὅλως ἡ κατὰ φύσεως λόγον παραλλαγὴ ποιεῖ τὸ ἀσύμβατον εἰς ἕνωσιν τούτοις, οὐδὲ ἄρα τι ζῶον ἔσται ἐξ ἀοράτου καὶ ὁρατῆς φύσεως, ἢ θνητῆς καὶ ἀθανάτου, φθαρτῆς καὶ ἀφθάρτου· οἷον ὁ ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος εἷς ὢν τὴν καθ' ὑπόστασιν· εἰ δὲ εἴποι τὶς οὐχ' ἁπλῶς τὴν διαφορὰν, ἀλλὰ τὴν ἄγαν εἶναι κωλυτικὴν τῆς ἑνώσεως τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον, ἄρα οὖν καὶ τὴν ἐπίτασιν τῆς ὁμοιότητος μᾶλλον, ἡνωμένα ποιεῖν τινὰ δέοι καθ' ὑπόστασιν· τί οὖν μᾶλλον ὅμοιον τῷ σώματι Ἐφραὶμ κατὰ τὸν φυσικὸν λόγον αὐτοῦ, ἡ ψυχὴ αὐτοῦ, ἢ τὸ σῶμα τοῦ ἀδελφοῦ αὐτοῦ Μανασσῆ; εἰ δὲ τὸ σῶμα πάντως, πῶς τῇ μὲν ἀνομοίῳ αὐτοῦ ψυχῇ ἥνωται καθ' ὑπόστασιν, τοῦ δὲ ὁμοίου σώματος αὐτῷ τῇ φύσει διώρισται καθ' ὑπόστασιν, εἴποιεν οἱ βουλόμενοι.

## CAP. XXVIII.

Εἰ ἣν εἶχεν ὁ θεὸς λόγος χωρὶς ἑνώσεως ἰδίαν ὑπόστασιν, νῦν οὐκ ἔχει ὁ λόγος, ἐτράπη ἄρα ἡ τοῦ λόγου ὑπόστασις· τῆς δὲ τοῦ λόγου ὑποστάσεως τραπείσης, ἐξ ἀνάγκης καὶ ὁ τῆς τριάδος τραπήσεται λόγος. Ἀλλὰ τὴν αὐτὴν ἔχει, μετὰ μέν τοι προσθήκην τῶν τε ὑποστατικῶν ἰδιωμάτων τῆς σαρκὸς, τῆς ἐν αὐτῷ τε καὶ αὐτοῦ καὶ τοῦ τῆς πρὸς σάρκα ἑνώσεως λόγου ἰδιώματος αὐτοῦ, νῦν ἑνουμένου τοῦ λόγου· καὶ γὰρ ἐν τῷ τῆς ὑποστάσεως αὐτοῦ λόγῳ καὶ τὸ τῆς σαρκὸς προσλήμματι, οὐσίας μέν ἐστι πρὸς τὴν αὐτοῦ οὐσίαν σύνθεσις, ἰδίωμα δὲ ὑποστατικὸν, καὶ τόδε συνεισάγει τῷ προσώπῳ τοῦ αὐτοῦ, διακριτικὸν καὶ αὐτογενόμενον τοῦτο, ἀπὸ τῆς πατρικῆς ὁμοφυίας καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου, τῶν ὁμοίων αὐτῷ.

## CAP. XXIX.

Κ . . . τῶν θείων ὑποστάσεων ἀ . . . εἰ δὲ σαρκικὰ . . . ὥστε ὁ λόγος οὐκέτι ὁ εἷς . . . ὕπαρξιν τριῶν ἄλλων ὑποστάσεων δύναται πιστευθῆναι· πλῆν οὖν ὑπόστασιν, τί νοοῦμεν; εἰ μὲν γὰρ τῷ ἑνὶ μόνῳ ἰδιώματι διεστῶσαν τῶν ὁμοουσίων . . . ἁπλῆ φανείη . . . τῷ εἶναι ἀγεννήτως ἀφ . . . ἀλλὰ καὶ τῷ γεννητικὸς τοῦ λόγου εἶναι, καὶ ἐκπορευτικὸς τοῦ πνεύματος, καὶ ἀνεκπόρευτος· ὁμοίως δὲ καὶ πνεύματος, πλείω ἐστὶ τὰ ἴδια· οὐκ ἄρα οὖν ὁ πλεονασμὸς τῶν ὑποστατικῶν ἰδιωμάτων, σύνθετον ποιεῖ τὴν ἁπλῆν ὑπόστασιν· ἀλλ' εἴπερ ἐκ πλειόνων ὑποστάσεων μίαν ὑπόστασίν τις συγκεῖσθαι ὑπόθηται, ὅπερ ἡμῖν ἀπευκτέον λέγειν· μὴ

δὲ διαπλασθῆναι τὴν σάρκα, εἶτα προσληφθῆναι τῷ λόγῳ ἐννοήσασί ποτε, ὥσπερ ὑμεῖς δοξάζετε, ἀλλ' ἐξ ἀρχῆς ὑπάρξεως αὐτῆς ἐπὶ τῆς τοῦ λόγου προσωποποιηθῆναι ὑποστάσεως εἰς Χριστόν· ὃν ὑμεῖς μᾶλλον ἐκ δύο ὑποστάσεων τιθεῖτε εἰς διπλῆν ὑπόστασιν· ἢ μὴ συνθέντες, προσποιεῖσθε τὴν ἕνωσιν· οὐδὲν ἐχούσης πλεῖον τῶν λοιπῶν ἀνδρῶν τὴν πρὸς θεὸν σχέσιν τῆς τοῦ Χριστοῦ φύσεως· καὶ πόθεν οὗτος μόνος εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων εἴρηται, λέγειν οὐχ' ἕξετε.

## CAP. XXX.

Εἰ ἄλλη ἦν ἡ ὑπόστασις τοῦ λόγου χωρὶς σαρκὸς, καὶ ἄλλη τοῦ λόγου ἡ ὑπόστασις μετὰ τῆς ἰδίας σαρκὸς, καὶ ὁ λόγος ἐξ ἀνάγκης ἄλλος ἦν ποτὲ, καὶ ἄλλος μετὰ ταῦτα· ἀκολουθεῖ γὰρ τῇ ἐναλλαγῇ τῆς ὑποστάσεως, ἡ ἐναλλαγὴ τοῦ ἔχοντος τὴν ὑπόστασιν. Τὸ ἄλλο καὶ κατ' ἐναλλαγὴν φύσεως νοεῖται, καὶ κατ' ἐπίκτησιν καὶ κατὰ παραβολήν τινα τῶν ἐπουσιωδῶν· ἡ μὲν οὖν αὐτὴ πόκος ἐστὶ καὶ οὐκ ἄλλη· ἥ τε λευκὴ φυσικῶς τὸ χρῶμα, καὶ ἡ δι' αἵματος κόχλου πορφύρα γινομένη . . . ὁρωμένη . . . ὡς κατὰ τὴν οὐσίαν καὶ ὑπόστασιν ὅμοι . . . ἔχειν πρὸς αἷμα λοιπὸν . . . ὥσπερ τὸ πᾶν τῷ . . . πο . . . εἶδος . . . ἄλλη οὖν . . . ὑπόστασις νοοῖτο ἂν ἡ σεσαρκωμένη πρὸς τὴν ἄσαρκον· οὐ γὰρ τροπὴ λόγου ἡ σάρκωσις αὐτοῦ ἀλλ' ἡ ἀλογία· τῆς δὲ ἀσαρκίας αὐτοῦ τροπὴν . . . σεσαρκωμένου νῦν . . . τοῦ υἱοῦ . . . θείη ἂν ἡ κατηγορία . . . οὐχὶ δὲ ἡ ἀσαρκία τοῦ . . . τῆς τοῦ λόγου ὑποστάσεως· οὕτω γὰρ ἂν καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἄγγελοι καὶ ψυχαὶ, λόγοι ἂν εἶεν, κατὰ τὸν υἱόν· ἔστι δὲ ἀποφατικὸν τῆς οὐσίας αὐτοῦ κατηγόρημα πρώτως, δευτέρως δὲ καὶ τῆς ὑποστάσεως αὐτοῦ διὰ τὴν οὐσίαν πάλαι οὕτως κατηγορουμένην· καὶ νῦν δὲ τῆς μὲν οὐσίας αὐτοῦ ὡσαύτως κατηγορεῖται· τῆς δὲ ὑποστάσεως οὐχ' ἁπλῶς εἴτουν μόνως κατηγορηθήσεται· διότι ὑπεδέξατο αὕτη ἐν ἑαυτῇ καὶ ἑτέραν οὐσίαν ἥτις σαρκικὴ εἶναι κατηγορεῖται· καὶ δύναται καὶ αὐτὴ ὥσπερ ἡ φύσις τοῦ λόγου· δευτέρως ἐπῆγεν ἐν τῇ ὑποστάσει αὐτῆς τὸ τῆς ἀσαρκίας ἴδιον κατηγόρημα, οὕτω καὶ ἡ φύσις τῆσδε τῆς σαρκὸς αὐτοῦ ἐπιρρίπτειν αὐτῇ δευτέρως τὴν ἑαυτῆς κατηγορίαν, ὡς ἰδίας ὑποστάσεως καὶ αὐτῆς γενομένης, ἤγουν τὴν σάρκωσιν· ἀλλ' οὐκ ἄλλος μὲν ἦν πάλαι καὶ ἄλλος μετὰ ταῦτα· ἀλλ' ὁ αὐτὸς μὲν, ἄλλως δὲ καὶ ἄλλως ἐμφαινόμενος ὁ λόγος· ἐπεὶ πάλαι μὲν μόνον ἀόρατος ἦν αὕτη ἡ ὑπόστασις, νῦν δὲ καὶ ὁρατὴ διὰ τὸ ὁρατὸν εἰς ἑαυτὴν πρόσλημμα.

XXXI. Εἰ ἀμφότερά ἐστιν ὁ ἄνθρωπος, ἄνθρωπος καὶ θεὸς, ὥσπερ οὖν καὶ ὁ θεὸς λόγος ἄμφω ἐστὶ, δῆλον ὅτι ὥσπερ οὐ φύσει θεὸς ὁ ἄνθρωπος, οὕτως οὐδὲ ὁ λόγος φύσει ἄνθρωπος· εἰ δὲ μὴ φύσει, οὐδ' ἄρα ὑποστά-

σει. Ἆρα οὖν εἴτι μὴ φύσει ταυτὸν, οὐδὲ ὑποστάσει; τί οὖν ἐπεὶ τοῦ ἵππου ἡ ψυχὴ οὐ ταυτὸν τῇ φύσει τοῦ σώματος αὐτοῦ; εἴπερ ἡ μὲν κινητικὸν ᾖ, ἡ δὲ ἀκίνητος, οὐδὲ ἄρα τῇ ὑποστάσει; καὶ ἐπεὶ οὐ ταυτὸν τῇ φύσει φῶς καὶ ἀὴρ, οὐδὲ τῇ ὑποστάσει ἐν ἡμέρᾳ ἕν εἰσιν· ἀλλὰ διώρισται ἀλλήλων.

Ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι, βοᾷ ὁ θεός· σαρκὶ καθ᾽ ὑπόστασιν XXXII.
ἥνωται ὁ λόγος, βοᾷ ὁ αἰγύπτιος· ὁ δεχόμενος τὸν Κύριλλον ἀληθεύσαντα (1), ψεύστην ποιεῖ τὸν θεόν. Ὁ οὖν λόγος ἄρα ἑνούμενος σαρκὶ κᾂν μένοι λόγος, ἀλογοῦνται· ἢ μὴ μένων λόγος, κᾂν οὐχ᾽ ἑνοῦται σαρκὶ, τότε ἠλλοίωται· εἰ γὰρ ἡ ἕνωσις ἀλλοίωσίς ἐστιν ἁπλῶς, πᾶσα ψυχὴ ἑνωθεῖσα σώματι ἠλλοίωται.

Σὺ ὁ αὐτὸς εἶ βοᾷ ὁ προφήτης περὶ τοῦ θεοῦ· ἀντιβοᾷ ὁ αἰγύπτιος XXXIII.
τῷ προφήτῃ τοῖς δόγμασι· σὺ ὁ αὐτὸς οὐκ εἶ· γέγονας γὰρ καθ᾽ ὑπόστασιν ἕτερος ὃ οὐκ ἦς. Ἆρα οὖν κατακαέντων τὰ σώματα πολλῶν μαρτύρων, ταῖς δὲ ψυχαῖς καὶ τοῖς πνεύμασιν ἑαυτοὺς ἐμφανιζόντων, καὶ θαυματουργίαις πλείσταις ἑαυτοὺς ἡμῖν καὶ νυνὶ ζῶντας συνιστανόντων, εἴποιμεν αὐτοῖς· ὑμεῖς οἱ αὐτοὶ οὐκ ἐστέ· γεγόνατε γὰρ καθ᾽ ὑπόστασιν ἄσαρκοι ὃ οὐκ ἦτε· καὶ αὐτὸν δὲ Χριστὸν ὁ μὴ γινώσκων οὐκέτι κατὰ σάρκα εἰ καὶ ἔγνω ποτὲ, ἄρα γε οὐκ αὐτὸν ἀλλ᾽ ἕτερον γινώσκει· καὶ τίς ὁ τοῖσδε συντιθέμενος; ὁ λόγος οὖν σὰρξ ἐγένετο, καὶ ὁ αὐτός ἐστι καὶ οὕτως.

Εἰ κατὰ τὴν ἄσαρκον ὑπόστασιν ὁμοούσιος ὁ λόγος τῷ πατρὶ, δῆλον XXXIV.
ὅτι κατὰ τὴν ἔνσαρκον ὑπόστασιν ἑτεροούσιος ὁ λόγος τῷ πατρί. Εἰ τῷ μὴ ἔχειν καθ᾽ ὑπόστασιν ἡνωμένην σάρκα αὐτῷ, τούτῳ ἦν ὁμοούσιος ὁ λόγος τῷ πατρὶ τὴν ὑπόστασιν, δεόντως ἐξ ὑμῶν ἀπορηθήσεται τόδε· εἰ δὲ τῷ μὴ εἶναι φύσει σὰρξ ἀλλὰ θεὸς τὴν οὐσίαν ὁ λόγος τούτῳ ἐστὶν ὁμοούσιος τῷ θεῷ πατρὶ, καὶ ἑνούμενος ἄρα σαρκὶ, οὐκ ἐτράπη τὴν τοῦ θεοῦ φύσιν· καὶ δῆλον ὡς καὶ μεμένηκεν ὁμοούσιος ἡ τοῦ λόγου ὑπόστασις πρὸς τὸν πατέρα· γεγένηται δὲ ὄντως καὶ ἑτεροούσιος πρὸς τὸν αὐτὸν, δι᾽ ἑτέρας μέν τοι ἐγγενομένης αὐτῇ φύσεως.

Εἰ μὴ ὑπόστασιν ἣν εἶχεν ἔχει ὁ λόγος, οὐδὲ ἄρα αὐτός ἐστιν ὃ ἦν. XXXV.
Ἀλλ᾽ ἔχει τὴν αὐτὴν ἀνελλιπῆ μὲν τοῖς προτέροις ἰδιώμασι· μετὰ μέν τοι καὶ προσθήκης ἑτέρων ἰδιωμάτων, διακρινομένην νῦν ἀπὸ τῶν ὁμοουσίων.

Ἀξίαν καὶ αὐθεντίαν· καὶ δυναστείαν τοῦ θεοῦ λόγου δύναται ἔχειν XXXVI.
ὁ ἄνθρωπος· καὶ τὸ τὴν τάξιν ἐπέχειν ὅλου τοῦ θεοῦ λόγου τὴν ὑπόστασιν, ἀδύνατον· κτιστὸς μὲν γὰρ ὁ ἄνθρωπος, ἄκτιστος δὲ ὁ θεὸς λόγος.

(1) Severi Monophysitarum coryphaei ineditum opus, inscriptum φιλαλήθης seu Κύριλλος, ego quidem in manibus habeo: verumtamen Severus haud fuit ortu aegyptius, quamquam in ea quoque regione diu vixit.

Τὸ γοῦν ἀπιστότερον ὑποτίθη ὦ οὗτος· εἴπερ γὰρ τὴν φυσικὴν, οὐ γὰρ ἐπίκτητον, ἐρεῖς, τοῦ λόγου τὴν ἀξίαν καὶ αὐθεντίαν καὶ δυναστείαν, τὴν τοῦ θείου λόγου δύναται ἔχειν ὁ ἄνθρωπος· καὶ ὄντως τάξιν ἐπέχειν ὅλου τοῦ θεοῦ λόγου, καί τοι ἑτέρας ὢν φύσεως· καὶ κτιστὸς ὢν τῇ φύσει τοῦ ἀκτίστου θεοῦ λόγου μὴ διαφέρειν τοῦ φυσικοῦ θεοῦ· ὁ δὲ θεὸς λόγος μὴ δύναται εἰς τὴν οἰκείαν ὑπόστασιν ὑφιστάνειν τὴν φύσιν τοῦ ἀνθρώπου; ἄρα γὰρ ὁ μὲν ἄνθρωπος, οἷός τε ὑποδέχεσθαι τὰ θεῖα, ὁ δὲ θεὸς οὐχ' οἷός τε ὑποδέχεσθαι τὰ ἀνθρώπινα;

XXXVII. Θεὸς καὶ ψυχὴ καὶ σῶμα καθ' ἕνωσιν φυσικὴν, οὔτε θεὸς, οὔτε ἄνθρωπός ἐστι. Πρόσθες τὸ μόνον καὶ ἄφες τὸ δέον.

XXXVIII. Ὁ αἰγύπτιος τὸ φυσικὸν ἀδύνατον δογματίζει, καὶ τὸ οἰκονομικῶς δυνατὸν ἀναθεματίζει. Ἀλλὰ τὸ οἰκονομηθὲν, τοῦτο αὐτὸ ἦν τῇ θείᾳ πρέπον ὑπεραγαθωτάτῃ φύσει, τὸ εἰς τὴν ἡμῶν φύσιν ὑπερφυὲς ἡμῖν χάρισμα ἑαυτὸν δωρήσασθαι.

XXXIX. Εἰ τὸ ἀκτίστως ἔχειν τὸν ἄνθρωπον τοῦ θεοῦ λόγου τὴν ὑπόστασιν ἡ ἀμηχανία τῆς φύσεως οὐκ ἐᾷ, καὶ τὸ κατ' οἰκονομίαν ἔχειν τὸν ἄνθρωπον τοῦ θεοῦ λόγου τὴν ἀξίαν ὁ αἰγύπτιος οὐκ ἐᾷ, μεταξὺ ἄρα τῆς φύσεως καὶ τοῦ αἰγυπτίου, οὐδὲν ἔχει τοῦ θεοῦ λόγου ὁ ἄνθρωπος, οὔτε τὴν ὑπόστασιν, οὔτε τὴν ἀξίαν. Ἀλλ' ἔχει τὴν ἄκτιστον ὑπόστασιν τοῦ λόγου καὶ τῆς κτιστῆς αὐτοῦ φύσεως οὖσαν ὑπόστασιν σὺν τῷ λόγῳ, καὶ ὁ ἄνθρωπος ὁ ἐν Χριστῷ· ἔχει μὲν γὰρ ἀκτίστως καὶ ἀχρόνως προϋποκειμένην τινὰ ὑπόστασιν ἑτέρου· καὶ τῷ ἑτέρῳ τῷ κτιστῶς καὶ ἐγχρόνως ἐν αὐτῇ ὑποστάντι, δυνατὸν· ἀκτίστως δὲ αὐτὴν καὶ ἀχρόνως κτήσασθαι· ὑπόστασιν τῆς φύσεως ἑαυτοῦ τῷδε τῷ κτιστῷ ὄντι τὴν φύσιν, ἀδύνατον· καὶ μεταγενεστέρως γὰρ αὐτοῦ κτισθεῖσα καὶ οὐ σύγχρονος οὖσα φύσις μερικὴ ἡ τῶν ὀφθαλμῶν τοῦ ἐκ γεννητῆς τυφλοῦ εἰς τὴν ὑπόστασιν αὐτοῦ τὴν προϋποκειμένην ὑπέστη· καὶ ὡς μέρος αὐτῆς ἀληθῶς τὸ λοιπὸν θεωρεῖται· καί τοι μιᾶς ὑποστάσεως ἀνελλιποῦς ὅλης θεωρουμένης καὶ πρὸ τῶνδε τῆς τοῦδε· ἐλλιποῦς δὲ ὡς κατά τινα λόγον φύσεως καὶ φυσικοῦ μέρους στέρησιν· ἥτις στέρησις καὶ πλεονάζειν μᾶλλον τὸν λόγον τῆς ὑποστάσεως αὐτοῦ ἐποίει τρανότερον διοριζομένης καὶ τῷδε τῷ ἐξαιρέτῳ ἐν τοῖς ἰδιώμασιν αὐτῆς ἀπὸ τῶν ὁμοφυῶν· τελειωθείσης γοῦν αὐτῶν τῆς φύσεως τοῖς μέρεσιν, οὐκ ἐνέλιπέ τι ὑπόστασις τοῖς ἰδιώμασιν αὐτῆς· οὐκ ἀδύνατον ἄρα κατὰ πρόσθεσίν τι εἰς ἑαυτὰς ἐπιδέχεσθαι τὰς προούσας ὑποστάσεις ὁπωσοῦν, εἴτε κτιστῶς εἴτε ἀκτίστως προῆσαν.

XL. Εἰ κατὰ τὴν συνουσίωσιν θεότητος καὶ σαρκὸς εἷς υἱὸς ὁ υἱὸς, δῆλον ὅτι πρὸ τῆς συνουσιώσεως, οὐκ ἦν εἷς ὁ λόγος οὔτε θεὸς, οὔτε υἱός. Ἀλλὰ καὶ πρὸ τῆς συνουσιώσεως θεὸς καὶ υἱὸς ὁ λόγος· καὶ ἐπὶ τῆςδε

ὁμοίως, καὶ Θεὸς καὶ υἱὸς καὶ λόγος· οὐ γὰρ ἐπὶ ἀναιρέσει τῶν ὄντων αὐτῷ, ἀλλὰ προσκτήσει τῶν οὐκ ἐνόντων, γέγονε Χριστὸς ὁ Θεὸς λόγος καὶ υἱὸς τοῦ πατρός.

Ὁ Θεὸς λόγος γνωμικῶς δύναται ἑνωθῆναι τῇ κτιστῇ φύσει, φυσικῶς δὲ οὐ δύναται· οὐδὲ γὰρ ἔκτισε τὴν ἑαυτοῦ φύσιν, οὔτε μεθαρμόζειν αὐτὴν εἰς ἑτέραν οὐσίαν δύναται. Ἆρά γε ὡς μείζονα δυναμένης αὐτοῦ τῆς γνώμης ὑπὲρ τὴν φύσιν δύναται γνωμικῶς, ἃ οὐ δύναται φυσικῶς, ἢ ὡς ἥττονα; εἰ μὲν γὰρ ὡς μείζονα, ὁ τῷ ἰσχυροτέρῳ τῶν ἑαυτοῦ ἤγουν τῇ γνώμῃ τῇ κτιστῇ φύσει συναφθεὶς, τῷ ἐλαττοτέρῳ, ἤγουν τῇ φύσει, εὐκολότερον συμπλακήσεται· εἰ δὲ ὡς ἥττονα, δῆλον πάλιν ὡς τῷ ἀσθενεστέρῳ τῶν ἑαυτοῦ τι ῥᾷστα καταπραξάμενος, τῷ δραστικωτέρῳ ἂν μειζόνως τοῦδε αὐτοῦ περιγενήσεται· καὶ οὕτω μὲν τάδε· οὐκ ἔκτισε δὲ οὐδὲ μεθαρμόζει τὴν ἑαυτοῦ φύσιν ὁ Θεός· ἆρά γε γνώμην ἔχων ποτὲ τοῦδε ἢ οὐδὲ γνώμην ἐσχηκὼς τοιάνδε· τὸ μὲν γὰρ κτίσαι ἑαυτὸν, καὶ ἀνεπινόητον· τὸ δὲ μεθαρμόσαι, ἄλογον· ποῦ γὰρ ὑφεστῶσα ἡ γνώμη αὐτοῦ κτίσει τὸ γνωμικόν; πῶς δὲ ὁ ἐν πᾶσι μακαριότησι ὢν, γνώμην ἕξει μεταστρέψαι ἑαυτὸν εἰς τὸ χεῖρον; τὸ κρεῖττον γὰρ οὐκ ἔστιν· ἄρα οὖν ὅσα ἡ φύσις αὐτῷ δύναται, ταῦτα αὐτῷ ἔχει καὶ ἡ γνώμη ποιεῖν αὐτόν· καὶ ὅσα ἡ γνώμη ἔχει, ταῦτα καὶ ἡ φύσις αὐτοῦ δύναται ποιεῖν· οὐ γὰρ διαμάχεται ἐν τῷ πάντη ἁπλουστάτῳ καὶ ἀδιαφόρῳ ἀγαθῷ Θεῷ γνώμη καὶ φύσις· ὥστε εἰ γνωμικῶς δύναται συναφθῆναι ἡμῖν, πολλῷ μᾶλλον φυσικῶς· ἡ μὲν γὰρ φύσις καὶ ἡ ἡμετέρα, ἀγαθὴ καὶ ἀδιάβλητος, καὶ ἐξ αὐτοῦ· ἡ δὲ γνώμη καὶ αἱ ἡμῶν ἁμαρτίαι, διϊστῶσιν ἀνὰ μέσον ἡμῶν καὶ αὐτοῦ· γνώμην οὖν ἐσχηκὼς καὶ αὐτὸ τοῦτο ἤγουν τὸ συναρμόζειν ἑτέρᾳ οὐσίᾳ τὴν ἑαυτοῦ φύσιν, οὐκ ἀδυνατήσει· εὐδοκίᾳ οὖν αὐτοῦ ἅτε φύσει ἀγαθοῦ, τὴν φυσικὴν αὐτοῦ ἕνωσιν πρὸς ἡμᾶς, ὀρθῶς φαμέν. XLI.

Εἰ τοῦ Θεοῦ βουληθέντος δέχεται αὐτοῦ ἡ φύσις προσθήκην, δύναται ἄρα καὶ μείωσιν δέξασθαι βουληθέντος αὐτοῦ· εἰ δὲ ἀδύνατον τὸ δεύτερον, ἀδύνατον ἄρα καὶ τὸ πρῶτον. Ἀλλ' οὐχ' ἡ φύσις, ἡ ὑπόστασις δὲ προσθήκην ἐπεδέξατο ἡ τοῦ λόγου· καὶ τοῦτο οὐχ' ὑποστάσεως, ἀλλὰ τῶν ὡς στοιχείων ὑποστάσεως νοουμένων ἰδιωμάτων, διὰ τῆς πρὸς φύσιν ἑτέραν ἑνώσεως τῆς οὐσίας αὐτοῦ ἐπιγεννηθέντων αὐτῇ· ἀφαίρεσιν τῶν ἰδιωμάτων αὐτῆς τῶν ἀϊδίων καὶ ἔκπαλαι μὴ καταδεχομένης ὡς ἅπαξ ἀϊδίων· ἐστὶ δὲ καὶ ἄλλα, ὧν ἐπαύξησις μέν ἐστι, οὐ μὴν καὶ μείωσις· τὸ γὰρ ἁπλούστατον οἷον τὸ σημεῖον, ἐπαυξηθῆναι μὲν διὰ συνθέσεως, δυνατόν· μειωθῆναι δὲ ἐνεργείᾳ ἀμερὲς ὂν ὡς τῶν μεριστῶν ἔσχατον, ἀδύνατον. XLII.

Εἰ ὁμοῦ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, δηλονότι ὁμοῦ δεσπόζει καὶ δεσπόζεται ὁ Χριστός· εἰ δὲ ἡ διαφορὰ τοῦ δεσπόζειν καὶ τοῦ δεσπό- XLIII.

ζεσθαι ἐν τῷ Χριστῷ οὐκ ἔστι, καὶ θεοῦ ἄρα καὶ ἀνθρώπου ἀναιρεῖται ἡ διαφορά. Καὶ γὰρ ὁμοῦ καὶ ἐν ταυτῷ δεσπόζεται τῇ φυσικῇ τάξει ἕως συμπληρώσεως τῆς κατὰ τὴν οἰκονομίαν ταπεινώσεως· ἀλλ' οὐ κατὰ τὸ αὐτὸ τῶν αὐτοῦ μερῶν ὁ αὐτός· τῇ γὰρ φύσει τῆς σαρκὸς αὐτοῦ, καὶ ὑπὸ Πιλάτου δεσπόζεται· τῇ δὲ φύσει τοῦ ἐν αὐτῷ λόγου, πάντων καὶ τῶν οὐρανίων ὁ αὐτὸς κυριεύει Χριστός· ὕστερον δὲ καὶ κατὰ τὸ ἀνθρώπινον φησὶ· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

XLIV. Εἰ ὁμοῦ θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, ὁμότιμος ἄρα ὁ ἄνθρωπος τῷ θεῷ· εἰ δὲ μὴ ὁμότιμος ὁ ἄνθρωπος τῷ θεῷ, δικαίως διαβάλλει ὁ αἰγύπτιος τὴν συμπροσκύνησιν· εἰ δὲ ὁμότιμος, ἐξ ἀνάγκης συμπροσκυνεῖται, καὶ ἀσεβεῖ ὁ αἰγύπτιος. Ὥσπερ ἡνίκα ὡς φύσιν προσκυνητὴν προσκυνοῦμεν θεὸν, οὐ χρεία τρισὶ προσκυνήμασι τὰς τρεῖς θείας ὑποστάσεις προσκυνεῖν, ἀλλὰ μιᾷ προσκυνήσει ἡ ὁλότης τοῦ προσκυνητοῦ θεοῦ φύσει προσκεκύνηται, οὕτως ἐπὶ τῆς οἰκονομίας· εἰ ὡς ὑποστάσει τῇ τοῦ λόγου τοῦ σεσαρκωμένου προσάγοιμεν τὴν προσκύνησιν, οὐ δέον τι λέγειν ἕτερον ἑτέρῳ συμπροσκυνεῖσθαι ἐν Χριστῷ, ἀλλὰ μιᾶς ὑποστάσεως προσκυνήσει τιμᾶσθαι τὸ τοῦ λόγου πρόσωπον ἓν, εἰ καὶ σεσάρκωται· εἰ μέν τοι ὡς φύσιν προσκυνεῖς τὴν τοῦ λόγου, καὶ τῷ πατρὶ προσκυνεῖς ἐν αὐτῷ καὶ τῷ πνεύματι· ἔνθα δὲ πατὴρ καὶ πνεῦμα ἐνθεωρεῖται τῇ μονάδι τῇ προσκυνουμένῃ, σὰρξ τῇδε οὐ συμπεριέχεται, ἵνα καὶ ὡς τῆσδε οὖσα τῆς μονάδος συμπροσκυνῆται· δέον οὖν τρισὶ μὲν ὁμοτίμοις προσκυνήσεσι τὰς τρεῖς ὑποστάσεις τὰς θείας προσκυνεῖν· τῇ θείᾳ δὲ σαρκὶ ὡς συνθεωθείσῃ αὐταῖς καθ' ὑπόστασιν φύσει, ἅτε ἐν μιᾷ τῶνδε περιεχομένῃ, καὶ τὰ τῆς θεότητος ἱερὰ λοιπὸν προσδεχομένῃ, συμπροσκυνητέον κατὰ τὸν ἕνα υἱόν· ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ κάμψει πᾶν γόνυ· ἐπεὶ καὶ αὐτῷ κεχαρίσται ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἤγουν τὸ τῆς θεότητος, φύσει ὂν προσκυνητόν· φυλαττομένης τῆς διαφορᾶς τῆς φυσικῆς, καὶ οὕτως τοῦ χαρισαμένου τὰ ἴδια φυσικὰ πρὸς τὸν λαμβάνοντα, καὶ τοῦ θεωθέντος πρὸς τὸν θεώσαντα.

XLV. Εἰ ἡ φύσει σὰρξ οὐκ ἔστιν ἑτέρου τινὸς παρὰ τὸν θεὸν λόγον φύσει, ἀλλὰ τοῦ θεοῦ λόγου, δηλονότι ἑτέρου λόγου ἐστὶ ἡ σὰρξ παρὰ τὸν φυσικῇ θεότητι λόγον. Ἑτέρας μὲν φύσεως ἐστὶν, ἀλλὰ τοῦ προσώπου· ὁ λόγος γὰρ ἄσαρκος πάλαι, νῦν δὲ σεσαρκωμένος ὡμολόγηται.

XLVI. Εἰ ὅλως ἀποδέχῃ ὦ αἰγύπτιε θεοῦ ἐν ἀνθρώπῳ θείαν ἐνοίκησιν, παῦσαι θεοῦ καὶ σαρκὸς δογματίζων τὴν καθ' ὑπόστασιν ἕνωσιν· ἀλλήλων γάρ εἰσιν ἀναιρετικαὶ ἡ ἐνοίκησις καὶ ἡ καθ' ὑπόστασιν φυσικὴ ἕνωσις. Εἰ ὑποστατικὴ λέγοιτο καὶ ἡ ἐνοίκησις ἤγουν ὡς ὑποστάσεως εἰς ὑπόστασιν ἐνοικούσης, ὄντως φῄς· ὥσπερ καὶ ἐπὶ τῶν καθ' αὑτὰς μὲν ὑπαρχου-

σῶν πλακῶν τοῦ νόμου ἰδιοπεριγράπτως, περιλαμβανομένων δὲ πάντοθεν ὑπὸ τῆς κυβωτοῦ, ἔχει· εἰ δὲ οὐσιακῇ ἑνώσει καθορῶμεν τὴν ἐνοίκησιν ὥσπερ ὁ λέγων περὶ τῆς ἑαυτοῦ ψυχῆς, ὅτι ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν πήξας, πῶς κωλύεται ἡ καθ' ὑπόστασιν ἕνωσις ἐπὶ Ἐζεκίου νοεῖσθαι, φύσεως φύσει ἐνοικούσης; ἄνθρωπος δὲ καὶ σὰρξ ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ πῶς λέγεται, τῷ τῆς ἐνοικήσεως ἁπλῶς λόγῳ; ὁ γὰρ ἐνοικῶν, οὐ τῆς τοῦ ἐνοικουμένου προσηγορίας εὑρίσκεται κύριος.

Εἰ τὸν παντοδύναμον φύσει λόγον καὶ ἀναμάρτητον κοινωνὸν ἔσχεν XLVII.
ἡ σὰρξ τῆς ἰδίας ὑπάρξεως, πῶς αὕτη ἂν εἴη ἀναμάρτητος λεγομένη; ἢ ποία νίκη τῆσδε πρὸς τὴν κακίαν τοιόνδε λαβούσῃ βοηθὸν, ὃν οὐδὲ ἔστι νικηθῆναι; τοῦδε γὰρ ἂν καὶ οὐ τῆσδε εἴη τὸ κατόρθωμα. Ἆρα οὖν οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι οὐκ ἐξομολογήσεσθε σὺν ἡμῖν ὅτι ἀδελφὸς οὐ λυτροῦται, οὐδὲ λυτρώσεται ἄνθρωπος; καὶ ὅτι οὐκ ἐν ἰσχύϊ ἑαυτοῦ δυνατὸς ἀνὴρ, ἀλλὰ κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ κύριος ἅγιος· ἀκούσατε ὦ οὗτοι τοῦ λέγοντος· μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ γνῶτε ὅτι τὸ καθ' αὐτὴν ἁμαρτίας κατακρατεῖν ἀβοηθήτως, φύσεώς ἐστι μόνης τῆς ἀναμαρτήτου· καθ' ἣν εἰ εἴημεν, θεοὶ πάλαι ἂν ὄντες ἐδείχθημεν· πταιστῆς δὲ ὄντες φύσεως, καὶ ἐντεῦθεν εὐεπιβούλευτοι καθεστῶτες τῷ πειράζοντι καὶ εἰς τὴν ἐνεργείᾳ ἁμαρτίαν κατασύροντι, εὐκόλοι· δυνάμεώς τινος ἐμφωλευούσης τῇ ἀδυναμίᾳ τῆς ἡμετέρας φύσεως ἐδεόμεθα, ἵνα μὴ καταδυναστευθῶμεν ὑπὸ τῆς ἀντικειμένης ἡμῖν ἐπιβούλου δυνάμεως, ἥ τις τῷ κέντρῳ τοῦ θανάτου ἤγουν τῇ ἁμαρτίᾳ ἡμᾶς ἐπικεντρίζουσα, θνήσκειν ἐποίει καὶ τῆς ἀθανασίας ἐστέρει· καὶ τοῦτο οὐκ ἐξωτέρως πως τῆς οὐσίας, οὐδὲ προσκαίρως· ἀθάνατός τε γὰρ ὁ εὑρετὴς τῆς κακίας οὗτος καὶ τῶν καρδιῶν ἡμῶν αὐτῶν ἐμβατευτικός· τῆς φύσεώς τε αὐτῆς ἡμῖν ἦν ἡ ἀσθένεια· εἰκότως οὖν τῇ τε φύσει ἡμῶν ἡ πρὸς δικαιοσύνην δυναμοποιὸς καὶ σωτήριος φύσις συνεπλάκη, εἰς μίαν ὑπόστασιν τὴν ἑαυτῆς ἡμᾶς διὰ τῆς ἀπαρχῆς προσλαβομένη· ὡς ἂν μήτε ἐνδοτέρως τῆσδε εἰς τὴν φύσιν ἡμῶν ἐμβατεύειν ἔχοι ὁ ἐχθρὸς καθ' ὑπόστασιν ἐγγινόμενός πως· οἷα κἀπὶ τῶν ἐνεργουμένων μέχρι νῦν, μήτε καιρὸν γυμνώσεως τῆς ἡμετέρας εὕροι ποτὲ φύσεως, ἐν αὐτῇ ὑφεστηκυίας τῇ τοῦ φύλακος ἡμῶν ὑποστάσει, ἥ ἐστι φύσει τῷ τε διαβόλῳ καὶ τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ ἀνεπίβατος· τῇ τοιᾷδε οὖν ὑπερφυεῖ φιλανθρωπίᾳ τὴν ἰδίαν σάρκα ἀναμάρτητον κατέστησε· καὶ τοὺς ὁμοουσίου αὐτῇ ἁμαρτωλοὺς, ἐνθάδε τῆς ἀναμαρτήτου πνευματικῆς οὐσιώσεως, ἐν τῷ μέλλοντι σὺν αὐτῇ, ἠξίωσεν ἀπεράντως· ὃ οὖν θεὸς λόγος αἰωνίαν ἡμῖν λύτρωσιν εὑράμενος οὕτως δοξάζεται.

θεὸν ὄντως, καὶ τὴν σάρκα ἄνθρωπον ὄντως· καὶ Χριστὸν τὸν κατὰ λόγον οὐ φύσιν· καὶ τὸν ἀληθῶς θεὸν καὶ ἄνθρωπον.

## CAP. XXII.

Εἰ οὖν, φασὶ, καὶ ὑμεῖς φυσικὴν τὴν ἕνωσιν ὁμολογεῖτε, τί διαφέρεσθε πρὸς τοὺς περὶ Σεβῆρον μίαν φύσιν λέγοντας Χριστοῦ; πᾶσα γὰρ φυσικὴ ἕνωσις, φύσιν τινὰ μίαν παρὰ τὰς ἑνωθείσας δείκνυσι· φύσις γὰρ ὁ ἄνθρωπος μία· ὡς ἄνθρωπος καὶ οὐ πλείους, οὔτε ψυχῆς, οὔτε σώματος μόνου· οὔτε ἄμφω τοὺς λόγους μόνους ἔχουσα τοὺς φυσικούς· τὸ γὰρ θνητὸν, ἐν ἀνθρώπῳ μὲν οὔτε δὲ ἐν ψυχῇ, οὔτε ἐν σώματι ἰδίᾳ ἐστί. Τί οὖν ὦ οὗτοι καὶ πυρὸς πρὸς σίδηρον οὐκ ἔστι τῶν φύσεων ἕνωσις; καὶ ἐπὶ πόκου αἱμοβαφοῦς οὐ τῶν οὐσιῶν ἡ συμπλοκὴ τῶν σωματικῶν; καὶ τίς ἐστι ἡ γενομένη καινοτέρα φύσις ἐν τοῖσδε, εἴπατε διὰ τὴν φυσικὴν αὐτῶν σύνθεσιν· τί γὰρ ἄλλο τάδε καὶ μετὰ τὴν οὐσιώδη ἕνωσιν, εἰ μὴ σίδηρος πεπυρωμένος, καὶ πόκος ἡμαγωμένος, δύο τε φύσεις ὡσαύτως; ἀλλ' ἴστε εἴπερ πείθεσθε μανθάνοντες, ὡς πολλαχῶς θεωρεῖται καὶ λέγεται ἡ φυσικὴ ἕνωσις· ἡ μὲν γὰρ λέγεται φυσικὴ ἕνωσις ἄλλων τινῶν καὶ οὐ φύσεων οὖσα· κατά τινα μέν τοι φύσιν, ἕνωσις· ἅμα δὲ καὶ φύσεως οὐσιώδει λόγῳ αὐτῆς τὴν ἕνωσιν τῶνδε ὑφιστῶσα· οἷον ἡ θεία φύσις τῶν θείων ὑποστάσεων· καὶ ἡ τῆς ψυχῆς φύσις ἐπὶ τῶν ψυχικῶν δυνάμεων· καὶ ἡ τοῦ πυρὸς φύσις τῶν οὐσιωδῶν αὐτοῦ ποιοτήτων· ἑτέρα δὲ λέγεται φυσικὴ ἕνωσις ἡ κατὰ τὸ φυσικὸν εἶδος τῶν διαφόρων ὑποστάσεων ὁμοίωσις· οἷον ἀγγέλου πρὸς ἄγγελον, καὶ ἵππου πρὸς ἵππον· ἑτέρα δέ ἐστι φυσικὴ ἕνωσις, ἡ διαφόρων φύσεων εἰς φύσεως γέννησιν καινοτέρας συνέλευσις· ὥσπερ ἡ τῆς ψυχῆς καὶ τοῦ σώματος φύσις, εἰς ἀνθρώπου φύσιν, καὶ τῶν δ̅ στοιχείων εἰς σαρκὸς φύσιν, καὶ πλειόνων ποῶν εἰς ἐμπλάστρου φύσιν· ἥτις καὶ λέγεται δημιουργική· ἄλλη δὲ λέγεται φυσικὴ ἕνωσις, ἡ καθ' ὑπόστασιν μίαν πλειόνων φύσεων συνδρομὴ καὶ εἰς φύσιν μίαν· οἷον ἡ τοῦ κατὰ τήνδε τὴν ἡμέραν φωτὸς καὶ ἀέρος τῶν φύσεων συμπλοκὴ· καὶ τοῦ πυρὸς καὶ σιδήρου ἕνωσις φυσικὴ λεγομένη, ὡς κατὰ τὰς φύσεις αὐτῶν καὶ οὐ κατά τινα συμβεβηκότα αὐτοῖς οὖσα ἕνωσις αὐτῶν· πῶς οὖν παρατρέχοντες μὴ συνιέναι καθ' ἣν φαμὲν ἕνωσιν φυσικὴν τοῦ λόγου τὴν σάρκωσιν ἡμεῖς, καθ' ἣν ἄτοπα ὑμῖν συῤῥάψουσιν ὡς καὶ τοῖς σεβηρίταις, κατὰ ταύτην ἐνδέχονται τόδε λεγόμενον καὶ ὑφ' ἡμῶν; ἀλλ' ἐν τοῖσδε οὑτωσὶ καταλελυμένοι, καί τι δεινότερον πρόβλημα κατὰ τῆς ἡμετέρας πίστεως τοιόνδε φασίν.

## CAP. XXIII.

Ὅτι ἡ καθ' ὑπόστασιν σύνθεσις, εἴτουν τοῦ θεοῦ πρὸς ἄνθρωπον, ἢ ὑπὲρ φύσιν ἐστὶ τῆς θεότητος, ἢ παρὰ φύσιν, ἢ κατὰ φύσιν· εἴγε ὄντως

ἔστι· ἀλλ' εἰ μὲν ὑπὲρ φύσιν αὕτη ἐστὶ, μείζονός τε δυνάμεως ἔργον εἰς αὐτὴν γέγονε καὶ εἰς τὸ ὑπὲρ αὐτὴν ηὐξήθη, καὶ οὐκ ἀληθῶς παντοδύναμος αὕτη, οὐδὲ πάντα λόγον ὑπερέχουσα· εἰ δὲ παρὰ φύσιν αὕτη ἐστὶ, χείρων τε αὐτῆς γέγονε, καὶ τρεπτὴ δέδεικται, καὶ πρὸς ὕφεσιν κατηνέχθη· εἰ δὲ κατὰ φύσιν αὕτη ἐστὶν, οὔτε χάριτι ἡ σάρκωσις τοῦ λόγου, οὔτε μόνου τοῦ υἱοῦ, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τοῦ πνεύματος τοῦ ἁγίου· τί δὲ ἄρα καὶ κατὰ φύσιν οὖσα, πάλαι μὲν οὐκ ἐγένετο, νῦν δὲ ἐπράχθη, ὡς ἀτελοῦς τότε οὔσης τῆς φύσεως, καὶ ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ νῦν προαχθείσης; εἰ δὲ πάντα ἄτοπά ἐστι ἐπὶ θεοῦ, ἄνευ δὲ τούτων ἑνοῦσθαι φύσεις οὐκ ἔστιν, ἢ ἀτόπως ἥνωται, ἢ οὐχ ἥνωται φησὶ καθ' ὑπόστασιν ἡ θεία φύσις ἑτέρᾳ φύσει. Ταῦτα ἂν οὕτως εἶχεν, εἰ ἁπλῶς παντὸς πράγματος γινομένου, φύσις ἦν τὸ προσεχὲς αἴτιον· τὸ γὰρ μὴ νήχεσθαι καθ' ὕδατος, ἢ μὴ κυβιστᾷν, ἢ καλωβατεῖν τόν δέ τινα τὸν ἄνθρωπον, τί ἂν εἴποι τὶς ὅτι ὑπὲρ φύσιν αὐτῷ ἐστὶ; καὶ μὴν ὁμοφυὴς αὐτῷ τάδε πράττει· ἀλλ' ὅτι παρὰ φύσιν, καὶ μὴν οὐδὲν ἧττον ἄνθρωπός ἐστι καὶ μὴ πράττων τάδε· ἀλλ' ὅτι κατὰ φύσιν, καὶ πῶς μὴ νηχόμενος ἢ κυβιστῶν, ἢ καλωβατῶν, ἐν τοῖς κατὰ φύσιν οὐδὲν ἔλαττον ἔσται; οὐκοῦν σαφῶς κατὰ τὴν εὐδοκίαν ἐστὶ τάδε τῆς φύσεως, καὶ οὐ κατὰ τὴν φύσιν τοῦ εὐδοκοῦντος ἔχει τὴν αἰτίαν πρώτως· τινῶν γὰρ ἐναντίων ἀρχὴ καὶ ἐξουσία, ἡ γνώμη ἐστὶ καὶ οὐχ' ἡ φύσις· ἀλλ' αὕτη φησὶ ἡ ἕνωσις τοῦ θεοῦ καθ' ὑμᾶς φυσικῇ συνθέσει ἀπετελέσθη· γνώμῃ δὲ ἰδίᾳ φύσις οὐχ' ὑποτέτακται· οὐ γὰρ ἐπεὶ εὐδοκία ἐστὶ πολλοῖς ἀδαμαντίνῳ ἢ ἀερίῳ σώματι συγκεῖσθαι αὐτῶν τὴν φύσιν τῆς ψυχῆς, ἤδη καὶ σύγκειται· ἀλλ' ὄντως οὕτως ἔχει τάδε, ἐφ' ὧν ἧττων ἐστὶν ἡ εὐδοκία τῇ δυνάμει τῆς φύσεως τοῦ εὐδοκοῦντος· οὐδὲ γὰρ οἱ πεζοὶ πτηνῶσαι ἑαυτοὺς ἰσχύομεν φύσει, καί τοι βουλόμενοι ἵπτασθαι· τοῦ δὲ θεοῦ ἥτε εὐδοκία καὶ ἡ φύσις, ἰσοδύναμος καὶ σύμφωνος· τῶν οὖν γενομένων εἰς τὴν αὐτοῦ φύσιν, ἡ ἰδία εὐδοκία, αἰτία τῆς εὐδοκίας αὐτῆς, ὡς εὐδοκοῦσα αὐτὴ ἡ φύσις περὶ ἑαυτῆς, αὕτη ἐστὶν αἰτία· οὔτε οὖν χείρων, οὐδὲ κρείττων κατὰ δύναμιν εὐδοκία τῆς φύσεως ἐπὶ τοῦ θεοῦ τοῦ ἁπλοῦ· πάντα γὰρ ὅσα ἠθέλησεν ὁ κύριος ἐποίησε· καὶ ὅσα μὴ ποιῆται, μὴ δὲ εὐδοκεῖν τάδε πρώτως· δύναται οὖν ποιεῖν ὅλως εὐδοκήσασά τι ἡ θεία βουλὴ ὥσπερ ἡ φύσις· καὶ μήτε κατὰ φύσιν, μήτε ὑπὲρ φύσιν, μήτε παρὰ φύσιν ὄντα, δεικνῦναι τὸν εὐδοκοῦντα θεὸν ἁπλῶς ἐκ τοῦδε.

## CAP. XXIV.

Θεὸς ἀληθινὸς ὁ λόγος, ἁπλῆν ἔχων οὐσίαν κατὰ τὴν οὐσίαν τοῦ πατρός· εἰ ἔχει οὖν τὴν σάρκα εἰς οὐσίαν, καθὼς τῷ αἰγυπτίῳ δοκεῖ, τοῦ ἀληθινοῦ ἠλλοτρίωται, ὥσπερ τῆς φύσεως, οὕτως καὶ τῆς κλήσεως. Ἀλλ'

οὐκ εἰς οὐσίαν τὴν ὡς λόγου γυμνοῦ ἔχει τὴν σάρκα, ἀλλ' εἰς οὐσίαν τὴν ὡς μίαν τῶν τῆς ὑποστάσεως αὐτοῦ, τοῦ καὶ διουσίου ὄντος Χριστοῦ· εἰ δὲ διὰ τόδε ἠλλοτρίωται ἡ τοῦ λόγου οὐσία τῶν ὁμοουσίων αὐτῇ ἁπλῶν ὑποστάσεων, διότι ἐν συνθέτῳ ὑποστάσει νῦν μετὰ τῆς οὐσίας τῆς σαρκὸς ὁρᾶται, ἆρά γε καὶ Ἰωάννου ἡ ψυχή ποτε ἑτεροούσιος ἦν πρὸς τὴν τοῦ ἰδίου ἀδελφοῦ Ἰακώβου ψυχὴν, ὃν προανεῖλεν αὐτοῦ μαχαίρᾳ ὁ Ἡρώδης πάλαι· καὶ γὰρ ἡ μὲν Ἰακώβου ψυχὴ, ἐν ἁπλῇ ὑποστάσει γέγονε μετὰ θάνατον· ἡ δὲ Ἰωάννου ἐν συνθέτῳ ἦν ἔτι φαινομένη ὑποστάσει.

## CAP. XXV.

Ὁ λόγος καθ' ὑπόστασιν ἄμετρος, ἡ σὰρξ καθ' ὑπόστασιν ἔμμετρος· ὁ τὴν καθ' ὑπόστασιν θεοῦ καὶ σαρκὸς δογματίζων ἕνωσιν, ἢ τὸν θεὸν κάμπτει εἰς τὸ σύμμετρον τῆς σαρκὸς, ἢ τὴν σάρκα ἀποτείνει εἰς τὸ ἄμετρον τοῦ θεοῦ· μήτε γὰρ τούτου μήτε ἐκείνου γινομένου, ἀδύνατον σαρκὶ καθ' ὑπόστασιν ἑνωθῆναι τὸν θεόν. Εἰ τὸ ἄμετρον τοῦ λόγου κατά τι ποσὸν συνεχὲς νοεῖς ὥσπερ καὶ τὸ ἔμμετρον τῆς σαρκὸς, ὀρθῶς συνελογίσω· εἰ δὲ ἑτέρως ἄμετρος ὁ λόγος ἤγουν τῇ δυνάμει, ἡ δὲ σὰρξ ἔμμετρος, οὐδὲν ἄτοπον τὴν ὑπερέχουσαν δύναμιν ἑνοῦσθαι ἐλάττονι.

## CAP. XXVI.

Ἄκτιστος τοῦ λόγου ἡ ὑπόστασις, κτιστὴ τῆς σαρκὸς ἡ ὑπόστασις, οὔτε ἡ σὰρξ ἀκτίστως δύναται ἑνωθῆναι τῷ λόγῳ, οὔτε ὁ λόγος κτιστῶς δύναται ἑνωθῆναι τῇ σαρκί· κατὰ ποίαν οὖν ὑπόστασιν γέγονεν, ἡ καθ' ὑπόστασιν ἕνωσις; Τὰ τῶν ἑνουμένων κατηγορήματα, οὐχὶ ταῦτα καὶ τῆς ἑνώσεώς ἐστι πάντως· ἕνωσις μὲν οὖν καθ' αὐτὴν, οὔτε ἄκτιστος, οὔτε κτιστὴ τίς ἐστιν· ἦτε γὰρ κτίσις καὶ ἡ ἕνωσις, οὐκ οὐσίαι· κτίσματα δὲ καὶ ἄκτιστα ἑνούμενα καθ' ὑπόστασιν, οὐσίαι τινὲς ἂν εἶεν· ὥσπερ οὖν προούσαις ταῖς ψυχαῖς ἑνοῦσθαι τὰ ἐν τῇ ἀναστάσει ἡμῖν ἀποδιδόμενα σώματα οὐ κεκώλυται, οὕτως οὐδὲ τῷ ἐφοσονοῦν, ἀκτίστως προϋπάρχοντι λόγῳ, τὸ προσφάτως κτιζόμενον τῆς σαρκὸς, διὰ τὴν προϋπαρξιν ἁπλῶς· εἰ δὲ διὰ τὴν τοῦ ἀκτίστου φὴς πρὸς τὸ κτιστὸν ἑτεροφυΐαν, οὐκ ἄρα οὖν οὐδὲ ἑτέρα ὑπόστασις ἐξ ἀνομοφυῶν ἔσται· καί τοι πᾶσα, σύνθεσις ἡ καθ' ὑπόστασιν, ἐξ ἀνομοουσίων, οὐδεμία δὲ ἐξ ὁμοουσίων, πλὴν εἰ μὴ τῶν ὁμοιομερῶν εἴη τὶς συλλογή· ὥστε μᾶλλον ἐκ τῆς ἀνομοφυΐας καθ' ὑπόστασιν ὑποπτευτέαν εἶναι τὴν ἕνωσιν τοῦ λόγου καὶ τῆς σαρκός.

## CAP. XXVII.

Ἡ διαφορὰ τοῦ ἀκτίστου καὶ τοῦ κτιστοῦ, τὴν καθ' ὑπόστασιν φυσικῶς κωλύει ἕνωσιν· ἡ καθ' ὑπόσταστιν ἕνωσις θεοῦ καὶ σαρκὸς, ἀκτίστου καὶ κτιστοῦ, ἀναιρεῖ τὴν διαφοράν· ὁ ἄρα ἀναθεματίζων τοὺς μὴ ὁμολογοῦντας τὴν καθ' ὑπόστασιν ἕνωσιν, τοὺς ὁμολογοῦντας ἀκτίστου καὶ κτιστοῦ

τὴν διαφορὰν, ἀναθεματίζει. Διὰ τί δὲ ἄρα κωλύει τὴν καθ' ὑπόστασιν ἕνωσιν φυσικῶς ἐπὶ τοῦ ἀκτίστου καὶ κτιστοῦ ἡ διαφορά; εἰ μὲν γὰρ τῇ θατέρου προϋπάρξει ὡς μὴ δυναμένου τινὸς συνάπτεσθαι τῇ μὴ συμπροσελθούσῃ αὐτῷ εἰς τὸ εἶναι φύσει, ἄρα γε οὐδὲ τῷ πλασθέντι πρῶτον σώματι Ἀδὰμ, τὸ θεῖον ἐμφύσημα καθ' ὑπόστασιν ἡνώθη· εἰ δὲ αὐτὴ ὅλως ἡ κατὰ φύσεως λόγον παραλλαγὴ ποιεῖ τὸ ἀσύμβατον εἰς ἕνωσιν τούτοις, οὐδὲ ἄρα τι ζῶον ἔσται ἐξ ἀοράτου καὶ ὁρατῆς φύσεως, ἢ θνητῆς καὶ ἀθανάτου, φθαρτῆς καὶ ἀφθάρτου· οἷον ὁ ἄνθρωπος ὁ ἐκ ψυχῆς καὶ σώματος εἷς ὢν τὴν καθ' ὑπόστασιν· εἰ δὲ εἴποι τὶς οὐχ' ἁπλῶς τὴν διαφορὰν, ἀλλὰ τὴν ἄγαν εἶναι κωλυτικὴν τῆς ἑνώσεως τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον, ἄρα οὖν καὶ τὴν ἐπίτασιν τῆς ὁμοιότητος μᾶλλον, ἡνωμένα ποιεῖν τινὰ δέοι καθ' ὑπόστασιν· τί οὖν μᾶλλον ὅμοιον τῷ σώματι Ἐφραὶμ κατὰ τὸν φυσικὸν λόγον αὐτοῦ, ἡ ψυχὴ αὐτοῦ, ἢ τὸ σῶμα τοῦ ἀδελφοῦ αὐτοῦ Μανασσῆ; εἰ δὲ τὸ σῶμα πάντως, πῶς τῇ μὲν ἀνομοίῳ αὐτοῦ ψυχῇ ἥνωται καθ' ὑπόστασιν, τοῦ δὲ ὁμοίου σώματος αὐτῷ τῇ φύσει διώρισται καθ' ὑπόστασιν, εἴποιεν οἱ βουλόμενοι.

## CAP. XXVIII.

Εἰ ἣν εἶχεν ὁ θεὸς λόγος χωρὶς ἑνώσεως ἰδίαν ὑπόστασιν, νῦν οὐκ ἔχει ὁ λόγος, ἐτράπη ἄρα ἡ τοῦ λόγου ὑπόστασις· τῆς δὲ τοῦ λόγου ὑποστάσεως τραπείσης, ἐξ ἀνάγκης καὶ ὁ τῆς τριάδος τραπήσεται λόγος. Ἀλλὰ τὴν αὐτὴν ἔχει, μετὰ μέν τοι προσθήκην τῶν τε ὑποστατικῶν ἰδιωμάτων τῆς σαρκὸς, τῆς ἐν αὐτῷ τε καὶ αὐτοῦ καὶ τοῦ τῆς πρὸς σάρκα ἑνώσεως λόγου ἰδιώματος αὐτοῦ, νῦν ἑνουμένου τοῦ λόγου· καὶ γὰρ ἐν τῷ τῆς ὑποστάσεως αὐτοῦ λόγῳ καὶ τὸ τῆς σαρκὸς προσλήμματι, οὐσίας μέν ἐστι πρὸς τὴν αὐτοῦ οὐσίαν σύνθεσις, ἰδίωμα δὲ ὑποστατικὸν, καὶ τόδε συνεισάγει τῷ προσώπῳ τοῦ αὐτοῦ, διακριτικὸν καὶ αὐτογενόμενον τοῦτο, ἀπὸ τῆς πατρικῆς ὁμοφυίας καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου, τῶν ὁμοίων αὐτῷ.

## CAP. XXIX.

Κ . . . τῶν θείων ὑποστάσεων ἁ . . . εἰ δὲ σαρκικὰ . . . ὥστε ὁ λόγος οὐκέτι ὁ εἷς . . . ὕπαρξιν τριῶν ἄλλων ὑποστάσεων δύναται πιστευθῆναι· πλὴν οὖν ὑπόστασιν, τί νοοῦμεν; εἰ μὲν γὰρ τῷ ἑνὶ μόνῳ ἰδιώματι διεστῶσαν τῶν ὁμοουσίων . . . ἁπλῆ φανείη . . . τῷ εἶναι ἀγεννήτως ἀφ . . . ἀλλὰ καὶ τῷ γεννητικὸς τοῦ λόγου εἶναι, καὶ ἐκπορευτικὸς τοῦ πνεύματος, καὶ ἀνεκπόρευτος· ὁμοίως δὲ καὶ πνεύματος, πλείω ἐστὶ τὰ ἴδια· οὐκ ἄρα οὖν ὁ πλεονασμὸς τῶν ὑποστατικῶν ἰδιωμάτων, σύνθετον ποιεῖ τὴν ἁπλῆν ὑπόστασιν· ἀλλ' εἴπερ ἐκ πλειόνων ὑποστάσεων μίαν ὑπόστασίν τις συγκεῖσθαι ὑπόθηται, ὅπερ ἡμῖν ἀπευκτέον λέγειν· μὴ

δὲ διαπλασθῆναι τὴν σάρκα, εἶτα προσληφθῆναι τῷ λόγῳ ἐννοήσασί ποτε, ὥσπερ ὑμεῖς δοξάζετε, ἀλλ' ἐξ ἀρχῆς ὑπάρξεως αὐτῆς ἐπὶ τῆς τοῦ λόγου προσωποποιηθῆναι ὑποστάσεως εἰς Χριστὸν· ὃν ὑμεῖς μᾶλλον ἐκ δύο ὑποστάσεων τιθεῖτε εἰς διπλῆν ὑπόστασιν· ἢ μὴ συνθέντες, προσποιεῖσθε τὴν ἕνωσιν· οὐδὲν ἐχούσης πλεῖον τῶν λοιπῶν ἀνδρῶν τὴν πρὸς θεὸν σχέσιν τῆς τοῦ Χριστοῦ φύσεως· καὶ πόθεν οὗτος μόνος εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων εἴρηται, λέγειν οὐχ' ἕξετε.

## CAP. XXX.

Εἰ ἄλλη ἦν ἡ ὑπόστασις τοῦ λόγου χωρὶς σαρκὸς, καὶ ἄλλη τοῦ λόγου ἡ ὑπόστασις μετὰ τῆς ἰδίας σαρκὸς, καὶ ὁ λόγος ἐξ ἀνάγκης ἄλλος ἦν ποτὲ, καὶ ἄλλος μετὰ ταῦτα· ἀκολουθεῖ γὰρ τῇ ἐναλλαγῇ τῆς ὑποστάσεως, ἡ ἐναλλαγὴ τοῦ ἔχοντος τὴν ὑπόστασιν. Τὸ ἄλλο καὶ κατ' ἐναλλαγὴν φύσεως νοεῖται, καὶ κατ' ἐπίκτησιν καὶ κατὰ παραβολήν τινα τῶν ἐπουσιωδῶν· ἡ μὲν οὖν αὐτὴ πόκος ἐστὶ καὶ οὐκ ἄλλη· ἥ τε λευκὴ φυσικῶς τὸ χρῶμα, καὶ ἡ δι' αἵματος κόχλου πορφύρα γινομένη . . . ὁρωμένη . . . ὡς κατὰ τὴν οὐσίαν καὶ ὑπόστασιν ὁμοι . . . ἔχειν πρὸς αἷμα λοιπὸν . . . ὥσπερ τὸ πᾶν τῷ . . . πο . . . εἶδος . . . ἄλλη οὖν . . . ὑπόστασις νοοῖτο ἂν ἡ σεσαρκωμένη πρὸς τὴν ἄσαρκον· οὐ γὰρ τροπὴ λόγου ἡ σάρκωσις αὐτοῦ ἀλλ' ἡ ἀλογία· τῆς δὲ ἀσαρκίας αὐτοῦ τροπὴν . . . σεσαρκωμένου νῦν . . . τοῦ υἱοῦ . . . θείη ἂν ἡ κατηγορία . . . οὐχὶ δὲ ἡ ἀσαρκία τοῦ . . . τῆς τοῦ λόγου ὑποστάσεως· οὕτω γὰρ ἂν καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον, καὶ ἄγγελοι καὶ ψυχαὶ, λόγοι ἂν εἶεν, κατὰ τὸν υἱὸν· ἔστι δὲ ἀποφατικὸν τῆς οὐσίας αὐτοῦ κατηγόρημα πρώτως, δευτέρως δὲ καὶ τῆς ὑποστάσεως αὐτοῦ διὰ τὴν οὐσίαν πάλαι οὕτως κατηγορουμένην· καὶ νῦν δὲ τῆς μὲν οὐσίας αὐτοῦ ὡσαύτως κατηγορεῖται· τῆς δὲ ὑποστάσεως οὐχ' ἁπλῶς εἴτουν μόνως κατηγορηθήσεται· διότι ὑπεδέξατο αὕτη ἐν ἑαυτῇ καὶ ἑτέραν οὐσίαν ἥτις σαρκικὴ εἶναι κατηγορεῖται· καὶ δύναται καὶ αὐτὴ ὥσπερ ἡ φύσις τοῦ λόγου· δευτέρως ἐπῆγεν ἐν τῇ ὑποστάσει αὐτῆς τὸ τῆς ἀσαρκίας ἴδιον κατηγόρημα, οὕτω καὶ ἡ φύσις τῆσδε τῆς σαρκὸς αὐτοῦ ἐπιρρίπτειν αὐτῇ δευτέρως τὴν ἑαυτῆς κατηγορίαν, ὡς ἰδίας ὑποστάσεως καὶ αὐτῆς γενομένης, ἤγουν τὴν σάρκωσιν· ἀλλ' οὐκ ἄλλος μὲν ἦν πάλαι καὶ ἄλλος μετὰ ταῦτα· ἀλλ' ὁ αὐτὸς μὲν, ἄλλως δὲ καὶ ἄλλως ἐμφαινόμενος ὁ λόγος· ἐπεὶ πάλαι μὲν μόνον ἀόρατος ἦν αὕτη ἡ ὑπόστασις, νῦν δὲ καὶ ὁρατὴ διὰ τὸ ὁρατὸν εἰς ἑαυτὴν πρόσλημμα.

XXXI. Εἰ ἀμφότερά ἐστιν ὁ ἄνθρωπος, ἄνθρωπος καὶ θεὸς, ὥσπερ οὖν καὶ ὁ θεὸς λόγος ἄμφω ἐστὶ, δῆλον ὅτι ὥσπερ οὐ φύσει θεὸς ὁ ἄνθρωπος, οὕτως οὐδὲ ὁ λόγος φύσει ἄνθρωπος· εἰ δὲ μὴ φύσει, οὐδ' ἄρα ὑποστά-

σει. Ἄρα οὖν εἴτι μὴ φύσει ταυτὸν, οὐδὲ ὑποστάσει; τί οὖν ἐπεὶ τοῦ ἵππου ἡ ψυχὴ οὐ ταυτὸν τῇ φύσει τοῦ σώματος αὐτοῦ; εἴπερ ἡ μὲν κινητικὸν ᾖ, ἡ δὲ ἀκίνητος, οὐδὲ ἄρα τῇ ὑποστάσει; καὶ ἐπεὶ οὐ ταυτὸν τῇ φύσει φῶς καὶ ἀὴρ, οὐδὲ τῇ ὑποστάσει ἐν ἡμέρᾳ ἕν εἰσιν· ἀλλὰ διώρισται ἀλλήλων.

Ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι, βοᾷ ὁ Θεός· σαρκὶ καθ' ὑπόστασιν ἥνωται ὁ λόγος, βοᾷ ὁ αἰγύπτιος· ὁ δεχόμενος τὸν Κύριλλον ἀληθεύσαντα (1), ψεύστην ποιεῖ τὸν Θεόν. Ὁ οὖν λόγος ἄρα ἑνούμενος σαρκὶ κᾂν μένοι λόγος, ἀλογοῦται· ἢ μὴ μένων λόγος, κᾂν οὐχ' ἑνοῦται σαρκὶ, τότε ἠλλοίωται· εἰ γὰρ ἡ ἕνωσις ἀλλοίωσίς ἐστιν ἁπλῶς, πᾶσα ψυχὴ ἑνωθεῖσα σώματι ἠλλοίωται. XXXII.

Σὺ ὁ αὐτὸς εἶ βοᾷ ὁ προφήτης περὶ τοῦ Θεοῦ· ἀντιβοᾷ ὁ αἰγύπτιος τῷ προφήτῃ τοῖς δόγμασι· σὺ ὁ αὐτὸς οὐκ εἶ· γέγονας γὰρ καθ' ὑπόστασιν ἕτερος ὃ οὐκ ἦς. Ἄρα οὖν κατακαέντων τὰ σώματα πολλῶν μαρτύρων, ταῖς δὲ ψυχαῖς καὶ τοῖς πνεύμασιν ἑαυτοὺς ἐμφανιζόντων, καὶ θαυματουργίαις πλείσταις ἑαυτοὺς ἡμῖν καὶ νυνὶ ζῶντας συνιστανόντων, εἴποιμεν αὐτοῖς· ὑμεῖς οἱ αὐτοὶ οὐκ ἐστέ· γεγόνατε γὰρ καθ' ὑπόστασιν ἄσαρκοι ὃ οὐκ ἦτε· καὶ αὐτὸν δὲ Χριστὸν ὁ μὴ γινώσκων οὐκέτι κατὰ σάρκα εἰ καὶ ἔγνω ποτὲ, ἄρα γε οὐκ αὐτὸν ἀλλ' ἕτερον γινώσκει· καὶ τίς ὁ τοῖσδε συντιθέμενος; ὁ λόγος οὖν σὰρξ ἐγένετο, καὶ ὁ αὐτός ἐστι καὶ οὕτως. XXXIII.

Εἰ κατὰ τὴν ἄσαρκον ὑπόστασιν ὁμοούσιος ὁ λόγος τῷ πατρὶ, δῆλον ὅτι κατὰ τὴν ἔνσαρκον ὑπόστασιν ἑτεροούσιος ὁ λόγος τῷ πατρί. Εἰ τῷ μὴ ἔχειν καθ' ὑπόστασιν ἡνωμένην σάρκα αὐτῷ, τούτῳ ἦν ὁμοούσιος ὁ λόγος τῷ πατρὶ τὴν ὑπόστασιν, δεόντως ἐξ ὑμῶν ἀπορηθήσεται τόδε· εἰ δὲ τῷ μὴ εἶναι φύσει σὰρξ ἀλλὰ Θεὸς τὴν οὐσίαν ὁ λόγος τούτῳ ἐστὶν ὁμοούσιος τῷ Θεῷ πατρὶ, καὶ ἑνούμενος ἄρα σαρκὶ, οὐκ ἐτράπη τὴν τοῦ Θεοῦ φύσιν· καὶ δῆλον ὡς καὶ μεμένηκεν ὁμοούσιος ἡ τοῦ λόγου ὑπόστασις πρὸς τὸν πατέρα· γεγένηται δὲ ὄντως καὶ ἑτεροούσιος πρὸς τὸν αὐτὸν, δι' ἑτέρας μέν τοι ἐγγενομένης αὐτῇ φύσεως. XXXIV.

Εἰ μὴ ὑπόστασιν ἣν εἶχεν ἔχει ὁ λόγος, οὐδὲ ἄρα αὐτός ἐστιν ὃ ἦν. Ἀλλ' ἔχει τὴν αὐτὴν ἀνελλιπῆ μὲν τοῖς προτέροις ἰδιώμασι· μετὰ μέν τοι καὶ προσθήκης ἑτέρων ἰδιωμάτων, διακρινομένην νῦν ἀπὸ τῶν ὁμοουσίων. XXXV.

Ἀξίαν καὶ αὐθεντίαν· καὶ δυναστείαν τοῦ Θεοῦ λόγου δύναται ἔχειν ὁ ἄνθρωπος· καὶ τὸ τὴν τάξιν ἐπέχειν ὅλου τοῦ Θεοῦ λόγου τὴν ὑπόστασιν, ἀδύνατον· κτιστὸς μὲν γὰρ ὁ ἄνθρωπος, ἄκτιστος δὲ ὁ Θεὸς λόγος. XXXVI.

(1) Severi Monophysitarum coryphaei ineditum opus, inscriptum φιλαλήθης seu Κύριλλος, ego quidem in manibus habeo: verumtamen Severus haud fuit ortu aegyptius, quamquam in ea quoque regione diu vixit.

Τὸ γοῦν ἀπιστότερον ὑποτίθη ὦ οὗτος· εἴπερ γὰρ τὴν φυσικὴν, οὐ γὰρ ἐπίκτητον, ἐρεῖς, τοῦ λόγου τὴν ἀξίαν καὶ αὐθεντίαν καὶ δυναστείαν, τὴν τοῦ θείου λόγου δύναται ἔχειν ὁ ἄνθρωπος· καὶ ὄντως τάξιν ἐπέχειν ὅλου τοῦ θεοῦ λόγου, καί τοι ἑτέρας ὢν φύσεως· καὶ κτιστὸς ὢν τῇ φύσει τοῦ ἀκτίστου θεοῦ λόγου μὴ διαφέρειν τοῦ φυσικοῦ θεοῦ· ὁ δὲ θεὸς λόγος μὴ δύναται εἰς τὴν οἰκείαν ὑπόστασιν ὑφιστάνειν τὴν φύσιν τοῦ ἀνθρώπου; ἄρα γὰρ ὁ μὲν ἄνθρωπος, οἷός τε ὑποδέχεσθαι τὰ θεῖα, ὁ δὲ θεὸς οὐχ' οἷός τε ὑποδέχεσθαι τὰ ἀνθρώπινα;

XXXVII. Θεὸς καὶ ψυχὴ καὶ σῶμα καθ' ἕνωσιν φυσικὴν, οὔτε θεὸς, οὔτε ἄνθρωπός ἐστι. Πρόσθες τὸ μόνον καὶ ἄφες τὸ δέον.

XXXVIII. Ὁ αἰγύπτιος τὸ φυσικὸν ἀδύνατον δογματίζει, καὶ τὸ οἰκονομικῶς δυνατὸν ἀναθεματίζει. Ἀλλὰ τὸ οἰκονομηθὲν, τοῦτο αὐτὸ ἦν τῇ θείᾳ πρέπον ὑπεραγαθωτάτῃ φύσει, τὸ εἰς τὴν ἡμῶν φύσιν ὑπερφυὲς ἡμῖν χάρισμα ἑαυτὸν δωρήσασθαι.

XXXIX. Εἰ τὸ ἀκτίστως ἔχειν τὸν ἄνθρωπον τοῦ θεοῦ λόγου τὴν ὑπόστασιν ἡ ἀμηχανία τῆς φύσεως οὐκ ἐᾷ, καὶ τὸ κατ' οἰκονομίαν ἔχειν τὸν ἄνθρωπον τοῦ θεοῦ λόγου τὴν ἀξίαν ὁ αἰγύπτιος οὐκ ἐᾷ, μεταξὺ ἄρα τῆς φύσεως καὶ τοῦ αἰγυπτίου, οὐδὲν ἔχει τοῦ θεοῦ λόγου ὁ ἄνθρωπος, οὔτε τὴν ὑπόστασιν, οὔτε τὴν ἀξίαν. Ἀλλ' ἔχει τὴν ἄκτιστον ὑπόστασιν τοῦ λόγου καὶ τῆς κτιστῆς αὐτοῦ φύσεως οὖσαν ὑπόστασιν σὺν τῷ λόγῳ, καὶ ὁ ἄνθρωπος ὁ ἐν Χριστῷ· ἔχει μὲν γὰρ ἀκτίστως καὶ ἀχρόνως προϋποκειμένην τινὰ ὑπόστασιν ἑτέρου· καὶ τῷ ἑτέρῳ τῷ κτιστῶς καὶ ἐγχρόνως ἐν αὐτῇ ὑποστάντι, δυνατὸν· ἀκτίστως δὲ αὐτὴν καὶ ἀχρόνως κτήσασθαι ὑπόστασιν τῆς φύσεως ἑαυτοῦ τῷδε τῷ κτιστῷ ὄντι τὴν φύσιν, ἀδύνατον· καὶ μεταγενεστέρως γὰρ αὐτοῦ κτισθεῖσα καὶ οὐ σύγχρονος οὖσα φύσις μερικὴ ἡ τῶν ὀφθαλμῶν τοῦ ἐκ γεννητῆς τυφλοῦ εἰς τὴν ὑπόστασιν αὐτοῦ τὴν προϋποκειμένην ὑπέστη· καὶ ὡς μέρος αὐτῆς ἀληθῶς τὸ λοιπὸν θεωρεῖται· καί τοι μιᾶς ὑποστάσεως ἀνελλιποῦς ὅλης θεωρουμένης καὶ πρὸ τῶνδε τῆς τοῦδε· ἐλλιποῦς δὲ ὡς κατά τινα λόγον φύσεως καὶ φυσικοῦ μέρους στέρησιν· ἥτις στέρησις καὶ πλεονάζειν μᾶλλον τὸν λόγον τῆς ὑποστάσεως αὐτοῦ ἐποίει τρανότερον διοριζομένης καὶ τῷδε τῷ ἐξαιρέτῳ ἐν τοῖς ἰδιώμασιν αὐτῆς ἀπὸ τῶν ὁμοφυῶν· τελειωθείσης γοῦν αὐτῶν τῆς φύσεως τοῖς μέρεσιν, οὐκ ἐνέλιπέ τι ὑπόστασις τοῖς ἰδιώμασιν αὐτῆς· οὐκ ἀδύνατον ἄρα κατὰ πρόσθεσίν τι εἰς ἑαυτὰς ἐπιδέχεσθαι τὰς προούσας ὑποστάσεις ὁπωσοῦν, εἴτε κτιστῶς εἴτε ἀκτίστως προῆσαν.

XL. Εἰ κατὰ τὴν συνουσίωσιν θεότητος καὶ σαρκὸς εἷς υἱὸς ὁ υἱὸς, δῆλον ὅτι πρὸ τῆς συνουσιώσεως, οὐκ ἦν εἷς ὁ λόγος οὔτε θεὸς, οὔτε υἱός. Ἀλλὰ καὶ πρὸ τῆς συνουσιώσεως θεὸς καὶ υἱὸς ὁ λόγος· καὶ ἐπὶ τῆςδε

ὁμοίως, καὶ Θεὸς καὶ υἱὸς καὶ λόγος· οὐ γὰρ ἐπὶ ἀναιρέσει τῶν ὄντων αὐτῷ, ἀλλὰ προσκτήσει τῶν οὐκ ἐνόντων, γέγονε Χριστὸς ὁ Θεὸς λόγος καὶ υἱὸς τοῦ πατρός.

Ὁ Θεὸς λόγος γνωμικῶς δύναται ἑνωθῆναι τῇ κτιστῇ φύσει, φυσικῶς δὲ οὐ δύναται· οὐδὲ γὰρ ἔκτισε τὴν ἑαυτοῦ φύσιν, οὔτε μεθαρμόζειν αὐτὴν εἰς ἑτέραν οὐσίαν δύναται. Ἆρά γε ὡς μείζονα δυναμένης αὐτοῦ τῆς γνώμης ὑπὲρ τὴν φύσιν δύναται γνωμικῶς, ἃ οὐ δύναται φυσικῶς, ἢ ὡς ἥττονα; εἰ μὲν γὰρ ὡς μείζονα, ὁ τῷ ἰσχυροτέρῳ τῶν ἑαυτοῦ ἤγουν τῇ γνώμῃ τῇ κτιστῇ φύσει συναφθεὶς, τῷ ἐλαττοτέρῳ, ἤγουν τῇ φύσει, εὐκολότερον συμπλακήσεται· εἰ δὲ ὡς ἥττονα, δῆλον πάλιν ὡς τῷ ἀσθενεστέρῳ τῶν ἑαυτοῦ τι ῥᾷστα καταπραξάμενος, τῷ δραστικωτέρῳ ἂν μειζόνως τοῦδε αὐτοῦ περιγενήσεται· καὶ οὕτω μὲν τάδε· οὐκ ἔκτισε δὲ οὐδὲ μεθαρμόζει τὴν ἑαυτοῦ φύσιν ὁ Θεός· ἆρά γε γνώμην ἔχων ποτὲ τοῦδε ἢ οὐδὲ γνώμην ἐσχηκὼς τοιάνδε· τὸ μὲν γὰρ κτίσαι ἑαυτὸν, καὶ ἀνεπινόητον· τὸ δὲ μεθαρμόσαι, ἄλογον· ποῦ γὰρ ὑφεστῶσα ἡ γνώμη αὐτοῦ κτίσει τὸ γνωμικόν; πῶς δὲ ὁ ἐν πᾶσι μακαριότησι ὢν, γνώμην ἕξει μεταστρέψαι ἑαυτὸν εἰς τὸ χεῖρον; τὸ κρεῖττον γὰρ οὐκ ἔστιν· ἄρα οὖν ὅσα ἡ φύσις αὐτῷ δύναται, ταῦτα αὐτῷ ἔχει καὶ ἡ γνώμη ποιεῖν αὐτόν· καὶ ὅσα ἡ γνώμη ἔχει, ταῦτα καὶ ἡ φύσις αὐτοῦ δύναται ποιεῖν· οὐ γὰρ διαμάχεται ἐν τῷ πάντη ἁπλουστάτῳ καὶ ἀδιαφόρῳ ἀγαθῷ Θεῷ γνώμη καὶ φύσις· ὥστε εἰ γνωμικῶς δύναται συναφθῆναι ἡμῖν, πολλῷ μᾶλλον φυσικῶς· ἡ μὲν γὰρ φύσις καὶ ἡ ἡμετέρα, ἀγαθὴ καὶ ἀδιάβλητος, καὶ ἐξ αὐτοῦ· ἡ δὲ γνώμη καὶ αἱ ἡμῶν ἁμαρτίαι, διϊστῶσιν ἀνὰ μέσον ἡμῶν καὶ αὐτοῦ· γνώμην οὖν ἐσχηκὼς καὶ αὐτὸ τοῦτο ἤγουν τὸ συναρμόζειν ἑτέρᾳ οὐσίᾳ τὴν ἑαυτοῦ φύσιν, οὐκ ἀδυνατήσει· εὐδοκίᾳ οὖν αὐτοῦ ἅτε φύσει ἀγαθοῦ, τὴν φυσικὴν αὐτοῦ ἕνωσιν πρὸς ἡμᾶς, ὀρθῶς φαμέν. XLI.

Εἰ τοῦ Θεοῦ βουληθέντος δέχεται αὐτοῦ ἡ φύσις προσθήκην, δύναται ἄρα καὶ μείωσιν δέξασθαι βουληθέντος αὐτοῦ· εἰ δὲ ἀδύνατον τὸ δεύτερον, ἀδύνατον ἄρα καὶ τὸ πρῶτον. Ἀλλ' οὐχ' ἡ φύσις, ἡ ὑπόστασις δὲ προσθήκην ἐπεδέξατο ἡ τοῦ λόγου· καὶ τοῦτο οὐχ' ὑποστάσεως, ἀλλὰ τῶν ὡς στοιχείων ὑποστάσεως νοουμένων ἰδιωμάτων, διὰ τῆς πρὸς φύσιν ἑτέραν ἑνώσεως τῆς οὐσίας αὐτοῦ ἐπιγεννηθέντων αὐτῇ· ἀφαίρεσιν τῶν ἰδιωμάτων αὐτῆς τῶν ἀϊδίων καὶ ἔκπαλαι μὴ καταδεχομένης ὡς ἅπαξ ἀϊδίων· ἐστὶ δὲ καὶ ἄλλα, ὧν ἐπαύξησις μέν ἐστι, οὐ μὴν καὶ μείωσις· τὸ γὰρ ἁπλούστατον οἷον τὸ σημεῖον, ἐπαυξηθῆναι μὲν διὰ συνθέσεως, δυνατόν· μειωθῆναι δὲ ἐνεργείᾳ ἀμερὲς ὂν ὡς τῶν μεριστῶν ἔσχατον, ἀδύνατον. XLII.

Εἰ ὁμοῦ Θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, δηλονότι ὁμοῦ δεσπόζει καὶ δεσπόζεται ὁ Χριστός· εἰ δὲ ἡ διαφορὰ τοῦ δεσπόζειν καὶ τοῦ δεσπό- XLIII.

ζεσθαι ἐν τῷ Χριστῷ οὐκ ἔστι, καὶ θεοῦ ἄρα καὶ ἀνθρώπου ἀναιρεῖται ἡ διαφορά. Καὶ γὰρ ὁμοῦ καὶ ἐν ταυτῷ δεσπόζεται τῇ φυσικῇ τάξει ἕως συμπληρώσεως τῆς κατὰ τὴν οἰκονομίαν ταπεινώσεως· ἀλλ' οὐ κατὰ τὸ αὐτὸ τῶν αὐτοῦ μερῶν ὁ αὐτός· τῇ γὰρ φύσει τῆς σαρκὸς αὐτοῦ, καὶ ὑπὸ Πιλάτου δεσπόζεται· τῇ δὲ φύσει τοῦ ἐν αὐτῷ λόγου, πάντων καὶ τῶν οὐρανίων ὁ αὐτὸς κυριεύει Χριστός· ὕστερον δὲ καὶ κατὰ τὸ ἀνθρώπινον φησὶ· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

XLIV. Εἰ ὁμοῦ θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, ὁμότιμος ἄρα ὁ ἄνθρωπος τῷ θεῷ· εἰ δὲ μὴ ὁμότιμος ὁ ἄνθρωπος τῷ θεῷ, δικαίως διαβάλλει ὁ αἰγύπτιος τὴν συμπροσκύνησιν· εἰ δὲ ὁμότιμος, ἐξ ἀνάγκης συμπροσκυνεῖται, καὶ ἀσεβεῖ ὁ αἰγύπτιος. Ὥσπερ ἡνίκα ὡς φύσιν προσκυνητὴν προσκυνοῦμεν θεὸν, οὐ χρεία τρισὶ προσκυνήμασι τὰς τρεῖς θείας ὑποστάσεις προσκυνεῖν, ἀλλὰ μιᾷ προσκυνήσει ἡ ὁλότης τοῦ προσκυνητοῦ θεοῦ φύσει προσκεκύνηται, οὕτως ἐπὶ τῆς οἰκονομίας· εἰ ὡς ὑποστάσει τῇ τοῦ λόγου τοῦ σεσαρκωμένου προσάγοιμεν τὴν προσκύνησιν, οὐ δέον τι λέγειν ἕτερον ἑτέρῳ συμπροσκυνεῖσθαι ἐν Χριστῷ, ἀλλὰ μιᾶς ὑποστάσεως προσκυνήσει τιμᾶσθαι τὸ τοῦ λόγου πρόσωπον ἓν, εἰ καὶ σεσάρκωται· εἰ μέν τοι ὡς φύσιν προσκυνεῖς τὴν τοῦ λόγου, καὶ τῷ πατρὶ προσκυνεῖς ἐν αὐτῷ καὶ τῷ πνεύματι· ἔνθα δὲ πατὴρ καὶ πνεῦμα ἐνθεωρεῖται τῇ μονάδι τῇ προσκυνουμένῃ, σάρξ τῇδε οὐ συμπεριέχεται, ἵνα καὶ ὡς τῆσδε οὖσα τῆς μονάδος συμπροσκυνῆται· δέον οὖν τρισὶ μὲν ὁμοτίμοις προσκυνήσεσι τὰς τρεῖς ὑποστάσεις τὰς θείας προσκυνεῖν· τῇ θείᾳ δὲ σαρκὶ ὡς συνθεωθείσῃ αὐταῖς καθ' ὑπόστασιν φύσει, ἅτε ἐν μιᾷ τῶνδε περιεχομένῃ, καὶ τὰ τῆς θεότητος ἱερὰ λοιπὸν προσδεχομένῃ, συμπροσκυνητέον κατὰ τὸν ἕνα υἱόν· ἐν γὰρ τῷ ὀνόματι Ἰησοῦ κάμψει πᾶν γόνυ· ἐπεὶ καὶ αὐτῷ κεχάρισται ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἤγουν τὸ τῆς θεότητος, φύσει ὂν προσκυνητόν· φυλαττομένης τῆς διαφορᾶς τῆς φυσικῆς, καὶ οὕτως τοῦ χαρισαμένου τὰ ἴδια φυσικὰ πρὸς τὸν λαμβάνοντα, καὶ τοῦ θεωθέντος πρὸς τὸν θεώσαντα.

XLV. Εἰ ἡ φύσει σὰρξ οὐκ ἔστιν ἑτέρου τινὸς παρὰ τὸν θεὸν λόγον φύσει, ἀλλὰ τοῦ θεοῦ λόγου, δηλονότι ἑτέρου λόγου ἐστὶ ἡ σὰρξ παρὰ τὸν φυσικῇ θεότητι λόγον. Ἑτέρας μὲν φύσεως ἐστὶν, ἀλλὰ τοῦ προσώπου· ὁ λόγος γὰρ ἄσαρκος πάλαι, νῦν δὲ σεσαρκωμένος ὡμολόγηται.

XLVI. Εἰ ὅλως ἀποδέχῃ ὦ αἰγύπτιε θεοῦ ἐν ἀνθρώπῳ θείαν ἐνοίκησιν, παῦσαι θεοῦ καὶ σαρκὸς δογματίζων τὴν καθ' ὑπόστασιν ἕνωσιν· ἀλλήλων γάρ εἰσιν ἀναιρετικαὶ ἡ ἐνοίκησις καὶ ἡ καθ' ὑπόστασιν φυσικὴ ἕνωσις. Εἰ ὑποστατικὴ λέγοιτο καὶ ἡ ἐνοίκησις ἤγουν ὡς ὑποστάσεως εἰς ὑπόστασιν ἐνοικούσης, ὄντως φῂς· ὥσπερ καὶ ἐπὶ τῶν καθ' αὐτὰς μὲν ὑπαρχου-

σῶν πλακῶν τοῦ νόμου ἰδιοπεριγράπτως, περιλαμβανομένων δὲ πάντοθεν ὑπὸ τῆς κυβωτοῦ, ἔχει· εἰ δὲ οὐσιακῇ ἑνώσει καθορῶμεν τὴν ἐνοίκησιν ὥσπερ ὁ λέγων περὶ τῆς ἑαυτοῦ ψυχῆς, ὅτι ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύων σκηνὴν πήξας, πῶς κωλύεται ἡ καθ' ὑπόστασιν ἕνωσις ἐπὶ Ἐζεκίου νοεῖσθαι, φύσεως φύσει ἐνοικούσης; ἄνθρωπος δὲ καὶ σὰρξ ὁ υἱὸς καὶ λόγος τοῦ θεοῦ πῶς λέγεται, τῷ τῆς ἐνοικήσεως ἁπλῶς λόγῳ; ὁ γὰρ ἐνοικῶν, οὐ τῆς τοῦ ἐνοικουμένου προσηγορίας εὑρίσκεται κύριος.

Εἰ τὸν παντοδύναμον φύσει λόγον καὶ ἀναμάρτητον κοινωνὸν ἔσχεν ἡ σὰρξ τῆς ἰδίας ὑπάρξεως, πῶς αὕτη ἂν εἴη ἀναμάρτητος λεγομένη; ἢ ποία νίκη τῆσδε πρὸς τὴν κακίαν τοιόνδε λαβούσῃ βοηθὸν, ὃν οὐδὲ ἔστι νικηθῆναι; τοῦδε γὰρ ἂν καὶ οὐ τῆσδε εἴη τὸ κατόρθωμα. Ἆρα οὖν οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι οὐκ ἐξομολογήσεσθε σὺν ἡμῖν ὅτι ἀδελφὸς οὐ λυτροῦται, οὐδὲ λυτρώσεται ἄνθρωπος; καὶ ὅτι οὐκ ἐν ἰσχύϊ ἑαυτοῦ δυνατὸς ἀνὴρ, ἀλλὰ κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ κύριος ἅγιος· ἀκούσατε ὦ οὗτοι τοῦ λέγοντος· μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ γνῶτε ὅτι τὸ καθ' αὐτὴν ἁμαρτίας κατακρατεῖν ἀβοηθήτως, φύσεώς ἐστι μόνης τῆς ἀναμαρτήτου· καθ' ἣν εἰ εἴημεν, θεοὶ πάλαι ἂν ὄντες ἐδείχθημεν· πταισταῖς δὲ ὄντες φύσεως, καὶ ἐντεῦθεν εὐεπιβούλευτοι καθεστῶτες τῷ πειράζοντι καὶ εἰς τὴν ἐνεργείᾳ ἁμαρτίαν κατασύροντι, εὐκόλει· δυνάμεώς τινος ἐμφολευούσης τῇ ἀδυναμίᾳ τῆς ἡμετέρας φύσεως ἐδεόμεθα, ἵνα μὴ καταδυναστευθῶμεν ὑπὸ τῆς ἀντικειμένης ἡμῖν ἐπιβούλου δυνάμεως, ἥ τις τῷ κέντρῳ τοῦ θανάτου ἤγουν τῇ ἁμαρτίᾳ ἡμᾶς ἐπικεντρίζουσα, θνήσκειν ἐποίει καὶ τῆς ἀθανασίας ἐστέρει· καὶ τοῦτο οὐκ ἐξωτέρως πως τῆς οὐσίας, οὐδὲ προσκαίρως· ἀθάνατός τε γὰρ ὁ εὑρετὴς τῆς κακίας οὗτος καὶ τῶν καρδιῶν ἡμῶν αὐτῶν ἐμβατευτικὸς· τῆς φύσεώς τε αὐτῆς ἡμῖν ἦν ἡ ἀσθένεια· εἰκότως οὖν τῇ τε φύσει ἡμῶν ἡ πρὸς δικαιοσύνην δυναμοποιὸς καὶ σωτήριος φύσις συνεπλάκη, εἰς μίαν ὑπόστασιν τὴν ἑαυτῆς ἡμᾶς διὰ τῆς ἀπαρχῆς προσλαβομένη· ὡς ἂν μήτε ἐνδοτέρως τῆσδε εἰς τὴν φύσιν ἡμῶν ἐμβατεύειν ἔχοι ὁ ἐχθρὸς καθ' ὑπόστασιν ἐγγινόμενός πως· οἷα κἀπὶ τῶν ἐνεργουμένων μέχρι νῦν, μήτε καιρὸν γυμνώσεως τῆς ἡμετέρας εὕροι ποτὲ φύσεως, ἐν αὐτῇ ὑφεστηκυίας τῇ τοῦ φύλακος ἡμῶν ὑποστάσει, ἥ ἐστι φύσει τῷ τε διαβόλῳ καὶ τῇ ἁμαρτίᾳ καὶ τῷ θανάτῳ ἀνεπίβατος· τῇ τοιᾷδε οὖν ὑπερφυεῖ φιλανθρωπίᾳ τὴν ἰδίαν σάρκα ἀναμάρτητον κατέστησε· καὶ τοὺς ὁμοουσίου αὐτῇ ἁμαρτωλοὺς, ἐνθάδε τῆς ἀναμαρτήτου πνευματικῆς οὐσιώσεως, ἐν τῷ μέλλοντι σὺν αὐτῇ, ἠξίωσεν ἀπεράντως· ὁ οὖν θεὸς λόγος αἰωνίαν ἡμῖν λύτρωσιν εὑράμενος οὕτως δοξάζεται. XLVII.

XLVIII. Καὶ τόδε δὴ ἴσως ἂν ἡμῖν ἀπορήσοιεν οἱ τὴν τοῦ λόγου πρὸς τὴν σάρκα ἕνωσιν ἀληθῆ καθ' ὑπόστασιν ἀρνούμενοι . . . ἂν ἄπειρον φύσει παρὰ τὸ φύσει, καθ' ὑπόστασιν ἑνοῦσθαι ἀδύνατον· εἴτε γὰρ ἄπειρός ἐστι καὶ ἐκ τῶν ἀμφοτέρων ὑπόστασις, δι' ὅλης διήκειν τὸ περατὸν φύσει, ἤγουν ἡ σάρξ, οὐ δύναται· εἴτε περατὴ εἴη, ὅλον περιέχειν ἐν αὐτῇ τὸ φύσει ἄπειρον ἤγουν τὸν λόγον, οὐκ ἰσχύσει. Ἑτοίμως οὖν καὶ τούτῳ ὑπαντητέον· πρῶτον μὲν λέγοντας, ὅτι πᾶσα ὑπόστασις τοῖς οἰκείοις λόγοις διωρισμένη τυγχάνουσα, ἀπὸ πάσης ὁμοουσίου τε καὶ ἑτεροουσίου ὑποστάσεως, πάντως περατή ἐστιν· εἰ γὰρ μὴ περατοῦταί τι ἰδίοις ὅροις, οὐδὲ ἀποδιορίζεται τῶν ἀλλοτρίων ὅρων· οὐκ ἄρα οὖν οὐδὲ καθ' αὑτὴν ἡ ἄπειρος τοῦ λόγου φύσις, ἐν ὑποστάσει θεωρεῖσθαι δύναται, οὐδὲ ἡ τοῦ πατρὸς, οὐδὲ ἡ τοῦ πνεύματος· ἀλλ' ἔσται πανάπειρον εὐθὺς καὶ ἀνυπόστατον, μὴ δυναμένης χωρῆσαι τῆς κατὰ τοὺς οἰκείους λόγους περατῆς ὑποστάσεως τὴν κατὰ τὸν ἴδιον λόγον ἄπειρον φύσιν.

Ἐπὶ τούτοις δὲ καὶ ἑτέρως λυτέον σὺν θεῷ τὸ ἄπειρον. Φαμὲν γὰρ ὅτι τὸ ἄπειρον, πολλαχῶς λέγεται· εἴρηται γὰρ ἄπειρον τὸ κατὰ θέσιν· ὥσπερ ὁ ἀπὸ γραμμῆς κύκλος, πλάτος μὲν οὐκ ἐχούσης, τοῦ δὲ μήκους αὐτῆς ἀορίστου καὶ ἀδήλου ὄντος πάσῃ θέᾳ· καὶ ἀδιαφόρου κατὰ πᾶν αὐτῆς τὸ διάστημα, ὡς μὴ τὸ μὲν αὐτῆς ἀρχὴν φαίνεσθαι, τὸ δὲ πέρας αὐτῆς, τὸ δὲ μεσότητα· λέγεται ἄπειρον καὶ τὸ κατὰ τὴν εἰς ἑαυτὸ στροφὴν ἐπαυξάνον, οἷον ὁ πολιπλασιασμὸς τῶν ἀριθμῶν· καὶ γὰρ τὰ μύρια ἀριθμήσαντες, ἔστι καὶ μυριάκις μύρια ἐπιμετρῆσαι· καὶ πάλιν μυριάκις τὰ μύρια, μύρια ἐπαριθμεῖν, καὶ οὕτως εἰς ἄπειρον· φαμὲν δὲ ἄπειρον, καὶ τὸ ἀεὶ διαιρετὸν τῇ φύσει, οἷον τὴν στιγμὴν καὶ τὴν μονάδα· καὶ γὰρ τάδε εἰς ἡμίσεα διαιρεῖσθαι νοοῦμεν· καὶ τούτων τὸ ἥμισυ, εἰς ἕτερον ἡμίσεος ἥμισυ· καὶ ἐκεῖνο εἰς ἄλλο τὸ ἑαυτοῦ ἥμισυ· καὶ τοῦτο ἐπ' ἄπειρον· οὐκ ὄντος τινὸς εἴδους ἑτέρου τοῦ ὀφείλοντος τῇ ἐπιτάσει τῆς διαιρέσεως διαδέξασθαι τὸ διαιρούμενον εἶδος· ὥσπερ τῆς γραμμῆς ἐπὶ πολὺ διαιρουμένης, πέρας ἦν τῆς διαιρέσεως αὐτῆς, ἡ εἰς σημεῖον κατάντησις· καὶ πέρας ἀριθμοῦ διαιρέσεως ἦν, ἡ εἰς μονάδα κατάντησις· λοιπὸν γὰρ οὐκ ἀριθμὸς ἦ ὁ διαιρούμενος. Λεγέται δὲ ἄπειρον, καὶ τὸ κατά τι συνεχὲς ποσοῦ διάστημα πέρας οὐ λαμβάνον τοπικὸν, ὥσπερ φαμὲν ἄπειρον τὸ μῆκος τῶν ἡλιακῶν ἀκτίνων· καὶ γὰρ σώματος οὐ καταφράττοντος παχυτέρου, ἀπ' ἄκρων ἀνατολῶν καὶ ὑπὲρ τοὺς ἑσπερίους τοῦ οὐρανοῦ τόπους, εἴπερ ἦν τι διαφανὲς τὸ ὑποδεχόμενον αὐτὰς ἐπεκτείνονται· τοιόνδε δὴ ἂν λέγηται καὶ τὸ πελάγιον ὕδωρ εἰς βάθος ἐπ' ἄπειρον πρὸς τὴν ἄβυσσον καθικνούμενον. Ἄπειρον δὲ εἴρηται καὶ τὸ κατὰ τὸ ποτὲ διηνεκὲς καὶ ἀτελεύτητον ὂν, ὥσπερ ὁ μέλλων αἰὼν, καὶ ἡ ζωὴ τῶν ἀγγέλων.

Ἄπειρον λέγεται καὶ τὸ κατ' ἐπίνοιαν μόνον ἀπεράντως ἔχειν τὶ ἢ πάσχειν θεματιζόμενον· οἷον ἡ ἐπ' ἄπειρον ἐκφέρεσθαι λεγομένη ἢ διαιρεῖσθαι γραμμή. Ἄπειρον λέγεται καὶ τὸ ὡς πρός τι τοιόνδε εἰ καὶ μὴ φύσει, οἷον τὸ ὕψος τοῦ οὐρανοῦ ὡς πρὸς ἡμᾶς. Ἄπειρον λέγεται καὶ τὸ ἀτελὲς κατὰ θεωρίαν, οἷον, εἰ πᾶν σῶμα ἐν τόπῳ, ὁ δὲ τόπος σῶμα, καὶ ὁ τόπος ἄρα τοῦ σώματος ἐν τόπῳ, καὶ ὁ τόπος δὲ τοῦ τόπου· καὶ ἐπ' ἄπειρον οὕτως ἔσται προβαίνουσα ἡ νόησις. Ἄπειρον ἔτι δοξάζεται εἶναι καὶ τὸ κατὰ τὴν ἐνεργητικὴν τῆς φύσεως δύναμιν μέτρῳ μὴ περιοριζόμενον, ἢ ἐν ταῖς δέ τισι μόναις ταῖς ἐνεργείαις γνωριζόμενον· τοῦδε γάρ τινος ἀνθρώπου τυχὸν δυναμένου δύο στάδια δραμεῖν, ἢ καὶ δέκα μόνον, καὶ τοῦ δέ τινος ἰσχύοντος ρ̄ λίτρας ἆραι ἢ χιλίας μόνον· καὶ τοῦ δέ τινος γεωργεῖν τε καὶ ναυπηγεῖν καὶ γράφειν καὶ ἕτερά τινα διαπράττεσθαι δυναμένου μόνον· μὴ μέν τοι τινὸς τούτων ἢ ἀπείρως σταδιοδρομεῖν, ἢ ἀμέτρως ἀχθοφορεῖν, ἢ ἁπλῶς παντουργεῖν· ὡς τοῦ αὐτοῦ καὶ πολεμεῖν καὶ κιθαρῳδεῖν καὶ ἰατρεύειν καὶ πάντα ποιεῖν ὅσα γίνεται ἐν κόσμῳ ἰσχύοντος· εἴ τις καθ' ὑπόθεσιν ὤφθη τοιοῦτος ἀνὴρ, τοῦτον ἄπειρον τῇ ἐνεργητικῇ δυνάμει ἔφημεν ἄν.

Τούτων οὖν οὕτως διεγνωσμένων, πυθόμεθα τῶν ἀποφασκόντων τὴν τοῦ ἀπείρου πρὸς τὸ περατὸν ἕνωσιν· ἆρά γε τοῦτο τὸ θεῖον τοῦ λόγου ἄπειρον ποῖον νοοῦντες, περατῷ ἑνοῦσθαι οὐ συγχωροῦσιν; εἰ μὲν οὖν τὸ κατὰ θέσιν, ἢ πολυπλασιασμὸν, ἢ διαίρεσιν ἐροῦσιν, εἰκότως ληροπαραπαίειν δόξουσιν· εἰ δὲ τὸ κατὰ τοπικὴν παρέκτασιν τῆς ἰδίας συνεχείας φασὶν, ἀνάγκη τοσόνδε ἄπειρον ὂν τὸ θεῖον, ἢ πάντη ἔξω ποι εἶναι παντὸς τοῦδε τοῦ περατοῦ κόσμου, καὶ ἀσχέτως ἔχειν πρὸς τὰ τῇδε πάντα ἀποδιωρισμένων αὐτῶν καὶ ὁπωσοῦν αὐτῶν οὐχ' ἡνωμένων· καὶ ἔσται ψευδῆ τό τε ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα, καὶ ἐσμὲν· καὶ τὸ, ἐξ οὗ καὶ ἐν ᾧ τὰ πάντα· καὶ τὸ, τοῦ πάντα ἐν πᾶσι πληρουμένου· καὶ τὸ, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσι· καὶ τὰ τοιάδε πάντα εἰρημένα· ἢ εἰ τάδε ἀληθῶς εἴρηται, καί τοι ἀπείρου ὄντος τοῦ θεοῦ, περατοῦ δὲ τοῦ κόσμου κατὰ τόπον, μάτην ὑφορῶνται τὴν τοῦ τοιοῦδε ἀπείρου πρὸς τὸ περατὸν ἕνωσιν, ἑνουμένου καὶ πληροῦντος τοῦ θεοῦ τὰ πάντα· εἰ δὲ τὸ κατὰ τὸ ποτὲ ἀτελευτήτως ἔχον, τοῦτο ἐπὶ θεοῦ φασὶ νοεῖσθαι αὐτοῖς τὸ μὴ ἑνούμενον ἄπειρον, αὐτόθεν εἰσὶν εὐέλεγκτοι ἐκ τῆς ἰδίας ὑποστάσεως· καὶ γὰρ τούτων ἡ ψυχὴ ἄπειρον ἔχουσα τὴν κατὰ τὸ ποτὲ διάρκειαν, εἴπερ αὐτοῖς ὄντως ἀθάνατος δοκεῖ, ὅμως τῷ μὴ νῦν ῥαδίως περατῷ σώματι αὐτῶν ἥνωται καὶ καθ' ὑπόστασιν· εἰ δὲ πάντοθεν συνωθούμενοι, ἐξ ἀνάγκης τὸ κατὰ δύναμιν ἄπειρον ἐπὶ τοῦ θείου φασὶ λέγειν, λεκτέον αὐτοῖς, ὡς ἐξ ἀνάγκης θάτερον ἀνατραπήσεται τῶν παρ' αὐτῶν· ἢ γὰρ ἄπειρον ἂν

τῇ δυνάμει καὶ πρὸς πᾶσαν ἐνέργειαν ἰσχύον δύναιτο ἂν καὶ διὰ περατῆς φύσεως μηδὲν ὑπὸ μηδενὸς ἐμποδιζόμενον ἐνεργεῖν τὰ ἴδια πάντα· ὅ ἐστιν ἐνδιδοῦντος ἑαυτὸν τῷ ἑτέρῳ καὶ μίαν ὑπόστασιν ἐξ ἑνώσεως τῶν δύο διὰ τῆς ἀλληλοχωρίας δεικνῦντος· ἢ μὴ δυνάμενον καὶ διὰ περατοῦ τὰ τῆς οἰκείας δυνάμεως πάντα προάγειν καὶ παριστᾷν ἑαυτοῦ, ὅλον ἓν εἶναι τῷ περατῷ, οὐκ ὄντως ἄπειρον εἶναι τῇ ἐνεργετικῇ δυνάμει φωραθὲν κατά τινα τρόπον, ἤγουν τῇ σμικρότητι τοῦ ἑτέρου, κωλυόμενον ὑπὸ τοῦδε τὰς οἰκείας προάγειν πάσας ἐνεργείας· ὥσπερ Δαβὶδ, γυμνὸς μὲν καὶ ἀπερίθετος παντὸς ἀλλοτρίου τῆς ποιμενικῆς διασκευῆς, δυνατὸς καταγωνίζεσθαι καὶ νικᾷν τὸν Γολιὰθ ἦν· περικείμενος δὲ θώρακα καὶ κράνος καὶ κνημῖδας καὶ ἀσπίδα καὶ ξίφος καὶ ἁπλῶς ἀχθοφορῶν τοῖς ὅπλοις τοῦ Σαοὺλ, ἀδύνατος ἦν πρὸς τὴν ἀντιπαράταξιν καὶ ἀναίρεσιν τοῦ ἀλλοφύλου· ἔσται οὖν σαφῶς, ἢ οὐκ ἄπειρος τὴν δύναμιν ὁ θεὸς λόγος, ἢ εἰ ἄπειρος, οὐκ ἀδύνατος· καὶ διὰ περατῆς φύσεως πάντα τὰ ἴδια πάντοτε ἐνεργεῖν· διόπερ οὐκ ἔστιν ἐκ τοῦδε τὴν καθ' ὑπόστασιν πρὸς τήνδε ἕνωσιν, ἀδύνατον παραστῆσαι.

XLIX. Ἡ σύνθεσις φησὶ ἣν φατὲ, ἢ φύσιν καινοτέραν ἐποίησε, καὶ τί μὴ καταδέχεσθε τοὺς μιξοφυσίτας; ἢ ὑπόστασιν νεωτέραν, καὶ διὰ τί ἡμᾶς ἀποσείεσθε; ἢ οὐδὲ φύσιν οὐδὲ ὑπόστασιν, καὶ μάτην γεγένηται. Ἀλλ' οὐκ ἀναγκαίως ὦ οὗτοι πᾶσα σύνθεσις, ἢ φύσιν ἢ ὑπόστασιν νεωτέραν ἐκτελεῖ· πυρωθεὶς γὰρ ὁ σίδηρος ἐν ἄνθραξιν, οὔτε φύσιν τινὰ ξένην ἐπιδείκνυται, οὔτε ὑπόστασιν νέαν· ἥ τε γὰρ τοῦ σιδήρου ὑπόστασις καὶ ἡ τῶν πυρίνων ἀνθράκων, ὁμοίως ἔχουσιν· ἀλλ' ἐν τῇ τοῦ σιδήρου ὑποστάσει, φύσις πυρὸς ἀνυπόστατος καθ' αὐτὴν οὖσα, συνετέθη τῇ φύσει τοῦ σιδήρου, συνυπόστατος αὐτῇ γενομένη· τί οὖν ἐποίησεν ἡ σύνθεσις καὶ ἐπὶ Χριστοῦ; οὐδὲν ἕτερον ἀλλ' ἢ τὰ πρώην ἀσύνθετα ἀλλήλοις, σύνθετα εἶναι κατὰ μίαν τὴν θατέρου τῶν συγκειμένων ὑπόστασιν· ὅπερ ἀρκεῖ πρὸς τὸ πάσης καταπλουτεῖν τῆς θείας φύσεως τὴν ἡμετέραν φύσιν.

L. Ἦ φυσική ἐστιν ἡ ἕνωσις αὕτη ἣν φατὲ τοῦ λόγου καὶ τῆς σαρκὸς, καὶ τίνι διαφέρεσθε πρὸς τοὺς λέγοντας ὁμοίαν πάντη εἶναι τοῦ ἀνθρώπου τὴν σύνθεσιν, καὶ τὴν Χριστοῦ; ἢ ὑποστατική ἐστι, καὶ πῶς ἡμῖν οὐ συμφθέγγεσθε ὡς ἀγαπητοῦ πρὸς ἀγαπῶντα ἐξαιρέτως ταύτην δοξάζουσιν; ἢ οὐδὲ φυσική ἐστιν οὐδὲ ὑποστατικὴ, καὶ τίς αὕτη εἶναι δοκεῖ ὑμῖν διασαφήσατε. Ἀλλ' ὦ σοφιστικοὶ κατὰ τὰ ἐξ ὑμῶν εἰρημένα, οὐδὲ φυσικὴ οὐδὲ ὑποστατικὴ· κατὰ δὲ τὰ εὐσεβῶς νοούμενα, καὶ φυσικὴ καὶ ὑποστατικὴ λέγοιτο ἂν ἡμῖν ὀρθῶς· δύο γὰρ οὐσῶν τῶν ὁμωνυμιῶν τῶνδε, ἐναλλὰξ θάτερον ἐκ θατέρας ὑπεκλέψατε τὸ εὐσεβέστερον τῶν σημαινομένων· λέγεται γὰρ φυσικὴ, ἡ ὡς κατὰ λόγον φύσεως οὖσα τῷ δέ τινι, οἷον

ἡ κοίμησις τοῦ Λαζάρου· οὐ γὰρ ὥσπερ ἡ ἀναβίωσις αὐτοῦ ὑπὲρ λόγον τῆς φύσεως αὐτοῦ, καὶ ἥδε ἣν λέγεται φυσικὴ, καὶ ἡ ὡς φύσεων τινῶν ἁπλῶς ἢ φύσεως οὖσα καὶ οὐ συμβεβηκότων· ὥσπερ ἡ κρᾶσις τοῦ ὀξυμέλιτος· οὐ γὰρ τὸ κατὰ λόγον φυσικὸν τούτων ἑκάτερον καὶ τῷ ἐξ ἀνάγκης ὑποκεῖσθαι τῇ πρὸς ἄλληλα κράσει· ὥσπερ τὸν Λάζαρον τῇ κοιμήσει τοῦ θανάτου, φυσικὴν φαμὲν καὶ τήνδε· τὸ γὰρ μέλι καὶ τὸ ὄξος, ὡσαύτως ἔχει ἀεὶ κἂν μὴ συντεθῶσι ποτὲ ὡς ὀξύμελι· Λάζαρος δὲ οὐκ ἔστι ζῶον θνητὸν, εἴπερ μὴ καὶ κοιμᾶσθαι μέλλοι ποτέ· ὡσαύτως δὲ καὶ ὑποστατικὴ ἡ μέν τις λέγεται μερῶν κατὰ λόγον ὑποστάσεως, ἡ δὲ ὡς ὑποστάσεων· φυσικὴν μὲν οὖν φαμὲν ἡμεῖς τὴν ἕνωσιν ἐπὶ Χριστοῦ, ὡς φύσεων ἡνωμένων κατ' αὐτόν· εἰ γὰρ λόγῳ φυσικῷ ταύτην εἴποιμεν, ἄρα γε τῆς αὐτῆς αὐτῷ φύσεως ὄντα ὅ,τε πατὴρ καὶ τὸ ἅγιον πνεῦμα, καὶ αὐτὰ ποτὲ σαρκὶ ἑνωθήσεται· ἀλλὰ καὶ πάντες οἱ ἄνθρωποι, εἰ φύσεως λόγῳ ἥνωται θεῷ ἡ ἀνθρωπότης, Χριστοὶ ἔσονται, Πιλάτος τὲ καὶ Ἡρώδης καὶ Ἄννας καὶ Καϊάφας ἐξ ἀνάγκης· ὥσπερ καὶ πάντες ὁμοίως, ἐκ φυσικοῦ λόγου θνήσκουσιν· ἔτι μὴν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προκόψας, ἐν τοῖς φυσικοῖς ἑαυτοῦ ὁ λόγος φανεῖται κατὰ τὴν σάρκωσιν, καὶ ἀτελεῖς ἔτι ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα συγκριθήσονται· ὧν τί ἀσεβέστερον; καὶ ὑποστατικὴν δὲ φαμὲν τὴν ἕνωσιν ἐπὶ Χριστοῦ· ἀνάπαλιν μέν τοι τῷ σημαινομένῳ ἡμῖν κατὰ τὴν φυσικήν· οὐ γὰρ ὡς ὑποστάσεων, ἀλλ' ὡς τοῦ λόγου οὖσαν τῆς ὑποστάσεως αὐτοῦ· ὥσπερ γὰρ ἰδίᾳ κρίνει τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς καὶ τοῦ πνεύματος τῶν ὁμοουσίων αὐτῷ ἡ γέννησις, καὶ τὸ αὐτολόγον εἶναι, καὶ τὰ τοιάδε, οὕτω καὶ ἡ σάρκωσις αὐτοῦ ἀναγκαίως αὐτὸν τούτων διαστέλλει καὶ οὐχ ἕτερον ἀπὸ τῶν ἀσάρκων ὁμοφυῶν αὐτῷ προσώπων· καὶ ἰδίωμα ἐπίκτητον μὲν, ἀχώριστον δὲ εἰσαεί· καὶ τόδε ἐν τῇ ὑποστάσει τοῦ λόγου καταφαίνεται. Ἀλλ' ἑτέραν τῆς ἀσεβείας ἀφορμὴν προσποιούμενοι, διὰ τὸ μὴ δύνασθαι ἰσότιμον εἶναι τῷ ὅλῳ θάτερον τῶν μερῶν, φασὶ παραιτεῖσθαι τὴν ἐπὶ Χριστοῦ σύνθεσιν τοῦ λόγου πρὸς τὴν σάρκα· λέγουσι γὰρ ἐπὶ λέξεως ταυτί.

Ἀνάγκη αὐτοὺς λέγειν τὸν Χριστὸν αὐτὸν, τοῦ θεοῦ κατὰ μόνας, LI.
καὶ τοῦ ἀνθρώπου κατὰ μόνας, τοῦτεστι τῶν οἰκείων μερῶν ἀνὰ μέρος καὶ καθ' ἑαυτὰ ἐπινοουμένων, ἢ κρείττονα εἶναι κατά τι, ἢ ἥττονα· τὰ γὰρ τῶν ἀποτελεσμάτων μέρη καθ' ἑαυτὰ, καὶ χωρὶς τῆς πρὸς ἄλληλα συνθέσεως ἐπινοούμενα, πάντως κατά τι ἢ κρείττονα ἢ ἥττονα εὑρίσκεται τοῦ ἐξ αὐτῶν ἀποτελέσματος· οἷον λίθοι καὶ ξύλα, μέρη οἴκου ἢ ναοῦ τοῦ ὑπὸ Σολομῶντος κτισθέντος· καὶ πρόδηλον ὅτι ἑκάτερον καθ' ἑαυτὸ, ἧττον τοῦ ὅλου οἴκου· πάλιν ὑάκινθος, πορφύρα, κόκκινον κεκλωσμένον, βύσσος νενησμένη μέρη τοῦ καταπετάσματος τῆς σκηνῆς· καὶ τούτων ἑκα-

στον κατὰ μόνας ἔλαττον προδήλως τοῦ καταπετάσματος· οὕτως καὶ ἐπὶ τοῦ ἀνθρώπου· κατὰ μὲν τοὺς χριστιανοὺς, κρείττων ὁ ἄνθρωπος αὐτὸ τοῦτο τὸ ὅλον ζῶον, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος· ἐπεὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σώματος, καὶ ἡ ψυχὴ πρὸς ἐνέργειαν αὐτοκίνητον, ἀδυνάτως ἔχει ὡς ἐν ὕπνῳ βαθυτάτῳ, καὶ μὴ δὲ ἑαυτὴν ἐπισταμένη διάγουσα· καὶ τῶν μετὰ τοῦ σώματος πράξεων κατὰ τὴν θείαν γραφὴν ἐκδεχομένη τὴν ἀμοιβὴν· ἅς τινας οὐκ ἐκφεύξεται τῷ χωρισμῷ τοῦ σώματος· οὐδὲ ἐπὶ τὸ χεῖρον τρεπομένη, ἵνα μὴ τὰ τῆς γραφῆς διαψευσθῇ.

Τούτοις δὲ ἕπεται, τῷ μὴ δὲ ἐπὶ τὸ κρεῖττον λέγω, μὴ δὲ ἐπὶ τὸ χεῖρον τρέπεσθαι· ἢ τὸ παντέλειον ἐκεῖνο καὶ τὸ παμμακάριον, τὸ προσδοκώμενον ἐν τῇ ἀναστάσει ἐνεῖναι τῇ φύσει ἤδη, ἢ τὸ πάντη ἡσυχάζειν τὸ λογικὸν, ἐπεὶ μηδὲν αὐτοπροαιρέτῳ βουλῇ κινούμενον μηδενὸς ἔχον ὅλως αἴσθησιν ἔστιν· ἀλλὰ τὸ πρότερον οὐδ' εἰσκεκόμισται· τοῦ θεοῦ κρεῖττόν τι προβλεψαμένου περὶ ἡμῶν, ἵνα μὴ χωρὶς ἡμῶν οἱ πρότεροι τελειωθῶσι· τὸ δεύτερον ἄρα ἐστί· καθ' ἡμᾶς οὖν τοὺς χριστιανοὺς οὐ κρείττων ὁ ἄνθρωπος τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ θεωρουμένων δείκνυται· κατὰ δὲ τοὺς ἕλληνας καὶ τοὺς μανιχαίους τοῦ μὲν σώματος, κρείττων ὁ ἄνθρωπος· τῆς δὲ ψυχῆς, ἥττων τούτῳ τῷ λόγῳ· τὴν μὲν γὰρ ψυχὴν καὶ προϋπάρχειν οἴδασι τοῦ σώματος, ἀνενδεῆ τε τῶν τοῦ σώματος αἰσθήσεων, καὶ πρὸ τῆς εἰς τὸ σῶμα καταπτώσεως ὡς φασὶ μηδὲν ἀγνοοῦσαν· ἀλλὰ καὶ μετὰ τὴν ἐκ τούτου ἔξοδον ὡσαύτως· ὅθεν καὶ ἥττονα οἴδασιν αὐτῆς τὸν ἄνθρωπον· ἐπεὶ καὶ αὐτὴν ἑαυτῆς χείρονα λέγουσι γενέσθαι διὰ τῆς ἐν τῷ σώματι φυλακῆς ὡς φασί· τοῦ δὲ σώματος νεκροῦ θεωρουμένου μετὰ τὴν διάζευξιν τῆς ψυχῆς, πρόδηλον ὅτι κρείττων ὁ ἄνθρωπος· ἐπεὶ καὶ αὐτὸ τὸ σῶμα κρεῖττον ἑαυτοῦ θεωρεῖται πρὸ τοῦ χωρισμοῦ τοῦ ἐκ τῆς ψυχῆς· ὡς πρὸς τὸ μετὰ τὸ χωρισθῆναι τῆς ψυχῆς συνέστηκεν ἄρα, ὡς ὅτι τὸ ἀποτέλεσμα τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ θεωρουμένων, ἢ κρεῖττόν ἐστι κατά τι, ἢ ἧττον· ὅθεν ἀνάγκη λέγειν καὶ τούτοις, τὸν Χριστὸν αὐτῶν, ἢ ἥττονα εἶναι, ἢ κρείττονα κατά τι τῶν οἰκείων μερῶν καθ' ἑαυτὰ, ἐπινοουμένων· εἰ ὅλως ἓν ζῶον ἐστὶ κατ' αὐτοὺς ὁ Χριστὸς, ἐκ θεοῦ καὶ ἀνθρώπου ἀποτελεσθέν· ἀλλ' εἰ μὲν κρείττονα, εἴποιεν, δεδώκασι τὸ ἀσεβὲς, τελειότερόν τι τοῦ θεοῦ φανταζόμενοι εἶναι ὅπερ καὶ τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἀνάγκη λέγειν αὐτοὺς ὑπέρτατον· εἰ γὰρ τὸ κατ' αὐτοὺς ἐκ θεοῦ λόγου καὶ σαρκὸς ζῶον, κρεῖττον κατά τι τοῦ θεοῦ λόγου καθ' ἑαυτὸν νοουμένου, τοῦτο αὐτὸ κρεῖττον δηλονότι καὶ τοῦ πατρὸς καὶ τοῦ πνεύματος μὴ συγκειμένων τῇ σαρκί· ἐπείπερ ἴσος ὁ υἱὸς τῷ πατρὶ καὶ τῷ πνεύματι· καὶ ὁ τούτου κρείττων κατά τι, σαφὲς ὅτι καὶ τοῦ πατρὸς καὶ τοῦ πνεύματος τοῦ ἁγίου· εἰ δὲ ἧττον εἴ-

ποιεν τουτὶ τὸ ζῶον τοῦ θεοῦ λόγου καθ' ἑαυτὸν θεωρουμένου, καὶ οὕτως ἀσεβοῦσι· τὸν θεὸν γὰρ λόγον ἥττονα ἑαυτοῦ δεικνύουσι γεγενῆσθαι κατὰ τὸν τῶν ἑλλήνων καὶ μανιχαίων περὶ τῆς ψυχῆς μῦθον· οὐκ ἂν γὰρ τὸ ἐκ θεοῦ καὶ σαρκὸς ζῶον, ἧττον ηὑρίσκετε τοῦ θεοῦ κατὰ μόνας, εἰ μὴ πρότερον αὐτὸς ὁ θεὸς λόγος ἥττων ἑαυτοῦ γέγονεν.

Εἴποιμεν οὖν πρὸς τάδε, ὅτι ὄντως τὰ ἐκ μερῶν ἀποτελέσματα, ἢ κρείττονα ἢ χείρονα τῶν ἀποτελεσάντων ἑκάστου ἰδίᾳ θεωρεῖται· ἀλλὰ πρόδηλον, ὡς τόδε οὐχ' ἁπλῶς, ἀλλ' ἐφ' ὧν διαφόρων ὄντων κατὰ φύσιν τῶν μερῶν, καὶ ἡ σύνθεσις, κατὰ τροπὴν καὶ φυρμὸν καὶ κρᾶσιν τινὰ, ποιεῖ τὸ ἐξ αὐτῶν ἀποτέλεσμα· εἰ μέν τοι ἡ σύνθεσις οὐ τοιάδε, ἤγουν οὐ συγχυτικὴ καὶ ἀλλοιωτικὴ τῶν συνελθόντων διαφόρων, οὔτε δὲ αἱ φύσεις εἰς ἀλλήλας συγχεῖσθαι δύνανται ἢ τρέπεσθαι, πῶς ἐντεῦθεν χεῖρον ἢ κρεῖττον τὸ ὅλον θατέρου τῶν μερῶν κριθήσεται; ἔσται δὲ σαφὲς μᾶλλον ἐκ παραδείγματος τὸ λεγόμενον· εἰ γὰρ τυχὸν λιτραῖον σκεῦος ἀργύρου, καὶ λιτραῖον σκεῦος μολίβδου τὶς καταχωνεύσας ποιήσει σκεῦος ἐξ ἀμφοῖν, δῆλον ὡς ἀργύρου μὲν ἧττον, κρεῖττον δὲ μολίβδου οἷα κασσίτηρος φανεῖται· πέφυκε γὰρ τάδε διά τινα φυσικὴν εὐπάθειαν καὶ συγγένειαν, ἀλλήλοις προσμεταβάλλεσθαι· εἰ δὲ λιτραῖον σκεῦος χρυσίου, λιτραίῳ σκεύει πηλίνῳ τυχὸν συνάψει τὶς, ἢ περιπλάσας θατέρῳ θάτερον ἐφ' ὁσονοῦν συμπυρώσει, ἐπεὶ μὴ πέφυκε χρυσίῳ πηλὸς κατὰ κρᾶσιν φύρεσθαι, οὐκ ἔσται τόδε τὸ ἐκ πηλοῦ καὶ χρυσίου ἀποτέλεσμα ποτὲ κρεῖττον χρυσίου κατὰ τὸ οὐσιῶδες ποιόν· ἰδοὺ γὰρ ἀμεταβλήτως καὶ ἐν τῇ περιθέσει καὶ ἐν τῇ ἑνώσει τοῦ πηλοῦ, τὸ χρυσίον ἁγνὸν ἐροῦμεν ὂν καὶ ἀκίβδηλον, οὐδὲν διοίσει χρυσίου γυμνοῦ κατὰ τὴν φύσιν· ἡ γὰρ περίθεσις τοῦ πηλοῦ οὐκ ἀναπείθει σώφρονα νοῦν, βεβλάφθαι εἰς φύσιν τὸν χρυσὸν, ἅπαξ διεγνωσμένον τὴν φύσιν εἶναι πρὸς τὰ χείρονα ἀμετάτρεπτον· ἀλλ' οὐδὲ πάλιν κρείττονα εἶναι γυμνοῦ χρυσίου διὰ τὴν περίθεσιν τοῦ πηλοῦ τὶς αὐτὸν λογίσεται· τὸ γὰρ ἅπαξ κρεῖττον, ἐπὶ τῇ προσλήψει τοῦ χείρονος ἑαυτοῦ πώποτε φανήσεται· καὶ γὰρ τόδε καὶ λέγειν μάταιον· ἀλλ' οὕτω μὲν τάδε.

Τῆς δὲ ἀποφάσεως ὑμῶν ὅμως ἢ κρεῖττον ἢ ἧττον ὁρᾶσθαι πρὸς τὰ ἴδια μέρη τὸ ἀποτέλεσμα λεγούσης, τὰ παραδείγματα ὑμῖν ἄλλό τι βούλονται παρὰ τὸ εἰρημένων· πάντως γὰρ κρεῖττον εἶναι πᾶν σύνθετον τῶν εἰς αὐτὸ συνελθόντων μερῶν φησί· λίθων τε γὰρ καὶ ξύλων κρείττονα τὸν οἶκον, καὶ πορφύρας καὶ κοκκίνου καὶ βύσσου τὸ καταπέτασμα, καὶ ψυχῆς καὶ σώματος τὸν ἄνθρωπον φησί· συγχωρητέον οὖν ὑμῖν καὶ τόδε· εἶτα ῥητέον ὡς ἔστιν ὄντως καὶ τοῦτο ἀληθὲς ἐπὶ τινῶν· ἀλλ' οὐκ ἴστε ὅπως ἐστὶν, εἰ καὶ ὅτι ἐστὶ, οὐκ οἶδα πῶς ἔγνωτε· τότε γὰρ κρεῖττόν ἑα-

τι τὸ ὅλον τῶν οἰκείων μερῶν ἑκάστου, ὅτε ἐπὶ τῇ συνθέσει καὶ ἕτερόν τι αὐτοῖς σχῆμα, ἢ ποιὸν, ἢ εἶδός τι ἐπιγίνεται· ἐν οὐδενὶ αὐτῶν ἦν ἢ ἔστιν, ἀλλὰ καὶ κατὰ πρόσθεσιν παρὰ τὰ τῶν μερῶν εἴδη πάντα ὁρᾶται· τῷδε οὖν πλεονεκτεῖ ὁ οἶκος ὑπὲρ τὴν τῶν λίθων καὶ ξύλων φύσιν τὸ σχῆμα ἔχων, καὶ τοιάνδε θέσιν, ἣν οὐδὲ ξύλον οὐδὲ λίθος ἰδίᾳ· οὐ μέν τοι κρείττονα ἑτέραν φύσιν οὐδὲ οὗτος ἔχει· ὁμοίως δὲ καὶ τὸ καταπέτασμα, πλοκῇ καὶ συνθέσει τῶνδε τῶν χρωμάτων πρὸς ἄλληλα ὑπερέχει τῶν καθ' αὐτὰ ἀσυνθέτων ἑκάστου· οὐ γὰρ χρώματος ἁπλοῦ λόγῳ κρεῖττόν ἐστι τῶν ἰδίων πάντων χρωμάτων· καὶ ὁ ἄνθρωπος δὲ ἵνα καὶ δοθῇ ὑμῖν κρείττων ψυχῆς τοῖς διὰ τὴν τῶν οἰκείων δογμάτων σύστασιν πάντα ὡς ἔτυχε προομολογοῦσιν, ἐπὶ τῇ συνθέσει καινοτέρας τινὰς παρὰ ψυχήν τε καὶ σῶμα ἰδιότητας φυσικὰς προΐσχεται· εἰ οὖν καὶ τοῦ λόγου καὶ τῆς σαρκὸς συντεθείσης ἔστιν ἀληθῶς, τί ἰδεῖν καινότερον ἰδίωμα φύσεως καὶ ἐν Χριστῷ παρὰ τὰ θεῖα καὶ ἀνθρώπινα, δέοντος ἂν καθ' ὑμᾶς κρεῖττον τῶν μερῶν καὶ τὸ κατ' αὐτὸν ἀποτέλεσμα ἐροῦμεν; εἰ δὲ οὐδὲν πλὴν τῶν αὐτῶν ὁρᾶται μερῶν, πῶς ἐπὶ τοῖς αὐτοῖς οὐ τὸ ἰσότιμον δοξάσομεν, ἀλλὰ τὸ κρεῖττον τοῦ ὅλου πρὸς τὰ μέρη τὰ αὐτοῦ;

LII. Ἀλλ' ἵνα συνήθως καὶ ἑτεράττα ἴσως δυνάμενα ἐπινοηθῆναι τοῖς ἀντιλέγουσι, πάντα προλαβόντες ἡμεῖς γυμνάσωμεν· ἀληθείας γὰρ ἡμῖν ἐκ παντὸς καὶ οὐ νίκης πάντως ἡ ἔφεσις, καὶ τάδε πρὸς τοῖσδε εἰπεῖν μὴ παραλείψωμεν· τὸ ἐξ ἀνομοιομερῶν ὅλον συνιστάμενον, ἕτερόν πως τῶν ἰδίων μερῶν ἐστι τῷ τε συνθετωτέρῳ καὶ ποικιλωτέρῳ καὶ τελειοτέρῳ, καὶ παραλλάττον τι πρὸς ἑκάτερα μέρη τοῦ ἁπλῶς, διαφοράν τινα πρὸς τὰ οἰκεῖα μέρη κτησάμενον· καθάπερ ἐν φαρμάκῳ καὶ οἴκῳ καὶ μύδρῳ καὶ ἀνθρώπῳ ὁρῶμεν· τῷ τε γὰρ ἐκ χαλκιτέως καὶ ἐλαίου συνθέματι, τρέφουσα τὰ κοῖλα τῶν ἑλκῶν προσμαρτυρεῖται δύναμις, ἥν περ οὐδέτερον τῶν κατ' αὐτὸ μερῶν εἶχε κατὰ φύσιν· ὁμοίως τε τὸ τοῦ οἴκου σχῆμα καὶ εἶδος, τοῦ τε τῶν ἐν αὐτῷ λίθων καὶ ξύλων παρήλλακται· ἐπεισῆκται γὰρ τούτοις καὶ τόδε τοῦδε ἀνθρώπου ὁ ὅρος, τοῦ τε σώματος καὶ τοῦ τῆς ψυχῆς ὅρου πλεῖόν τι δείκνυσιν, οἷον τὸ θνητὸν, ὅπερ οὐδενὶ τῶν κατ' αὐτὸ μερῶν ἰδίᾳ προσάπτεται· ὥσπερ οὐδὲ τὸ γελαστικὸν, ἢ κλαυστικὸν, καὶ τὰ τοιάδε αὐτοῦ ἴδια· δῆλον δὲ ὅτι καὶ πρὸς τὰ τῶν μερῶν αὐτοῦ ἰδιαζόντως ὁμοούσια, ἤγουν τὰς ἄλλας ψυχὰς ἰδίᾳ καὶ σώματα, ἀναγκαίως παραλλάσσοι ἂν ὁ τοῦ ὅλου αὐτοῦ ἀνθρώπου ὅρος καὶ λόγος· ἐξ ἀνάγκης δὲ καὶ ὁ ἀριθμός· ἀριθμητὸν γὰρ πάντως τί ἐστιν, εἴ γε ὁπωσοῦν ἐστι τὶ τὸ ὅλον λεγόμενον· εἰ οὖν μέρη τε λέγετε καὶ ὅλον ἐπὶ Χριστοῦ, καθὼς τινὲς ὑμῶν ἀπεφάνθησαν, φαῖεν ἂν ἔσται πρῶτον μὲν θεότητός τε οὔσης καὶ ἀνθρωπότητος τῶν μερῶν τὸ ὅλον ἕτερόν τι παρὰ

ταύτας δεικνύμενον ἡμῖν· εἶτα δὲ, οὔτε δύναιτο ἂν, κατὰ τὸν τοῦ ὅλου ὅρον ὡς ὁμοουσίοις συντάττεσθαι τοῖς τῶν μερῶν ὁμοουσίοις, οὔτε τῷ πατρὶ οὔτε τῇ μητρὶ ὁ κύριος ὅμοιος ἔσται φύσει, κατὰ τὸ ὅλον ἑαυτοῦ, ἀλλ' οὐδὲ τῷ τῆς θείας τριάδος ἀριθμῷ κατὰ τὸν τοῦ ὅλου ὡς ὅλου ἀριθμητοῦ λόγον, συλλογίζοιτο ἂν, εἰ μὴ τετράδα ποιεῖ· οὔτε δὲ ὁμοούσιον ἔτι ταύτην ἑαυτῇ πάντη συναριθμούμενος δείξει· ἀλλ' οὐδὲ τῷ τῆς ἀνθρωπείας πληθύος καταλόγῳ εἰ συναριθμοῖτο, ὁμοούσιον ἕξει πᾶν τόδε διὰ τὰ αὐτά.

Ἀλλ' ἴστωσαν, καὶ εἰ ταῦτα ἡμῖν συνάγοιεν, πρῶτον μὲν τοὺς καθ' ἡμᾶς πατέρας τούτοις χρήσασθαι τοῖς ὀνόμασιν, ἤγουν μερῶν καὶ ὅλου, ἐπὶ τοῦ δεσπότου ἡμῶν Χριστοῦ, διὰ συνθέσεως παράστασιν μόνην, καὶ ἀποβολὴν πάσης ἐμφάσεως, τῶν καθ' ἑτέρους τρόπους λεγομένων ἑνώσεων· ἔτι μέν τοι, καὶ διὰ τὸ ἑκατέρου τῶν ἐν Χριστῷ λεγομένων εἶναι, ἀληθῆ τε φύσιν εἶναι καὶ εὐδόκησιν, καὶ πρὸς φυσικὴν ἕνωσιν συνδεδραμηκέναι, ὡς ἄμφω τὰς οὐσίας συμπληροῦν τὲ καὶ ὑφιστάνειν Χριστῷ οὕτως, ὥσπερ καὶ τὰ μέρη φυσικῶς τὸ ὅλον ἀπαρτίζουσιν· ἔτι δὲ καὶ τῷ μὴ διδόναι χώραν ὑποψίας τινὶ, ἕτερον ἑτέρου ψιλὸν τῶν ἐν Χριστῷ ποτὲ εἶναι διαλογίζεσθαι, ὥσπερ οὐδὲ ἄνευ ἀλλήλων τὰ μέρη, σωζομένου τοῦ ὅλου, ποτὲ ἰδεῖν ἐστιν· ἀλλ' ὥσπερ σύνθεσίν τε, καὶ ὅλον, καὶ ἀνάκρασιν, καὶ τὰ τοιαῦτα λέγοντες, εἰς ὅσον ἔχοι μόνον ἕκαστος λόγος ἀδιάβλητον ἐπὶ Χριστοῦ, ταῦτα φασὶ· παρεπόμενόν τι τούτοις εἰ ἀπεμφαίνοι, μὴ καταδεχόμενοι σὺν αὐτοῖς περὶ αὐτοῦ λογίζεσθαι· κρᾶσιν τὲ γὰρ λέγοντες, μόνον τὸ πᾶν κατὰ παντὸς εἶναι τῶν ἑνωθέντων σημαίνειν βούλονται, τὴν ἑπομένην ταύτην σύγχυσιν καὶ τῶν ποιοτήτων τὴν ἀντίστασιν, καὶ τὴν ὑπ' ἀλλήλων τῶν μιγνυμένων ἔκλυσίν τε καὶ ἀλλοίωσιν οὐ παραδεχόμενοι· καὶ οὐ μόνον ἐπὶ Χριστοῦ, ἀλλ' οὐδ' ἐπὶ τῆς κατὰ σῶμα καὶ ψυχὴν ἑνώσεως τάδε προσιέμενοι· οὕτως γὰρ καὶ ὅτι οὐδὲν ἑαυτὸ μέρος συντίθησιν εἰδότες, οὐκ ἤδη καὶ ὑφ' ἑτέρου συντεθῆναι τὸν λόγον τῇ σαρκὶ φρονοῦσιν· ἐπεὶ σύνθεσιν μερῶν ὀνομάζουσι καὶ ἁπλῶς πᾶν τὸ μὴ προσῆκον ἐπὶ τῆς θείας οἰκονομίας, ἀποσκευάζονται μόνον τὸ ἀδιάβλητον τῶν λεγομένων, πρὸς σαφήνειαν τοῦ δυσδιαγνώστου λίαν θείου μυστηρίου ἐφελκόμενοι, διὰ τὴν χρείαν τῆς τοῦ ἀκαταλήπτου λόγου ὑποτυπώσεως· ἵνα μὴ ἀστήρικτος ἡμῖν ὁ νοῦς ὢν, αὐτονομῇ φανταζόμενος τὰ περὶ τοῦδε· καὶ πολλάκις πρὸς τὰ πάντη ἀπεμφαίνοντα περὶ τῆς οἰκονομίας παρατρέπηται, καὶ ἀσεβείας ἑαυτῷ ἀναπλάττηται· κἂν τοῖς γὰρ κοινοτέροις πολλάκις ἔκ τινος μεταφράσεως ἢ ἀναλογίας ἢ μερικῆς ὁμοιώσεως ὀνομάζομέν τινα· καὶ οὐ διὰ τόδε, καὶ πάντα τὰ ἑπόμενα τούτοις, συνεκδεχόμεθα· οὐ γὰρ ἐπεὶ τὸν ἀπὸ σκυθρωποῦ εὐδιώτερον ἀέρα γινόμενον γελάσαι φαμὲν, ἤδη καὶ

ζῶον γελαστικὸν τὸ στοιχεῖον εἶναι ἐγνώκαμεν· πλὴν εἰ καὶ πάντα συμβαίνειν ἀνάγκη τὰ ἑπόμενα ὅποι λέγοιτό τι τῶν αὐτῶν ὀνομάτων, ἀλλ' ἐπὶ Χριστοῦ ταῦτα ἀναγκαίως οὐχ ἕψεται· ἐκ θεοῦ γὰρ λόγου ἀνθρωπείας φύσεως ὁμολογουμένης αὐτοῦ τῆς συνθέσεως, εἴγε ἐκ τοιῶνδε ἀληθῶς εἶναι τῶν μερῶν δοθείη, τὸ κατ' αὐτὸν ὅλον, καὶ σύνθετον εἶναι κωλύσει πάντως τὰ τοιαῦτα παρακολουθήματα· ἀπαράδεκτον γὰρ τὸ θεῖον παντὸς ἀτόπου· καὶ ἐν τοῖς αὐτοῖς τισιν εἶναι τῶν καθ' ἡμᾶς λεγομένων, ἀσυγκρίτως ἔχειν ἐν τούτοις πρὸς ἡμᾶς ὡμολόγηται· εἰ γὰρ καὶ γέννησις λέγεται ἐπ' αὐτοῦ, ἀλλ' οὐχὶ καὶ τὰ ἑπόμενα ταῖς καθ' ἡμᾶς γεννήσεσι· καὶ ἐν τῷδε οὐδὲ τὸ ὁμοούσιον τῶν ὑποστάσεων τοῦδε, οὔτε τὸ τελειοπρόσωπον τῶν ἰδικῶν δυνάμεων, ὅμοιον ἡμῖν, οὐδὲ τὰ λοιπὰ ἐξαίρετα.

Πλὴν ἀλλὰ καὶ τούτων ὁμολογουμένων ὡς οὐκ ἔστιν ἐξ ὅλου καὶ μερῶν ἐπὶ Χριστοῦ εἰρημένων, ἀκολούθως τὶ ὅμοιον ἡμῖν ἐπαγέσθαι, διανοητέον καὶ τάδε· πρῶτον μὲν γὰρ τὸ λεχθὲν συμβαίνειν ἐπὶ τοῦ ἐκ μερῶν ὅλου γινομένου, δῆλον· ὡς εἰ καὶ κατὰ τὸ εἶδος οὖσιν ἀνομοίοις τοῖς μέρεσι συμβαίνει τῷ ὅλῳ τῷδε, ἀλλὰ πάντως κατά τι προσεχὲς ἢ πορρωτέρω γένος ὁμογενὲς τυγχάνουσι· διὸ δὴ καὶ πρὸς σύνθεσιν εἴδους κοινοῦ, οὐκ ἀλλοτρίως ἔσχεν ἂν πρὸς ἄλληλα πάντῃ· ἅτε κοινωνίαν τινὰ φυσικὴν ἔχειν κατά τι γένος· ἡ δὲ ἐπὶ τοῦ δεσπότου ἡμῶν ἕνωσις, ἐκ τῶν πάντῃ ἀνομογενῶν ἐστι· τὶ γὰρ κυρίως οὐσιῶν γένος· εἰ δὲ καὶ γένος, οὐσίας ἐστὶ, τὶ γένος οὐσίας τῆς θείας αὐτῆς, μετὰ καὶ τῆς ἀνθρωπείας εἶναι δοθήσεται· ἵνα διά τινα φυσικὴν συγγένειαν, καὶ ὅλου τινὸς φύσιν, συγκιρνάμενα ποιήσοι τάδε· πῶς οὖν τῷ συμβαίνοντι τῇ τῶν ὁμογενῶν μερῶν συνθέσει τὴν τῶν ἀνομογενῶν ὑπαγάγοιεν σύνθεσιν; καὶ ὡς ἀναγκαῖον ἡμῖν συναγάγοιεν, τὸ δεῖν πάντως ἔσεσθαι τοῖσδε τοῖς ἀνομογενέσι Χριστοῦ μέρεσιν, ἐκεῖνο ὃ τοῖς ὁμογενέσιν ἑπόμενον καθορᾶται, ἤγουν ὁλότητα τινὰ ἑτέραν; ἀλλ' εἰ μὲν ἄλλοθεν τὸ μὴ γενέσθαι φυσικὴν σύνθεσιν καθ' ὑπόστασιν ἐπιδεῖξαι τοῦτο ἤδη ἀναγκαίως κατασκευάσετε, εἴποιμεν αὐτοῖς· εἰ δέ γε ὑποθετικῶς τὴν σύνθεσιν ἡμῖν ὅλως θεοῦ πρός τι συγχωρεῖτε, οὐκ ἐξ ἀνάγκης λοιπὸν τὰ ἑπόμενα συνθέσει ἐπαγάγοιτε· ἢ διὰ τὸ μὴ τοιάνδε εἶναι αὐτὴν οἵαν ἴστε γινομένην ἐπὶ τοῖς μὴ τοιοῖσδε οὖσιν, ἤγουν θείοις καὶ ἀνθρωπίνοις μέρεσιν· ἤδη καὶ ταύτην ἀνατρέψετε· ὧν γὰρ αἱ φύσεις οὐχ' αἱ αὐταὶ κατὰ πάντα, οὐδὲ ἡ φυσικὴ σχέσις ὁμοία κατὰ πάντα, οὐδὲ ἡ σύνθεσις ἡ αὐτὴ δηλαδὴ γενήσεται.

Ἔτι ῥητέον ὅτι εἰ καὶ πᾶσα σύνθεσις, ἕτερον καθὼς δὲ εἰρήκατε, παρὰ τῶν μερῶν ε ἴδη ἐπεισάγει τῷ ὅλῳ εἶδος, προωμολόγηται ὅμως ἡμῖν τοῦ νῦν ἀνακρινομένου συνθέτου ἓν εἶναι μέρος τὸ θεῖον, ὃ ὁ παντὸς εἴδους ποιητικός ἐστι θεῖος λόγος· εἰ οὖν τὶ ἕτερον αὐτῷ τὲ καὶ τῷ σὺν αὐτῷ

ὄντι ὡς μέρεσιν ἐπιγένοιτο εἶδος ὅλου τινὸς, ἢ αὐτὸν ἀνάγκη τοῦτο προβάλλεσθαι εἰδοποιὸν δεδομένον καθολικὸν καὶ συνωμολογημένον κοινῶς, ἢ ἕτερον τινά· τὸ γὰρ γινόμενον πᾶν, δῆλον ὡς οὐχ' ἑαυτὸ ποιήσει μήπω ὂν, ἀλλ' ὑπό τινος ἐγένετο, εἴπέρ ἐστιν· εἰ δὲ μὴ ἐγένετο, οὐδὲ ἔστιν· ὑφ' ἑτέρου μὲν οὖν οὐκ ἂν γένοιτό τινος· μόνος γὰρ εἶναι οὐσιαστὴς καὶ φυσικὸς εἰδοποιὸς ὁ ὑποβληθεὶς ὡς μέρος τῷδε τῷ ὅλῳ, ὡμολόγηται ἡμῖν πᾶσιν· εἰ δὲ ὑπ' αὐτοῦ τόδε γέγονέ πως ὡς ὅλον τι, καὶ ὑπὸ τοῦ ποιοῦντος αὐτὸ ὡς ἐξ ἰδίου μέρους γινόμενον εἴη τὸ ποίημα· ἔσται γὰρ ἂν οὕτως, ὡς μέρος ἐν τῷ ὅλῳ περιεχόμενον τὸ αἴτιον ὑπὸ τοῦ αἰτιατοῦ, ὅπερ ἀδύνατον· ἐπεὶ οὖν τάδε ἀδύνατα, δῆλον ὡς οὐ κυρίως λέγεται· ἀλλὰ τὸ προαγαγὸν τὴν λεγομένην Χριστοῦ ὁλότητα μέρος, αὐτό ἐστιν ὃ σύγκειται ἑτέρῳ· ἤγουν ὁ λόγος τῇ σαρκί· ἔκ τε τῆς οὐσίας αὐτοῦ, καὶ ἐν τῇ ὑποστάσει αὐτοῦ, ἅμα τῷ σὺν αὐτῷ μέρει, ἤγουν τῆς σαρκικῆς οὐσίας ταύτην συνιστῶν τὴν ὁλότητα· οὐδὲν πλέον ἢ ἔλαττον ἐπιδεικνύμενος ἑαυτοῦ καὶ τοῦ σὺν αὐτῷ ἐν αὐτῇ· ἡ γὰρ εἰδοποιὸς δύναμις, ἑαυτὴν ὡς εἰπεῖν οὐχ' ἑτέρῳ ἀλλ' αὐτῷ τῷ συντεθέντι σὺν αὐτῇ μέρει, εἰς εἶδος κεχάρισται· ἀνθρωπιζομένη τε διὰ τοῦδε, καὶ θεοῦσα τόδε κατ' αὐτὴν δι' ἑαυτῆς, καὶ οὐχ' ἕτερον κρεῖττον, καὶ ἑαυτῆς καὶ ἐκείνου ποιῆσαι ἔχουσα εἶδος· πῶς οὖν ἕτερον ἔσται τὶ φαινόμενον ὅλον ἐν Χριστῷ κατ' οὐσίαν παρ' ἑκάτερα; οὐκοῦν σαφὲς κἀντεῦθεν γεγένηται, ὡς τοιοῦδε προωμολογημένου εἰδοποιοῦ λόγου θείου, τοῦ συντεθειμένου μέρους, ταυτὸν τῇ φύσει καὶ τῷ ἀριθμῷ ἔσται καὶ τὸ κατὰ διάφορον ἐπίνοιαν ὀνομασθὲν ὅλον τὸ σύνθετον· κἂν μέρος ἐν αὐτῷ ὁ λόγος εἴρηται εἶναι τοῖς πατράσιν· καὶ τοῦ αὐτοῦ κατηγορηθήσεται Χριστοῦ, καθ' οὗ καὶ τὸ μέρος καὶ τὸ ὅλον· ὡς θεοῦ ἑκατέρως νοουμένου ὡσαύτως τελείου· εἰ καὶ ποτὲ μὲν διὰ τὴν σημασίαν τὴν περὶ ἑκατέρου τῶν ἐν τῷ συνθέτῳ, ὅλον τὸ συναμφότερον, μέρος δὲ θάτερον μόνον τῶν αὐτοῦ εἴρηται.

Οὐκ ὀρθῶς οὖν ἡμῖν συνάγετε τὸ ἑτεροούσιον τοῦ ὅλου πρὸς τὰ μέρη διὰ τὴν σύνθεσιν· καὶ νεώτερον ἀριθμὸν καθορᾶτε· εἰ γὰρ καὶ ὡς λεκτὸν ἀριθμητόν ἐστι τόδε τὸ ὅλον τοῦ σημαινομένου τῆς συνθέσεως πάσης, ὡς ὅλου λεγομένου τισὶν, οὐ προσθήσει τῷ ἀριθμῷ τῶν ὁμοουσίων καὶ ὑπαρκτῶν μερῶν· οὐδὲ γὰρ ἐπεὶ κατὰ διαφόρους ἐπινοίας περὶ τοῦ αὐτοῦ συμβέβηκε πολυωνυμία ποτὲ καὶ πλῆθύς ἐστιν ἀριθμοῦ τῶν κατὰ τοῦ αὐτοῦ ἑνὸς πράγματος λεγομένων ὀνομάτων· οἷον Σίμων, Πέτρος, Κηφᾶς, Βὰρ Ἰωνᾶ, ἀπόστολος, μαθητής τε τοῦ κυρίου, καὶ διδάσκαλος τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ἤδη διὰ τόδε, καὶ τοῦ ὑποκειμένου αὐτοῦ καὶ ὀνομαζομένου ἑνὸς ἀνθρώπου τὸν ἀριθμὸν εἰς οὐσίας ἢ ὑποστάσεις συμπληθύνεσθαι νοητέον, οὐδὲ διαφέρειν ἑαυτοῦ κατὰ τὸν φυσικὸν ἢ ὑποστα-

τικὸν ἀριθμόν· οὕτως ὥσπερ ἡ τοῦ μαθητοῦ καὶ διδασκάλου ἐν τοῖς διαφόροις ὁμολογουμένως ὑποκειμένοις ὀνομάτων αὐτοῦ διενήνοχε σημασία· πρὸς τούτοις δὲ φαμὲν, καὶ ὥστε μέρος τὸ συντεθὲν ἤγουν ὁ θεῖος λόγος· ἐπεὶ δέδοται ἀκρότατον ὑπεροχικῶς εἶναι κατὰ τελειότητα, εὐδοκῆσαν συντεθῆναι μεῖζον μὲν ἢ τελειότερον ἑαυτοῦ ὅλον, οὐκ ἂν συστήσεται πώποτε· εἴγε ἀληθῶς παντέλειον εἶναι μεμαρτύρηται, διὰ τὸν τῆς φύσεως ἑαυτοῦ λόγον· ἀλλ' οὐδὲ μεῖον ἑαυτοῦ ποιήσει τι εἶναι τὸ οἰκεῖον ὅλον διὰ τὸν πάσης συνθέσεως λόγον· μείζονα γὰρ τόγε ἐπ' αὐτοῖς οὐκ ἐλάττονα δέποτε δείκνυται τῶν μερῶν τὰ οἰκεῖα ὅλα· εἰ δὲ μήτε μεῖζον αὐτοῦ τὸ τοῦ λόγου ὅλον, διὰ τὴν φύσιν αὐτοῦ τοῦδε τοῦ μέρους, μήτε δὲ ἧττον, διὰ τὸν τῆς συνθέσεως ἁπλῶς λόγον δεῖ εἶναι, ἑαυτὸν ἄρα ἕξει ὅλον τὸ ὁλοποιὸν αὐτοῦ μέρος· ὃ καὶ ἐξ ἀνάγκης ἴσον τῷ ἰδίῳ μέρει ἔσται καὶ οἰκεῖον αὐτοῦ ὅλου λεγόμενον· πῶς οὖν ὅλου ἑτερότητα πρὸς τὰ μέρη καὶ ἐνὶ τῆς κατὰ τὸν δεσπότην ἡμῶν Χριστὸν οἰκονομίας συλλογίζεσθαι ἂν εἴη; ἔτι δὲ φαμὲν ὡς εἰ πᾶν ἁπλοῦν ἐν τῷ συνθέτῳ, καὶ πᾶν μέρος ἐν τῷ ἰδίῳ ὅλῳ δεῖ εἶναι· πᾶν δὲ ὂν καὶ γινόμενον, ἐν μέρει ἐστὶ τούτῳ, ἤγουν τῷ θείῳ λόγῳ, πῶς ἔσται τὶ τὸ κατ' αὐτὸ ἕτερον αὐτοῦ σύνθετον, καὶ ὅλον τὶ καθολικώτερον αὐτοῦ; ἵνα ὑπὸ τοῦδε περιέχοιτο αὐτὸς ὁ λόγος ὁ πάντα περιέχων· αὐτὸς γάρ ἐστι τὸ πλήρωμα τὸ τὰ πάντα ἐν πᾶσι πληρούμενον.

# LIBER II.

## Δευτέρας ἀσεβείας αὐτῶν ἔλεγχος λεγόντων δύο καὶ οὐ μίαν τὴν ὑπόστασιν ἐκ τῆς κατὰ τὴν σάρκωσιν τοῦ λόγου οἰκονομίας ὁρᾶσθαι.

1. Σημαίνει φασὶν ἡ ὑπόστασις ποτὲ μέν τοι ἐνούσιον· ὡς τὸ μνήσθητι τίς μου ἡ ὑπόστασις, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· ποτὲ δὲ ἀνούσιόν τι ὡς τὸ ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεώς μου· ποτὲ δὲ τινῶν συνάθροισιν ὁμονοούντων· ὡς τὸ ἐξῆλθον ἄνδρες ἐκ τῆς ὑποστάσεως τῶν ἀλλοφύλων· εἰ μὲν οὖν κατὰ τὸ τελευταῖον φασὶ τὴν ὑπόστασιν, ἀντὶ τοῦ ταυτοβουλίαν καὶ ὁμογνωμοσύνην σημαίνειν τῶν φύσεων, συγχωροῦσι δηλονότι κατὰ τὰ πρῶτα δύο λέγειν ἡμᾶς τὰς ὑποστάσεις τῶν δύο φύσεων· εἰ δὲ κατὰ τὸ δεύτερον φασὶν ἀνούσιόν τι βουλόμενοι δεῖξαι τὸ ἐξ ἀμφοτέρων τῶν φύσεων, οὐδὲ ἀποκρίσεως ἄξιοι· εἰ δὲ κατὰ τὸ πρῶτον, εἰπάτωσαν τίνι καθέστηκεν αὕτη ὁμοούσιος· τῇ τοῦ Δαβὶδ περὶ ἧς εἶπε μνή-

σθητί τις μου ἡ ὑπόστασις, ἡ τῇ τοῦ πατρὸς περὶ ἧς εἴρηται χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ; ἀλλ' εἰ μὲν τῇ τοῦ πατρὸς, πῶς ἐκ δύο φύσεων συνέστηκεν, ἁπλῆς ὑπαρχούσης τῆς τοῦ πατρὸς; δεῖ γὰρ τὸν αὐτὸν ἔχειν λόγον τῆς οὐσίας, καὶ τὴν αὐτὴν νόησιν, τὰς οὐσίας λεγομένας ὑποστάσεις· ἐπεὶ λεγέτωσαν τί τὸ ὁμοούσιον· εἰ δὲ μὴ τῇ τοῦ πατρὸς, ἀλλὰ τῇ τοῦ Δαβὶδ, πῶς ἐκ δύο φύσεων λέγοντες αὐτὴν οὐκ ἐκ ψυχῆς καὶ σώματος συνεστᾶναι βούλονται; τοιαύτη γὰρ ἡ τοῦ Δαβὶδ· εἰ δὲ οὐδὲ τοῦτο οὐδὲ ἐκεῖνο, πᾶσιν ἑτεροούσιος ὁ παρ' ὑμῶν εἰσαγόμενος υἱὸς, καὶ οὐδὲ ἡμῖν οὐδὲ τῇ ἁγίᾳ τριάδι ὁμοούσιος· εἰ δὲ λέγετε ἐκ μέρους καὶ τούτῳ κἀκείνῳ ὁμοούσιος, γινώσκετε ὅτι τὰ ὁμοούσια, οὐκ ἐκ μέρους θέλει ὁμοούσια εἶναι· τῷ γὰρ λόγῳ τούτῳ παντάπασιν ὁμοούσια ἔσται· ὅλως δὲ τὸ ἐκ μέρους τούτῳ κἀκείνῳ ὁμοούσιον, οὐδετέρου δύναται εἶναι υἱός· ἐπεὶ δείξατέ τις ἐκ μέρους ὑπάρχων ὁμοούσιον διαφόροις, καὶ γινόμενον τούτου κἀκείνου υἱόν.

Ἤδη μὲν τῆς προτέρας ὑμῶν ὑποθέσεως κατηργημένης, περιττὸν ἦν καὶ πρὸς τὰ ἑξῆς ὑμῖν ἀποκρίνασθαι· εἰ γὰρ ἀληθῶς ὡς δέδεικται φύσεως γέγονεν ἡ σύνθεσις καὶ καθ' ὑπόστασιν, οὐ μὴν ὑποστάσεων ἐστὶν ἡ ἕνωσις ἐπὶ τοῦ δεσπότου ἡμῶν Χριστοῦ, ὥσπερ καὶ ὑμεῖς ἐπὶ ψυχῆς καὶ σώματος νῦν τοῦ Δαβὶδ ὑπέθεσθε, δῆλόν ἐστιν ὡς πάντως μίαν καὶ οὐ δύο εἶναι ἀναγκαῖον τὴν σύνθετον ὑπόστασιν· ἀλλ' ἵνα μὴ δόξωμεν ὡς ἰσχυροτέρους τοὺς ἐπὶ τῇ δευτέρᾳ ὑμῶν ὑποθέσει παραιτεῖσθαι συλλογισμοὺς, σὺν θεῷ καὶ πρὸς τούσδε ἅπαντας ὑμῖν δεόντως ἀπαντήσομεν· οἱ μὲν οὖν φιλαλήθως τὴν ἀλήθειαν ἐρευνῶντες, οὐ τοῖς ποιοῦσι τὴν ἀπ' αὐτῆς πλάνην ὀργάνοις κέχρηνται προς τὴν ἔρευναν αὐτῆς ὥσπερ ὑμεῖς· τῆς γὰρ ἀδιακρίτου τῶν πολυσήμων ὁμωνυμίας πλείστην ποιούσης ἀεὶ τὴν ἀπάτην ἐν τοῖς ζητουμένοις πράγμασιν, ἰδοὺ νῦν ἡμῖν ταύτη ἐξ ἀρχῆς εὐθὺς μετὰ μέν τοι καὶ δοκεῖν φεύγειν αὐτὴν, προεβάλλεσθε, περὶ τῆς ὑποστάσεως φημὶ διερευνῶντες· καὶ ἐδόξατε μὲν διορίζειν ἀπὸ μέρους· οὐκ ἐντελῶς δὲ διακρίνατε τὸ τῆς ὑποστάσεως ὄνομα, πῶς ἐφ' ἑκάστου ὧν λέγεται σημαίνεται. Ἀναγκαῖον οὖν ἀντιμεταλαμβανομένης τῆς ὑπὸ προθέσεως ἢ κυρίως κειμένης· ποσαχῶς τε λέγεται καὶ ὅπως καθέκαστον τῶν ἑτέρως λεγομένων εἴρηται τὸ τῆς ὑποστάσεως ὄνομα, καὶ τὸ ἁρμόδιον ἐπὶ τοῦ προκειμένου φιλοκρινῆσαι ἡμᾶς πρῶτον, ἵνα μὴ εἰς ἑτέραν ἀνθ' ἑτέρας σημασίαν μεταπίπτωμεν, εἶθ' οὕτως τὰ ἑξῆς ὑμῶν ἄτοπα διελέγχειν.

Φαμὲν οὖν ἡμεῖς ὡς ὑπόστασις μὲν λέγεται τισὶ κατὰ τῶν παλαιοτέρων ἑλληνικῶν τὴν γλῶτταν, ἡ ὑποστάθμη καὶ τρὺξ τοῦ οἴνου καὶ τῶν τοιούτων ὑγρῶν, διὰ τὸ ὑποβεβηκῶσαν τῷ ἐπιπολάζοντι ὑγρῷ τὴν ἑαυτῆς στάσιν δεικνῦναι ὡς λέγομεν ἐνυπόστατα σημεῖα. Λέγεται δὲ καὶ ἡ κίνησις

εἴτουν μετάστασις τοῦ ἐνεστῶτος ποτὲ, ὑπόστασις· οἶά τις ἄπο καὶ χωρὶς στάσεως οὖσα διάθεσις ἤτουν στέρησις στάσεως, ποτὲ ἀμειβομένης τῆς ὑπὸ προθέσεως ἐν τῇ λέξει, καὶ μεταλαμβανομένης εἰς τὴν ἀπὸ καθὰ οἱ ἐν παλαίστρᾳ τὰς διωθήσεις ἀλλήλων ποιούμενοι, οὕτως ὠνόμασαν. Λέγεται δὲ καὶ ἡ κτῆσις τῶν δέ τινων τῶν χρημάτων ἢ προσόδων ἀπό τινων κτημάτων ὑπάρχουσα τῷ δέ τινι τῷ κεκτημένῳ, ὑπόστασις· ἅτε σωζομένη ἤδε καὶ ἀδιαπτώτως αὐτῷ ὑφεστηκυῖα ὡς φαμὲν οὐκ ἔχειν ἢ κεκτῆσθαι τὸν δέ τινα πολλὴν ὑπόστασιν. Λέγεται δὲ ὑπόστασις, καὶ τὸ καρτερικὸν καὶ οὐκ εὐκατάπτωτον, ἀλλ' ὑπομονητικὸν πρὸς τὰ ἐπερχόμενα, καθὼς εἴρηται τῇ ἁγίᾳ γραφῇ, καὶ νῦν τίς ἡ ὑπομονή μου, οὐχὶ κύριος; καὶ ἡ ὑπόστασίς μου οὐχὶ παρὰ σοῦ ἐστι; Λέγεται δὲ ὑπόστασις, καὶ ἡ τινὸς διηγήματος ἢ ἁπλῶς λόγου ἰδιάζουσα καὶ οὐ καθόλου οὖσα πρότασις· ὡς τὸ λεγόμενον ἐν ταύτῃ τῇ ὑποστάσει τῆς καυχήσεως. Λέγεται δὲ καὶ ἡ πίστις ὑπόστασις οἷα δή τινος καταλήψεως οὖσα ἐπιστήμη τε ἐπίστασις· καθὼς εἴρηται, ἔστι δὲ πίστις, ἐλπιζομένων ὑπόστασις. Λέγεται ὑπόστασις, καὶ ἡ ὑπόσχεσις, ὡς ὑπό τινος τεθεῖσα τινὶ καὶ ὑφισταμένη ἐλπὶς, καθὼς εἴρηται· μήπως ἐὰν ἔλθωσι σὺν ἐμοὶ μακεδόνες καὶ εὕρωσιν ὑμᾶς ἀπαρασκευάστους, καταισχυνθῶμεν ἡμεῖς, ἵνα μὴ λέγωμεν ὑμεῖς, ἐν τῇ ὑποστάσει ταύτῃ· τίς δὲ ἦν φησὶ τῇ προεπηγγελμένῃ αὐτῶν εὐλογίᾳ. Λέγεται ὑπόστασις, καὶ ἡ βάσις ἡ ὑποκειμένη τῇ στάσει τοῦ δέ τινος, ὥσπερ εἴρηται· ἐνεπάγην εἰς ὕλην βυθοῦ καὶ οὐκ ἔστιν ὑπόστασις. Λέγεται ὑπόστασις, καὶ ἡ ἀντίστασις· ὡς τὸ ἐν τῷ Δευτερονομίῳ εἰρημένον ὑπὸ Μωϋσῆ περὶ τοῦ λαοῦ· πῶς δυνήσομαι φέρειν τὴν ὑπόστασιν καὶ ἀντιλογίαν ὑμῶν; Λέγεται ὑπόστασις καὶ ἡ κατάστασις· ὡς τὸ ἐν Ἐζεκιὴλ περὶ τοῦ ναοῦ εἰρημένον· καὶ διαγράψεις τὸν οἶκον καὶ τὴν ἑτοιμασίαν αὐτοῦ, καὶ τὰς εἰσόδους αὐτοῦ καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ. Λέγεται ὑπόστασις καὶ ἡ τινῶν προσώπων ὁμοουσίων, ἢ καὶ ἑτεροουσίων ἀλλήλοις συνελθόντων, σύστασις· ὡς τὸ λεγόμενον· ἐξῆλθον ἄνδρες ἐκ τῆς ὑποστάσεως τῶν ἀλλοφύλων· ἔτι δὲ καὶ ὃν νῦν ὑμεῖς ἐν γνώσει ἢ ἀγνοίᾳ λόγον παρεδράμετε κατὰ τὴν αὐτήν πως ἔννοιαν ὄντα. Λέγεται ὑπόστασις καὶ ὅταν κατὰ τὸ αὐτὸ τινῶν συνελθουσῶν φύσεων διαφόρων ἰδικῶν, μετὰ τῶν περὶ αὐτὰς ἰδιωμάτων, οὐχὶ δὲ προσώπων ὑφὲν εἴτουν ἅμα διὰ τῆς ἑνώσεως σύστασις γένηταί τις ἑνὸς μόνου ἀτόμου. Λέγεται καὶ φύσεων διαφόρων μὴ συνελθουσῶν, ἀλλὰ μόνων ἰδιωμάτων μερικῶν πλειόνων, ἓν ἰδίωμα καθολικὸν συνιστώντων ἐκ πάντων, ἔν τινι ὑποκειμένῳ ἑνὶ, εἴτουν ἐν μιᾷ μόνῃ φύσει ἡ πᾶσιν ὁμολογουμένη ὑπόστασις· εἴτε δ' οὖν ἐν ἁπλῇ, εἴτε ἐν συνθέτῳ, εἴτε ἐν ἰδικῇ, εἴτε ἐν κοινῇ οἷα ἡ θεία, εἴτε ἐν μιᾷ φύσει μόνῃ, εἴτε ἐν ἡνωμέναις πλείοσιν· ὅλως μέν τοι ἐν ὑπάρξει οὔσαις

αὕτη εἴη τῶν μερικῶν ἰδιωμάτων ἤγουν τοῦ κοινοῦ ἰδιώματος, ὡς ἐν ὑποκειμένῳ τινὶ νοουμένη στάσις ἢ σύστασις, ὑπόστασις λέγεται. Λέγεται δὲ κυριώτερον καὶ οἰκειότερον πάντων ἡ τοιαύτη ὑπόστασις, ἅτε πρὸς τῇ συστάσει καὶ ἐκ τοῦ πάντων τῶν τε ὁμοειδῶν καὶ τῶν ἑτεροειδῶν κατὰ τὸ ἰδικὸν γνωριστήριον, κεχωρισμένον δεικνύειν τὸ ὑποκείμενον ἄτομον τὸ δέ τι καθ' αὐτὴν ἀπόστασίς τις οὖσα καὶ διορισμὸς τῶν ἀδιορίστων οὐσιῶν εἰς τὸν κατὰ πρόσωπον ἀριθμὸν ἑκάστου· διὸ δὲ καὶ πρόσωπον ταύτην οἱ πατέρες νοοῦσί τε καὶ ὀνομάζουσι. Λέγεται ὑπόστασις, καὶ ἡ οὐσία καὶ ἡ φύσις πολυωνύμως συσσημαινομένη παρὰ πλείστοις τῷ ὑφεστηκέναι· καὶ μὴ ὡς τὰ καθ' αὐτὰ ἀνύπαρκτα συμβεβηκότα εἶναι καὶ νοεῖσθαι, ἀλλ' ὑφ' ἑαυτῆς ἑστᾶναι, καθὸ εἴρηται, μνήσθητι τίς μου ἡ ὑπόστασις· τὸ γὰρ ὅπως εἴρηται χαρακτὴρ τῆς τοῦ πατρὸς ὑποστάσεως ὁ υἱὸς, ὃ καὶ αὐτὸ παρηγάγετε, μείζονος δεῖται τῆς ἀναπτύξεως καὶ οὐ παρεκβατικῆς νῦν ζητήσεως· πλὴν οὐδὲν ὑμῖν εἰς τὸ προκείμενον τόδε συναίρεται.

Τούτων οὖν οὕτως ἡμῖν περὶ ὑποστάσεως φιλοκρινηθέντων, εἰ μὲν δύο τὰς ὑποστάσεις ἀντὶ οὐσιῶν φατὲ, δεχόμεθα μὲν ἡμεῖς πάντως· ἐπάγομεν δὲ ταύταις καὶ τὸ ἓν πρόσωπον εἶναι ἐκ τούτων τοῦ Χριστοῦ, ἵνα τὴν ὁμωνυμίαν φύγωμεν τῶν προσώπων· τοῦτο δηλοῦντες ὡς ἀντὶ μὲν τῶν φύσεων ταύτας ἐδεξάμεθα· τὸ δὲ πρόσωπον εἰς ὑπόστασιν λοιπὸν ἤδη καταλογιζόμεθα ὑμῖν· συσσημαίνει γὰρ τῷ τε προσώπῳ καὶ τῇ φύσει ἡ ὑπόστασις τὸ ὑποκείμενον πρᾶγμα ἑκατέρῳ τῶν διαφόρων ὀνομάτων· ἀλλ' οὕτως σὺν θεῷ φαμέν· ὑμᾶς δὲ ἀνάγκη τὸ αὐτὸ εἰδότας ὡς φατὲ πολλάκις φύσιν τὲ καὶ ὑπόστασιν, ἐπεὶ πρὸς ταῖς δύο φύσεσι, καὶ ὑποστάσεις φατὲ δύο τοῦ κυρίου, ἢ καὶ πρόσωπον πάλιν ἓν ἢ δύο ἐπεισαγαγεῖν· ἢ σιγῶντας, τέσσαρας μὲν τὰς φύσεις, οὐδεμίαν δὲ ὑπόστασιν ἤγουν πρόσωπον ἐν Χριστῷ διεγνωκέναι, δύο λέγοντας φύσεις· καὶ οὐκ ἀρκουμένους, ἀλλὰ καὶ δύο τὰς ὑποστάσεις τοῦ κυρίου προστιθέντας· ἢ τέσσαρα μὲν τὰ πρόσωπα ἐπὶ τοῦ κυρίου λέγειν, διὰ τῶν δύο φύσεων καὶ δύο ὑποστάσεων, οὐδεμίαν δὲ αὐτῶν οὐσίαν δηλαδή· εἰ δὲ μὴ εἰς οὐσίας λόγον, ἀλλ' εἰς τὴν τοῦ προσώπου μόνον τὸ τῶν ὑποστάσεων ὑμῖν εἴρηται ὄνομα· περὶ γὰρ τῶν λοιπῶν σημαινομένων, οὐκ οἶμαι τοσοῦτον παραπαίειν τινὰ ζητοῦντα τὰ τοιάδε λογικὸν, τί ἡμῖν ἀναγκαῖον κατασκευάζετε ἐκ τοῦ ἀπαιτεῖν τίνι ταύτην φαμὲν, τῷ θεῷ καὶ πατρὶ, ἢ τῷ Δαβὶδ εἶναι ὁμοούσιον; πρῶτον μὲν γὰρ οὐκ ἐκ τῶν ὁμοουσίων αἱ ὑποστάσεις γνωρίζονται· οὐδ' ὁ αὐτὸς τινὶ τῆς ὑποστάσεως λόγος ἐστι, ὃν κἂν τῆς φύσεως ἔχει τῶν ὁμοουσίων αὐτῷ, τοὐναντίον μὲν οὖν ὃν οὐκ ἔχει τὶ τῶν ὁμοουσίων· ὑποστάσεως γὰρ μᾶλλον ἴδιον, ὃ καὶ τῶν ὁμοίων κατὰ φύσιν διακρίνειν τὰ ἄτομα ἰδίᾳ ἀπ' ἀλλήλων, καὶ καθ' αὐτὰ δεικνύειν ἑκάστου.

Ἔτι δὲ φαμὲν ὅτι καὶ ἑνὸς ἀνθρώπου τυχὸν ἢ ἵππου ἐν τῷ παντὶ γενομένου μόνου, καὶ οὐδενὸς ὄντος αὐτῷ ὁμοουσίου, οἷον Ἀδὰμ τοῦ πρωτοπλάστου ἡ ὑπόστασις αὐτοῦ, δύναιτο ἂν καὶ ἐκ τῶν ἑτεροουσίων αὐτῷ ὡς ὑπόστασις διαγινώσκεσθαι· καὶ οὐχὶ ἐπεὶ οὐκ ἦν τι αὐτοῦ ὁμοούσιον τῇ ὑποστάσει ἀφ' οὗ διεκρίνετο, διὰ τοῦτο ἀνάγκη μὴ ἐῤῥῶσθαι τὸν περὶ τῆς ὑποστάσεως αὐτοῦ λόγον, εἰ μὴ εἶεν αὐτῷ ὁμοούσια ἕτερα· τοὐναντίον γὰρ ὁ λόγος ἔχει· ὅτι ὧν μὴ ἔστιν ὑπόστασις τῶν ὁμοουσίων, οὐ διακρίνονται· οὐχ' ὥσπερ συνάγετε ὅτι ὧν οὐκ ἔστι ὁμοούσια τινά, αἱ ὑποστάσεις οὐ διορίζονται· καὶ γὰρ καὶ τῶν ἑτεροουσίων αἱ ὑποστάσεις, ἀλλὰ τούτων καὶ αἱ φύσεις διακρίνουσιν· ὁμοουσίων δὲ τισὶν οὐκ ὄντων, οὐδὲ χρεία τῆς ἀπὸ τῶν ὁμοφυῶν διακρίσεως· καὶ ὁ οὐρανὸς γοῦν εἷς, καὶ ἡ γῆ μία, καὶ αἰθὴρ εἷς ἐστι· καὶ οὐ διὰ τὸ μὴ εἶναι ἕτερα τούτοις ὁμοούσια, εἴποι τις ἂν μὴ δὲ εἶναι οὖν τούτων ὑπόστασιν· ὁμοίως δὲ καὶ κόσμος ὅδε ὁ πᾶς, εἷς· καὶ οὐ τῷ μὴ εἶναι πλείους κόσμους ὁμοουσίους τῷδε, ἀνυπόστατος εἴη αὐτοῦ ἡ σύστασις· τί οὖν ὑμᾶς πείθει τὴν Χριστοῦ ὑπόστασιν, εἰ μὴ κατὰ πάντα λόγον εἴη ταύτῃ τὶς ἑτέρα ὑπόστασις ὁμοούσιος, μηδενὶ φυσικῷ λόγῳ τῶν ἐν αὐτῇ πλεονάζουσα ἢ ἐλλείπουσα, μὴ δὲ ὑπόστασιν τοῦδε τοῦ ζωοποιοῦ συνθέτου ζώου τοῦ ἰδικωτάτου καταδέχεσθαι; ἄλλως τε οὐ τούτῳ τις ζητῶν ὁμοιότητα τινὰ τινῶν κατά τι συγκρίνειεν ἂν δι' ἑτέρου λόγου τὴν καθ' ἕτερον λόγον πρὸς ἕτερον τινὸς σχέσιν, ἀλλὰ δι' αὐτοῦ τοῦδε, δι' οὗ ἡ ὁμοίωσις ἐζητεῖτο· δέον οὖν ὑμᾶς, μὴ λέγειν ἢ ζητεῖν, τίνι αὕτη ἡ ὑπόστασις ὁμοούσιός ἐστιν· εἴγε ἄλλην ἴστε ὑπόστασιν τὴν ὡς πρόσωπον, καὶ ἄλλην τὴν ὡς οὐσίαν· ἀλλ' ἢ τίνι ἐστὶ κατ' οὐσίαν ὁμοούσιος ὁ Χριστὸς ἐρωτᾷν· ἢ τίνι ἐστὶ καθ' ὑπόστασιν, ὁμοϋπόστατος· εἴγε τὴν πρὸς τὸν Χριστὸν ὁμοίωσιν, οὐ κατ' οὐσίαν ἀλλὰ καθ' ὑπόστασιν τήν τε πρὸς τὸν πατέρα καὶ τὸν Δαβὶδ ἐζητεῖτε.

Καὶ ἀπεκρίθημεν ἂν ὑμῖν ὀρθῶς πυθομένοις περὶ τοῦδε, ὅτι καὶ τῷ πατρὶ μὲν ὁμοούσιος, καὶ τῷ Δαβὶδ ὁμοούσιος, καὶ κατὰ θατέραν δὲ τῶν ἑαυτοῦ φύσεων, ὁ Χριστός· ὁμοϋπόστατος δὲ οὔτε πρὸ σαρκὸς ὁ λόγος γέγονε τῷ πατρὶ, οὐδὲ πρὸ τῆς θείας σαρκώσεως τῆς ἐκ σπέρματος Δαβὶδ, τῷ Δαβὶδ· οὔτε οὖν μετὰ τὴν ἁγίαν σάρκωσιν τοῦ λόγου, τῇ τοῦ θεοῦ καὶ πατρὸς, ἢ τῇ τοῦ ἀνθρώπου Δαβὶδ, ἡ ὑπόστασις αὐτοῦ ὁμοία λεχθήσεται ὀρθῶς· σκαιῶς οὖν ὑμῖν εἴρηται, ὅτι δεῖ τὸν αὐτὸν λόγον ἔχειν τῆς οὐσίας καὶ τὴν αὐτὴν νόησιν τὰς ὁμοουσίους ὑποστάσεις· δέον γὰρ ἦν εἰπεῖν ὑμᾶς τὰς ὁμοουσίας οὐσίας· εἰ δὲ ἐπεὶ μὴ ὁμοία ἐστὶν ἡ ὑπόστασις τοῦ δεσπότου σύνθετος οὖσα τῇ ἁπλῇ τοῦ πατρὸς, ἢ τῇ συνθέτῳ τῇ οὔσῃ ἐκ τῶν χειρόνων φύσεων τῇ τοῦ Δαβὶδ, ἀναγκαίως λέγετε ἕψεσθαι, καὶ τὸ ἑτεροούσιον αὐτὴν εἶναι, παρὰ τὰς τῶν ἀνομοίων αὐτῇ

ὑποστάσεων οὐσίας, καθὼς βούλεται δεικνῦναι τὸ ὑμέτερον συμπέρασμα· οὐκοῦν ἀναγκαίως ἔσται, καὶ ἐπεὶ ἀνόμοιος ἡ Παύλου ὑπόστασις πρὸς Πέτρον κατὰ τὸν τῆς ὑποστάσεως λόγον, καὶ ἑτεροουσίους εἶναι τούτους· εἴτ' οὖν πάλιν καθ' ὑμᾶς, ἐπεὶ ὁμοούσιοι εἰσὶ, μίαν εἶναι ἀμφοτέρων καὶ τὴν ὑπόστασιν· καὶ τὸ αὐτὸ εἶναι πρόσωπον τὸ Πέτρου, ὅπερ ἐστὶ καὶ τοῦ Παύλου, καὶ ἁπλῶς πάσης τῆς ἀνθρωπότητος, ἐπεὶ ὁμοούσιός ἐστι πᾶσα, ἓν εἶναι αὐτῆς τὸ πρόσωπον· ἀλλὰ καὶ τῆς θείας φύσεως ἐπεὶ ὁμοούσιός ἐστιν ἡ ἁγία τριὰς, ἓν εἶναι τὸ πρόσωπον καὶ οὐ τρία λεκτέον· ὧν τὸ ἀδιανόητον, οὐχ' ἡμεῖς μόνον ἀλλὰ καὶ οἱ λίθοι ὡς εἰπεῖν ἐπιτιμῶντες ὑμῖν κεκράξονται.

Ὅτι δὲ καὶ ἐκ τῶν ἐν αὐτῇ φύσεων ἡ ὑπόστασις τοῦ δεσπότου ἡμῶν Χριστοῦ, κατὰ μὲν θατέραν τῷ πατρὶ ὁμοούσιος, κατὰ δὲ θατέραν τῷ Δαβὶδ ἐστὶν ὁμοούσιος, πῶς κωλύσετε ἡμᾶς λέγειν; φάσκοντες ὅτι τὰ ὁμοούσια, οὐκ ἐκ μέρους θέλει εἶναι ὁμοούσια· τοῖς γὰρ μίαν λέγουσιν αὐτοῦ τὴν φύσιν, ἤγουν οὐσίαν, καλῶς ἂν εἰρήκατε τοῦτο, ἐκ μέρους τῆς μιᾶς οὐσίας, ὡς ἂν εἴποιεν, συνθέτου λεγομένου αὐτοῖς τοῦ ὁμοουσίου· τοῖς δὲ δύο τὰς φύσεις κηρύττουσιν ἡμῖν ἐν μιᾷ τῇ ὑποστάσει Χριστοῦ, πῶς εὐλόγως τοῦτο προβάλλεσθε; ἰδοὺ γὰρ μία ὑπόστασις οὖσα τοῦ ἐξ ἐρίου καὶ λινοῦ γενομένου πέπλου, κατὰ θάτερον τῶν ἐν αὐτῇ φύσεων λόγον, τῷ ἐρίῳ τῷ ἐκ ζώων, καὶ τῷ λινῷ τῷ ἐκ φυτῶν ἐστὶν ὁμοούσιος· ἐρωτήσομεν δὲ ὅμως καὶ τοῦτο ὑμᾶς· ἆρά γε Ἄβελ τοῦ δικαίου ἡ ψυχὴ μετὰ τὴν τῆς σαρκὸς ἀπόθεσιν, ὁμοούσιος λέγεται ἀληθῶς εἶναι τῇ ψυχῇ Ἐνὼχ τοῦ δικαίου τὴν σάρκα οὔπω ἀποθεμένου, ἢ τοῦ δέ τινος ἑτέρου, τοῦ ἔτι ἐν σαρκὶ ζῶντος, ἢ σάρξ τε τοῦ ἐν σαρκὶ δικαίου ὁμοούσιος ἄρα τῇ ἑκάστου τῶν προκοιμηθέντων ἁγίων σαρκὶ, ἢ οὐχί; εἰ δὲ τούτῳ οὐδεὶς ἀντερεῖ, δῆλον ὡς ἐκ μέρους τῶν ἑαυτῆς μερῶν ἡ ὑπόστασις Ἐνὼχ, ἢ τοῦ δέ τινος τοῦ ἐν σαρκὶ ἔτι, τῷ τε ὅλῳ τῆς ὑποστάσεως τῆς ψυχῆς Ἄβελ ἐστὶν ὁμοούσιος, καὶ τῷ ὅλῳ τῆς ὑποστάσεως τῆς σαρκὸς τοῦδε τοῦ κεκοιμημένου ὁσίου· καὶ μάτην τοῦτο ὑμῖν ἀπηγορεύθη· ἐκ μέρους γὰρ ὄντως οὐσίας, οὐ λέγεται τὰ ὁμοούσια· οὐ μέν τοι οὐδὲ ὑποστάσεως τῆς καὶ ἐκ πλειόνων φύσεων ἤτοι οὐσιῶν ποτὲ συνεστώσης τισὶν· τὸ γὰρ καθὸ ἡ ὁμοιότης αὐτοῖς θεωρεῖται ἢ τέλειόν τι καὶ ὅλον ἐν ἑκατέροις ἤγουν ἡ οὐσία ἐστὶν, οὐδὲν ἐμποδὼν πρὸς θεωρίαν τοῦ ὁμοουσίου γίνεται· καὶ ταῦτα μὲν οὖν περὶ τοῦδε· πρὸς δὲ τὸ ἔσχατον ὑμῶν ἄτοπον οἰομένων μηδὲν τῶν ἐκ μέρους ὑποστάσεως αὐτοῦ δύο τισὶν ὑπάρχων ὁμοούσιον, τούτου κἀκείνου υἱὸν εἶναι δύνασθαι ῥᾷστα ὑμᾶς ἀπελέγξομεν· καὶ γὰρ ἄνθρωπος εἷς ἐκ μέρους τῆς ἑαυτοῦ ὑποστάσεως, τῆς μητρὸς ἑαυτοῦ καὶ τοῦ πατρὸς, ἔτι μὴν καὶ Ἀβραὰμ τοῦ πατρὸς, τῶν στοιχούντων τοῖς

ἴχνεσι τῆς πίστεως αὐτοῦ, καὶ τοῦ πνεύματος, τοῦ γεννῶντος τὸ πνεῦμα; υἱός ἐστι· καὶ ἐκ μέρους τῆς μιᾶς ὑποστάσεως ἥ ἐστι πάντα τάδε, ὁμοούσιός ἐστι τούτοις πᾶσι· περιττὸν μὲν οὖν ἦν καὶ νῦν περὶ τοῦδε ὑμῖν ληρῳδοῦσιν ἀποκρίνασθαι· δέδεικται γὰρ ἐν τοῖς ἑξῆς, ὡς κατὰ διαφόρους τρόπους τῶν γεννήσεων, υἱοθεσίαι τε καὶ πατρότητες τοῖς αὐτοῖς ὑποκειμένοις πλείονες ἐμφέρονται· πλὴν πρόχειρος ὑμῶν καὶ ὁ κατὰ τούτων ἔλεγχος ὧν προέφθασε τὴν οἰκείαν τάξιν.

II. Ὁ θεὸς λόγος ἢ μέρος ἐστὶ ταύτης τῆς ὑποστάσεως τοῦ Χριστοῦ, ἢ ὅλον· εἰ μὲν οὖν μέρος, αὕτη δὲ υἱὸς, μέρος τοῦ υἱοῦ ὁ θεὸς λόγος· οὐκοῦν δύο ἥμισυ πρὸ τῆς ἐνανθρωπήσεως ἡ τριάς· εἰ δὲ τὸ ὅλον, οὐκ ἦν ἄρα πρὸ τῆς ἐνανθρωπήσεως ὁ θεὸς λόγος· ἐπεὶ τὸ ὅλον πρὸ τῶν μερῶν γενήσεται· μέρος γὰρ τοῦ ὅλου ἡ γενομένη προσφάτως σάρξ. Μέρος μὲν κυρίως τὸ σὺν ἀτελείᾳ τινὶ ὁπωσοῦν νοούμενον· οὗ τινος οὐδὲ πώποτέ ἐστιν ὁ θεὸς λόγος· τῆς δὲ ἁγίας ὑποστάσεως Χριστοῦ αἱ φύσεις, ὡς μέρη ὁρῶνται τῷ λόγῳ τῆς συγκρίσεως αὐτῶν, κατὰ μίαν ἑκατέρας, πρὸς τὴν ὡς Χριστοῦ ὁλότητα, ὅλον δέ τινα ἀεί ἐστιν· εἰς δὲ τὸ Χριστοῦ ὅλον εἶναι, μερικῶς λιπὸν τὴν ἑτερότητα.

III Εἰ ὅλον ταυτησὶ τῆς ὑποστάσεως ὁ θεὸς λόγος, φησὶ, ἐκ τίνος ἄρα συναναπληροῦται εἴπατε· τοῦ γὰρ θεοῦ λόγου, θεὸς λόγος οὐκ ἔσται μέρος· ἐπεὶ μηδὲν ἑαυτοῦ μέρος εἶναι λέγεται. Πρῶτον μὲν οὖν οὐχ' ἁπλῶς τὸ ὅλον τῆς ὑποστάσεως τοῦ δεσπότου Χριστοῦ ὁ λόγος ἡμῖν εἴρηται εἶναι, ἀλλὰ σεσαρκωμένος· ἄλλως τε· εἰ ἐπεὶ λέγεται τὸ ὅλον αὐτῆς ὡς ὑποστάσεως, οὕτως εἶναι ὁ Χριστὸς ἔκ τινος ἑτέρου παρὰ τὸν λόγον ὡς τῶν μερῶν ἑτέρων ὄντων ἀεὶ παρὰ τὰ ὅλα πάντως δέον αὐτὸ ἀναπληροῦσθαι, ἐπεὶ καὶ τὸ ὅλον τῆς πατρικῆς ὑποστάσεως ὁ θεὸς καὶ πατήρ ἐστιν, ἐκ τίνος ἄρα καὶ τόδε ἑτέρου συναναπληροῦται τοῦ ὡς μέρους αὐτοῦ εἴπατε· τοῦ γὰρ θεοῦ πατρὸς, ὁ θεὸς πατὴρ, οὐκ ἔσται καθ' ὑμᾶς μέρος· καὶ τίς οὐ κλαύσει τάσδε τὰς ματαιολογίας ὑμῶν, καὶ ἐθελοκακουργίας; οὔτε γὰρ τὸ ἐκ μερῶν πάντως εἶναί τι λέγεται ὅλον, ὡς κἂν τοῖς ἔμπροσθεν εἴρητο· ἀλλὰ καὶ τὸ, ἐντελῆ τὸ δέ τι τὸν ἴδιον ἔχειν λόγον ᾧ οὗτοι· οὕτως γὰρ ὅλον καὶ τὸ σημεῖον καὶ τὴν μονάδα ὅλην φαμέν· καὶ οὐκ ἐκ μερῶν ἴσμεν τάδε· ἔτι μὴν οὐδὲ πᾶσα ὁλότης ἑτεροειδὴς παρὰ τὸ ἑαυτῆς ἅμα θεωρούμενα πάντα μέρη· τί γὰρ πάντως καὶ σιδήρου ἅμα ὁ μύδρος, ἢ πλὴν αἵματος κόχλου καὶ σηρικῶν νημάτων ἡ ἁλουργίς;

IV. Εἰ ἐκ μερῶν τῷ πατρὶ καὶ τῇ μητρὶ ὁμοούσιος ἡ ὑπόστασις Χριστοῦ, τὰ μέρη αὐτῆς ταῦτα, ἐνούσιά ἐστιν, ἢ ἀνούσια· ἀλλ' εἰ μὲν ἀνούσια, πῶς ὁμοούσια τοῖς ἐνουσίοις; εἰ δὲ ἐνούσια, πῶς οὐκ οὐσίας μέρη καθέστηκε; πᾶν γὰρ μέρος ἐνουσίου, οὐσίας μέρος κυρίως, καὶ οὐχ' ὑποστά-

σεως, ἐπείπερ οὐκ ἐκ τῶν οὐσιωδῶν ἡ ὑπόστασις, ὡς ὑπόστασις χαρακτηρίζεται· ἀλλ' ἐπὶ μὲν τῶν ἀνθρώπων, ἐκ λευκότητος, σιμότητος, καὶ τῶν τοιούτων· ἐπὶ δὲ τῆς θείας οὐσίας, ἀπὸ τρόπου ὑπάρξεως· καθ' ὃν ἡ μὲν γεννητικῶς, ἡ δὲ γεγεννημένως, ἡ δὲ ἐκπορευτικῶς· πῶς οὖν καὶ δύο τελείας λέγοντες τὰς οὐσίας, ἐπεὶ οὐκ οὐσίας μέρη λέγετε, ὡς ἐκ μερῶν φατὲ τὴν ὑπόστασιν; καὶ μέρη φαμὲν ὑποστάσεως ὡς ἐκ πλειόνων οὔσης οὐσιῶν, τὰς οὐσίας, καὶ ἐνούσια ταῦτα ἤγουν οὐσίας λέγομεν ἐπὶ Χριστοῦ· πῶς δὲ ὑμῖν εἴ τι ἐνούσιον μερικὸν ἀναγκαίως δοκεῖ, καὶ μέρος οὐσίας τινὸς μιᾶς μόνης καθεστηκέναι; καὶ γὰρ τῆς τῶν ἀλλοφύλων ὑποστάσεως, οὐ μιᾶς μόνης οὐσίας μὲν εἰσὶ τὰ μέρη, καὶ ὅμως ἐνούσια ἐστί· πλειόνων γὰρ τῶν κατὰ τὴν ὑπόστασιν οὐσιῶν, τὸ μέρος τὸ ἐνούσιον, οὐσίαν μὲν εἶναι πάντως οὐκ οὐσίας δὲ μιᾶς, μέρος εἶναι ἀνάγκη· πῶς δὲ καὶ φατὲ, ἐπεὶ λέγεται ἐνούσιόν τι μέρος, καὶ οὐσίας τινὸς ἀριθμῷ μιᾶς μέρος εἶναι, διὰ τόδε αὐτὸ ἀναγκαῖον εἶναι, ὅτι ἐνούσιον ἁπλῶς λέγεται; ἄρα γὰρ ἐπεὶ καὶ μέρος ἔμψυχον καὶ ἐνούσιον ὁ ἄνθρωπος τοῦ κόσμου λέγεται εἶναι, ἤδη καὶ μέρος ψυχῆς τινὸς καθολικωτέρας νοηθήσεται· καὶ ἐπεὶ μέρος τοῦ φυτοῦ ἡ συκῆ ἐνούσιος οὖσα, οὐσίας ἁπλῶς τοῦ φυτοῦ μιᾶς ἐνυπάρκτου ἔσται μέρος· εἰ δὲ τὸ σχῆμα τῆς λέξεως πείθει τὸ ἐνούσιον οὐσίας μέρος εἶναι, ἐπεὶ καὶ ἐντόπιόν τι εἴρηται εἶναι, ἄρα μέρος εἶναι τόπου καὶ τόδε λογισθήσεται· καὶ ἐπεὶ ἐνύδριον λέγεταί τι ζῶον, ἄρα καὶ μέρος ἔσται τὸ ζῶον ὕδατος.

Εἰ ἐκ μέρους ὁμοούσιος τῷ πατρὶ, καὶ ἐκ μέρους ὁμοούσιος τῷ Δα- V.
βὶδ, ἡ παρ' ὑμῖν ὑπόστασις, εἰπὲ τὰ μέρη ταῦτα, καθ' ἃ καὶ τῷ πατρὶ καὶ τῷ Δαβὶδ ἐστὶν ὁμοούσια· θεὸς ἐστὶ καὶ ἄνθρωπος, ἢ ἕτερόν τι; ἀλλ' εἰ μὲν ἕτερόν τι, εἰπὲ τί τοῦτο· εἰ δὲ θεὸς καὶ ἄνθρωπος, οὐκ ἔσται ὁ ἄνθρωπος ἔχων ἰδικὴν ὑπόστασιν παρὰ τὸν Δαβὶδ, ᾧ ἐστὶν ὁμοούσιος· ὥσπερ καὶ ὁ θεὸς λόγος ἔχει ἰδικὴν ὑπόστασιν παρὰ τὸν πατέρα, ᾧ ἐστιν ὁμοούσιος· τὸ γὰρ ἀνυπόστατον τῷ ἐνυποστάτῳ ὁμοούσιον ποτὲ οὐκ ἂν λεχθείη· εἰ τοίνυν μία ὑπόστασις τοῦ θεοῦ λόγου, καὶ αὕτη τελεία καὶ ὁμοούσιος τῷ πατρὶ, ὁ ἐξ ἡμῶν ἄνθρωπος, ἢ ἀνυπόστατός ἐστι καὶ μέχρι ψιλῆς τῆς φωνῆς λεγόμενος, ἢ ἐνυπόστατος· καὶ αὐτὸς τελείαν ἔχων τὴν ὑπόστασιν, καθὸ ἄνθρωπος· ἀλλ' εἰ μὲν ἀνυπόστατος, περιττὸν τὸ ὁμοούσιον αὐτὸν εἶναι τῷ Δαβὶδ· οὐδὲν γὰρ ἀνυπόστατον ἐνυποστάτῳ καθέστηκεν ὁμοούσιον· εἰ δὲ ἐνυπόστατος, δικαίως μὲν ὁμοούσιος λεχθήσεται τῷ Δαβὶδ· καθόλου γὰρ ὑπόστασις ὑποστάσει λέγεται ὁμοούσιος· οἰχήσεται δὲ ὑμῶν τὸ σόφισμα τὸ μὴ λέγειν δύο ὑποστάσεις βουλομένων τὰς δύο φύσεις τοῦ τε θεοῦ λόγου καὶ τοῦ ἐξ ἡμῶν ἀνθρώπου λέγειν.

Ἀλλ' ὦ οὗτοι εἰ δοθῇ ἅπαξ αὕτη ἡ μία ὑπόστασις ταῖς φύσεσιν αὐ-

τῆς Θεὸς καὶ ἄνθρωπος εἶναι καθ' ἡμᾶς, πῶς ἔσται ὁ κατ' αὐτὴν ἄνθρωπος τὴν φύσιν ἔχων ἰδίαν ὑπόστασιν, ἢ ὁ Θεός; οὐ γὰρ οὐ Θεὸς ὢν οὗτος ὁ ἄνθρωπος δέδοται ἡμῖν, ἢ λέγεται πώποτε, ἵνα καὶ ἀνθρώπου ὑπόστασις καὶ Θεοῦ ζητῆται· ἰδοὺ γὰρ καὶ ὑμεῖς ἔφητε, ὡς τὰ μέρη τῆσδε τῆς ὑποστάσεως, ἄνθρωπον φαμὲν καὶ Θεόν· μέρος δὲ οὐδέν ἐστιν ἰδιοϋπόστατον· πῶς οὖν δοκεῖτε ἐκ τῶν ἡμετέρων ἡμᾶς συλλογίζεσθαι λημμάτων; εἰρηκότες γὰρ μέρη τῆσδε τῆς ὑποστάσεως Θεότητα καὶ ἀνθρωπότητα λέγειν ἡμᾶς, πῶς ἀκολούθως ἐπάγετε, τὸ ἰδίαν ἔχειν δεῖν ὑπόστασιν τὸ μέρος, ἤγουν τὴν ἀνθρωπότητα; οὐδὲν γὰρ μέρος ἐν ἰδίᾳ ἀλλ' ἐν τῇ τοῦ ὅλου ὑποστάσει θεωρεῖται· ἵνα δὲ καὶ ταῦτα ὑμῖν ἀφεθῇ πάντα, εἰ καὶ ἀνάγκη τινὰ ὑπόστασιν εἶναι τήν τε τῷ Δαβὶδ ὁμοούσιον λεγομένην, τήν τε τῷ πατρὶ τῷ ἐνυποστάτῳ ὁμοούσιον οὖσαν, πλείους ὑποστάσεις ἐν Χριστῷ πῶς λεκτέον ἐντεῦθεν; ἰδοὺ γὰρ ἐν ἑνὶ καὶ τῷ αὐτῷ ὅλῳ ταύτην τῆς μεσιτευούσης θείᾳ καὶ ἀνθρωπείᾳ φύσει ὑποστάσεως τοῦ Χριστοῦ, ἑκατέρωθεν τὸ ὁμοούσιον αὐτῆς· οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ ἑτεροούσιον πρὸς τὰ ἑκάτερα εἴδη αὐτῆς ὁρᾷν ἐστι κατὰ θάτερον λόγον τὸν ἐν αὐτῇ καὶ τὸ ἑτεροϋπόστατον δὲ αὐτῆς, τὸ πρὸς πάντα τὰ παρ' αὐτὴν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ὅλῳ τῆς αὐτῆς ὑποστάσεως λόγῳ ἰδεῖν ἐστι· οὐκ ἀνάγκη γὰρ ὥσπερ βούλεσθε λέγειν κατὰ πᾶσαν τὴν πρὸς ἑτέραν ὑπόστασιν διαφορὰν οὐσιώδη τινὸς ὑποστάσεως· καὶ ἄλλην ὑπόστασιν ἑκάστῃ τῶν διαφερόντων αὐτῆς εἰσάγεσθαι οὐσιῶν· δυνατὸν γὰρ ἕν τι καὶ τὸ αὐτὸ φυσικὸν σύνθεμα πρὸς πολλὰ ἔχειν τήν τε οὐσιώδη ὁμοιότητα καὶ ἀνομοιότητα· ὑποστατικὴν δὲ τὴν ἐν μονάδι πρὸς πάντα ἀνομοιότητα· εἰ γὰρ καθ' ὑμᾶς πάντως ὑπόστασιν δεῖ παρατίθεσθαι, μίαν μὲν τῷ Δαβὶδ πρὸς τὸ φανῆναι τὴν ἑτερότητα τὴν πρὸς αὐτὸν κατ' οὐσίαν τοῦ λόγου, καὶ μίαν τῷ πατρὶ πρὸς ἔνδειξιν τῆς οὐσιώδους διαφορᾶς αὐτοῦ τῆς πρὸς τὸν ἄνθρωπον· καὶ οὐ μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει ἐστὶ τὴν πρὸς θάτερον ἑτέρως διαφοράν τε καὶ ὁμοιότητα φύσεων τῶν ἐν αὐτῇ ἐπιδείκνυσθαι, ὥρα ὑμᾶς λέγειν καὶ τοῦ καθέκαστον ἀνθρώπου μυρίας ὅσας τὰς ὑποστάσεις εἶναι· ἵνα τὴν διαφορὰν τυχὸν τῆς οὐσίας Σολομῶντος πρός τε τόνδε τὸν ἑτεροούσιον αὐτῷ ἵππον, καὶ τόνδε τὸν ἀετὸν, καὶ τόνδε τὸν κώνωπα, καὶ τόνδε τὸν ἐλέφαντα, καὶ τὰς λοιπὰς οὐσίας καθεξῆς συστήσωμεν· καὶ τὴν ὁμοιότητα δὲ αὐτῆς τὴν πρὸς τὸν καθέκαστον ἄνθρωπον τῶν ὁμοουσίων αὐτῷ νομίζω ἀκόλουθον εἶναι διὰ ἰσαρίθμων ὑποστάσεων εἰσπράττειν, Σολομῶντα δηλῶσαι· καὶ τοσάσδε ὑποστάσεις ἐξ ἀνάγκης ἔχειν, ὅσαι ἂν οὐσίαι τύχοιεν αἱ ὁμοούσιοι αὐτῷ, καὶ ἀνομοούσιοι οὖσαι· ἵνα τῇ παραθέσει ἑκάστης ὑποστάσεως αὐτοῦ πρὸς πᾶσαν ὑπόστασιν αὐτοῦ ὁμοίαν τε καὶ ἀνόμοιον, ὁμοούσιος κρίνοιτο καὶ ἀνομοούσιος εἶναι καθέκαστον·

καὶ μὴ μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει ἐκ διαφόρων οὐσιῶν καὶ προσώπων διορίζοιτο.

Ἀλλ' ἕως πότε ἡμᾶς τοῖς οὕτω λίαν ὡμολογημένοις ἐγκόπτετε; ἆρα γὰρ οὕτως ἴστε ἀληθῶς τὰς πρὸς διάφορα συγκρίσεις, τοῦ δέ τινος ἑνὸς δεῖσθαι πλειόνων ὑποστάσεων ἀριθμῷ, διὰ τὴν πρὸς πλείονα διένεξιν αὐτοῦ; καὶ τίς ὑμῶν ἀνέξεται τοῦτο λεγόντων; ἔσται γὰρ ἐντεῦθεν δηλούμενον, ὡς καὶ τὸ σύμμετρον τινὶ ἢ τισὶ ξύλον καὶ ἔλαττον ἕτερον, καὶ μεῖζον ἄλλων ἑκάστῳ λόγῳ ἐλλείψεώς τε καὶ ὑπερβολῆς καὶ ἰσότητος, ἀναλόγων πάντως δεόμενόν ἐστιν ὑποστάσεων· ἵνα τῇ μὲν τοσῇδε ἐλλείψει μίαν, καὶ τοσῇδε μίαν· καὶ ταῖς μυρίαις, μυρίας· καὶ πάλιν τῇδε τῇ ὑπερβολῇ μίαν ἀντιστήσετε· καὶ τῇδε τῇ διαφερούσῃ ὑπερβολῇ, μίαν καὶ ἁπλῶς πρὸς ἕκαστον τῶν διαφερόντων καὶ ἴσων, ἰδίαν ἔχει ὑπόστασιν τὴν συγκρινομένην· ὡς λοιπὸν ἄμετρα εἶναι ἀεὶ τὰ συγκρινόμενα καὶ οὐχ' ἕν τι τοῖς πλείοσι συγκρίνεσθαι· ὁμοίως δὲ τὸ φαιὸν χρῶμα λευκῷ τε καὶ μέλανι καὶ ὠχρῷ καὶ πυῤῥῷ καὶ ξανθῷ καὶ κυανῷ καὶ μυρίοις ἑτέροις διάφορον καθεστὼς· καὶ πρὸς ἕτερον φαιὸν ὅμοιον ὄν, δύο ἐξ ἀνάγκης καὶ μυρία ἀριθμῷ δεικνῦναι ὄντα τὰ φαιὰ δεήσει· ἵνα ἓν μὲν τῷ λευκῷ, ἓν δὲ τῷ μέλανι συγκρίνηται· ἓν δὲ τῷ ἄλλῳ φαιῷ καὶ τὸ ἐκ λίνου καὶ ἐρίου πέπλον, δύο δεῖται ὑποστάσεων εἴς τε παραστῆσαι τὴν ὁμοίωσιν τοῦ ἐρίου πρὸς τὸ ἔριον, καὶ τοῦ λινοῦ πρὸς τὸ λινοῦν· καὶ δύο δεῖ οἴκων πρὸς τὸ γνῶναι τὰ ὁμοούσια τῶν ξύλων καὶ λίθων τῶν ἐν αὐτῷ· καὶ ἁπλῶς ἅπαντα οὕτως ἔχει τὰ τοιάδε· εἰ δὲ ταῦτα καὶ μειρακίοις λέγειν ἀσύγνωστον, ἀκουστέον ὀρθῶς τὸ λεγόμενον εὐσεβῶς, ὅτι μιᾶς οὔσης καὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν αὐτῇ ὅ τε Θεὸς λόγος τέλειος, καὶ ὁ ἐξ ἡμῶν καθ' ἡμᾶς ἄνθρωπος τέλειος κατὰ φύσιν γινώσκεται, δύο τῶν οὐσιῶν αὐτῆς οὐσῶν· διὸ σύγκρισις ταύτης πρὸς τὴν ὑπόστασιν Δαβὶδ γινομένη, οὐ καθ' ὑπόστασιν, ἀλλὰ κατ' οὐσίαν ἑτέραν τε δείκνυσιν αὐτὴν καὶ ὁμοίαν, κατὰ θατέρω τῶν αὐτῆς φύσεων· κατὰ δὲ τὸν τῆς ὑποστάσεως λόγον, δῆλον ὡς καὶ πρὸς τὸν πατέρα καὶ πρὸς τὸν Δαβὶδ ἀεὶ ὡμολογημένως διάφορον οὖσαν αὐτὴν ἀποδείκνυσιν ἡ σύγκρισις· ὥσπερ καὶ πάντας ἐκ πάντων πᾶσα ὑπόστασις ἐν τῇ μονάδι ἑαυτῆς διακρίνει· τῶν οὖν Χριστοῦ φύσεων ἡ ὑπόστασις, καὶ ἀνομοούσιον αὐτὸν ἀνὰ μέρος, καὶ ὁμοούσιον πρὸς τοὺς τοιούσδε εἶναι δείκνυσιν· ἑτεροϋπόστατον δὲ ἀνὰ τὸν ὅλον αὐτοῦ ἕνα λόγον πᾶσι τοῖς οὖσι παρίστησι· τὸ γὰρ αὐτὸ ἓν πρόσωπον αὐτοῦ ἐνυπόστατον, ἐν ὑποστάτοις δύο προσώποις ὁμοούσιον κατὰ θάτερον λόγον, καὶ ἑτεροούσιον αὐτὸν ἀπαγγέλλειν δύναται· ἡ ὑπόστασις γὰρ, οὐχ' ὡς ὑπόστασις, ἀλλ' ὡς ἐνούσιος λέγεται οἷς λέγεται ὁμοούσιος ἢ ἑτεροούσιος· καὶ οὕτως οὐδὲν ἡμῖν πρός τε τὸ τὰς δύο φύ-

σεις δεικνύειν, τὸ μοναδικὸν τῆς ὑποστάσεως παρεμποδὼν γέγονεν· οὐδὲ πρὸς τὸ μίαν λέγειν τὴν ὑπόστασιν, τὸ δυαδικὸν τῶν φύσεων ὀχληρὸν καθέστηκεν· οὐδὲ ἀνυπόστατόν τι ἔχει, τὸ ἐν μιᾷ ὑποστάσει αὐτοῦ διαφόροις ὁμοούσιον· ἀλλ' οὐκ ἐξ ἀνάγκης δισυπόστατον, διὰ τὸ δύο τισὶν ὁμοούσιον εἶναι, εἴπερ μὴ καθ' ἕκαστον ὁμοούσιον, καὶ ἔτι μᾶλλον ἑτεροούσιον μιᾶς φύσεως μόνης, ἢ πλειόνων φύσεων οὐσῶν τῷ προσώπῳ, ἰσαρίθμων ὑποστάσεων χρεία ἐστίν.

VI. Ἐρωτῶμεν πάλιν διακρίνατε τὸ λεγόμενον ἡμῖν· εἴπατε τί τὸ σημαινόμενον ὑφ' ὑμῶν δι' ἑκάστης φύσεως τοῦ παρ' ὑμῶν λεγομένου θεοῦ καὶ ἀνθρώπου· ὅτι ἄνθρωπος καὶ θεὸς λόγος, ἢ ὁ καθόλου ἄνθρωπος, καὶ ἡ ἁγία τριὰς, ἢ ὁ καθόλου ἄνθρωπος, καὶ ὁ θεὸς λόγος, ἢ ὅ τις ἄνθρωπος, καὶ ἡ ἁγία τριάς· ἀλλ' ὅτι τριάδα μὴ βούλεσθε σημαίνειν μετὰ τοῦ καθόλου λεγομένου ἀνθρώπου οὔτε μὴν μετὰ τοῦ ἰδικοῦ τινὸς, πρόδηλοι καθεστήκατε, ἐκ τοῦ ἕνα λέγειν τῆς ἁγίας τριάδος τὸν σταυρωθέντα καὶ παθόντα· λείπεται οὖν λέγειν ὑμᾶς τὸν θεὸν λόγον, καὶ ἢ τον καθόλου λεγόμενον ἄνθρωπον, ἢ ἰδικόν τινα ἄνθρωπον λέγοιτε σημαίνειν διὰ τῆς μιᾶς φύσεως καὶ οὐ πάντα ἄνθρωπον· εἴπατε οὖν τίνι διαφέρει ἰδικὸς ἄνθρωπος τοῦ παντὸς ἀνθρώπου; ἢ πρόδηλον, ὅτι μόνῃ τῇ ὑποστάσει καὶ τῷ προσώπῳ; πῶς οὖν οὐ δύο φατὲ πρόσωπα καὶ ὑποστάσεις, δύο φύσεις λέγοντες ἐπὶ σημασίᾳ τοῦ θεοῦ λόγου ἑνός τινος ἀνθρώπου; εἰ δὲ τὸν καθόλου ἄνθρωπον ἐθέλοιτε λέγειν, ἢ ἐννοίᾳ λαμβάνετε τοῦτον τῷ λόγῳ αὐτὸν ἀποματτόμενοι τῆς οὐσίας ἐκ τῶν καθέκαστα, καὶ νοήσει κατέχοντες αὐτὸν, ἄνευ τῆς ὑποκειμένης οὐσίας τούτῳ λέγοντες ἐνηνθρωπηκέναι τὸν θεόν· ἢ αὐτὰ πάντα τὰ καθέκαστα ὑπάρξει ἰδίᾳ συνάγοντες, ὁπότε αὐτὸ πᾶσι σεσαρκῶσθαι δογματίζετε τὸν ἕνα τῆς τριάδος· ἀλλ' εἰ μὲν τὸ πρῶτον, πῶς οὐ ψιλῇ τῇ ἐννοίᾳ καὶ οὐχ' ὑπάρξει οὐσιώδει λέγετε γεγενῆσθαι τὴν ἐνανθρώπησιν τοῦ κυρίου; εἰ δὲ τὸ δεύτερον, πῶς οὐκ ἔσται ἐνηνθρωπηκὼς ὁ θεὸς λόγος καὶ ἀσεβέσι καὶ ἁμαρτωλοῖς καὶ προτελευτήσασι καὶ ἐσομένοις ἀνθρώποις; ὅπερ ἀσεβὲς, καὶ τῆς ὑμετέρας λέγειν σοφίας· εἰ δὲ ἄλλως ἐθέλοιτε τὸν καθόλου ἄνθρωπον ὑποθέσθαι κατὰ τοὺς παρεισφέροντας τὰς λεγομένας ἰδέας, καὶ οὕτως οὐχ' ἕξει χώραν ἡ ἐνανθρώπησις· ἵνα γὰρ τὰ λοιπὰ παρήσω, σῶμα τὸ ἐκ Μαρίας, ἐκείνου μέρος εἶναι λέγειν ὀρθῶς οὐ δυνατόν· πῶς δὲ οὐ φανήσεσθε προδηλότατα τῇ γραφῇ μαχόμενοι, ἕνα ἐξ ἡμῶν διδασκούσῃ εἶναι τὸν κυριακὸν ἄνθρωπον; βίβλος γάρ, φησι, γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ υἱοῦ Ἀβραάμ· καὶ πρόδηλον ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος· καὶ τὸν ἄνδρα Μαρίας ἐξ ἧς ἐγεννήθη Ἰησοῦς ὁ λεγόμενος Χριστὸς, καὶ Ἰησοῦν τὸν ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ θεοῦ εἰς ὑμᾶς, δυνάμεσι καὶ

τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε.

Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς πᾶσι πανταχοῦ μετανοεῖν· καθότι ἔστησεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν· καὶ ὥσπερ δι' ἑνὸς ἀνθρώπου ὁ θάνατος, οὕτως καὶ δι' ἀνθρώπου ἀνάστασις νεκρῶν· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκομεν, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθησόμεθα, καὶ εἷς ὁ Θεὸς, εἷς μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Ἰησοῦς· καὶ ὁ δὲ Ἰησοῦς προέκοπτεν ἡλικίᾳ καὶ σοφίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις· καὶ τὸ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πληρούμενον σοφίας· καὶ χαρὶς Θεοῦ ἦν ἐπ' αὐτῷ· καὶ προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ· καὶ σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ· ἆρα οὖν πάντα ταῦτα καὶ ὅσα τοιαῦτα ἄπειρα ὄντα, παρὰ τῇ θείᾳ γραφῇ δύνασθε λέγειν περὶ ἑκάστου ἀνθρώπου τῶν καθέκαστα λελέχθαι; καὶ πῶς δυνατὸν εἰπεῖν πάντας ἀνθρώπους ἐκ σπέρματος εἶναι Ἀβραάμ; καὶ τούτου οὐ παντὸς, ἀλλὰ φυλῆς Ἰούδα· καὶ ταύτης οὐχ' ὅλης, ἀλλ' ἐξ οἴκου Δαβὶδ· καὶ τούτου οὐ παντὸς, ἀλλὰ Μαρίας τῆς παρθένου; ἆρα ἴσως οὖν εἴποιτε ἂν καὶ τὸν Καϊάφαν ἐκ Μαρίας γεγενῆσθαι τῆς παρθένου; καὶ οὗτος γὰρ εἷς ἐστι τῶν καθέκαστα ἀνθρώπων· ἆρα γὰρ καὶ τὴν Μαρίαν, ἄνθρωπον εἴποιτε εἶναι, ἢ οὐκ ἄνθρωπον; ἀλλ' εἰ μὲν οὐκ ἄνθρωπον, εἴπατε τί τὴν οὐσίαν ὑπάρχει· εἰ δὲ ἄνθρωπον, καὶ πῶς τὸν καθόλου ἄνθρωπον αὕτη γεγέννηκε, πολλὰς μὲν ἀνθρώπων γενεὰς ἔχοντα πρὸ αὐτῆς, πολλὰς δὲ καὶ μετ' αὐτήν; ἢ πῶς τὸ καθόλου, τὶ τῶν καθόλου γεννήσειεν; ἀλλὰ μὴν οὐδ' ἄνδρα δύνασθε τὴν σύμπασαν φύσιν ὀνομάζειν· ἐπεὶ μὴ δὲ γυναῖκα· τὸ ἄνθρωπος γὰρ κοινὸν τούτων κἀκείνων, τὸ ἀνὴρ δὲ καὶ τὸ γύναιον διακριτικὰ καθέστηκε τῆς ἐν τῇ κοινῇ φύσει διαφορᾶς.

Πῶς δὲ καὶ τὸ ἄλλο οὐ σαφὲς, ὅτι ὥσπερ εἷς τῶν πάντων καὶ πρῶτος τῆς θνητῆς καταστάσεως ὁ Ἀδὰμ δι' οὗ πάντες ὅμοιοι γεγόναμεν θνητοὶ κατὰ φύσιν, οὕτω καὶ ὁ Χριστὸς τὸ κατὰ σάρκα εἷς ἐστι τῶν πάντων, καὶ ἀρχηγὸς τῆς ἐν ἀθανασίᾳ διαγωγῆς, δι' οὗ πάντες κατ' αὐτὸν, τῆς ἀθανάτου ζωῆς ἐν καθέξει γινόμεθα; καὶ ὅτι εἷς ἄνθρωπος ἀνθρώπων καὶ Θεοῦ μεσίτης; πῶς γὰρ οἱ πάντες ἑαυτοῖς μεσιτεύουσιν; ἢ πῶς πάντες παρ' ἑαυτοῖς χάριτι καὶ σοφίᾳ προκόψαιεν; οἱ πολλοὶ γὰρ καὶ ἄωροι κοιμῶνται, ἐπὶ τὴν τελείαν ἡλικίαν μὴ προκόπτοντες· καὶ ἄλλοι πάλιν πλεῖστοι ἀνοίας εἰσὶν ἀνάμεστοι καὶ ἀσεβείας, οὐχὶ δὲ σοφίας καὶ χάριτος θεοῦ τῆς ἐπ' αὐτοὺς· ἀλλὰ μὴν οὐδὲ προφῆται πάντες κατὰ Μωϋ-

σέα, οὐδὲ ἱερεῖς κατὰ Μελχισεδὲκ· ἐπεὶ ὥρα ὑμᾶς καὶ τὴν ἱερωσύνην τῶν εἰδωλοθύτων καὶ τὰς μαντείας τὰς παρὰ τοῖς ἕλλησι, προφητείας ὀνομάζειν μωσαϊκὰς καὶ ἱερωσύνας χριστιανικὰς, ὅπερ ἀσεβές. Ἀλλὰ τί μου περὶ τούτων ἐκτείνω τοὺς λόγους; οὐδὲ γὰρ πᾶσιν αὐτοῖς τοῦτο δοκεῖ· εἷς γὰρ τῶν προεστηκότων τουτουὶ τοῦ δόγματος ἐρωτηθεὶς ὑπό τινος οὐκ ἀπείρου τῶν λόγων, τίνες ἂν εἴησαν αἱ παρ' αὐτῶν λεγόμεναι φύσεις, ὁλικαὶ ἢ μερικαὶ, ἀπεκρίνατο μὲν δυνάσθαι καὶ ταύτας εἶναι κἀκείνας, ἑτέρῳ μέν τοι καὶ ἑτέρῳ λόγῳ· τῷ γὰρ φησὶν ἔχειν ἐν ἑαυταῖς τὸν λόγον τῆς κοινῆς οὐσίας, λεχθείησαν ἂν κοιναί· ἐπεὶ ζῶον λογικὸν θνητὸν ὁ τοῦ καθόλου ἀνθρώπου λόγος· τοῦτον δὲ εἶχε δηλονότι καὶ τὸ ἐξ ἡμῶν· ὁμοίως δ' ἂν εἴποιμεν καὶ περὶ τοῦ θεοῦ λόγου φησί· τῷ δὲ μὴ πᾶσαν ἐνηνθρωπηκέναι τὴν ἁγίαν τριάδα, μήτε μὴν πᾶσι τοῖς ὑπὸ τὴν ἀνθρωπείαν φύσιν ἀτόμοις, ἰδικαὶ ἂν εἴησαν καὶ οὐ κοιναί· ἀκούσας δὲ παρὰ τοῦ πυθομένου καὶ τί ἂν εἴησαν ἰδικαὶ φύσεις, ἢ ὑπόστασις, ἔλεγε τοῦτο Νεστορίου πρόβλημα, καὶ ἤρκεσεν ἂν αὐτῶν πρὸς ἀπολογίαν, τοῦ ἀνατετράφθαι τὸ οἰκεῖον δόγμα.

Οὐ πλειόνων χρεία λημμάτων καὶ διαιρέσεων καὶ κατασκευῶν καὶ ὁμιλιῶν· δεδόσθαι γὰρ ὑμῖν ἰδικὰς εἶναι τὰς δύο λεγομένας οὐσίας· εἰ καὶ ὅτι μάλιστα οὐδὲν τοιοῦτον ἡμεῖς ἐπὶ τῆς θείας φαμὲν φύσεως· ἀλλ' οἴδαμεν αὐτὴν ὁμοίως τε κοινὴν οὖσαν, καὶ ἐν τῇ ἰδικῇ ὑποστάσει τοῦ λόγου ἰδικῶς σαρκωθείσῃ ἐνυπάρχειν· ἰδίῳ γὰρ λόγῳ ἔχουσα τὸ ἀδιαίρετον, ὡς ἀμερὴς, ἀπαθῆ φυλάττει καὶ διακρινομένη τὴν κοινότητα ἑαυτῆς· πλὴν τὸ μυρίοις ὑμῖν κόποις συναγόμενον καὶ σπουδαζόμενον, τοῦτό ἐστιν, ὡς οὐδὲν ἕτερον ὑποστάσεις, εἰ μὴ ἰδικαὶ φύσεις εἰσί· καὶ δέον ἡμᾶς λέγοντας δύο τὰς φύσεις, καὶ ἰδικὰς ταύτας, ἢ θατέραν αὐτῶν μόνην, ἤγουν τὴν ἀνθρωπείαν, δύο εἰδέναι αὐτὰς οὔσας καὶ ὑποστάσεις· τῆς γὰρ θείας ὡμολόγηται προϋφεστῶσα ἡ ὑπόστασις· ἀλλ' ὦ σοφοὶ μεγάλα σφάλλεσθε οὕτω τοῦ ζητουμένου πράγματος τὸν λόγον πρώτως μὴ κατανοοῦντες, ἀλλ' εἴς τινα παρεπόμενα, ἢ τὸν οὐ μὴ ἄνευ λόγου ἐπέχοντα πρὸς τὸ ζητούμενον παρατρεπόμενοι· οὐ γὰρ ἐπεὶ ἄνθρωπος ἔμψυχος, οὐκ ἄνευ ἐστὶν ἀναπνοῆς ἀέρος, ἤδη τὸν εἰσπνεόμενον ἀέρα οἴεσθαι ἡμᾶς εἶναι τὴν ψυχὴν δέον· οὐδὲ ἐπεὶ συμβαίνει τοῖς θανοῦσι βαρυτέροις εἶναι, ἤδη καὶ βάρος ὁλκῆς εἶναι νομίζειν εἰκὸς τὸν θάνατον· ἀλλὰ δέον πᾶν τὸ περὶ οὗ ὁ λόγος κατανοοῦντας, ὅπως ἔχοι ὁ κατ' αὐτὰ λόγος σκέπτεσθαι· κἂν τε γὰρ οὐσία τὶς ᾖ, καὶ ἐπισυμβαῖνον ἔχοι τὶ τῶν παρ' αὐτὴν, οὐ συμβεβηκὸς εἶναι αὐτὴν ἡγητέον· κἂν τε συμσυμβεβηκός τι εἴη, καὶ ὥσπερ ἐπισυμβαίνουσαν αὐτῷ ἔχοι τὴν οὐσίαν, ἐκεῖνο πρώτως καὶ κυρίως οὐκ οὐσίαν, ἀλλὰ συμβεβηκὸς λέγειν δεῖ, συμβεβηκότως δὲ οὐσιῶσθαι· πλὴν ἐπεὶ οὐ-

δὲ ὑμεῖς πρὸς τὴν τῶν τοιῶνδε μάθησιν ἑαυτοὺς ἡμῖν ἐκδεδώκατε, οὐδὲ ἡμεῖς ὑμῖν πρὸς τοιάνδε διδασκαλίαν ἐπιῤῥίπτομεν· τάδε μὲν ἅλις.

Ἕτερα δὲ λίαν εὔδηλα τυγχάνοντα παραστήσουσι τῶν δοξάντων ὑμῖν πλεῖστον εἶναι τὸ ἄτοπον· εἰ γὰρ αἱ ὑποστάσεις οὐδὲν ἕτερον, ἀλλ' ἢ ἰδικαὶ οὐσίαι εἰσὶ, τρεῖς λέγοντες τὰς ὑποστάσεις τῆς ἁγίας τριάδος, δηλονότι τρεῖς καὶ τὰς οὐσίας φατέ· καὶ ἰδοὺ τὴν τριθεΐαν μετὰ τῆς εἰς τὴν οἰκονομίαν βλασφημίας ὑπεδύσασθε· ἔτι δὲ καὶ ἄλλως τὸ ἄτοπον ὑμῶν γνωριστέον· εἰ γὰρ οὐσία ἡ ἰδικὴ Ματθαίου τυχὸν, τῆς οὐσίας Μάρκου τῆς ἰδικῆς οὐδὲν διαφέρει, τὸν γὰρ αὐτὸν λόγον καὶ ὅρον ἐπιδέχεται ἑκάτερα, οὐδὲ ἡ ὑπόστασις ἤγουν τὸ πρόσωπον Ματθαίου, τῆς ὑποστάσεως εἴτουν τοῦ προσώπου Μάρκου διενέξεται, ἀλλὰ τὸν αὐτὸν ὅρον καὶ λόγον εἴτουν ὑπογραφὴν ἑκατέρα ἐπιδέξεται ὑπόστασις· καὶ ἐν τοῖς αὐτοῖς οὐ μόνον οὗτοι ἀλλὰ καὶ πᾶς ἄνθρωπος γνωρισθήσεται ἰδιώμασι καὶ ἐν ταῖς ἐξ αὐτῶν ὑποστάσεσιν· εἴπερ ταυτόν ἐστιν ἡ ἰδικὴ τῶν καθέκαστα οὐσία τῇ ὑποστάσει· ἔτι δὲ ὦ οὗτοι μνημονεῦσαι τῶν ὑμετέρων δυσωπήθητε· καὶ γὰρ πρὸ μικροῦ ὑμῖν εἴρητο, ὅτι οὐκ ἐξ οὐσιωδῶν ἡ ὑπόστασις συνέστηκεν· εἰ οὖν ταυτόν ἐστι τῇ ἰδικῇ οὐσίᾳ, οὐδὲ ἡ ἰδικὴ οὐσία δηλαδὴ ἐξ οὐσιωδῶν συνέστηκεν· ἀλλ' ὡς ἐν ἐκείνοις εἴπετε καὶ ὑμεῖς, ἐκ σιμότητος καὶ λευκότητος καὶ τῶν ὁμοίων, ἢ ἀπὸ τρόπου ὑπάρξεως ἔσται ὑφεστῶσα ἡ ἰδικὴ ὕπαρξις εἴτουν οὐσία· ἔσται οὖν ἐξ ἀνουσίων ἡ οὐσία· καὶ ἐξ ἀνυπάρκτων ἡ ὕπαρξις· εἰ δὲ τούτων λίαν εὔδηλον τὸ ἀνόητον καὶ μειρακίοις, μάτην ἄρα τοσήνδε τοῦ συλλογισμοῦ ῥαψολογίαν καταναλώσαντες, οὐδὲν ἑαυτοῖς ἐπορίσασθε.

Εἰ ἐπειδὴ ἐν τῷ θεῷ λόγῳ ὑπέστη ὁ ἄνθρωπος, οὐκ ἔχει ὑπόστασιν ἰδίαν ὁ ἄνθρωπος, πῶς εἰ ἐν αὐτῷ ἔφυ, ἔχει φύσιν ἰδίαν ὁ ἄνθρωπος; καὶ εἰ ἔχει φύσιν ἰδίαν ὁ ἄνθρωπος, πῶς οὐχ ἕξει καὶ ὑπόστασιν; ἢ ἔστω φὺς ἔξω που τοῦ θεοῦ λόγου; ὑποστὰς δὲ ὕστερον ἐν αὐτῷ, πῶς δὲ καὶ φύσις τοῦ ἐξ ἡμῶν ἀνθρώπου, πρὸ τῆς ὑποστάσεως τῆς ἰδίας; Τῶν φύσεων τῶν τε ὁμοίων καὶ ἀνομοίων διακρινομένων τε καὶ ἑνουμένων, οὐ λόγῳ ἀλλὰ φύσεως ἀριθμῷ, ἤγουν ὡς ἀριθμητῆς ἑκάστης ἀφ' ἑτέρας ὁμοίας καὶ ἀνομοίου διωρισμένης τὴν ἐν τοῖς οὖσι τῶν τε ἀνομοίων σύνθεσιν καὶ τῶν ὁμοίων διάκρισιν ἡ ὑπόστασις ἡμῖν πέφυκεν ἐξαγγέλλειν, διορισμός τις οὖσα κυρίως καὶ ἀπόστασις ἑτέρου τινὸς ἀφ' ἑτέρου· κἄν τε ὅμοια τύχοιεν ὄντα τὴν φύσιν, κἄν τε ἀνόμοια εἴη τὰ διεστηκότα ταῖς φύσεσιν ἀλλήλων, οὐ λόγῳ πάντως, ἀλλ' αὐτῇ τῇ ὑπάρξει· τὰς ὑποστάσεις γὰρ σωζομένας κατὰ τοῦτο καθ' ὃ διορίζονται, ἐν τούτῳ καὶ ἑνοῦσθαι ἀδύνατον· εἰ οὖν γέγονεν ὑπόστασις ἰδικὴ τῷ ἀνθρώπῳ, πῶς ἐν τῷ θεῷ λόγῳ διὰ τῆς ἑνώσεως ὁ ἄνθρωπός ἐστιν, εἰ ὄντως ἔχοι τοῦτο τὸ VII.

χωρίζον αὐτὸν ἀπ' αὐτοῦ; ὥσπερ οὖν καὶ ἀπὸ πάντων τῶν ἄλλων τῶν ἐκτὸς αὐτοῦ ὑφεστώτων ἀνθρώπων, ἤγουν τὴν ὑπόστασιν, φύσεις δὲ καὶ ἑνοῦσθαι ἀσυγχύτως ἀλλήλαις δύνανται ἐν ὑποστάσει τινὶ μὴ ἀναιρούμεναι ὑπ' ἀλλήλων τοὺς οἰκείους λόγους· οὐ γὰρ τοῦτο φύσεως λόγος τὸ διακεκριμένως καὶ διωρισμένως ἀπὸ πάσης φύσεως ὑφεστηκέναι, ὥσπερ τῶν ὑποστάσεων· πῶς οὐκ ἂν ἀκωλύτως εἴη ἡνωμένη τῇ φύσει τοῦ Θεοῦ λόγου ἡ φύσις ἡ ἀνθρωπεῖα, φύσις τοιάδε μένουσα, καὶ ὃ πέφυκε δεικνῦσα καὶ ἐν τῇ ἑνώσει; οὐ γὰρ ὡς ὑπόστασις ὑποστάσει ἡνωμένη εἶναι οὐ δύναται σωζομένων ἄμφω τῶν ὑποστάσεων εἴτουν ἀποστάσεων· καὶ αὐτὸ τοῦτο χωρισμὸν τὸν ἀφ' ἑτέρων σημαινουσῶν διὰ τοῦ ἰδικωτάτου ἰδιώματος τῶν καθ' ἕκαστα· εἴπερ γὰρ τὸ διακεκριμένον, οὐ τῷ διακεκριμένως τὲ εἶναι καὶ ἡνῶσθαι τινὶ, οὕτω λέγειν οὐ δυνάμεθα· θάτερον γὰρ ἀναγκαίως ἀναιρεθήσεται, ἢ τὸ μὴ ἡνωμένον, ἢ τὸ μὴ διακεκριμένον εἶναι θάτερον θατέρου· οὐδὲ ἐν τῇδε τήνδε λέγειν τὴν ὑπόστασιν ἐστὶν, ἕνωσιν τῶν ἐν αὐταῖς ἀπ' ἀλλήλων διακριτικῶν ἰδιωμάτων σωζομένων ὑποτιθεμένους· πῶς οὖν ἐν τῇ ὑποστάσει τοῦ λόγου, ἀνθρωπείαν συνεληλυθέναι ὑπόστασιν ἐροῦμεν; εἰ γὰρ καὶ ἦν ποτὲ, συνῆλθε δὲ ὅμως ὑπόστασις καθ' ὅλην ἑαυτὴν, καὶ οὐκ ἀπὸ μέρους καὶ κατὰ παράθεσιν ὡς ἐν οἴκῳ λίθοι, καὶ οἱ ἐν χορῷ νέοι, οὐκ ἔμεινεν ἔτι ἀφεστῶσα δηλαδὴ ἵνα ᾖ ὡσαύτως ὑπόστασις λοιπὸν· μόνον γὰρ ἐν σώμασιν ἡ μερικὴ τῆς ὑποστάσεως αὕτη ἕνωσις ὁρᾶται ψιλὴ καὶ οὐ κυρίως οὖσα· οὐδὲ κατὰ τὸ ὅλον τῆς ὑποστάσεως; ἀλλὰ κατὰ παράθεσιν ἐπιφανειῶν, ἢ μορίων λεπτοτάτων, ἢ συμπλοκὴν μερῶν, ἢ κατὰ πέρατα τοπικῶς συνάπτουσα τὰ ἄτομα· οὕτως γὰρ λίθος λίθῳ, καὶ ἔλαιον ὕδατι, καὶ μίτος μίτῳ· καὶ ταῦτα μὲν περὶ τούτου.

Τὸ δὲ πῶς εἴη ἂν φύσις πρὸ τῆς ὑποστάσεως τῆς ἰδίας, ἀπορεῖν ὑμᾶς, περιττῶς ἐλέχθη πρὸς ἡμᾶς· οὐδὲ γὰρ τοῦτο ὑμῖν εἰρήκαμεν ὡς προϋπῆρξε τῆς ὑποστάσεως ἡ ἰδικὴ φύσις ἀνθρωπεῖα τοῦ δεσπότου, ἀλλὰ τοὐναντίον ἅμα τὲ φῦναι καὶ ὑποστῆναι αὐτήν· ἀλλ' οὐκ ἐν ἰδικῇ τινὶ αὐτῆς μόνης οὔσῃ ὑποστάσει, ἤγουν ψιλοῦ ἀνθρώπου γινώσκωμεν, ἀλλ' ἐν τῇ προϋφεστηκυίᾳ αὐτῆς τῇ τοῦ λόγου ὑποστάσει· ἐν ᾗ καὶ τὰ τῆς ἀνθρωπείας φύσεως ἴδια καὶ ἰδιώματα συνάψας· καὶ ἐν τῇ συνδρομῇ τῶν ἀμφοτέρων φύσεων, ἓν πρόσωπον ὁμοίως καὶ ἐξ ἑκατέρας φύσεως, καὶ ἐκ τῶν ἐξ ἑκατέρας οὐσίας σωρευθέντων χαρακτηριστικῶν, ἔδειξεν ἑαυτὸν ὁμοίως ὄντα ὁ εἷς τῆς ἁγίας τριάδος· ὃς ὑπόστασις μὲν ὄντως ἐστὶ μία μόνη καὶ αὐτὴ οὐκ ἀνθρωπίνη· φύσιν τὲ γὰρ καὶ ἰδιώματα ἔχει τὰ θεῖα· οὐκ ἐν θείοις δὲ μόνον ἐστὶν ἰδιώμασιν· περισσεύει γὰρ καὶ τοῖς παρὰ τὸ θεῖον χαρακτηρίσμασι συναχθεῖσι τῇ προσλήψει τῆς καινοτέρας φύσεως· προσεκτέον δὲ τούτῳ σαφῶς καὶ ἐπὶ τῶν μύδρων· καὶ γὰρ προϋφεστώσης κατ'

ἰδίαν ὑπόστασιν τῆς μάζης τοῦ σιδήρου, εἶτα εἰς κάμινον εἰσαγομένης, πυρὸς, φύσις αὐτῇ ἐπιγεννᾶται, οὔτε πρώην οὔτε ἰδίᾳ ποτὲ ὑποστάντος, ἀλλ' ἐν αὐτῇ· ἐκ μὲν τῆς καμίνου τεχθέντος, ἐκτὸς δὲ αὐτῆς ἐν τῇ ἰδέᾳ δικαίᾳ αὐτοῦ τὴν ὑπόστασιν ἔχοντος, καὶ τὸ ἐν τῇ καμίνῳ πῦρ οὐκ ἀπομειώσαντος.

Εἰ ὅλως ὑπέστη ὁ ἐξ ἡμῶν ἄνθρωπος ἐν τῷ θεῷ, πῶς οὐκ ἔῤῥωται VIII. καὶ ἔστιν ἡ ὑπόστασις τοῦ ἐξ ἡμῶν ἀνθρώπου ἐν τῇ ὑποστάσει τοῦ θεοῦ λόγου; καὶ εἰ μὴ ἔῤῥωται καὶ ἔστιν ἡ ὑπόστασις τοῦ ἐξ ἡμῶν ἀνθρώπου ἐν τῷ θεῷ λόγῳ, πῶς οὐχὶ ἀπόλωλεν ὑποστᾶσα ἢ οὐδὲ ὅλως τὴν ἀρχὴν ὑπέστη; Ἆρα γὰρ πᾶν ὅ τις εἴποι εἶναι καὶ ὑφεστάναι, ἤδη καὶ ἰδίᾳ εἶναι φησί; οὐκοῦν ἐπεὶ εἶναι φαμὲν καὶ ὑφεστηκέναι ἐν τῷ ἀνθρώπῳ χεῖρα καὶ ποῦν καὶ ὄνυχα καὶ ἧπαρ, ἤδη καὶ ἰδίᾳ εἶναι ταῦτα, καὶ διακεκριμένως ἕκαστον τούτων ἔχειν ὑπόστασιν δοξάσομεν; καὶ νοῦν δὲ εἶναι ἐν ψυχῇ, καὶ ἐν τῷ σώματι ὑφεστηκέναι τὸ χρῶμα λέγομεν· ἆρα οὖν καὶ ὑποστάσεις τῶνδε ζητήσομεν; καὶ πῶς ἂν ὧδε τὸ ἔν τινι λεγόμενον εἶναι, ὑμεῖς ἡμῖν ἴσως ἑρμηνεύσετε; ἀλλὰ τὸ τὰ τοιαῦτα λέγειν, τάχα δὲ καὶ τὸ τοιούτοις ἀντιλέγειν, ἀλογίαν ἢ λογιότητα πολλὴν ἐπιμαρτύρεται.

Εἰ ἐν τῷ θεῷ λόγῳ λέγεις ὑφεστᾶναι τὸν ἐξ ἡμῶν ἄνθρωπον, πῶς IX. αὐτῷ τῷ ὑφεστᾶναι, οὐχ' ὑπόστασιν δηλοῖς ἔχειν τὸν ὑποστάντα; Ὅτι μὲν ὑφέστηκεν ὁ ἄνθρωπος ἐν τῷ θεῷ λόγῳ, μᾶλλον ὑμῶν βοῶμεν· ἀλλ' ὡς ἔοικεν, ἐπελάθεσθε περὶ ὅτου πρὸς ἡμᾶς διεφέρεσθε, καὶ ἄλλο νῦν ἐγκαλεῖτε· τὸ γὰρ ἰδίᾳ καθ' ὑμᾶς ὑφεστηκέναι τὸν ἑνούμενον ἅπαξ εἰπεῖν ἄνθρωπον, οὐ καταδεχόμεθα· ἵνα μὴ δύο ἐντεῦθεν τὰς ὑποστάσεις σωζομένας ἐν τῷ ἰδιάζοντι ἑκατέρᾳ τῶν συνελθουσῶν λόγῳ παραστήσαντες, τὴν ἕνωσιν ἐκ βάθρων ἀνατρέψωμεν· εἰ γὰρ καὶ ἰδίᾳ ὑφεστῶτος ἑκατέρου τῶν ἐν Χριστῷ, λέγετε δυνατὸν εἶναι τινὰ ἕνωσιν αὐτοῖς; ἢ καθ' ἣν καὶ Δαβὶδ τῷ πολεμίῳ αὐτοῦ Γολιὰθ κατὰ τὴν συμπλοκὴν τοῦ πολέμου, καὶ τὴν ἐνέργειαν τῆς ἐκείνου ἀναιρέσεως ἡνωμένος ἦν φατέ; ἢ καθ' ἣν Ἰωσὴφ ἐν Αἰγύπτῳ ὢν, τῷ Βενιαμὶν ἥνωτο; ἢ καθ' ἣν ἡ ἐνέργεια τοῦ μουσικοῦ τῇ κιθάρᾳ; ἢ τινὰ τοιάνδε ὑφεστηκέναι οὖν πάντως; ἐν κοινῇ δὲ καὶ μιᾷ τῇ ὑποστάσει τόν τε λόγον καὶ τὴν σάρκα ἅμα δοξάζομεν ἡμεῖς· ὑμεῖς δὲ εἰ καὶ μὴ τοῖς ἡμῶν, ἀλλὰ τοῖς γε ὑμετέροις „ πῶς οὐκ ἐπισκέπτετε, ἐν τῷ λόγῳ λέγοντες καὶ αὐτοὶ τὸν ἄνθρωπον εἶναι; τὸ γὰρ ἔν τινι λεγόμενον εἶναι, τὴν ἕνωσιν τὴν πρὸς αὐτὸν μαρτύρεται· τὸ δὲ ἰδίᾳ ἑκατέρου λέγειν τῶν ὑποκειμένων εἶναι τὴν ὑπόστασιν, τὴν πρὸς ἄλληλα τούτων διάστασιν σαφῶς ὁμολογεῖ· ταῦτα δὲ ἅμα περὶ τοῦ αὐτοῦ λέγειν ἢ φρονεῖν, λίαν ἀσύμβατα.

Εἰ ὑπέστη μὲν ὁ ἐξ ἡμῶν ἄνθρωπος, οὐκ ἔχει δὲ ὑπόστασιν, πῶς X.

οὐκ ἐναντία δογματίζεις, ἀνυπόστατον τὸν ὑφεστηκότα λέγων; Οὔτε ὧν φατὲ μέμνησθε, οὔτε οἷς λέγομεν ἐπισκέπτετε· οὐκ ἀνυπόστατον ὑμῖν τὸν ἄνθρωπον τὸν κυριακὸν δεῖξαι βουλόμεθα· μὴ γένοιτο· ἀλλ' οὐκ ἰδιοϋπόστατον, τουτέστιν ἀπὸ τοῦ λόγου χωριζόμενον· ὅτι δὲ οὐ ταυτὸν ἀνυπόστατον λέγειν καὶ ἰδιοϋπόστατον, τίς ἀμφιβάλλοι; εἰ τὸ μὲν τοῦ πῶς εἶναι πρὸς τὰ ἕτερα, τὸ δὲ τοῦ ὅλως μὴ εἶναι δηλωτικόν ἐστι ὦ σοφώτατοι.

XI. Εἰ ἡ Πέτρου ψυχὴ ἑτέρα ἐστὶ παρὰ τὴν Παύλου, τὸ δὲ ἕτερον ἢ φύσει καὶ ὑποστάσει ἕτερον, ὡς ὁ οὐρανὸς τῆς γῆς, ἢ ὑποστάσει πάντως ὡς ὁ πατὴρ τοῦ υἱοῦ, πῶς οὐχὶ τῇ φύσει καὶ τῇ ὑποστάσει, ἢ πάντως τῇ ὑποστάσει διαφέρει ἡ ψυχὴ Πέτρου τῆς Παύλου; εἰ δὲ τοῦτο, πῶς οὐκ ἔχει ὑπόστασιν ἑκάστου ἡ ψυχὴ καθ' ἣν διαφέρει τῆς ἑτέρου, ἢ τῶν τῆς αὐτῆς οὐσίας, ἢ οὐ τῆς αὐτῆς; Τοῦτο νῦν παρ' ὑμῖν δῆλον ὡς διὰ τὸ δεῖξαι καὶ ἀνθρώπου ἑκάστου δύο τὰς ὑποστάσεις οὔσας, εἴρηται· ἵνα μὴ δὲ ἐκ τοῦ κατὰ τὸν ἄνθρωπον παραδείγματος ἀποκλείεται ὑμῖν τὸ δύο λέγειν τὰς ὑποστάσεις Χριστοῦ, δύο οὐσῶν αὐτοῦ τῶν φύσεων, ὥσπερ φαμὲν Πέτρου ἢ τοῦ Παύλου· ἡ Παύλου οὖν ψυχὴ, εἰ καὶ ἑτέρα ἐστὶ τῇ ὑποστάσει καθ' αὐτὴν μόνην, οὐκ οἶδα πῶς ὑμῖν δυνατοῦ ὄντος τοῦτο κρίνειν περὶ αὐτῆς ἔτι παραμενούσης τῇ σαρκὶ, ὅμως ποῦ τὴν ψυχὴν Πέτρου ἀναλαβεῖν εἴρηται, ἢ ἡ Πέτρου ἐν τῇ Παύλου εἶναι, ὥσπερ εἴπατε καὶ ὑμεῖς πρὸ μικροῦ ἐν τῷ θείῳ λόγῳ τὸν ἄνθρωπον εἶναι διδόντες· τοῦτο γάρ ἐστι τὸ κωλυτικὸν τοῦ τὴν δυάδα φαίνεσθαι τῶν ὑποστάσεων, τὸ τὴν ἕνωσιν ὁμολογεῖσθαι τῶν φύσεων· εἰ γὰρ μὴ δὲ ὁ λόγος τὴν σάρκα ἀνελάβετο, ὥσπερ οὐδὲ ὁ Πέτρος Παῦλον, ὄντως ἦν κατὰ τὸ παράδειγμα Πέτρου καὶ Παύλου, τοῦ τε λόγου καὶ τῆς σαρκὸς ἤγουν τοῦ ἐν Χριστῷ ἀνθρώπου, διάφορος ἡ ὑπόστασις· εἰ δὲ ὁ Πέτρος Παῦλον οὐκ ἀνελάβετο, ὥσπερ ὁ λόγος τὴν σάρκα, οὐκ ὀρθῶς παρηγάγετε τόδε πρὸς τόδε· καὶ εἰ ὁ σαρκωθεὶς λόγος εἷς υἱὸς καὶ οὐ δύο, Παῦλος δὲ μετὰ Πέτρου, οὐχ' εἷς υἱὸς ἀλλὰ δύο εἰσὶν, ἀλλοκότως τάδε παρατίθεσθε· καὶ εἰ εἷς Χριστὸς ὁ ἐν θεότητι καὶ ἀνθρωπότητι ἐστὶν, οὐχ' εἷς δὲ ἀπόστολος Πέτρος καὶ Παῦλος, ἀλλὰ δύο, ἀνομοίως παρεβάλετε πρὸς ἔνδειξιν τοῦ εἴ τι ἑτερόν ἐστι, πάντως καθ' ὑπόστασιν εἶναι ἕτερον ἑτέρου, εἴτε κατὰ φύσιν ἐστὶν ἕτερον, εἴτε καὶ μὴ ἔστιν· εἰ οὖν ἄρα δύο τοὺς Χριστοὺς, δύο δὲ τοὺς υἱοὺς, καὶ δύο τοὺς κυρίους δοξάζοντες ταῦτα φατὲ, καὶ τούτων οὐδένα ἀναληφθέντα ὑφ' ἑτέρου, ἀλλ' ὡς Παῦλον Πέτρου διακεκριμένον, ὀψέ ποτε τὸ τῆς ἀσεβείας ὑμῶν κρυπτὸν ἀπεκαλύψατε μῦσος· ποῖον οὖν τὸν θεὸν, καὶ τίνι χρισθέντα τὸν ἕνα Χριστὸν εἶναι νομίζετε· ποῖον δὲ τὸν ἄνθρωπον, καὶ τίνι χριόμενον· καὶ τὸν ἄλλον Χριστὸν ἀπαγγείλατε· ποῖόν τε τὸν ὡς ἀληθῶς υἱὸν εἶναι, τὸν ἐν Ἰορδάνῃ μαρτυρού-

μενον· καὶ ποῖον τὸν αἰσθητῶς βαπτιζόμενον· ὁ γὰρ εἷς μόνος δεικτικῶς ὑπὸ τοῦ πατρὸς μαρτυρούμενος, δύο ὄντων καὶ διαφόρων, εἰκότως τὸν ἕνα τῶν καθ' ὑμᾶς υἱῶν ἢ Χριστῶν παραγράψετε· ἢ οὖν τὸν βαπτιζόμενον τὸ τηνικαῦτα ὁρατὸν, ἢ τὸν ἐκ τοῦ πατρὸς πρὸ αἰώνων ἀόρατον, ἀναγκαῖον ὑμᾶς παραιτήσασθαι· ἕνα γὰρ μόνον αὐτοῦ εἶναι υἱὸν φησὶ ἑνικῶς ὁ πατὴρ· ἔτι μὴν καὶ αἰσθητὸν ἐπεὶ καὶ δεικτικῶς ἡμῶν τοῖς ὀφθαλμοῖς ἐμήνυεν ὁ πατὴρ τὸν ἀγαπητὸν ἑαυτοῦ υἱόν· ὃς καὶ λόγος ἀόρατος ὡμολόγηται· ἢ οὖν ψευδὴς ἡ τοῦ πατρὸς μαρτυρία, ἢ περιδεῶς ἐκ τοῦ λογίου δόξα· ἢ ἄμφω ὁ αὐτὸς ἦν ὁ μαρτυρούμενος υἱὸς, αἰσθητὸς καὶ ἀόρατος.

Εἰ κατὰ φύσιν μηδὲν διαφέρει τὸ σῶμα Πέτρου τοῦ σώματος Παύλου, πῶς ἂν καθ' ὑπόστασιν οὐ διαφέροι; εἰ δὲ μὴ δὲ καθ' ὑπόστασιν διαφέρει, τὸ δὲ μήτε τῇ φύσει, μήτε τῇ ὑποστάσει διαφέρον, ταυτὸν ἂν εἴη κατὰ πάντα, πῶς οὐκ ἔσται Πέτρου καὶ Παύλου, ἓν τὸ σῶμα καὶ ταυτὸν κατὰ πάντα, ὅπερ ἀδύνατον; Ἀλλὰ πρῶτον μὲν καὶ σῶμα σώματος διαφέρει κατὰ φύσιν τὴν ἰδίαν, ἧς νῦν τὴν κοινὴν ἡμῖν ἀντισηγαγέτε οἱ τοσαῦτα πρὸ βραχέος τοῖς εἰσάγουσι τὴν κοινὴν φύσιν ἐπὶ τοῦ ἀνθρώπου καταχέαντες· οὐ γὰρ ταυτὸν, οὔτε τῷ ἀριθμῷ, οὔτε πάσῃ ποιότητι φυσικῇ πᾶν σῶμα· εἴπερ μὴ ταυτὸν τῇ φύσει μὴ δὲ πᾶς λίθος καὶ φυτὸν καὶ τὰ λοιπὰ· καὶ γὰρ ἀλλήλων φθαρτικὰ πολλὰ φυτὰ καὶ λίθοι· καὶ ὅμως λίθοι καὶ φυτά· οὔτε γὰρ πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ· ἀλλ' ἄλλη μὲν πετεινῶν, ἄλλη δὲ ἰχθύων καὶ ἑρπετῶν, καὶ σώματα ἐπίγεια, καὶ σώματα ἐπουράνια· οὐκ ἄρα οὖν διὰ τὸ διάφορον τῆς φύσεως, ἀνάγκη διαφόρου ὑποστάσεως αὐτοῖς εἰς διάκρισιν· ἔτι μὴν εἰ τόδε αἴτιον τῆς χρείας τῶν ὑποστάσεων ἐν Χριστῷ, διαφόρων οὐσῶν τῶν φύσεων, ἀναγκαίως οὐκ ἔσται διαφορὰ ὑποστάσεων· πλὴν δεδόσθω ὑμῖν καθ' ὑπόστασιν πάντως διαφέρειν· εἴτε διαφέροι κατὰ φύσιν εἴτε καὶ μὴ πάντα τὰ σώματα· ἀλλὰ δῆλον, ὡς τὰ μὴ ἡνωμένα ἀλλήλοις· οὐ γὰρ καὶ ἐν τῷ μύδρῳ διάφοροι ὑποστάσεις ὁρῶνται· καὶ ἐπὶ τοῦ κυρίου ἄρα, εἰ μὲν χωρὶς ἑνώσεως αὐτῶν φαμὲν τὰ κατ' αὐτὸν, ὄντως δέον ἢ καὶ φύσεων καὶ ὑποστάσεων εἰδέναι τὴν διαφορὰν, ἢ πάντως γε τῶν ὑποστάσεων· καὶ τοῦτο δὲ δῆλον ὅτι εἰ μὴ ἦν τῶν φύσεων ἐξαλλαγή· εἰ δὲ καὶ κατὰ φύσιν διαφερόντων τινῶν ἐν αὐτῷ καὶ ἕνωσιν ὁμολογοῦμεν, εἰ καὶ ἀσύγχυτον, τίς ἡ χρεία δύο ὑποστάσεων; ἀλλ' οὕτως μὲν τάδε. Ποῦ δὲ ὅμως τινὶ δέδοται καὶ τὸ σῶμα Παύλου ἡνῶσθαι πρὸς τὸ Πέτρου, ἵνα τὸ ὅμοιον ἔχῃ τάδε πρὸς τὴν κυριακὴν ἕνωσιν, ἡνίκα ὁ μὲν τοῖς ἐκ περιτομῆς ἐν τῇ Ἰουδαίᾳ καὶ Παλαιστίνῃ, ὁ δὲ τοῖς ἐν Κορίνθῳ ἔθνεσι καὶ Ἀχαΐᾳ καὶ Μακεδονίᾳ συνηυλίζετο; οὐ γὰρ τοιαύτην δεξιὰν κοινωνίας πρὸς τὴν σάρκα δεδωκέναι φαμὲν τὸν λόγον, οἵαν Πέτρος ἀφοριζόμενος εἰς τὴν περιτομὴν, τῷ Παύλῳ ἀπο- XII.

στελλομένῳ πρὸς τὰ ἔθνη· ἀλλ᾽ ἕνωσιν ἀληθῆ πισΊεύομεν, καὶ συνύπαρξιν αὐτῶν εἰς τοὺς ἑξῆς αἰῶνας φυσικὴν δι᾽ ὑποστατικῆς ἑνώσεως· εἰ καὶ ταύτην ὑμεῖς φανερῶς ἀπηρνήσασθε, καὶ οὐδὲν ἑαυτοῖς λείψανον τῆς χρισΊιανῶν εὐσεβείας εἰς τὸν τῆς οἰκονομίας λόγον ἐφυλάξατε.

XIII. Ἐκ τοῦ δὲ φληναφεῖν καὶ δοκεῖν τι λέγειν τοῖς παρεστηκόσιν, ἀπαιτούμενοι δεῖξαι φύσιν ἀνυπόστατον, παρέχουσι μὲν νῶτα τῷ αἰτοῦντι, λέγουσι δὲ ὅτι ὄντως φύσις οὐκ ἔστιν ἀνυπόστατος· ἐνυποσΊάτους γὰρ φαμὲν τὰς οὐσίας καὶ ἡμεῖς, φασίν· ἀλλ᾽ οὐκ εἴ τι ἐνυπόστατον, τοῦτο καὶ ὑπόστασις· ὥσπερ ἀμέλει οὐκ εἴ τι ἐνούσιον, τοῦτο καὶ οὐσία· ἐπεὶ ἰδοὺ τὰς ἁγίας τριάδος ὑποστάσεις φαμὲν τρεῖς εἶναι, καὶ ταύτας ἐνουσίους· καὶ οὐ λέΓομεν πρὸς Ταῖς Τρισὶν ὑποσΊάσεσι, καὶ Τρεῖς οὐσίας· καίπερ ἐνούσιον ἐπιστάμενοι τῶν ὑποστάσεων ἑκάστην· εἰ τοίνυν ἐστὶ λέγειν φαμὲν τρεῖς ὑποστάσεις ἐνουσίοις ἐν μιᾷ οὐσίᾳ, ἐνδέχεται δηλονότι καὶ φύσεις λέγειν ἐνυποστάτους δύο ἐν μιᾷ ὑποστάσει· καὶ οὕτως οὐδὲ φύσιν ἀνυπόστατον φαμὲν οὐδὲ δύο ὑποστάσεις τὰς δύο φύσεις δογματίζομεν· ὥσπερ οὐδὲ ἀνουσίους φαμὲν τὰς τῆς ἁγίας τριάδος ὑποστάσεις, οὐδὲ εἰς τρεῖς οὐσίας τὰς τρεῖς ὑποστάσεις διαιροῦμεν· ἀλλὰ μὴν φασὶ καὶ ἄλλως ἐγχρωμάτιστον λέγοντες σῶμα, οὐ ταυτὸν ἴσμεν τῷ χρώματι τὸ σῶμα· οὐκ εἴ τι Γὰρ ἐΓχρωμάτιστον, τοῦτο ἤδη καὶ χρῶμα· οὕτως οὖν οὐκ εἴ τι ἐνυπόστατον, τοῦτο ἤδη καὶ ὑπόστασις· περιττὸν ἄρα φασὶ τὸ λεΓομενον· καὶ οὐκ ἀναγκαῖον τὸν λέγοντα δύο φύσεις, ἢ ἀνυποστάτους αὐτὰς, ἢ μίαν αὐτῶν λέγειν, ἢ πάντως καὶ δύο ὑποστάσεις, ἐπεὶ μὴ ὑπόστασις τὸ ἐνυπόστατον ὡς ἐδείξαμεν· ταῦτα τοιγαροῦν ἐκεῖνοι τοὺς παρεστηκότας φενακίζοντα ἔλεγον, ἄνω τὴν ὀφρῦν ἔχοντες, καὶ διὰ τούτων ἀπὸ Χερουβὶμ ἑαυτοὺς ὀνομάζοντες· ὅρα δὲ σὺ αὐτὸς ὅπως δι᾽ ὧν εἰρήκασι, τὰ οἰκεῖα καΤέσκαψαν· ἢ ἀΓνοοῦνΤες, δι᾽ ἄΓνοιαν οἰκείαν· ἢ χλευάζονΤες τοὺς ἀκούοντας, ἀπείρους ὄντας τῶν τοιούτων καὶ ὁμοιότητι λέξεων παρακρουόμενοι· εἰ ἀναλογεῖ γὰρ τῷ μὲν σώματι ἡ φύσις, τῷ δὲ χρώματι ἡ ὑπόστασις, καὶ λέγουσιν ἐνυποστάτους τὰς φύσεις, ὥσπερ οὖν τὰ σώματα ἐγχρωμάτιστα, ἀνάγκη ἔνθα ἐστὶ ἐνυπόστατος φύσις, καὶ ὑπόστασιν εἶναι· ὥσπερ οὖν καὶ χρῶμα ἔνθα σῶμα ἐγχρωμάτισΊον· οὔτε γὰρ ἐνδέχεται νοῆσαι φύσιν ἐνυπόστατον ἄνευ ὑποσΊάσεως· εἰ οὖν τῇ φύσει ἀναγκαίως διενήνοχέ τι καὶ τῇ ὑποσΊάσει, ἐπειδειξάτωσάν μοι τὶ διαφέρον μὲν τῇ φύσει, μὴ διαφέρον δὲ τῇ ὑποστάσει· καὶ μὴ βουκολείτωσαν τοὺς ἁπλουστέρους, ὁμοιότητι φράσεων αὐτοὺς παραλογιζόμενοι, τῷ λέγειν εἰ ἔστιν ὑπόστασις, ἐνούσιος μὲν οὐχ᾽ ἑτεροούσιος δὲ, ἔστι καὶ φύσις ἐνυπόστατος μὲν, οὐχ᾽ ἑτεροϋπόστατος δὲ· ψευδὲς γὰρ τὸ τελευταῖον· ἐπείπερ εἴ τι ἑτεροούσιον, τοῦτο πάντως καὶ ἑτεροϋπόστατον· εἰ τοίνυν διαφέρουσιν αἱ φύσεις ἀλλή-

λων, κατὰ φύσιν διαφέρουσι· διαφέρουσι δηλονότι καὶ καθ' ὑπόστασιν· καὶ εἰ διαφορὰν φύσεων ἐπὶ μιᾶς φύσεως λέγεσθαι ἀδύνατον, ἀμήχανον ἄρα καὶ διαφορὰν ὑποστάσεων εἶναι ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως.

Ἤδη μὲν ἀληθῶς εἰσὶ τὰ προταχθέντα ὑμῖν ἡμέτερα προβλήματα· τούτοις δὲ οὐ προσφόρως ὑπαντήσαντες, ἑαυτοὺς μόνον περὶ τῶν δοκούντων ὑμῖν πεπείκατε· εἰ γὰρ ἐπεὶ τῷ μὲν χρώματι ἀναλογεῖ ἡ ὑπόστασις ἐν τῷ τῆς ὁμοίας ὀνομασίας κατὰ τύχην παραδείγματι, τῷ δὲ σώματι ἡ φύσις ἀναγκαῖον ἔνθα ἐστὶ σῶμα, εἶναι καὶ χρῶμα φατὲ, καὶ ἐκ τούτου δύο εἶναι τὰς ὑποστάσεις ἐπεὶ δύο εἰσὶν αἱ φύσεις συνάγετε, γνῶτε ὅτι τοῦτο καὶ ἡμεῖς φαμέν· ὅπου σῶμα εἶναι λέγεται ἐγχρωμάτιστον, χρῶμα ὑπάρχειν ἀναγκαίως· ὥσπερ οὖν καὶ ὑπόστασιν εἶναι, ὅπου λέγεται φύσις ἐνυπόστατος· ἀλλὰ τὸ ζητούμενον, οὔπω ἐδείξατε περὶ οὗ καὶ διαφέρεσθε πρὸς ἡμᾶς· ὅτι ὅπου πλείονα συνιέναι λέγονται σώματα ἐγχρωμάτιστα, ἰσάριθμα δέον εἶναι τούτοις καὶ τὰ χρώματα· καὶ οὐ δυνατὸν ἢ ἑνὶ καὶ τῷ αὐτῷ χρώματι πλείονα χρώννυσθαι σώματα, ὥσπερ τῷ λευκῷ ἤτε χιὼν καὶ τὸ γάλα καὶ ψιμμίθιον μυγνύμενα, καὶ τὸ ἔριον καὶ λῖνον καὶ μέταξα ἐν τῷ ἑνὶ λευκῷ πέπλῳ ὑφασμένα· ἢ εἰς ἓν ἕτερον χρῶμα πλείονα σώματα εἶναι συγκεκραμένα· οἷον τὸ ψιμμίθιον καὶ ὤχρα, καὶ χάλκανθος καὶ κόμμιδας ἐν τῷ φαιῷ κολλουρίῳ· τὰς γὰρ δύο φύσεις ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει λέγομεν ὑφίστασθαι· οὐχ' ὡς δυναμένης θατέρας ἀνυποστάτου εἶναι ἐν αὐτῇ, ἀλλ' ὡς ἀμφοτέρων ἐν μιᾷ κοινῇ δυναμένων ὑφίστασθαι ὑποστάσει· καὶ οὕτως κατὰ τὴν αὐτὴν καὶ μίαν ὑπόστασιν, ἑκατέρας ἐνυποστάτου οὔσης· οὐ γὰρ ἀναγκαῖον διὰ τὸ δεῖν τι εἶναι, πάντως καὶ ἰδίᾳ τοῦτο εἶναι· καὶ γὰρ τῶν ἐν τῇ πόλει οἰκήσεων, οὐδεμία μὲν ἀδέσποτος· οὐκ ἀναγκαίως δὲ πᾶσα δεσποζομένη, μονοδέσποτός ἐστι· πολλαὶ γὰρ εἰσὶ καὶ κοινοδέσποτοι ἐν τῇ πόλει· οὕτως οὖν ἐπεὶ μέν εἰσιν αἱ φύσεις, ἀναγκαῖον αὐτὰς καὶ ὑφεστηκέναι καὶ ἐνυποστάτους εἶναι· ἐπειδὴ δὲ οὐκ ἰδίᾳ ἀπ' ἀλλήλων εἰσὶν, ἑνώσεως αὐτῶν ὡμολογημένως γενομένης, οὐχὶ καὶ ἰδίᾳ ὑφεστηκέναι ἑκατέραν ἀναγκαῖον ἐστὶ; δῆλον οὖν ὅτι οὐχ' ἑτεροϋπόστατον εἶναι, ἀλλ' ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει νοεῖσθαι ἀμφοῖν αὐτῶν τὸ ἐνυπόστατον δεῖ· διὸ καὶ ἀποδεχόμεθα τὸ παρ' ὑμῶν ἐν τέλει εἰρημένον, ὡς ἀδύνατον ἐπὶ μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως, διαφορὰν λέγεσθαι ὑποστάσεως· οὐδὲ ὅλως γὰρ φαμὲν οὔτε διαφορὰν ὑποστάσεων ἐν τῇ μιᾷ ὑποστάσει τοῦ κυρίου· μὴ γένοιτο· εἰ καὶ ὑποστατικῶν μερικῶν ἰδιωμάτων ἴσμεν διαφοράν· οὐ γὰρ ὑποστάσεων διαφόρων ἢ διαφορῶν ἕνωσιν φαμὲν ἐπὶ τοῦ κυρίου· τοῦτο γὰρ προεδείχθη καὶ ἀδύνατον· εἴπερ μὴ καὶ τῶν διακεκριμένων, ἐν ταυτῷ τις λέγοι τὴν ἕνωσιν, ἐν ᾧ τὴν διάκρισιν ὁρᾷ· ἀλλὰ φύσεων διαφόρων σύνθεσιν κατὰ

63

*μίαν τὴν πρώτην ἐξ ἀρχῆς οὖσαν τοῦ λόγου, καὶ οὐδευτέραν εἶναι ὑπόστασιν, εἴτουν ἐξ ὑποστάσεως ἴσμεν· ἀλλ' οὕτως μὲν τάδε.*

*Τὸ δὲ δὴ ἕτερον πάλιν ὃ ἀπεφήνασθε, ὅτι ἐπεὶ διάφοροί εἰσιν αἱ φύσεις ἐπὶ τῆς οἰκονομίας, ἀνάγκη εἶναι διαφόρους καὶ τὰς ὑποστάσεις· τῶν δὲ ὑποστάσεων διαφερουσῶν ἐπὶ τῆς θείας οὐσίας, οὐκ ἀνάγκη εἶναι διαφόρους καὶ τὰς φύσεις, πῶς δείκνυται; πρῶτον μὲν γὰρ ἐν τοῖς ἔμπροσθεν τὸ ἀδιάφορον τῶν φύσεων ἀναγκαίως χρήζειν τοῦ διαφόρου τῶν ὑποστάσεων, ἐν τῷ σώματι Πέτρου καὶ Παύλου ἐλέγετε· εἶτα δὲ νῦν τίνα ἔχει ἀφορμὴν τῆς ἀποκληρώσεως, τάδε, εἴπατε· ἴστε γὰρ γινώσκοντες ὡς πάντως καὶ τὸ ἐναντίον ὑμᾶς ἀπαιτήσομεν δεῖξαι· ὅτι ὥσπερ εἰ διάφοροί εἰσιν αἱ φύσεις, διάφοροί εἰσι καθ' ὑμᾶς καὶ ὑποστάσεις, οὕτως καὶ τῶν φύσεων οὐσῶν ἀδιαφόρων, αἱ ὑποστάσεις εἰσὶν ἀδιάφοροι· πῶς οὖν μίαν μὲν καὶ ἀδιάφορον τῆς ἁγίας τριάδος τὴν φύσιν, διαφόρους δὲ τὰς ὑποστάσεις πιστεύομεν; ἀκόλουθον γὰρ ἔσται, ὥσπερ ὧ αἱ φύσεις διάφοροι, τούτων καὶ αἱ ὑποστάσεις λέγονται καθ' ὑμᾶς διάφοροι, οὕτως καὶ ὧν αἱ φύσεις ἀδιάφοροι, τούτων καὶ τὰς ὑποστάσεις ἀδιαφόρους λέγεσθαι· ἔτι μὴν ἰδοὺ καὶ ἰσαρίθμους πάντως καθ' ὑμᾶς δεῖ εἶναι τὰς φύσεις καὶ τὰς ὑποστάσεις· ἐπεὶ οὖν οὐ μόνον ἀδιάφορος ἀλλὰ καὶ μία τῆς ἁγίας τριάδος ἡ φύσις, ἔστω καὶ ἡ ὑπόστασις μία τὲ καὶ ἀδιάφορος· εἰ δὲ εἴποιτε, ὅτι εἴτις μὲν φύσεως διαφορὰ, πάντως καὶ ὑποστάσεώς ἐστιν· εἴτις δὲ ὑποστάσεως διαφορὰ, οὐ πάντως καὶ φύσεως, διὰ τὸ ἐπ' ἔλαττον οὖσαν τῆς οὐσίας τὴν ὑπόστασιν μὴ ἀντιστρέφειν πρὸς αὐτὴν τοῖς λόγοις· πρῶτον μὲν αἱ ἰδικαὶ φύσεις δηλαδὴ οὐκ ἐπὶ πλεῖστον τῶν ὑποστάσεων, ἀλλὰ καὶ ἐπ' ἔλαττόν τι νοοῖντο ἄν· μόναι δὲ ἐπὶ πλεῖον εἰσὶν αἱ κοιναί· δεδόσθω δ' οὖν ὑμῖν καὶ τοῦτο· οὐκοῦν καὶ πλείους εἶναι τὰς ὑποστάσεις, μιᾶς οὔσης τῆς φύσεως ἀνάγκη· ὁ γὰρ ἀριθμὸς τῶν ἐπ' ἔλαττον περισσότερος τῶν καθολικωτέρων αὐτῶν ἐξ ἀνάγκης ἐστί· καὶ ἢ δύο ἔσονται λοιπὸν ἢ πλείους ἢ μία, σὺν ἐπιμορίῳ κατὰ μίαν φύσιν αἱ ὑποστάσεις οὖσαι· τούτου δὲ οὕτως ἔχοντος, δύο φύσεις οὖσαι αἱ τοῦ δεσπότου, ἢ τέσσαρες ἢ τρεῖς ἢ δύο ἥμισυ τὰς ὑποστάσεις ἕξουσιν, ἤ τι τοιοῦτον, κατὰ τὴν αὐθεντικὴν ὑμῶν τήνδε νομοθεσίαν· καὶ οὐ μόνον τὸ σύνθετον πρόσωπον κακῶς ὑμῖν ἀρκέσει εἰς ὑποστάσεις διαιρεῖν, ἀλλὰ καὶ αὐτὴν ἑκάστην ἁπλῆν τε καὶ ἰδικὴν φύσιν αὐτοῦ τὲ καὶ παντὸς, εἰς πλειόνα ἀριθμὸν ὑποστάσεις, τὴν ἰδικὴν Παύλου μόνου φύσιν ἐπιδείκνυσθαι· δύο μὲν ἐκ τῆς κατὰ ψυχὴν φύσεως, τρία δὲ τυχὸν ἐκ τῆς κατὰ σῶμα συναγόμενα.*

*Καὶ ταῦτα μὲν οὕτως ὁ λόγος ὑμᾶς ἀπελέγχει προπετῶς ἀποφηναμένους· ὁ δὲ κόσμος ἅπας οὑτοσὶ καὶ τὰ πλεῖστα τῶν ἐν αὐτῷ τὸ ἀσύστατον τῆς ὑμετέρας δόξης στηλιτεύει τῷ πράγματι αὐτῷ σαφῶς· εἰ γὰρ μὴ μία*

ἡ ὑπόστασις ἐστὶν ἐν τῷ δέ τινι ἐκ τεσσάρων φύσεων στοιχείων σώματι φυτοῦ τυχὸν συγκροτηθέντι, καὶ μία ὑπόστασις τοῦ μύδρου ἐκ διαφόρων φύσεων συμπλακεισῶν, καὶ μία ὑπόστασις ἀνθρώπου ἐκ διαφόρων φύσεων ἡνωμένων, καὶ μία ὑπόστασις τοῦδε τοῦ ναοῦ, καὶ μία ὑπόστασις τοῦ φαρμάκου, καὶ μία ὑπόστασις παντὸς τοῦδε τοῦ κόσμου ἐκ διαφόρων φύσεων συνεστῶσα, κακῶς ἕνα τὸν ἄνθρωπον ἢ τὸ φυτὸν ἢ τὸν κόσμον ἤ τι τῶν οὕτω λεγομένων ὀνομάζομεν· καὶ οὐ κατὰ τὸ τῶν φύσεων ποσὸν, καὶ τὸν τῶν ὑποστάσεων ἀριθμὸν πλεονάζοντα ἴσμεν· οὐδαμόθεν λοιπὸν ἐχόντων ἑνικῶς προσαγορεύεσθαι τῶν κατὰ φύσιν ἡνωμένων ὁποσοῦν· ὅπου ὑμεῖς ταυτὸν εἶναι φύσιν καὶ ὑπόστασιν πολλάκις λέγοντες· κἂν διαφόρους δῶτε τὰς ὑποστάσεις τῆς ἁγίας τριάδος, πάντως καὶ τὰς φύσεις, καὶ εἰ πλείους, ἐξ ἀνάγκης τόσας καὶ τὰς οὐσίας εἶναι.

Ἀλλὰ φασὶν, ἰδοὺ ὁ ἄνθρωπος δύο μὲν φύσεις ἐστὶ, μία δὲ ὑπόστασις· καὶ φανερὸν ἐκ τούτου, ὅτι δυνατὸν ἐν μιᾷ ὑποστάσει, δύο φύσεις εἶναι. Πάλιν τερθρεία λόγων, πάλιν μάχη δογμάτων, πάλιν ἐναντιότης ῥημάτων, καὶ σοφίσματα προδήλου ψυχῆς ἀγνώμονος· τὸν αὐτὸν ἄνθρωπον καὶ δύο φύσεις λέγουσι, καὶ μίαν ὑπόστασιν, καὶ πάλιν οὐδεμίαν ὑπόστασιν· καὶ μακάριοι ἦμεν ἀκούοντες δύο φύσεις, μίαν ὑπόστασιν· ἢ νῦν διδασκόμενοι λέγειν δύο φύσεις οὐδεμίαν δὲ ὑπόστασιν· πάλιν γὰρ τὸν Χριστὸν λέγουσι τρεῖς φύσεις, καὶ δύο φύσεις· καὶ μίαν ὑπόστασιν μὴ κατορθώσαντες λέγειν, τρεῖς ἤδη δογματίζουσι φύσεις ἐν μιᾷ ὑποστάσει· καὶ ἄκουε ταῦτα πῶς· εἰ δύο φύσεων ὁ ἄνθρωπος, καὶ μιᾶς ὑποστάσεως, εἴληπται δὲ οὗτος καὶ ἥνωται τῷ θεῷ λόγῳ, πῶς οὐ τρεῖς φύσεις δύο ληφθεῖσαι, μία δὲ λαβοῦσα; καὶ πῶς οὐ δύο ὑποστάσεις, ἥ τε λαβοῦσα καὶ ἡ ληφθεῖσα; εἰ δὲ δύο φύσεων ὁ Χριστὸς καὶ μιᾶς ὑποστάσεως, πῶς οὐ μία φύσις ὁ ἄνθρωπος; καὶ ἀνυπόστατος ὁ ἄνθρωπος, ὃν δύο φύσεις ἔλεγον πρώην; καὶ τίς ὑποίσει τοσαύτην ἐναντιότητα δογματίζειν; XIV.

Ἀλλὰ καὶ μίαν καὶ δύο φύσεις εἶναι τὸν ἄνθρωπον, ἑτέρῳ μέν τοι καὶ ἑτέρῳ λόγῳ ἐν τοῖς πρὸς τοὺς λέγοντας αὐτοῦ μίαν εἶναι μόνην τὴν φύσιν ἀπεδείξαμεν σὺν θεῷ· καὶ ἵνα μὴ πλείονα ὄντα τὰ αὐτὰ παλιλλογῶμεν, ἔνεστιν ἐκεῖθεν τῷ βουλομένῳ περὶ τοῦδε πληροφορεῖσθαι· λέγοντες οὖν ἐπὶ τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο τὰς φύσεις, δῆλον ὡς μίαν τὴν τοῦ ἀνθρώπου φύσιν ἐν αὐτῷ καταριθμοῦμεν, ὡς εἴδους καινοτέρου γενομένης αἰτίας τῆς συνθέσεως τῶν ἐν αὐτῷ φύσεων· κατὰ τρόπον οὖν καὶ λόγον τὸν τῆς μιᾶς φύσεως αὐτοῦ παραστατικὸν, μία φύσις τοῦδε· τὴν δὲ ὑπόστασιν τοῦ ἀνθρώπου, καὶ ὑμεῖς μὲν ἐν τῷ πρώτῳ τῆς παρούσης ὑποθέσεως κεφαλαίῳ, μίαν τε καὶ ἐκ δύο φύσεων ὡμολογήσατε, λέγοντες πρὸς ἡμᾶς περὶ τῆς τοῦ δεσπότου ὑποστάσεως, ὅτι εἰ μὴ τῇ

τοῦ πατρὸς, ἀλλὰ τῇ τοῦ Δαβὶδ φαμὲν αὐτὴν ὁμοούσιον, πῶς ἐκ δύο φύσεων λέγοντες αὐτὴν, οὐκ ἐκ ψυχῆς καὶ σώματος συνεστᾶναι βουλόμεθα; τοιαύτη γὰρ ἡ τοῦ Δαβίδ· πλὴν καὶ τοῦτο ὑμῖν συγκεχωρήσθω· εἰ καὶ οὐ κατὰ γνώμην τισὶν, ἀλλὰ κατὰ οἰκονομίαν καὶ πρόνοιαν τινὰ λέγεται πολλάκις, μὴ εὐμνημονοῦσιν ἐν τῷ ψεύδεσθαι τῶν προειρημένων αὐτοῖς, ἵνα ἔχοιεν παρ' ἑαυτῶν ἑπόμενον αὐτοῖς τὸν ἴδιον ἔλεγχον· ἡμεῖς δὲ εἰ καὶ μίαν ἴσμεν ἐπὶ ἀνθρώπου τοῦ καθέκαστα τὴν ὑπόστασιν, καὶ ἐπὶ πάσης ἑτέρας ὑποστάσεως φύσεων διωρισμένων, ἀλλ' οὖν ἐπὶ τοῦ μὴ ἁπλῶς ἀνθρώπου ὄντος τοῦ κυριακοῦ τοῦ τῆς τοῦ λόγου ὑποστάσεως μὴ διακεκριμένου ποτὲ, οὐδεμίαν ἴσμεν αὐτοῦ μόνου ἰδικὴν οὖσαν ὑπόστασιν· καὶ γὰρ οὐκ ἐν ἰδιαζούσῃ ὑποστῆναι, ἀλλ' ἐν τῇ τοῦ λόγου ὑποστάσει ὑφεστηκέναι τὸ ἀνθρώπινον φαμὲν τοῦ σωτῆρος ἐξ ἀρχῆς· οὔτε μὴν ἁπλῶς τὴν τοῦ λόγου νῦν ὑπόστασιν, ὡς λόγου μόνον οὖσαν ὑπόστασιν νῦν οἴδαμεν· ἐπειδὴ σὺν τῷ ἀνθρωπίνῳ συνυφέστηκεν ἐν αὐτῇ τῶν ὁμοουσίων ὁ λόγος μετὰ τὴν ἄφραστον αὐτοῦ ἕνωσιν.

Ἀμφοτέρων οὖν μίαν ἴσμεν καὶ τὴν αὐτὴν κοινὴν οὖσαν ὑπόστασιν, ἣ προϋπῆρξε μὲν τῆς οὐσίας τοῦ ἀνθρώπου, ἰδικὴ οὖσα τὸ πρὶν τοῦ λόγου ἐν τῇ κοινῇ τῆς θεότητος οὐσίᾳ· τὴν δὲ τοῦ κυριακοῦ ἀνθρώπου φύσιν δημιουργήσασα ἑαυτῇ, καὶ περιπτυξαμένη καὶ συνάψασα τῇ ἰδίᾳ ἐν αὐτῇ φύσει, ἅμα τῷ καὶ τῆς φύσεως τῆς σαρκὸς εἶναι ὑπόστασις, καὶ κοινὴ εἶναι αὐτῇ ἐξ ἰδικῆς ἤρξατο καὶ ποικιλωτέρα συνέστηκεν· οὐ γὰρ δὴ μόνῳ νῦν ὡς πρώην ἡ τοῦ λόγου ὑπόστασις ἰδιώματι τῷ γεννητῷ ἔκ τε τοῦ πατρὸς καὶ τοῦ πνεύματος διακρίνεται, ἀλλὰ καὶ τῷ ἐκ πλειόνων αὐτὴν εἶναι φύσεων καὶ φυσικῶν ἰδιωμάτων καὶ προσωπικῶν δηλαδὴ περισσότερον· πῶς οὖν ὑπόστασις τοῦ μὴ ὑποστάντος ποτὲ ἐκτὸς αὐτῆς τῆς τοῦ θείου λόγου ὑποστάσεως συναριθμηθήσεται αὐτῇ; εἰ δὲ καὶ ἦν ὑπόστασις τῇ σαρκὶ πρὸ τῆς συλλήψεως αὐτῆς ὅπερ οὐδεὶς εὐσεβῶς ἐρεῖ, πῶς μετὰ τὸ ληφθῆναι, ἤγουν ἐν ἀλλήλοις μεῖναι τό τε ληφθὲν καὶ τὸ λαβὸν, παραμένειν ἐν αὐτοῖς δύναται, καὶ σώζεσθαι ἡ ἀπ' ἀλλήλων ἑκατέρου διάστασις ὅπερ συνίστησι τὴν ὑπόστασιν; οὐκοῦν ὀρθῶς εἰδέναι δέον τοῦ μὲν λόγου κοινὴν τὴν φύσιν πρὸς τὸν πατέρα καὶ τὸ πνεῦμα· τὴν δὲ ὑπόστασιν ἰδικὴν μὲν ὡς πρός τε τὸν πατέρα καὶ τὸ πνεῦμα καὶ πρὸς πάντας τοὺς μὴ ἐκ τῆς ἁγίας παρθένου ἀνθρώπους, μόνον δὲ κοινὴν ὡς πρὸς τὴν ἐκ τῆς θεοτόκου ληφθεῖσα τῷ λόγῳ σάρκα· καὶ αὐτὴν δὲ ἀνάπαλιν τὴν ἐκ τῆς ἁγίας παρθένου σάρκα, τὴν μὲν φύσιν κατὰ τὴν ἡμετέραν κοινωνίαν, κοινὴν ἔχειν πρὸς πάντας τοὺς ἐξ Ἀδὰμ, τὴν δὲ ὑπόστασιν ἰδικὴν πρός τε ἡμᾶς καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα, πρὸς δὲ τὸν λόγον μόνον κοινήν· οὗτος γὰρ κανὼν ὀρθοδοξίας ἡμῖν διὰ τῶν θεηγόρων παραδέ-

δοται· ὅτι δὲ ἡμῶν μὲν μίαν ὑπόστασιν, δύο δὲ φύσεις ἔν τε τῷ ἀνθρώπῳ καὶ ἐν Χριστῷ ὀρθῶς λεγόντων ὑμεῖς λίαν ἀσυμβάτως ἔχετε ἑαυτοῖς, ἑξῆς σὺν Θεῷ δειχθήσεται, μετὰ τὸ ἀποκρίνασθαι πρὸς τὰς περὶ τούτου ὑμῶν πάσας κατασκευάς· πρῶτον δὲ τέως ἡμῖν δεικτέον, ὡς καὶ ὑμεῖς οὐ μόνον μίαν ὑπόστασιν τὸν ἄνθρωπον, ἀλλὰ καὶ μίαν φύσιν κατὰ τοὺς ἀπὸ Εὐτυχοῦς φατὲ τούτῳ γε τῷ λόγῳ· εἰ γὰρ ὡσαύτως ταῖς ὑποστάσεσι δύο καὶ τὰς φύσεις ἐπὶ Χριστοῦ φατὲ, οὐδὲν τούτων ἐν θατέρῳ πλεονάζον ὁρῶντες, τὸν Χριστὸν ἴστε Θεὸν καὶ ἄνθρωπον· ἢ τοῦ ἀνθρώπου τοῦ ἐν αὐτῷ δύο ἴστε τὰς φύσεις καὶ δύο τὰς ὑποστάσεις, τοῦ δὲ λόγου μὴ εἶναι φύσιν ἢ ὑπόστασιν ὅλως φατὲ, ἀλλ' ἀνούσιόν τε καὶ ἀνυπόστατον αὐτὸν διαγράφετε· ἢ τοῦ μὲν λόγου μίαν ὑπόστασιν καὶ μίαν φύσιν, καὶ τοῦ ἀνθρώπου δὲ μίαν οὐ μόνον τὴν ὑπόστασιν ἀλλὰ καὶ τὴν φύσιν γινώσκοντες ἐν Χριστῷ διηλέγχθητε· καὶ ποῦ εἰσὶ καὶ τίνος ἡ τερθρεία τῶν λόγων καὶ μάχη τῶν ῥημάτων καὶ ἐναντιότης; καὶ οὐκ οἶδα ὅσα καταρρητορεύοντες προοιμιάζεσθε.

Εἰ διαφέρει καθ' ὑπόστασιν τὸ σῶμα Πέτρου τοῦ σώματος Παύλου, XV.
πῶς οὐκ ἔσται καὶ τὸ σῶμα τοῦ ἀνθρώπου, ὑπόστασιν ἔχον; εἰ ἡ ψυχὴ Πέτρου ἔχει ὑπόστασιν ὡς Πέτρου καὶ φύσιν, καὶ τὸ σῶμα Πέτρου ἔχει ὑπόστασιν ὡς Πέτρου καὶ φύσιν· δύο δὲ φύσεις ὁ Πέτρος διὰ ψυχὴν καὶ σῶμα, πῶς οὐ δύο καὶ ὑποστάσεις ὁ Πέτρος διὰ ψυχὴν καὶ σῶμα; εἰ δὲ δύο φύσεις ἡ ψυχὴ Πέτρου καὶ τὸ σῶμα, καὶ δύο ὑποστάσεις ἡ ψυχὴ Πέτρου καὶ τὸ σῶμα, πῶς οὐ ψευδὲς τὸ δύο φύσεις λέγειν τὸν ἄνθρωπον, καὶ μίαν ὑπόστασιν; Ταῖς ὑμετέραις ἄρκυσι περιεπλάκητε· καὶ τὸ δαυιδικὸν ὑμῖν ἐπιβοᾶν ἡμᾶς παρασκευάζετε· ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλὸς, καὶ ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ· ὧν γὰρ ἀρτίως ἐλέγετε, δέον ὑμᾶς μιμνήσκεσθαι· ἐν οἷς δύο τὰς ὑποστάσεις τοῦ ἀνθρώπου θέλοντες κατασκευάζειν, τρεῖς ἡμᾶς τὰς φύσεις τοῦ σωτῆρος λέγειν συνάγετε· πρῶτον μὲν οὖν ὅπως εἶεν διάφοροι ψυχῆς καὶ σώματος αἱ ὑποστάσεις ἑνὸς καὶ τοῦ αὐτοῦ ζῶντος ἐν σαρκὶ ἀνθρώπου, ἀγνοοῦμεν· εἰ γὰρ ζῶντος καὶ σωζομένου τοῦ συνθέτου ζώου δύο ἴστε τὰς ὑποστάσεις τῶν ἐν αὐτῷ ἐν τῷ ἐκ τοῦ θανάτου χωρισμῷ· ἢ οὐ δύο μόνον τὰς φύσεις αὐτοῦ καὶ ὑποστάσεις ὁμοίως ἴστε, ἀλλὰ πλείους διὰ τὸν χωρισμὸν καὶ τὴν διαίρεσιν τοῦ ζώου· πᾶν γὰρ διαιρούμενον πληθύνει τὸν ἑαυτοῦ ἀριθμὸν, καὶ ἔσονται τέσσαρες ἢ ὀκτὼ αἱ κατ' αὐτὸν φύσεις καὶ ὑποστάσεις· ἢ τὰς αὐτὰς εἰδότες φύσεις αὐτοῦ καὶ ὑποστάσεις καὶ μετὰ τὴν διάλυσιν τοῦ ζώου, τὸν αὐτὸν ἔσεσθαι λόγον εἰδότες κατὰ τὴν ὕπαρξιν τοῦ τε ζῶντος καὶ τοῦ νεκροῦ, καὶ τὰ τοῦ ἡνωμένου καὶ

διακεκριμένου ἀνθρώπου συνθέτου· καὶ ἔσται ὁ αὐτὸς τῶν ἐναντίων λόγος κατὰ τὰ ὑμέτερα προβλήματα ἐπ' αὐτοῦ.

Συγκεχωρήσθω δὲ ὑμῖν ὅμως καὶ τοῦτο μετὰ πάντων· τὸ δέ γε ἕτερον τὸ ἐξ ὑμῶν ἡμῖν πρὸ μικροῦ ληφθὲν, νῦν ἀκούσεσθε παρ' ἡμῶν, ὡς εἰς σώματος ὑπόστασιν ἐν ἀνθρώπῳ ἴστε· καὶ δύο τὰς ἐν αὐτῷ ὑποστάσεις ὥσπερ οὖν καὶ τὰς φύσεις διὰ τόδε οἴεσθε· διὸ δὲ καὶ ἡμᾶς παραγράφεσθε τὸ κατ' αὐτὸν παράδειγμα εἰς ἔνδειξιν δύο φύσεων καὶ μιᾶς ὑποστάσεως ἐφελκομένους ἐπὶ τοῦ κυρίου· δῆλον ἄρα ὡς καὶ ὑμεῖς ἄνθρωπον καὶ θεὸν λέγοντες τὸν Χριστὸν, δύο μὲν τὰς τοῦ ἀνθρώπου ὑποστάσεις, μίαν δὲ τὴν τοῦ λόγου ὑπόστασιν ἐν αὐτῷ διεγνώκατε· καὶ ἔσεσθε σαφῶς τρεῖς τὰς ὑποστάσεις εἰδότες ἐν Χριστῷ καὶ οὐ δύο μόνον, καθὼς λέγειν ἐπειρᾶσθε μέχρι τοῦ νῦν, μίαν τὴν τοῦ θεοῦ, καὶ μίαν τὴν τοῦ ἀνθρώπου· ἀλλὰ δύο μὲν τοῦ ἀνθρώπου, μίαν δὲ τοῦ λόγου δοξάζοντες· ὁμοίως δὲ καὶ τρεῖς τὰς φύσεις αὐτοῦ ἐξ ἀνάγκης παρέχοντες, διά τε τὸ μὴ εἶναι ὑπόστασιν ἀνούσιον· ἵνα τοῖς ὑμετέροις καὶ κατὰ τὰ ὑμέτερα νοήματα χρησώμεθα, καὶ τὸ αὐτόθεν ἤδη λέγειν δύο τοῦ ἀνθρώπου τὰς φύσεις εἶναι, μίαν δὲ τοῦ λόγου· ὡς εἶναι λοιπὸν συναγομένην τοῦ ὑμετέρου δόγματος τὴν ὁμάδα, εἰς ἓξ τινὰ τὸν ἀριθμὸν τῶν ἐπὶ Χριστοῦ νοουμένων ἤγουν τριῶν φύσεων, τριῶν δὲ ὑποστάσεων ὦ σοφώτατοι· καὶ εἰ μὲν οὐ ταυτὸν θάτερον θατέρῳ, ἰδοὺ ἀνὰ τρία τάδε ἐπὶ τοῦ κυρίου δεδώκατε· καὶ πῶς ἀνὰ δύο φατὲ, τὸ ἥμισυ παρακλέψαντες τοῦ δόγματος; εἰ δὲ καὶ ὡς βούλεσθε λέγειν πολλάκις ταυτὸν αἱ φύσεις ταῖς ὑποστάσεσιν, ἐξ αὐτοῦ ὁμοίως αἱ ὑποστάσεις εἶεν καθ' ὑμᾶς, προστεθειμένου τοῦ ἀριθμοῦ τῶν φύσεων ταῖς ὑποστάσεσι· καὶ τοῦτο, ἢ πασῶν οὐσιῶν οὐσῶν, οὐδενὸς ὄντος αὐτῷ λοιπὸν προσώπου, ἢ πασῶν ἀντὶ προσώπων λαμβανομένων, οὐδεμιᾶς μενούσης οὐσίας τοῖς ἓξ προσώποις Χριστοῦ· εἰ δὲ ταῦτα γέλωτα καὶ θρῆνον ἐξεγείρουσι τῷ ἀκούοντι, λίαν ἐναργῶς πεπεῖσθαι ὑμᾶς δέον ὡς ἐν τάχει καὶ σφοδρότερον ὑμῖν τὸ ὑμέτερον πονηρὸν ἀντιπεμφθῇ μέλος, τῇ ἀληθείᾳ τῆς εὐσεβείας, καὶ τῇ πέτρᾳ τῆς ὀρθοδοξίας τῇ ἀρραγεστάτῃ προσκροῦσαν· ἵνα πληρωθῇ τὸ εἰρημένον, ἡ ῥομφαία αὐτῶν εἰσέλθοι εἰς καρδίας αὐτῶν, καὶ τὰ τόξα αὐτῶν συντριβείη κατὰ τὸ λόγιον.

XVI. Τριῶν ὄντων ὁμολογουμένως προσώπων τῶν θείων, τὸ δὲ ῥαπισθὲν φησὶ ποῖον εἶναι λέγετε; εἰ μὲν γὰρ τὸ τοῦ λόγου, ἐπεὶ ὁμοούσιον τῷ πατρὶ, ἔσται καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα ὁρατὸς καὶ ἁπτὸς καὶ πληκτὸς καὶ ἔγχρονος καὶ παθητὸς ἁπλῶς, καὶ οὐδὲν διαφέρων ἡμῶν τῇ φύσει· τοιοῦτον γὰρ τὸ ῥαπισθὲν πρόσωπον· εἰ δὲ ἕτερόν ἐστι τὸ ῥαπισθὲν, ἤγουν τὸ τοῦ Χριστοῦ πρόσωπον, παρὰ τὰ τῆς ἁγίας τριάδος τρία, πῶς οὐ δύο πρόσωπα τοῦ τε λόγου τοῦ ἑνὸς ὄντος τῆς τριάδος, καὶ τοῦ τοῦ Χριστοῦ,

καὶ ὑμεῖς διδόαῖε. Ἀλλ' εὔδηλον τὸ παρὰ τὴν ὁμωνυμίαν σόφισμα αὐτῶν· τὸ γὰρ ῥαπισθὲν πρόσωπον, οὐ τὸ ἀντὶ ὑποστάσεως λαμβανόμενον ἦν, ἀλλ' ἡ ὄψις καὶ μορφὴ τῶν περὶ τοὺς ὦπας μερῶν τοῦ σώματος τοῦ ἀνθρωπείου, ὅθεν καὶ λέγεται· ὅτι δὲ τοῦτό ἐστι τὸ ἀντὶ ὑποστάσεως νοούμενον, δεικτέον ἑτοίμως· τὸ μὲν γὰρ καθ' ὅλης λέγεται τῆς ὑποστάσεως Χριστοῦ, τὸ δὲ κατὰ μέρους τοῦ σώματος αὐτῆς μόνον· ἔτι κατ' ἐκεῖνο μὲν τὸ ὑποστατικὸν πρόσωπον, οὐδέποτέ τι ζῶον ἰδικὸν ἢ ἄζωον ἓν πράγματι ὑπάρχον, διπρόσωπόν ἐστι· οὐδὲν γὰρ ὄντων ἓν ἀριθμῷ ὂν, δισυπόστατόν ἐστι· κατὰ δὲ τοῦτο, πολλὰ ζῶα διπρόσωπα καὶ τρικάρηνα καὶ πολυκέφαλά ἐστιν· οἷον ἀμφισβαῖναι ὕδραι καὶ τὰ λοιπὰ ὥσπερ αὖ καὶ τὰ τεράσῖια τεῖραπρόσωπά ῖε καὶ τεῖράμορφα ῖὰ Χερουβὶμ, οὕτω μὲν καὶ ἑτεροειδῶς μεμορφωμένα· καὶ ὅμως ῖέσσαρας αὐτῶν οὐ φαμὲν καὶ ῖὰς ὑποστάσεις· ἔτι κατ' ἐκεῖνο κοινὴ φύσις ἐν τοῖς καθέκαστα διακρίνεται· κατὰ δὲ τοῦτο, καὶ ἡ ἰδικὴ φύσις αὕτη ὡς εἰς μέλος τόδε καὶ τόδε μερίζεται· ἔτι ἐκεῖνο, κατά τε ἀψύχων καὶ ἐμψύχων, καὶ σωμάτων καὶ ἀσωμάτων, και ζώων καὶ ἀζώων λέῖεται, ἤγουν τὸ ἀντὶ τῆς ὑποσῖάσεως· παντὸς γὰρ ὄντος αὐθυποστάτως, ἐστὶ καὶ ὑπόστασις· τοῦτο δὲ ἐπὶ μόνων τῶν ἐψυχωθέντων σωμάτων κυρίως· τῶν γὰρ ἀψύχων τὰ πλεῖστα, τὴν ἐπιφάνειαν μόνον δηλοῖ λεγόμενον· ἔτι ἐκεῖνο καὶ διά τινῶν νοηῖῶν πολλάκις ὑποῖράφεται ἐπουσιωδῶν ὥσπερ τῷ ἀγεννήτῳ ὁ πατὴρ· τοῦτο δὲ μόνον διὰ τῶν αἰσθητῶν συμβεβηκότων ἀεὶ διαγράφεται· ὑπόστασις οὖν καὶ τὸ ταύτης σημανῖικὸν πρόσωπον, ἓν ἑκάσῖου ἐστὶ προσώπου, ὄψεως σημανῖικῆς, εἴτε οὔσης, εἴτε καὶ μὴ οὔσης· πρόσωπον δὲ τὸ ὡς ὄψις, οὐ πάντως δύο ἑκάστῳ εἰσὶν· οὐ δύο οὖν πρόσωπα ἤγουν ὑποστάσεις τοῦ λόγου καὶ τῆς ἐνσάρκου αὐτοῦ μορφῆς δηλαδὴ ἐντεῦθεν δεικνύετε· διότι ἄλλο ἦν τὸ τῆς ὑποστάσεως Χριστοῦ τοῦ ἐνσάρκου λόῖου πρόσωπον, καὶ ἄλλο τῆς αἰσθητῆς αὐτοῦ σαρκὸς μέλος, πρόσωπον λεγόμενον· εἰ γὰρ τοῦτο δοκεῖ ὑμῖν, πάντως καὶ ὑμῶν ὁ καθεὶς ἐπὶ ὄψιν τε ἔχει τὴν λεῖομένην πρόσωπον· ὑπόστασίς τε ἐστὶ ἡ νοουμένη πρόσωπον, δύο ἔχει τὰ πρόσωπα· ἔτι δὲ ἐπεὶ περιέχει πᾶν ὑποστατικὸν πρόσωπον τήν τε ψυχὴν πᾶσαν, καὶ πάντα τὰ τοῦ σώματος τῶν καθέκαστα τὰ μέρη, ὧν ἐστιν ἓν καὶ ἡ ὄψις αὐτὴ, ἔσται ὑμῶν τὸ ἓν πρόσωπον ἄρα τῷ ἑτέρῳ προσώπῳ ὑμῶν περιεχόμενον· οὐ ταυτὸν δὲ πώποτε τῷ περιέχοντι αὐτὸ τὸ περιεχόμενον· ἄρα οὖν οὐχ' ἓν καὶ ταυτὸν, οὐδὲ τοῦ καθένα ὑμῶν τὸ πρόσωπον, ἀλλὰ δύο καὶ μεῖζον θάτερον· καὶ βραχὺ τὸ ἕτερον· ποῦ δὲ μεγάλην καὶ μικρὰν καὶ ταῦτα τοῦ αὐτοῦ ὑπόστασιν ἠκούσατε; ἔτι μὴν οὕτω τῶν πολυκεφάλων δέκα τυχὸν ἔσονται ὑποστάσεις, εἰ δ' οὖν καὶ ὑμεῖς ἐδιχάσθητε τῷ λόγῳ τὸν λόγον τῆς ἰδίας σαρκὸς οὐ διχάσαντες.

Ἀλλ' ἔστιν ὦ οὗτοι τάδε πανουργίας ἀνθρωπίνης πρὸς μεθοδείαν πλάνης τὰ σοφίσματα, ἢ φησὶν ὁ θεορρήμων· ἐροῦμεν γὰρ ὑμῖν τοιόνδε· καὶ ἡμεῖς ὁπωσοῦν ὅλως ἐνεργεῖσθαι τῷ θείῳ λόγῳ τὸν Χριστὸν διδοῦσι κατὰ τὰ ὑπ' αὐτοῦ λεγόμενα ἢ γινόμενα, τί φατέ; ὁ λόγος ὁ φήσας πρὸς τὸν λεπρὸν θέλω καθαρίσθητι, ἦν χθὲς καὶ τρίτην καὶ πρὸ αἰώνων, ἢ οὐχί; εἰ μὲν γὰρ οὐκ ἦν, πῶς θεὸς ὁ πρόσφατος δοκεῖ, κἂν ὅτι τὰ μέγιστα διὰ Χριστοῦ ἢ οὕτινος ἀνθρώπου ἐνεργοίη· εἰ δὲ ἦν, πῶς θέλων οὐκ ἐκαθάριζεν εἰ μὴ τότε τὸν λεπρόν; ὥσπερ οὖν σαφὲς ἐπὶ τοῦδε, ὅτι προαιώνιος τοῦ θεοῦ ὁ ζῶν τε καὶ ἐνεργὴς ἀεὶ λόγος, τότε τῷ προφορικῷ αὐτοῦ λόγῳ τὴν κατὰ καιρὸν καὶ χρείαν ἑαυτοῦ θέλησιν ἐξαγγέλλει, πῶς οὐ δῆλον ὡς καὶ τὸ ἀπαθὲς αὐτοῦ καὶ ἀόρατον πρόσωπον διὰ τοῦ αἰσθητοῦ καὶ μέρους τοῦ σώματος αὐτοῦ ὑπάρχοντος προσώπου, τὴν ἀτιμίαν τῶν ῥαπισμῶν δι' ἐλευθερίαν ἡμῶν καταδέχεται; ἔτι μὴν ὦ συλλογιστικοὶ, τριῶν ὄντων τῶν τῆς ἁγίας τριάδος ὁμοουσίων προσώπων τὸ καθ' ὑμᾶς πάντη ἑτεροούσιον αὐτοῖς πρόσωπον Χριστοῦ θεῖον λέγετε, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, ὅλως ἢ οὐχ' ὁμοίως οὐ δύνασθε λέγειν θεὸν τὸν Χριστόν· ἢ ὅτι αὐτῷ ἐχαρίσθη τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, τουτέστι τὸ θεός· καὶ ταύτην εἶναι τὴν ἀπὸ τῆς πρὸς θεὸν σχετικῆς ἑνώσεως αὐτοῦ μεγάλην ἀξίαν τὲ καὶ δωρεάν· εἰ δὲ θεῖον μὲν λέγετε καὶ τόδε, ἑτεροούσιον δὲ παρὰ τὰ ἕτερα τρία ὁμοούσια θεῖα πρόσωπα φατὲ, τριῶν ὁμοουσίων, καὶ ἑνὸς ἑτεροουσίου, πῶς οὐκ ἂν εἴη τέσσαρα πρόσωπα θεῖα ὑμῖν συναγόμενα;

XVII. Εἰ ὁ θεὸς λόγος φησὶ τὰ πάντα πληροῖ, καὶ τοῖς πᾶσι πάρεστιν ἀοράτως τῇ ὑποστάσει· ὁ δὲ ὁρώμενος Χριστὸς μήτρᾳ τὲ καὶ φάτνῃ καὶ οἴκῳ περιώριστο τὴν ὑπόστασιν πρὸ τῆς ἁγίας ἀναστάσεως αὐτοῦ· ἀλλὰ καὶ μετὰ τήνδε περιγράφεται τόποις, κατὰ τὸ· ἐπορεύθη εἰς οὐρανούς· καὶ ὃν δεῖ οὐρανὸν δέξασθαι· καὶ οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν οὐρανὸν, πῶς οὐ θατέρα μὲν ὁρατὴ καὶ περιγραπτὴ ὑπόστασις, θατέρα δὲ ἀόρατος καὶ ἀπερίγραπτός ἐστιν; Ἀλλ' εἰ τοπικοῖς διορισμοῖς πᾶσα ὑποστάσεως περιγραφή ἐστιν, ἆρά γε τοπικῶς καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος ὁ λόγος διώρισται τὴν ὑπόστασιν· εἰ δ' οὖν οὕτως καὶ ἐν τῷ παντὶ τοπικῶς εἶναι ὑμῖν εἴρηται ὁ λόγος, ἆρα αἱ δύο ἄλλαι ὑποστάσεις τῆς θεότητος, ἢ ἐν ἑτέρῳ παντὶ ἑκατέρα, καὶ οὐκ ἐν τῷδε, ἢ ἐν οὐδενί ἐστιν· ἐν γὰρ τῷδε χώραν οὐκ ἔχει διωρισμένως εἶναι, πάντα πληροῦντος τὰ τῇδε τοῦ λόγου· πῶς δὲ καὶ ἐν πᾶσιν ἡ θεία ὑπόστασις τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου, καθὼς εἴρηται; οὐ γὰρ τὸ αὐτό τι τόπος τέ ἐστι τινῶν, καὶ ὡς ἐν τόπῳ ἐστὶν ἐν αὐτοῖς ἀδύνατον· εἰ οὖν ταῦτα μὴ κατὰ τοπικὴν περιγραφὴν τῆς ὑποστάσεώς ἐστι τοῦ

λόγου, τί κωλύει μείναντα αὐτὸν θεῖον λόγον, καὶ σαρκὸς φύσιν προσλαβόμενον, τούς τε ὡς λόγον θεοῦ διορισμοὺς ἔχειν, καὶ σαρκικούς τε πρὸς τούτοις ἐπικτήσασθαι διορισμοὺς κατὰ μίαν τὴν ὑπόστασιν αὐτοῦ; ὥσπερ γὰρ τῷ γεννηθῆναι, καὶ τὸ μὴ γεννᾷν, καὶ τῷ ἐν αὐτῷ εἶναι τῷ πατρὶ ὡς βουλὴν καὶ λόγον βουλευτικοῦ καὶ λογικοῦ, καὶ τῷ μὴ καὶ ἐκτὸς αὐτοῦ εἰς ἕτερα πορεύεσθαι μὴ ἐκπορευτὸν εἶναι, καὶ τῷ δημιουργεῖν ἰδίως, καὶ τοῖς λοιποῖς ἰδιώμασιν αὐτοῦ ὁ λόγος, δι' ὧν διακρίνεται πάντων τῆς πατρικῆς καὶ τῆς τοῦ πνεύματος τοῦ ἁγίου ὑποστάσεως, οὐ πλείους ποιεῖται ὑποστάσεις ἑαυτῷ, οὕτως οὐδὲ ἑτέρων ἰδιωμάτων προσθέσεις πλειόνων καὶ ἀντικειμένων πληθύνουσι τὴν ὑπόστασιν αὐτοῦ· καὶ τῷ γὰρ ἀγεννήτῳ διαφέρουσα μόνον, τελείως διώρισται ἡ ὑπόστασις τοῦ πατρὸς τῆς τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ τῷ γεννητικῷ δὲ προσδιακεκριμένη, οὔτε τελειοτέρα ἐστὶν ὑπόστασις, οὔτε δύο ὑποστάσεις λέγοιτο ἂν τινὶ ἀληθῶς· ἀλλὰ πρὸς τούτοις, τί ἂν εἴποιτε καὶ περὶ τῆς ἀνθρώπου μόνου ψιλοῦ ὑποστάσεως, Παύλου τυχὸν; ἆρα γὰρ ὁρατοῖς πᾶσι καὶ τοπικοῖς περιορισμοῖς τοῖς αὐτοῦ ἡ ὑπόστασις αὐτοῦ πᾶσα διαγινώσκεται; ψυχῇ τε ἅμα καὶ τῷ σώματι; ἢ δῆλον ὡς διαφόροις; καὶ ὅμως οὐ παρὰ τόδε διάφοροι ὑποστάσεις αὐτοῦ· κἂν γὰρ ἐκτὸς τοῦ σώματος ἡρπάγη ἕως τρίτου οὐρανοῦ καὶ ἤκουσεν ἄρρητα ῥήματα τῇ ψυχῇ, τούς τε τοπικοὺς καὶ ὁρατοὺς διορισμοὺς τοῦ σώματος, καὶ τοὺς νοητοὺς τῆς ψυχῆς ὡσαύτως ἔχων πρὸς Πέτρον καὶ τοὺς λοιποὺς, οὐχ' ἑτέραν ἔσχε διαστολὴν, ἀλλὰ τῆς αὐτῆς ἐστι καὶ οὕτως ὑποστάσεως μιᾶς.

XVIII. Ἀλλὰ τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν, καὶ ἄφρονα συνετίζοντος θεοῦ τὴν ἀγαθότητα ἐξομολογούμενοι, καὶ τὸ κατ' ὄναρ ἡμῖν ἀπορηθὲν προθήσομεν· ἔφη γάρ τις ἡμῖν· τὸ μὲν εἶδος μελάντερός πως, τὸ δὲ σχῆμα εὐλαβῶς ἐπιστολιζόμενος, ὁ κύριος θεὸς τῇ φύσει, ἢ καὶ τῇ ὑποστάσει, συνάγων, ὡς εἰ μὲν μόνον τῇ φύσει ἐστὶ θεὸς, τῇ ὑποστάσει ἢ ἄνθρωπος ἢ ἕτερόν τι ἢ ἀνυπόστατος ὅλως ἐστίν· εἰ δὲ καὶ ὑποστάσει ἐστὶ θεὸς, ἢ ὅλῃ τινὶ καὶ τελείᾳ· καὶ ἰδοὺ δύο αὐτοῦ αἱ ὑποστάσεις, ὥσπερ οὖν καὶ αἱ φύσεις· εἴπερ μὴ δὲ ἡ ἀνθρωπότης αὐτοῦ ἀνυπόστατος, ἢ ἐκ μέρους αὐτῆς τῆς μιᾶς αὐτοῦ ὑποστάσεως, ἔστι θεὸς καὶ τῇ ὑποστάσει· ἔσται οὖν ἢ ἀτελὴς κατὰ τὴν ὡς ὑποστάσεως τῆς ἀνθρωπίνης θεότητα ὁ Χριστὸς, ἢ ὑπερτέλειος καὶ ὑπέρθεος ἡ ὑπόστασις Χριστοῦ, ὑπὲρ τὸν πατέρα τὲ καὶ τὸ πνεῦμα καὶ τὸν λόγον νοουμένη· τοῦ γὰρ ἰδίου μέρους ὃ ἦν τέλειος θεὸς, μεῖζον αὐτῆς ἡ ὁλότης ἐστὶ καθ' ὑπόστασιν.

Ἀλλ' ἐκεῖνος μὲν ταῦτα εἰπὼν, καὶ συνταράξας ἡμᾶς τῷ ἀπόρῳ, ἀπέστη σκοτοδινίᾳ περιβαλών· ὄρθρου δὲ πρὸς τὸ φῶς τὸ ἀληθινὸν ἀποσκοπήσαντες τί δοθήσεται καὶ τί προστεθήσεται ἡμῖν πρὸς γλῶσσαν δολίαν;

ἐθεωροῦμεν, ὡς τὸ Θεὸς πρῶτον μὲν φυσικὸν ὄνομά ἐστιν, οὐσίαν πρώτως καὶ οὐ πρόσωπον σημαῖνον· ὥσπερ καὶ τὸ ἄνθρωπος, οὐ τὴν ὑπόστασιν Παύλου, ἀλλὰ τὴν φύσιν λέγει, ἑνί τε καὶ παντὶ καὶ ἰδίᾳ ἑκάστῳ, καὶ κοινῇ πᾶσιν ἀνθρώποις προστιθέμενόν ἐστιν, ὅπερ τὸ Παῦλος ἢ Πέτρος ὄνομα ὑποστάσεως οὐκ ἔχει· πῶς οὖν δυνατὸν τὸ αὐτὸ ἔκ τε τοῦ λόγου τῆς φύσεως, καὶ ἐκ τοῦ λόγου τῆς ὑποστάσεως διαφόρως τοῦ αὐτοῦ κατηγορεῖσθαι; ἔτι μὴν κατὰ τὸ φυσικὸν ὄνομα, ὁμοιότης τινὸς πρός τινά ἐστι ποτὲ· κατὰ δὲ τὸ ὑποστατικὸν, ἑτερότης μόνον· εἰ οὖν τὸ Θεὸς καὶ φυσικὸν καὶ προσωπικὸν ὄνομα τῷ Χριστῷ, κατὰ τὸ αὐτὸ ἄρα ὄνομα ἥτε ὁμοιότης αὐτῷ καὶ ἑτερότης, ἢ πρὸς τὰ λοιπὰ δύο Θεῖα νοεῖται· ἔτι μὴν εἰ μὴ διὰ τὴν φύσιν καὶ ἡ ὑπόστασις Θεὸς, ἀλλὰ καὶ διὰ τὸν ἴδιον λόγον ἐστὶ, δύο Θεότησι Θεὸς ὁ Χριστὸς· ὁμοίως δὲ καὶ ὁ πατὴρ καὶ τὸ πνεῦμα τὸ ἅγιον· ἔτι δὲ εἰ ἥτε οὐσία, καὶ αἱ τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος ἑκάστη ἀφ' ἑαυτῆς λέγεται Θεὸς, τέσσαρες Θεοὶ εἶεν ἡμῖν συναγόμενοι σαφῶς· πρὸς δὲ τούτοις, ἐπεὶ ἡ φύσις περιεκτικωτέρα τὲ καὶ κοινοτέρα τῶν ὑποστάσεών ἐστι· καὶ ἡ κατὰ φυσικὸν λόγον Θεότης, μείζων ἔσται· ἆρα οὖν μείζων Θεὸς ἐκ τῆς φύσεως, καὶ ἐλάττων ἐκ τῆς ὑποστάσεως ὁ Χριστὸς αὐτὸς ἑαυτοῦ νοηθήσεται; ἐπὶ δὲ πᾶσιν εἰ ὁ λόγος ἤγουν ἡ ὑπόστασις τοῦ Χριστοῦ καὶ καθὸ λόγος ἐστὶ καὶ υἱὸς, Θεὸς νοηθείη ἁπλῶς, καὶ οὐ τῇ ἐνθεωρουμένῃ αὐτῷ οὐσίᾳ αὐτοῦ τοιόνδε ὄνομα μόνον σφετερίζεται· ἐπεὶ ὁ πατὴρ προδήλως οὐ λόγος οὐδὲ υἱὸς, ἔσται ἄρα οὐδὲ Θεὸς, ἢ οὐ τοιόσδε· ὁμοίως καὶ τὸ πνεῦμα τὸ ἅγιον· μία οὖν ὁμοία, καὶ τρεῖς διάφοροι Θεότητες· καὶ ἕκαστον Θεῖον πρόσωπον, σύνθετον ἐκ δύο θεοτήτων διαφόρων, μιᾶς μὲν ὁμοίας, ἑτέρας δὲ ἀνομοίου· εἰ δὲ ταῦτα πάντα ἄτοπα, δῆλον ὡς ἐκ φύσεως μόνον Θεὸς τὲ ὁ λόγος ἤγουν ὁ Χριστὸς, καὶ ὁ πατὴρ, καὶ τὸ ἅγιον πνεῦμα λέγεται· ὥσπερ οὖν καὶ ἄνθρωπος ὅ τε Δαβὶδ καὶ Σολομῶν· οὔτε γὰρ ἢ Χριστὸς, ἢ Δαβὶδ, ἢ προφήτης ἀπὸ τῆς φύσεως, οὔτε ἄνθρωπος ἀπὸ τῆς ὑποστάσεως ὀνομάζοιτο ἂν ἁπλῶς, εἰ μὴ ἄρα τῷ τῆς ἐν θεωρίας λόγῳ.

XIX Πᾶσα φύσις, φασὶ, διὰ τῶν ὑποστάσεων αὐτῆς ἔγνωσται· οὐδεὶς γὰρ οἶδεν ἱππότητα, μὴ γνοὺς ἰδικῶς τὸν δέ τινα καὶ τὸν ἵππον· ὁμοίως οὐδὲ αἰγότητα, ἢ ἕτερον εἶδος κοινὸν ἢ ἰδικόν· εἰ οὖν δύο τὰς φύσεις ἴστε Χριστοῦ, δῆλον ὡς τὰς ὑποστάσεις τούτων προεγνώκατε. Ἆρα οὖν εἴποιμεν· ἐπεὶ Φειδείου τὰ ἔργα ὁρῶντες, τὴν φύσιν συνήκαμεν, οὔτε γὰρ ἀγγέλου οὐδὲ ἀλόγου τὰ ἀνδρειοπλαστικά ἐστιν· εἰ δὲ καὶ τὴν ὑπόστασιν αὐτοῦ γνωρίζομεν, βαβαὶ τῶν λογοπλαστῶν μᾶλλον ἢ τοῦ ἀνδροπλάστου· Ἐνὼχ δὲ καὶ Νῶε διότι τὴν οὐσίαν οὐκ ἀγνοοῦμεν, ἆρα καὶ τὰ πρόσωπα εἰδέναι διαβεβαιωσόμεθα, ἀλλ' εἴποι τε ἴσως, ὅτι οὐδὲ τὴν φύσιν αὐ-

τὴν Νῶε τὴν ἰδικὴν ἴσμεν; ἀλλ' ἐξ ὁμοίων τινῶν ὧν γινόσκομεν ἀναλογιζόμεθα· δεδόσθω οὖν τόδε· πῶς οὖν εἰ τὴν μὲν φύσιν ἐξ ὁμοίων εὐπορήσαντες ἐνελογισάμεθα, τὴν δὲ ὑπόστασιν ἐξ ὁμοίας ὑποστάσεως οὐκ ἐπεγνωκότες; οὐ γάρ ἐστιν ὑπόστασις ὑποστάσει πάντη ὁμοία πώποτε, διὰ τῆς μὴ οὔσης μὴ δὲ ὁμοίαν ἐχούσης ὑποστάσεως αὐτοῦ, καθὼς φατὲ, συνῶμεν τοῦ Νῶε τὴν φύσιν· εἰ δὲ συνήκαμεν, καὶ ἄνευ ὑποστάσεως ἄρά γε ἔστιν εἰδέναι φύσιν, καὶ ἄνευ τοῦ εἰδέναι αὐτῆς καὶ τὴν ὑπόστασιν· τί οὖν, φησὶν; ἀνυπόστατον τὴν Νῶε φύσιν ἐννοεῖτε; οὐ δῆτα· οὐ γὰρ τοῦτο ἐλέγομεν, ἀλλ' ὅτι οὐκ ἀνάγκη δι' ὑποστάσεως ἀεὶ ὡς φατὲ καὶ πάντως τὴν φύσιν γινώσκεσθαι· ἵνα ὁ μὴ λαμβάνων γνῶσιν ὑποστάσεως πρῶτον, μὴ δὲ φύσεως· ὅπου γε εἰ καὶ δι' ὑποστάσεως ἡ γνῶσις τῆς φύσεως πάντως ἐστὶ, τί κωλύει ἐκ μιᾶς ὑποστάσεως πλείους θεωρῆσαι φύσεις τῶν προεγνωσμένων; καὶ γὰρ Ἀνδρέαν ὁρῶντες, οὐ τῆς ψυχῆς αὐτοῦ καὶ τοῦ σώματος διωρισμένας βλέπομεν ὑποστάσεις, ἀλλὰ μίαν Ἀνδρέου ὅλου τὴν ὑπόστασιν ἴσμεν· καὶ ὅμως δύο φύσεις νοοῦμεν αὐτοῦ, τῆς ψυχῆς καὶ τοῦ σώματος.

Τάχα δὲ ἂν καὶ τόδε εἴποιεν· ὅτι πάντα τὰ κατὰ φύσιν ἡμῖν καὶ ἐν Χριστῷ ὁρῶνται, ὡμοιώθη γὰρ ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· ἡ δὲ κατὰ φύσιν γέννησις ἡμῶν, προϋπάρχουσαν ἔχει τὴν διάπλασιν τῆς ἑνώσεως αὐτῶν τῆς πρὸς ψυχάς· ἀνάγκη οὖν ὑποστάντος τοῦ σώματος τοῦ κυριακοῦ πρὸ τῆς ψυχῆς ἢ ἰδίαν ἔχειν ὑπόστασιν, εἶτα ἐμπνευσθείσῃ αὐτῷ ψυχῇ ἐν τρίτοις καὶ τῷ λόγῳ καθ' ὑπόστασιν ἑνωθῆναι, δύο ὑποστάσεων συναφθεισῶν ἀλλήλαις· ὅπερ ζητητέον πῶς ἔσται, καὶ τίνι τρόπῳ μόνον γίνεται· οὐ γὰρ ἄλλῳ πλὴν τῷ κατ' εὐδοκίαν μόνην· ἢ τῷ σώματι προήνωτο ὁ λόγος, καὶ ὕστερον ἐπέπνευσεν ἑαυτῷ καὶ τῇ σαρκὶ τὴν ψυχὴν τὴν ζῶσαν· οὐ διὰ μέσης ψυχῆς σαρκὶ ὁ λόγος ἥνωται, ἀλλὰ διὰ μέσης σαρκὸς μᾶλλον τῇ ψυχῇ ἡνώθη, ὅπερ ἄθεσμον· διὰ γὰρ τῶν οἰκειοτέρων καὶ ἐγγυτέρων τοῖς πορρωτέρω συνάπτεται τί. XX.

Ἀλλ' ἔστιν ὁμολογούμενον, ὅτι καὶ καταδεξάμενος τὰ φυσικὰ ἡμῶν ὁ κύριος, τῶν ὑπὲρ φύσιν ἡμετέραν οὐ χηρεύει· πολὺ γὰρ τοῦδε μᾶλλον ἀπεμφαίνει, πρὸς τὸν ἡμέτερον τῆς γεννήσεως τρόπον ἄσπορος αὐτοῦ κύησις· καὶ ἄφθορος ἀπότεξις· ἀλλὰ καὶ ἡ ἄλιμος αὐτοῦ τεσσαρακονθοῦτις νηστεία καὶ τὰ τοιάδε· ἐπὶ οὖν Χριστοῦ καὶ τόδε ὑπὲρ τὴν ἡμετέραν φύσιν πιστεύομεν οἰκονομηθῆναι, ὡς ἅμα τε εἶναι τὴν σάρκα αὐτοῦ, καὶ ἐψυχωμένην εἶναι, καὶ τοῦ θείου λόγου σάρκα εἶναι ἐψυχωμένην ψυχῇ λογικῇ τε καὶ νοερᾷ· οὔτε γὰρ χρόνου πρὸς κατάπραξιν τῶν τῆς εὐδοκίας αὐτοῦ δεῖται ὁ παντοδύναμος, οὔτε λόγον ἔχειν τὴν ἐκ πίστεως λόγου σύλληψιν καὶ κύησιν τῆς μακαρίας παρθένου πιστευσάσης ὅτι ἔσται τελειω-

σις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου, ὑπὲρ πᾶσαν ἐλπίδα καὶ ἔννοιαν καὶ φύσιν οὖσιν, ὁμοίως προιέναι ταῖς τῶν σωματικῶν σπερμάτων τελειώσεσιν· ἡ μὲν γὰρ εἰς σάρκα σπορὰ, ἐκ θελήματος σαρκός ἐστι διωθηθεῖσα σὰρξ δυνάμει φυσικῇ· ἡ δὲ εἰς ψυχὴν πίστις ἐστὶν ἐξ εὐδοκίας θεοῦ σπινθηρισθεῖσα καὶ μεταδοθεῖσα δόξα διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος, γεννῶσα ὁμοιογνώμονας τῆς ἰδίας ἐνδιαθέτου κρίσεως τῷδε τῷ εἰρηκότι πρὸς τὸν λόγον ἑαυτοῦ, ἐν σοὶ εὐδόκησα· κατὰ γοῦν τὴν τοιάνδε πνευματικὴν ἀναγέννησιν καὶ δι' ὕδατος καὶ πνεύματος πάντες τὴν φύσιν τῆς σαρκὸς εἰς πνεῦμα ἀχρόνως ἀναγεννώμεθα οἱ πιστεύοντες τῷ οὕτως κατὰ σάρκα γεννηθέντι Χριστῷ· διὰ τὸ ἐν σαρκὶ οὖσαν τὴν ψυχὴν, πνευματικὴν ὅμως τὴν δὲ σπορὰν, καὶ πνευματικῶς καταδεξαμένην ἑνωθῆναι τῇ κρίσει, πνευματικῆς φύσεως ἀξιωθῆναι· διὸ καὶ τῇ φύσει· τὸν γὰρ λόγον σου κύριε, εἴτουν φόβον, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν τῇ πίστει αὐτὸν, ἐν ἑαυτοῖς ἐργωδῶς τελεσφοροῦντες, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς· ὁ γὰρ ἐν σαρκὶ ὢν, καὶ μὴ τοῖς κατὰ σάρκα φαινομένοις, ἀλλὰ τοῖς κατὰ πνεῦμα τιθέμενος, ἑαυτοῦ πῶς τὴν σύνθεσιν μεταμείβει· ἀντὶ τῆς τῇ σαρκὶ φυσικοῖς συμφορήσεως ἀποσχίσας ἑαυτὸν, καὶ τῆς πρὸς τὸ πνεῦμα ὅ ἐστιν ὁ θεὸς λόγος γενόμενος γνωμικῆς συνελεύσεως· ὁ γοῦν οὕτω κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμα ἐστὶ σὺν αὐτῷ.

XXI. Πάλιν οὖν φασιν· εἰ τοῖς ἰδιώμασιν αὐτοῦ ὁ θεὸς λόγος διακρινόμενος τοῦ ὁμοουσίου αὐτοῦ πατρὸς καὶ πνεύματος, ὑπόστασις εὐθὺς νοεῖται, καὶ τοῖς ἰδιώμασιν αὐτῆς ἄρα ἡ σὰρξ αὐτοῦ τυχὸν τῷ ἄνευ ἁμαρτίας ἐκ παρθένου προελθεῖν καὶ τοῖς τοιοῖσδε τῶν ὁμοουσίων αὐτῇ πάντων διακεκριμένη εὐθὺς καὶ ἥδε ὑπόστασις νοηθείη· ἐπεὶ οὖν μὴ τὰ αὐτὰ τοῦ λόγου τε καὶ τῆς σαρκὸς τὰ ἰδιώματα, οὐδὲ αἱ ὑποστάσεις ἄρα· πῶς οὖν μία ὑπόστασις ὑμῖν ἡ τῶν δύο τε φύσεων καὶ διττῶς διακεκριμένων ἐκ τῶν ὁμοφυῶν λελόγισται; Ἀλλ' εὔδηλόν ἐστι τῷ προσεκτικώτερον ἐπιβάλλοντι, ὡς τὰ τῆς σαρκὸς τοῦ κυρίου ἰδιώματα πάντα, ἑνὶ καθολικωτέρῳ αἰτίῳ αὐτῶν πάντων ἰδιώματι αὐτῆς περιέχεται· ὅ ἐστι αὐτὸ τοῦτο τὸ μὴ ἀθεεὶ αὐτὴν καὶ τῇ καθ' αὑτὴν φύσιν αὐτῆς ψιλῇ ὑποστῆναι αὐτὴν πώποτε· διὸ καὶ ὅσα ἰδικῶς αὐτῷ ἐμφαίνεται ἕτερα ἰδιώματα παρὰ πάντα ἀνθρώπους, ταῦτά ἐστι θεοπρεπῆ, οἷον ἡ ἀναμάρτητος γέννησις, καὶ ἄπταιστος πάντη διαβίωσις αὐτοῦ, ἡ πανάγαθος πρόθεσις ἀεὶ, ἡ ὑπερδύναμος πρὸς θαυματουργίαν ἰσχὺς αὐτῆς, ὑπέρσοφος γνῶσις, ἡ παντέλειος καὶ ὑπερφυὴς ἀρετὴ, καὶ τὰ τοιάδε θεῖα· εἰ δὲ τὰ θεῖα οὐκ ἄνευ θείας φύσεώς ποτε φαίνεται, καὶ τὰ ἰδιώματα πάσης ὑποστάσεως αὐτῆς ἰδίως εἶναι δεῖ· οὐ γὰρ τὰ ἐξ ἑτέρας, ἢ ἐν ἑτέρᾳ ὑποστάσει φαινόμενα, ταῦτά τις ἄλλης ὑποστάσεως εἶναι ἰδιώματα καταλογίσοιτο· ἀνάγκη ἄρα

αὐτῆς τὲ τῆς σαρκὸς τοῦ κυρίου ἰδιώματα, καὶ θεῖα τάδε ὄντα, μὴ ἄνευ θείας φύσεως εἶναι τὴν ὑπόστασιν τήνδε αὐτὴν μαρτυρεῖν· φύσις δὲ θεία ἐπεὶ ἀνυπόστατος οὐκ ἔστι, δῆλον ὅτι καὶ θείαν ὑπόστασιν εἶναι τῇδε προσμαρτυρεῖ τῇ ὑποστάσει τῆς σαρκὸς ἧς τὰ θεοπρεπῆ ἰδιώματα τῶν ὁμοουσίων αὐτὴν διέστειλεν ἀνθρώπων· εἰ δὲ μὴ εἰς δύο ὑποστάσεις ἑαυτὴν διέστησεν ἡ τοῦ λόγου θεία φύσις ἧς τάτε υἱοπρεπῆ ἰδιώματα πρὸ τῆς σαρκός ἐστι, τῶν ὁμοθέων αὐτῇ προσώπων διακρίνοντα, καὶ τὰ τῆς σαρκὸς θεοπρεπῆ ἰδιώματα τῶν ὁμοφυῶν αὐτὴν διαστέλλοντα ἀνθρώπων, ἀνάγκη μίαν νοεῖσθαι μόνην εἶναι τὴν ὑπόστασιν τοῦ λόγου καὶ μετὰ τῆς σαρκὸς αὐτοῦ, καθ' ὑπόστασιν αὐτοῦ ἑνωθεισῶν ἄμφω τῶνδε τῶν φύσεων ἐν Χριστῷ.

Εἰ διὰ τὸ μηδὲν ἐλλιπὲς ἔχειν τὴν ἀνθρωπείαν φύσιν Χριστοῦ, φησὶ, XXII.
παρὰ τὴν φύσιν τῶν καθέκαστα ἀνθρώπων, προσαριθμεῖτε καὶ αὐτὴν τῇ τῆς θεότητος φύσει, τί δὴ ἄρα μηδὲν ἐλλειπούσης παρὰ τὰς ὑποστάσεις τῶν καθέκαστα ἀνθρώπων, καὶ τῆς ὑποστάσεως αὐτοῦ τῆς ἀνθρωπίνης, οὐ προσαριθμεῖτε καὶ ταύτην τῇ ὑποστάσει τοῦ λόγου, καὶ δύο φατὲ καὶ τὰς ὑποστάσεις τοῦ λόγου; Ἑτοίμως οὖν φαμὲν ὅτι ὁ διορισμὸς αὐτῇ λείπει ἀφ' ἑτέρας πάσης ὑποστάσεως· οὗτος γὰρ καὶ μόνος ἐστὶν ὁ τῶν ὑποστάσεων παραστατικός· ὅτι δὲ οὕτως ἔχει, σκοπητέον οὕτως· εἰ γάρ τις γυνὴ σαρκίον τὶ ἀδιάπλαστον εἴτ' οὖν σῶμα τὶ πωρῶδες ἄψυχον ἀποτέκοι, οἷα συμβαίνει ἔν τε ταῖς ἐξαμβλώσεσι, καὶ ἐπὶ τῆς λεγομένης μύλης κυηθείσης ἐν τῇ μήτρᾳ, ὑπόστασιν τινὰ σώματος εἰ καὶ ἀψύχου φαμὲν τόδε τὸ γέννημα εἶναι, ὥσπερ καὶ κατὰ φύσιν ἔχοντος σώματος τοῦ δέ τινος τοῦ βλέφους· εἰ δέπου τινὶ τῶν κατὰ φύσιν ἐχόντων σωμάτων καὶ πάλαι προγεγενημένων ὑποστάσεων ἔκφυσις γένηται ἡνωμένη κατὰ κορυφῆς τυχὸν ἢ ἑτέρωσε ὑπερσαρκήματος μεγάλου, ἢ πόρου ἀξιολόγου, οἷα ἐν στεατώμασι καὶ συκαμινέαις ὤφθη πολλάκις, ἴσου τὲ ὄντος τῷ ὄγκῳ καὶ ὁμοίου τὸ σχῆμα καὶ τὴν χροιὰν καὶ τὰ λοιπὰ τῷ ἀπὸ τῆς ἐξαμβλώσεως κρέατι, ὅμως οὐ φαμὲν καὶ τοῦδε ἰδίαν ὑπόστασιν, ἀλλὰ μίαν ἐξαριθμοῦμεν τήν τε τοῦ ὑπερσαρκίσαντος σώματος τὸ παρὰ φύσιν αὐτῷ, καὶ τὴν τοῦ ὑπερσαρκήματος αὐτοῦ· ἐπεὶ οὖν καὶ ἐπὶ Χριστοῦ οὐ καθ' αὐτὰ ὑπῆρξε ποτὲ, ἀλλ' ἐν αὐτῇ τῇ προϋφεστώσῃ τοῦ λόγου ὑποστάσει ὑπέστη, πάντα τὰ παρὰ φύσιν αὐτῇ ἀνθρώπινα αὐτοῦ, ἑαυτῷ τὴν σάρκα τοῦ λόγου ὥσπερ ἐξ ὕλης ἐκ τῆς ἁγίας παρθένου ἐνδιαπλάσαντος ἐξ ἀρχῆς, ποῦ θεωροῦντες τὸν διορισμὸν τοῦ λόγου καὶ τῆς σαρκὸς αὐτοῦ, δύο εἴποιμεν τὰς ὑποστάσεις, ὡς καὶ τὰς φύσεις; αἱ μὲν γὰρ τῇ διαφορᾷ, αἱ δὲ τῷ διορισμῷ ἀναγκαίως εἰς δυάδα οὐ διακρίνονται.

Ἡ ὑπόχρονος φύσις, φασὶν, ἀΐδιον οὐχ' ἕξει ὑπόστασιν· ὥσπερ οὖν XXIII.

οὐδὲ τὸ ἔμπαλιν· ἢ οὖν ἀνυπόστατον ἀνάγκη εἶναι τὴν ἀνθρωπείαν Χριστοῦ φύσιν, ἢ καὶ ὑπὸ χρόνον ἔχειν αὐτὴν δέον ὑπόστασιν· ὥς τε δύο εἶεν πάντως αὐτῷ ἥτε τοῦ λόγου ἀΐδιος καὶ ἡ τῆς σαρκὸς ὑπόχρονος. Ἀλλ' εἰ καὶ μὴ ἀΐδιον ὄντως ἔχειν ὑπόστασιν τὴν ὑπόχρονον φύσιν δυνατὸν, ἀλλὰ ὑπὸ χρόνον κτήσασθαι, καὶ ἐνυποστῆναι τῇ ἀϊδίῳ ὑποστάσει τὴν ὑπὸ χρόνον φύσιν δυνατόν· καὶ λέλυται πᾶν τόδε τὸ ἄπορον· οὕτω γὰρ καὶ πᾶς ὁ κόσμος γεννητὸς ὢν, τῷ ἀγενήτῳ κοσμοποιῷ Θεῷ ἐνυφέστηκεν.

XXIV. Ἡ οὐδὲν σύνθετον φασὶν ἐν Χριστῷ, ἢ καὶ φύσις καὶ ὑπόστασις· ἢ φύσις μὲν ἁπλῆ, ὑπόστασις δὲ σύνθετος· ἢ ἀνάπαλιν φύσις μὲν σύνθετος, ὑπόστασις δὲ ἁπλῆ· εἰ μὲν οὖν πάντα ἁπλᾶ τὰ ἐν αὐτῷ, ψευδῶς σύνθεσιν ὀνομάζετε ἐπ' αὐτοῦ· εἰ δὲ ἥτε φύσις καὶ ὑπόστασις αὐτοῦ σύνθετοι, τί δὴ ἄρα τοὺς σεβηρίτας ἀποσείεσθε; εἰ δὲ αἱ φύσεις μὲν ἁπλαῖ, ἡ δὲ ὑπόστασις σύνθετος ὑμῖν δοκεῖ, ἐπείπερ ἁπλῆ ὑπόστασις εἶναι ἡ τοῦ λόγου ὡμολόγηται, ὑμῖν δὲ σύνθετος εἶναι ἡ τοῦ Χριστοῦ λέγεται, δύο ἄρα ὑποστάσεις εἰσὶ σαφῶς, ἥ τε τοῦ λόγου καὶ τοῦ Χριστοῦ. Ἀλλ' ὦ οὗτοι πρῶτον μὲν τὰ ἁπλᾶ ἐμπεριέχεται τοῖς συνθέτοις· ὥστε τοῦ λόγου αὐτὴν νοητέον εἶναι τὴν καὶ ἁπλῆν πρώην καὶ σύνθετον νῦν ἐν Χριστῷ· ὅμως μέντοι καὶ τὸ σύνθετον ὅπως λέγεται περὶ τῆς ὑποστάσεως Χριστοῦ, διασαφητέον· ἔστι γὰρ καὶ ἔκ τινων τῶν κατὰ ταυτὸν τοῦ συνθέτου πράγματος λόγων ἁπλουστέραν μέν τοι εἶναί πως τὴν σύνθεσιν αὐτοῦ· καὶ ἔστιν ἐξ ἑτεροειδῶν πραγμάτων· οἷον ἔστιν ἐξ ἁπλουστέρων φαρμάκων, ποικιλώτερον συνθῆναι φάρμακον· καὶ ἐκ σωμάτων, σῶμα ἕτερον· καὶ ἀπὸ λέξεων ἁπλῶν, λέξιν σύνθετον ποιῆσαι· ἔστι δ' οὖν καὶ ἀπὸ ὑποστάσεων πλειόνων μίαν ὑπόστασιν νοεῖν σύνθετον, ὡς ἐπὶ χοροῦ καὶ οἴκου καὶ τῶν τοιῶνδε· καὶ ἔστι ἀπὸ συνόδου πλειόνων ἰδιωμάτων, οὐ τῶν τοῦ λόγου μόνον, ἀλλὰ καὶ τῶν τῆς σαρκὸς συγκειμένην τὴν ὑπόστασιν Χριστοῦ· ἢ ἐκ φύσεων ὑπόστασιν σύνθετον φατὲ, συμφήσομεν· εἰ δὲ τὴν ὡς ἐξ ὑποστάσεων, μὴ γένοιτο· σκοπεῖτε δὲ ὅτι τὴν ἐξ ἰδιωμάτων σύνθεσιν, καὶ πρὸ σαρκὸς εἶχεν ἡ τοῦ λόγου ὑπόστασις, εἰ καὶ μὴ ἐκ τοσούτων· οὐ γὰρ μόνον τὸ γεννήσει ὑφεστᾶναι ἴδιον τοῦ υἱοῦ, ἀλλὰ καὶ τὸ μὴ γεννᾷν ὁμοούσιον λόγον, μὴ δὲ ἀφ' ἑαυτοῦ ἐκπορεύειν πνεῦμα πρώτως, μὴ δὲ ἐκ πορεύεσθαι κατὰ τὸ ἅγιον πνεῦμα· καὶ τὰ λοιπὰ ἰδίως αὐτῷ ἀνήκοντα· σύνθετος ἄρα κατὰ τόνδε τὸν τρόπον, οὐ μόνον ἡ τοῦ λόγου, ἀλλὰ καὶ τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος ἡ ὑπόστασις· πῶς οὖν ἐκ τοῦδε ἁπλῆς τε καὶ συνθέτου ὑποστάσεως ἡμῖν ἐξαρίθμησις συναχθήσεται ἐπὶ τοῦ λόγου; μία γὰρ ἡ αὐτή ἐστιν ἐκ πλειόνων ἰδιωμάτων συγκειμένη τὸν ὑποστατικὸν λόγον αὐτῆς.

XXV. Ὁ μὴ διαιρῶν τοῦ Χριστοῦ τὰς ὑποστάσεις, οὐ δύναται λέγειν τὸν

τοῦ Χριστοῦ τὰ μὲν θεότητι τὰ δὲ σαρκὶ, ἀλλὰ πάντα σαρκὶ ὅσα καὶ σαρκί. Ἀλλ' ἔστι καὶ διακρίσει τῶν φύσεων ἀποδιδόναι τὰ οἰκεῖα τούτων ἑκατέρῳ· οὐ γὰρ ὑποστάσεις διαφόρους συνιέντες φαμὲν τοῦ ἐκ δεξιῶν λῃστοῦ ἐν τῷ σταυρῷ τὴν μὲν ψυχὴν διὰ μετανοίας πρὸς ζωὴν μεταβεβηκέναι, τὸ δὲ σῶμα διὰ παθήσεως πρὸς θανάτον, ἀλλ' οὐδὲ θλασθέντων αὐτοῦ τῶν σκελῶν, μὴ κατεαγείσης δὲ αὐτοῦ τῆς κεφαλῆς ἢ ἀλλοιωθείσης αὐτοῦ τῆς χροιᾶς, οὐχὶ δὲ καὶ τοῦ σχήματος· τῷ γὰρ ἀνήκειν ἑτέρᾳ καὶ ἑτέρᾳ φύσει, ἢ ἑτέρῳ καὶ ἑτέρῳ μέρει, ἢ ἄλλῳ καὶ ἄλλῳ ποιῷ, τάδε δύο ὑποστάσεις εἶναι τοῦ σταυρουμένου οὐ νοοῦμεν.

Εἰ οὐκ εἰσὶν αἱ ὑποστάσεις κατὰ φύσιν διῃρημέναι, ἀλλὰ καθ' ὑπόστασιν ἡνωμέναι, ὅταν ἀκούω τῆς γραφῆς λεγούσης τὸν Χριστὸν ἕνα ἄνθρωπον, τί με χρὴ νοεῖν μίαν οὐσίαν καὶ μίαν ὑπόστασιν, ἢ ἥμισυ μιᾶς οὐσίας καὶ ὑποστάσεως μιᾶς; Εἰ δὲ ὥσπερ καὶ αὐτὸς λέγεις οὐ μόνον ἄνθρωπος κοινὸς καὶ ψιλὸς, ἀλλὰ καὶ θεὸς ὁ Χριστὸς, τὸ αὐτό σοι καὶ ἡμεῖς φαμὲν· ὅταν ἀκούσωμεν τῆς γραφῆς λεγούσης ἕνα ἄνθρωπον τὸν Χριστὸν, τί ἡμᾶς δέον νοεῖν; ἕνα Χριστὸν ἢ ἥμισυ Χριστοῦ; δῆλον οὖν ὡς ἐξ ὀνομασίας τοῦ ἑνὸς τῶν μερῶν, τὸ ὅλον ὀνομάζεται, ὥσπερ εἴρηται· καὶ τὸ πρὸς σὲ πᾶσα σὰρξ ἥξει· καὶ τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος, καὶ τὰ τοιάδε. XXVI.

Εἰ οὐκ εἰσὶ διῃρημέναι θεοῦ καὶ ἀνθρώπου κατὰ φύσιν αἱ ὑποστάσεις, δῆλον ὅτι οὔτε χωρὶς ἀνθρώπου θεὸς ὁ θεὸς, οὔτε χωρὶς θεοῦ ἄνθρωπος ὁ ἄνθρωπος. Ὄντως γὰρ ἐν Χριστῷ οὐχί; οὕτω γὰρ καὶ συνίσταται τὸ Ἐμμανουὴλ, μεθ' ἡμῶν ἀεὶ ὄντος λοιπὸν τοῦ θεοῦ. XXVII.

Ὧν ἐν τῇ ἑνώσει οὐ μένουσιν αἱ ὑποστάσεις φυσικῶς διῃρημέναι, τούτων ἡ ἕνωσις, φύσεώς ἐστι ἀλλοίωσις. Ἆρα οὖν ἠλλοιώθη ἡ φύσις τοῦ πυρὸς ἐν τῷ μύδρῳ, ἐπεὶ μὴ διακέκριται ἡ ὑπόστασις αὐτοῦ, τῆς τοῦ σιδήρου, καὶ ψυχῆς ἡ οὐσία ἐν τῷ σώματι. XXVIII.

Ἐπὶ τῶν ἑκουσίως ἡνωμένων, οὐδαμῶς ἐναντιοῦται τῷ τρόπῳ τῆς ἑνώσεως ἡ διαίρεσις τῶν ὑποστάσεων. Ἆρα οὖν οὐδὲ εἰ καθ' ὑπόστασιν μίαν εἴη ὁ τρόπος τῆς ἑνώσεως τῶν ἑκουσίως ἑνωθέντων, ἐναντιοῦται ἡ διαίρεσις τῶν ὑποστάσεων· οὐκοῦν ἡ διαίρεσις, οὐκ ἐναντία τῇ ἑνώσει, ἀμφοῖν θεωρουμένων ἐν ταὐτῷ κατὰ τὴν ὑπόστασιν· τἀναντία δὲ συνυπάρχειν, ἀδύνατον· εἰ δὲ λέγοις ὅτι ἀλλ' οὐδὲν τῶν καθ' ὑπόστασιν ἡνωμένων ἑκουσίως ἥνωται, ἆρά γε ψευδὲς τὸ οὐδείς ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησε· καὶ ὅτι οὐ θέλομεν ἐκδύσασθαι τὸ σῶμα, ἐφ' ᾧ στενάζομεν· εἰ δὲ ἀληθῆ τάδε, ἆρά γε ἑκούσιον καί τοι καθ' ὑπόστασιν οὖσα ἡ γνῶσις ἡμῶν ἀποδέδεικται. XXIX.

Ὁ μὴ διαιρῶν τοῦ Χριστοῦ κατὰ φύσιν τὰς ὑποστάσεις, ἐκ τῆς τριά- XXX.

δος διαιρεῖ τοῦ υἱοῦ τὴν μονάδα· τριάδα γὰρ ὁμολογοῦμεν, τριῶν ἁπλῶν ὑποστάσεων, οὐ δύο ἥμισυ ὑποστάσεων. Καί τοι τὸ ἐναντίον ἔδει συνάγειν ὦ ἄνθρωπε· ὁ προστιθεὶς γάρ τι τῷ ἁπλῷ, οὐ τὸ ἥμισυ αὐτοῦ ἀφαιρεῖ, ἀλλ' ἐπαύξει τόδε μᾶλλον διὰ τῆς συνθέσεως· τριάδα οὖν εἶναι ὁμολογοῦμεν ὀρθῶς, μιᾶς τε οὖσαν καὶ ἁπλῆς φύσεως· ὑποστάσεων δὲ πάλαι μὲν τῶν τριῶν ἀσυνθέτως καὶ ἀμιγῶς ἐχουσῶν τήνδε αὐτῶν ἁπλουστάτην φύσιν ἐν ἑαυταῖς, νυνὶ δὲ τῆς μιᾶς αὐτῶν τὴν φυσικὴν ἁπλότητα τῆς ἰδίας θεότητος ἔχειν ἐν συνθέσει τῇ πρὸς τὴν ἡμετέραν φύσιν ὁρωμένης· ἵνα γὰρ ἐγκολπώσηται τὰ ἴδια προβλήματα ἡ θεότης, ἅ τις λόγῳ ἀληθείας ἀπεκύησεν ἡμᾶς ἤγουν τῷ υἱῷ, μακρὰν αὐτῆς ἀπεσχοινισμένα, διὰ τῆς αὐτῆς τῶν τριῶν μιᾶς ὑποστάσεως ἑαυτῆς, δι' ἧς καὶ προεβάλετο τὰ ὄντα εἰς τὸ εἶναι, ἀνελάβετο πάλιν αὐτὰ εἰς ἑαυτήν· τῷ μὴ ἐκφοιτητικῶς ἔχοντα πρὸς τὸν ὄντα, ἀπιέναι εἰς ἀεὶ πρὸς τὸ μὴ εἶναι· τοῦτο οὖν τὴν μίαν φύσιν ἢ ὑπόστασιν οὐ καθυβρίζει· τοὐναντίον δὲ τῷγε νοερῶς προσέχοντι, καὶ ὑπερδοξάζει· ὥσπερ γὰρ διά τε ἀγεννησίας καὶ γεννήσεως καὶ ἐκπορεύσεως δύνασθαι ὑπάρχειν ἑαυτὴν συνεστήσατο διὰ τῶν ἁπλῶν αὐτῆς ὑποστάσεων, οὕτω καὶ διὰ συνθέσεως ὑποστατικῆς, ἑαυτὴν παρέστησεν ὑπάρχειν δύνασθαι· καὶ ἔδειξε πάσης γεννήσεως καὶ ἐκπορεύσεως καὶ δημιουργικῆς συνθέσεως τὰς δυνάμεις ἐξ αὐτῆς εἶναι ἐν τοῖς οὖσιν, ὑπερέχειν τε πάντων αὐτῇ ἀγεννησίᾳ κατὰ τὴν μείζονα τῶν ὑποστάσεων, καὶ ἁπλότητι φύσεως κατὰ τὴν τῶν τριῶν ἑαυτῆς προσώπων οὐσίωσιν.

XXXI. Εἰ τὴν διαίρεσιν τῶν ὑποστάσεων οὐκ ἐφύλαττεν ἡ φυσικὴ ἕνωσις, οὐδὲ ἄρα τὸν θεὸν λόγον ἐφύλαττεν ὅπερ ἦν, οὐδὲ τὸν ἄνθρωπον ὅπερ γέγονεν. Ἆρα οὖν οὐδὲ τὸν σίδηρον ὅπέρ ἐστι, καὶ τὸ πῦρ ὅ ἐστι φυλάττει κατὰ τὸν μύδρον ἡ ἕνωσις· ἀλλ' οὐδὲ κατὰ τὴν δρόσον καὶ τὸν πόκον· ἐπεὶ μὴ διορίζονται αἱ ὑποστάσεις, φυσικῆς προδήλως ἤγουν τῶν φύσεων αὐτῶν οὔσης τῆς ἑνώσεως.

XXXII. Εἰ μένει ἡ γνῶσις τῆς θείας ὑποστάσεως τῇ θεότητι, καὶ μένει ἡ ἄγνοια τοῦ ἀνθρώπου τῇ σαρκὶ, πῶς τὰ τῶν ὑποστάσεων μένει διῃρημένα, καὶ αἱ ὑποστάσεις οὐ μένουσι διῃρημέναι; Ἀλλ' ἡ φύσις ἐστὶν ἡ γνωστικὴ ἢ ἀγνοοῦσα κατὰ τὴν ὑπόστασιν· οὐ γὰρ ἁπλῶς ἡ ὑπόστασις γινώσκει· καὶ γὰρ πάντων ὧν Παύλου ἡ ὑπόστασις γινώσκει, οὐδὲν φαμὲν τὸν ὄνυχα αὐτοῦ, ἢ τὶ τῶν τῆς σωματικῆς αὐτοῦ φύσεως γινώσκειν, ἀλλὰ μόνον τὴν φυσικὴν δύναμιν αὐτοῦ, καὶ τοῦτο τῆς ψυχικῆς μόνον ἤγουν τὸν νοῦν· οὐδὲ γὰρ πᾶσαν αὐτῆς πρώτως τὴν φύσιν· πῶς οὖν ἂν εἶεν οἱ τῆς φύσεως λόγοι τῆς ὑποστάσεως;

XXXIII. Ἓν πρόσωπον ἀπρόσιτον θεοῦ ἐκ φύσεως· οὐδεὶς γάρ φησι ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται· καὶ ἓν πρόσωπον ἐμπτυόμενον ἀνθρώπου, καὶ

ἐνέπτυσαν γάρ φησι εἰς τὸ πρόσωπον αὐτοῦ· εἰ ἓν πρόσωπον Χριστοῦ ἐστιν ἐξ ἑνώσεως, ἄρα ἔχον ἐν ἑαυτῷ τὸ ἀπρόσιτον πρόσωπον, καὶ τὸ ἐμπτυόμενον πρόσωπον. Ἀλλ' οὔτε τὸ ἐπὶ Θεοῦ εἰρημένον τοῦ ἀοράτου πρόσωπον, ὡς ὑπόστασις ἐλέγετο, περὶ οὗ νῦν τὸ ζητούμενον· οὐ γὰρ ἓν μόνον τὸ τοῦ Θεοῦ πρόσωπόν ἐστι ἀλλὰ τρία· οὐκ ἂν γὰρ ἑνικῶς εἶναι ἐῤῥήθη ὑπὸ τῆς Θεότητος, οὔτε κατὰ ἀντιδιαστολὴν, ὑπὸ ἑνὸς τῶν Θείων προσώπων ἐστὶ λεγόμενον τὸ ἀόρατον, ὡς τῶν ὁμοουσίων ἑτέρων δύο, ὁρατῶν ὄντων Θείων προσώπων, τοῦ χρηματίζοντος δὲ μόνου ἀοράτου τυγχάνοντος· ἀλλ' ἡ τῆς φύσεως αὐτοῦ κατόπτευσις ἐδηλοῦτο διὰ τοῦ προσώπου, καὶ τὸ φυσικὸν εἶδος τοῦ Θεοῦ, ὅπερ οὐ ταυτὸν νοεῖται τῇ ὑποστάσει ὄν· ἔτι δὲ οὐ ταυτόν ἐστι τῇ ὑποστάσει αὐτοῦ οὐδὲ τὸ ἐμπτυσθὲν Χριστοῦ πρόσωπον· μέρος γάρ ἐστι ἐκεῖνο, οὐ μόνον Χριστοῦ, ἀλλὰ καὶ τοῦ κατ' αὐτὸν ἀνθρώπου· καὶ τούτου τῶν σωματικῶν μερῶν ἓν ἤγουν ἡ κεφαλή· καὶ αὐτὴ δὲ οὐχ' ὅλη, ἀλλὰ τὸ ἐν αὐτῆς πλευρὸν ἁπλῶς τὸ ἐμπρόσθιον, καὶ πρὸς τοὺς ὦπας μέρος αὐτῆς· εἰ οὖν τῷδε ὁ τῆς ὑποστάσεως τοῦ Χριστοῦ λόγος δηλοῦται μόνῳ, ἐπεὶ μὴ ἐμπεριώρισται αὐτῷ στέρνων, καὶ αἱ χεῖρες, καὶ οἱ πόδες, καὶ τὰ λοιπὰ τοῦ σώματος, εἴτε ψιλοῦ ἀνθρώπου, εἴτε οὖν θεοῦ ἐστὶν ἡ ὑπόστασις Χριστοῦ καὶ τὸ πρόσωπον, ἀνάγκη ἐκτὸς εἶναι τῆσδε τῆς ὑποστάσεως πάντα τὰ ἄλλα μέλη αὐτῆς, ὅσα μὴ ἡ ὄψις, ἤτουν ὁ χαρακτὴρ, περιγράφει ταύτης· ἢ οὖν παιδιῶδες, ἢ σοφιστικὸν τὸ εἰρημένον ὑμῖν σαφῶς.

Τὸ πρόσωπον τοῦ θεοῦ λόγου οὐκ ἔστιν ἐκ τῆς ἑνώσεως ἓν, ἀλλὰ ἐκ φύσεως· τὸ πρόσωπον τοῦ Χριστοῦ ἐκ τῆς ἑνώσεως ἐστίν ἓν· εἰ γὰρ ἐκ τῆς ἑνώσεως ἦν τὸ ἓν πρόσωπον τοῦ Θεοῦ λόγου, ὥσπερ τὸ τοῦ Χριστοῦ, δῆλον ὅτι πρὶν γένηται ὁ Θεὸς λόγος ἓν πρόσωπον, οὐκ εἶχε τὸ ἓν πρόσωπον, ὥσπερ οὐδὲ Χριστός. Ἀλλ' αὐτὸ τὸ ἐκ φύσεως ἓν πρόσωπον τῆς μιᾶς φύσεως τοῦ λόγου, τοῦτο καὶ ἐπὶ τῇ ἑνώσει τῆς προσληφθείσης αὐτῇ ἐν αὐτῷ φύσεως σαρκὸς πρὸς τῷ λόγῳ, ἕν ἐστι πρόσωπον τῶν δύο φύσεων Χριστοῦ· ἐκ τῆς οὖν ἑνώσεως τῶν φύσεων οὐ προσώπων, ἕν ἐστι τὸ πρόσωπον Χριστοῦ, ὅ ἐστιν ἐκ μιᾶς φύσεως, ἓν πρόσωπον τοῦ λόγου· ἐπεὶ τί φατὲ; ὁ Χριστὸς ἔχει πρόσωπον ἐκ φύσεως, πρὸς τῷ προσώπῳ τόδε τῷ ἐκ τῆς ἑνώσεως, ἢ οὐχὶ; εἰ μὲν οὖν οὐχὶ, οὐδ' ἄρα πρόσωπον ἐστὶν ἡ ἕνωσις, ἀλλ' ὡς ἔφημεν ἐν τῷ φυσικῷ προσώπῳ τοῦ λόγου, φύσεως ἐστὶν ἡ ἕνωσις· εἰ δὲ ἔχει ὁ Χριστὸς φυσικὸν πρόσωπον, ὥσπερ ὁ λόγος πρὸς τῷ τῆς ἑνώσεως προσώπῳ πάντως, ὅτι καὶ τὸν λόγον φατὲ ἔχειν καὶ αὐτὸν ἑνώσεως πρόσωπον, πρὸς τῷ τῆς φύσεως προσώπῳ, ἀνὰ δύο οὖν ἔχουσι πρόσωπα σαφῶς, ὅ τε λόγος, καὶ ἡ σάρξ· εἰς ποῖον οὖν τῶν τεσσάρων προσώπων, λέγετε θεωρεῖσθαι τὴν εἰς πρόσωπον τῶνδε τῶν φύσεων XXXIV.

καὶ προσώπων ἕνωσιν; εἰ μὲν γὰρ εἰς τὸ Χριστοῦ ἐξ ἑνώσεως πρόσωπον, περιττὸν τὸ τοῦ λόγου· εἰ δὲ εἰς τὸ τοῦ λόγου, παρέλκον τὸ Χριστοῦ· πῶς δὲ καὶ ὑφέστηκεν; ἢ ποῦ τόδε τὸ ἐξ ἑνώσεως πρόσωπον; εἰ μὲν γὰρ ἐκτὸς τῶν φυσικῶν, ἰδίαν τὲ γέννησιν καὶ περιγραφὴν καὶ κίνησιν ἔχει· εἰ δὲ ἐν θατέρῳ μόνῳ, οὐχ' ἑνώσει τὸ ἕτερον τῷ ἑτέρῳ προσώπῳ· εἰ δὲ ἀμφοτέροις, ἀνάγκη διαμεμερίσθαι αὐτὸ εἰς τὰ διακεκριμένα καὶ διωρισμένα πρόσωπα, ἀν ἥμισυ, ὅσα τὲ οὖν αἰσθητὰ μέλη αὐτοῦ ἐστιν, ὁ εἷς ποῦς τυχὸν ἐν τῷ λόγῳ, ὁ δὲ ἄλλος ἐν τῇ σαρκὶ νοηθήσεται· καὶ ὁ μὲν ἐν τῷ ἀοράτῳ προσώπῳ, ἀόρατος πούς· ὁ δὲ ἐν τῷ ὁρατῷ, ὁρατός· τρεῖς οὖν κατὰ τὸν ὁρατὸν Χριστὸν οἱ πόδες ὁρῶνται καθ' ὑμᾶς· καὶ ἐπὶ τῶν ἄλλων μελῶν τὰ ὅμοια· εἰ δὲ ταῦτα καὶ ἐν γραῶν ληρῳδήμασι βδελυκτά, ἐπεὶ μήτε ἐκτὸς τῶν δύο φυσικῶν προσώπων, μήτε ἐν τοῖς δυσὶ, μήτε κατὰ θάτερον αὐτῶν μόνον ὑφεστηκέναι ὅλως τὸ ἓν τῆς ἑνώσεως πρόσωπον φατὲ, προδήλως ὅτι ἀνυπόστατόν τι καὶ ἀνάπλασμα, καὶ λόγῳ μόνον ἓν πρόσωπον ἐξ ἑνώσεως φυσικῶν προσώπων εἶναι δογματίζετε· ὅπερ οὔτε τῷ Χριστοῦ φυσικῷ ὅμοιον ὄν, τίνι ἔσται ὅμοιον εἴπατε, εἰ καὶ ὑφεστηκέναι δοθῇ κατὰ συγχώρησιν· εἰ δὲ εἴποιτε ἴσως τὸ φυσικὸν Χριστοῦ πρόσωπον εἶναι τὸ ἐξ ἑνώσεως ἓν ὂν εἰρημένον ἡμῖν, εἰ ἐκ τῆς τῶν δύο προσώπων φυσικῶν ἑνώσεως ὄντως γέγονε, τίς ὁ τοῦ ἑνωθέντος κατ' αὐτὸ φυσικοῦ προσώπου ἄνθρωπος; ὁ παρὰ τὸν . . . ἆρα δὲ οὖν καὶ τὸ αὐτὸ ἑαυτοῦ προϋπῆρχε τὲ καὶ μεταγέγονεν, εἴπερ ὡς φυσικὸν προῆν, ὡς δὲ ἐξ ἑνώσεως μετὰ τὴν σύνοδον τῶν φυσικῶν γέγονεν;

XXXV. Εἰ ἔστιν ὁ λόγος ὃ ἦν, καὶ ἔστιν ὃ γέγονεν, ἦν μὲν Θεὸς, γέγονε δὲ ἄνθρωπος, ἐν ἑνὶ προσώπῳ τοῦ λόγου, οὐ δύναται εἶναι ἀμφότερα, ὅλος γὰρ γέγονεν ἄνθρωπος, φύσιν ἔχων ἀνθρώπου καὶ πρόσωπον. Ἀλλ' εἰ καὶ τῇ ἐμπροσώπῳ Θεοῦ φύσει Θεὸς ἦν ὁ λόγος ὡς φύσεως θείας ὢν δηλαδὴ, τὴν ὑπόστασιν αὐτοῦ, οὐχ' ὡς ἁπλῶς ὑπόστασις ἦν Θεὸς, ἀλλ' ὡς τοιᾶσδε φύσεως οὔσης αὐτῷ τῆς ὑποστάσεως· ἐπεὶ ὁ πατὴρ οὐκ ἔσται Θεὸς, ἐπεὶ μὴ τοιᾶσδε οἵας ὁ λόγος ἐστὶν ὑποστάσεως· καὶ ἄνθρωπος ἄρα γέγονεν τῇ τῆς φύσεως τῆς ἀνθρωπίνης προσλήψει, εἰ καὶ ἀπροσώπῳ ἡ αὐτὴ ὑπόστασις τοῦ λόγου· εἰ μὲν γὰρ καὶ ὑπόστασιν σαρκὸς προσελάβετο ἡ ὑπόστασις τοῦ λόγου, οὐ γέγονεν ὁ λόγος σὰρξ, ἀλλ' ἐκτήσατο σάρκα ὁ λόγος· εἰ δὲ καὶ ἡ φύσις αὐτοῦ γέγονε σαρκὸς φύσις, ὡς ἡ ὑπόστασις, οὐκ ἐσκήνωσεν ἐν ἡμῖν τοῖς σαρκικοῖς ἤγουν εἰς σάρκα, ἀλλ' ἐτράπη εἰς αὐτὴν ὁ λόγος· δύναται οὖν τὰ φυσικὰ ὀνόματα ἀμφότερα φέρειν ὁ λόγος ἐν τῷ ἑνὶ διφυεῖ νῦν, πάλαι δὲ μονοφυεῖ προσώπῳ αὐτοῦ· εἰ δὲ λέγοι τὶς μὴ δύνασθαι φέρειν ἑτεροφυὲς πρόσωπον ἑτέραν φύσιν ἐν ἑαυτῷ, οὐδ' ἄρα τὰ τῆς σαρκικῆς ἡμῶν φύσεως τῆς νῦν πρόσωπα τὴν πνευ-

ματικὴν φύσιν ἐν τῇ μελλούσῃ ἀναβιώσει καταδέξονται αὐτά· ἀλλ' ἢ καὶ ἑτέρας ὑποστάσεις ἕξουσιν, ἢ οὐδὲ τὰς φύσεις ἀμείνους· φύσεως δὲ καὶ ὑποστάσεως εἰ μόνος ὁ Θεὸς αἴτιος, τί τὸ κωλύον αὐτὸν μετατιθέναι φύσιν τινὰ εἰς ἑτέραν ὑπόστασιν; καὶ ὑπόστασιν ἀλλοτρίαν, εἰς ἑτέραν φύσιν; εἴπερ αὐτῷ πάντα δυνατὰ ἀληθῶς· ὅπου γε καὶ τῶν ἐνυποστάτων ζώων καὶ βοτανῶν τὰς φύσεις, εἰς ἑτέρας ὑποστάσεις μετατιθεμένας ὁρῶμεν σαφῶς, ἀφ' ὧν τρέφεται τὰ τρεφόμενα· καὶ τὰς ὑποστάσεις εἰς ἑτέρας φύσεις οἷον ἐπὶ τῶν ἐκ σκώληκος εἰς πτηνὸν μεταφυομένων.

Τὸ φύσει υἱὸς τοῦ Θεοῦ, καὶ τὸ φύσει υἱὸς ἀνθρώπου, ὑποστάσεώς XXXVI.
ἐστι ὀνόματα, ὧν χωρὶς οὐκ ἐνδέχεται ὀρθῶς ὁμολογεῖν τὸν χριστιανισμὸν, καὶ ἀμφότερα ἐν τῷ ἑνὶ Χριστῷ ὁμολογεῖται, οὐκ ἐν ἑκατέρῳ ἀμφότερα. Ὑποστάσεως μὲν, ἀλλὰ τῆς αὐτῆς πρόσθες· εἰ γὰρ ὀρθῶς ἀμφότερα ἐν τῷ ἑνὶ Χριστῷ ὁμολογεῖται, τὰ δύο ὀνόματα ἐπὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ ἑνὸς Χριστοῦ κεῖται, ὥσπερ ἐπὶ τῶν διωνύμων ἐξ ἄλλου καὶ ἄλλου εἰλημμένα λόγου· οὕτως γοῦν καὶ Τιμόθεος ὁ αὐτὸς ἐν μιᾷ τῇ ὑποστάσει αὐτοῦ, υἱός τε ἦν Παύλου καὶ πατρὸς ἕλληνος· ἄλλως δὲ τάδε, εἰ καὶ κατὰ ὑποστάσεως, ἀλλ' ἐκ τῶν φύσεων ὠνόμασται καὶ τῶν γεννήσεων σαφῶς.

Ἡ δύο ὑποστάσεών ἐστιν ὄνομα ὁ λόγος τῆς ἀποιήτου κυρίου, καὶ τῆς XXXVII.
πεποιημένης κυρίου, ἢ δύο ἡμίσεων τῆς μιᾶς ὑποστάσεως τοῦ ἑνὸς κυρίου· οὐδεὶς δὲ γίνεται κατὰ χάριν, ὅ ἐστι κατὰ φύσιν. Εἰ τῆς ὑποστάσεως τοῦ λόγου ἐστὶν ὄνομα τὸ κύριος καὶ οὐ τῆς φύσεως, ὁ πατὴρ ἄρα καὶ τὸ πνεῦμα, οὐ κύριοι, ἐπεὶ οὐ τῆς αὐτῆς εἰσὶν ὑποστάσεως· εἰ δὲ φύσεώς ἐστι, δῆλον ὡς ἡ ἀνθρωπίνη φύσις γέγονε κατὰ χάριν τοῦτο ὅ ἐστι κατὰ φύσιν ἡ θεότης ἤγουν κύριος, ὡς καὶ ὑμεῖς εἰρήκατε, διὰ τῆς ἄκρας τῆς κατὰ μίαν ὑπόστασιν πρὸς αὐτὴν εὐφυΐας, χαρισαμένης αὐτῇ τὰ ἴδια φυσικά.

Εἰ θεότητι θεὸς ὁ λόγος, καὶ ἀνθρωπότητι ἄνθρωπος ὁ λόγος, ἐν XXXVIII.
δυσὶν ἄρα ὑποστάσεσίν ἐστιν ὁ λόγος υἱὸς τοῦ Θεοῦ καὶ υἱὸς ἀνθρώπου· ὥσπερ καὶ ἐν δυσὶ φύσεσι θεὸς καὶ ἄνθρωπος. Εἰ ἐν φύσεσι δυσὶ θεὸς καὶ ἄνθρωπος ὡς ἔφης ἐστὶν, ἐν θεότητι ἄρα καὶ ἀνθρωπότητι, δύο φύσεις ἀναγκαίως καὶ οὐ δύο ὑποστάσεις ὁ αὐτὸς νοηθήσεται εἶναι υἱὸς Θεοῦ.

Εἰ μίαν ἔχει ὁ λόγος ὑπόστασιν ἀποίητον καὶ μίαν πεποιημένην, ὁ XXXIX.
ἀναιρῶν τῶν ὑποστάσεων τὸν ἀριθμὸν, ἀναιρεῖ τοῦ λόγου τὴν ὑπόστασιν, ἢ τὴν ἀποίητον, ἢ τὴν πεποιημένην. Ἀλλ' οὐδεὶς εὐσεβῶν δύο ὑποστάσεις ἔχειν αὐτὸν φησὶ ὄντως τὸν λόγον, ἀλλὰ τὴν μίαν αὐτοῦ ὑπόστασιν, πάλαι μὲν ἐξ ἀποιήτων τὸ ὅλον γνωρίζεσθαι ἰδιωμάτων ἐντελῶς, νῦν δὲ καὶ ἐκ ποιητῶν ἔχειν λόγων καὶ πραγμάτων ἐκ περιουσίας τὰς ὑποστατικὰς ἑαυτῆς ὑπογραφάς.

XL. Εἰ οὐκ ἔστιν ἰδικῶς τοῦ Θεοῦ λόγου τὸ μὴ εἶναι γεννηθέντα ἐξ ἑτέρας οὐσίας ἢ ὑποστάσεως πλὴν τῆς τοῦ πατρὸς, ἀλλὰ καὶ τῆς σαρκὸς, ἔσται ἄρα καὶ ἡ σὰρξ ἐκ τῆς οὐσίας μόνης τοῦ πατρὸς, καθάπερ καὶ ὁ Θεὸς λόγος. Ἔστι μὲν οὖν αὐτοῦ ἰδικῶς τόδε τοῦ λόγου ἴδιον, ἀλλ' οὔπω μὲν σάρκα προσλαβομένου καθ' ἕνωσιν, ὡς ὑποστάσεως αὐτοῦ χαρακτηριστικὸν ἴδιον τῆς ἁπλῆς καὶ μονοφυοῦς ὁρᾶται· συνθέτου δὲ γενομένου τοῦ φυσικοῦ αὐτῆς λόγου, οὐχ' ὡς τῆς ὅλως ὑποστάσεως κατὰ τὸν φυσικὸν αὐτῆς λόγον ἴδιον νῦν, ἀλλ' ὡς μέρους ἑνὸς ὂν; ἴδιον τῶν ἐν τῇ ὑποστάσει συμπεφυκότων πραγμάτων νοηθήσεται· οὕτω γοῦν καὶ ψυχῆς μόνον ἐστὶ, τὸ νοῦ καὶ ἐπιστήμης δεικτικόν· καὶ οὐ παρὰ τόδε ἰδίᾳ παρὰ τὸν ὅρον τοῦ ἀνθρώπου εἶναι αὐτὴν παρίστησιν· ἀλλὰ καὶ γεύσεως ἴδιον μόνης, τὸ τῶν χυμῶν ἀντιληπτικόν· καὶ οὐκ ἐκ τοῦδε, ἰδικὴ ταύτης ἐστὶν ὑπόστασις.

XLI. Εἰ ὅταν ἡ Θεία γραφὴ τὸν Χριστὸν ἕνα καλῇ ἄνθρωπον, μετὰ τοῦ θεοῦ καλεῖ αὐτὸν ἕνα ἄνθρωπον, δῆλον ὅτι ἥμισυ τοῦ ἑνὸς ἀνθρώπου ἐστὶ ὁ Θεός. Καὶ ὅτε οὖν λέγει σάρκα τὸν ἄνθρωπον, ὡς ἐν τῷ πρὸς σὲ πᾶσα σὰρξ ἥξει, μετὰ τῆς ψυχῆς καλεῖ αὐτὸν μίαν σάρκα, δῆλον ὅτι ἥμισυ τῆς μιᾶς σαρκός ἐστιν ἡ ψυχή.

XLII Ὁ ὁμολογῶν τὸν Χριστὸν ὁμοῦ Θεὸν καὶ ἄνθρωπον, καὶ μὴ λέγων τὸν Χριστὸν ὁμοῦ ἕτερον, τὴν ἰδίαν ἀναιρεῖ ὁμολογίαν. Καὶ πῶς δυνατὸν τὸ αὐτὸ ὅλον Χριστοῦ, ἕτερον καὶ ἕτερον ὅλον ἑνὸς Χριστοῦ νοεῖν; ἄρα οὖν ἐκ μέρους καὶ πρὸς μέρος αὐτοῦ ἐστὶν ἕτερος καὶ ἕτερος ὁ εἷς Χριστός.

XLIII. Φασὶν ἔτι ὅτι εἰ γέγονεν ἄνθρωπος ὁ λόγος, δῆλον ὅτι τὶς ἄνθρωπος· οὐκ ἔστι γὰρ ἄνθρωπος, μὴ ὢν τις ἄνθρωπος· ὁ δὲ τὶς ἄνθρωπος, ἀνθρώπου ὑπόστασις· ἢ οὖν δύο ὑποστάσεις Χριστοῦ, ἢ ἡ τοῦ λόγου ἐξέλιπεν. Ἀλλ' ἔνθεος ἐκ πρώτης ὑπάρξεως οὗτος ὁ τὶς ἄνθρωπος. Χριστὸς τὴν ὑπόστασιν ἐστίν· ὅπερ ἴσον τῷ Θεὸς εἰπεῖν ἐνανθρωπήσας τὴν ὑπόστασιν, διὰ τῆς πρὸς τὴν Θείαν οὐσίαν ἑνώσεως τῆς ἀνθρωπίνης οὐσίας.

XLIV. Φασὶ πάλιν ὅτι εἰ ἔμεινεν ὁ Θεὸς λόγος ὃ ἦν, καὶ γέγονεν ὃ οὐκ ἦν, δῆλον ὅτι ἔμεινεν ἄσαρκος τὴν οὐσίαν ὃ καὶ ἦν. Καὶ γάρ ἐστιν ὄντως ἄσαρκος τὴν οὐσίαν· ἀλλ' οὐχὶ τοῦτο καὶ τῆς ὑποστάσεως αὐτοῦ νῦν οἰκεῖον κατηγόρημα, ὥσπερ καὶ ἡ ψυχὴ, ζῶντος ἐπὶ γῆς ἔτι Βασιλείου, ἄσαρκος μὲν τὴν οὐσίαν, σεσαρκωμένη δὲ ἐστὶ τὴν ὑπόστασιν.

XLV. Ἡ σὰρξ εἰ μὴ ἔστι τινὸς ἀνθρώπου, φύσει παρὰ τὸν θεὸν λόγον ἑτέρου ὄντος, ἀλλὰ τοῦ θεοῦ, δῆλον ὅτι ὁ τῆς σαρκὸς δημιουργὸς καὶ θεὸς, τοῦ Θεοῦ λόγου ἐστὶ δημιουργὸς καὶ Θεός. Ἀλλ' ἔστιν ἑτέρας μὲν φύσεως, προσώπου δὲ οὐχί· ἀλλ' αὐτοῦ ἰδιοποιησαμένου αὐτὴν τοῦ λόγου προσλήψει τῇ εἰς τὴν ἰδίαν αὐτοῦ ὑπόστασιν.

Ὁ σάρκα μὲν ἔχων καὶ ψυχὴν λογικὴν, ἄνθρωπον δὲ μὴ ἔχων, ἄνθρωπός ἐστιν μόνος· ὁ δὲ ἔχων σάρκα καὶ ψυχὴν, ἔχων δὲ καὶ τὸν ἄνθρωπον, ἕτερός ἐστι παρὰ τὸν ἄνθρωπον· καὶ ὁ Θεὸς οὖν λόγος, εἰ σάρκα ἔχει ἐψυχωμένην ψυχῇ λογικῇ, ἐξ ἀνάγκης ἔχει καὶ τὸν ἄνθρωπον. Εἰ οὖν ὁ σάρκα τὲ ἀλλὰ καὶ ψυχὴν ἔχων, ἄνθρωπον δὲ μὴ ἔχων, ἄνθρωπός ἐστιν ὡς φὴς, τῇ ὑποστάσει τῇ μιᾷ εἷς· καὶ ὁ Θεὸς λόγος ἄρα τον ἄνθρωπον ἔχων, σάρκα τὲ καὶ ψυχὴν ἔχει· ἐξ ἀνάγκης οὖν πρὸς τῇ Θεότητι ὁ ἄνθρωπος εἷς ἐστι τῇ ὑποστάσει καὶ κατὰ σὲ, εἴπερ καὶ ψυχὴ πρὸς τῷ σώματι, ὡς εἶπας. XLVI.

Εἰ ἓν ἄτομον φησί ἐστιν ὁ Χριστὸς μόνον, ἢ μονοειδές τι, ἢ τῶν ὑπὸ εἶδος πάντως, ἄλλως γὰρ οὐκ ἔνι, ἢ οὖν τί ἐστι αὐτοῦ τὸ εἶδος, ἢ ὑπὸ ποῖον εἶδος ἐστὶ, λέγετε. Ἐπεὶ οὖν οὕτως ἐπωρώθη τὰ νοήματα τῶν ἀπίστων, ὡς ἀγχόθεν σφαδάζοντας μὴ διαυγάζειν τοὺς λόγους εὐαγγελίου, λεκτέον καὶ ἡμῖν πρὸς αὐτοὺς, ὡς πᾶν ἄτομον, ὅπερ ἢ μονοειδές ἐστιν ἢ ὑπὸ εἶδος ἕν τι τέτακται μόνον, οὐδεμίαν ἔχει καινοτέραν παρὰ πάντα τὰ ὄντα φύσεων ἕνωσιν ἐν ἑαυτῷ· εἰ οὖν καὶ τόδε τὸ ἄτομον, Χριστοῦ ἤγουν πρόσωπον, ὄντως κοινόν τι καὶ ἓν τῶν πολλῶν ἴστε ἕνωσιν φύσεων ἐν αὐτῷ καινοτέραν οὐκ εἰδότες, καλῶς συνελογίσασθε· εἰ δὲ παρὰ πάντα τὰ ὄντα γενέσθαι ἐν τῷ μεσίτῃ Θεοῦ καὶ ἀνθρώπων ἕνωσιν φύσεων καὶ ὑμεῖς ὡμολογήσατε, αὐτόθεν τοῦτο ὅπερ διδόατε, πάλιν ἑαυτοὺς ἀναιρεῖτε, κατά τι τῶν ἐν τῷ παντὶ ἀτόμων, καὶ τοῦτο γινώσκοντες εἶναι· ἄλλως γοῦν ἡμεῖς ὑμῖν τὸ ἀσυλλόγιστον μᾶλλον ἐπὶ Χριστοῦ συλλογισόμεθα λέγοντες, ὡς παντὸς παραδόξου ἀπρόσιτός τε καὶ συλλογισμοῖς ἀναπόδεικτος ὁ λόγος· κοινῶν γὰρ ἐννοιῶν ἄπορον τὸ σπάνιον καὶ φυσικοῖς τὸ ὑπερφυὲς, ἀπερίληπτον· ἐξ ἀνάγκης οὖν ἢ ὁμοιότροπον πᾶσι καὶ τόδε ἄτομον δώσετε, καὶ τὸν ἐν πᾶσι λόγον καὶ ἐπ' αὐτῷ ἐκζητήσετε, ἢ παρὰ πάντα τὰ ὄντα ἄτομα τοῦτο συγκεκροτῆσθαι φυσικῶς ἐπινεύσαντες, τῷ τῶν ἀνομοίων λόγῳ λοιπὸν καὶ τόδε οὐχ' ὑποβαλεῖτε· καὶ οὕτως μὲν τάδε· ἐκ περιουσίας δὲ ὅμως, καὶ ἄτομά ἐστιν ὑμῖν δεῖξαι ἃ οὔτε μονοειδῆ ἐστιν ἁπλῶς οὔτε ὑπὸ ἓν μόνον εἶδος, ἀλλ' ὑπὸ διάφορα εἴδη ἀνάγεται· τῶν γὰρ ὀρνιθοφασιανῶν καὶ τοιῶνδε τὸ καθέκαστα ἄτομον, οὔτε μονοειδές τι ἔστιν εἰπεῖν, οὔτε ὑπὸ ἕν τι εἶδος· οὔτε γὰρ τοῖς καθαροῖς, οὔτε τοῖς ἀκαθάρτοις εἴδεσιν ἐντέτακταί πη· καὶ ἄλλως· πᾶν εἶδος ἐν ἑαυτῷ καὶ οὐκ ἐν ἑτέροις εἴδεσιν ὑφέστηκεν· τούτῳ δὲ καθ' ὑπόστασιν ἀναιρεθέντος τοῦ φασιανικοῦ ὀρνιθίου εἴδους, συναναιρεῖται καὶ ἡ σύστασις· ἔστιν ἄρα σαφῶς, ἄτομα μὲν εἶναι καινότερα, ἕν τε καὶ πλείονα ὅμοια, εἴδους φυσικοῦ καινοτέρου ἐν αὐτοῖς μὴ συνισταμένου· ἐπὶ τούτοις δὲ καὶ τῆς δρακοντουμένης ῥάβδου μωσαϊκῆς, τί φατὲ τὸ ἄτομον, ἀκουσόμεθα· εἰ μὲν γὰρ μο- XLVII.

νοειδές τε, καὶ ποῖον τόδε τὸ κατ' αὐτὴν μόνην εἶδος, ὃ μήτε ῥᾶβδος, μήτε δράκων ὁρίζοιτο; εἰ δὲ ὑπὸ εἶδος ἓν μόνον, ποῖον τοῦτο; ὃ γὰρ ἂν εἴποιτε μόνον, τὸ ἕτερον ἐλέγχεσθε παραβλάψαντες· ἆρα οὖν οὐδὲ τῆς μωσαϊκῆς ῥάβδου ἴσον ὑμῖν τὸ τῆς τοῦ λόγου σαρκώσεως θαῦμα δοκεῖ, ἀλλ' ἔστι ταύτην μὲν ὡς καινοτέραν συλλογίζεσθαι, ἐκείνην δὲ οὐχὶ· φεῦ τῆς ἀσεβείας.

XLVIII. Εἰ αὐτὸς φησὶν ὁ ἑαυτὸν ἐγείρας Χριστὸς ἐκ νεκρῶν, καὶ ἐγερθεὶς, ἔδει αὐτὸν εἰπεῖν λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερθήσομαι; Τί δὲ οὖν μὴ καὶ τοὐναντίον σκοποῦντες ἡμίγληνοι τὴν εὐσέβειαν ἐντελῶς καταυγάζεσθε; εἰ γὰρ ἕτερος ἀνιστᾷ τὸν λυόμενον, ὃς ἦν ἀπὸ μέρους ἤγουν τοῦ σώματος αὐτοῦ, ὁ προσδιαλεγόμενος αὐτοῖς, ἔδει εἰπεῖν, λύσατε τὸν ναὸν τοῦτον, ἤγουν τὸ σῶμα αὐτοῦ δεικτικῶς, καὶ ἐν τρισὶν ἡμέραις ἐγερεῖ αὐτὸν, ἢ ὁ θεὸς, ἢ ἕτερος ἁπλῶς, οὐ μὴν ἐγὼ ὁ διαλεγόμενος ὑμῖν, ὃς ἦν σαφῶς καὶ ψυχὴ καὶ σῶμα· δῆλον ἄρα ὡς τὸ αὐτὸ πρόσωπον τὸ διὰ τῆς ἀντωνυμίας σημαινόμενον τῆς ἐγὼ, τό τε λυόμενον σῶμα, καὶ τὴν διαλεγομένην ψυχὴν διὰ σώματος, καὶ τὸν ἐγείραντα θεὸν τὸ λυθὲν, περιέχει.

XLIX. Ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς, δηλονότι ἐν τῷ προονομασθέντι Χριστῷ, εἴρηται τῷ ἀποστόλῳ· πῶς οὖν οὐχ' ἕτερον φύσει τὸ πλήρωμα τῆς θεότητος, παρὰ Χριστὸν, εἴπερ ἕτερον τὸ ἔν τινι τοῦ ἐν ᾧ ἐστι, καὶ τὸ κατοικοῦν πρὸς τὸ κατοικούμενον; τοιοῦτον γοῦν ἐστι, καὶ τὸ θεὸς ἦν ἐν Χριστῷ. Ἄρα οὖν ἐπεὶ εἴρηται, πρὸς φθόνον ἐπιποθεῖ τὸ πνεῦμα, ὃ κατῴκισεν ἐν ἡμῖν, ἕτερον ἡμεῖς καὶ ἕτερον τὸ κατοικοῦν ἐν ἡμῖν πνεῦμα, εἴτουν ἡ ψυχὴ ἡμῶν· καὶ ὅταν λέγῃ· ἔα δὲ τοὺς κατοικοῦντας οἰκίαις πηλίναις, ἐξ ὧν καὶ αὐτοὶ ἐκ τοῦ αὐτοῦ πηλοῦ ἐσμὲν· ἡμεῖς οὖν ἕτερος πηλὸς, καὶ ἄλλη ἡ οἰκία ἡ πηλίνη, ἢ δῆλον, ὡς τὰ τοιάδε, ἔν τινι ὡς μέρος ἐν τῷ ἰδίῳ ὅλῳ λέγεται; ἐν Χριστῷ οὖν τῷ ἑνὶ συντελεσμένῳ προσώπῳ, ὡς μέρος ἐστὶν αὐτοῦ τῆς ὑποστάσεως ἡ θεότης, ἐν αὐτῷ νοουμένη μετὰ τὴν σάρκωσιν ἑαυτῆς· ὡς δὲ κατοικοῦν ἐν κατοικουμένῳ· διότι γε τελεία καὶ ὁλόκληρος ἐστὶ φύσις τοῦτο τὸ ὡς μέρος πρόσωπον θεωρούμενον ἐν αὐτῷ καὶ ἑτεροούσιον πρὸς τὸ κατοικούμενον αὐτοῦ μέρος ὑπ' αὐτῆς· τοιόσδε γὰρ ὁ τῶν οἴκων καὶ οἰκούντων λόγος· τὸ δὲ σωματικῶς εἶναι τὴν κατοίκησιν τῆς θεότητος ἐν Χριστῷ, ἤγουν ἐν τῇ σαρκὶ αὐτοῦ, μέρους αὐτοῦ οὔσης, καὶ τῇ τοῦ ὅλου προσηγορίᾳ κατονομασθείσης νῦν· οὐ τὸ μὴ κατὰ περιγραφὴν τοπικὴν· ὡς ἑτέρας περιεχομένης εἶναι τὴν κατοίκησιν δυνάμεων τῆς κατοικούσης φύσεως, εἰς τὴν κατοικουμένην· οὕτω γὰρ καὶ μόνον πέφυκε κατοικεῖν εἰς σώματα τὰ ἀσώματα· καὶ αὕτη ἐστὶν ἡ σωματικὴ κατοικοία τῶν ἀσωμάτων· οὐ κατὰ περί-

ληψιν συγκλειομένων τῶν ἀσχηματίστων εἰς τὰ ἐσχηματισμένα, ἀλλ' εἰσδύσει τῶν οἰκείων δυνάμεων τὸ φύσει ἀδύναμον πρὸς ἐνέργειαν δυναμούντων· καὶ οὕτω μίαν ὑπόστασιν τῇ τῶν φύσεων κοινωνίᾳ ἀποτελούντων.

# LIBER III.

Τρίτης ἀσεβείας αὐτῶν ἔλεγχος δύο υἱοὺς εἰδέναι κατὰ τὴν οἰκονομίαν βουλομένων.

Εἰ μὴ τὸν θεὸν λόγον ἡμιυιὸν ἴστε φασὶ καὶ ἀτελῆ πρὸς τὸ εἶναι υἱὸν, I.
ἔτι δὲ καὶ τὴν ἐξ ἡμῶν ἔμψυχον σάρκα εἰ μὴ πρὸς τὸ εἶναι υἱὸν ἀπλήρωτον νομίζετε, πῶς κατὰ σύνθεσιν ἐξ ἀμφοῖν τῶνδε ἕνα υἱὸν ἀποτελεῖσθαι φατὲ μόνον; τοῦτο γὰρ ὡς ἐλλιπεῖ, ὄντος ἑκατέρου πρὸς τὸ εἶναι υἱὸν, ὁρᾶται· καὶ ὡς τελειωθέντος τοῦτε λόγου ὑπὸ τῆς σαρκὸς εἰς τὸ εἶναι υἱὸν, καὶ τελειώσαντος καὶ αὐτοῦ ταύτην εἰς τόδε· διὸ καὶ δεόμενον αὐτῆς πρὸς τόδε, καὶ δεομένην αὐτοῦ εἰς τοῦτο, ὁμοίως παριστάνετε· μέρος γὰρ μέρους, καθὸ μέρος, οὐδὲν διαφέρει· οὐκοῦν καὶ ὁμότιμά ἐστιν ὑμῖν τάδε, τὰ ἐπίσης ἀλλήλων πρὸς τὸ αὐτὸ δεόμενα σαφῶς.

Ἀλλ' οὐκ ἀτελῆ πρὸς τὸ εἶναι υἱὸν θεοῦ μόνον ἴσμεν τὸν λόγον· μὴ γένοιτο· ἀλλ' οὐδὲ τὴν σάρκα ᾧ οὗτοι πρὸς τὸ εἶναι υἱὸν ἀνθρώπου μόνον· εἰς μέν τοι τὸ καὶ τὸ θεῖον κατὰ τὴν οἰκείαν εὐδοκίαν ἀνθρώπου υἱὸν δοξασθῆναι, καὶ τὸ ἀνθρώπινον υἱὸν θεοῦ φανῆναι, ἄμφω ὄντως φαμὲν ἐλλιπῆ εἶναι, καὶ δεῖσθαι τῆς ἀφράστου ἀλλήλων κατὰ τὰς φύσεις ἑνώσεως· ἵνα ἐν ἑνὶ καὶ τῷ αὐτῷ προσώπῳ ἀμφοῖν τῶν φύσεων συνελθουσῶν, ὧν εἰσὶν αἱ υἱότητες, μὴ ἔχοι τὶς θατέραν τελείαν υἱότητα, ἄνευ τῆς συνθεωρίας τῆς ἑτέρας φύσεως εἰδέναι· ὡς καὶ δύο υἱοὺς ἐκ τοῦδε ὁρᾶν ὑποκειμένους, ἀλλ' ἕνα τὸν ἐν δύο φύσεσι καὶ υἱότησι Χριστόν· τοῦτο γὰρ τὸ τῆς ἑνώσεως ἄφραστον δώρημα πραγματιωδῶς ἐστιν· εἴπερ μὴ ὀνόματι μόνον αὐτὴν λέγομεν εἶναι θείας τὲ καὶ ἀνθρωπίνης φύσεως· εἰ γὰρ ὄντως ἡνώθη τινὰ ἀτρέπτως καὶ ἀμειώτως, πάντα τὰ τούτων ἑκατέρῳ καταφασκόμενα, καὶ τοῦ συνθέτου ἑνὸς ἀποτελέσματος αὐτῶν καταφάσκεται· ἐπεὶ οὖν υἱὸς θεοῦ, καὶ υἱὸς ἀνθρώπου, εἰ καὶ μὴ προϋποστὰς τῆς ἑνώσεώς ἐστι τὰ ἑνωθέντα, καὶ τὸ ἐκ τῆς ἑνώσεως ὅλον, υἱὸς θεοῦ καὶ υἱὸς ἀνθρώπου· καὶ ἐπεὶ λόγος καὶ σὰρξ τὰ συνελθόντα εἰς ἕν, ὁ αὐτὸς εἷς θεὸς τέλειος, καὶ ἄνθρωπος τέλειος· οὐχ' ὅτι γάρ ἐστί τι τέλειον, κατὰ τόδε τήνδε μὴ ἐπιδέχεσθαι αὐτὸ καὶ τὴν κατ' ἄλλό τι τελειότητα, ἀνάγκη· καὶ γὰρ τέλειος ἦν τῷ φυσικῷ τοῦ ἀνθρώπου λόγῳ ὁ νομικὸς, καὶ ὅμως ἔτι ἐδιδά-

σκέπτο, τὴν τῆς Χριστοῦ διδασκαλίας τελειότητα πνευματικὴν λέγοντος, ὅτι εἰ θέλεις τέλειος γενέσθαι, πώλησόν σου πάντα τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς, καὶ ἆρον τὸν σταυρόν σου καὶ δεῦρο ἀκολούθει μοι· ἔτι μὴν καὶ Νικόδημος τέλειός τε ἦν υἱὸς κατὰ σάρκα καὶ ἐκ πολλοῦ γεγεννημένος ἄνθρωπος· πρὸς δὲ τὸ εἶναι οὐχ' ἁπλῶς ἀλλὰ πνευματικὸς ἄνθρωπος, τῆς διὰ τοῦ πνεύματος ἐδεῖτο ἀναγεννήσεως καὶ τελειότητος· οὕτω γοῦν καὶ ὁ λόγος, εἰς τὸ εἶναι υἱὸς θεοῦ καὶ θεὸς, τελείως εἶχεν ἀεί· πρὸς δὲ τὸ ἐκπληρῶσαι τὴν ἰδίαν εὐδοκίαν ἐν οἰκείοις τοῖς ὑστέροις καιροῖς, καθ' ἣν οὐχ' ἁρπαγμὸν ἡγούμενος τὸ εἶναι ἴσα θεῷ, μορφὴν δούλου λαβεῖν πρὸ αἰώνων ὤδινε καὶ προώρισεν ἑαυτῷ· καὶ πρὶν ποιῆσαι τὰ πάντα, τὴν ἐν Χριστῷ πάντων ἀνακεφαλαίωσιν καὶ θέωσιν ἐν ἑαυτῷ τῶν οὐ θείων φύσεων, ἥ φησιν ὁ ἀπόστολος ἐλλιπῶς εἶχεν ἔτι πρὸς φανέρωσιν τοῦ προορισθέντος αὐτῷ κεκρυμμένου μυστηρίου τῆς ἰδίας ἐνανθρωπήσεως· οὐδεμία οὖν ἐντεῦθεν κατηγορία ἐστὶν ἀτελείας, κατ' ἰδίαν νοουμένης υἱότητος ἑκατέρας φύσεως· ἀλλὰ χρεία μόνον πρὸς συμπλήρωσιν τῆς κατ' εὐδοκίαν θεοῦ πρὸς ἀνθρώπους ἑνώσεως ἑκατέρᾳ φύσει τῆς ἑτέρας εἰς ἀποτέλεσμα τοῦ εἶναι ἐκ τῶν πεφυκότων διακεκριμένως ἐν διαφόροις ὑποστάσεσιν ὁρᾶσθαι φύσεων καὶ υἱοτήτων τελείων, καθ' ἓν τὸ αὐτοῦ πρόσωπον γενέσθαι συνέλευσιν· καὶ τάδε μὲν οὕτως· εἰ οὖν διότι ἄμφω μέρη λέγεται ὡς πρὸς τὸ ὅλον τέλος, τουτέστι Χριστὸν, διὰ τόδε ἀτελῆ τε ἁπλῶς καὶ ἰσότιμα μέρη τάδε φατὲ, ἆρά γε ἐπεὶ καὶ πρὸς τὸ ὅλον τέλος τοῦ ὁπλίτην ἑαυτὸν ἐμφανίσαι τῷ στρατῷ τὸν στρατηγὸν, μέρος τὲ αὐτός ἐστι, καὶ τὸ ὅπλον αὐτοῦ, ὁμοίως ἀτελῆ ἄμφω ἐστίν· καὶ ὁ μὲν οὐδ' εἰς ἀνθρώπους, τὸ δὲ εἰς τὸ ὅπλον εἶναι οὐ λογισθήσεται· οὐ διοίσουσί τε ἀλλήλων, ἐπεὶ μέρος μέρους οὐδὲν διαφέρει ἀληθῶς καθὸ μέρος· καὶ ἁπλῶς ἰσότιμα ἔσται καθ' ὑμᾶς, καὶ τάδε ἀγχινούστατοι. Ἀλλ' ὑπὸ συνειδότος βαλλόμενοι μὴ ἀποχρώντως ἔχειν εἰς ἀπολογίαν τῆς ἑαυτῶν δεισιδαιμονίας τὰς εἰρημένας αὐτοῖς αἰτιολογίας, ἑτέρας πάλιν ἀφορμὰς μεταποιοῦνται, ὡς ἀναγκαίως ἀσεβοῦσι πείθειν ἀποπειρώμενοι· φασὶ γοῦν καὶ τάδε.

II. Ὁ κυρίως υἱὸς, ὅλος ἐστὶ τοῦ γεννήσαντος υἱός· οὐδὲν γὰρ ἐκ μέρους ὂν ἔκ τινος, λέγεται τοῦδε υἱός· ἀλλ' οὐδὲ πατήρ ἐστιν ὁ μέρους αἴτιος, καὶ οὐ τοῦ ὅλου· ἀμέλει ὅλου τοῦ ἐκ ψυχῆς λογικῆς καὶ σώματος ζώου λεγομένου υἱοῦ ἀνθρώπου· εἰ συμβῇ τούτου τὸ ἓν μέρος χωρὶς θατέρου τῆς μήτρας ἐξελθεῖν, ἐξάμβλωμα καὶ οὐχ' υἱὸν ἔθος ἡμῖν ὀνομάζειν, ἔκτρωσίν τε καὶ οὐ γέννησιν ἐπὶ τοῦ τοιούτου· εἰ οὖν ἐκ μέρους υἱὸν ἀνθρώπου φατὲ τὸν Χριστὸν, δῆλον ὡς οὐδὲ πατρὸς κυρίως οὐδὲ τῆς μητρός· τίνος οὖν ἐστὶ φύσει υἱὸς, λέγετε ἡμῖν. Τί οὖν, ὦ οὗτοι, ψεύδεται πᾶσα ἡ ἁγία γραφὴ, πῆ μὲν υἱὸν θεοῦ, πῆ δὲ υἱὸν ἀνθρώπου τὸν

αὐτὸν ὀνομάζουσα Χριστόν; καὶ τίς τὰ ὑμέτερα ληρῳδήματα τῶν θείων προαποδέξεται ῥημάτων; τί δὲ λέγοιμεν ἐπὶ Χριστοῦ, καὶ ἐπὶ υἱοῦ; εἰ γὰρ, καθὰ καὶ ὑμεῖς ἐν τοῖς ἰδίοις εἰρήκατε πολλάκις, ἐκ μέρους καὶ τὸν ἄνθρωπον αὐτὸν ὅλον καλεῖ τὰ ἱερὰ λόγια, ὡς τὸ, πρὸς σὲ σὰρξ ἥξει· καὶ τὸ, Ἰακὼβ δὲ εἰσῆλθεν εἰς Αἴγυπτον ἐν οε ψυχαῖς· ἀλλὰ καὶ ἐκ τοῦ ὅλου τὸ μέρος μόνον καλεῖ· ὡς τὸ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· μόνον γὰρ τὸ σῶμα Ἀβραὰμ ἐκεῖ ἐτάφη· πῶς ἐκ μέρους μὴ τολμᾶν καλεῖν υἱὸν θατέρου τῶν φύντων νομοθετεῖτε νῦν; καί τοι γε εἰ, ὡς καὶ αὐτοὶ ἔφητε, μόνου τοῦ σώματός εἰσιν αἴτιοι ἡμῖν οἱ τῆς σαρκὸς πατέρες, ἑτέρου σαφῶς ὁμολογουμένου εἶναι τοῦ πατρὸς τῶν πνευμάτων κατὰ τὸν ἀπόστολον, πῶς οὐ πάντες ἄνθρωποι προδήλως ἐκ μέρους τὲ υἱοὶ, καὶ ἐκ μέρους πατέρες ὀνομάζονται; ἔτι μὴν καὶ αὐτοῦ τοῦ σώματος εἰ μὴ ἐκ τοῦ ἄῤῥενος ἡ πᾶσα αἰτία, ἀλλὰ συνεισάγει τὶ καὶ τὸ θῆλυ· καὶ ὁ μὲν, ὥς φασί τινες, τὰ στερεώτερα, ἡ δὲ τὰ ὑγρότερα ἐνδίδωσι τῷ γινομένῳ, πῶς οὐχὶ καὶ αὐτοῦ τοῦ μέρους ἐκ μέρους ὄντος αἴτιοι ἑκάτερος μερικώτατοί τε φανεῖεν τοκέες; οὓς εἴπερ μὴ ἔστιν ἀληθῶς ἐκ μέρους εἰπεῖν γεννήτορας, διὰ τὰ ὑφ' ὑμῶν τῶν διαλεκτικῶν νομοθετούμενα, οὐδ' ἄρα πατήρ τις ἐστὶ τινὸς τῶν ἐν βίῳ γεννηθέντων ἀνθρώπων ἀληθῶς· οὐδὲ γὰρ τῆς σαρκὸς μόνης δεόντως λέγοιτο ἄν τις πατὴρ, οὐδὲ μήτηρ, οὐδὲ υἱὸς, ἀλλὰ πάντες ἀπ' αὐτομάτου ἐσμὲν, οἱ γενόμενοι· καὶ τίς τούτων εἴη ὑμῖν προφανέστερος ἔλεγχος;

Τὸ δὲ παράδειγμα τοῦ ἐξαμβλώματος, πῶς φατὲ; ἆρα γὰρ ὡς μέρος ἁπλῶς καὶ ἀτελὲς οὐ λέγεται υἱὸς, ἢ ὡς μὴ ζῆσαν οὔπω; εἰ μὲν οὖν ὡς ἐλλιπὲς, καὶ ὡς μέρος ἁπλῶς, πῶς τὰ κολοβὰ καὶ τὰ τεράστια χειρῶν τε ἄνευ καὶ ποδῶν πολλάκις καὶ ἑτέρων μορίων γεννώμενα, υἱοὶ λέγονται ἐν τόσῃ ἀτελείᾳ ὄντα μερικῇ; ἔτι δὲ τί ἂν φαίητε, Ἀβραὰμ τοῦ πρὸ πλείστων ἐτῶν ἀποιχομένου καλουμένου πατρὸς τοῦ ἰσραηλίτου λαοῦ, καὶ Δαβὶδ μετὰ θάνατον πατρὸς λεγομένου τοῦ κυρίου; σαφῶς γὰρ τὸ σωζόμενον μέρος αὐτοῦ ὀνομάζεται λοιπὸν πατὴρ ἤγουν ἡ ψυχή· εἰ οὖν ἔστι μέρος μόνον ζῶν ὀνομάζεσθαι υἱὸν καὶ πατέρα, τί κωλύει καὶ υἱὸν ὀνομάζεσθαι ἐκ τοῦ μέρους τὸ ζῶν; δῆλον ἄρα, ὅτι οὐχ' ὡς μέρος ἀλλ' ὡς ἄζωον οὐ λέγεται τὸ μὴ λεγόμενον υἱός· ἔτι μὴν τοῦ ἀρχισυναγώγου τὸ θυγάτριον, καὶ ὁ υἱὸς τῆς χήρας, καὶ προτελευτήσαντες τῶν ζώντων γονέων, εἰ ὀρθῶς ὑμῖν δοκοῦσιν ἐν τῷ εὐαγγελίῳ θυγάτηρ τὲ καὶ υἱὸς ἔτι λέγεσθαι ἐπὶ ταῖς ζώσαις αὐτῶν ψυχαῖς· ἰδοὺ τὸ μέρος καὶ ὑμῖν ὁμολογεῖται εἶναι υἱὸς καὶ θυγάτηρ· ἆρα οὖν σαφές ἐστιν ὅτι ὡς μὴ ζῶν πρώτως, καὶ οὐχ' ὡς μέρος ἁπλῶς, οὐ λέγεται υἱὸς τὸ ἐξάμβλωμα· πολλὰ γὰρ καὶ ἀτελέστερα τῶν ἐξαμβλωμάτων ὅλως εἰ ψυχωθεῖεν σώματα,

υἱοὶ γεννῶνται καὶ λέγονται· ὅπου γε πρὸς πᾶσιν, οὐδὲ τοῦτο ἡμεῖς φαμὲν, ὅτι πᾶν μέρος, καὶ υἱός· ἀλλ' ὅτι κακῶς ὑμῖν ἔδοξε, μὴ δὲ εἷς υἱὸς ἐκ μέρους πώποτε κυρίως ὀνομάζεσθαι, ἢ ἐκ μέρους πατὴρ εἶναι.

Ἀλλὰ πρὸς τούτοις ἐροῦμεν ἐκ περιουσίας καὶ ὡς ἡμεῖς οὐδὲ ἐκ μέρους ἁπλῶς ἀλλὰ καὶ ἐκ τοῦ ὅλου υἱὸν ἑκατέρου φαμὲν τὸν Χριστὸν εἶναι, υἱότησι δὲ διαφόροις τῶν ἐν αὐτῷ μερῶν· τοῦ τε γὰρ σώματος Χριστοῦ τὸ μέν τι κατὰ φύσιν ἀπὸ θεοῦ διὰ τῶν προγόνων λαβοῦσα αἰτία τοῦ εἶναι ἡ ἁγία παρθένος ἐστὶ, τὸ δὲ καὶ ἰδίως ἐκ τοῦ ἁγίου πνεύματος δυναμωθεῖσα, τῆς τε ψυχῆς αὐτοῦ μήτηρ ἐστὶν, ἐξ αὐτῆς πρὸς τὴν φυσικὴν τοῦ ἰδίου ἐνδύματος συζυγίαν νυμφοστολουμένης, καὶ ὡς ἐκ βαλβίδος τινὸς παστοῦ ἁγίου τῇ ἀπ' αὐτῆς γεννήσει εἰς τὸ εἶναι προελθεῖν ὑπὸ θεοῦ τεταγμένης· καὶ τῆς θεότητος δὲ αὐτοῦ, ἀληθὴς γενέτειρα ἐστὶ τοῦ λόγου τοῦ ἀπ' αἰώνων ἀσάρκου καὶ ἀσυνθέτου ἐξ αὐτῆς ἀρξαμένου τῆς μετὰ σαρκὸς ἐμψύχου συνυπάρξεως, δι' ὑποστατικῆς ἑνώσεως εἰς πλήρωσιν τῆς οἰκείας εὐδοκίας· οὐκοῦν εἰ καὶ μὴ ὡσαύτως, ἀλλ' ὅμως πάντων τῶν Χριστοῦ μερῶν μήτηρ καὶ τοῦ ὅλου ἄρα ἡ ἁγία παρθένος· ἀρχῆς γάρ τινος τῷ γεννωμένῳ πάντως αἴτιος ὁ ὁπωσοῦν λεγόμενος τινὰ γεννῆσαι ἀληθῶς, οὐ μέν τοι πάντως τῆς τοῦ εἶναι ἐκ μὴ ὄντων· ἢ γὰρ ἂν οὕτω, οὐδὲ καθ' αὐτὸν ὁ λόγος, φύσει υἱὸς ἦν τοῦ πατρὸς· οὐ γὰρ εἰς τὸ εἶναι ἐκ μὴ ὄντων γεγένηται ὑπ' αὐτοῦ ὁ συναΐδιος.

III. Ἔτι φασὶν εἰ ἐκ μέρους ὁ Χριστὸς ὑμῶν υἱὸς θεοῦ, καὶ ἐκ μέρους ἄρα θεὸς δηλονότι, καὶ οὐχ' ὅλος, ἡμίθεος ἄρα. Ἀλλ' ἡμῖν ὅλος θεὸς προσκυνητὸς εἷς ὁ Χριστὸς· τοῦ μὲν τῶν ἐν αὐτῷ τῷ ἑνὶ ὅλῳ μερῶν, κατ' οὐσίαν ὄντος τελείου θείου· τοῦ δὲ κατὰ μετουσίαν τοῦ ἡνωμένου αὐτῷ κατ' οὐσίαν θείου μέρους· εἰ δὲ ἡμῖν τὸν Χριστὸν διότι τὸ ἓν μέρος αὐτοῦ μόνον ἔχει τὸ φύσει θεῖον, ἡμίθεον συνάγετε εἶναι, αὐτοὶ μὴ δὲ τὸ ὅλον μὴ δὲ μέρος φύσει θεῖον παντελῶς ἐν αὐτῷ εἰδότες, δῆλον ὡς οὐδὲ ὅλως θεὸν, ἀλλὰ ψιλὸν ἄνθρωπον πάντῃ καθ' ἡμᾶς εἶναι γινώσκετε αὐτόν.

IV. Ἀλλ' εἰς ἑτέρας παρακειμένας αἰτιολογίας τῆς ἀσεβείας αὐτὸν μετακυλισθέντες, φασὶ· διὰ τόδε μὴ λέγειν ἓν καὶ τὸ αὐτὸ ζῶον, καὶ μίαν ὁλότητα υἱοῦ μόνην ἐκ θείας τε καὶ ἀνθρωπίνης εἶναι φύσεως ἅμα, διότι πάντα υἱὸν ὁμοούσιον ὁρᾶσθαι ἀνάγκη τοῖς τίκτουσιν· ἀνελλιπῆ τε καὶ ἀπέριττον ἔχειν, τὴν πρὸς τοὺς φύντας αὐτὸν τῆς οὐσίας ὁμοιότητα· ὁ Χριστὸς δὲ ὑμῶν ὁ θεοῦ τε καὶ ἀνθρώπου υἱὸς, καὶ θεοῦ πλεῖον, καὶ ἀνθρώπου περισσόν τι ἔχει· πῶς οὖν ὄντως καὶ υἱὸς τούτων ἔσται, ὁ μὴ πάντῃ ὅμοιος αὐτοῖς τὴν φύσιν; Ἀλλ' ὦ οὗτοι πρῶτον μὲν καὶ τὸ ὁμοούσιον ἔχει πρὸς ἄμφω μέν τοι ἅμα συγκρινόμενος τοὺς τεκόντας αὐτὸν ὁ

Χριστὸς· καὶ ἡμῶν γὰρ ἕκαστος ἀμφοῖν τοῖς γονεῦσι παραβαλλόμενος ἅμα, δεόντως κρίνοιτο ἂν εἶναι ὁμοφυὴς τοῖς οἰκείοις αἰτίοις, ἐπείπερ καὶ μητρῷα τινὰ ἔχει, ἃ οὐκ ἔστιν ὁρᾷν ἐν τῷ πατρί· καὶ πατρῷα τινὰ ἃ οὐκ ἔστιν ἐν τῇ μητρὶ πολλάκις· εἰ δὲ καὶ ἀνὰ μέρος κρινόμενος ἑκατέρῳ δείκνυται ὅμοιος ἄνθρωπος, ἐπεὶ συμβέβηκεν ἐξ ὁμοειδῶν ἀμφοτέρων τεχθῆναι αὐτὸν, τοῦτο θεωρεῖται· οὐ γὰρ δὴ καὶ ἐπὶ τῶν ἀνομοιοειδῶν αἰτίων τοῦ γεννωμένου τόδε ὁμοίως ὁρᾶται· πῶς γὰρ ἂν ὁμοφυὲς ἰδίᾳ κριθείη ἀλέκτορι καὶ φασιανῷ τὸ ἐκ τῶνδε τεχθέν; ὅμως δὲ λέγετε ἡμῖν φυσιολόγοι· υἱὸν τῶνδε καλεῖτε τὸ μικρὸν τόδε, καὶ μίαν ἴστε ζώου ὁλότητα τοῦτο, ἢ οὐχί; εἰ γὰρ τόδε ἀρνεῖσθαι οὐ δυνατὸν ὑμῖν, πῶς τὰ ὄντα ὡς μὴ ὄντα λαλεῖτε; ἀλλὰ τῶν τοιούτων, φησὶ, κρᾶσις ἐστὶ καὶ σύγχυσις τοῦ εἴδους κατὰ τὴν γέννησιν· ὡς μὴ δὲ κρίνεσθαι τόδε μὲν εἶναι τὸ ἐν αὐτοῖς μέρος ἵππου, καὶ τόδε ὄνου ἀλλὰ πάντα εἶναι αὐτῶν ἀλλοῖα τὰ μέλη καὶ ἀδιάγνωστα· εἰ τοιάνδε οὖν καὶ τὴν ἐν Χριστῷ φύρσιν τῶν οὐσιῶν φατὲ, ὑμεῖς εἴπατε ἡμῖν φασίν· ἀλλ' οὐ πρὸς δεῖξιν τῆς ὁμοίας ἑνώσεως τάδε παρειλήφαμεν ὦ οὗτοι, ἀλλ' εἰς ἀνατροπὴν μόνων τῶν πρὸς τὸ παρὸν ὑμετέρων θεσπισμάτων, ὁμοούσιον ἀνελλιπῶς εἶναι δεῖν ἑκατέρων τῶν φύντων, τὸ γεννώμενον κηρύττόντων, ἢ μὴ καλεῖσθαι αὐτὸν υἱόν· τόδε οὖν αὐτὸ τὸ πεφυρμένον καὶ ἀδιάγνωστον τοῦ εἴδους, ἐπὶ τούτων μᾶλλον ἀνατρέψει τὴν ὑμετέραν ἀπόφανσιν· εἰ γὰρ καὶ ἐφ' ὧν μὴ δὲ κατὰ μέλος οἱαοῦν ὁμοιότης σώζεται πρὸς θάτερον τῶν τικτόντων, υἱοί τε λέγονται ἵππων οἱ ἡμίονοι, καὶ τέκνα ὄνων οἱ ἡμίιπποι, πῶς διὰ τὸ ἐκ μέρους ἀνόμοιον, οὐ δύνασθαι υἱὸν καλεῖν τὸν μὴ πάντη ὅμοιον τοῖς τεκοῦσιν αὐτὸν εἰρήκατε; τοῦτο δὲ ἂν καλῶς εἶχεν ὑμῖν λέγειν ἴσως, πρὸς τοὺς κατὰ μίαν αὐτοῦ τὴν οὐσίαν ὅμοιον εἶναι τὸν Χριστὸν ἑκατέρων τῶν γονέων δοξάζοντας, οὐ μὴν καὶ πρὸς ἡμᾶς τοὺς κατὰ διαφόρους φύσεις ὁμολογοῦντας αὐτοῦ συνεστηκέναι τὴν ὑπόστασιν.

Ἔτι δὲ βασανιστέον καὶ ἀκριβέστερον τὰ περὶ τοῦδε· ἢ γὰρ ἡ τοῦ ὅλου ὁμοιότης ὑμῖν δοκεῖ εἶναι τῆς υἱότητος παραστατικὴ πάντως, ἢ οὐχί· εἰ μὲν οὖν οὐχὶ, μάτην ζητεῖτε παρ' ἡμῶν τὸ μὴ αἴτιον υἱότητος εἰς ἀπόδειξιν αὐτῆς· αἱ γὰρ ἀποδείξεις, διὰ τῶν αἰτίων ταύτην ὑφίστασθαι τὴν υἱότητα πείθεσθε μόνον· ἆρά γε Ἄβελ Κάϊν ὅμοιος ὢν κατὰ τὸ ὅλον τῆς οὐσίας αὐτοῦ, καὶ υἱὸς αὐτοῦ ἦν, υἱοκτόνος οὖν οὐκ ἀδελφοκτόνος ἦν; ἀλλ' ἐπειδὴ τῶν ὁμοίων ἐπίσης ἐστὶ ἡ σχέσις, καὶ Κάϊν ἄρα υἱὸς Ἄβελ ὁμοίως ἔσται· ἄρα οὖν καὶ πατροκτόνος μᾶλλον ἐστίν· οὐκοῦν καὶ ἐν ταυτῷ, υἱός τε καὶ πατὴρ, καὶ ἀδελφὸς ἦν Κάϊν τοῦ κτείναντος αὐτὸν, Ἄβελ ὁ ἀνῃρημένος ὑπ' αὐτοῦ· καὶ Κάϊν υἱοκτόνος τε καὶ πατροκτόνος, καὶ ἀδελφοκτόνος· καὶ τίς οὐ γελάσει τάδε ὑμῶν τὰ γλαφυρὰ δόγ-

ματα; διορατέον οὖν σαφῶς ὡς καὶ ταύτην τὴν μερικὴν αἰτίαν καὶ μερικὴν ὁμοιότητα μόνον θεωρήσας Λουκᾶς ὁ εὐαγγελιστὴς ἑνοῦσαν καὶ τῷ Ἀδὰμ πρὸς τὸν πατέρα τῶν πνευμάτων θεόν· κατὰ γὰρ ψυχὴν μόνον προσεχὴς αἴτιος αὐτῷ ἦν ὁ θεὸς, ἐμφυσῶν αὐτῷ πνεῦμα ζωῆς εἰς ψυχὴν ζῶσαν, ἐπεὶ τὸ σῶμα ἀπὸ γῆς αὐτῷ προδιέπλασε· καὶ κατὰ ταύτην σωζόμενον μόνον τὸ κατ' εἰκόνα θεοῦ καὶ ὁμοίωσιν τῷ ἀνθρώπῳ· εἰδὼς ἐκ μερικῆς αἰτίας καὶ ὁμοιώσεως υἱὸν σαφῶς τοῦ πατρὸς τῶν πνευμάτων θεοῦ; καὶ τὸν Ἀδὰμ ἐγενεαλόγησεν οὕτως ἀνατάξας καὶ εἰπὼν εἶναι τοῦ Ἀδὰμ τοῦ θεοῦ, ὥσπερ ἔφη τοῦ Σὴθ τοῦ Ἀδὰμ, ἤγουν τὸν ἐκ τοῦ Ἀδάμ· καὶ ὥσπερ εἶπε τοῦ Ἰσαὰκ, ὅπερ ὁ Ματθαῖος ἔλεγεν· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, οὕτως ἔφη τοῦ Ἀδὰμ τοῦ θεοῦ· οὕτω μὲν οὖν ἐχέτω τάδε· ἀκουστέον δὲ καὶ τῶν λοιπῶν.

V. Εἰ οὖν φύσει ἐστὶν υἱὸς θεοῦ ὁ Χριστὸς, καὶ οὐ κατὰ χάριν υἱοθεσίας ἠξίωται φασι, πῶς εἴρηται ὅτι πολλῷ μᾶλλον ἡ χάρις καὶ ἡ δωρεὰ τοῦ θεοῦ, ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς περιέσσευσε; καὶ ὅτι ἐχαρίσατο αὐτῷ ὁ θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; καὶ ὁ μὴ ἑαυτῷ δὲ λαβὼν τὴν τιμὴν, ἀλλὰ κληθεὶς ὑπὸ τοῦ θεοῦ καθάπερ καὶ Ἀαρών; τί ἐστιν οὗτος ὁ Χριστὸς εἴπατε. Πάλιν παρεκδοχαὶ, πάλιν μεταγωγαὶ, πάλιν αἱ συνήθεις μετωνυμίαι· καὶ θαῦμά γε οὕτως εὐεπιλήσμονες ἐστὲ καὶ ὧν ὑμεῖς πολλάκις εἰρήκατε, εἰ μὴ ἄρα τὸ τοῦ ληθάργου πάθος νοσεῖτε· ὅτι γὰρ καὶ τὰ τοῦ ἑνὸς τῶν μερῶν αὐτοῦ τοῦ μέρους κατηγορεῖται, οὐκ ἀγνοεῖτε· ὡς τὸ, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἀλλὰ καὶ ὅτι τὰ τοῦ ὅλου μέρους κατὰ τοῦ ὅλου λέγεται, ἴστε· ὡς τὸ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· καὶ ἀνάπαλιν τὰ τοῦ ὅλου, κατὰ τοῦ μέρους· ὡς τὸ, καὶ εἰσῆλθεν Ἰακὼβ ἐν οε̅ ψυχαῖς εἰς Αἴγυπτον· ἔτι μὴν ὅτι καὶ τὰ τοῦ ὅλου κατὰ τοῦ μέρους αὐτοῦ λέγεται ποτὲ μόνου, ὁμολογεῖτε· ὡς ἐν τῷ ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· οὔτε γὰρ σῶμα, οὔτε ψυχὴ καθ' αὑτὴν νυστάξει· καὶ ἐν τῷ, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· οὐ γὰρ δὴ τὴν ἄψυχον φησί· καὶ ὅτι δὲ τὰ τοῦ ὅλου κατὰ τοῦ ὅλου λέγεται, ἀναμφίβολον πᾶσιν· ὡς τὸ Ἰσαὰκ, καὶ ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· Τὸ δὲ παράδοξον ἐροῦμεν ἔτι· ὅτι ἐπὶ τῶν φυσικῶν οἰκειώσεων ἔστιν ἰδεῖν διὰ τὴν ἐκ τῆς ἑνώσεως συμπάθειαν ἐπὶ τῶν ὁπωσοῦν παθημάτων ἡνωμένων μερῶν, ὅτι καὶ τὰ θατέρου τῶν μερῶν τοῦ ὅλου, κατὰ τοῦ ἑτέρου μέρους αὐτοῦ κατηγορεῖται· ὡς τὸ, ψυχὴν τοῦ φονέως, ἀντὶ τῆς ψυχῆς τοῦ φονευθέντος, ἀποκτείνεσθαι· καί τοι οἱ ἀποκτένοντες, τὸ σῶμα ἀποκτένουσι, μετὰ δὲ τοῦτο οὐκ ἔχουσι τί περισσότερον ποιῆ-

σαι· τοιόνδε δὴ ἐστὶ καὶ τὸ, ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου· καὶ γὰρ τὸ σῶμα πρώτως τε καὶ ὄντως ἐστὶ τὸ ταπεινούμενον ἐπὶ νηστείᾳ, ἡ δὲ ψυχὴ καὶ μᾶλλον νήφει καὶ ὑψοῦται ἐφόσον ὁ ἔξω ἄνθρωπος ταπεινοῦται· καὶ φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με· καὶ γὰρ καὶ κατὰ τὸν ἀπόστολον, ἀποθανὼν ἔτι λαλεῖ ὡς ζῶν ὁ Ἄβελ, οὐκ αὐτῷ αἵματι, ἀλλὰ τῇ ψυχῇ.

Σαφὲς οὖν ὅτι ἃ εἰρήκατε πάντα, περὶ μέρους λέγεται τοῦ ἀνθρωπίνου Χριστοῦ· ἡ μὲν γὰρ τῶν ἐν αὐτῷ φύσεων, θεός τε καὶ υἱὸς θεοῦ ἐστί τε καὶ ὀνομάζεται, οὐσιώδει λόγῳ· ἡ δὲ χάριτι ἀληθῶς καὶ δωρεᾷ θείας τιμῆς καὶ ὀνομασίας ἠξίωται, ἀλλ' οὐχ ἁπλῶς ὄνομα οὔσης ψιλὸν, πρᾶγμα ὑποκείμενον ὀνομαστὸν ἰδίως τῷδε τῷ ὀνόματι οὐκ ἐχούσης, οἷον φασὶ τὸ κριέλαφος, καὶ τὰ ὅμοια· ἀλλὰ διὰ τῆς πρὸς τὸν φύσει θεὸν ἑνώσεως αὐτῆς ὑποστατικῆς μεταδιδομένης αὐτῇ τῆς τοῦ ὀνόματος τοῦ υἱοῦ τοῦ θεοῦ καὶ θεοῦ τιμῆς· οὕτω γὰρ πραγματιωδῶς χαρίσματα καὶ τιμὴ καὶ ὀνομασία μεγάλη τοῦ θεωθέντος παρὰ τοῦ ἀληθῶς θεώσαντος αὐτὸ θεοῦ ἀληθοῦς ἐν δόσει ἑαυτοῦ δείκνυται, εἴπερ μὴ ψευδωνύμως χαριζόμενος αὐτῷ τὸ ἴδιον ὄνομα λέλεκται· οὐχ' ἑαυτῷ οὖν ἔλαβεν, ἤγουν ἀφ' ἑαυτοῦ τὴν τιμήν· οὐδὲ ἑαυτὸν ἐδόξασεν ὁ Χριστὸς, ὅπερ σημαίνει νῦν τὸν κατ' αὐτὸν ἄνθρωπον, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν θεὸς πραγματιωδῶς, καὶ εἰπὼν τῷ ἔργῳ τῆς πρὸς αὐτὸν υἱοποιΐας αὐτοῦ καὶ οὐ λόγῳ ψιλῷ, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, χάριτι ἤγουν, ἀφ' οὗ τῷ φύσει μου υἱῷ σε προσήνωσα κατὰ μίαν ὑπόστασιν· ὅτι γὰρ ἃ ἂν αὐτὸς εἶπε καὶ ἐγενήθησαν, καὶ ὅτι ἀδύνατον ψεύδεσθαι θεὸν, μεμαθήκαμεν παρ' αὐτοῦ· δηλοῖ οὖν τάδε, ὅτι οὐκ ἀφ' ἑαυτοῦ, αἱρούμενος ὁ υἱὸς τοῦ ἀνθρώπου, ἀλαζονεύεται πατέρα θεὸν, ἀλλ' ὑπὸ τοῦ θεοῦ κέκληται εἰς τὴν ἀξίαν τῆς θείας υἱότητος ταύτης, καὶ τῆς διηνεκοῦς αὐτοῦ ἱερωσύνης, οὐδ' αὐτῆς μόνον ὀνόματι ἀλλὰ καὶ πράγματι νοουμένης· ὁ γὰρ ὀμόσας αὐτῷ κύριος, καὶ οὐ μεταμελούμενος, ὅτι σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, αὐτὸς ἦν καὶ περὶ οὗ εἴρηται· κύριος εἶπε πρός με υἱός μου εἶ σύ· οὐκοῦν τὸ καθάπερ καὶ Ἀαρὼν ὅμοιον μὲν τρόπον τῆς ἐκ θεοῦ δόσεως τῶν χαρισμάτων σημαίνει, καὶ κλήσεως ἔν τε Ἀαρὼν, καὶ ἐν Χριστῷ, οὐ μέν τοι καὶ χαρίσματα ὅμοια· ἦ γὰρ ἂν καὶ τῷ Ἀαρὼν ἐρρέθη τὸ, υἱός μου εἶ σύ· καὶ τὰ λοιπά.

Ὅτι γὰρ οὐκ ἔχει λόγον κατὰ τὴν ἰσοτιμίαν τῆς ἱερωσύνης Ἀαρὼν συγκρίνεσθαι τῷ Χριστῷ, πρόδηλον· εἴπερ καὶ Μωϋσέος τοῦ μείζονος αὐτοῦ τοσοῦτο πλείονος δόξης ἠξίωται Χριστὸς, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· ἔτι μὴν ἀποστολικῶς εἰπεῖν· εἰ ἡ τελείωσις δι' ὁμοίας ἱερωσύνης ἦν, τίς χρεία ἕτερον ἀνίστασθαι ἱερέα κατὰ

τὴν τάξιν Ἀαρὼν λέγεσθαι; ἄλλως τε εἰ μὴ μετετέθη ἡ ἱερωσύνη, οὐδὲ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γέγονεν ἥ φησιν ὁ αὐτὸς Παῦλος ὁ ἀπόστολος, ἀλλὰ μόνον διαδοχή· οὕτως οὖν καὶ τὸ, κληθήσεται υἱὸς θεοῦ· καὶ τὸ, υἱὸς ὑψίστου κληθήσεται καὶ τὰ λοιπὰ νοείσθω· καὶ τὸ γεννώμενον γὰρ ἅγιον ἦν· καὶ οὐ μόνον ἡγιασμένον διὰ τὸ συγγενόμενον αὐτῷ ἀγέννητον πνεῦμα ἅγιον ὅ ἐστι καὶ ὁ λόγος τεχθεὶς ἐκ τῆς παρθένου· τὸ γὰρ ἐν αὐτῇ συλληφθὲν, φησὶν ὁ ἄγγελος, ἐκ πνεύματος ἁγίου, πνεῦμα ἅγιόν ἐστιν· ὥσπερ καὶ τὸ ἐκ τῆς σαρκὸς, σὰρξ εἴρηται εἶναι· πνεῦμα δὲ ὁ θεός· καὶ θεὸς δὲ ἦν ὁ Χριστὸς· τὸ συλληφθὲν τοῦτό ἐστι καὶ τὸ συντεχθέν· οὐ κενῶν οὖν ὀνομάτων χαρίσματα ἐπὶ Χριστοῦ, τό τε θεὸς καὶ υἱὸς θεοῦ καὶ μονογενὴς καὶ κύριος τῆς δόξης, καὶ τὰ λοιπὰ, ἀλλὰ πράγματι ὄντων· εἰ γὰρ μὴ τάδε οὕτως ἔχοι, ψευδωνυμία τὸ δῶρον τῆς ὀνομασίας τοῦ θεοῦ ἔσται ἐν Χριστῷ· ταύτης δὲ καὶ εἴδωλα καὶ ἥρωες καὶ δαίμονες πάλαι ἔτυχον, ἧς ἐπὶ καθαιρέσει ὄντως ὁ ἀληθὴς υἱὸς τοῦ θεοῦ ἐπεδήμησέ τε καὶ πλεῖστα ᾠκονόμησεν ἐπιδημήσας· καὶ οὐκ ἂν κακῷ τὸ κακόν τις ἰᾶσθαι αὐτὸν εἴποι· ἀλλὰ καὶ ἄγγελοι καὶ ἄνθρωποι, υἱοὶ θεοῦ, καὶ υἱοὶ ὑψίστου εἴρηνται πολλάκις· τί οὖν περισσότερον, ἐν τῷδε Χριστῷ τῷ μονογενεῖ υἱῷ τοῦ θεοῦ· πῶς δὲ καὶ μονογενὴς, εἰ κατ' αὐτοὺς ἡ χάρις ἡ εἰς αὐτὸν τῆς θεώσεως ἢ υἱότητος; χαρίτι οὖν τῇ δι' ἑνώσεως ὑποστατικῆς πρὸς τὸν φύσει υἱὸν, εἴρηται σαφῶς υἱὸς τοῦ θεοῦ τοῦ τοῦ ζῶντος ὁ μονογενής.

VI. Ἀλλὰ φασὶν εἰ μὴ οἰκονομικῶς εἴρηται, ὡς ἂν εἴπει ὑμεῖς φεύγοντες τὴν ἀκριβῆ τῶν σημαινομένων ἐξέτασιν· καὶ εἰ μὴ οὐκ ἔχει κυρίαν τὴν ἔκβασιν ἢ παραβολῇ ἢ ἀλληγορίᾳ ἢ φαντασίᾳ ἢ δοκήσει, καὶ κατὰ κενῆς κεῖται ὡς πρὸς ὑπόνοιαν μόνον τοῖς ἀκροαταῖς τὰ λεγόμενα, τίς ἐστιν ὁ υἱὸς ὃς ἔμαθε καὶ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν; ὁ καὶ δεήσεις καὶ ἱκετηρίας μετὰ κραυγῆς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καὶ τελειωθεὶς, καὶ σταυρωθεὶς, καὶ ταφεὶς· καὶ ὃν ἤγειρεν ὁ θεὸς ἐκ νεκρῶν, καὶ ὁ ὑψωθεὶς καὶ δοξασθεὶς, καὶ τὰ λοιπὰ· οὔτε γὰρ ἴδια τοῦ λόγου τάδε τίς τολμήσει μὴ δαιμονῶν καταφάσκειν, οὔτε σὺν ἑτέρῳ ὄντος. Ἀλλ' ἤδη πολλάκις ὑμῖν ἐῤῥέθη, ὡς ἀπὸ μέρους τὸ ὅλον πολλάκις κατηγορεῖται, νόμῳ τὲ διαλεκτικῷ κοινῷ, καὶ ἰδίῳ ἔθει τῆς ἁγίας γραφῆς· οὐκ ἄρα οὖν δοκήσει ἢ παραβολῇ ἢ τινὶ τοιῷδε τρόπῳ, ταῦτά ἐστι· σὺν ἀληθείᾳ δὲ μετὰ τῶν μέν τοι πρεπόντων διανοητικῶν προσδιορισμῶν ἐκληπτέον αὐτά· ἁπλῶς δὲ καὶ ὑμεῖς, εἰ μὴ ἐν τῷδε αὐτῷ τῷ τοιῷδε καταφασκομένῳ τῷ Χριστῷ, καὶ ὁ φύσει υἱὸς τοῦ θεοῦ λόγος νοεῖται ὑμῖν ἐνυπάρχειν ἀπαθῶς μὲν, καὶ αὐτὸς δὲ τοῖσδε τὴν φύσιν ὑποβεβλημένος διὰ μέσου τοῦ λόγου τῆς ὑποστάσεως αὐτοῦ· ποῦ ζητοῦμεν τὸν

ἕτερον υἱὸν τοῦ θεοῦ, περὶ οὗ εἴρηται ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχων, ἑαυτὸν ἐκένωσε, καὶ αἰσχύνης θανάτου σταυροῦ κατεφρόνησε; καὶ ποῦ ὁ υἱὸς τοῦ θεοῦ ὁ μονογενὴς, αὐτὸς ὁ ὑπὲρ ἡμῶν ἐκδοθεὶς ὑπὸ τοῦ πατρός; οὕτως γάρ, φησιν, ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκε.

Τίς τε ὁ πεμφθεὶς μονογενὴς υἱὸς τοῦ κυρίου τοῦ ἀμπελῶνος μετὰ τοὺς προλαβόντας δούλους ὄντας πάντας πρὸς τοὺς κακοὺς γεωργοὺς εἴ πως αὐτὸν ἐντραπήσονται; καὶ τίς ἐστι οὗ ἐθεάσαντο τὴν δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς οἱ μαθηταί; ἔτι μὴν τίς ὁ ὁρισθεὶς υἱὸς θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης; τίς τε ὁ καταβὰς καὶ εἰσκριθεὶς ὡς ὑετὸς ἐπὶ πόκον; οὗ πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ καὶ πρὸ τῆς σελήνης ἐστὶν ὁ θρόνος; τίς τε ὁ λέγων, σῶμα δὲ κατηρτίσω μοι; εἰ μὴ ἄρα καὶ προΰπαρξιν τῆς Ἰησοῦ ψυχῆς ὀνειροπολεῖτε· πῶς δὲ αὐτὸς ἐν ᾧ τὰ πάντα ἔκτισται, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν εἴρηται, ἐν πᾶσιν αὐτὸς πρωτεύων, πρωτότοκος πάσης κτίσεως; ποῖος τέ ἐστιν ὁ ἐξ οὐρανοῦ δεύτερος ἄνθρωπος καὶ κύριος; τίς τε ὃν φησὶ Ἰωάννης ὁ ἄνωθεν ἐρχόμενος, μείζων πάντων ἐστί; τίς τε ὁ λέγων δόξαν ἔχειν παρὰ τῷ πατρὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, καὶ ὁμολογῶν ἑαυτὸν σὺν τῷ πατρὶ ἓν εἶναι; καὶ τίς ὁ ἐξουσίαν ἔχων θεῖναι τὴν οἰκείαν αὐτοῦ ψυχὴν καὶ ἆραι, καὶ λυθέντα τὸν ἴδιον ναὸν, ὡς θεῖον καὶ οὐκ οἶκον ἰδιωτικὸν λεγόμενον, ἐν τρισὶν ἡμέραις ἐγεῖραι δυνατός; πῶς δὲ καὶ οἱ ἐκ πίστεως δικαιοσύνη λέγει, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν, τουτέστι Χριστὸν καταγαγεῖν, εἰ μὴ καὶ οὐράνιον εἶναι αὐτὸν καὶ οὐ ψιλὸν ἐπίγειον φησί; τίς τε ὁ κύριος τῆς δόξης, ὃν ἀγνοοῦντες ἐσταύρωσαν; πῶς δὲ καὶ ὑμεῖς αὐτοὶ τὴν ἐν Νικαίᾳ πίστιν οὐ παραιτούμενοι τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, τὸν αὐτὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα Χριστὸν ὁμολογεῖτε ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα; καὶ τὰ ἄλλα δὲ, πῶς νοεῖτε, ὅσα προείρηται ἡμῖν ἐκ τῶν ἱερῶν λογίων περὶ Χριστοῦ, ὡς υἱοῦ θεοῦ, πρὸς τῇ χάριτι καὶ φύσει ὄντα υἱὸν θεοῦ, παριστῶντα αὐτόν; εἰ γὰρ μὴ δοκήσει ἢ φαντασίᾳ ἢ πρὸς ὑπόνοιαν ἤ τί τῶν λοιπῶν ὧν ἔφητε οὐδὲ ταῦτά ἐστιν εἰρημένα ἐν τῇ θείᾳ γραφῇ, οὔτε μὴν ψευδωνύμως εἴρηται θεός τε καὶ υἱὸς θεοῦ, καὶ κύριος ὁ αὐτὸς Χριστὸς, πῶς οὐχὶ ὁ αὐτὸς ἔσται ἄμφω, εἴπερ κατὰ τοῦ αὐτοῦ ἑκάτερα λέγεται, καὶ εἷς ὅ τε φύσει υἱὸς τοῦ θεοῦ καὶ ὁ χάριτι, ὁ ἀπαθής τε καὶ παθητὸς, ἀνιστῶν τε καὶ ἀνιστάμενος, καὶ τὰ λοιπὰ, δοξασθήσεται;

Οὐ γὰρ εὔλογοι ὄντως ὑμεῖς ὦ εὑρεσιλόγοι δι' εὐλάβειαν μὲν δοκήσεως καὶ φαντασίας, τὰ πάθη τε καὶ τὰ τοῦ παθητοῦ ὀνόματα κυρίως

ἐκδεχόμενοι, καὶ φύσει καὶ πραγματιωδῶς· τὴν δὲ ἀπάθειαν καὶ δόξαν καὶ τιμὴν, καὶ τὸ τῆς θεότητος καὶ θείας υἱότητος ὄνομα, οὐ φύσει τὸ καθόλου, οὐ πράγμασιν οὐδὲ ὄντως ἐπὶ Χριστοῦ, ἀλλὰ ψευδωνυμίαν καὶ δόκησιν καὶ φαντασίαν καὶ διακενῆς προσηγορίαν· εἰ γὰρ καὶ ὄντως λέγεται ὑπ' αὐτοῦ καὶ πράττεται τὰ ἀνθρώπινα, ἀλλὰ σκοπεῖτε φιλαλήθως, ὅτι βασιλεῖ μὲν λέγειν τοῖς ἰδίοις ὑπηκόοις ὅτι εἷς ἐξ ὑμῶν εἰμὶ, καὶ ὅμοιος ὑμῖν, καὶ πράττειν ἐν καιρῷ παρατάξεως τὰ τοῦ στρατιώτου, προθυμίᾳ τῆς τοῦ κοινοῦ τῆς ἰδίας πολιτείας σωτηρίας, οὐ μόνον οὐ ψεκτὸν, ἀλλὰ καὶ ἄγαν ἔνδοξον· στρατιώτην δὲ ὄντα, βασιλικῶς προστάττειν ἢ ὀνομάζεσθαι, οὐ μικρῷ περιβαλεῖ ἐγκλήματι· εἴπερ οὖν υἱὸς ὢν ἀνθρώπου, καὶ ἄνθρωπος μόνον, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, καὶ πρωτότοκος πάσης κτίσεως, καὶ ὁ ἐπὶ πάντων θεὸς, καὶ τὰ λοιπὰ, λεγόμενός τε ἀποδέχεται, καὶ ἐξουσίᾳ προστάσσει ὡς κύριος, ἀνταρσίας ἑάλω πρὸς θεόν· εἰ δὲ καὶ θεοῦ υἱὸς καὶ θεὸς ὄντως ὢν, χρῆται ποτὲ τοῖς ἀνθρωπείοις ῥήμασι καὶ πράγμασι, δῆλον ὡς πρὸς τῇ φυσικῇ μεγαλειότητι, καὶ συγκατάβασιν ἐξ ἀγαθότητος ἐπιδείκνυται.

Εἰ δὲ μὴ κατὰ τοῦ αὐτοῦ υἱοῦ ἢ προσώπου, ἀλλὰ καθ' ἑτέρου καὶ ἑτέρου υἱοῦ τὰ διάφορα νοεῖτε, πῶς οὐ δύο υἱοὺς σαφῶς δοξάζετε; πῶς δὲ οὐ θάτερον μὲν θεὸν οὐδὲν εἰς ἀνθρώπους κατ' οὐσίαν κενωθέντα, ἀλλὰ μόνον κατὰ τὴν ἐξ αἰώνων προνοητικὴν αὐτοῦ ἐνέργειαν, δι' ἑτέρου τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦντα φατὲ; ὡς μὴ δὲ ἀληθεύειν λοιπὸν καθ' ὑμᾶς, τὸ οὐ πρέσβυς οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς, τὸν δὲ ἕτερον υἱὸν, ἄνθρωπον ψιλὸν, κατ' οὐδὲν θεῷ κοινωνοῦντα ἢ ἡνωμένον, οὐ φύσει οὐχ' ὑποστάσει δοξάζετε; εἰ μὴ ὡς φατὲ, μόνῳ τῷ ὀνόματι κατὰ τὸν τῶν ὁμωνύμων λόγων· ἐφ' ὧν τὸ μὲν ὄνομα κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἕτερος ἐστὶν ἀεί· οἷον ὅ τε ἐν ἀληθείᾳ ἄνθρωπος· καὶ ὁ ἐν γραφῇ ἄμφω λεγόμενος ὡσαύτως τισὶν ἀπαρατηρήτως ἄνθρωπος· οὕτω μὲν οὖν καὶ τάδε παρ' ἡμῶν ἀποδέδεικται· ἵνα δὲ πρὸς ἔλεγχον τῆς λοιπῆς αὐτῶν ἀσεβείας αὐτοὺς κατασύρωμεν, αὐτοὶ λεγέτωσαν ἡμῖν· τὸν κατ' αὐτοὺς θατέρον τῶν υἱῶν Χριστὸν, τὸν ἀσύνθετον τῷ λόγῳ, τίνι φασὶν ὁμοούσιον; εἰ γὰρ οὐδενὶ, οὐδὲ υἱὸν ὅλως, τίνος ἄρα εἴποισαν; ἐπεὶ τοῖς τεκοῦσιν ἦν ἀνομοούσιος· οὐδὲ γεννηθέντα οὖν, οὐδὲ ζῶον ἔσται νοεῖν αὐτὸν, καθὰ καὶ αὐτοὶ ἐν τοῖς πρώην δεδώκασιν· εἰ δὲ τῷ θεῷ μόνον, ἆρά γε καὶ δύο θεῖοι υἱοί εἰσι, καὶ τετρὰς ἡ ἁγία τριάς· καὶ τοῦτο δὲ λέγοντες, ἢ οὐ τὸν ἐκ παρθένου φασὶν εἶναι τόνδε, ἢ καὶ τὴν παρθένον, θεὸν ἴσασι φύσει· εἴπερ ὁμοούσιος καὶ αὐτῇ ὁ ὁμοούσιος θεῷ· διὸ δὴ καὶ ἡμᾶς πάντας τοὺς ὁμοουσίους αὐτῇ, θεοὺς ἂν εἴποιεν εἰκότως· καὶ ἀπειροθεΐαν εἰσάγουσι προφανέστατα· εἰ δὲ ἡμῖν μόνον ὁμοού-

σιον φασὶ τὸν Χριστὸν, υἱὸν Θεοῦ λεγόμενον, τί διαφέροι ἂν οὗτος τῶν λοιπῶν υἱῶν τοῦ Θεοῦ εἰρημένων, λεγέτωσαν· περὶ ὧν εἴρηται ὑπὸ τοῦ Θεοῦ· καὶ ἔσονταί μοι εἰς υἱοὺς καὶ θυγατέρας· καὶ ἐγὼ εἶπον Θεοὶ ἐστὲ· καὶ υἱοὶ ὑψίστου πάντες, καὶ τὰ τοιάδε.

Υἱὸν μὲν, φησὶ, τοῦ Θεοῦ, φύσει τὸν Θεὸν λόγον μόνον, τὸν ὁμοούσιον τῷ πατρὶ φαμὲν· τὸν δὲ Χριστὸν, υἱὸν μὲν Θεοῦ προσαγορεύεσθαι χάριτι λέγομεν, ὅμοιον δὲ εἶναι τῇ φύσει· οὐ διὰ τόδε δὲ καὶ ὁμότιμον αὐτὸν ἡμῖν ἤδη παριστάνομεν υἱόν· ἐπεὶ καὶ ἡμεῖς χάρισμα υἱοθεσίας ἐλάβομεν παρὰ Θεοῦ, καὶ χάριτι ἐσμὲν τέκνα Θεοῦ, καὶ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι αὐτοῦ Χριστοῦ· καὶ τῶν ὁμοίως γὰρ λεγομένων πολλάκις, ἄφατος εὑρίσκεται διαφορά· κυρίως γὰρ καὶ κτίσματα ὅ τε κώνωψ καὶ ὁ ἄγγελος ἄμφω ὁμοίως λέγεται· καὶ οὐ παρὰ τόδε ὅμοιά ἐστι· πολὺ γὰρ τὸ διάφορον αὐτῶν· οὕτως οὖν καὶ ἐπὶ τῶν θέσει διαφόρων υἱῶν Θεοῦ καὶ χάριτι νοητέον· πλείονος γὰρ τιμῆς ἠξίωται ὁ Χριστὸς καὶ παρὰ Μωϋσῇ τὸν μέγαν ἐν προφήταις, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. VII.

Εἰ οὖν μὴ καὶ ταῦτα προσποιεῖσθε, ἀλλ' ὄντως κἂν τιμῆς καὶ ἀξίας ἴστε πρόκρισιν ἐπὶ Χριστοῦ παρὰ τοὺς λοιποὺς ἀνθρώπους, εἰ καὶ μὴ οὐσίας, πῶς πρὸ μικροῦ τὴν κλῆσιν αὐτοῦ καὶ τὴν τιμὴν ἣν ἔλαβε παρὰ Θεοῦ, ὁμοίαν εἶναι τῆς Ἀαρὼν διισχυρίζεσθε, διὰ τὸ καθάπερ καὶ Ἀαρὼν, οὕτως καὶ ὁ Χριστὸς εἰρῆσθαι; καὶ τοῦτο μὲν οὖν τέως ἀφείσθω· περὶ δὲ τοῦ παραδείγματος ὑμῶν ἐροῦμεν, ὡς εἰ κατανοεῖτε, ὦ σοφισταὶ, ἡ κτίσις διάφορα προάγει καὶ κτίζει κατ' οὐσίαν· ἔτι δὲ καὶ ἐκ μὴ ὄντων εἶναι ποιεῖ, ὥσπερ ἔφητε, καὶ τὸν ἄγγελον καὶ τὸν κώνωπα, τάδε τὰ διάφορα ὄντα τῇ φύσει, καὶ οὕτω γενόμενα ὑπὸ τῆς θείας κτίσεως· τί οὖν φατὲ καὶ τὴν δοθεῖσαν χάριν Χριστῷ διαφορὰν αὐτοῦ ποιῆσαι κατ' οὐσίαν πρός τι, ἢ οὐχὶ; εἰ μὲν γὰρ οὐχὶ, πῶς ὁμοίως τῆς διαφορᾶς τῶν κτιστῶν, ἡ ἐν χάριτι διαφορὰ ὁρᾶται; εἴπερ ἐκείνη μὲν ποιεῖ οὐσιώδεις διαφορὰς, αὕτη δὲ οὐχί· πολὺ γὰρ ὡς ἀληθῶς τοῦτο αὐτὸ τὸ τῶν διαφόρων διάφορον· εἰ δὲ πεποίηκε, δηλονότι κρειττοῖ τοῦτον κατὰ τὴν φύσιν αὐτοῦ, ᾧ κεχάρισται· ἐπεὶ οὖν ὄντι τὶ τὴν οὐσίαν ἐδόθη, οὐ γὰρ τὸ μὴ ὄντι ἡ χάρις, οὐδὲ μὴν τὸ πάντη μὴ ὂν, ἐκ μὴ ὄντων εἶναι αὕτη ποιεῖ, ἔσται γὰρ ἂν οὕτω καὶ αὕτη κτίσις καὶ οὐ χάρις, τί ὄντι τούτῳ τῷ Χριστῷ κατ' οὐσίαν πρώην ἐδόθη ἡ χάρις αὕτη; καὶ τί πεποίηκεν αὐτὸν εἶναι τῇ φύσει ἐγγενομένη καὶ κρειττώσασα αὐτὸν κατ' οὐσίαν; εἰ μὲν γὰρ ἀνθρώπῳ ψιλῷ ἐδόθη, πρῶτα μὲν ποῦ τε καὶ πότε ἦν οὗτος, εἴπατε· εἶτα δὲ ἡ χάρις αὕτη, εἴπερ ὄντως χάρις ἐστὶ κρειττοῦσα τοῦτον κατὰ φύσιν ᾧ κεχάρισται, εἰ ἄνθρωπος ἦν, δῆλον ὅτι ἄγγελον ἢ τὶ τοι-

οὗτον εἶναι τὴν φύσιν, ἢ Θεὸν ἐξ ἀνάγκης αὐτὸν εἶναι δείκνυσιν· οὐδὲν γὰρ ἄλλο παρὰ τάδε, κρεῖττον ἀνθρώπου τὴν οὐσίαν ἐστι· εἰ δὲ αὐτὸ τοῦτο ἄνθρωπον αὐτὸν κατ' οὐσίαν κρειττοῦσα ἡ χάρις ἐποίησε, δῆλον ὡς πετεινόν τι ἢ κτῆνος ἢ νηκτὸν ἢ ἑρπετὸν πρὸ τῆς χαρίτος ἦν οὗτος ᾧ κεχάρισται αὕτη. ἆρά γε οὖν ταῦτα μὲν δοκεῖ λέγειν περὶ Χριστοῦ; ἄλλως τε οὕτως καὶ πάντες ἄνθρωποι τῆς αὐτῆς χάριτος καὶ πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ καὶ μετ' αὐτὸν ἔσονται μέτοχοι· ἀλλὰ καὶ μᾶλλον αὐτοῦ, ἐκ φύσεως πρώτης ἔχοντες τὴν ἀξίαν τῆς ἀνθρωπότητος, ἧς αὐτὸς κατὰ χάριν ἠξιώθη διὰ φυσικῆς κρειττώσεως.

VIII. Τί οὖν, φησὶ, ἐν τοῖς ὁμοουσίοις οὐκ ἔστι διαφορὰ χρυσοῦ τυχὸν τοῦ μετάλλου πρὸς μόλιβδον ἢ πρὸς ὄστρακον, καὶ τοῦ Βαπτιστοῦ Ἰωάννου πρὸς τὸν προδότην Ἰούδα; Ἀλλὰ τούτων ἡ διαφορὰ, βέλτιστοι, ἡ μὲν κατὰ συμβεβηκὸς ἀχώριστον οὖσα εὐχροίας τυχὸν καὶ ποιῶν ἑτέρων λόγων, πρός τε, δοκεῖ· καὶ οὐχ' ἁπλῶς οὐδὲ ἀεὶ οὐδὲ κατὰ πάντα ὑπερέχει θατέρας· οὐ γὰρ δὲ καὶ ταύρῳ κρείττων δοκεῖ, ἀλλ' οὐδὲ Θεῷ τιμιώτερος ὁ χρυσός· ἔτι δὲ οἷς τε καὶ ὅτε καὶ ἐφ' ὧν καὶ οἷ, ἀναγκαιότερος καὶ χρησιμώτερος ὅ τε μόλιβδος καὶ τὸ ὄστρακον· ἡ δὲ ἑτέρα διαφορὰ πάλιν, κατὰ ἀρετὴν, καὶ ἐξ ἔργου καὶ γνώμης ἐστὶ θατέρου πρὸς θάτερον ὁρωμένη· πῶς οὖν χάριτος ἔσται διαφορὰ ἐπὶ Χριστοῦ, εἰ κατά τι τῶνδε ἐστὶν ἡ ὑπεροχὴ αὐτοῦ πρὸς ἡμᾶς μόνον; τῷ γὰρ ἐργαζομένῳ δίδοται μὲν μισθὸς, οὐ κατὰ χάριν δὲ, ἀλλὰ κατ' ὀφείλημα· εἰ δὲ κατὰ χάριν, οὐκ ἐξ ἔργων· ἐπεὶ ἡ χάρις, οὐκέτι γίνεται χάρις, ὡς εἴρηται· ἄλλως δὲ εἰ ἡ χαρὶς αὕτη καὶ ἡ τιμὴ ἧς ἠξίωται Χριστὸς διαφορὰν ποιεῖ καὶ πρὸς τὸν ἐν προφήταις ἐξαίρετον Μωϋσῆ, καθόσον πλείονα τι μὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτὸν, δῆλον ὅτι κτίστου πρὸς κτίσμα, τοσαύτη ἐστὶν ἡ διαφορὰ ἡ ἀπ' αὐτῆς ἐγγινομένη τοῖς μετόχοις αὐτῆς, πρὸς τοὺς πρώην ὁμοίους αὐτῶν· οὐκ ἄρα ἀρκεῖ οὐδὲ ἡ τοῦ ἀγγέλου πρὸς κώνωπα διένεξις φυσικὴ, ἢ χρυσοῦ πρὸς ὄστρακον, ἄμφω κτιστῶν ὄντων, κἂν ὑπερέχοι τὶ θατέρον θατέρου, εἰς παράδειγμα τῆς κατὰ Χριστὸν διαφόρου πρὸς ἡμᾶς χαρίτος· εἰ γὰρ μὴ ὅμοια εἶναι ποιεῖ καὶ ἡ εἰς ἡμᾶς ὑπὸ θεοῦ τιμὴ καὶ χάρις, ἀλλ' ἢ ὅσον κτίστου πρὸς κτίσμα διαφορὰ φυλάττεται ἐν ἡμῖν καὶ αὐτῷ ἐπὶ ταῖς θείαις χάρισι, κτίστην ἀληθῶς καὶ οὐ κτίσμα Χριστὸν μόνον παρίστησιν εἶναι ἡ ἐγγινομένη αὐτῷ χάρις· οὔτε καθ' ἡμᾶς οὖν, οὔτε κατὰ Μωϋσῆ τὸν μέγαν ὄντα μόνον δείκνυσιν αὐτὸν, ἀλλὰ καὶ θεὸν σαφῶς· μόνου γὰρ θεοῦ τὸ κτίζειν καὶ κατασκευάζειν ἐκ μὴ ὄντων τὰ πάντα· πάντων δὲ τῶν μετὰ θεὸν, τὸ κτίζεσθαι ἴδιον· τῶν μὲν ὑπὸ θεοῦ ἀμέσως, τῶν δὲ καὶ διά τινος μέσου τῶν ἐκ θεοῦ προκτιστέντων· οὐκοῦν σαφῶς ὁ χάριτος καὶ τιμῆς ἀξιωθεὶς τοιᾶσδε, καὶ κτι-

στης ἐστὶ καὶ Θεὸς, καὶ τῶν ὅλων, Χριστὸς, κἂν μὴ βούλεσθε· ἀλλ' ὧν φατὲ λογίων ὑμεῖς τὴν δύναμιν ἢ τὸν σκοπὸν οὐχ' ὁρᾶτε, οἱ δοκοῦντες παρ' ἑαυτοῖς ἀκριβεῖς εἶναι τῶν νοητῶν διαγνώμονες.

Ἀλλὰ νῦν οἱ κομψοὶ ὥσπερ χάριτος διαφορὰς καὶ τιμῆς, οὕτως καὶ υἱοθεσιῶν βούλονται δεῖξαι ἐκ τῆς ἁγίας Γραφῆς· ἵνα εἰ καὶ τὰ αὐτὰ ἡμῖν καὶ ἐπὶ Χριστοῦ λέγουσι, δόξοιέν τι περισσὸν αὐτῷ διδόναι ὑπὲρ ἡμᾶς, καὶ μὴ πάντη πᾶσιν ὅμοιον οἴεσθαι· ἡμεῖς δὲ ὅτι μὲν εἰσὶ διαφοραὶ τῶν ὡσαύτως λεγομένων, οὐκ ἀντεροῦμεν· ἀλλ' ὅτι εἰ μὴ τὴν ὡς κτίστου πρὸς τὸ κτίσμα αὐτοῦ κατὰ τὸ λόγιον, παραστήσει ἡ ἐπὶ Χριστοῦ πρὸς ἡμᾶς λεγομένη διαφορὰ, οὐκ ὄντως αὕτη ἐστὶ καθ' ἣν ὑπὲρ Μωϋσῆν ἠξίωται τιμῆς· τοῦτο γὰρ οἷον γνώμονα τινὰ καὶ κανόνα τίθεμεν τῆς πρὸς ἡμᾶς ὑπεροχῆς αὐτοῦ δεικτικόν· ἐπειδὴ δὲ δεινότητι σοφιστικῇ τὰς προτάσεις τοῦ παρόντος ἐπιχειρήματος ἐν πλείστῳ ὕφει καταξάναντες ὡς μὴ ἔχοιεν εὔδηλον τὸ ἀσεβὲς τοῖς ἀκροαταῖς, μὴ δὲ εὔκολον τὴν ἀνατροπὴν τοῖς ἀντιλέγουσι, μεσολαβοῦντες τὰς ὑπὲρ ὧν ἐγκαλοῦνται ἀπολογίας, μεθυπερβατῶς καὶ συγκεχυμένως κατασκευάζουσιν, ἡμεῖς αὐτῶν τὸν σκοπὸν ὅλον τοῦ ἐπιχειρήματος συλλέξαντες, ἐχομένως ἐθήκαμεν, καὶ ἐπικατεσκευάσαμεν ἣν βούλονται διαφορὰν εἶναι τῶν υἱοθεσιῶν ἐν τῇ ἁγίᾳ Γραφῇ καθεξῆς λέγοντες.

Ἐρρήθησαν γὰρ φασὶν υἱοὶ τοῦ Θεοῦ, πάντες ἄνθρωποι· ἐν τῷ, ἐγὼ εἶπον θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες διὰ τὸ κατ' εἰκόνα θεοῦ· ἐκλήθησαν δὲ υἱοὶ Θεοῦ πάλιν καὶ οἱ Ἰουδαῖοι κατὰ τὸ, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν, ἐπὶ οἰκειώσει θεοῦ καὶ παρὰ τὰ λοιπὰ ἔθνη πρὸς ἀναμαρτησίαν παιδαγωγούμενοι, καὶ εὐσεβεῖν διδασκόμενοι· εἰς τοῦτο γὰρ καὶ ἐπιστεύθησαν τὰ λόγια· ἡ διαθήκη γὰρ αὐτοῦ, φησὶ, τοῦ δηλῶσαι αὐτοῖς· καὶ λύχνος τοῖς ποσί μου ὁ νόμος σου· καὶ ὁ ἀπαγγέλλων φησὶ τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραήλ· οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει· ἐντεῦθεν γὰρ εἰ καὶ φόβῳ τοῦ νόμου καὶ οὐ προαιρέσει ἐδικαιοπράγουν, ἀλλ' ὅμως τῆς ἀξίας ἐπικουρίας τῶν δικαίως βιούντων ἀπήλαυον· καὶ ἁπλῶς ἐπὶ γῆς ὡς οἷόν τε μιμεῖσθαι θεοῦ μεθοδευόμενοι ὑπ' αὐτοῦ τῷ δικαίῳ καὶ ἀναμαρτήτῳ βίῳ, υἱοὶ θεοῦ ἐκλήθησαν· ἀλλ' ὅμως οὗτοι καὶ τὸ ἁμαρτεῖν ἐπεδέχοντο πάλιν, τρεπτῆς ἔτι φύσεως ὑπάρχοντες· ὅπερ οὖν καὶ πολλάκις ἔργοις ἠλέγχθησαν κατὰ τὸ εἰρημένον, αὐτοὶ δέ με ἠθέτησαν. καὶ θανάτῳ δὲ δηλαδὴ καὶ πληγαῖς καὶ τιμωρίαις ἐντεῦθεν ὑπέκειντο· καὶ γὰρ τὸ κέντρον τοῦ θανάτου, ἡ ἁμαρτία· καὶ μάστιγες πολλαὶ τοῦ ἁμαρτωλοῦ· οὕτως μὲν οὖν καὶ οὗτοι· ἐλέγχθημεν δὲ καὶ οἱ χριστιανοὶ υἱοὶ θεοῦ, κατὰ τὸ, πάντες γὰρ υἱοὶ θεοῦ ἐστὲ, διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ἡμεῖς οὖν πρὸς τῷ διὰ τῶν λόγων παιδεύεσθαι τὸ ἀναμάρτητον, καὶ τὴν ὑπὲρ τὸ γράμμα διὰ πνεύματος δικαι- IX.

οσύνη διδασκόμεθα θεοῦ· καὶ ἐπὶ ἐλευθερίᾳ καὶ ἀθανασίᾳ ἐκλήθημεν, καὶ ἀτρεψίᾳ ἐξ ἀναστάσεως νεκρῶν· τιμωρίαν οὐκέτι δεδιότες, οὐ μεταβολὴν τῆς διαδεξαμένης μακαρίας ζωῆς, πόνων ἐλεύθεροι, καὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τοῦ σκότους ἐσόμενοι, ἐν οὐρανίῳ τε πολιτείᾳ βιώσοντες· εἰς γὰρ τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ προωρίσθημεν εἰς υἱοθεσίαν θεοῦ, καὶ τὴν ὁμοίωσιν ἔχειν τὴν πρὸς τὸν οὐράνιον ἡμῶν πατέρα, ἐν τῇ ἀπολήψει τῆς υἱοθεσίας, ἧς ἀπεκδεχόμεθα· ἤγουν τῆς ἀπολυτρώσεως τοῦ σώματος ἡμῶν, τὸ ἁμαρτάνειν ἔτι οὐδενὶ τρόπῳ ἔχοντες· διὸ οὐδὲ θνήσκειν πεφυκότες λοιπὸν, ἀλλ' ἐν τῷ μὴ δὲ δυνάμει εἶναι δεκτικοὺς τῶν κακῶν τὴν φύσιν ὑπεραρθέντες· ὅσον οὖν ἐξομοιούμεθα θεῷ κατὰ τάδε παρὰ τὸν ποτὲ Ἰσραὴλ, υἱὸν καὶ αὐτὸν κληθέντα, δῆλον.

Τοσοῦτον γοῦν ἡ ἡμετέρα υἱοθεσία τῆς ἐκείνων προὔχει καὶ ἐν τοσούτοις, ὡς καὶ πνεῦμα δουλείας ἐκείνην λέγεσθαι εἰς φόβον, καὶ ζυγοῦ δουλείας ἐνοχήν· ταύτην δὲ πνεῦμα υἱοθεσίας ἐν ᾧ ἐστι κράζειν ἀββᾶ ὁ πατήρ· ὅπερ ἐκείνη λέγειν οὐ τετόλμηκε πώποτε· καὶ γὰρ αὕτη λέγεται ἰδίως ἐλευθερία, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν· οὕτως μὲν οὖν καὶ ἥδε· ἐκλήθη δὲ, φησὶ, καὶ ὁ κυριακὸς ἄνθρωπος, υἱὸς θεοῦ· κατὰ τὸ, καὶ υἱὸς ὑψίστου κληθήσεται· οὗτος δὲ πρὸς τοῖς ἡμετέροις πᾶσιν ἐξαιρέτοις, ἐν οἷς ὅμοιος ἡμῖν ὢν καὶ λέγεται εἶναι, ὁ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς τῷ κοινῷ πάντων πατρὶ θεῷ· καὶ ἕτερα ἔχει ἴδια χαρίσματα, ἐξ ὧν καὶ μονογενὴς τῷ πατρὶ ἐῤῥήθη· ἔστι δὲ ταῦτα, πρῶτον μὲν, ὅτι ἐκ πάντων ὁρατῶν καὶ ἀοράτων κτισμάτων ἀφώρισται καὶ ἐξείλεκται ἅμα τῷ εἶναι, καὶ τὴν τοῦ εἶναι υἱὸς ἀξίαν λαβὼν χάριτι· ὥσπερ εἴτις υἱὸς βασιλέως ἐπὶ πορφύρᾳ τεχθεὶς, ἢ ἔτι κυούμενος ἐν μήτρᾳ στεφθεὶς, διαζωννυμένης τὸν στέφανον τῆς μητρὸς, ὅπερ γίνεται πολλάκις· καὶ οὕτως ἡνώθη τῷ θεῷ λόγῳ ἀπὸ πρώτης αὐτοῦ κτίσεως, καὶ υἱὸς ὠνομάσθη οὐ διὰ τὴν καθ' ἡμᾶς υἱοθεσίαν, ἀλλ' ὡς συνημμένος τῷ λόγῳ πρὸς τὴν ἐκείνου φανέρωσιν· καὶ αὐτοῦ τὸ πρόσωπον ἐπέχων, αὐτοῦ τὴν τιμὴν, αὐτοῦ τὴν ἀξίαν φέρων· καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, ὑπεράνω πάσης ἐξουσίας καὶ κυριότητος καὶ δυνάμεως, ὄνομα λαβὼν μεῖζον παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· πάντα γὰρ ἁπλῶς ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ ἀπ' αὐτοῦ τῷ θείῳ λόγῳ, οὗ τὸ πρόσωπον ἐπέχει· καὶ ἀπ' ἐκείνου, τῷ πατρὶ τῷ ἀχωρίστῳ αὐτοῦ, ἅμα τῷ πνεύματι τῷ ἁγίῳ· καὶ οὕτω μεσιτεύει θεῷ καὶ ἀνθρώποις· τούτων δὲ οὐδὲν πλέον αὐτῷ ποτὲ παρέξουσιν οἱ συνθέσει λέγοντες τοῦ λόγου καὶ τοῦ ἀνθρώπου, τὸν Χριστὸν ὑφεστάναι· εἰ δὲ τούτων ἀσύγκριτος τῶν υἱοθεσιῶν ἡ παράθεσις, πῶς φασὶν ὅτι ὁμότιμον ἡμῖν φαμὲν τὸν

Χριστὸν; διότι οὐ φύσει υἱὸν, οὐδὲ αὐτὸν θεοῦ, ἀλλὰ χάριτι υἱοθετεῖσθαι δοξάζομεν· οὔτε γὰρ τὸ, υἱοὺς λέγεσθαι, οὐδὲ τὸ χάριτι υἱοθετεῖσθαι, τούς τε ἀνθρώπους πάντας καὶ τοὺς ἰουδαίους καὶ τοὺς χριστιανοὺς, καὶ τὸν Χριστὸν ἐν ὀλίγῳ, ἢ παρὰ τὸ μᾶλλον καὶ ἧττον ἔχει τὴν διαφορὰν ὡς δέδεικται.

Πρὸς τάδε οὖν πάντα σὺν θεῷ φαμὲν, ὅτι ὄντως διαφορά ἐστι τῶνδε τῶν κατὰ χάριν δοθεισῶν υἱοθεσιῶν· τί οὖν φατὲ; ἡ καθ' ἡμᾶς τοὺς χριστιανοὺς υἱοθεσία, πνευματικοὺς ἀπὸ σαρκικῆς φύσεως μεταποιοῦσα ἐν τῷ μέλλοντι, καὶ ἀθανάτους ἀντὶ θνητῶν δεικνῦσα, καὶ ἐλευθέρους τὴν φύσιν ἀντὶ δούλων, καὶ ἀφόβους τὴν ζωὴν πᾶσαν τοὺς ἐν θλίψει καὶ ἐν ὀδύναις ἀεὶ· καὶ ἐν εὐμαρείᾳ τοὺς ἐν περισπασμῷ, καὶ ἀναμαρτήτους τὸν βίον ἀντὶ ἁμαρτωλῶν, καὶ ἀτρέπτους ἀντὶ τρεπτῶν τὴν οὐσίαν, ὡς μὴ δὲ δυνάμει ἔχειν λοιπὸν τὸ σφαλερὸν δι' οὗ τὸ τιμωρίαις ὑπεύθυνον· ἆρά γε διαφόρους ποιεῖ κατ' οὐσίαν τοὺς μετόχους αὐτῆς, παρὰ τοὺς μετόχους τῆς ἰουδαϊκῆς υἱοθεσίας, ἥ τις θνητοὺς ἔτι καὶ πταιστοὺς καὶ δούλους καὶ ἐμφόβους, καὶ τιμωρουμένους, καὶ ἐν πληγαῖς δείκνυσι τοὺς κατ' αὐτοὺς υἱοθετουμένους, ἢ οὐχὶ; εἰ δὲ πάντως τὸ ἀθάνατον ζῶον καὶ ἄτρεπτον, καὶ τὰ λοιπὰ ἑτεροούσιον τοῦ θνητοῦ καὶ τρεπτοῦ καὶ τὰ ὅμοια ἐπιδεδειγμένου ἐστὶ, σκοπητέον λοιπὸν καὶ τὴν κατὰ Χριστὸν υἱοθεσίαν· ἆρα γε οὐκ εἴποιτε καὶ αὐτὴν τοσοῦτον ὑπερέχειν τῆς καθ' ἡμᾶς τοὺς λοιποὺς ἀνθρώπους χριστιανοὺς υἱοθεσίας, κἂν ὅσον γε ἡ ἡμετέρα τῆς ἰουδαϊκῆς, ἵνα μὴ λέγω τὶ πλεῖον; εἰ μὲν γὰρ οὐχ' ὑπερέχει, ἰδοὺ καθ' ἡμᾶς ἐν ἀξίᾳ μόνον χριστιανοῦ ὁ Χριστός ἐστιν· εἰ δὲ τὸ ὑπερέχειν αὐτὴν πάντως φατὲ, καθὼς καὶ ἤδη δεδώκατε, ἆρά γε κρείττονα καὶ αὐτὸν πεποίηκε τῆς καθ' ἡμᾶς οὐσίας τοσοῦτον ὅσον καὶ ἡμᾶς τοὺς πιστοὺς τῶν ἀπίστων κρείττονας ποιήσει ἡ ἡμετέρα υἱοθεσία.

Κρείττων οὖν ἡμῶν τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν πνευματικῶν χριστιανῶν κατ' οὐσίαν ὢν ὁ Χριστὸς τί ἄρα ἔσται τὴν φύσιν; ἢ γὰρ χερουβὶμ ἢ ἄγγελος ἢ τὶ τῶν ἐν μέσῳ ταγμάτων, ἢ θεὸς ἀληθῶς ἐξ ἀνάγκης· ἐπεὶ οὖν τὸ ἄγγελον γενέσθαι αὐτὸν τὴν οὐσίαν, πᾶσι πάντη ἀπαράδεκτον, καὶ ὑμῖν δὲ αὐτοῖς, ψευδὴς γὰρ ἔσται ἥ τε ἐνανθρώπησις τοῦ λόγου, καὶ ἡ θέωσις τῆς σαρκὸς, καὶ τὰ λοιπὰ τῶν λογίων πάντα τὰ περὶ τῆς οἰκονομίας, ἀνάγκη θεὸν αὐτὸν εἶναι τὴν οὐσίαν, τῇ χάριτι τῆσδε τῆς υἱοθεσίας ἣν φατὲ θεοποιηθέντα· πᾶν δὲ τὸ ποιοῦν τι, μεῖζον τοῦ ποιουμένου ὑπ' αὐτοῦ· ἆρα οὖν ἡ χαρὶς αὕτη, μείζων καὶ τῆς γενομένης ὑπ' αὐτῆς θείας οὐσίας· οὐκοῦν καὶ τῆς χαρισαμένης αὐτὴν τὴν χαρὶν θείας οὐσίας, εἴπερ ὑπὸ θεοῦ κεχάρισται· τὸ γὰρ ἑνὸς δύο τῶν ὁμοίων καὶ ἴσων κρεῖττον καὶ μεῖζον φαινόμενον, καὶ τοῦ ἑτέρου πάντως γραμμικαῖς ἀνά-

ματα; διορατέον οὖν σαφῶς ὡς καὶ ταύτην τὴν μερικὴν αἰτίαν καὶ μερικὴν ὁμοιότητα μόνον θεωρήσας Λουκᾶς ὁ εὐαγγελιστὴς ἑνοῦσαν καὶ τῷ Ἀδὰμ πρὸς τὸν πατέρα τῶν πνευμάτων θεόν· κατὰ γὰρ ψυχὴν μόνον προσεχὴς αἴτιος αὐτῷ ἦν ὁ Θεὸς, ἐμφυσῶν αὐτῷ πνεῦμα ζωῆς εἰς ψυχὴν ζῶσαν, ἐπεὶ τὸ σῶμα ἀπὸ γῆς αὐτῷ προδιέπλασε· καὶ κατὰ ταύτην σωζόμενον μόνον τὸ κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν τῷ ἀνθρώπῳ· εἰδὼς ἐκ μερικῆς αἰτίας καὶ ὁμοιώσεως υἱὸν σαφῶς τοῦ πατρὸς τῶν πνευμάτων Θεοῦ, καὶ τὸν Ἀδὰμ ἐγενεαλόγησεν οὕτως ἀνατάξας καὶ εἰπὼν εἶναι τοῦ Ἀδὰμ τοῦ Θεοῦ, ὥσπερ ἔφη τοῦ Σὴθ τοῦ Ἀδὰμ, ἤγουν τὸν ἐκ τοῦ Ἀδάμ· καὶ ὥσπερ εἶπε τοῦ Ἰσαὰκ, ὅπερ ὁ Ματθαῖος ἔλεγεν· Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ, οὕτως ἔφη τοῦ Ἀδὰμ τοῦ Θεοῦ· οὕτω μὲν οὖν ἐχέτω τάδε· ἀκουστέον δὲ καὶ τῶν λοιπῶν.

V. Εἰ οὖν φύσει ἐστὶν υἱὸς Θεοῦ ὁ Χριστὸς, καὶ οὐ κατὰ χάριν υἱοθεσίας ἠξίωται φασι, πῶς εἴρηται ὅτι πολλῷ μᾶλλον ἡ χάρις καὶ ἡ δωρεὰ τοῦ Θεοῦ, ἐν χάριτι τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ Χριστοῦ, εἰς τοὺς πολλοὺς περιέσσευσε; καὶ ὅτι ἐχαρίσατο αὐτῷ ὁ Θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; καὶ ὁ μὴ ἑαυτῷ δὲ λαβὼν τὴν τιμὴν, ἀλλὰ κληθεὶς ὑπὸ τοῦ θεοῦ καθάπερ καὶ Ἀαρών; τί ἐστιν οὗτος ὁ Χριστὸς εἴπατε. Πάλιν παρεκδοχαὶ, πάλιν μεταγωγαὶ, πάλιν αἱ συνήθεις μετωνυμίαι· καὶ θαῦμά γε οὕτως εὐεπιλήσμονες ἐστὲ καὶ ὧν ὑμεῖς πολλάκις εἰρήκατε, εἰ μὴ ἄρα τὸ τοῦ ληθάργου πάθος νοσεῖτε· ὅτι γὰρ καὶ τὰ τοῦ ἑνὸς τῶν μερῶν αὐτοῦ τοῦ μέρους κατηγορεῖται, οὐκ ἀγνοεῖτε· ὡς τὸ, ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου, βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς· ἀλλὰ καὶ ὅτι τὰ τοῦ ὅλου μέρους κατὰ τοῦ ὅλου λέγεται, ἴστε· ὡς τὸ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ· καὶ ἀνάπαλιν τὰ τοῦ ὅλου, κατὰ τοῦ μέρους· ὡς τὸ, καὶ εἰσῆλθεν Ἰακὼβ ἐν οε ψυχαῖς εἰς Αἴγυπτον· ἔτι μὴν ὅτι καὶ τὰ τοῦ ὅλου κατὰ τοῦ μέρους αὐτοῦ λέγεται ποτὲ μόνου, ὁμολογεῖτε· ὡς ἐν τῷ ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· οὔτε γὰρ σῶμα, οὔτε ψυχὴ καθ' αὐτὴν νυστάξει· καὶ ἐν τῷ, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· οὐ γὰρ δὴ τὴν ἄψυχον φησί· καὶ ὅτι δὲ τὰ τοῦ ὅλου κατὰ τοῦ ὅλου λέγεται, ἀναμφίβολον πᾶσιν· ὡς τὸ Ἰσαὰκ, καὶ ἐπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· τὸ δὲ παράδοξον ἐροῦμεν ἔτι· ὅτι ἐπὶ τῶν φυσικῶν οἰκειώσεων ἔστιν ἰδεῖν διὰ τὴν ἐκ τῆς ἑνώσεως συμπάθειαν ἐπὶ τῶν ὁπωσοῦν παθημάτων ἡνωμένων μερῶν, ὅτι καὶ τὰ θατέρου τῶν μερῶν τοῦ ὅλου, κατὰ τοῦ ἑτέρου μέρους αὐτοῦ κατηγορεῖται· ὡς τὸ, ψυχὴν τοῦ φονέως, ἀντὶ τῆς ψυχῆς τοῦ φονευθέντος, ἀποκτείνεσθαι· καί τοι οἱ ἀποκτένοντες, τὸ σῶμα ἀποκτένουσι, μετὰ δὲ τοῦτο οὐκ ἔχουσι τί περισσότερον ποιῆ-

σαι· τοιόνδε δή ἐστι καὶ τὸ, ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου· καὶ γὰρ τὸ σῶμα πρώτως τὲ καὶ ὄντως ἐστὶ τὸ ταπεινούμενον ἐπὶ νηστείᾳ, ἡ δὲ ψυχὴ καὶ μᾶλλον νήφει καὶ ὑψοῦται ἐφόσον ὁ ἔξω ἄνθρωπος ταπεινοῦται· καὶ φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με· καὶ γὰρ καὶ κατὰ τὸν ἀπόστολον, ἀποθανὼν ἔτι λαλεῖ ὡς ζῶν ὁ Ἄβελ, οὐκ αὐτῷ αἵματι; ἀλλὰ τῇ ψυχῇ.

Σαφὲς οὖν ὅτι ἃ εἰρήκατε πάντα, περὶ μέρους λέγεται τοῦ ἀνθρωπίνου Χριστοῦ· ἡ μὲν γὰρ τῶν ἐν αὐτῷ φύσεων, θεός τε καὶ υἱὸς θεοῦ ἐστί τε καὶ ὀνομάζεται, οὐσιώδει λόγῳ· ἡ δὲ χάριτι ἀληθῶς καὶ δωρεᾷ θείας τιμῆς καὶ ὀνομασίας ἠξίωται, ἀλλ' οὐχ' ἁπλῶς ὄνομα οὔσης ψιλὸν, πρᾶγμα ὑποκείμενον ὀνομαστὸν ἰδίως τῷδε τῷ ὀνόματι οὐκ ἐχούσης, οἷον φασὶ τὸ κριέλαφος, καὶ τὰ ὅμοια· ἀλλὰ διὰ τῆς πρὸς τὸν φύσει θεὸν ἑνώσεως αὐτῆς ὑποστατικῆς μεταδιδομένης αὐτῇ τῆς τοῦ ὀνόματος τοῦ υἱοῦ τοῦ θεοῦ καὶ θεοῦ τιμῆς· οὕτω γὰρ πραγματιωδῶς χαρίσματα καὶ τιμὴ καὶ ὀνομασία μεγάλη τοῦ θεωθέντος παρὰ τοῦ ἀληθῶς θεώσαντος αὐτὸ θεοῦ ἀληθοῦς ἐν δόσει ἑαυτοῦ δείκνυται, εἴπερ μὴ ψευδωνύμως χαριζόμενος αὐτῷ τὸ ἴδιον ὄνομα λέλεκται· οὐχ' ἑαυτῷ οὖν ἔλαβεν, ἤγουν ἀφ' ἑαυτοῦ τὴν τιμήν· οὐδὲ ἑαυτὸν ἐδόξασεν ὁ Χριστὸς, ὅπερ σημαίνει νῦν τὸν κατ' αὐτὸν ἄνθρωπον, ἀλλ' ὁ λαλήσας πρὸς αὐτὸν θεὸς πραγματιωδῶς, καὶ εἰπὼν τῷ ἔργῳ τῆς πρὸς αὐτὸν υἱοποιΐας αὐτοῦ καὶ οὐ λόγῳ ψιλῷ, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, χάριτι ἤγουν, ἀφ' οὗ τῷ φύσει μου υἱῷ σε προσήνωσα κατὰ μίαν ὑπόστασιν· ὅτι γὰρ ἃ ἂν αὐτὸς εἶπε καὶ ἐγενήθησαν, καὶ ὅτι ἀδύνατον ψεύδεσθαι θεὸν, μεμαθήκαμεν παρ' αὐτοῦ· δηλοῖ οὖν τάδε, ὅτι οὐκ ἀφ' ἑαυτοῦ, αἱρούμενος ὁ υἱὸς τοῦ ἀνθρώπου, ἀλαζονεύεται πατέρα θεὸν, ἀλλ' ὑπὸ τοῦ θεοῦ κέκληται εἰς τὴν ἀξίαν τῆς θείας υἱότητος ταύτης, καὶ τῆς διηνεκοῦς αὐτοῦ ἱερωσύνης, οὐδ' αὐτῆς μόνον ὀνόματι ἀλλὰ καὶ πράγματι νοουμένης· ὁ γὰρ ὀμόσας αὐτῷ κύριος, καὶ οὐ μεταμελούμενος, ὅτι σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, αὐτός ἦν καὶ περὶ οὗ εἴρηται· κύριος εἶπε πρός με υἱός μου εἶ σύ· οὐκοῦν τὸ καθάπερ καὶ Ἀαρὼν ὅμοιον μὲν τρόπον τῆς ἐκ θεοῦ δόσεως τῶν χαρισμάτων σημαίνει, καὶ κλήσεως ἔν τε Ἀαρὼν, καὶ ἐν Χριστῷ, οὐ μέν τοι καὶ χαρίσματα ὅμοια· ἢ γὰρ ἂν καὶ τῷ Ἀαρὼν ἐῤῥέθη τὸ, υἱός μου εἶ σύ· καὶ τὰ λοιπά.

Ὅτι γὰρ οὐκ ἔχει λόγον κατὰ τὴν ἰσοτιμίαν τῆς ἱερωσύνης Ἀαρὼν συγκρίνεσθαι τῷ Χριστῷ, πρόδηλον· εἴπερ καὶ Μωϋσέος τοῦ μείζονος αὐτοῦ τοσοῦτο πλείονος δόξης ἠξίωται Χριστὸς, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν· ἔτι μὴν ἀποστολικῶς εἰπεῖν· εἰ ἡ τελείωσις δι' ὁμοίας ἱερωσύνης ἦν, τίς χρεία ἕτερον ἀνίστασθαι ἱερέα κατὰ

τὴν τάξιν Ἀαρὼν λέγεσθαι; ἄλλως τε εἰ μὴ μετετέθη ἡ ἱερωσύνη, οὐδὲ ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γέγονεν ἥ φησιν ὁ αὐτὸς Παῦλος ὁ ἀπόστολος, ἀλλὰ μόνον διαδοχή· οὕτως οὖν καὶ τὸ, κληθήσεται υἱὸς θεοῦ· καὶ τὸ, υἱὸς ὑψίστου κληθήσεται καὶ τὰ λοιπὰ νοείσθω· καὶ τὸ γεννώμενον γὰρ ἅγιον ἦν· καὶ οὐ μόνον ἡγιασμένον διὰ τὸ συγγενόμενον αὐτῷ ἀγέννητον πνεῦμα ἅγιον ὅ ἐστι καὶ ὁ λόγος τεχθεὶς ἐκ τῆς παρθένου· τὸ γὰρ ἐν αὐτῇ συλληφθὲν, φησὶν ὁ ἄγγελος, ἐκ πνεύματος ἁγίου, πνεῦμα ἅγιόν ἐστιν· ὥσπερ καὶ τὸ ἐκ τῆς σαρκὸς, σὰρξ εἴρηται εἶναι· πνεῦμα δὲ ὁ θεός· καὶ θεὸς δὲ ἦν ὁ Χριστός· τὸ συλληφθὲν τοῦτό ἐστι καὶ τὸ συντεχθέν· οὐ κενῶν οὖν ὀνομάτων χαρίσματα ἐπὶ Χριστοῦ, τό τε θεὸς καὶ υἱὸς θεοῦ καὶ μονογενὴς καὶ κύριος τῆς δόξης, καὶ τὰ λοιπὰ, ἀλλὰ πράγματι ὄντων· εἰ γὰρ μὴ τάδε οὕτως ἔχοι, ψευδωνυμία τὸ δῶρον τῆς ὀνομασίας τοῦ θεοῦ ἔσται ἐν Χριστῷ· ταύτης δὲ καὶ εἴδωλα καὶ ἥρωες καὶ δαίμονες πάλαι ἔτυχον, ἧς ἐπὶ καθαιρέσει ὄντως ὁ ἀληθὴς υἱὸς τοῦ θεοῦ ἐπεδήμησέ τε καὶ πλεῖστα ᾠκονόμησεν ἐπιδημήσας· καὶ οὐκ ἂν κακῷ τὸ κακόν τις ἰᾶσθαι αὐτὸν εἴποι· ἀλλὰ καὶ ἄγγελοι καὶ ἄνθρωποι, υἱοὶ θεοῦ, καὶ υἱοὶ ὑψίστου εἴρηται πολλάκις· τί οὖν περισσότερον, ἐν τῷδε Χριστῷ τῷ μονογενεῖ υἱῷ τοῦ θεοῦ· πῶς δὲ καὶ μονογενὴς, εἰ κατ' αὐτοὺς ἡ χάρις ἡ εἰς αὐτὸν τῆς θεώσεως ἢ υἱότητος; χάριτι οὖν τῇ δι' ἑνώσεως ὑποστατικῆς πρὸς τὸν φύσει υἱὸν, εἴρηται σαφῶς υἱὸς τοῦ θεοῦ τοῦ τοῦ ζῶντος ὁ μονογενής.

VI. Ἀλλὰ φασὶν εἰ μὴ οἰκονομικῶς εἴρηται, ὡς ἂν εἴπει ὑμεῖς φεύγοντες τὴν ἀκριβῆ τῶν σημαινομένων ἐξέτασιν· καὶ εἰ μὴ οὐκ ἔχει κυρίαν τὴν ἔκβασιν ἢ παραβολῇ ἢ ἀλληγορίᾳ ἢ φαντασίᾳ ἢ δοκήσει, καὶ κατὰ κενῆς κεῖται ὡς πρὸς ὑπόνοιαν μόνον τοῖς ἀκροαταῖς τὰ λεγόμενα, τίς ἐστιν ὁ υἱὸς ὃς ἔμαθε καὶ ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν; ὁ καὶ δεήσεις καὶ ἱκετηρίας μετὰ κραυγῆς καὶ δακρύων προσενέγκας, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καὶ τελειωθεὶς, καὶ σταυρωθεὶς, καὶ ταφείς· καὶ ὃν ἤγειρεν ὁ θεὸς ἐκ νεκρῶν, καὶ ὁ ὑψωθεὶς καὶ δοξασθεὶς, καὶ τὰ λοιπά· οὔτε γὰρ ἴδια τοῦ λόγου τάδε τίς τολμήσει μὴ δαιμονῶν καταφάσκειν, οὔτε σὺν ἑτέρῳ ὄντος. Ἀλλ' ἤδη πολλάκις ὑμῖν ἐῤῥέθη, ὡς ἀπὸ μέρους τὸ ὅλον πολλάκις κατηγορεῖται, νόμῳ τε διαλεκτικῷ κοινῷ, καὶ ἰδίῳ ἔθει τῆς ἁγίας γραφῆς· οὐκ ἄρα οὖν δοκήσει ἢ παραβολῇ ἤ τινι τοιῷδε τρόπῳ, ταῦτά ἐστι· σὺν ἀληθείᾳ δὲ μετὰ τῶν μέν τοι πρεπόντων διανοητικῶν προσδιορισμῶν ἐκληπτέον αὐτά· ἁπλῶς δὲ καὶ ὑμεῖς, εἰ μὴ ἐν τῷδε αὐτῷ τῷ τοιῷδε καταφασκομένῳ τῷ Χριστῷ, καὶ ὁ φύσει υἱὸς τοῦ θεοῦ λόγος νοεῖται ὑμῖν ἐνυπάρχειν ἀπαθῶς μὲν, καὶ αὐτὸς δὲ τοῖςδε τὴν φύσιν ὑποβεβλημένος διὰ μέσου τοῦ λόγου τῆς ὑποστάσεως αὐτοῦ· ποῦ ζητοῦμεν τὸν

ἕτερον υἱὸν τοῦ θεοῦ, περὶ οὗ εἴρηται ὅτι ἐν μορφῇ θεοῦ ὑπάρχων, ἑαυτὸν ἐκένωσε, καὶ αἰσχύνης θανάτου σταυροῦ κατεφρόνησε; καὶ ποῦ ὁ υἱὸς τοῦ θεοῦ ὁ μονογενὴς, αὐτὸς ὁ ὑπὲρ ἡμῶν ἐκδοθεὶς ὑπὸ τοῦ πατρὸς; οὕτως γάρ, φησιν, ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκέ.

Τίς τε ὁ πεμφθεὶς μονογενὴς υἱὸς τοῦ κυρίου τοῦ ἀμπελῶνος μετὰ τοὺς προλαβόντας δούλους ὄντας πάντας πρὸς τοὺς κακοὺς γεωργοὺς εἴ πως αὐτὸν ἐντραπήσονται; καὶ τίς ἐστι οὗ ἐθεάσαντο τὴν δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς οἱ μαθηταὶ; ἔτι μὴν τίς ὁ ὁρισθεὶς υἱὸς θεοῦ κατὰ πνεῦμα ἁγιωσύνης; τίς τε ὁ καταβὰς καὶ εἰσκριθεὶς ὡς ὑετὸς ἐπὶ πόκον; οὗ πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ καὶ πρὸ τῆς σελήνης ἐστὶν ὁ θρόνος; τίς τε ὁ λέγων, σῶμα δὲ κατηρτίσω μοι; εἰ μὴ ἄρα καὶ προΰπαρξιν τῆς Ἰησοῦ ψυχῆς ὀνειροπολεῖτε· πῶς δὲ αὐτὸς ἐν ᾧ τὰ πάντα ἔκτισται, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν εἴρηται, ἐν πᾶσιν αὐτὸς πρωτεύων, πρωτότοκος πάσης κτίσεως; ποῖος τέ ἐστιν ὁ ἐξ οὐρανοῦ δεύτερος ἄνθρωπος καὶ κύριος; τίς τε ὃν φησὶ Ἰωάννης ὁ ἄνωθεν ἐρχόμενος, μείζων πάντων ἐστὶ; τίς τε ὁ λέγων δόξαν ἔχειν παρὰ τῷ πατρὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, καὶ ὁμολογῶν ἑαυτὸν σὺν τῷ πατρὶ ἓν εἶναι; καὶ τίς ὁ ἐξουσίαν ἔχων θεῖναι τὴν οἰκείαν αὐτοῦ ψυχὴν καὶ ἆραι, καὶ λυθέντα τὸν ἴδιον ναὸν, ὡς θεῖον καὶ οὐκ οἶκον ἰδιωτικὸν λεγόμενον, ἐν τρισὶν ἡμέραις ἐγεῖραι δυνατὸς; πῶς δὲ καὶ οἱ ἐκ πίστεως δικαιοσύνη λέγει, μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν, τουτέστι Χριστὸν καταγαγεῖν, εἰ μὴ καὶ οὐράνιον εἶναι αὐτὸν καὶ οὐ ψιλὸν ἐπίγειον φησὶ; τίς τε ὁ κύριος τῆς δόξης, ὃν ἀγνοοῦντες ἐσταύρωσαν; πῶς δὲ καὶ ὑμεῖς αὐτοὶ τὴν ἐν Νικαίᾳ πίστιν οὐ παραιτούμενοι τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων, τὸν αὐτὸν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα Χριστὸν ὁμολογεῖτε ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου, καὶ ἐνανθρωπήσαντα; καὶ τὰ ἄλλα δὲ, πῶς νοεῖτε, ὅσα προείρηται ἡμῖν ἐκ τῶν ἱερῶν λογίων περὶ Χριστοῦ, ὡς υἱοῦ θεοῦ, πρὸς τῇ χάριτι καὶ φύσει ὄντα υἱὸν θεοῦ, παριστῶντα αὐτὸν; εἰ γὰρ μὴ δοκήσει ἢ φαντασίᾳ ἢ πρὸς ὑπόνοιαν ἢ τί τῶν λοιπῶν ὧν ἔφητε οὐδὲ ταῦτά ἐστιν εἰρημένα ἐν τῇ θείᾳ γραφῇ, οὔτε μὴν ψευδωνύμως εἴρηται θεὸς τὲ καὶ υἱὸς θεοῦ, καὶ κύριος ὁ αὐτὸς Χριστὸς, πῶς οὐχὶ ὁ αὐτὸς ἔσται ἄμφω, εἴπερ κατὰ τοῦ αὐτοῦ ἑκάτερα λέγεται, καὶ εἷς ὅ τε φύσει υἱὸς τοῦ θεοῦ καὶ ὁ χάριτι, ὁ ἀπαθής τε καὶ παθητὸς, ἀνιστῶν τε καὶ ἀνιστάμενος, καὶ τὰ λοιπὰ, δοξασθήσεται;

Οὐ γὰρ εὔλογοι ὄντως ὑμεῖς ὦ εὑρεσιλόγοι δι' εὐλάβειαν μὲν δοκήσεως καὶ φαντασίας, τὰ πάθη τὲ καὶ τὰ τοῦ παθητοῦ ὀνόματα κυρίως

ἐνδεχόμενοι, καὶ φύσει καὶ πραγματιωδῶς· τὴν δὲ ἀπάθειαν καὶ δόξαν καὶ τιμὴν, καὶ τὸ τῆς θεότητος καὶ θείας υἱότητος ὄνομα, οὐ φύσει τὸ καθόλου, οὐ πράγμασιν οὐδὲ ὄντως ἐπὶ Χριστοῦ, ἀλλὰ ψευδωνυμίαν καὶ δόκησιν καὶ φαντασίαν καὶ διακενῆς προσηγορίαν· εἰ γὰρ καὶ ὄντως λέγεται ὑπ' αὐτοῦ καὶ πράττεται τὰ ἀνθρώπινα, ἀλλὰ σκοπεῖτε φιλαλήθως, ὅτι βασιλεῖ μὲν λέγειν τοῖς ἰδίοις ὑπηκόοις ὅτι εἷς ἐξ ὑμῶν εἰμὶ, καὶ ὅμοιος ὑμῖν, καὶ πράττειν ἐν καιρῷ παρατάξεως τὰ τοῦ στρατιώτου, προθυμίᾳ τῆς τοῦ κοινοῦ τῆς ἰδίας πολιτείας σωτηρίας, οὐ μόνον οὐ ψεκτὸν, ἀλλὰ καὶ ἄγαν ἔνδοξον· στρατιώτην δὲ ὄντα, βασιλικῶς προστάττειν ἢ ὀνομάζεσθαι, οὐ μικρῷ περιβαλεῖ ἐγκλήματι· εἴπερ οὖν υἱὸς ὢν ἀνθρώπου, καὶ ἄνθρωπος μόνον, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, καὶ πρωτότοκος πάσης κτίσεως, καὶ ὁ ἐπὶ πάντων θεὸς, καὶ τὰ λοιπὰ, λεγόμενός τε ἀποδέχεται, καὶ ἐξουσίᾳ προστάσσει ὡς κύριος, ἀνταρσίας ἑάλω πρὸς θεόν· εἰ δὲ καὶ θεοῦ υἱὸς καὶ θεὸς ὄντως ὢν, χρῆται ποτὲ τοῖς ἀνθρωπείοις ῥήμασι καὶ πράγμασι, δῆλον ὡς πρὸς τῇ φυσικῇ μεγαλειότητι, καὶ συγκατάβασιν ἐξ ἀγαθότητος ἐπιδείκνυται.

Εἰ δὲ μὴ κατὰ τοῦ αὐτοῦ υἱοῦ ἢ προσώπου, ἀλλὰ καθ' ἑτέρου καὶ ἑτέρου υἱοῦ τὰ διάφορα νοεῖτε, πῶς οὐ δύο υἱοὺς σαφῶς δοξάζετε; πῶς δὲ οὐ θάτερον μὲν θεὸν οὐδὲν εἰς ἀνθρώπους κατ' οὐσίαν κενωθέντα, ἀλλὰ μόνον κατὰ τὴν ἐξ αἰώνων προνοητικὴν αὐτοῦ ἐνέργειαν, δι' ἑτέρου τὴν ἡμετέραν σωτηρίαν οἰκονομοῦντα φατέ; ὡς μὴ δὲ ἀληθεύειν λοιπὸν καθ' ὑμᾶς, τὸ οὐ πρέσβυς οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς, τὸν δὲ ἕτερον υἱὸν, ἄνθρωπον ψιλὸν, κατ' οὐδὲν θεῷ κοινωνοῦντα ἢ ἡνωμένον, οὐ φύσει οὐχ' ὑποστάσει δοξάζετε; εἰ μὴ ὡς φατὲ, μόνῳ τῷ ὀνόματι κατὰ τὸν τῶν ὁμωνύμων λόγον· ἐφ' ὧν τὸ μὲν ὄνομα κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας, ἕτερος ἐστὶν ἀεί· οἷον ὅ τε ἐν ἀληθείᾳ ἄνθρωπος· καὶ ὁ ἐν γραφῇ ἄμφω λεγόμενος ὡσαύτως τισὶν ἀπαρατηρήτως ἄνθρωπος· οὕτω μὲν οὖν καὶ τάδε παρ' ἡμῶν ἀποδέδεικται· ἵνα δὲ πρὸς ἔλεγχον τῆς λοιπῆς αὐτῶν ἀσεβείας αὐτοὺς κατασύρωμεν, αὐτοὶ λεγέτωσαν ἡμῖν· τὸν κατ' αὐτοὺς θατέρον τῶν υἱῶν Χριστὸν, τὸν ἀσύνθετον τῷ λόγῳ, τίνι φασὶν ὁμοούσιον; εἰ γὰρ οὐδενὶ, οὐδὲ υἱὸν ὅλως, τίνος ἄρα εἴποισαν; ἐπεὶ τοῖς τεκοῦσιν ἦν ἀνομοούσιος· οὐδὲ γεννηθέντα οὖν, οὐδὲ ζῶον ἔσται νοεῖν αὐτὸν, καθὰ καὶ αὐτοὶ ἐν τοῖς πρώην δεδώκασιν· εἰ δὲ τῷ θεῷ μόνον, ἆρά γε καὶ δύο θεῖοι υἱοί εἰσι, καὶ τετρὰς ἡ ἁγία τριάς· καὶ τοῦτο δὲ λέγοντες, ἢ οὐ τὸν ἐκ παρθένου φασὶν εἶναι τόνδε, ἢ καὶ τὴν παρθένον, θεὸν ἴσασι φύσει· εἴπερ ὁμοούσιος καὶ αὐτῇ ὁ ὁμοούσιος θεῷ· διὸ δὴ καὶ ἡμᾶς πάντας τοὺς ὁμοουσίους αὐτῇ, θεοὺς ἂν εἴποιεν εἰκότως· καὶ ἀπειροθεΐαν εἰσάγουσι προφανέστατα· εἰ δὲ ἡμῖν μόνον ὁμοού-

σιον φασὶ τὸν Χριστὸν, υἱὸν Θεοῦ λεγόμενον, τί διαφέροι ἂν οὗτος τῶν λοιπῶν υἱῶν τοῦ Θεοῦ εἰρημένων, λεγέτωσαν· περὶ ὧν εἴρηται ὑπὸ τοῦ Θεοῦ· καὶ ἔσονταί μοι εἰς υἱοὺς καὶ θυγατέρας· καὶ ἐγὼ εἶπον Θεοί ἐστε· καὶ υἱοὶ ὑψίστου πάντες, καὶ τὰ τοιάδε.

Υἱὸν μὲν, φησὶ, τοῦ Θεοῦ, φύσει τὸν Θεὸν λόγον μόνον, τὸν ὁμοούσιον τῷ πατρὶ φαμέν· τὸν δὲ Χριστὸν, υἱὸν μὲν Θεοῦ προσαγορεύεσθαι χάριτι λέγομεν, ὅμοιον δὲ εἶναι τῇ φύσει· οὐ διὰ τόδε δὲ καὶ ὁμότιμον αὐτὸν ἡμῖν ἤδη παριστάνομεν υἱόν· ἐπεὶ καὶ ἡμεῖς χάρισμα υἱοθεσίας ἐλάβομεν παρὰ Θεοῦ, καὶ χάριτι ἐσμὲν τέκνα Θεοῦ, καὶ κληρονόμοι Θεοῦ, καὶ συγκληρονόμοι αὐτοῦ Χριστοῦ· καὶ τῶν ὁμοίως γὰρ λεγομένων πολλάκις, ἄφατος εὑρίσκεται διαφορά· κυρίως γὰρ καὶ κτίσματα ὅ τε κώνωψ καὶ ὁ ἄγγελος ἄμφω ὁμοίως λέγεται· καὶ οὐ παρὰ τόδε ὅμοιά ἐστι· πολὺ γὰρ τὸ διάφορον αὐτῶν· οὕτως οὖν καὶ ἐπὶ τῶν θέσει διαφόρων υἱῶν Θεοῦ καὶ χάριτι νοητέον· πλείονος γὰρ τιμῆς ἠξίωται ὁ Χριστὸς καὶ παρὰ Μωϋσῆ τὸν μέγαν ἐν προφήταις, καθόσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτόν. VII.

Εἰ οὖν μὴ καὶ ταῦτα προσποιεῖσθε, ἀλλ' ὄντως κἂν τιμῆς καὶ ἀξίας ἴστε πρόκρισιν ἐπὶ Χριστοῦ παρὰ τοὺς λοιποὺς ἀνθρώπους, εἰ καὶ μὴ οὐσίας, πῶς πρὸ μικροῦ τὴν κλῆσιν αὐτοῦ καὶ τὴν τιμὴν ἣν ἔλαβε παρὰ Θεοῦ, ὁμοίαν εἶναι τῆς Ἀαρὼν διισχυρίζεσθε, διὰ τὸ καθάπερ καὶ Ἀαρὼν, οὕτως καὶ ὁ Χριστὸς εἰρῆσθαι; καὶ τοῦτο μὲν οὖν τέως ἀφείσθω· περὶ δὲ τοῦ παραδείγματος ὑμῶν ἐροῦμεν, ὡς εἰ κατανοεῖτε, ὦ σοφισταὶ, ἡ κτίσις διάφορα προάγει καὶ κτίζει κατ' οὐσίαν· ἔτι δὲ καὶ ἐκ μὴ ὄντων εἶναι ποιεῖ, ὥσπερ ἔφητε; καὶ τὸν ἄγγελον καὶ τὸν κώνωπα, τάδε τὰ διάφορα ὄντα τῇ φύσει, καὶ οὕτω γενόμενα ὑπὸ τῆς θείας κτίσεως· τί οὖν φατὲ καὶ τὴν δοθεῖσαν χάριν Χριστῷ διαφορὰν αὐτοῦ ποιῆσαι κατ' οὐσίαν πρός τι, ἢ οὐχὶ; εἰ μὲν γὰρ οὐχὶ, πῶς ὁμοίως τῆς διαφορᾶς τῶν κτιστῶν, ἡ ἐν χάριτι διαφορὰ ὁρᾶται; εἴπερ ἐκείνη μὲν ποιεῖ οὖσι ὠδεις διαφορὰς, αὕτη δὲ οὐχί· πολὺ γὰρ ὡς ἀληθῶς τοῦτο αὐτὸ τὸ τῶν διαφόρων διάφορον· εἰ δὲ πεποίηκε, δηλονότι κρειττοῖ τοῦτον κατὰ τὴν φύσιν αὐτοῦ, ᾧ κεχάρισται· ἐπεὶ οὖν ὄντι τὶ τὴν οὐσίαν ἐδόθη, οὐ γὰρ τὸ μὴ ὄντι ἡ χάρις, οὐδὲ μὴν τὸ πάντη μὴ ὂν, ἐκ μὴ ὄντων εἶναι αὕτη ποιεῖ, ἔσται γὰρ ἂν οὕτω καὶ αὕτη κτίσις καὶ οὐ χάρις, τί ὄντι τούτῳ τῷ Χριστῷ κατ' οὐσίαν πρώην ἐδόθη ἡ χάρις αὕτη; καὶ τί πεποίηκεν αὐτὸν εἶναι τῇ φύσει ἐγγενομένη καὶ κρειττώσασα αὐτὸν κατ' οὐσίαν; εἰ μὲν γὰρ ἀνθρώπῳ ψιλῷ ἐδόθη, πρῶτα μὲν ποῦ τε καὶ πότε ἦν οὗτος, εἴπατε· εἶτα δὲ ἡ χάρις αὕτη, εἴπερ ὄντως χάρις ἐστὶ κρειττοῦσα τοῦτον κατὰ φύσιν ᾧ κεχάρισται, εἰ ἄνθρωπος ἦν, δῆλον ὅτι ἄγγελον ἢ τί τοι-

οὗτον εἶναι τὴν φύσιν, ἢ Θεὸν ἐξ ἀνάγκης αὐτὸν εἶναι δείκνυσιν· οὐδὲν γὰρ ἄλλο παρὰ τάδε, κρεῖττον ἀνθρώπου τὴν οὐσίαν ἐστι· εἰ δὲ αὐτὸ τοῦτο ἄνθρωπον αὐτὸν κατ' οὐσίαν κρειττοῦσα ἡ χάρις ἐποίησε, δῆλον ὡς πετεινόν τι ἢ κτῆνος ἢ νηκτὸν ἢ ἑρπετὸν πρὸ τῆς χαρίτος ἦν οὗτος ᾧ κεχάρισται αὕτη. ἆρά γε οὖν ταῦτα μὲν δοκεῖ λέγειν περὶ Χριστοῦ; ἄλλως τε οὕτως καὶ πάντες ἄνθρωποι τῆς αὐτῆς χάριτος καὶ πρὸ αὐτοῦ καὶ σὺν αὐτῷ καὶ μετ' αὐτὸν ἔσονται μέτοχοι· ἀλλὰ καὶ μᾶλλον αὐτοῦ, ἐκ φύσεως πρώτης ἔχοντες τὴν ἀξίαν τῆς ἀνθρωπότητος, ἧς αὐτὸς κατὰ χάριν ἠξιώθη διὰ φυσικῆς κρειττώσεως.

VIII. Τί οὖν, φησὶ, ἐν τοῖς ὁμοουσίοις οὐκ ἔστι διαφορὰ χρυσοῦ τυχὸν τοῦ μετάλλου πρὸς μόλιβδον ἢ πρὸς ὄστρακον, καὶ τοῦ Βαπτιστοῦ Ἰωάννου πρὸς τὸν προδότην Ἰούδα; Ἀλλὰ τούτων ἡ διαφορὰ, βέλτιστοι, ἡ μὲν κατὰ συμβεβηκὸς ἀχώριστον οὖσα εὐχροίας τυχὸν καὶ ποιῶν ἑτέρων λόγων, πρός τε, δοκεῖ· καὶ οὐχ' ἁπλῶς οὐδὲ ἀεὶ οὐδὲ κατὰ πάντα ὑπερέχει θατέρας· οὐ γὰρ δὲ καὶ ταύρῳ κρείττων δοκεῖ, ἀλλ' οὐδὲ θεῷ τιμιώτερος ὁ χρυσός· ἔτι δὲ οἷς τε καὶ ὅτε καὶ ἐφ' ὧν καὶ οἷ, ἀναγκαιότερος καὶ χρησιμώτερος ὅ τε μόλιβδος καὶ τὸ ὄστρακον· ἡ δὲ ἑτέρα διαφορὰ πάλιν, κατὰ ἀρετὴν, καὶ ἐξ ἔργου καὶ γνώμης ἐστὶ θατέρου πρὸς θάτερον ὁρωμένη· πῶς οὖν χάριτος ἔσται διαφορὰ ἐπὶ Χριστοῦ, εἰ κατά τι τῶνδε ἐστὶν ἡ ὑπεροχὴ αὐτοῦ πρὸς ἡμᾶς μόνον; τῷ γὰρ ἐργαζομένῳ δίδοται μὲν μισθὸς, οὐ κατὰ χάριν δὲ, ἀλλὰ κατ' ὀφείλημα· εἰ δὲ κατὰ χάριν, οὐκ ἐξ ἔργων· ἐπεὶ ἡ χάρις, οὐκέτι γίνεται χάρις, ὡς εἴρηται· ἄλλως δὲ εἰ ἡ χαρὶς αὕτη καὶ ἡ τιμὴ ἧς ἠξίωται Χριστὸς διαφορὰν ποιεῖ καὶ πρὸς τὸν ἐν προφήταις ἐξαίρετον Μωϋσῆ, καθόσον πλείονα τι μὴν ἔχει τοῦ οἴκου ὁ κατασκευάσας αὐτὸν, δῆλον ὅτι κτίστου πρὸς κτίσμα, τοσαύτη ἐστὶν ἡ διαφορὰ ἡ ἀπ' αὐτῆς ἐγγινομένη τοῖς μετόχοις αὐτῆς, πρὸς τοὺς πρώην ὁμοίους αὐτῶν· οὐκ ἄρα ἀρκεῖ οὐδὲ ἡ τοῦ ἀγγέλου πρὸς κώνωπα διένεξις φυσικὴ, ἢ χρυσοῦ πρὸς ὄστρακον, ἄμφω κτιστῶν ὄντων, κἂν ὑπερέχοι τι θατέρον θατέρου, εἰς παράδειγμα τῆς κατὰ Χριστὸν διαφόρου πρὸς ἡμᾶς χαρίτος· εἰ γὰρ μὴ ὅμοια εἶναι ποιεῖ καὶ ἡ εἰς ἡμᾶς ὑπὸ Θεοῦ τιμὴ καὶ χάρις, ἀλλ' ἢ ὅσον κτίστου πρὸς κτίσμα διαφορὰ φυλάττεται ἐν ἡμῖν καὶ αὐτῷ ἐπὶ ταῖς θείαις χάρισι, κτίστην ἀληθῶς καὶ οὐ κτίσμα Χριστὸν μόνον παρίστησιν εἶναι ἡ ἐγγινομένη αὐτῷ χάρις· οὔτε καθ' ἡμᾶς οὖν, οὔτε κατὰ Μωϋσῆ τὸν μέγαν ὄντα μόνον δείκνυσιν αὐτὸν, ἀλλὰ καὶ Θεὸν σαφῶς· μόνου γὰρ Θεοῦ τὸ κτίζειν καὶ κατασκευάζειν ἐκ μὴ ὄντων τὰ πάντα· πάντων δὲ τῶν μετὰ Θεὸν, τὸ κτίζεσθαι ἴδιον· τῶν μὲν ὑπὸ Θεοῦ ἀμέσως, τῶν δὲ καὶ διά τινος μέσου τῶν ἐκ Θεοῦ προκτιστέντων· οὐκοῦν σαφῶς ὁ χάριτος καὶ τιμῆς ἀξιωθεὶς τοιᾶσδε, καὶ κτι-

στης ἐστὶ καὶ Θεὸς, καὶ τῶν ὅλων, Χριστὸς, κἂν μὴ βούλεσθε· ἀλλ' ὧν φατὲ λογίων ὑμεῖς τὴν δύναμιν ἢ τὸν σκοπὸν οὐχ' ὁρᾶτε, οἱ δοκοῦντες παρ' ἑαυτοῖς ἀκριβεῖς εἶναι τῶν νοητῶν διαγνώμονες.

Ἀλλὰ νῦν οἱ κομψοὶ ὥσπερ χάριτος διαφορὰς καὶ τιμῆς, οὕτως καὶ υἱοθεσιῶν βούλονται δεῖξαι ἐκ τῆς ἁγίας γραφῆς· ἵνα εἰ καὶ τὰ αὐτὰ ἡμῖν καὶ ἐπὶ Χριστοῦ λέγουσι, δόξοιέν τι περισσὸν αὐτῷ διδόναι ὑπὲρ ἡμᾶς, καὶ μὴ πάντη πᾶσιν ὅμοιον οἴεσθαι· ἡμεῖς δὲ ὅτι μὲν εἰσὶ διαφοραὶ τῶν ὡσαύτως λεγομένων, οὐκ ἀντεροῦμεν· ἀλλ' ὅτι εἰ μὴ τὴν ὡς κτίστου πρὸς τὸ κτίσμα αὐτοῦ κατὰ τὸ λόγιον, παραστήσει ἡ ἐπὶ Χριστοῦ πρὸς ἡμᾶς λεγομένη διαφορὰ, οὐκ ὄντως αὕτη ἐστὶ καθ' ἣν ὑπὲρ Μωϋσῆν ἠξίωται τιμῆς· τοῦτο γὰρ οἷον γνώμονα τινὰ καὶ κανόνα τίθεμεν τῆς πρὸς ἡμᾶς ὑπεροχῆς αὐτοῦ δεικτικόν· ἐπειδὴ δὲ δεινότητι σοφιστικῇ τὰς προτάσεις τοῦ παρόντος ἐπιχειρήματος ἐν πλείστῳ ὕφει καταξάναντες ὡς μὴ ἔχοιεν εὔδηλον τὸ ἀσεβὲς τοῖς ἀκροαταῖς, μὴ δὲ εὔκολον τὴν ἀνατροπὴν τοῖς ἀντιλέγουσι, μεσολαβοῦντες τὰς ὑπὲρ ὧν ἐγκαλοῦνται ἀπολογίας, μεθυπερβατῶς καὶ συγκεχυμένως κατασκευάζουσιν, ἡμεῖς αὐτῶν τὸν σκοπὸν ὅλον τοῦ ἐπιχειρήματος συλλέξαντες, ἐχομένως ἐθήκαμεν, καὶ ἐπικατεσκευάσαμεν ἣν βούλονται διαφορὰν εἶναι τῶν υἱοθεσιῶν ἐν τῇ ἁγίᾳ γραφῇ καθεξῆς λέγοντες.

Ἐρρήθησαν γὰρ φασὶν υἱοὶ τοῦ Θεοῦ, πάντες ἄνθρωποι· ἐν τῷ, ἐγὼ IX.
εἶπον θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες διὰ τὸ κατ' εἰκόνα θεοῦ· ἐκλήθησαν δὲ υἱοὶ Θεοῦ πάλιν καὶ οἱ Ἰουδαῖοι κατὰ τὸ, υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν, ἐπὶ οἰκειώσει θεοῦ καὶ παρὰ τὰ λοιπὰ ἔθνη πρὸς ἀναμαρτησίαν παιδαγωγούμενοι, καὶ εὐσεβεῖν διδασκόμενοι· εἰς τοῦτο γὰρ καὶ ἐπιστεύθησαν τὰ λόγια· ἡ διαθήκη γὰρ αὐτοῦ, φησὶ, τοῦ δηλῶσαι αὐτοῖς· καὶ λύχνος τοῖς ποσί μου ὁ νόμος σου· καὶ ὁ ἀπαγγέλλων φησὶ τὸν λόγον αὐτοῦ τῷ Ἰακὼβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραὴλ· οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει· ἐντεῦθεν γὰρ εἰ καὶ φόβῳ τοῦ νόμου καὶ οὐ προαιρέσει ἐδικαιοπράγουν, ἀλλ' ὅμως τῆς ἀξίας ἐπικουρίας τῶν δικαίως βιούντων ἀπήλαυον· καὶ ἁπλῶς ἐπὶ γῆς ὡς οἷον τε μιμεῖσθαι θεοῦ μεθοδευόμενοι ὑπ' αὐτοῦ τῷ δικαίῳ καὶ ἀναμαρτήτῳ βίῳ, υἱοὶ θεοῦ ἐκλήθησαν· ἀλλ' ὅμως οὗτοι καὶ τὸ ἁμαρτεῖν ἐπεδέχοντο πάλιν, τρεπτῆς ἔτι φύσεως ὑπάρχοντες· ὅπερ οὖν καὶ πολλάκις ἔργοις ἠλέγχθησαν κατὰ τὸ εἰρημένον, αὐτοὶ δέ με ἠθέτησαν. καὶ θανάτῳ δὲ δηλαδὴ καὶ πληγαῖς καὶ τιμωρίαις ἐντεῦθεν ὑπέκειντο· καὶ γὰρ τὸ κέντρον τοῦ Θανάτου, ἡ ἁμαρτία· καὶ μάστιγες πολλαὶ τοῦ ἁμαρτωλοῦ· οὕτως μὲν οὖν καὶ οὗτοι· ἐλέγχθημεν δὲ καὶ οἱ χριστιανοὶ υἱοὶ Θεοῦ, κατὰ τὸ, πάντες γὰρ υἱοὶ θεοῦ ἐστὲ, διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ· ἡμεῖς οὖν πρὸς τῷ διὰ τῶν λόγων παιδεύεσθαι τὸ ἀναμάρτητον, καὶ τὴν ὑπὲρ τὸ γράμμα διὰ πνεύματος δικαι-

οσύνην διδασκόμεθα θεοῦ· καὶ ἐπὶ ἐλευθερίᾳ καὶ ἀθανασίᾳ ἐκλήθημεν, καὶ ἀτρεψίᾳ ἐξ ἀναστάσεως νεκρῶν· τιμωρίαν οὐκέτι δεδιότες, οὐ μεταβολὴν τῆς διαδεξαμένης μακαρίας ζωῆς, πόνων ἐλεύθεροι, καὶ τῶν ἀρχόντων τοῦ αἰῶνος τοῦ σκότους ἐσόμενοι, ἐν οὐρανίῳ τε πολιτείᾳ βιώσοντες· εἰς γὰρ τὸ εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ ἐν ἀγάπῃ προωρίσθημεν εἰς υἱοθεσίαν θεοῦ, καὶ τὴν ὁμοίωσιν ἔχειν τὴν πρὸς τὸν οὐράνιον ἡμῶν πατέρα, ἐν τῇ ἀπολήψει τῆς υἱοθεσίας, ἧς ἀπεκδεχόμεθα· ἤγουν τῆς ἀπολυτρώσεως τοῦ σώματος ἡμῶν, τὸ ἁμαρτάνειν ἔτι οὐδενὶ τρόπῳ ἔχοντες· διὸ οὐδὲ θνήσκειν πεφυκότες λοιπὸν, ἀλλ' ἐν τῷ μὴ δὲ δυνάμει εἶναι δεκτικοὺς τῶν κακῶν τὴν φύσιν ὑπεραρθέντες· ὅσον οὖν ἐξομοιούμεθα θεῷ κατὰ τάδε παρὰ τὸν ποτὲ Ἰσραὴλ, υἱὸν καὶ αὐτὸν κληθέντα, δῆλον.

Τοσοῦτον γοῦν ἡ ἡμετέρα υἱοθεσία τῆς ἐκείνων προὔχει καὶ ἐν τοσούτοις, ὡς καὶ πνεῦμα δουλείας ἐκείνην λέγεσθαι εἰς φόβον, καὶ ζυγοῦ δουλείας ἐνοχήν· ταύτην δὲ πνεῦμα υἱοθεσίας ἐν ᾧ ἐστι κράζειν ἀββᾶ ὁ πατήρ· ὅπερ ἐκείνη λέγειν οὐ τετόλμηκε πώποτε· καὶ γὰρ αὕτη λέγεται ἰδίως ἐλευθερία, ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσεν· οὕτως μὲν οὖν καὶ ἥδε· ἐκλήθη δὲ, φησὶ, καὶ ὁ κυριακὸς ἄνθρωπος, υἱὸς θεοῦ· κατὰ τὸ, καὶ υἱὸς ὑψίστου κληθήσεται· οὗτος δὲ πρὸς τοῖς ἡμετέροις πᾶσιν ἐξαιρέτοις, ἐν οἷς ὅμοιος ἡμῖν ὢν καὶ λέγεται εἶναι, ὁ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς τῷ κοινῷ πάντων πατρὶ θεῷ· καὶ ἕτερα ἔχει ἴδια χαρίσματα, ἐξ ὧν καὶ μονογενὴς τῷ πατρὶ ἐρρήθη· ἔστι δὲ ταῦτα, πρῶτον μὲν, ὅτι ἐκ πάντων ὁρατῶν καὶ ἀοράτων κτισμάτων ἀφώρισται καὶ ἐξείλεκται ἅμα τῷ εἶναι, καὶ τὴν τοῦ εἶναι υἱὸς ἀξίαν λαβὼν χάριτι· ὥσπερ εἴτις υἱὸς βασιλέως ἐπὶ πορφύρᾳ τεχθεὶς, ἢ ἔτι κυούμενος ἐν μήτρᾳ στεφθεὶς, διαζωννυμένης τὸν στέφανον τῆς μητρὸς, ὅπερ γίνεται πολλάκις· καὶ οὕτως ἡνώθη τῷ θεῷ λόγῳ ἀπὸ πρώτης αὐτοῦ κτίσεως, καὶ υἱὸς ὠνομάσθη οὐ διὰ τὴν καθ' ἡμᾶς υἱοθεσίαν, ἀλλ' ὡς συνημμένος τῷ λόγῳ πρὸς τὴν ἐκείνου φανέρωσιν· καὶ αὐτοῦ τὸ πρόσωπον ἐπέχων, αὐτοῦ τὴν τιμὴν, αὐτοῦ τὴν ἀξίαν φέρων· καὶ ἐκάθισεν ἐν δεξιᾷ τοῦ θεοῦ, ὑπεράνω πάσης ἐξουσίας καὶ κυριότητος καὶ δυνάμεως, ὄνομα λαβὼν μεῖζον παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· πάντα γὰρ ἁπλῶς ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ ἀπ' αὐτοῦ τῷ θείῳ λόγῳ, οὗ τὸ πρόσωπον ἐπέχει· καὶ ἀπ' ἐκείνου, τῷ πατρὶ τῷ ἀχωρίστῳ αὐτοῦ, ἅμα τῷ πνεύματι τῷ ἁγίῳ· καὶ οὕτω μεσιτεύει θεῷ καὶ ἀνθρώποις· τούτων δὲ οὐδὲν πλέον αὐτῷ ποτὲ παρέξουσιν οἱ συνθέσει λέγοντες τοῦ λόγου καὶ τοῦ ἀνθρώπου, τὸν Χριστὸν ὑφεστάναι· εἰ δὲ τούτων ἀσύγκριτος τῶν υἱοθεσιῶν ἡ παράθεσις, πῶς φασὶν ὅτι ὁμότιμον ἡμῖν φαμὲν τὸν

Χριστὸν; διότι οὐ φύσει υἱὸν, οὐδὲ αὐτὸν θεοῦ, ἀλλὰ χάριτι υἱοθετεῖσθαι δοξάζομεν· οὔτε γὰρ τὸ, υἱοὺς λέγεσθαι, οὐδὲ τὸ χάριτι υἱοθετεῖσθαι, τούς τε ἀνθρώπους πάντας καὶ τοὺς ἰουδαίους καὶ τοὺς χριστιανοὺς, καὶ τὸν Χριστὸν ἐν ὀλίγῳ, ἢ παρὰ τὸ μᾶλλον καὶ ἧττον ἔχει τὴν διαφορὰν ὡς δέδεικται.

Πρὸς τάδε οὖν πάντα σὺν θεῷ φαμὲν, ὅτι ὄντως διαφορά ἐστι τῶνδε τῶν κατὰ χάριν δοθεισῶν υἱοθεσιῶν· τί οὖν φατὲ; ἡ καθ' ἡμᾶς τοὺς χριστιανοὺς υἱοθεσία, πνευματικοὺς ἀπὸ σαρκικῆς φύσεως μεταποιοῦσα ἐν τῷ μέλλοντι, καὶ ἀθανάτους ἀντὶ θνητῶν δεικνῦσα, καὶ ἐλευθέρους τὴν φύσιν ἀντὶ δούλων, καὶ ἀφόβους τὴν ζωὴν πᾶσαν τοὺς ἐν θλίψει καὶ ἐν ὀδύναις ἀεὶ καὶ ἐν εὐμαρείᾳ τοὺς ἐν περισπασμῷ, καὶ ἀναμαρτήτους τὸν βίον ἀντὶ ἁμαρτωλῶν, καὶ ἀτρέπτους ἀντὶ τρεπτῶν τὴν οὐσίαν, ὡς μὴ δὲ δυνάμει ἔχειν λοιπὸν τὸ σφαλερὸν δι' οὗ τὸ τιμωρίαις ὑπεύθυνον· ἆρά γε διαφόρους ποιεῖ κατ' οὐσίαν τοὺς μετόχους αὐτῆς, παρὰ τοὺς μετόχους τῆς ἰουδαϊκῆς υἱοθεσίας, ἤ τις θνητοὺς ἔτι καὶ πταιστοὺς καὶ δούλους καὶ ἐμφόβους, καὶ τιμωρουμένους, καὶ ἐν πληγαῖς δείκνυσι τοὺς καθ' αὐτοὺς υἱοθετουμένους, ἢ οὐχὶ; εἰ δὲ πάντως τὸ ἀθάνατον ζῶον καὶ ἄτρεπτον, καὶ τὰ λοιπὰ ἑτεροούσιον τοῦ θνητοῦ καὶ τρεπτοῦ καὶ τὰ ὅμοια ἐπιδεδειγμένου ἐστὶ, σκοπητέον λοιπὸν καὶ τὴν κατὰ Χριστὸν υἱοθεσίαν· ἆρα γε οὐκ εἰποιτε καὶ αὐτὴν τοσοῦτον ὑπερέχειν τῆς καθ' ἡμᾶς τοὺς λοιποὺς ἀνθρώπους χριστιανοὺς υἱοθεσίας, κἂν ὅσον γε ἡ ἡμετέρα τῆς ἰουδαϊκῆς, ἵνα μὴ λέγω τὶ πλεῖον; εἰ μὲν γὰρ οὐχ' ὑπερέχει, ἰδοὺ καθ' ἡμᾶς ἐν ἀξίᾳ μόνον χριστιανοῦ ὁ Χριστός ἐστιν· εἰ δὲ τὸ ὑπερέχειν αὐτὴν πάντως φατὲ, καθὼς καὶ ἤδη δεδώκατε, ἆρά γε κρείττονα καὶ αὐτὸν πεποίηκε τῆς καθ' ἡμᾶς οὐσίας τοσοῦτον ὅσον καὶ ἡμᾶς τοὺς πιστοὺς τῶν ἀπίστων κρείττονας ποιήσει ἡ ἡμετέρα υἱοθεσία.

Κρείττων οὖν ἡμῶν τῶν ἀνθρώπων, καὶ αὐτῶν τῶν πνευματικῶν χριστιανῶν κατ' οὐσίαν ὢν ὁ Χριστὸς τί ἄρα ἔσται τὴν φύσιν; ἢ γὰρ χερουβὶμ ἢ ἄγγελος ἢ τὶ τῶν ἐν μέσῳ ταγμάτων, ἢ θεὸς ἀληθῶς ἐξ ἀνάγκης· ἐπεὶ οὖν τὸ ἄγγελον γενέσθαι αὐτὸν τὴν οὐσίαν, πᾶσι πάντη ἀπαράδεκτον, καὶ ὑμῖν δὲ αὐτοῖς, ψευδὴς γὰρ ἔσται ἥ τε ἐνανθρώπησις τοῦ λόγου, καὶ ἡ θέωσις τῆς σαρκὸς, καὶ τὰ λοιπὰ τῶν λογίων πάντα τὰ περὶ τῆς οἰκονομίας, ἀνάγκη θεὸν αὐτὸν εἶναι τὴν οὐσίαν, τῇ χάριτι τῆσδε τῆς υἱοθεσίας ἣν φατὲ θεοποιηθέντα· πᾶν δὲ τὸ ποιοῦν τι, μεῖζον τοῦ ποιουμένου ὑπ' αὐτοῦ· ἄρα οὖν ἡ χαρὶς αὕτη, μείζων καὶ τῆς γενομένης ὑπ' αὐτῆς θείας οὐσίας· οὐκοῦν καὶ τῆς χαρισαμένης αὐτὴν τὴν χαρὶν θείας οὐσίας, εἴπερ ὑπὸ θεοῦ κεχάρισται· τὸ γὰρ ἑνὸς δύο τῶν ὁμοίων καὶ ἴσων κρεῖττον καὶ μεῖζον φαινόμενον, καὶ τοῦ ἑτέρου πάντως γραμμικαῖς ἀνά-

γκαις· οὕτω δὲ ἂν καὶ ἡμεῖς χάριτι καὶ οὐ φύσει ὄντες υἱοὶ Θεοῦ, μείζονες ὦμεν θεοῦ τὴν οὐσίαν, διὰ τὴν μείζονα τῆς οὐσίας χάριν· τί δὴ οὖν εὐλαβεῖσθε μέτοχον εἶναι λέγειν θείας οὐσίας τὸν Χριστὸν; ποιητῆς τε οὔσης καθ' ὑμᾶς καὶ ἐπισυμβαινούσης ταῖς φύσεσι τῆς θείας φύσεως· τὴν ποιητικὴν αὐτῆς καὶ αἰτίαν καὶ μείζονα ταύτης, ἤγουν τὴν χάριν τῆς υἱοθεσίας αὐτῷ διδόντες, καὶ μὴ ὑποστειλάμενοι βέλτιστοι· ἀλλ' ὄντως ἐν κακοῖς τὸ μᾶλλον χεῖρον, καὶ τὸ κάκιστον σκαιωροῦντες ἐφωράθητε· καὶ γὰρ μὴ δὲ δοκεῖν ἀσεβεῖν, καί τοι ἑκουσίως ἀσεβοῦντες, περιποιεῖσθε μόνον· οὐ γὰρ ἴστε ὅλως τι προὔχειν ὑμῶν τὸν Χριστὸν πράγματι ψιλὸν δὲ ἄνθρωπον καθ' ὑμᾶς εἶναι αὐτὸν λογίζεσθε· εἰ καὶ χάριν καὶ τιμὴν καὶ δόξαν, ὀνόματι μόνον, αὐτῷ περιάπτετε· λόγον διακενῆς τοὺς περὶ τῆς ἑνώσεως τῆς θείας τε καὶ ἀνθρωπίνης φύσεως δοξάζοντες, ἤγουν τοὺς περὶ τῆς σαρκώσεως τοῦ λόγου, καὶ τῆς θεώσεως τῆς σαρκὸς αὐτοῦ.

Ἐξεταζέσθω γὰρ ἤδη καὶ τόδε· πῶς φατὲ τὴν ἕνωσιν ταύτην, ἣν προσποιεῖσθε ὁμολογεῖν τοῦ λόγου, πρὸς τὸν δοκοῦντα ὑμῖν ἄνθρωπον Χριστὸν, παρὰ πάντα τε καὶ ἀπ' ἀρχῆς κυήσεως αὐτοῦ εὐθὺς αὐτὴν λέγοντες γενέσθαι εὐσεβοφανῶς, οἱ σύνθεσιν τοῦ λόγου πρὸς τὴν σάρκα γενέσθαι μὴ παραδεχόμενοι· ἡ γὰρ ἕνωσις ἡ μὴ κατὰ σύνθεσιν οὖσα, πάντως ἢ κατὰ παράθεσιν ὁρᾶται τοπικὴν, οἷον λίθου καὶ χρυσίου ἐν δακτυλίῳ, καὶ πέρατος τῆς Ἰουδαίας χώρας πρὸς τὸ πέρας τῆς ἀγχιτέρμονος αὐτῇ Σαμαρείας, καὶ τὰ τοιάδε· ἢ κατὰ προαιρετικὴν σχέσιν, ὡς ὁ φιλόχρυσος πρὸς τὸν χρυσὸν, ὁ Φίλιππος πρὸς τοὺς ἵππους, καὶ ὁ φιλήδονος πρὸς τὴν ἡδονὴν, καὶ φιλόθεος πρὸς τὸν Θεὸν, καὶ τὰ ὅμοια· ἢ κατὰ σχέσιν φυσικήν τινὰ, οἷον ἡ τῶν γονέων πρὸς τὰ ὁμοφυῆ αὐτῶν τέκνα· ἢ τῶν ὁμοουσίων ἀνθρώπων, ἢ ἵππων, ἢ ἀετῶν πάντων, τῷ λόγῳ τοῦ ἀετοῦ εἴδους ἓν ποιοῦσα τὰ κατ' αὐτὸν πάντα ἄτομα, φυσικῇ τῇ ὁμοιότητι· ἢ ὡς εἰκόνος πρὸς τὸ ἀρχέτυπον· ἢ τῇ ὁμοιότητι πάλιν καὶ αὐτὴν συνάπτει τὸ ἐν ἑκατέροις εἶδος· εἰ μὲν οὖν κατὰ παράθεσιν τοπικὴν φατὲ τὴν ἕνωσιν τοῦ λόγου πρὸς τὸν Χριστὸν, σῶμα τε ὁ λόγος ὁ θεῖος, καὶ ὁρατὸς, καὶ ἁπτὸς, καὶ ἐν τόπῳ, καὶ περιγραπτὸς, καὶ τὰ λοιπὰ ἄτοπα· εἰ δὲ κατὰ προαιρετικὴν σχέσιν, οὐ Χριστοῦ μόνου πρὸς τὸν θεὸν ἡ ἕνωσις, ἀλλὰ καὶ Ἄβελ καὶ Ἐνὼχ καὶ Νῶε καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ, Μωϋσέως, καὶ Σαμουὴλ, καὶ Δαβὶδ, καὶ Ἱερεμίου, καὶ τῶν λοιπῶν πατέρων καὶ πατριαρχῶν καὶ προφητῶν πάντων τῶν μέχρις Ἰωάννου τοῦ βαπτιστοῦ, καὶ τῶν ἀπὸ Ἰωάννου καὶ μέχρι τοῦ νῦν εὐαρεστησάντων Θεῷ· οὐ γὰρ εἴρηται περὶ ἑνὸς μόνου, ἀλλ' ὅτι εὐδοκεῖ κύριος ἐν τοῖς φοβουμένοις αὐτὸν, ἐν πᾶσι τοῖς ἐλπίζουσιν ἐπὶ τὸ ἔλεος αὐτοῦ· καὶ ὅτι οὐκ ἔστι προσωποληψία παρὰ τῷ Θεῷ, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ

ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι· σαφὲς οὖν, ὡς οὐδὲ ἐκ τῆσδε τῆς ἑνώσεως, οὐδὲν πλέον ἐκ τῶν ὑπὲρ τοὺς ἀπ᾽ αἰῶνος ἄνδρας θεοφόβους καὶ ἀγγέλους ἔσται Χριστοῦ· οὐ δύνασθε οὖν λέγειν ὅτι ἐξελέξατο αὐτὸν μόνον ἀπὸ πάντων ὁρατῶν καὶ ἀοράτων· καὶ ὅτι ὑπὲρ πάντας ἠξίωται τιμῆς τινὸς ἢ ἑνώσεως ἢ υἱότητος ἢ χαρίτος ἐκ τῆς τοιαύτης ἑνώσεως.

Εἰ δὲ οὐ ταύτην, ἀλλὰ τὴν κατὰ σχέσιν φυσικὴν λέγετε ἕνωσιν τοῦ λόγου πρὸς τὸν Χριστὸν, ἐπεὶ αὕτη ἐν τοῖς ὁμοουσίοις ὁρᾶται· πᾶν γὰρ ζῶον τὸ ὅμοιον ἀγαπᾷ, οὐ τὸ μὴ ὅμοιον· ἢ κατά τινας συμβεβηκώσας τινῶν ὁμοιότητας, δῆλον ὡς ἢ κατά τι συμβεβηκὸς ὅμοιον τὸν λόγον Χριστῷ εἶναι φατὲ, καὶ οὐ θεὸς ἔσται ὁ λόγος οὐσίᾳ καὶ συμβεβηκόσιν ὑφεστὼς τὸ ἴδιον πρόσωπον· ἢ κατ᾽ οὐσίαν, καὶ δῆλον ὡς ἢ τὸν λόγον σάρκα ἴστε ὁμοφυῆ τῇ σαρκὶ ὄντα, καὶ λείπει ὑμῖν ἡ θεία τριὰς ἑνὶ προσώπῳ· ἢ καὶ τὴν σάρκα, θεὸν ὁμοούσιον τοῦ λόγου οἴεσθε, καὶ περιττεύει ὑμῖν ἡ ἁγία τριὰς μιᾷ ὑποστάσει· ἐξ ἀνάγκης οὖν δυάδα ἢ τετράδα προσκυνεῖτε· τὴν δὲ ἁγίαν τριάδα, πάντως παραχαράττετε· εἰ δὲ τούτων τῶν ἑνώσεων οὐδεμίαν καταδέχεσθε λέγειν διὰ τὰ ἄτοπα, οὐδὲ τὴν κατὰ σύνθεσιν ἕνωσιν διὰ τὰ ὑμέτερα δόγματα· εἰ δὲ ὡς ὁμολογεῖτε, πῶς λέγειν δοκεῖτε ἐπὶ τοῦ λόγου καὶ τῆς σαρκὸς ἕνωσιν, πάσης ἑνώσεως τρόπον ἀπαρνούμενοι ἐν ἑαυτοῖς; οὐκοῦν δῆλον γέγονεν, ὡς μόρφωσιν εὐσεβείας μόνον ὑποκρίνεσθε, τὴν δυνάμιν αὐτῆς ἠρνημένοι τὸ συνόλον· καὶ γὰρ δὴ καὶ ἐν τοῖς ἑξῆς, τοιοίδε ἐλέγχεσθε εἰς φανέρωσιν τοῦ λόγου ταύτην λέγοντες εἶναι τὴν ἕνωσιν, καὶ εἰς πρόσωπον οὐκ οἶδα πῶς ἀποκαλοῦντες αὐτήν· τῷ γὰρ φησὶ τὸ πρόσωπον ἐπέχειν τοῦ λόγου τὸν Χριστὸν, ταύτην ἴσμεν.

Ἀλλ᾽ ὦ σοφισταὶ καὶ οὐ σοφοὶ, τάχα δὲ καὶ πρὸς τοῦτο ἀδόκιμοι· οὐχ᾽ οὕτως ἐστὶν ἡ εἰς πρόσωπον ἕνωσις· ὥσπερ γὰρ ἡ εἰς φύρσιν ἕνωσις, φύρσιν ποιεῖ, οἷον ἡ τοῦ ὀξυκράτου· καὶ ὥσπερ ἡ εἰς σύστασιν τινὰ ἕνωσις, σύστασιν ποιεῖ, οἷον ἡ τοῦ χοροῦ· καὶ ὥσπερ ἡ εἰς παράθεσιν ἕνωσις, παράθεσιν ποιεῖ, οἷον ἡ τοῦ οἴκου· καὶ ὥσπερ ἡ εἰς φύσιν τινὰ ἕνωσις, φύσιν ποιεῖ, οἷον ἡ τοῦ σώματος ἀπὸ τῶν στοιχείων, οὕτω καὶ ἡ εἰς πρόσωπον ἕνωσις καινώτερόν τι ἢ καινοτέρως δείξει τὶ πρόσωπον· οὐ μὴν τόγε ἀντὶ ἑαυτοῦ δεικνῦναι τινὰ ἕτερον πρόσωπον ὡς φατὲ, τοῦτο ἡ ἕνωσις ἐστὶ ἡ εἰς πρόσωπον, ἡ φανέρωσις τοῦ ἑτέρου προσώπου τοῦ ἀγνοουμένου, ἀλλὰ τοὐναντίον ἀπόκρυψις προσώπου εἰς ἀντιπρόσωπον, μόνον δὲ ὀνόματος ἔκφανσις· ὃ καὶ ἄνευ προσώπου δυνατὸν ἦν κηρύττεσθαι δι᾽ ὑποφήτου· τίνι γὰρ συνέχεται; ἢ τίνι κοινωνεῖ; ἢ τίνι ἥνωται τὰ τοιάδε ἀντ᾽ ἄλλα πράγματα ἀλλήλοις; εἰ μὲν γὰρ ὁμοιότητι, πάλιν θεὸς ἡ σάρξ, ἢ σὰρξ ὁ λόγος· τίς δὲ καὶ χρεία ἦν τῆς ὁμοιότητος οὔσης, μὴ ἐν ἀλη-

θεία τὸ κύριον πρόσωπον, ἀλλὰ τὸ ὅμοιον ἐμφανισθῆναι τῷ μὴ σκαιωρεῖν βουλομένῳ μᾶλλον; εἰ δὲ ἀνόμοια ἔστι, ἐν τίνι ἡ ἕνωσις τῶν προσώπων; πῶς δὲ οὐ πλάνησις μόνον ἐπιτήδευσις ἔσται, τὸ ἄλλό τι δεῖξαι ὡς ἄλλο, καὶ οὐχ' ὡς αὐτὸ ὅ ἐστι; ναί φησι τῷ θείῳ ὀνόματι ἥνωται ἄμφω· ἠξιώθη γὰρ καὶ τὸ μὴ φύσει θεῖον τοῦ θείου ὀνόματος· ἆρα οὐκ ἰδοὺ σαφῶς εἰς τὴν διακενῆς ὀνομασίαν ὑμῖν τὰ μεγάλα Χριστοῦ ἀξιώματα ἐκ μακρᾶς διαιρέσεως κατηντήκασι; μηδενὸς γὰρ ὄντος αὐτῷ καθ' ὃ κοινωνεῖ θεῷ ἑτέρου πράγματος, πλὴν τοῦ ὀνόματος μόνον, πῶς οὐχὶ κατὰ τὴν τῶν ὁμωνύμων ἕνωσιν, τὴν κατὰ τοὔνομα μόνον ἔσται ἔχων τὴν πρὸς θεὸν κοινωνίαν ὁ Χριστὸς, οὐχὶ δὲ κατὰ τὸ ὑποκείμενον τῷ ὀνόματι πρᾶγμα; ταύτης δ' οὖν καὶ ἄγγελοι πάλαι καὶ ἄνθρωποι ὅσιοι ὑπὸ θεοῦ ἠξίωνται, ὡς προείρηται· καὶ δαίμονες δὲ καὶ ξόανα καὶ πετεινὰ καὶ ἑρπετὰ καὶ λίθοι ἠξιώθησαν ὑπὸ τῶν ἀνθρώπων, θεοὶ τὲ καὶ κύριοι καὶ υἱοὶ θεοῦ καὶ θεῶν λεχθέντες· ἐν τούτοις οὖν ὁ μακαρισμὸς Χριστοῦ παρὰ πάντας; τοῦτο ἔστι τὸ ὑπερύψωμα δῶρον αὐτοῦ, ἡ ψευδώνυμος θεοκλησία; ὢ τῆς αἰσχύνης τῶν δογμάτων· ὢ τοῦ λήρου τῶν προβλημάτων.

Λεγέτωσαν οὖν ἡμῖν ἔτι· ἐπεὶ τὰ ὁμώνυμα, ἢ ὁμοούσια ἔστιν ἐξ ἰδικοῦ ὀνόματος ὁμωνυμοῦντα, ὡς Ἰούδας ὁ ἰσκαριώτης καὶ Ἰούδας ὁ ἀδελφόθεος· ἢ ἑτεροούσια ἔστι τινὰ ἀπὸ κοινοῦ ὀνόματος ὁμωνυμοῦντα, οἷον ἀστὴρ ὅ τε θαλάττιος καὶ οὐράνιος, ἢ ἑτεροούσιά τε καὶ τούτων θάτερον μὲν, ἀπὸ κοινοῦ ὀνόματος· καὶ ἕτερον, ἐξ ἰδικοῦ ὁμωνυμεῖ, οἷον ἄγγελος τό τε πνεῦμα, καὶ ὁ προφήτης ὁ λεγόμενος Μαλαχίας· ἢ θατέρου μὲν οὐσία, θάτερον δὲ ἀνούσιον, ὡς λύκος τό τε ζῶον καὶ τὸ πάθος· κατὰ ποίαν τῶνδε τῶν κατὰ τοὔνομα ἡνωμένων, ἡ τοῦ ὀνόματος Χριστοῦ πρὸς τὸ ὄνομα τοῦ θεοῦ καὶ λόγου καὶ υἱοῦ τοῦ θεοῦ ἕνωσις οὖσα, ἢ κατ' οὐσίαν αὐτόν τι κρειττώσει, ἢ ὑπερυψώσει ἢ ὀνήσει τι; οὐδὲν γὰρ τῶν ὁμωνύμων ἀπολαύσει τινὸς τῶν τοῦ ὁμωνύμου· εἰ μὴ ἄρα αὐτὸ δὴ τοῦτο φασὶ, τὸ τῇ ψευδωνυμίᾳ τὴν θείαν δόξαν συναρπάζειν, καὶ ἀποφέρεσθαι πρὸς τοὺς ἀγνοοῦντας τὴν τοῦ φύσει θεοῦ πρὸς τοὺς ψευδωνύμους διάκρισιν· εἰ δὲ αὕτη ἐστὶν ἡ μεγάλη δόξα Χριστοῦ, ταύτης πολλῷ πρότερον Χριστοῦ διάβολός τε καὶ δαίμονες ἐπιθυμήσαντες, ἀπήλαυσαν· ἀλλὰ καὶ ζῶα καὶ ἑρπετὰ ἠξίωνται ὡς εἴρηται τῆσδε· ἐκ πάντων οὖν δέδεικται τρανῶς ὡς ἢ οὐδὲ τιμῆς οὐδὲ δόξης οὐδὲ ἄλλου τινὸς τῶν ὑψηλῶν καὶ θείων ἠξίωται ὄντως καὶ πράγματι Χριστός· ἢ εἴπερ ἀληθῶς ἐν μεθέξει τῶν θείων ἐστὶ προσηγοριῶν, τῷ πρώτως αὐτὸν τὸν ἀληθῶς καὶ φύσει τάδε οἰκειούμενον ἔχειν ἐν ἑαυτῷ θεοῦ λόγον· διὰ τοῦδε γὰρ καὶ πάντα τὰ θεοῦ ἰδικὰ μόνον καὶ αὐτῷ συνεπόμενα ἐξαίρετα πλουτεῖ, καὶ ἐν ἑαυτῷ ἐπιδείκνυται ὄντως ὁ Χριστός.

Ἔτι μὴν λέγοντες οὗτοι ἀξίας αὐτὸν μετειληφέναι οἱασοῦν μεγίστης, ἀποκρινέσθωσαν ἡμῖν· αὕτη ὁποία ἐστὶν ἡ ἀξία; φυσική τις, οἵα ἡ τοῦ ἀνθρώπου πρὸς τὰ κτήνη κατ' οὐσίαν ὑπεροχὴ, καθὸ εἴρηται, πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ πρόβατα καὶ βόας ἁπάσας; ἢ συμβεβηκῶσα, οἵα ἡ τοῦ Σαοὺλ πρὸς τοὺς ὁμοφύλους ὕψωσις; εἰ μὲν γὰρ συμβεβηκῶσα, αὐτόθεν οὐδὲ θεία οὐδὲ ἀξιόλογος· εἰ δὲ φυσικὴ, δῆλον ὡς οὐκ ἔστι αὐτῆς μετέχειν ἀληθῶς καὶ οὐ ψευδωνύμως, τὸν μὴ πρότερον τῆς κατ' αὐτὴν φύσεως τυχόντα· εἴπερ οὖν φυσικῆς ἀξίας θεοῦ Χριστὸς μετείληφε, καὶ τὸ θεὸς φύσεως ὄνομα κυρίως ἐστὶ, δῆλον ὡς τὴν φύσιν αὐτὴν τὴν θείαν κτησάμενος πρῶτον, ἧς ἰδία ἐστὶν ἡ ἀξία καὶ ἡ ὀνομασία, καὶ ταῦτα συνεκληρώσατο· οὐκοῦν ὀρθῶς δοξάζομεν σύνθεσιν τῆς θείας καὶ ἀνθρωπίνης φύσεως· ἢ εἰ μὴ τόδε οὕτως ἔχει, αὐτὸς τραπεὶς εἰς τοιάνδε θείαν φύσιν ὁ ἄνθρωπος, ἠξίωται τῆς φυσικῆς θείας καὶ ὀνομασίας· καὶ ἔσται οὕτως, οὐδὲ σωζόμενος αὐτὸς ἔτι ὁ ἀξιωθεὶς τῆς ἀξίας, οὐδὲ μένων ὁ δεξάμενος τὴν χάριν, οὐδὲ δύο φύσεις ὅλως ὑποκείμεναι, οὐδὲ σωζόμενον αὐτοῖς ὅλως τὸ ἀνθρώπινον ἐν Χριστῷ, καί τοι τοὐναντίον, τὸ θεῖον ἀπ' αὐτοῦ μᾶλλον περιελεῖν μαχομένοις.

Ἡδέως δ' ἂν αὐτῶν ἔτι καὶ τόδε πυθοίμην, εἰ τὸν λόγον Χριστὸν ὀνομάζουσί πως; ἢ καὶ τὸν Χριστὸν, εἰ πρὸς τῷ υἱῷ καὶ θεῷ, φασὶ καὶ λόγον, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, ἰδοὺ πάντα τὰ δοθέντα ὑπ' αὐτῶν εἰς τιμὴν Χριστοῦ ἀνέτρεψαν, καὶ οὐδὲ τὴν κατὰ τὸ ὄνομα ψιλὴν κοινωνίαν παρέχουσιν ἣν προσποιοῦνται· εἰ γὰρ μὴ λόγος, οὐδὲ θεοῦ υἱὸς φυσικὸς, οὐδὲ τῷ ὀνόματι· εἰ δὲ ταῦτα διαβλεψάμενοι ὀνομάζουσι καὶ λόγον τὸν Χριστὸν, καὶ τὸν λόγον Χριστὸν, εἰς προσώπου ἀντένδειξιν ἄρα καὶ ἀντονομασίαν, τῆς κλήσεως τῆς σαρκὸς καὶ τὸν λόγον αὐτὸν μεταλαβεῖν φασίν· ἐν ὅσῳ οὖν τὸ αὐτὸ ἴδιον πρόσωπον ἐπέχειν τὴν σάρκα βούλεται καὶ τοῦτο ἐμφανίσαι, εὑρεθήσεται αὐτὸς τὸ ἐκείνης ἐπέχων· τοῦτο δὲ ἀντικαταλλαγή τις ἔσται προσώπων καὶ ὀνομάτων, διὰ ποίαν ἄρα οἰκονομίαν· εἰ γὰρ δὴ μόνον ὑψῶσαι ἔδει τῷ μείζονι ὀνόματι τὸ ἧττον πρόσωπον, τίς ἡ χρεία τοῦ ταπεινῶσαι τὸ μεῖζον πρόσωπον τῷ ἥττονι ὀνόματι; οὐ γάρ τις ὄνησις τῷ δοξασθέντι, ἐκ τῆς τοῦ δοξάσαντος αὐτὸν ἀδοξίας· ἀλλ' οὐδὲ αὐτὸς ὁ δοξάσας τῷ ἰδίῳ ὀνόματι τὴν σάρκα λόγος, δόξης δεόμενος ἐκ τοῦ ὀνόματος αὐτῆς τοῦτο μετείληφε· τίς οὖν ἡ αἰτία τῆς μετακλήσεως τῶν μερῶν, εἴποιεν, εἰ μὴ ὁ λόγος τῆς τοῦ ὅλου συνθέσεως; ἐν δὲ τῷ λέγειν αὐτοὺς εἰκῆ, ὅτι ναὶ πάντα ὅσα ἐστὶν ὁ θεὸς λόγος, ἐστὶ καὶ ὁ ἑνωθεὶς αὐτῷ ἄνθρωπος, μηδὲν τοῦ λόγου διδοῦντας Χριστῷ διακεχωρισμένῳ αὐτοῦ, πῶς ἑαυτοὺς οὐκ ἐντραπήσονται; εἰ γάρ ἐστι τι ὁ θεὸς λόγος πρὸς τῇ οὐσίᾳ αὐτοῦ ὃ μεταδίδωσι Χριστῷ, συμβεβηκός τι κατ' ἐκεῖ-

νο μόνον ἐστὶν, οὐ λέγω οὖν αὐτὸς· ἀλλὰ εἰ ἐν αὐτῷ ὅλως συμβεβηκός τι νοεῖται, οὐ θεὸς ἔσται λοιπὸν· εἰ δὲ ὑπόστασίς ἐστι θεοῦ πρὸς τῇ οὐσίᾳ μόνον ὁ λόγος, καὶ τοῦτο εἴποιεν· ὅτι καὶ ὁ ἄνθρωπος Χριστός ἐστι νῦν σὺν τῷ λόγῳ, πῶς οὐ καθ' ὑπόστασιν ἥνωται αὐτῷ σαφῶς; ἢ γὰρ ἄλλην ὁμοίαν ὑπόστασιν φασὶ τοῦ ἀνθρώπου κατὰ τὸν λόγον εἶναι τὴν δοθεῖσαν αὐτῷ, καὶ δύο λόγοι εἶεν, καὶ δύο θεοὶ οὗτοι, καὶ υἱοὶ δύο, καὶ τετρὰς ἡ ἁγία τριάς· ἢ εἰ αὕτη μία μεταδοθεῖσα τῇ φύσει τῇ ἀνθρωπείᾳ, ἤγουν συμπαραλαβοῦσα ἐν ἑαυτῇ, κοινὴ ἐστὶ τοῦ λόγου καὶ τῆς σαρκὸς Χριστοῦ ὑπόστασις, ὀρθῶς σέβομεν ἐν Χριστῷ τὴν καθ' ὑπόστασιν τοῦ λόγου καὶ τῆς σαρκὸς ἕνωσιν ἡμεῖς· ἀλλ' οὕτως μὲν τάδε.

Εἰ δὲ καὶ μὴ ἦν τις ἀνατροπὴ τῶνδε τῶν εἰρημένων αὐτοῖς πιθανολογιῶν ὑπὲρ τῆς αὐτῶν ἀσεβείας, πῶς οὐκ ἀρκέσει καὶ μόνη πρὸς ἀποστροφὴν τῆς κατ' αὐτοὺς δεισιδαιμονίας ἡ ἑπομένη τοῖς παρ' αὐτῶν θέμασιν ἀτοπία; ἑνὸς γὰρ υἱοῦ ὄντος ἰδίᾳ, ὥς φασιν, ὅλου τε φύσει υἱοῦ τοῦ θεοῦ, πρὸ Χριστοῦ τε καὶ μετὰ Χριστὸν ἀσάρκως νοουμένου, ἤγουν μιᾶς ὑποστάσεως, καὶ ἑτέρας ὑποστάσεως τῆς τοῦ Χριστοῦ, ὅλης τε φύσει υἱοῦ ἀνθρώπου καὶ ἐνσάρκου γινωσκομένης, χάριτι δὲ καὶ δόξῃ ψιλῇ μόνῃ λεγομένης υἱοῦ θεοῦ, πῶς οὐ δύο υἱοὶ εἶεν αἱ δύο ὑποστάσεις αὗται διαφοροί τε καὶ ἐπὶ διαφόροις υἱότησιν, καὶ ἀπὸ διαφόρων τοκέων, καὶ διωρισμέναι τῇ ὑπάρξει καὶ τόπῳ ἀεί; ὧν εἰ μὲν τὴν φύσει θείαν προσκυνοῦντες, τὴν ἑτέραν ὡς ὁμοούσιον ἑαυτοῖς ἀποπροσποιοῦνται, ἑβραῖοι σαφεῖς εἶεν ἀντιχριστοι· λέγοντες καὶ αὐτοὶ περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς ἑαυτὸν υἱὸν θεοῦ· εἰ δὲ καὶ ταύτην ὡς θεὸν σέβουσιν, ἣν μόνον ἀνθρωπίνην εἶναι φύσιν γινώσκουσιν, ἕλληνες πρόδηλοι σεβόμενοι τὴν κτίσιν παρὰ τὸν κτίσαντα, καὶ ὄντως ἀνθρωπολάτραι, καὶ τετράδα συνιστῶντες θείων ὑποστάσεων, ἐκ τριῶν ὁμοουσίων καὶ μιᾶς ἑτεροουσίου· καὶ οὐκ εἴποιεν ὅτι ἀλλὰ βουλήσει θεοῦ τὸν ἄνθρωπον Χριστὸν προσκυνοῦμεν· ποῦ γὰρ εἶπεν ἡμῖν τὰ θεῖα λόγια, προσκυνεῖν ἀνδρὶ ὡς θεῷ; ἀλλ' οὐδ' ἔστιν οὗ μὴ ἐγκαλεῖ ἡ ἁγία γραφὴ τοῖς τοιοῖσδε· καὶ πραγγυᾷ ὅτι κυρίῳ τῷ θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· ἀλλ' ἴδωμεν ἑξῆς τί καὶ πρὸς τάδε ἀπολογοῦνται οἱ βέλτιστοι.

X. Εἰ τοὺς δύο υἱοὺς φησὶ κατὰ φύσιν ἐλέγομεν εἶναι ἐκ τοῦ θεοῦ, ἢ ἄμφω κατὰ χάριν, ὄντως καλῶς ἂν ἡμῖν δύο λέγειν υἱοὺς θεοῦ συνήγετε· υἱοὺς γὰρ δύο ἢ πλείους τηνικαῦτα λέγει ἡ ἁγία γραφὴ, ἡνίκα ἐκ τοῦ αὐτοῦ εἴησαν πάντες οἱ συναριθμούμενοι καὶ κατὰ τὸν αὐτὸν λόγον καὶ τρόπον· εἴτ' οὖν φύσει ἢ θέσει ἄμφω γεγενημένοι αὐτῷ, ὥστε καὶ ἀδελφοὺς αὐτοὺς ἀλλήλων δύνασθαι λέγειν· οὕτως γοῦν καὶ εἴρηται ἡ μήτηρ τῶν δύο υἱῶν Ζεβεδαίου· καὶ ἐν τῇ γενέσει, τῷ δὲ Ἰωσὴφ ἐγένον-

το υἱοὶ δύο· καὶ εἶπε Ῥουβὶμ τῷ πατρὶ αὐτοῦ· τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρός σε, τουτέστι τὸν Βενιαμίν· καὶ παρὰ τῷ ἀποστόλῳ πάλιν γέγραπται, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν· ἔνθα οὖν δύο ἢ πολλοὶ υἱοί, καὶ ἀδελφοὶ εἴρηνται, καὶ πρωτοτοκία, καὶ ὑστεροτοκία λέγεται ὡς ἐν Ἡσαῦ καὶ Ἰακὼβ· εἰ οὖν φύσει τόν τε λόγον καὶ τὸν Χριστὸν ἔφημεν ἐκ Θεοῦ, ἢ χάριτι ἄμφω, καλῶς ἂν ἐλογίζεσθε ἡμᾶς· ἔδει γὰρ καὶ ἀδελφοὺς λέγεσθαι αὐτοὺς δύο ὄντας, καὶ θάτερον πρωτότοκον καὶ πρεσβύτερον εἶναι, εἴπερ μὴ δίδυμοι· εἰ δὲ ὁ μὲν θέσει, ὁ δὲ φύσει ἐστὶ, καὶ ἑτέρου μὲν φύσει ἑτέρου δὲ θέσει ὁ Χριστὸς υἱὸς, δῆλον ὅτι οὐκ ἔχει χώραν ἡ τῶν δύο υἱῶν συναρίθμησις.

Ταῦτα μὲν οὖν οὕτως οἱ ὄντως παραδόξων δογμάτων πλάσταί τε καὶ ἐφευρεταὶ, οἱ τὰς δύο φύσεις, ἤγουν τὴν θείαν καὶ ἀνθρωπίνην, εἰς ἕνα υἱὸν καὶ μίαν ὑπόστασιν συντιθέναι ὡς ἀδύνατον τρόπον μὴ εὐδοκοῦντες· καὶ δύο πρόσωπα, καὶ δύο υἱοὺς τελείους ἰδίᾳ τε κεχριμένους εἰς ἕνα υἱὸν συνάπτειν ἀρτίως νομοθετοῦντες· εἴποιμεν οὖν πρὸς αὐτούς· μὴ περιφέρεσθε τοῖς νοήμασι κραιπαλούντων δίκην ὦ βέλτιστοι· ἢ γὰρ ὁ ἀνόμοιος τρόπος τῆς γεννήσεώς ἐστιν ὁ αἴτιος τοῦ συναριθμεῖσθαι τὴν δυάδα τῶν υἱῶν, κἂν τοῦ αὐτοῦ εἶεν πατρὸς, ἢ τὸ ἐκ διαφόρων εἶναι γονέων ἑκάτερον υἱὸν, ἢ ἄμφω εἰσὶ συναίτια τῆς ἀναιρέσεως τῆς δυάδος ἐπὶ τῶν υἱῶν, ἤγουν ἡ διαφορὰ τῆς υἱότητος καὶ τῶν τεκόντων· εἰ μὲν οὖν ὁ διάφορος τρόπος τῆς γεννήσεώς ἐστιν, ὁ κατὰ τοὺς δύο υἱοὺς ἕνα ποιῶν ἀριθμεῖσθαι, πρῶτον μὲν πῶς καὶ τὸν ἕνα υἱὸν διχάζειν τὴν διάφορον γέννησιν ἐλέγετε, ἐν τῷ δυσωπεῖσθαι παρ' ἡμῶν θεοτόκον λέγειν τὴν ἁγίαν παρθένον; εἰ ἐγεννήθη γὰρ ἑτέρᾳ γεννήσει, μὴ μεῖναι τὸν αὐτὸν ἄχρονον υἱὸν Θεοῦ λόγον ἐφάσκετε· τὸ γὰρ ὁπωσοῦν γεννώμενον, ἕτερον εἶναι παρὰ τὸ ἤδη προὸν, παντοίως ἀπεφαίνεσθε· ἄλλως δὲ, εἰ ὁ διάφορος τρόπος ἁπλῶς ἀναιρεῖ τὸν ἀριθμὸν τῶν υἱῶν, καί τοι καὶ υἱότητα καινοτέραν προστιθεὶς Ἰωάννης ὁ εὐαγγελιστὴς, υἱὸς ὢν θέσει τῆς δεσποίνης, διὰ τὸ εἰρημένον ὑπὸ τοῦ δεσπότου ἐν τῷ σταυρῷ· ἰδοὺ ἡ μήτηρ σου, καὶ ἰδοὺ ὁ υἱός σου· ὁ δέ κύριος φύσει υἱὸς αὐτῆς ὢν, εἷς υἱὸς ἄμφω ἦσαν, διὰ τὸν διάφορον τρόπον τῆς υἱότητος· εἰ δὲ οὐ τῆς γεννήσεως ἡ διαφορὰ, ἀλλὰ τῶν γεννησάντων, ἕνα εἶναι δείκνυσι καὶ τοὺς πλείους γεννηθέντας· ἆρά γε διότι Σίμων μὲν Ἰωνᾶ, Ἰωάννης δὲ Ζεβεδαίῳ γεννᾶται, εἷς υἱὸς ἦσαν ἄμφω; εἰ δὲ ὅτι διάφορος τρόπος τῆς γεννήσεως, καὶ τὸ διάφορα εἶναι πρόσωπα τὰ γεννήσαντα, ἀλλὰ συνελθόντα ἕνα υἱὸν τοὺς γεννηθέντας διαφόροις καὶ διαφόρως διαφόρους παριστῶσιν, ἆρά γε Ἰωάννης θέσει υἱὸς ὢν τῆς δεσποίνης, Σίμων δὲ υἱὸς ὢν Ἰωνᾶ φύσει, εἷς υἱὸς ἦσαν διὰ τὸν διάφορον τρόπον, καὶ τοὺς διαφόρους τῶν γονέων; εἰ δὲ ταῦτα πάντα

προφανὲς ψεῦδος, δῆλον ὡς ἐφ' ὧν μία ὑπόστασις ὑπόκειται μόνον, ἀληθὲς τόδε ἐστί· Ζεβεδαίου γὰρ φύσει, καὶ τῆς δεσποίνης θέσει, ὁ αὐτὸς ἦν εἷς υἱὸς ὄντως μόνος Ἰωάννης, ὅτι διαφόροις υἱότησίν ἐστιν ὑποβάλλεσθαι μίαν ὑπόστασιν.

Δύο δὲ ὑποστάσεις Χριστοῦ καὶ τοῦ λόγου, καὶ δύο πρόσωπα τέλεια διαῤῥήδην βοᾶτε· πῶς οὖν υἱὸς διὰ τὴν διάφορον γέννησιν ἔσται Χριστὸς καὶ ὁ λόγος ὦ τερατολόγοι; οὕτως δὲ ἂν καὶ εἴη ἡ μὲν διαφορὰ ἑνώσεως αἰτία καθ' ὑμᾶς· ἡ δὲ ὁμοιότης, διακρίσεως ἐν τοῖς πράγμασιν· ἅπερ ἐξ αἰῶνος οὐδενὶ πρὸ ὑμῶν ἀπεκαλύφθη· εἰ δὴ λέγοιεν διὰ τὴν τῶν γονέων διαφορὰν, ἕνα εἶναι, γελοῖος λῆρος· εἰ τὸ μὲν ἐξ ὁμοίων, δύο εἶναι· τὸ δὲ ἐκ διαφόρων γονέων ἕνα υἱὸν εἶναι, πάντας τοὺς τεχθέντας παρίστησιν· ἆρα οὖν Ὀφνὶ μὲν καὶ Φινεὲς δύο υἱοὶ, ἐπεὶ ἐκ τοῦ αὐτοῦ Ἠλεὶ; Ἰωνάθαν δὲ καὶ Δαβὶδ, ἐπεὶ ὁ μὲν Σαοὺλ ὁ δὲ ἐξ Ἰεσσαὶ, οὐ δύο υἱοὶ, εἷς δὲ μόνον; ἀλλ' εἰ τόδε οὕτως, οὐδὲ οἱ ἐκ Κάϊν καὶ ἀπὸ Σὴθ τῶν διαφόρων δύο υἱοὶ, ἀλλ' εἷς υἱὸς πάντες οἱ ἄνθρωποι· εἰ δὲ ἁπλῶς ἡ διαφορὰ τοῦ εἴδους τῶν γονέων αἰτία τοῦδε, καὶ ἵπποι καὶ ἰχθύες πάντες, εἷς υἱός· καὶ τίς ἀνέξεται τῶν ἀτοπημάτων; ἁπλῶς γὰρ τοῦτο συνάγεται, ὅτι εἰ μὲν διάφοροι εἶεν οἱ γονεῖς, εἷς υἱὸς οἱ πλείους· εἰ δὲ ἀδιάφοροί εἰσι, πλείονες· ἔσται οὖν ἡ διαφορὰ, ἑνώσεως καὶ μονάδος αἰτία· ἡ δὲ ὁμοίοτης, διακρίσεως καὶ πλήθους, ἅ ἐστιν ἀντικατάλλα.

XI. Ἀλλ' ἰδοὺ φησὶν ἐπὶ ταῖς δύο αἰτίαις οἱ φύσει υἱοὶ Βάλλας τῆς παιδίσκης, Ῥαχὴλ καὶ υἱοὶ Ῥαχὴλ εἰσὶ θέσει, καὶ οὐκ ἐπλεόνασαν ἀριθμῷ, καθὼς εἴρηται ὑπ' αὐτῆς τῷ Ἰακὼβ· εἴσελθε πρὸς τὴν παιδίσκην μου, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς· καὶ πάλιν, ὅτι ἔκρινέ μοι ὁ θεὸς, καὶ ἐπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν· τέτοκε δὲ καὶ αὕτη φύσει τὸν Ἰωσὴφ καὶ Βενιαμίν· καὶ οὐ διὰ τόδε τέσσαρες υἱοὶ τῆς Ῥαχὴλ, ἐκ τῶν ιβ πατριαρχῶν εἰσίν· οὐ γὰρ ἀριθμοῦνται καὶ οἱ θέσει υἱοί· Καί τοι εἴποιμεν εἰ οὐδὲ ὅλως ἀριθμοῦνται, πῶς οὖν ιβ οἱ πατριάρχαι εἰσὶ, Δὰν καὶ Νεφθαλεὶμ μὴ συλλογιζομένων; ἀλλ' ὅτι οὐκ ἀριθμοῦνται σὺν τοῖς φύσει οἱ θέσει, δῆλόν ἐστιν· εἰ γὰρ καὶ μὴ ὡς τῆς Ῥαχὴλ, ἀλλά γε ὡς τῆς Βάλλας ἰδοὺ ἀριθμοῦνται ἑτέρας οὔσης· καὶ δύο μὲν Ῥαχὴλ, δύο δὲ ἕτεροι τῆς Βάλλας εἶναι λέγονται ἐν τοῖς ιβ· ἐκ διαφόρων τὲ ὄντες μητέρων υἱοὶ καὶ ἐξ ἀδιαφόρου πατρός· ὥστε καὶ οἱ ἐκ διαφόρων, καὶ οἱ ἐξ ἀδιαφόρων ὅλως, εἰ πλειόνές εἰσι ταῖς ὑποστάσεσιν, υἱοὶ ἀριθμοῦνται· μόνον δὲ τότε οὐκ ἀριθμοῦνται πλείονες υἱοὶ, ὅτε κατὰ τῶν αὐτῶν ὑποστάσεων, πλείους υἱοτήτων τρόποι εἰσί· διὸ υἱοὶ Βάλλας ἐπεὶ καὶ ταύτης φύσει καὶ τῆς Ῥαχὴλ θέσει εἰσὶν υἱοὶ οἱ αὐτοὶ; οὐχ' ἕκαστος αὐ-

τῶν διὰ τὰς δύο υἱότητας, δύο υἱοὶ καταλογίζονται· ἢ γὰρ ἂν οὕτως δε-
κατέσσαρες ἦσαν οἱ πατριάρχαι· ἀλλ' εἷς ἑκάτερος, διαφόροις υἱότησι
τὴν διάφορον σχέσιν ποιούμενος πρὸς τοὺς τοκέας, οὐ διαφόροις ἀριθμοῖς
καὶ ὑποστάσεσι μετρούμενοι· ὅπου γε τὸ λεγόμενον ὑπ' αὐτῶν, εἰ διὰ τὸ
θέσει εἶναι τὸν ἄνθρωπον υἱὸν θεοῦ, μὴ συναριθμεῖσθαι εἰς δυάδα υἱὸν
τὸν Χριστὸν ποιεῖ σὺν τῷ φύσει υἱῷ τοῦ θεοῦ τῷ λόγῳ, ἐπεὶ ὁ ἀριθμὸς
ἐπὶ τῶν φύσει ἐστὶ, τοῦτο δείκνυται, ὅτι ἢ ὡς ὑπερέχων, ἢ ὡς οὐδὲν ὢν
ὅλως, οὐχ' ἥξει εἰς ἀριθμὸν υἱῶν ὁ θέσει· εἰ μὲν οὖν ὡς ὑπερέχων μεί-
ζων Ἰωάννης τοῦ δεσπότου ἐν υἱοῖς τῆς δεσποίνης, καὶ τοῦ λόγου ἁπλῶς
ὁ ἄνθρωπος παρὰ θεῷ τῷ πατρί· εἰ δὲ χείρων, πῶς εἷς υἱὸς ὁ χείρων
σὺν τῷ κρείττονι; οὐ γὰρ ἓν τὰ διάφορα ἐροῦσιν.

Εἰ δὲ εἴποιεν ὅτι ὡς οὐδὲν ὢν, ἐλήλεγκται αὐτῶν ἡ δόκησις τῆς περὶ
Χριστοῦ υἱότητος· ἵνα δὲ κἂν τούτῳ δειχθεῖεν ψευδόμενοι, ἰδοὺ ἐν τῇ γε-
νεαλογίᾳ τοῦ κυρίου, Ἰωσὴφ τὸν μνηστῆρα τῆς δεσποίνης, υἱὸν λέγει τοῦ
Ἠλεὶ, καί τοι ἐξ Ἰακὼβ φύσει ὄντα τοῦ ἀδελφοῦ αὐτοῦ πρωτότοκον, ἀλ-
λὰ κατὰ νόμον, ἐκείνου σπέρμα τοῦ προτελευτήσαντος ἄπαιδος ἀδελφοῦ
ἀναγορευόμενον· ἔτι δὲ τὸ τρανότερον αὐτῶν γυμνοῦν τὴν διπλῆν ἀσέβειαν,
εἴποιμεν· ὡς εἰ καὶ μὴ συναριθμεῖται ὁ θέσει υἱὸς τοῦ θεοῦ Χριστὸς καθ'
ὑμᾶς τῷ φύσει υἱῷ καὶ λόγῳ τοῦ θεοῦ, κἀντεῦθεν δύο υἱοὺς πρεσβεύειν
οὐχ' ἁλίσκεσθε; ἀλλ' ἐπεὶ τινός ἐστι καὶ αὐτὸς φύσει υἱὸς πάντως καὶ
καθ' ὑμᾶς ἤγουν τοῦ ἀνθρώπου, οὐ γὰρ ἀπὸ ταυτομάτου γεγένηται, δῆ-
λον ὡς υἱός ἐστιν, εἰ καὶ μὴ θεοῦ, ἀλλ' ὅμως πάντως τινὸς προσώπου
φύσει καὶ καθ' ὑμᾶς· τοῦτον οὖν τὸν οὐ θεὸν, οὐδὲ θεοῦ φύσει υἱὸν, ἀν-
θρώπου δὲ φύσει υἱὸν καθ' ὑμᾶς, καὶ τὸν φύσει υἱὸν τοῦ θεοῦ λόγον,
δύο υἱοὺς φατέ. ἢ οὐδὲ Σὴθ τὸν υἱὸν Ἀδὰμ, καὶ τὸν λόγον τοῦ θεοῦ,
δύο υἱοὺς ἐρεῖτε, ἑτέρου καὶ ἑτέρου ὄντας υἱούς· εἰ δὲ τοῦτο, πάντως δῆ-
λον ὡς δύο μεν υἱοὺς ἴστε, τόν τε λόγον καὶ τὸν Χριστόν· ὥσπερ οὖν καὶ
δύο πρόσωπα λέγετε· ἀλλ' οὐδὲ θεὸν, οὐδὲ θεοῦ υἱὸν τὸν Χριστὸν, μόνον
δὲ ψιλὸν υἱὸν ὄντα καθ' ἡμᾶς τοὺς ἀνθρώπους ἀνθρώπου· ταῦτα δὲ ἦν
αὐτὰ ἃ πάλαι ἐγκαλούμενοι παρ' ἡμῶν, ἄλλην ἀλλαχοῦ διεκδύνοντες,
λαθεῖν ἐμηχανᾶσθε· καὶ ἰδοὺ θατέρᾳ θατέραν κακοδοξίαν ἑαυτῶν διηλέγ-
ξατε· τοῦτο πολλάκις κἀν τοῖς δαιμονιῶσι τῆς θείας δυνάμεως δεικνύσης,
καὶ καταναγκαζούσης διὰ τῶν ἁγίων λέγειν αὐτοὺς τοὺς δαίμονας ἄκον-
τας τὰς ἑαυτῶν ἐφόδους καὶ ἐπιβουλὰς καὶ πονηρίας τὰς κατὰ τῶν ἐνερ-
γουμένων· ἵνα δι' ἑαυτῶν τὰς ἰδίας θριαμβεύωσι μιαρότητας, καὶ μὴ ὑφ'
ἑτέρως δόξοιεν δι' ἀπέχθειαν συκοφαντεῖσθαι. Ἀλλ' οὔτε συλλογιστικῶς,
οὔτε αἰτιολογικῶς δεικνύειν ὅπως οὐ δύο υἱούς φασιν εἶναι τὰ διάφορα

προφανὲς ψεῦδος, δῆλον ὡς ἐφ' ὧν μία ὑπόστασις ὑπόκειται μόνον, ἀληθὲς τόδε ἐστί· Ζεβεδαίου γὰρ φύσει, καὶ τῆς δεσποίνης θέσει, ὁ αὐτὸς ἦν εἷς υἱὸς ὄντως μόνος Ἰωάννης, ὅτι διαφόροις υἱότησίν ἐστιν ὑποβάλλεσθαι μίαν ὑπόστασιν.

Δύο δὲ ὑποστάσεις Χριστοῦ καὶ τοῦ λόγου, καὶ δύο πρόσωπα τέλεια διαῤῥήδην βοᾶτε· πῶς οὖν υἱὸς διὰ τὴν διάφορον γέννησιν ἔσται Χριστὸς καὶ ὁ λόγος ὦ τερατολόγοι; οὕτως δὲ ἂν καὶ εἴη ἡ μὲν διαφορὰ ἑνώσεως αἰτία καθ' ὑμᾶς· ἡ δὲ ὁμοιότης, διακρίσεως ἐν τοῖς πράγμασιν· ἅπερ ἐξ αἰῶνος οὐδενὶ πρὸ ὑμῶν ἀπεκαλύφθη· εἰ δὴ λέγοιεν διὰ τὴν τῶν γονέων διαφορὰν, ἕνα εἶναι, γελοῖος λῆρος· εἰ τὸ μὲν ἐξ ὁμοίων, δύο εἶναι· τὸ δὲ ἐκ διαφόρων γονέων ἕνα υἱὸν εἶναι, πάντας τοὺς τεχθέντας παρίστησιν· ἆρα οὖν Ὀφνὶ μὲν καὶ Φινεὲς δύο υἱοὶ, ἐπεὶ ἐκ τοῦ αὐτοῦ Ἠλεὶ; Ἰωνάθαν δὲ καὶ Δαβὶδ, ἐπεὶ ὁ μὲν Σαοὺλ ὁ δὲ ἐξ Ἰεσσαὶ, οὐ δύο υἱοὶ, εἷς δὲ μόνον; ἀλλ' εἰ τόδε οὕτως, οὐδὲ οἱ ἐκ Καῒν καὶ ἀπὸ Σὴθ τῶν διαφόρων δύο υἱοὶ, ἀλλ' εἷς υἱὸς πάντες οἱ ἄνθρωποι· εἰ δὲ ἁπλῶς ἡ διαφορὰ τοῦ εἴδους τῶν γονέων αἰτία τοῦδε, καὶ ἵπποι καὶ ἰχθύες πάντες, εἷς υἱός· καὶ τίς ἀνέξεται τῶν ἀτοπημάτων; ἁπλῶς γὰρ τοῦτο συνάγεται, ὅτι εἰ μὲν διάφοροι εἶεν οἱ γονεῖς, εἷς υἱὸς οἱ πλείους· εἰ δὲ ἀδιάφοροί εἰσι, πλείονες ἔσται οὖν ἡ διαφορὰ, ἑνώσεως καὶ μονάδος αἰτία· ἡ δὲ ὁμοιότης, διακρίσεως καὶ πλήθους, ἅ ἐστιν ἀντικατάλλα.

XI. Ἀλλ' ἰδοὺ φησὶν ἐπὶ ταῖς δύο αἰτίαις οἱ φύσει υἱοὶ Βάλλας τῆς παιδίσκης, Ῥαχὴλ καὶ υἱοὶ Ῥαχὴλ εἰσὶ θέσει, καὶ οὐκ ἐπλεόνασαν ἀριθμῷ, καθὼς εἴρηται ὑπ' αὐτῆς τῷ Ἰακὼβ· εἴσελθε πρὸς τὴν παιδίσκην μου, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς· καὶ πάλιν, ὅτι ἔκρινέ μοι ὁ θεὸς, καὶ ἐπήκουσε τῆς φωνῆς μου, καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν· τέτοκε δὲ καὶ αὕτη φύσει τὸν Ἰωσὴφ καὶ Βενιαμίν· καὶ οὐ διὰ τόδε τέσσαρες υἱοὶ τῆς Ῥαχὴλ, ἐκ τῶν ιβ πατριαρχῶν εἰσίν· οὐ γὰρ ἀριθμοῦνται καὶ οἱ θέσει υἱοί· Καί τοι εἴποιμεν εἰ οὐδὲ ὅλως ἀριθμοῦνται, πῶς οὖν ιβ οἱ πατριάρχαι εἰσὶ, Δὰν καὶ Νεφθαλεὶμ μὴ συλλογιζομένων; ἀλλ' ὅτι οὐκ ἀριθμοῦνται σὺν τοῖς φύσει οἱ θέσει, δῆλόν ἐστιν· εἰ γὰρ καὶ μὴ ὡς τῆς Ῥαχὴλ, ἀλλά γε ὡς τῆς Βάλλας ἰδοὺ ἀριθμοῦνται ἑτέρας οὔσης· καὶ δύο μὲν Ῥαχὴλ, δύο δὲ ἕτεροι τῆς Βάλλας εἶναι λέγονται ἐν τοῖς ιβ· ἐκ διαφόρων τε ὄντες μητέρων υἱοὶ καὶ ἐξ ἀδιαφόρου πατρὸς· ὥστε καὶ οἱ ἐκ διαφόρων, καὶ οἱ ἐξ ἀδιαφόρων ὅλως, εἰ πλείονές εἰσι ταῖς ὑποστάσεσιν, υἱοὶ ἀριθμοῦνται· μόνον δὲ τότε οὐκ ἀριθμοῦνται πλείονες υἱοὶ, ὅτε κατὰ τῶν αὐτῶν ὑποστάσεων, πλείους υἱοτήτων τρόποι εἰσὶ· διὸ υἱοὶ Βάλλας ἐπεὶ καὶ ταύτης φύσει καὶ τῆς Ῥαχὴλ θέσει εἰσὶν υἱοὶ οἱ αὐτοὶ; οὐχ' ἕκαστος αὐ-

τῶν διὰ τὰς δύο υἱότητας, δύο υἱοὶ καταλογίζονται· ἢ γὰρ ἂν οὕτως δεκατέσσαρες ἦσαν οἱ πατριάρχαι· ἀλλ' εἷς ἑκάτερος, διαφόροις υἱότησι τὴν διάφορον σχέσιν ποιούμενος πρὸς τοὺς τοκέας, οὐ διαφόροις ἀριθμοῖς καὶ ὑποστάσεσι μετρούμενοι· ὅπου γε τὸ λεγόμενον ὑπ' αὐτῶν, εἰ διὰ τὸ θέσει εἶναι τὸν ἄνθρωπον υἱὸν θεοῦ, μὴ συναριθμεῖσθαι εἰς δυάδα υἱὸν τὸν Χριστὸν ποιεῖ σὺν τῷ φύσει υἱῷ τοῦ θεοῦ τῷ λόγῳ, ἐπεὶ ὁ ἀριθμὸς ἐπὶ τῶν φύσει ἐστὶ, τοῦτο δείκνυται, ὅτι ἢ ὡς ὑπερέχων, ἢ ὡς οὐδὲν ὢν ὅλως, οὐχ' ἥξει εἰς ἀριθμὸν υἱῶν ὁ θέσει· εἰ μὲν οὖν ὡς ὑπερέχων μείζων Ἰωάννης τοῦ δεσπότου ἐν υἱοῖς τῆς δεσποίνης, καὶ τοῦ λόγου ἁπλῶς ὁ ἄνθρωπος παρὰ θεῷ τῷ πατρί· εἰ δὲ χείρων, πῶς εἷς υἱὸς ὁ χείρων σὺν τῷ κρείττονι; οὐ γὰρ ἓν τὰ διάφορα ἐροῦσιν.

Εἰ δὲ εἴποιεν ὅτι ὡς οὐδὲν ὤν, ἐλήλεγκται αὐτῶν ἡ δόκησις τῆς περὶ Χριστοῦ υἱότητος· ἵνα δὲ κἂν τούτῳ δειχθεῖεν ψευδόμενοι, ἰδοὺ ἐν τῇ γενεαλογίᾳ τοῦ κυρίου, Ἰωσὴφ τὸν μνηστῆρα τῆς δεσποίνης, υἱὸν λέγει τοῦ Ἠλεὶ, καί τοι ἐξ Ἰακὼβ φύσει ὄντα τοῦ ἀδελφοῦ αὐτοῦ πρωτότοκον, ἀλλὰ κατὰ νόμον, ἐκείνου σπέρμα τοῦ προτελευτήσαντος ἄπαιδος ἀδελφοῦ ἀναγορευόμενον· ἔτι δὲ τὸ τρανότερον αὐτῶν γυμνοῦν τὴν διπλῆν ἀσέβειαν, εἴποιμεν· ὡς εἰ καὶ μὴ συναριθμεῖται ὁ θέσει υἱὸς τοῦ θεοῦ Χριστὸς καθ' ὑμᾶς τῷ φύσει υἱῷ καὶ λόγῳ τοῦ θεοῦ, κἀντεῦθεν δύο υἱοὺς πρεσβεύειν οὐχ' ἁλίσκεσθε; ἀλλ' ἐπεὶ τινός ἐστι καὶ αὐτὸς φύσει υἱὸς πάντως καὶ καθ' ὑμᾶς ἤγουν τοῦ ἀνθρώπου, οὐ γὰρ ἀπὸ ταυτομάτου γεγένηται, δῆλον ὡς υἱός ἐστιν, εἰ καὶ μὴ θεοῦ, ἀλλ' ὅμως πάντως τινὸς προσώπου φύσει καὶ καθ' ὑμᾶς· τοῦτον οὖν τὸν οὐ θεὸν, οὐδὲ θεοῦ φύσει υἱὸν, ἀνθρώπου δὲ φύσει υἱὸν καθ' ὑμᾶς, καὶ τὸν φύσει υἱὸν τοῦ θεοῦ λόγον, δύο υἱοὺς φατέ· ἢ οὐδὲ Σὴθ τὸν υἱὸν Ἀδὰμ, καὶ τὸν λόγον τοῦ θεοῦ, δύο υἱοὺς ἐρεῖτε, ἑτέρου καὶ ἑτέρου ὄντας υἱούς· εἰ δὲ τοῦτο, πάντως δῆλον ὡς δύο μεν υἱοὺς ἴστε, τόν τε λόγον καὶ τὸν Χριστόν· ὥσπερ οὖν καὶ δύο πρόσωπα λέγετε· ἀλλ' οὐδὲ θεὸν, οὐδὲ θεοῦ υἱὸν τὸν Χριστὸν, μόνον δὲ ψιλὸν υἱὸν ὄντα καθ' ἡμᾶς τοὺς ἀνθρώπους ἀνθρώπου· ταῦτα δὲ ἦν αὐτὰ ἃ πάλαι ἐγκαλούμενοι παρ' ἡμῶν, ἄλλην ἀλλαχοῦ διεκδύνοντες, λαθεῖν ἐμηχανᾶσθε· καὶ ἰδοὺ θατέρᾳ θατέραν κακοδοξίαν ἑαυτῶν διηλέγξατε· τοῦτο πολλάκις κἂν τοῖς δαιμονιῶσι τῆς θείας δυνάμεως δεικνύσης, καὶ καταναγκαζούσης διὰ τῶν ἁγίων λέγειν αὐτοὺς τοὺς δαίμονας ἄκοντας τὰς ἑαυτῶν ἐφόδους καὶ ἐπιβουλὰς καὶ πονηρίας τὰς κατὰ τῶν ἐνεργουμένων· ἵνα δι' ἑαυτῶν τὰς ἰδίας θριαμβεύωσι μιαρότητας, καὶ μὴ ὑφ' ἑτέρως δόξοιεν δι' ἀπέχθειαν συκοφαντεῖσθαι. Ἀλλ' οὔτε συλλογιστικῶς, οὔτε αἰτιολογικῶς δεικνύειν ὅπως οὐ δύο υἱοὺς φασὶν εἶναι τὰ διάφορα

πρόσωπα δυνηθέντες, νῦν παραδειγματικῶς ἡμῖν τοῦτο βούλονται παριστάνειν, καὶ φασίν.

XII. Ὅτι πολλάκις τὰ διάφορα τῇ φύσει, ἑνὶ ὀνόματι προσαγορεύεται, καὶ μιᾶς τιμῆς ἠξίωται· δύο δὲ οὐδὲ ὅλως νοεῖται· σῶμα γὰρ πιστεύομεν εἶναι τήν τε ἐκκλησίαν, καὶ τὸν ἅγιον ἄρτον, καὶ τὸ σταυρωθὲν· καί τοι ἄλλο καὶ ἄλλο ἕκαστον τούτων· καὶ ὅμως οὐ διὰ τόδε, τρία σώματα λέγειν Χριστοῦ εἰσπραττόμεθα. Ἀλλὰ δῆλόν ἐστι, ὅτι ὡς Χριστοῦ σώματα, οὐκ εἰσὶ δύο ἢ τρία, διὰ γὰρ τὸ τοῦ αὐτοῦ πνεύματος μετασχεῖν τούτων ἕκαστον, τοῦ χρίσαντός τε τὸ σταυρωθὲν ἐκεῖνο, καὶ ἁγιάζοντος τοῦτον τὸν ἄρτον, καὶ τὴν ἐκκλησίαν πάλιν διὰ τῆς μεταλήψεως αὐτοῦ πᾶσαν ἁγιοποιοῦντος, σῶμα Χριστοῦ νοοῦνται πάντα· ὡς Χριστοῦ οὖν, ἕν· εἰ μέν τοι ἁπλῶς τάδε ὡς σώματα κρίνομεν, τρία εἰσὶ· τό τε Χριστοῦ ἰδικὸν, καὶ ὁ ἄρτος, καὶ ἡ ἐκκλησία· εἰ οὖν οὕτως καὶ ὁ λόγος καὶ ὁ Χριστὸς μεταλήψει κοινοῦ τινὸς ἑτέρου, ἄμφω δὲ τοῦ αὐτοῦ υἱοποιοῦνται θεῷ, τί τοῦτό ἐστι λεγέτωσαν· καὶ τί ὄντος χωρὶς τοῦδε κατ' ἰδίαν τοῦ λόγου, υἱὸς γέγονεν ὁ λόγος δι' ἐκείνου· ὅπου γε εἰ τὸ αὐτὸ ἐν δοθὲν διαφόροις φύσεσιν, υἱὸν θεοῦ καὶ τὸν λόγον ἐποίησε καὶ τὸν Χριστὸν, ἄρα φυσει υἱὸν θεοῦ ποιήσει, ἢ θέσει, καὶ τὸν λόγον εἶναι κατὰ Χριστὸν δείξει ἐξ ἀνάγκης.

XIII. Ἀλλ' οὔτε δύο σφραγῖδας φησὶ λέγομεν, τὸ ἀρχέτυπον καὶ τὸν τύπον, ἀλλὰ μίαν, καί τοι ἕτερον καὶ ἕτερον εἰδότες τῷ ἀριθμῷ. Ἀλλ' ὦ οὗτοι τῷ λόγῳ τῷδε, οὔτε δύο ἀνθρώπους ἄρα πᾶσαν τὴν ἀνθρωπότητα, οὐδὲ δύο ζῶα τὸ καθόλου ζῶον, ἤγουν τὸ ἐξ ὁμοιότητος κοινὸν, ἑνικῶς ὀνομάζομεν· οὐδὲ κατ' ἀριθμὸν πλείους εἰσόμεθα εἶναι καὶ τοὺς ἀνθρώπους καὶ τὰ ζῶα καὶ τὰ φυτὰ καὶ τὰς σφραγίδας· ἐπεὶ ὅμοιον πάντων αὐτῶν φαμὲν τὸ εἶδος εἶναι τὸ κατὰ τὸ πλῆθος καὶ ἕν· καὶ μὴν δύο τὲ καὶ τρία καὶ μυρία λέγομεν ζῶα καὶ ἀνθρώπους· ὅμως τὸ παράδειγμα ὑμῖν τὰ ἐναντία βούλεται νῦν ὧν πάλαι δοξάζετε· δύο μὲν γὰρ εἶναι τοὺς υἱοὺς ἀριθμῷ, ἀλλὰ ὁμοίους κατὰ τὴν υἱότητα καὶ οὐ διαφόρους δηλοῖ· καί τοι ἐλέγετε ἕως ἄρτι, ὡς ἄμφω ἢ φύσει εἶναι δεῖ ἢ θέσει υἱούς· καὶ ὁμοίους τῷ εἴδει τῆς υἱότητος τοὺς ἀριθμουμένους εἰς δυάδα υἱῶν· εἰ οὖν ἀδιάφορον αὐτῶν τὸ τῆς υἱότητος εἶδος, ὥσπερ τῆς σφραγῖδος πρὸς τὸ ἀρχέτυπον, δύνανται δύο νοεῖσθαι διὰ τὴν ὁμοιότητα καθ' ὑμᾶς· ὥστε οὖν πάλιν καὶ εἰ οὕτως ἔχουσι τὴν ὁμοιότητα πρὸς ἄλληλα ὡς τὰ ὁμοειδῆ, καὶ ἡ σὰρξ φύσει υἱὸς τοῦ θεοῦ, ἢ καὶ ὁ λόγος χάριτι υἱὸς θεοῦ· ἔσται δὲ καὶ ὁ πατὴρ, σάρξ· ὅμοια γὰρ τίκτει ἑαυτῷ κατ' οὐσίαν ὁ φύσει πατὴρ· εἰ οὖν σάρκα τέτοκε φύσει, καὶ σάρξ ἐστι φύσει· καὶ ὁ λόγος δὲ θεὸς ὢν φύσει, οὐ φύσει υἱός ἐστι τοῦ πατρὸς, ἀλλὰ χάριτι σὺν τῇ σαρκὶ· οὐ θεὸς ἄρα ὁ πατήρ ἐστιν, εἴτε οὖν ὅμοιοι εἴτε ἀνόμοιοί εἰσιν οἱ υἱοὶ

καὶ οὕτως, εἴπερ αἱ σφραγῖδες καὶ τὰ ἀρχέτυπα τὸ κατ' ἀριθμὸν διάφορον ἔχουσιν, εἰ καὶ μὴ τὸ κατὰ τὸ εἶδος διαλλάσσον· καὶ οἵδε τῷ ἀριθμῷ διαφέροντες, δύναιντο ἂν εἶναι, καὶ εἰς δυάδα υἱῶν συναριθμεῖσθαι, ὥσπερ Παῦλος καὶ Πέτρος· ἢ ὁ δακτύλιος καὶ ὁ κηρὸς, ἢ πηλὸς καὶ μόλιβδος ἐντετυπωμένοι· ἀλλὰ πάλιν τὴν διάφορον ὕλην ἀνελεῖν φασὶ τὸν ἀριθμὸν τῶν σφραγίδων ἠλιθίως, καὶ μίαν ποιεῖν τὰς πολλὰς νοεῖσθαι· οὐκοῦν τὸ διάφορον αὐτῆς εἴποιμεν εἰσάξει αὐτόν· εἰ γὰρ τῷ ἐναντίῳ τὸ ἐναντίον, ἐν κηρῷ οὖν τυχὸν οὖσαι πᾶσαι, πλείους εἶεν σφραγῖδες· ἐν διαφόροις δὲ ὕλαις τυπωθεῖσαι, μία εἰσὶ καθ' ὑμᾶς· ἀλλὰ ταῦτα δάκρυον ὀφείλεται, καὶ γέλωτα ὅμως ἡμᾶς ἐκβιάζει.

Τί οὖν, φησί; δύο λόγοι εἰσὶν, ὅ τε λεγόμενος, καὶ ὁ ἀκουόμενος; XIV.
Ἀλλὰ κἀπὶ τούτων, πρῶτον μὲν ἄλλος ὁ ἐνδιάθετος, καὶ ἄλλος ὁ κατὰ διάνοιαν· καὶ ἕτερος ὁ προφορικὸς, καὶ ὁ ὑπὸ τοῦτον· ὁ γραπτὸς, καὶ μετὰ τούτους ὁ ἀκουόμενός ἐστι· καὶ τούτων δὲ τὸ κοινόν· ὁμοίως ταῖς σφραγῖσιν ἕν τί ἐστι τὸ κατὰ τὸ σημαινόμενον τὸ αὐτό· ὡς εἰ τῶν πολυσήμων τὶς εἴη λόγος εἴτ' οὖν ὁμωνύμων· κἂν ἑνὶ μόνῳ λέγηται ἢ ἀκούηται, οὐχ' εἷς λόγος ἔτι λέγεται· κἂν μιᾷ προφορᾷ ἐξαγγέλληται, ἀλλὰ πλείους λόγοι εἶναι παρὰ πᾶσι τοῖς διαλεκτικοῖς ὡμολόγηνται· δῆλον οὖν ὡς τῷ σημαινομένῳ τὸ κυρίως ἓν τοῦ λόγου ἐστί· εἰ δὲ ὅτι συμβαίνει τὸν αὐτὸν ἕνα τῷ ἀριθμῷ λόγον, λεκτόν τε εἶναι τῷ εἰπόντι, καὶ ἀκουστὸν τῷ παρεστῶτι, εἴποι τὶς οὕτως ἕνα αὐτὸν εἶναι, οὐκ ἔχοι ἂν ὁμοιότητα ὑμῖν τὸ παράδειγμα· οὐδὲ γὰρ ὑπόκεινται δύο τινὰ ἀριθμῷ ἐνθάδε, εἴτουν δύο λόγοι ἑνὶ ὀνόματι ὀνομαζόμενα, ὥσπερ τό τε πρόσωπον Χριστοῦ καὶ τοῦ λόγου δύο οὔσας ἀριθμητὰς ὑποστάσεις, ἐδόκει ὑμῖν ἕνα υἱὸν λέγειν· ἀλλὰ τοὐναντίον βούλεσθε δεῖξαι, ἓν ἀριθμῷ ὑποκείμενον ἐνταῦθα, δύο ὀνόμασιν ἀπὸ διαφόρου σχέσεως προσαγορευόμενόν ἐστι· ὁ γὰρ αὐτὸς εἷς ἀριθμῷ λόγος μόνος· ἀπὸ σχέσεως μὲν τοῦ εἰπόντος, λεκτός· ἀπὸ δὲ σχέσεως τοῦ ἀκροατοῦ, ἀκουστὸς ὠνομάσθη· πάλιν οὖν καὶ οὕτως εἰς πρόσωπον ὑμῶν ἀντικαταῤῥεῖ τὰ ὑμέτερα ἀναπτύσματα.

# LIBER IV.

Τετάρτης αὐτῶν ἀσεβείας ἔλεγχος παραιτουμένων λέγειν θεοτόκον τὴν ἁγίαν παρθένον.

1. Θέα γοῦν αὐτὸς καὶ ἐν τοῖς ἑξῆς τὸ αὐτὸ ἐνθύμημα κεκρυμμένον τῶν μίαν λεγόντων τὴν ὑπόστασιν Χριστοῦ, καὶ σύνθεσιν τοῦ Θεοῦ λόγου πρὸς τὴν σάρκα· τί γάρ ἐστιν εὑρεῖν ἐν τῇ Θεοτόκος φωνῇ, προστιθεμένου μάλιστα αὐτοῖς τοῦ κυρίως καὶ κατὰ ἀλήθειαν; ἢ αὐτὸ τοῦτο ὅπερ ἐν τῇ συνθέσει κεχωρισμένον εὑρήκαμεν, ἀπροσδιορίστως τοῦ Θεοτόκος, ὡς τοῦ Θεὸς ὀνόματος πολλαχῶς λεγομένου, σχέσει πῶς τὴν ἐπὶ τὸ εὐσεβὲς διασάφησιν ἔχει· νυνὶ δὲ τοῦ κυρίως καὶ κατὰ ἀλήθειαν προσκειμένου τῇ φωνῇ, πάσης ἀσεβείας καὶ ἀπερικαλύπτου βλασφημίας αὐτὴν ἀνεπλήρωσαν· ὅμως ἐρωτητέον αὐτούς, τί βούλεται αὐτοῖς ἡ τοιάδε ὀνομασία, καὶ κατὰ ποίαν αὐτοῖς ἔννοιαν ἐξείληπται; ἆρα ὡς φαμὲν ἀῤῥενοτόκον, ἢ θηλυτόκον γυναῖκα, τὴν εἰωθεῖαν ἄῤῥενας ἢ θήλεα τίκτειν, οὕτως αὐτοὶ λέγουσι θεοτόκον τὴν ἁγίαν Μαρίαν, θεοὺς αὐτὴν πεφυκυῖαν τίκτειν, διὰ τῆς τοιᾶσδε λέξεως σημαίνοντες; καὶ ποίους θεοὺς ἐγέννησεν, εἰπάτωσαν, καὶ τὸ ἀγνοούμενον διδασκέτωσαν· ἢ ὅτι θεὸν ἐγέννησεν; εἰ καὶ πρὸς ἅπαξ τοῦτο ἐθέλουσι σημᾶναι, διὰ τοῦ οὕτως ὀνομάζειν τὴν παρθένον· ἀλλ' οὐκ οἴδαμεν εἰ δύναται τοῦτο δηλῶσαι τὸ τοιοῦτο σχῆμα τοῦ ὀνόματος.

Ἐξολοθρεύσει κύριος πάντα τὰ χείλη τὰ δόλια, γλῶσσαν μεγαλοῤῥήμονα, τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν· τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι· τίς ἡμῶν κύριος ἐστιν; εἴπατε ἡμῖν οἱ αὐθεντίᾳ νομοθετοῦντες, μὴ ἐξ ἑνός, ἀλλ' ἐκ πλειόνων τόκων ὀνομάζειν τὴν τίκτουσαν· ἆρα οὖν ἐπεὶ μονογενὴς τῇ Σάῤῥα ὁ Ἰσαάκ, τῇ Ἄννῃ ὁ Σαμουήλ, τῇ Ἐλισάβετ ὁ Ἰωάννης, τῇ Ἄννῃ ἡ Μαριάμ, καὶ ἁπλῶς πάντες ὅσοι τε καὶ ὅσαι ἕνα υἱὸν ἢ θυγατέρα μίαν μόνον ἐπιγράφονται, ἤδη καθ' ὑμᾶς, τούτους εἴγε τὶς ὀνομάζειν ἐθέλοι, ἔκ τε τοῦ τοκετοῦ καὶ τῆς φύσεως τοῦ τεχθέντος καλῶν, οὐκ ἀῤῥενοτόκους, ἢ θηλυτόκους τολμήσοι λέγειν; καὶ τίς ἀκούσας, οὐ καταπτύει τῶν τοιούτων ὑμῶν σοφισμάτων ὦ τάλανες; εἰ δὲ καὶ οὕτως εἶχεν ὡς φατὲ οἱ μὴ εἰδέναι εἰ δυνατὸν τοῦτο δηλοῦσθαι διὰ τοιούτου σχήματος λέγοντες, πῶς ὑμεῖς χριστοτόκον καὶ ἀνθρωποτόκον καλεῖν τὴν ὄντως θεοτόκον συνείδετε; εἰ γὰρ ἐκ τοῦ ἑνὸς τόκου οὐ δυνατὸν ὀνομάζεσθαι τὴν τίκτουσαν τοιάνδε, ἢ πλείους Χριστούς, ἢ ἁπλῶς ἀνθρώπους οἴεσθε τεκεῖν τὴν ἁγίαν παρθένον, ἢ οὐδὲ ταῦτα τὰ ὀνόματα ἔχοιτε λέγειν ἐπ' αὐτῆς ἀθλιώτατοι· ἀκόλουθον δὲ τῇ ἡμετέρᾳ

ὑποθέσει, μὴ δὲ τὸν μόνον πατέρα τοῦ μόνου υἱοῦ αὐτοῦ καὶ λόγου θεοῦ γεννήτορα λέγεσθαι· ἐπεὶ ἕνα μόνον καὶ οὐ πλείους ἔτεκε τοὺς θεούς· καὶ πῶς αὐτὸν εἶναι τὸν κυρίως θεοτόκον λέγετε; ἀλλ' ὄντως φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθητε· καὶ ἐσκοτίσθη ἡ ἀσύνετος ὑμῶν καρδία· τότε γὰρ μόνον τὸ πλῆθος πρὸς κυρίαν ὀνομασίαν τοῦ ὀνομαζομένου συμβάλλεται, ὅταν πλείονα τινὰ τῷ ἀριθμῷ ὑποκείμενα, ἑνικῷ χαρακτῆρι τοῦ ὀνόματος τοῦ λεγομένου ὡς περιεκτικοῦ σημαίνεται· κατὰ τοῦτον γὰρ τὸν τρόπον, ἄμπελος μία τὸν ἀμπελῶνα οὐ συστήσεται· οὐδὲ ἀμπελοφόρον εἶναι τὸ χωρίον διαγράψει τίς οὕτως, οὐδὲ καρποφόρον, ἢ ἰχθυογόνον τὸ ὕδωρ· ἀλλὰ ταῦτα μὲν τὰ τῆς πρώτης ὑμῶν καθ' ἡμῶν μέμψεως ἐξεταζέσθω δὲ καὶ τὰ ἑξῆς ὑμῖν εἰρημένα βλάσφημα, καὶ μὴ λανθανέτω τινὰς μὴ στηλιτευόμενα.

Τοῦ θεὸς ὀνόματος φασὶ πολλαχῶς λεγομένου παρὰ τῇ θείᾳ γραφῇ, οἷον ἐπείπερ εἷς θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως· καὶ πάλιν ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ· καὶ αὖθις· ὥσπερ εἰσὶ θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ, κατὰ ποῖον ἐξείληπται σημαινόμενον αὐτοῖς ἐνταῦθα τὸ θεὸς ὄνομα ἐπὶ τῆς θεοτόκου; κατὰ τὸ πρῶτον ὅπέρ ἐστι φύσει λέγειν θεὸν, ἢ κατὰ τὸ δεύτερον τοῦτεστι θέσει, ἢ κατὰ τὸ τρίτον ὅπέρ ἐστι τὸ ψευδὲς; ἀλλὰ κατὰ τὸ ὕστερον, οὐκ ἂν εἴποιεν, οὐδὲ εἰ δαίμονες γένοιντο· ἀλλ' εἰ κατὰ τὸ δεύτερον λέγοιεν, ἴστωσαν ὅτι θεὸς θέσει οὐκ ἄγγελος, οὐκ ἄλογον ζῶον, οὐ τί τῶν κτισμάτων ἐλέγχθη παρὰ τῇ θείᾳ γραφῇ ποτέ· ἢ ἀνθρωποτόκον οὖν φασὶ τὴν παρθένον φύσει; ἀλλ' ἐπιλέλησμαι τῆς προθήκης τοῦ κυρίως καὶ κατὰ ἀλήθειαν· τὸ γὰρ κυρίως παρείληπται αὐτοῖς ἐπὶ δηλώσει τοῦ φύσει θεὸν γεγεννηκέναι τὴν παρθένον· ἀλλ' εἰ ἐνδέχεται τοῦτο, καὶ μὴ ἀντίκειται τοῖς κοινοῖς ὁμολογήμασιν, ἴδωμεν· ὁμωλογοῦσι γὰρ ἄτρεπτον εἶναι τὸν θεὸν λόγον καὶ ἀναλλοίωτον κατὰ τὴν ἔκθεσιν τῶν κοινῶν πατέρων τῆς ἐν Νικαίᾳ λέγω συνόδου· ὁ δὲ ἄτρεπτος καὶ ἀναλλοίωτος, οὔτε χείρων ἑαυτοῦ γενήσεται, οὔτε κρείττων, ἀλλ' ἀεὶ κατὰ τὸ αὐτὸ μένει, μὴ ἀλλοιούμενος, ἀΐδιος ὢν· καὶ οὐδέποτε οὐκ ὢν, ἀρχὴν τοῦ εἶναι μὴ δεξάμενος· θεασώμεθα γοῦν εἰ μὴ λύσει γέννησις ἐκ γυναικὸς κατηγορουμένη τοῦ θεοῦ λόγου ἢ τὸ ἀΐδιον αὐτοῦ, ἢ τὸ ἀναλλοίωτον, καὶ καθόλου τὰ προσόντα αὐτῷ καὶ ὁμολογούμενα παρ' ἡμῶν κοινῶς ὡς θεῷ καὶ τῶν ἁπάντων. II.

Νῦν οὐκ ἐκ τοῦ μὴ πολλοὺς, ἀλλ' ἐκ τοῦ μὴ δὲ τὸν ἕνα αὐτὸν τὸν τεχθέντα κυρίως εἶναι θεὸν, ἀνατρέπειν τὴν ἐπὶ τῆς ἁγίας παρθένου τὴν τῆς θεοτόκου φωνῆς ἔννοιαν κυρίως οὖσαν καὶ ἀληθῶς λεγομένην, ἐτολμήσατε· τὸ γὰρ θεὸς ὄνομα, ὁμωνύμως λεγόμενον ἐπὶ διαφόρων τινῶν τῇ

οὐσίᾳ παραγαγόντες, βούλεσθε ἐν τούτῳ τὲ καὶ τῷ ἑπομένῳ ἑξῆς ἐπιχειρήματι ὑμῶν δεικνῦναι, ὥσπερ οὖν καὶ δι' ὅλης ὑμῶν τῆςδε τῆς ὑποθέσεως, οὐ τὸν φύσει Θεὸν ἐπὶ Χριστοῦ λεγόμενον σημαίνειν, ἀλλ' οὐδέ τινα ὅμως τῶν ψευδωνύμως λεγομένων θεῶν δηλαδή· τοῦτο γὰρ καὶ δαίμοσι παραιτητέον ὡμολογήσατε· ἀλλὰ τὸν θέσει Θεὸν, διὰ τοῦ τοιοῦδε ὀνόματος ἐπὶ Χριστοῦ σημαίνεσθαι· θέσει δὲ Θεὸς, ὡς φατὲ, οὔτε ἄγγελος, οὔτε ἄλλό τι ζῶον, πλὴν ἀνθρώπου, τῇ ἁγίᾳ γραφῇ εἴρηται· οὐκοῦν ἐξ ἀνάγκης καθ' ὑμᾶς, ἄνθρωπός τε ὁ τεχθεὶς, καὶ ἀνθρωποτόκος ἡ τεκοῦσα λεχθήσεται· εἰ δὲ ἄνθρωπος ὁ τεχθεὶς, καὶ θέσει Θεός· ὁ δὲ φύσει Θεὸς προστάττει πᾶσιν ἀνθρώποις μὴ δουλεύειν τοῖς μὴ φύσει οὖσι θεοῖς· διαῤῥήδην δὲ βοᾷ, κυρίῳ τῷ θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις· ἀκόλουθον ὑμᾶς μήτε προσκυνεῖν, μήτε λατρεύειν τῷ Χριστῷ θέσει ὄντι καὶ οὐ φύσει Θεῷ, κατὰ τὴν ὑμετέραν πλάνην· ἀλλ' εἶναι ὑμᾶς παῤῥησίᾳ τινὰς ἀντιχρίστους, καὶ μὴ ὑποκρίσει δοκεῖν τε χριστιανοὺς εἶναι· ἢ εἰ τοῦτο εὐλαβεῖσθε, προσκυνοῦντες καὶ λατρεύοντες αὐτῷ, κτιστοῦ τινὸς προσκυνηταὶ καὶ ἀνθρωπολάτραι κυρίως ἡμῖν φωραθήσεσθε· μὴ δυσφορεῖτε οὖν λοιπὸν οὕτως ὀνομαζόμενοι, καὶ τὴν τοιαύτην περὶ ὑμῶν δόξαν ἀποσείεσθαι σπουδάζετε· μὴ δὲ πάντα κυκᾶτε πρὸς ἀπόδειξιν τοῦ μὴ τοιοῦτοι δοκεῖν, καθὼς ἤδη διὰ πλείστων ὑμῶν μακρολογιῶν ἠγωνίσασθε παραστῆσαι.

III. Πᾶσα γέννησις ἐγνωσμένη τῇ θείᾳ γραφῇ, ἢ τῆς ὑπάρξεως αὐτῆς καθέστηκεν αἰτία τοῦ λεγομένου γεγεννῆσθαι, οἷον Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ· ἢ οὐ τῆς ὑπάρξεως αὐτῆς καθέστηκεν αἰτία, οἷον ὁ ἀπόστολος ἐγέννησε τοὺς Κορινθίους κατὰ τὸ εἰρημένον, ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα· τῆς δὲ αἰτίας τοῦ εἶναι γινομένης γενέσεως, ἡ μὲν συνυπάρχειν ποιεῖ τὸ γεννώμενον τῷ γεννῶντι· ἡ δὲ μεθυπάρχειν· συνυπάρχει μὲν γὰρ ὁ θεὸς λόγος τῷ πατρὶ γεννηθεὶς ἐξ αὐτοῦ· μεθυπάρχει δὲ τοῦ Ἀβραὰμ ὁ Ἰσαὰκ καὶ εἴτις τοιοῦτος· τῆς δὲ μὴ τοῦ εἶναι γινομένης αἰτίας τοῦ γεννωμένου, ἡ μὲν κρείττονα ἑαυτοῦ δείκνυσι τὸν γεννώμενον, ἡ δὲ χείρονα· καὶ κρείττονα μὲν, οἷον ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν· χείρονα δὲ, οἷον· γεννήματα ἐχιδνῶν, τίς ὑμῖν ὑπέδειξεν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; κατὰ ποίαν οὖν γέννησιν γεγεννῆσθαι τὸν θεὸν λόγον ἐκ γυναικὸς φασί; κατὰ τὴν τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ; οὐκοῦν οὐκ ἀΐδιος ὁ θεὸς λόγος· οὐδεμία γὰρ τοιαύτη γέννησις προϋπάρχειν οἶδε τὸν γεννώμενον τοῦ γεννῶντος· τὸ δὲ μὴ προϋπάρχον τοῦ μὴ ἀϊδίου, οὐκ ἀΐδιον· ὅπερ ἀσεβὲς λέγειν ἐπὶ τοῦ θεοῦ λόγου· ἀλλὰ κατὰ τὴν μὴ τὸ εἶναι διδοῦσαν

τῷ γεννωμένῳ φασὶ γεγεννῆσθαι· τρεπτὸς οὐκοῦν ὁ Θεὸς λόγος, καὶ οὐκ ἀναλλοίωτος, ἐπεὶ πᾶσα τοιαύτη γέννησις, ἢ κρείττονα ἢ χείρονα δείκνυσι τὸν γεννώμενον· ὁ δὲ κρείττων ἢ χείρων ἑαυτοῦ γινόμενος, διὰ τῆς τοιᾶςδε μεταβολῆς δηλονότι τρεπτὸς ἐλέγχεται ὢν καὶ ἀλλοιωτός· εἰ δὲ οὐ τρεπτὸς ὁ θεὸς λόγος, οὔτε οὐκ ἀΐδιος, οὐκ ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ γυναικὸς, οὐδὲ ὅλως αὐτοῦ κατηγορεῖσθαι δύναται γέννησις ἐκ γυναικὸς κατὰ τὴν γραφικὴν διάνοιαν.

Πολλαῖς ἀντεμβολαῖς λόγων καὶ ἀλλοιώσεσι νοημάτων λανθάνειν πειρώμενοι, ὅμως ἁλίσκεσθε ῥᾷστα τὴν ἀσέβειαν· ἔστω γὰρ ἑτέρους εἶναι τούςδε τρόπους τῶν γεννήσεων, καὶ ἕτερα τὰ τούτοις παρεπόμενα, ὡς εἰρήκατε· ἀλλὰ τὸ νῦν ἡμῖν ζητούμενον εἰς ἀπόδειξιν παρ' ὑμῶν ἐστι, εἰ ἀληθῶς οὐ δυνατὸν ἕνα τινὰ καὶ τὸν αὐτὸν καθὼς ἡμεῖς φαμὲν δύο τινὰς γεννήσεις τούτων αὐτῶν τῶν διαφόρων γεννήσεων ὑφίστασθαι, ἵνα καὶ τοῖς ἑπομένοις ἑκατέρα τῶν γεννήσεων γνωρίζηται· σκεπτέον γὰρ ὅτι ἐθνικοὶ πλεῖστοι τῶν ἐν Χριστῷ Ἰησοῦ διὰ εὐαγγελίου ὑπὸ Παύλου γεννηθέντων, προγεγονότες ἦσαν αὐτοῦ κατὰ τὴν σαρκικὴν γέννησιν ὡμολογημένως· ἆρα οὖν οὐχ' ὁ αὐτὸς εἶναι λέγοιτό τις τῶν ἐκείνου μαθητῶν, προεῖναί τε τοῦ ἰδίου πατρὸς καὶ διδασκάλου Παύλου, καὶ μετεῖναι μαρτυρούμενος τοῦδε; πᾶς μὲν οὖν τις ὁμολογήσοι, ὡς οἶμαι· ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο τὸν αὐτὸν τοῦ αὐτοῦ προϋπάρχειν τὲ καὶ μεθυπάρχειν ἐρεῖ· καὶ γὰρ ὄντως ὡς ἔφητε κατὰ τὴν τοῦ εἶναι γέννησιν, προϋπάρχειν· κατὰ δὲ τὴν εἰς τὸ εὐαγγέλιον γέννησιν, μεθυπάρχειν· ὁμοίως δὲ καὶ τὰ γεννήματα τῶν ἐχιδνῶν, οἱ ἀπὸ μὲν τοῦ Ἀβραὰμ ἔθνους κατὰ σάρκα, τοῖς ἰδίοις τέκνοις ἤγουν τοῖς ἀποστόλοις μαθητευόμενοι, ἐπιστρέφοντος τοῦ κυρίου καρδίας πατέρων ἐπὶ τέκνα, πῶς οὐχ' οἱ αὐτοὶ λέγοιντο προεῖναι μὲν κατὰ τὴν σαρκικὴν γέννησιν, μεθυπάρχειν δὲ κατὰ τὴν πνευματικὴν ἀναγέννησιν τῶν ἰδίων υἱῶν; εἰ δὲ ταῦτα οὕτως ἔχει, τί ἄπιστον ὑμῖν δοκεῖ καὶ ἐπὶ τοῦ λόγου, καθ' ἑτέραν μὲν αὐτοῦ γέννησιν, ἀΐδιόν τε ὑπάρχειν αὐτὸν καὶ ἁπλοῦν ἀληθῶς, καθ' ἑτέραν δὲ ἀρχόμενον τοῦ συνθέτως εἶναι; μετὰ προσλήμματος γὰρ τινὸς πρόσφατος γινώσκεται, καὶ οὐχ' ἁπλοῦς λόγος λοιπὸν, ἀλλὰ σύνθετος Χριστὸς ὀνομάζεται· οὕτως δὲ ἔχειν τούτων δοθέντων, ἡ μὲν τεκοῦσα τὸ σύνθετον, πάντως καὶ τὸ ἁπλοῦν τέτοκεν· ἐν γὰρ τῷ συνθέτῳ ἐστὶ τοῦτο· ὁ δὲ τὸ ἁπλοῦν τεκὼν, οὐ τέτοκε καὶ τὸ σύνθετον· οὐ γὰρ ἐν τῷ ἁπλῷ τὸ σύνθετον· οὐκοῦν κατὰ μὲν τὴν τὸ εἶναι καὶ ἀϊδίως εἶναι διδοῦσαν γέννησιν τῷ γεννωμένῳ λόγῳ ἁπλῶς, οὐ μητέρα φαμὲν τὴν παρθένον· κατὰ δὲ τὴν τοιῶςδε εἶναι ἤγουν σεσαρκωμένην, καὶ ἐν σαρκὶ τῇ ὑπὸ χρόνον εἶναι διδοῦσαν αὐτῷ γέννησιν, ὡς συγχρόνως αὐτῇ τῇ σαρκὶ ἔχοντι τὴν σύνθεσιν ἑαυτοῦ συγγεννημένῳ ταύτῃ ἐξ αὐτῆς οὔσης

κατὰ τὸ εἶναι ὑποχρόνως, μητέρα ἀληθῶς καὶ τοῦ ἁπλοῦ· διὰ μέν τοι συνθέσεως γενομένην ἴσμεν τὴν ἀμίαντον· ἐκ λόγου γὰρ ἀϊδίου καὶ σαρκὸς ὑποχρόνου, ὁ δεσπότης ἡμῶν Χριστὸς ὅλος συνέστηκε· Γεννηθέντος μὲν τοῦ λόγου δὶς, ἀσάρκως μὲν ἐκ τοῦ πατρὸς, σεσαρκωμένως δὲ ἐκ μητρὸς, τῆς δὲ σαρκὸς ἅπαξ καὶ μόνον γεννηθείσης ἐκ μητρὸς ἀσπόρως· ἐπεὶ οὖν θεὸς ἀληθὴς ἄσαρκός τε ὢν, καὶ μετὰ σαρκὸς ὁ λόγος, θεοτόκοι καθ' ἑκατέραν γέννησιν οἱ τούτου γεννήτορες ἀληθῶς· ταῦτα μὲν οὖν τὰ περὶ τῆς κατὰ τὰς Γεννήσεις διαφόρου προελεύσεως τοῦ λόγου· αἱ δὲ κατὰ προκοπὴν ἁπλῶς καὶ τὰ τοιαῦτα παραγωγαὶ τῶν γεννήσεων, περιττῶς ὑμῖν ἐπὶ Χριστοῦ παραφέρονται· οὐ γὰρ ἐκ τοιοῦδε τρόπου τὶς λόγος θεοτόκον ἔφη ποτὲ τὴν ἄχραντον· οὐδὲ τῶν λίαν ἀλογίστων τινὶ τάδε εἰς φαντασίαν γεγένηται.

IV. Εἰ κύριως καὶ κατ' ἀλήθειαν ἡ ἐκ πατρὸς τοῦ θεοῦ λόγου γέννησίς ἐστιν, οὐ κυρίως καὶ κατ' ἀλήθειαν ἡ ἐκ γυναικὸς ἐπιφημιζομένη τοῦ θεοῦ λόγου γέννησις, ἐπειδὴ οὐχ' ὅμοιαι· ἀλλ' εἰ μὲν τὸ πρότερον, οὐκ ἄρα τὸ δεύτερον. Ἀλλ' εἰ κυρίως καὶ μόνην εἶναι γέννησιν φατὲ τὴν κατ' αἰτίαν μόνην, καὶ ἄχρονον καὶ συναΐδιον τῷ πατρὶ τοῦ θεοῦ λόγου, ἣ συνυπάρχειν τῷ γεννῶντι δείκνυσιν τὸ γεννώμενον, τὴν οὐχ' ὁμοίαν αὐτῇ γέννησιν, οὐδὲ κυρίως γέννησιν ἴστε· ἔσεσθε οὖν λοιπὸν μὴ κυρίαν εἰδότες γέννησιν τοῦ Ἰσαὰκ ἐξ Ἀβραὰμ, ἢ τινὸς ἑτέρου ἀνθρώπου ἐξ ἀνθρώπου ὄντος, ἢ ζώου ἐκ ζώου, ἢ φυτοῦ ἐκ φυτοῦ γινομένην· οὔτε γὰρ ἄχρονα ταῦτα οὐδὲ συναΐδια οὐδὲ ἁπλῶς τοῖς τίκτουσι συνυπάρχοντα· οὐδὲ πάντη ὅμοια γίνονται, ὥσπερ ὁ θεὸς καὶ πατὴρ τὸν λόγον ἐγέννησεν· εἰ δὲ ἀληθής ἐστι καὶ ἡ γέννησις τοῦ Ἰσαὰκ ἡ ἐξ Ἀβραὰμ, ὡς καὶ ὑμεῖς ἐν ἑτέροις εἴπατε, καὶ τῶν λοιπῶν ζώων τε καὶ φυτῶν, ὑπόχρονός τε οὖσα καὶ μεθυπάρχειν δεικνῦσα τὸ γεννώμενον, καὶ ἁπλῶς τῆς θείας φέρουσα ἀπείροις καὶ πᾶσι σχεδὸν τοῖς λόγοις τῶν γεννήσεων, οὐκ ἄρα ἔσται κυρίως καὶ κατὰ ἀλήθειαν μόνη οὖσα γέννησις καθ' ὑμᾶς ἡ ἐκ θεοῦ πατρὸς ἀϊδίως νοουμένη τοῦ λόγου· εἰ οὖν κἀκείνη καὶ αὗται ἀληθεῖς εἰσί τε καὶ λέγονται Γεννήσεις, ἀληθεῖς ἄρα καὶ κατὰ τὸν διάφορον λόγον τῶν γεννήσεων οἱ λεγόμενοι γεννήτορες· οὐκοῦν καὶ Παῦλος διὰ τοῦ εὐαγγελίου, καὶ τὸ πνεῦμα διὰ τοῦ βαπτίσματος, καὶ Ἀβραὰμ ἐκ τῆς ὀσφύος, καὶ Ῥαχὴλ ἐκ τῆς κοιλίας, καὶ ὁ πατὴρ ἐξ ἑαυτοῦ καὶ ἐν ἑαυτῷ γεννῶν, πάντες ἀληθῶς γεννήτορές εἰσι καὶ λέγονται· εἴπερ οὖν καὶ πλείονες κατὰ πλείους τούτων τρόπους εἶεν τοῦ αὐτοῦ ἑνός τινος γεννήτορες, ἀληθῶς πάντων ὁ αὐτὸς εἷς υἱὸς ἔσται· κατ' αἰτίαν ἄρα ἐκ πατρὸς, κατὰ δὲ σύνθεσιν καὶ σύλληψιν ἐκ μητρὸς ὁ λόγος γεγέννηται· τὸ γὰρ συλ-

λαβὸν ἅπαξ, οὐ τὸ ὅλον ἐξ αὐτοῦ τίκτει, ὡς δηλοῖ καὶ τὸ τῆς λήψεως ὄνομα.

Εἰ ἡ γέννησις τοῦ θεοῦ λόγου ἐκ πατρὸς κατὰ ἀλήθειαν οὖσα παρ- V.
ήλλακται τῆς ἐπιφημιζομένης αὐτοῦ κατὰ ἀλήθειαν ἐκ γυναικὸς, ἀνάγκη δὲ πᾶσα ὧν ὁ τόκος ὁ κατὰ ἀλήθειαν παρήλλακται, τούτων καὶ τὴν οὐσίαν παρηλλάχθαι, ἀνάγκη ἄρα πᾶσα παραλλάττειν τὸν θεὸν λόγον αὐτὸν ἑαυτοῦ κατ' οὐσίαν, διὰ τὸ παρηλλάχθαι ἐπ' αὐτοῦ τοὺς τοκετοὺς κατὰ ἀλήθειαν· εἰ δὲ αὐτὸς ἑαυτοῦ παρήλλακται ὁ θεὸς λόγος κατ' οὐσίαν, οὐδενὶ ἔσται κατ' οὐσίαν ὅμοιος, οὐδὲ τῷ πατρὶ ἄρα καὶ τῷ πνεύματι τῷ ἁγίῳ, ὅπερ ἀναιρεῖ τὸ ὁμοούσιον. Πολλοῖς ἀτόποις καὶ ἰσοῤῥόποις τὴν ἀσέβειαν συνέχεσθε· καὶ ἀποροῦμεν περὶ ποίων ὑμῖν πρωτίστων ἐγκαλέσομεν· ἤδη μὲν γὰρ καὶ διαφόρων οὐσῶν τῶν γεννήσεων, ὅμως ἀληθῶς πάσας εἶναι κἂν ἑνός τινος, κἂν πλειόνων ὁμοειδῶν εἶεν, προαποδέδεικται ἡμῖν· ἰδοὺ δὲ καὶ ὑμεῖς συνέθεσθε ἡμῖν, ὧν ὁ κατὰ ἀλήθειαν τόκος παρήλλακται, λέγοντες· ἴστε γὰρ ἤδη καὶ ὑμεῖς παραλλάττοντας μὲν, ἀληθεῖς δὲ εἶναι τόκους τινάς· ψεῦδος δὲ καὶ τὸ νῦν λεγόμενον ὑμῖν ἐστιν, ὅτι ὧν αἱ γεννήσεις διάφοροι, τούτων καὶ αἱ οὐσίαι· οὔτε γὰρ Παῦλον πατέρα ἐπιγραφόμενοι διὰ τοῦ εὐαγγελίου, οὔτε τοὺς τῆς σαρκὸς πατέρας, οἵ τε τὸν πατέρα τῶν πνευμάτων, οὔτε ἐκ τοῦ διαβόλου λεγόμενοι γεγεννῆσθαι, οὔτε ἐξ' ἐχιδνῶν, καθ' ἑτέραν μὲν ἕκαστος γέννησιν γεγέννηται, καὶ ὅμως τῆς αὐτῆς πάντες, ἤτουν ὁμοίας ἀνθρωπίνης, εἰσὶν οὐσίας· Τιμόθεος δὲ ὁ ἱερὸς, Παύλου τὲ καὶ πατρὸς ἕλληνος υἱὸς, καὶ εἷς ὢν τῷ ἀριθμῷ, πλείους ἐπεγράφετο τοιούσδε πατέρας· πῶς οὖν ταῦτα μαρτυρήσει τοῖς παρ' ὑμῶν; καὶ οὕτως μὲν τάδε· τοῦ δὲ Ἀδὰμ ἑτέρως, καὶ Εὔας ἑτέρως, καὶ Σὴθ ἑτέρως γεγεννημένων, μίαν αὐτοῖς ὅμως εἶναι τὴν φύσιν καὶ τὴν αὐτὴν πᾶσι, τίς ἀντερεῖ; ὥστε οὐδὲ ὧν αἱ γεννήσεις διάφοροι, καὶ αἱ οὐσίαι· ἄλλως τε εἰ ἐπ' ἄλλου καὶ ἄλλου προσώπου λαμβάνοιντο, ἴσως δείξουσι τὸ κατ' οὐσίαν διάφορον· ἐπὶ δὲ τοῦ αὐτοῦ ὑποκειμένου καὶ ταῖς διαφόροις γεννήσεσι κατηγορουμένου, πῶς τὸ αὐτὸ ἀδιάφορον ἔσται; τί οὖν μὴ δείξαντες πρῶτον, ὅτι κατὰ δύο γεννήσεις διαφόρους, οὐ δυνατὸν ἢ τὸ αὐτὸ ἓν ὑποκείμενον ὑφίστασθαι, ἢ τινὰ ὁμορύσια νοεῖσθαι, ἁπλῶς ἐκ τῆς διαφορᾶς ἤδη τῶν γεννήσεων, διάφορον εἶναι καὶ τὸ αὐτὸ ἓν γεννώμενον ὑποκείμενον συνάγετε; ἀντιστρόφως γὰρ ὑμῖν ἡμεῖς ἐροῦμεν, ὅτι εἰ ὧν αἱ γεννήσεις διάφοροι, καὶ ἡ οὐσία διάφορος, ἄρα καὶ ὧν ἀδιάφορος ἡ γέννησις, καὶ αἱ οὐσίαι ἀδιάφοροι· οὐκοῦν ὑπόχρονός τε οὖσα καὶ σπερματικὴ καὶ διὰ μήτρας καὶ ὁμοίως ἔχουσα γέννησις ὄνων τὲ καὶ κυνῶν καὶ ἀνθρώπων καὶ συῶν καὶ πιθήκων, ὁμοίαν τῶνδε παρίστησι καὶ τὴν οὐσίαν; τί δέ μοι ἑτέρων ἢ ἑτέρας χρεία γεν-

νήσεως πρὸς ἔνδειξιν τοῦ ἐκ τρόπου γεννήσεως, τὴν διαφορὰν εἶναι, ἢ τὴν ὁμοιότητα τῶν οὐσιῶν; τοῦ γὰρ αὐτοῦ ἑνὸς ἀνθρώπου, μίαν κατ' ἀριθμὸν καὶ ἡ αὐτὴ γέννησίς ἐστι δηλαδή· ψυχὴ δὲ καὶ σῶμα αἱ συγγενηθεῖσαι φύσεις κατ' αὐτὴν, διάφοροί εἰσι· καθ' ὑμᾶς οὖν, ἢ οὐ διάφορον εἶναι τὴν οὐσίαν τούτων, ἐπεὶ μὴ δὲ τὴν γέννησιν φήσομεν· ἢ διάφορον λέγοντες, δύο καὶ διαφόρους τὰς τοῦ ἑνὸς ἀνθρώπου ἐν ταυτῷ πιστεύσομεν εἶναι γεννήσεις· καὶ ταῦτα μὲν ὑμῶν τὰ κομψά· ὅμως μέντοι οὔτε εἴρηκέ τις ὑμῖν ὅτι τὸν λόγον ὡσαύτως ἁπλοῦν, ἀλλὰ μετὰ τῆς σαρκικῆς οὐσίας ἐκ μητρὸς κατὰ τὴν δευτέραν αὐτοῦ γέννησιν ἡ δευτέρα γέννησις προήγαγε, δοκησείσοφοι.

VI. Εἰ τὸ γεγονὸς καθὸ γέγονε, γενέσθαι πάλιν ἀμήχανον· καὶ τὸ ἀϊδίως ὂν, τεχθῆναι πάλιν ἐκ γυναικὸς ἀμήχανον· ἀλλὰ τὸ πρότερον ἀληθὲς, καὶ τὸ δεύτερον ἄρα. Εἰ πᾶσαν τὴν γέννησιν ἁπλῶς ὡς τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ ἀναιρεῖτε τοῦ ἀϊδίως ὄντος λόγου, ἢ καὶ τὴν πρώτην γέννησιν τὴν ἐκ πατρὸς ἀπ' αὐτοῦ ἀνελεῖτε ὡς ἀϊδίου· τὸ γὰρ ἀϊδίως ὂν, τεχθῆναι φατὲ ἀμήχανον· ὡς λοιπὸν μὴ δὲ υἱὸν εἶναι τοῦ πατρός· οὐ γάρ ἐστιν υἱὸς ἄνευ γεννήσεως· οὐδὲ τὸν πατέρα εἶναι πατέρα· οὐ γάρ ἐστιν ἄνευ υἱοῦ πατὴρ, ἢ τὴν ἐκ πατρὸς γέννησιν αὐτοῦ ὁμολογοῦντες, οὐκ ἀΐδιον εἶναι λοιπὸν δηλώσετε· εἴπερ τὸ ἀϊδίως ὂν διὰ τὸ εἶναι ἀεὶ, πάντη οὐ δυνατὸν ᾖ ὁπωσοῦν ἀληθῶς τεχθῆναι· εἰ δὲ μὴ διὰ τὸ εἶναι ἀεὶ, ἀλλὰ διὰ τὸ ἁπλῶς ἤδη προεῖναί τι καὶ προγεννηθῆναι ποτὲ, πῶς ἅπαξ οὐδὲ ὅλως ὁπωσοῦν ἔτι οὐδὲ καθ' ὀντιναοῦν ἕτερον τρόπον γεννηθηναί τι δυνατὸν λέγετε; τοῦτο γὰρ ᾐνίξατο ὑμῶν τὸ πάλιν, καὶ τόδε ἐν τοῖς καθέκαστα βασανίσωμεν· ἆρα οὖν Τιμόθεος οὔπω ἦν οὐδεμιᾷ γεννήσει γεγεννημένος, καὶ ὑφ' ἑτέρων προελθὼν γονέων, ὅτε Παῦλος ὁ ἐπιγραφόμενος αὐτὸν γνήσιον τέκνον ἐν πίστει, ἐν Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγέννησε; καὶ τίς ὑμῶν τὴν προφανῆ ταύτην ψευδολογίαν οὐ βδελύττεται; οὕτως οὖν ὦ οὗτοι καὶ τόδε νοεῖτε· τῶν γὰρ Χριστοῦ μερῶν τὸ μὲν καὶ κατὰ τὴν πρώτην ἑαυτοῦ γέννησιν γεννηθῆναι καὶ κατὰ τὴν δευτέραν φαμὲν, τὸ δὲ ἕτερον δῆλον, ὡς οὐδὲ προὸν, ἢ ἑτέρᾳ γεννήσει προγεγεννημένον, μιᾷ γεννήσει τῇ ἀμφοῖν συμπροελθεῖν τῷ ἑτέρῳ ἐν ἑνὶ τῆς ὑποστάσεως ὅλῳ τῆς αὐτῆς ὁμολογοῦμεν· ἐν γὰρ μιᾷ τῇ ἐκ παρθένου γεννήσει, τοῦ μὲν τῶν μερῶν Χριστοῦ δευτέρα, τοῦ δὲ πρώτη καὶ μόνη νοεῖται οὖσα γέννησις.

VII. Εἰ ἡ οὐσία τοῦ θεοῦ λόγου ἐτέχθη κατὰ ἀλήθειαν ἐκ τῆς οὐσίας τῆς παρθένου, ἀνάγκη δὲ τὰ τικτόμενα οὕτως ὅμοια εἶναι κατ' οὐσίαν τοῖς τίκτουσιν, ἢ ὁ θεὸς λόγος, ἄνθρωπος τὴν οὐσίαν, ἢ ἡ παρθένος, θεὸς τὴν οὐσίαν· ἀλλ' ἑκάτερον ἐπίσης ἀσεβὲς καὶ ἀδύνατον· οὐκ ἄρα ἡ οὐσία

τοῦ Θεοῦ λόγου ἐτέχθη κατὰ ἀλήθειαν ἐκ τῆς οὐσίας τῆς παρθένου. Ἀλλὰ πρῶτον μὲν, ἕτερον τὸ εἰς οὐσίαν τεχθῆναι, καὶ ἄλλο τὸ κατ' οὐσίαν τεχθῆναι· ἔτι δὲ τῶν ἐκ τῆς οὐσίας τικτομένων, πολλαὶ εἰσὶν αἱ διαφοραὶ τῶν ὁμοιώσεων καὶ ἀνομοιοτήτων τῷ γε ἀκριβῶς ἐξετάζοντι, ὡς καὶ ὑμεῖς ἐν τοῖς πρώην ἐλέγετε· τὰ μὲν γὰρ ὅμοια, τὰ δὲ ἀνόμοια τίκτει, πρὸς τὴν διαφορὰν δηλονότι τῶν ἑτεροφυῶν γεννήσεων· εἰ γὰρ καὶ οὐσία ἦν ὁ Παῦλος ὁ ἐνεργῶν τὴν γέννησιν Τιμοθέου, οὐσίας καὶ αὐτοῦ ὄντος καὶ κατ' οὐσίαν εἰς ἀφθαρσίαν διὰ τῆς πίστεως κρειττουμένου καὶ γεννωμένου· οὐ γὰρ δὴ κατὰ συμβεβηκός τι ἡ πνευματικὴ τῆς φύσεως ἡμῶν γέγονεν ἀναγέννησις· καὶ ὁ κατὰ σάρκα δὲ αὐτοῦ πατὴρ, οὐσία ἦν, καὶ κατ' οὐσίαν πῶς ἔτικτε· καὶ πάσης δὲ οὐσίας αἴτιος, ἀναίτιος πάντων καὶ πατήρ· ἀλλ' ὁ μὲν τῇ πίστει, ὁ δὲ τῷ σώματι αὐτοῦ ἐγέννησεν αὐτὸν ὅμοιον, ὁ δὲ τῇ εἰκόνι ἑαυτοῦ· εἰ καὶ ὁ πατὴρ οὖν ἀϊδίως ἐκ τῆς οὐσίας ἑαυτοῦ τίκτει τὸν λόγον, καὶ Σολομῶν ἐκ τῆς οὐσίας αὐτοῦ λέγεται τίκτειν τὸν Ἱεροβοὰμ, οὐκ ἤδη οὕτως ἔχει ἑκάτερος υἱὸς πρὸς ἑκάτερον πατέρα τὸ ἀπαράλλακτον, διαφόρου γὰρ τρόπου τῶν κατ' οὐσίαν γεννήσεων ἐν ἑτεροφυέσι τε πράγμασι νοουμένου, εἰ καὶ ὁμοία εἴη κατὰ τοῦτο αὐτὸ ἡ γέννησις, τὸ ἐκ τῆς οὐσίας εἶναι διάφορον ὅμως δείκνυσιν εἰκότως καὶ τὴν ὁμοιότητα· ἰδοὺ γὰρ ἐπὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἀνθρώπου ἐκ τῆς οὐσίας τοῦδε λέγεται γεννᾶσθαι υἱός τε καὶ θεώρημα καὶ λέξις καὶ τρίχες καὶ οὐλαὶ καὶ ἐνέργεια καὶ ἕτερα πλεῖστα· ἆρα οὖν πάντα ἀνθρώπῳ εἶναι ὅμοια τῇ οὐσίᾳ νομιστέον; ἐπεὶ εἰς οὐσίαν καὶ κατ' οὐσίαν τινὰ τῶνδε γεγέννηται, καὶ ἐκ τῆς οὐσίας, ἢ τῇ διαφορᾷ τῶν τρόπων καὶ λόγων, καὶ ὑλῶν, διαφέρειν ἀνάγκη πρὸς τὸν τεκόντα; καὶ τάδε οὐκ ἐκ τῆς οὐσίας αὐτοῦ πάσης ἢ μόνης, ἢ μόνα τικτόμενα.

Οὐκοῦν εἰ καὶ ὁ Θεὸς λόγος ἐκ τῆς ἁγίας παρθένου γεγέννηται σὺν τῇ σαρκὶ, οὐ μόνος ψιλὸς τὴν φύσιν οὐδὲ ἐκ τῆσδε ἔχων τὸ ἁπλῶς εἶναι, τίς ἀνάγκη πάσης τῆς οὐσίας ἀπαιτεῖν ὁμοίωσιν τοῦ γεννηθέντος πρὸς τὸ ὁπωσοῦν γεννῆσαν; τῆς γεννήσεως ὁμολογουμένης μὴ εἶναι τῆσδε πατρικῆς, ἢ μόνη τὸ ἀπαράλλακτον τῆς ὁμοιώσεως τῆς οὐσίας τοῦ γεννήματος δείκνυσι πρὸς τὸν γεννήσαντα, ἤγουν τοῦ πατρὸς πρὸς τὸν ἑαυτοῦ ἄνευ σαρκὸς λόγον· ἡ γὰρ σὰρξ καὶ ὁ λόγος ὁ προὼν γεγέννηται ἐκ τῆς ἁγίας δεσποίνης· καὶ οὔτε μόνος, οὔτε ἐκ μόνης τῆς οὐσίας τῆς ἁγίας παρθένου, ὡς ἐκ πατρός· τοῦτο γὰρ ὑμῖν οὐκ ἐλέγετο παρ' ἡμῶν, ὡς λόγον μόνον ἐγέννησεν ἡ μόνη· ἢ μὴ προόντος, ἀλλὰ κατὰ τὴν οὐσίαν αὐτῆς σεσαρκωμένου· ὅθεν Χριστὸς κατ' ἄμφω αὐτοῦ τὰ μέρη ὁ γεννηθεὶς, ἅτε χρίσμα καὶ χριόμενος εἴρηται· εἰ δὲ τοῦτον ἑνὶ πάντως καὶ οὐ δύο ἑτεροουσίοις λέγειν ὁμοούσιον ἡμᾶς εἰσπράττετε, ὥρα ὑμᾶς μὴ δὲ τὸν Ἀδὰμ

ἀπὸ γῆς τὲ καὶ θείου ἐμφυσήματος γενόμενον, κατὰ θάτερον ἐν αὐτῷ μερῶν λόγον, θατέρᾳ λέγειν συστατικῇ αὐτοῦ οὐσίᾳ ὁμοούσιον εἶναι· ἀλλ' ἢ θεῖον αὐτοῦ δοξάσαι καὶ τὸ γήϊνον, ἢ γήϊνον καὶ θεῖον ὑπολαμβάνειν· εἰ δὲ ταῦτα ἐπὶ τούτου πρόδηλον ἔχει τὴν πλάνην, ἀληθῶς καὶ ὁ εἷς ἡμῶν Χριστὸς ἀμφοτέροις τῶν γεννητόρων ἐκ θατέρου τῶν ἐν αὐτῷ ὅμοιος εἶναι δύναταί τε καὶ λέγεται.

VIII. Εἰ μήτηρ τοῦ θεοῦ κατ' ἀλήθειαν ἡ παρθένος, υἱὸς κατ' ἀλήθειαν τῆς παρθένου ὁ θεός· εἰ υἱὸς τῆς παρθένου κατ' ἀλήθειαν ὁ θεός, ἢ ὅμοιος τῇ μητρὶ, ἢ οὐχ' ὅμοιος· καὶ εἰ μὲν ὅμοιος, οὐ θεός· εἰ δὲ οὐχ' ὅμοιος, οὐχ' υἱός. Ἀλλ' ἤδη ἡμῖν εἴρηται καὶ τὸν κατ' ἀλήθειαν υἱὸν μὴ κατὰ πάντα εἶναι τῷ τεκόντι ὅμοιον· καὶ γὰρ καὶ ἐκ πυρὸς φῶς, καὶ οὐχ' ὅμοιον πάντη πυρί· καὶ νόημα ἐκ ψυχῆς, καὶ οὐ ψυχή· καὶ ἰχθύες ἐξ ὕδατος, καὶ οὐχ' ὕδωρ· ἐν τούτοις μὲν οὖν καὶ τὸ πάντη ἀνόμοιον πρὸς τὰ τέκοντα τῶν τεχθέντων ἔστιν ἰδεῖν· εἰ δὲ ἐκ μέρους ἀνόμοιος τῇ μητρὶ καὶ ὅμοιος ὁ Χριστὸς, τί ἄτοπον; ἆρα οὖν ἐπεὶ μὴ κατὰ τὸ ὅλον πέρδικι ὅμοιος ὁ ἐκ πέρδικος, καὶ φασιανῷ περδικοφασιανὸς, οὐκ ὄντως ἔσται οὐδὲ υἱὸς τοῦδε, ὦ φυσιολόγοι;

IX. Ἡ τοῦ θεοῦ λόγου ἐκ παρθένου κατὰ ἀλήθειαν γέννησις, ἢ πάθος αὐτοῦ ἐστὶν, ἢ ἐνέργεια· ἢ πάθος, καὶ ἐνέργεια· ἢ οὔτε πάθος, οὔτε ἐνέργεια· ἀλλ' εἰ μὲν πάθος φαίνεται, πρόδηλος ἡ ἀσέβεια· τοῦ γὰρ γεγεννημένου τὸ πάθος, γεγέννηται δὲ ἡ οὐσία τοῦ θεοῦ καθ' ὑμᾶς, τῆς οὐσίας ἄρα τοῦ θεοῦ τὸ πάθος· εἰ δὲ ἐνέργεια, ἐνεργεῖ δὲ ὁ θεὸς οὐ τῷ εἶναι αὐτῷ, τουτέστιν οὐ τῇ οὐσίᾳ, ἀλλὰ μόνῳ τῷ θέλειν· τοῦ θέλειν ἄρα τῆς οὐσίας τοῦ θεοῦ ἡ γέννησις· εἰ δὲ πάθος καὶ ἐνέργεια, πεπονθὼς μὲν τῇ οὐσίᾳ, ἐνεργήσας δὲ τῷ θέλειν γεγέννηται, γεγέννηται ἄρα καὶ ἡ οὐσία καὶ τὸ θέλειν τοῦ θεοῦ, ἡ μὲν παθοῦσα, τὸ δὲ δράσαν· εἰ δὲ οὔτε πάθος οὔτε ἐνέργεια, οὔτε ἡ οὐσία οὔτε τὸ θέλειν τοῦ θεοῦ ἐγεννήθη, εἰπὲ τί τοῦ θεοῦ ἐγεννήθη, οὗ γεννηθέντος, κυρίως κατὰ ἀλήθειαν ὁ θεὸς ἐγεννήθη. Φεῦ τῆς ἀσόφου ὑμῶν σοφίας· τοιαύτης λογιότητος μὴ δὲ εἴδωλον θεὸς ἐν κόσμῳ καταλίποι· τί γὰρ ἀθλιώτερον τοιᾶσδε σπουδῆς, πᾶσαν ἐρανιζομένης ἀπρόσφορον αἰτιολογίαν, ἵνα τῷ ἀνυποστάτῳ ψεύδει, δόκησιν ὑποστάσεως ἀληθείας περιποιήσηται; καὶ τοῦτο οὐ διὰ κέρδος ἕτερον, ἀλλ' ἢ ἵνα κρηπῖδα βλασφημίας ἑαυτῇ οἰκοδομήσῃ· πρῶτον οὖν ὑμῶν ἀκουστέον, τίς κοινωνία διανοίας τῶν τε μέχρι τοῦ νῦν ὑμῖν περὶ γεννήσεως, καὶ γεννωμένων δοξάντων, καὶ τῶν ἀρτίως εἰρημένων· τὴν γὰρ κυρίως γέννησιν τὴν ἐξ οὐκ ὄντων, ἢ ἁπλῶς τὸ εἶναι διδοῦσαν τῷ γεννωμένῳ διεγνώκατε πρὸ τούτου· τοῦτο γὰρ καὶ ἐν τοῖς ἑξῆς ἄνω τὲ καὶ κάτω ὑπεβάλλετε· νῦν δὲ πῶς ἢ πάθος ἢ ἐνέργειαν, ἢ ἄμφω τὰ δύο,

ἐπὶ τοῦ Γεννωμένου ὁρώμενα, λέγετε εἶναι τὴν γέννησιν; εἰ μὲν γὰρ ἐνέργειά ἐστι καθ' ὑμᾶς τοῦ μέλλοντος γενέσθαι, εἴτε διὰ τοῦ θέλειν, εἴτε ὁπωσοῦν ἡ γέννησις αὐτοῦ, ἔχει δὲ τὸ εἶναι ὁ γεννώμενος οὗ ἐστιν ἡ θέλησις ἐκ τῆς γεννήσεως, ἄρα πρὸ τοῦ εἶναι, καὶ θέλει καὶ ἐνεργήσει τὸ εἶναι ἑαυτοῦ· καὶ ἔσται ἐν τῷ μὴ εἶναι ἑαυτὸν κεκτημένος τό τε εἶναι καὶ τὸ θέλειν ἑαυτοῦ· εἰ δὲ καὶ πάθος λέγετε τούτου εἶναι τὴν γέννησιν, πάλιν ὡσαύτως πρὸ τοῦ εἶναι πεπονθὼς εὑρεθήσεται· οὐκ οἶδα δὲ ἐν τίνι παθὼν, ὥσπερ οὐδὲ ἐν τίνι ἐνεργήσας, τὸ εἶναι ἑαυτοῦ προβάλλεται ὁ μὴ ὢν ὅς τις ἂν ᾖ· εἰ δὲ κατ' ἄμφω λέγετε τάςδε τὰς διαθέσεις τοῦ γεννωμένου τὴν γέννησιν προϊέναι, διπλᾶ ὑμῖν ἕψεται πάντα τὰ ἄτοπα τῆς ὑποθέσεως πρὸς τῷ καὶ συνυπάρχειν ἅμα τε καὶ ἐν τῷ αὐτῷ τὰ ἐναντία διδόναι.

Πλὴν ἐπιλέλησμαι· ἐν τῷ γὰρ μὴ ὄντι ταῦτα οἴεσθε· καὶ οὐ συνυπάρχει· οὐδὲ γὰρ ὑπάρχει τὰ ἐν τῷ μὴ ὑπάρχοντι· οὐκ οἶδα οὖν πῶς ὄντα εἴη ἐν τῷ μὴ ὄντι, ἃ καὶ ἐν τοῖς οὖσι γινόμενα, οὐ κυρίως ὄντα εἰσίν· ἔτι μὴ καὶ τῷδε προσεκτέον, ὡς εἰ ἐνέργεια, ἢ πάθος τοῦ γεννωμένου ἡ γέννησίς ἐστι, καθ' οὓς διεγράψατε ἀλογίστους τρόπους ὡς ἀναγκαίους, ἢ εἰς ἑαυτόν τι πάθοι ὑφ' ἑαυτοῦ γεννώμενος, ἢ ὑπὸ τοῦ τεκόντος, ἢ ὑπό τινος ἑτέρου· καὶ πάλιν, ἢ αὐτὸς ἐνεργήσει εἰς ἑαυτὸν, ἢ εἰς τὸν τεκόντα, ἢ εἴς τινα ἕτερον· ἔσται δὲ οὕτως, ἢ αὐτὸς ἑαυτὸν εἰς ἑαυτὸν ἢ εἰς τὸν τεκόντα, ἢ εἰς ἕτερον γεννήσας, ἢ ὑφ' ἑαυτοῦ εἰς ἑαυτὸν, ἢ ὑφ' ἑαυτοῦ εἰς ἑαυτὸν, ἢ ὑπὸ τοῦ πατρὸς, ἢ ὑφ' ἑτέρου Γεννηθείς· ταῦτα δὲ ἀκούειν ἢ τοιούτοις ἀποκρίνεσθαι φείσασθε ἡμῶν ὦ δεινότατοι· ὁμολογοῦμεν οὐ φέρειν ἀνεμεσί· κωφεύσατε δὴ οὖν ἵνα ἡμεῖς λαλήσωμεν· λέγεται μὲν γὰρ ἡ ἄλλου φθορᾶ συναίρεσθαι εἰς ἄλλου γέννησιν, καὶ ἑτέρου ἐνεργοῦντος· καὶ ἑτέρου πάσχοντος, ἕτερον προιέναι Γεννώμενον, ὡς ἐπὶ σωμάτων ὁρῶμεν κατὰ τοὺς διαφόρους τρόπους τῶν γεννωμένων· τέκτονος μὲν γὰρ τῇ τε φυσικῇ καὶ ἐπιστημονικῇ ἐνεργείᾳ, πάθει δὲ τοῦ ξύλου, τῆς κλίνης προέρχεται τὸ εἶδος· καὶ πάλιν πυρὸς τῇ φύσει ἐνεργοῦντος καὶ φθείροντος, πάσχοντος δὲ καὶ φθειρομένου τοῦ στέατος, λιγνύος εἶδος ἐν ἀέρι γεννᾶται· οἵ τε γὰρ φύσιν καὶ ὕλιν ὅτί ποτέ εἰσι διαφόρως νοοῦντες καὶ ὑποτιθέμενοι, ὅμως τῆς ἐνεργούσης, τῆς δὲ πασχούσης γεννᾶσθαι τὰ ἐκ τούτων εἴδη ὁμολογοῦσι· κατὰ μέν τοι τὰ ὑμέτερα θεσπίσματα, τὸ μὴ ὂν γεννᾷ τί· καὶ μάλιστα τὸ ἑαυτοῦ εἶναι πάθει ἢ ἐνεργείᾳ οὐδεὶς ἔφησε πώποτε· ἀλλ' οὐδὲ ὅλως πάθος ἢ ἐνέργειαν ἐπὶ τοῦ μηδέπω ὄντος ἐγνώρισε· πῶς οὖν τοιαύταις ἡμᾶς ὡς φυσικαῖς διαιρέσεσι συλλογίζεσθε;

Ἀλλὰ τοιαῦτα ἡμεῖς μέχρι τοῦ νῦν θεοῦ χάριτι μὴ εἰδέναι μήτε δι-

δαχθῆναι ὁμολογοῦντες, ὀρθοδόξως κηρύττομεν τὴν εὐσέβειαν ὑπὸ τῶν ἁγίων διδαχθέντες πατέρων, τὸν ἐκ μόνου πατρὸς μόνον υἱὸν, τῇ μὲν μιᾷ μεμονωμένῃ αὐτοῦ ἰδίᾳ γεννήσει προόντα τῶν αἰώνων θεὸν λόγον· ἐν ὑστέροις δὲ καιροῖς ἰδίᾳ εὐδοκίᾳ φιλανθρώπῳ τὴν δευτέραν ἑαυτοῦ πάλιν ἰδικωτάτην ἐνεργῆσαι γέννησιν ἐν τῇ συμπλοκῇ τοῦ καθ' ἡμᾶς ἀνθρώπου ὁμολογοῦμεν, καὶ προελεύσει σαρκικῇ ἐκ τῆς ἁγίας παρθένου τεχθῆναι, ὁμοιότητι γεννήσεως· μὴ δὲ κατὰ τὴν πρώτην αὐτοῦ, μὴ δὲ κατὰ δευτέραν γέννησιν τινὶ τῶν πάντων κοινονοῦντα· οὔτε γάρ τι ἕτερον κατὰ τὸ ἀΐδιον καὶ ἀπαράλλακτον καὶ εὐάρεστον καὶ ἄτρεπτον καὶ ἀμέριστον καὶ ἀνελλιπὲς καὶ ἀνεκφοίτητον τῆς πρώτης αὐτοῦ ἤγουν γεννήσεως γεγέννηται, οὔτε κατὰ τὴν δευτέραν ἕτερόν τι οὕτως ἀσπόρως καὶ ἀφθόρως καὶ ὑπερφυῶς γεγέννηται, καὶ πνεύματος ἁγίου συλληφθὲν, καὶ ἀχρόνως τελειωθὲν, καὶ μορφωθὲν, καὶ διοργανωθὲν, καὶ εἰς πάντα τὸν ἑαυτοῦ οὐσιώδη λόγον ἀπαρτισθὲν ἐν τῇ ἁγνῇ μήτρᾳ τῆς ἀμιάντου, εἰς ναὸν καὶ εἰς σκήνωμα τοῦ λόγου τῆς ἀνθρωπίνης σαρκὸς ἐξ αὐτῆς μόνης τελειωθείσης καὶ συναφθείσης αὐτῷ ἐν ἀκαρεῖ· ἔτι μὴν καὶ ἀληθῶς κεκλεισμένης τῆς παρθενικῆς πύλης, κατὰ φύσιν ἀληθῶς σῶμα οὔσης τῆς θεοδόχου σαρκὸς αὐτοῦ διὰ τῶν ἀῤῥαγῶν σωμάτων χωρῆσαι τῆς μήτρας τῆς παρθένου τῇ ὑπὲρ φύσιν δυνάμει τοῦ ἐνόντος αὐτῇ πνεύματος τοῦ λόγου πιστεύομεν· πῶς οὖν οὐ παντὸς μᾶλλον ἔτι καὶ ἔτι διὰ ταῦτα θεοτόκον ἀληθῶς γνωρίσαντες εὐφημήσομεν τὴν παρθένον ταύτην, ἐν ᾗ καὶ ἐξ ἧς ὁ λόγος τὴν σάρκα μνηστευσάμενος προῆλθεν ὡς νυμφίος ἐκ παστοῦ ἁγίου αὐτοῦ; ἀφ' ἧς τὲ ἡ σοφία τὸν ἑαυτῆς λαττομήσασα οἶκον ἑαυτῇ περιῳκοδόμησε; καὶ τὸ θαυμαστὸν, ὅτι οὐδὲ τὸ τῆς φύσεως ἰδιώματι τοῦ οἰκήματος ἑαυτὴν συνεξήγαγεν ἐκ τῆς μήτρας τῆς παρθένου· ἀλλὰ τοὐναντίον τῷ τῆς φύσεως ἰδιώματι ἑαυτῆς, ἤγουν τοῦ ἐνοικήσαντος αὐτῇ λόγου, τὸ οἴκημα πνευματικῶς συνεξείλκυσεν ἑαυτῆς ἐκ τῆς τεκούσης αὐτὸ· σὺν αὐτῷ γὰρ πνευματικῶς ἐξιέναι καὶ χωρῆσαι διὰ τῶν ἀῤῥαγῶν σωμάτων τῆς παρθένου, τὴν σάρκα ἑαυτοῦ ὁ λόγος ἐδυνάμωσεν· ὥσπερ ὁ ἄσαρκος αὐτὸς εἰσιὼν δι' αὐτῶν οὐκ ἐστενοχωρεῖτο· ἐπεὶ γὰρ ἰδίᾳ εὐδοκίᾳ ἑαυτὸν εἰς τὴν παρθένον ἐνδέδωκε· καὶ ἐξ αὐτῆς ἑαυτὸν ὁ ἄσαρκος σαρκικῶς ἐμόρφωσε, θεϊκῶς καὶ τὴν ἀπ' αὐτῆς σάρκα αὐτοῦ ἑαυτῷ συμπροήγαγε· φιμωθήτω οὖν ὑμῶν τὸ βέβηλον ἄχρις ἀνοιγῶσιν ὑμῶν οἱ ὀφθαλμοὶ, ἵνα ἰδόντες τὸ φῶς τοῦ μυστηρίου, τότε λαλεῖν οὐ τὰς φαντασίας τῶν εἰδώλων τοῦ σκότους τῆς ἐπιγείου σοφίας, ἀλλὰ τὰ μεγαλεῖα τοῦ θεοῦ ἐξισχύσητε.

X. Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ θεὸς λόγος ἐκ τῆς παρθένου, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ἐξ αὐτῆς ἡ σὰρξ ἡ θνητὴ καὶ

φθαρτὴ καὶ ἐψυχωμένη ψυχῇ λογικῇ καὶ νοερᾷ, ἢ σὰρξ προϋπάρχει τῆς παρθένου, ἢ ὁ θεὸς λόγος μεθυπάρχει τῆς παρθένου· ὅπερ ἄτοπον ἑκάτερον. Ἀλλ' οὐ καθ' ἕνα καὶ τὸν αὐτὸν τῆς γεννήσεως λόγον, ἀμφοτέρων τῶν τοῦ ἑνὸς υἱοῦ μερῶν τὴν γέννησιν τὴν ἐκ παρθένου εἶναι, πολλάκις ἡμῖν εἴρηται ὦ φυσικοί· ἀληθῶς μέν τοι μήτηρ ἐστὶ καθ' ἑκάτερον λόγον· τοῦ μὲν ὡς ἐξ αὐτῆς σαρκικῶς εἶναι ὑπάρξαντος· τοῦ δὲ καὶ ὡς ἁπλῶς σαρκὸς εἶναι ὑπάρξαντος· οὕτως γὰρ μία μήτηρ ἑνὸς τοῦ συναμφοτέρου ἀναδέδεικται· ἆρα δὴ οὖν εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθησαν σαρκὶ Ζεβεδαίῳ οἱ υἱοὶ αὐτοῦ, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἀνεγεννήθησαν πρῶτοι διὰ τοῦ εὐαγγελίου προϋπάρχουσιν αὐτοῦ ἁπλῶς· ἢ αὐτὸς μεθυπάρχει αὐτῶν, καί τοι εἰ θάτερον προϋπάρχει, πάντως τὸ ἕτερον μεθυπάρχει, δοκησείσοφοι· καὶ οὐχ' ὡς φατὲ ἢ τόδε ἢ τόδε· πάντως γὰρ τῇ σχέσει ἅμα ἐστὶ τάδε καὶ παρέπεται· τὸ γὰρ προϋπάρχον, μεθυπάρχοντος προϋπάρχει· ἀλλὰ δῆλον, ὡς κατ' ἄλλο καὶ ἄλλο ὁ αὐτὸς πρὸς τοὺς αὐτοὺς υἱούς τε ὄντας αὐτοῦ καὶ πατέρας, τήν τε προγενεσίαν ἔχει καὶ ὑστερογενεσίαν.

Εἰ τόκος ὁ τῆς σαρκὸς, τόκος τοῦ θεοῦ κατὰ ἀλήθειαν, καὶ τὸ εἶναι ἐστὶ κατὰ ἀλήθειαν τοῦ θεοῦ· εἰ δὲ τὸ εἶναι καὶ τὸ τοιόνδε εἶναι τοῦτο ἀσεβὲς ὁμοῦ καὶ ἀμήχανον, οὐκ ἄρα ὁ τόκος τῆς σαρκὸς, τόκος ἐστὶ κατὰ ἀλήθειαν τοῦ θεοῦ. Ἀλλὰ λείπει τῇ πρώτῃ ὑμῶν προτάσει τὸ ὡσαύτως ἐστί· καὶ τοῦτο ἢ δεινῶς ἢ ἀμαθῶς ὑμῶν διαλεγομένων παρεώραται· εἰ γὰρ ὁ τόκος τῆς σαρκὸς, τόκος τοῦ θεοῦ ὡσαύτως ἐστὶν, ἤγουν κατὰ τὸν αὐτὸν τοῦ τόκου λόγον τὸν ἐκ πατρὸς, τὰ αὐτὰ ὄντως ἀμφοτέροις χαρίσετε· εἰ δὲ πολλοί τε καὶ κατ' ἀλήθειαν λεγόμενοι λόγοι τόκου εἰσὶν, οὐ τὰ αὐτὰ ἐκ παντὸς λόγου τόκου ἕψεται νοεῖν τινὰ, ἐπὶ τοῖς ὁπωσοῦν τεχθῆναι λεγομένοις· οὔτε δὲ τοῦτο ὑμῖν τις δέδωκεν ὅτι ἁπλῶς καὶ γυμνῆς σαρκὸς τόκος, οὗτος καὶ τόκος θεοῦ ἔστι, ἀλλ' οὔτε ὅτι συνημμένου τῇ σαρκὶ τοῦ θεοῦ, ὅμως ὁ αὐτός ἐστι κατὰ τὸν λόγον ὁ τόκος τοῦ θεοῦ ὁ ἐκ παρθένου τῷ τόκῳ τῆς σαρκὸς· ἀλλ' ὁ αὐτὸς κατὰ ἀριθμὸν, ἐν διαφόροις δὲ λόγοις γεννήσεως ἀληθῶς κατ' ἄμφω συνεστὼς τὰς τεχθείσας φύσεις· τὸ γὰρ τῆς γεννήσεως ὄνομα ὡς καὶ ὑμεῖς παρηγάγετε, ὁμώνυμον· ἐν δὲ τοῖς ὁμωνύμοις τὸ μὲν μᾶλλον εἶναι, τὸ δέ τι καὶ ἧττον, οὐκ ἔστιν· οὐδὲ τὸ πρῶτον καὶ δεύτερον, ὦ λογιώτατοι· οὐκοῦν ἀληθεῖς μὲν πᾶσαι αἱ γεννήσεις, ἀλλ' οὐκ ἐμφερεῖς· ὅτι οὖν τῆς ἐνθέου σαρκὸς ὁ τόκος καὶ θεοῦ σεσαρκωμένου ἐστὶ τόκος, ὡμολόγηται· ἀλλ' ὡς πρέπει ἑκατέρῳ· οὔτε γὰρ σὰρξ οὔτε τόκος ἀλλοιῶσαι θεοῦ φύσιν δύνανται. τοὐναντίον μὲν οὖν θεὸς καὶ σαρκὸς φύσιν, καὶ φυσικὸν τόκον, ἀλλοιῶσαι κατὰ τοὺς ὅρους καὶ καιροὺς καὶ τρόπους τῆς αὐτοῦ οἰκονομίας ἡνίκα ἂν XI.

ἐθέλοι, δεδύνηται· τόκος ἄρα θεοῦ μὲν ὡς ἐναρξαμένου σαρκώσεως, σαρκὸς δὲ ὡς ἐναρξαμένης ὑπάρξεως.

XII. Εἰ τὰ τίκτοντα πρὸς τὰ τίκτοντα κατ' οὐσίαν παραλλάττει, καὶ τὰ τικτόμενα πρὸς τὰ τικτόμενα ἀνάγκη πᾶσα κατ' οὐσίαν παραλλάττειν· καὶ εἰ τοῦτο, πῶς τοῦ πατρὸς καὶ τῆς παρθένου κατ' οὐσίαν παραλλαττόντων, οὐ παραλλάττειν ἀνάγκη τὸν θεὸν λόγον αὐτὸν ἑαυτοῦ κατ' οὐσίαν, ἀμφοτέρων ὑπάρχοντα κατὰ ἀλήθειαν υἱόν; τὸ δὲ αὐτὸν ἑαυτοῦ κατ' οὐσίαν παραλλάττειν λέγειν τὸν πάσης ἁπλότητος ἐπέκεινα, πάσης ἐκστάσεώς ἐστι ἐπέκεινα· Ἀλλὰ πῶς ὦ οὗτοι τῷ φέροντι ἤδη τὸ δοκοῦν ἀποφθέγγεσθε; καὶ γὰρ ἰχθῦας τὲ καὶ ἕτερα ζῶα καὶ πετεινὰ καὶ ἑρπετά τινὰ ἐκ τῆς ἀλλήλων συνουσίας· ὡσαύτως δὲ καὶ ἐξ ὑδάτων αὐτοφυῶς καὶ ἐκ γῆς καὶ ἐξ ἀέρος τίκτεται· καὶ ὅμως ὅμοιά εἰσι τὴν οὐσίαν διαφερόντων φύσει τῶν τεκόντων· οὐ γὰρ ταυτὸν οὐσία ζώου τὲ καὶ ὕδατος καὶ γῆς· ἰχθὺς δὲ ὅ τε ἐξ ὕδατος, καὶ ὁ ἐξ ἰχθῦος γεννώμενος· ὡσαύτως καὶ ἀδιαφόρως καὶ ὄφεις καὶ ἕτερα πλεῖστα τοιαῦτα· δευτέρως δὲ ἀντιστροφῇ τὸ ὑμέτερον βασανίσωμεν θέμα· εἰ γὰρ τὰ διάφορα τῇ φύσει, διάφορα τίκτειν ἀνάγκη, καὶ τὰ ἀδιάφορα τῇ φύσει ἀδίαφορα τίκτειν ἀνάγκη· ἐπεὶ οὖν εἷς καὶ οὐ πλείους, ἢ διάφοροι ἁπλῶς ἥλιοι, οὗτος δὲ ἐν ἀέρι φῶς, ἐν ὕδατι δὲ ζῶα, ἐν δὲ γῇ πόας καὶ ταύτας διαφόρους τίκτει, ἆρα πάντων ἀδιάφορον ἡμῖν νομιστέον τὴν οὐσίαν; ἀλλ' οὐδεὶς ὑμῖν τάδε συμφθέγξεται.

Πλὴν ἔστω καὶ τάδε ὑμῖν συγκεχωρημένα· τοῦτο δὲ ὅμως δείξατε, ὡς πολλάκις εἴρηται, τί τὸ κωλύον μὴ εἶναι τὸν αὐτὸν ἑκατέρων υἱόν, καὶ εἰ τὰ τίκτοντα κατ' οὐσίαν παραλλάττει, τὸν καθ' ἑκατέραν γέννησιν ἐξ ἑτέρας οὐσίας τικτόμενον, τί ἐμποδίσει ὡς ἐξ ἑτέρας οὐσίας προτεχθέντα, ἐν τῇ δευτέρᾳ γεννήσει διάφορον εἶναι πρὸς τοὺς τεκόντας κατὰ τὴν πρώτην γέννησιν, καὶ ἐκ τοῦ ὅλου ἑαυτοῦ διαφόρους ἔχειν λόγους πρὸς ἑκάτερον τῶν τεκόντων; ἢ ὡς μὴ σωζομένης τῆς πρώτης οὐσίας ἐπὶ τῇ δευτέρᾳ γεννήσει, ἢ ὡς μὴ ἐπιγινομένου τινὸς προγεγεννημένῃ ὑποστάσει· οὕτω γὰρ ἂν οὐδεὶς τῶν κατὰ πνεῦμα γεγεννημένων, ἔμεινε σὰρξ ὁπωσοῦν, ἐπεὶ τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι, τὸ δὲ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμα ἐστιν· εἰ δὲ τὴν ἐπίκτησιν τῶν ἐκ τῆς δευτέρας γεννήσεως προσληφθέντων τῷ λόγῳ τὴν πρώην ἁπλότητα αὐτοῦ οὐ συγχωρεῖν καθορᾶσθαι νομίζετε, σκεπτέον ὡς τὴν παραλλαγὴν τήνδε τῆς οὐσίας οὐκ ἐντὸς τῆς φυσικῆς αὐτῆς ἁπλότητος τοῦ λόγου, ἀλλ' ἐκτὸς θεωρεῖτε, ἤγουν ἐν τῷ συνθέτῳ τῆς ὑποστάσεως· ὥστε τὸν βουλόμενον, τὸ τῆς πρώτης γεννήσεως ἀδιάφορον τῇ οὐσίᾳ πρὸς τὸν τεκόντα φυλαχθὲν θεωρεῖν, ὡς ἐν μέρει δὲ τοῦ τῆς δευτέρας γεννήσεως ὅλου δεῖ ὁρᾶν·

καὶ πάλιν τὸ τῆς δευτέρας γεννήσεως πρόσλημμα τοῦ λόγου, σαφῶς δεῖ νοεῖν ἐν τῇ ὁμοιώσει τῆς παρθένου μητρὸς αὐτοῦ τῆς διαφορᾶς τῶν δύο οὐσιῶν τοῦ συνθέτου ἄμφω ἐχούσης τὰς κατ' οὐσίαν ὁμοιότητας· καὶ οὕτως οὐδεὶς οὔτε τὸν λόγον τῆς ἑαυτοῦ οὐσίας παραλλάττειν φήσειεν ἄν, οὐδὲ τὸν σύνθετον καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τῆς διαφορᾶς τῶν γονικῶν αὐτοῦ φύσεων τὶ παραλελοιπέναι νομίσειεν· οὐ γὰρ ὡς κατασκευάζετε ἁπλῶς καὶ γυμνὸν τὸν λόγον ἄμφω τεκεῖν φαμὲν τοὺς γεννήτορας αὐτοῦ· ἀλλὰ τὸν μὲν πατέρα, ἁπλῶς καὶ ἁπλοῦν· τὴν δὲ μητέρα, μετὰ σαρκὸς σύνθετον τὸν αὐτὸν τεκεῖν ἐν Χριστῷ νοοῦμεν.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἡ οὐσία τοῦ θεοῦ λόγου ἐκ τῆς XIII. οὐσίας τοῦ πατρὸς, καὶ ἔστιν ὁμοούσιος αὐτῷ, πάντη κατ' οὐσίαν καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ γυναικὸς ἡ οὐσία τοῦ θεοῦ λόγου· καὶ ἔστιν ἀνόμοιος αὕτη πάντη κατ' οὐσίαν· οὐ τὸ κυρίως καὶ κατὰ ἀλήθειαν γεννηθῆναι τὴν οὐσίαν ἐκ τῆς οὐσίας ἐστὶ, τὸ ποιοῦν πάντη ὅμοια κατ' οὐσίαν τὰ τικτόμενα τοῖς τίκτουσιν, ἀλλά τι ἕτερον, ὅπερ οὐδὲ ἐπινοῆσαι δυνατόν. Κυρίως μὲν καὶ κατὰ ἀλήθειαν ἡ οὐσία τοῦ θεοῦ λόγου ἔκ τε τῆς οὐσίας τοῦ πατρὸς καὶ ἐκ τῆς ἁγίας παρθένου γεγέννηται· ἀλλ' οὐ τῇ ὁμοίᾳ γεννήσει, οὔτε τὸ αὐτὸ ἐξ ἑκατέρου λαβοῦσα ἡ κεκτημένη· ἐκ μὲν γὰρ τῆς τοῦ πατρὸς πρώτης αὐτοῦ γεννήσεως μόνος καὶ μόνης καὶ ὅλης καὶ ὅλος τὸ εἶναι ἔχει· ἀνάρχως τε τοῦτο καὶ ἀχρόνως καὶ ἀϊδίως καὶ κατὰ τὰ λοιπὰ θεοπρεπῆ· ἐκ δὲ τῆς δευτέρας, τὸ σαρκικῶς εἶναι ἄρξασθαί τε συνθέσεως ἀπὸ χρόνου, καὶ τὰ λοιπὰ τῆς καθ' ἡμᾶς ὁμοιώσεως· πῶς οὖν οὐχ εἰς τὸ αὐτὸ οὐδὲ κατὰ τὸν αὐτὸν τρόπον τῆς γεννήσεως γεννηθεὶς, τὰ αὐτὰ ὑμῖν εἰσπράττεται γνωριστήρια θατέρου τόκου πρὸς ἔνδειξιν ἀληθῆ τῆς πρώτης αὐτοῦ καὶ δευτέρας γεννήσεως, ἐν ἀμφοτέραις τε πάντως ὁμοίωσιν ἢ ἀνομοιότητα; οὐ γὰρ εἰ μὴ τὰ αὐτὰ ἕψεται ταῖς οὐ ταυταῖς γεννήσεσι, διὰ τόδε οὐδὲ γεννήσεις εἶεν κυρίως καὶ ἀληθεῖς· οὐ γὰρ ἐπεὶ μὴ ποτάμιος, διὰ τόδε οὐδὲ ἵππος ἀληθῶς ὁ χερσαῖος· ἄμφω γὰρ ἀληθῶς ἵπποι· οὐδὲ ἐπεὶ μὴ θαλάττιον, διὰ τοῦτο οὐδὲ ζῶον τὸ χερσαῖον· οὐκ ἀρκέσει οὖν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν γεννηθῆναι, δεῖξαι τὴν ὁμοιότητα τῆς οὐσίας, ὅπερ ὑμεῖς εἰς αἰτίαν ὁμοίου παρηγάγετε, εἰ μὴ καὶ κατὰ τὴν τοιάνδε γέννησιν τῶν ἀληθῶν γεννήσεων, ἤγουν τὴν ὅμοια δεικνύσαν τὰ τικτόμενα, τὶ γεγέννηται πάντως· καὶ ὑμεῖς γὰρ ἐν ἀρχῇ δεδώκατε ὡς τὰ μὲν χείρονας, τὰ δὲ κρίττονας, τὰ δὲ ὁμοίους παρίστησι τοῖς γεννηθεῖσι τοὺς γεννήσαντας· ἄλλως τε πρὸς μὲν τὸν πατέρα γεννηθεὶς, ὡς ὅλον τὶ ἔσχε τὴν ὁμοίωσιν ὁ λόγος ὡς θεός· Χριστὸς δὲ γεννηθεὶς καὶ οὐ λόγος ἁπλῶς, καὶ πρὸς τὴν μητέρα ἐκ μέρους μὲν ἔχει τὴν ὁμοίωσιν τὴν φυσικὴν, ἀλλὰ καὶ ἐκ μέρους τὸ ὅμοιον· διότι εἷς καὶ ὁ αὐτὸς ὑπάρ-

χων, κατὰ θάτερον τῶν ἐν αὐτῷ μερῶν, τήν τε πρὸς τὸν πατέρα καὶ πρὸς τὴν μητέρα φυσικὴν ὁμοίωσιν κέκτηται καὶ διαφοράν· ὁμοίως δὲ καὶ ἡμεῖς τοῖς ὑμετέροις ἀντεπάγοντες, δείξωμεν τὰ ἡμέτερα· εἰ γὰρ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ Σαοὺλ Ἰωνάθαν, ἔστιν ὅμοιος αὐτῷ κατ' οὐσίαν· καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ἀπ' αὐτοῦ λόγος, καὶ ἔστιν ἀνομοιότατος αὐτῷ κατ' οὐσίαν· οὐ τὸ κυρίως γεννηθῆναι ἐστι σαφῶς αἴτιον τῆς ὁμοιότητος, ἀλλ' ὁ τῆς ὁμοιότησος τοῦ ὅλου ἢ μέρους ἴδιος τρόπος τῶν ἐν ταῖς γεννήσεσι νοουμένων.

XIV. Εἰ ἐγεννήθη ὁ υἱὸς ἐκ τοῦ πατρὸς κατὰ θεότητα, καὶ σώζει τὴν κατ' οὐσίαν πρὸς αὐτὸν ὁμοιότητα· ἐγεννήθη δὲ καθ' ὑμᾶς ὁμοίως ὁ υἱὸς καὶ ἐκ τῆς παρθένου κατὰ θεότητα, σώζειν ἀνάγκη τὴν πρὸς αὐτὴν κατ' οὐσίαν ὁμοιότητα κατὰ τὴν θεότητα· εἰ δὲ τοῦτο, ἕξει πάντως καὶ ἡ παρθένος τὴν πρὸς τὸν θεὸν καὶ πατέρα κατ' οὐσίαν ὁμοιότητα· τὰ γὰρ τῷ αὐτῷ ὅμοια, καὶ ἀλλήλοις ἐστὶν ὅμοια. Ἀλλ' οὔτε πᾶν, οὔτε κατὰ πᾶσαν γέννησιν, οὔτε κατὰ τὸ ὅλον ἑαυτοῦ τὸ ἔκ τινος γεννώμενον, σώζειν ἀνάγκη τὸν τῆς φύσεως τοῦ τεκόντος λόγον, ἀπαράλλακτον δέδεικται καὶ εἴρηται πολλάκις· ἰδοὺ γὰρ καὶ φύσει τέκνα ὀργῆς, καὶ υἱοὶ ἀπειθείας καὶ ἀνομίας, καὶ υἱοὶ σκότους, καὶ τέκνα τοῦ πονηροῦ, καὶ υἱοὶ τοῦ αἰῶνος τούτου, καὶ τέκνα τοῦ διαβόλου, ἀλλὰ καὶ τέκνα θεοῦ, καὶ θελήματος θείου γεννήματα, καὶ υἱοὶ φωτὸς, καὶ υἱοὶ ἡμέρας, καὶ υἱοὶ δυνάμεως, καὶ υἱοὶ ὑψίστου εἴρηνται τῇ ἁγίᾳ γραφῇ, κατὰ διαφόρους ἀληθεῖς κατὰ τὸν οἰκεῖον λόγον γεννήσεις καὶ τοὺς ἑκάστης γεννήσεως τρόπους· καὶ οὐδὲν ἂν τῶνδε γέννημα εἴποι τὶς ἐξ ἀνάγκης ὁμοούσιον τῷ τεκόντι· οὐδὲ γὰρ ὀργὴ τὰ τέκνα τῆς ὀργῆς· οὔτε αἰὼν τὰ τέκνα τοῦ αἰῶνος· οὐδὲ θεοὶ τὴν οὐσίαν τὰ τέκνα τοῦ θεοῦ πάντα· οὐδὲ ὁμοούσιοι τῷ ὑψίστῳ οἱ υἱοὶ τοῦ ὑψίστου· οὐκοῦν πρῶτα μὲν, οὐκ εἴ τι ἔκ τινος, τοῦτο καὶ ὅμοιον πάντως τῷ ὅλῳ τῆς οὐσίας αὐτοῦ λόγῳ εἶναι ἀναγκαῖον· πάλιν δ' οὖν ἐροῦμεν, ὅτι τότε ἂν ὑμῖν εἶχε τὸ εὔλογον ἡ ἀπορία, εἰ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως τὸν αὐτὸν ἐξ ἑκατέρου προεληλυθέναι εἰρήκαμεν Χριστόν· εἰ γὰρ ἐπεὶ κατὰ τὴν θεότητα ἐκ πατρὸς γεγέννηται, καὶ κατὰ τὴν θεότητα ἐκ μητρὸς ὁ αὐτὸς γεγέννηται, ἑτέρως μέντοι ἤγουν ὅτι σεσάρκωται, τὸν αὐτὸν ἀπαιτεῖτε λόγον πρὸς ἑκάτερον τῶν γεννητόρων ἔχειν αὐτὸν κατ' οὐσίαν, δέον ὑμᾶς λέγειν καὶ Πέτρον ἐπεὶ κατὰ τὴν οὐσίαν ὑπὸ Ἰωνᾶ γεγέννηται, καὶ κατὰ τὴν οὐσίαν τῷ ἁγίῳ πνεύματι ἐμφορούμενος, τοῦ τότε ἐπενδυσάμενος πνευματικὸς γεγέννηται, σώζειν αὐτὸν τήν τε πρὸς τὸν Ἰωνᾶν καὶ τὴν πρὸς τὸ ἅγιον πνεῦμα κατὰ τὸ ὅλον καὶ οὐκ ἐκ μέρους κατ' οὐσίαν ὁμοιότητα· καὶ εἰ τοῦτο, πάντως καὶ Ἰωνᾶς ὁ τούτου πατὴρ, ἕξει τὴν πρὸς τὸ ἅγιον πνεῦμα κατ' οὐσίαν ὁμοιότητα· τὰ γὰρ

τῷ αὐτῷ ὅμοια, καὶ ἀλλήλοις, ὡς δέδοκται· εἰ οὖν τόδε διὰ τάδε οὐ κέκώλυται, ἀλλ' ἔστιν ἐκ μέρους τῆς ὑποστάσεως αὐτοῦ ἑκατέρῳ ὁμοούσιος, πῶς οὐχὶ καὶ Χριστὸν οὕτως νοεῖν αἱρησόμεθα;

Πᾶν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τίκτον, αἴτιον τοῦ τικτομένου· XV.
οὐδὲν δὲ αἴτιον τοῦ τικτομένου, νεώτερον τοῦ τικτομένου· οὐδὲν οὖν οὐ νεώτερον τοῦ τικτομένου, δημιούργημα τοῦ τικτομένου· οὐδὲν ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν τίκτον, δημιούργημα τοῦ τικτομένου. Ἀλλὰ δέον ὑμᾶς ἦν προσθεῖναι τῇ πρώτῃ τοῦ παρόντος ἐπιχειρήματος προτάσει, ὅτι κατ' ἐκεῖνο ὃ λέγεται τεκεῖν, καὶ ὡς τέτοκεν· οὕτως γὰρ καὶ αἴτιόν ἐστι τοῦ τικτομένου τὸ τίκτον, ἐπεὶ οὕτω καὶ ὁ διὰ τοῦ εὐαγγελίου γεννήσας Παῦλος, ἀληθῶς μέν ἐστι τοκεὺς καὶ αἴτιος προσεχῶς, οὐ τῆς σαρκικῆς δὲ ὑπάρξεως τῶν γεννηθέντων, ἀλλὰ τῆς κατὰ διδασκαλίαν πίστεως αὐτῶν· πολλοὶ γὰρ τῶν ὑπ' αὐτοῦ κατὰ ταύτην τὴν γέννησιν αὐτῷ γεγεννημένοι υἱοὶ, καὶ παλαιότεροι κατὰ τὸν τῆς σαρκὸς χρόνον ἦσαν τούτου· καὶ νεώτερος τούτων οὗτος ἐγεγόνει κατὰ χρόνον, ὁ αἴτιος αὐτῶν προσεχῶς κατὰ τὴν πίστιν· πῶς οὖν τὸ μὴ κατ' αὐτὸ τὸ εἶναι ἁπλῶς, ἀλλὰ κατὰ τὸ τοιῶςδε εἶναι τεκὸν μόνον ἤγουν τὸ σεσαρκωμένων εἶναι τὸν λόγον, οὐ μόνης τῆς νεωτέρας καταστάσεως, ἤγουν τοῦ τοιῶςδε αὐτοῦ εἶναι, λέγοιτο αἰτιόν τε καὶ παλαιότερον εἶναι, ἀλλὰ καὶ τῆς οἱασοῦν ὑπάρξεως αὐτοῦ ἑτέρας ἤδη ὁμολογουμένως προγεγεννημένου καὶ ἑτέρᾳ γεννήσει; πῶς δὲ καὶ Νικόδημος μὴ προϋφεστηκέναι τοῦ κυρίου καθ' ὁντιναοῦν λόγον ὁ νυκτερινὸς μαθητὴς ἐξ ἀνάγκης δοθήσεται, ἐπεὶ γεννηθῆναι αὐτὸν προετρέπετο γέροντα ἤδη ὄντα δι' ὕδατος καὶ πνεύματος; εἴπατε ἡμῖν ἄτρωτα φυλάττοντες τὰ ὑμέτερα.

Πᾶν τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, τὸ εἶναι ἔχει ἐκ τοῦ XVI.
τίκτοντος· οὐδὲν τὸ εἶναι ἔχον ἐκ τοῦ τίκτοντος, πρὸ τοῦ οἰκείου τόκου ἐστίν· οὐδὲν ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, πρὸ τοῦ οἰκείου τόκου ἐστίν. Ἆρα οὖν καθ' ὑμᾶς εἴ τι τὸ εἶναι ἔχειν ἁπλῶς λέγεται ἔκ τινος, τοῦτο κυρίως μόνον καὶ κατὰ ἀλήθειαν ἐξ αὐτοῦ γεγεννημένον εἴη, καὶ υἱὸς λέγοιτο; οὐ μὴν καὶ εἴ τι τὸ τοιῶςδε εἶναι ἔκ τινος ἔχει· καὶ πῶς Σὴθ καὶ οἱ ἀπ' αὐτοῦ, θείας υἱότητος ἀξιοῦνται καὶ υἱοὶ θεοῦ λέγονται; πῶς δὲ υἱοὶ Ἰσραὴλ οἱ ἐξ ἰουδαίων; πῶς δὲ τέκνα θεοῦ τὰ τέκνα τῆς ἐπαγγελίας τοῦ θεοῦ; ἀλλὰ καὶ οἱ ἀναγεγεννημένοι ἐκ σπορᾶς ἀφθάρτου διὰ λόγου ζῶντος θεοῦ καὶ μένοντος; πῶς δὲ υἱοὶ τοῦ νυμφῶνος οἱ ἀπόστολοι; πῶς δὲ Ὀνήσιμος υἱὸς Παύλου ὃν ἐγέννησε τοῖς δεσμοῖς αὐτοῦ; φύσει δὲ τέκνα ὀργῆς καὶ υἱοὺς ἀνομίας ἢ πάλιν υἱοὺς φωτὸς καὶ ζωῆς καὶ τὰ τοιαῦτα προσαγορεύεσθαι ἐν τῇ ἁγίᾳ γραφῇ, τίς λόγος παρεσκεύασεν; ἢ πῶς τὴν συμβεβηκείαν αὐτοῖς τοιάνδε κατάπτωσιν ἢ ἀνάστασιν

οὔτε σὺν τῷ εἶναι, οὐδὲ ἐκ τοῦ τὸ εἶναι δόντος, ὅμως κυρίως γέννησιν καθὸ λέγεται ἴσμεν; εἰ γὰρ μόνον ἐκ τῆς τοῦ εἶναι αἰτίας τὴν υἱότητα τούτων γνωρίζετε εἶναι, ἔσται ὑμᾶς ἐξ ἀνάγκης δοξάζειν, ὡς Ἰούδας τε καὶ ὁ διάβολος ἐπεὶ υἱοὶ λέγονται ἀπωλείας, παρ' αὐτῆς καὶ τὸ εἶναι ἔλαβον· εἰ δὲ καὶ ὑμεῖς φατὲ, ὅτι τὸ μὲν εἶναι ὁ Ἰούδας καὶ οἱ λοιποὶ οἱ κατ' αὐτὸν, ἐκ θεοῦ ἔσχον· τὸ δὲ τοιῶσδε εἶναι, οὐκ ἔσχον ἐκ θεοῦ· καθὸ λέγονταί τινες υἱοὶ σκότους καὶ κατάρας τῇ ὁμωνύμῳ υἱότητι, καθ' ἑκάτερα διεγνώκατε λεγομένους υἱούς· ἐν δὲ τοῖς ὁμωνύμοις, οὐδὲν μᾶλλον τοῦ ἑτέρου κυρίως ὠνόμασται· οἵ τε γὰρ πάλιν ἐκ μετανοίας πρὸς ἀρετὴν, καὶ διὰ πίστεως τῷ πνεύματι ἀναγεννηθέντες, υἱοὶ νυμφῶνος καὶ τέκνα βασιλείας καὶ τὰ τοιαῦτα καὶ ὑμῖν ὡμολόγηνται.

Καὶ πῶς οὐ δεδώκατε τὸ ζητούμενον ἡμῖν; ἰδοὺ γὰρ τὸ τοιῶσδε εἶναι, καὶ τοιοῦδέ τινος μετειληφέναι τινὰ, πολλάκις μὲν ἐνουσίου, πολλάκις δὲ καὶ ἀνυποστάτου τινὸς, υἱὸν τοῦδε ἀληθῶς εἶναι καὶ λέγεσθαι αὐτὸν ποιεῖ· ἐν γὰρ τοῖς ὁμωνύμοις, ὡς εἴρηται, οὐκ ἔστιν ἕτερον ἑτέρου μᾶλλον ἢ κυριώτερον λεγόμενον· εἰ γὰρ καὶ τὸ ζῶον τοῦ γεγραμμένου μᾶλλον δοκεῖ, καὶ κυριωτέρως τὸ δέ τι λέγεσθαι, ἀλλ' οὐχ' ὡς ὁμώνυμον τότε, ἀλλ' ὡς οὐ κυρίως ὠνομασμένου τὸ κυρίως ὀνομασθὲν· δύο γοῦν κυρίως ὠνομασμένων ἡ ὁμωνυμία οὐχ' ἕξει ποτὲ τὸ μᾶλλον καὶ ἧττον· οὐ γὰρ μᾶλλον κύων ὁ χερσαῖος ἢ ὁ θαλάττιος, ἧττον ζῶον ἢ κύων τὸ γεγραμμένον οὖν, ὡς αἴτιον ἢ παράδειγμα ἤ τι τοιοῦτον τὸ μᾶλλον ἔχει· ἄλλως τε εἰ τοῦ εἶναι αὐτοῦ αἴτιον εἶναι δεῖ τὸν ἀληθῶς λεγόμενον τεκεῖν πάντα, οὐδεὶς ἄνθρωπος ἀνθρώπου πατὴρ· οὐδὲ ἕτερον ζῶον ζῶον ἕτερον τέτοκε· ψυχὴν γὰρ νοητικὴν ἢ αἰσθητικὴν, οὐκ ἔχει τὰ σπέρματα· ἀλλὰ μετὰ τὴν μόρφωσιν καὶ τελείαν διοργάνωσιν τοῦ ἀψύχου ἐμβρύου, ψυχοῦται τὸ ζῶον (1) καὶ μάλιστα ἄνθρωπος ὑπὸ τοῦ πλάττοντος, πνεῦμα ἀνθρώπου ἐν αὐτῷ θεοῦ· διὸ καὶ φονέα ζώου, τὴν μετὰ τὴν διαμόρφωσιν αἴτιον τῆς ἐξαμβλώσεως, κρίνει ὁ θεῖος νόμος· ἆρα οὖν σαρκοτόκοι μόνον καὶ μάλιστα οἱ πατέρες· οὐδεὶς δὲ ἀνθρωποτόκος καθ' ὑμᾶς ἐστιν· οὕτω δὲ ἐπεὶ ῥεῖ καθημέραν καὶ ἀμείβεται τὸ σῶμα, καὶ οὐδὲ ἐν τῷ σώματι ἔσται τὶς μοίρα τῷ χρόνῳ τῶν γονέων, οὐδὲ τῆς σαρκὸς εἶεν πατέρες· ἀλλὰ καὶ γέρων ὁ Ἰσαὰκ πάντη ἐξέστη τοῦ εἶναι υἱὸς Ἀβραὰμ καὶ οἱ λοιποί· καὶ πῶς εἴρηται ὑπὸ τοῦ θεοῦ; σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου τραφεὶς ἐν γήρει καλῷ· ἀλλὰ ταῦτα πρόδηλα ἄτοπα· καὶ γὰρ αὐτὸς ὁ ἀπόστολος λέγων τοὺς μὲν εἶναι τῆς σαρκὸς πατέρας, οὓς καὶ ἔσχομεν παιδευτάς· καὶ

(1) Ζήτει σχόλιον τοῦ ἁγίου Μαξίμου, ὅτι τὸ καταβαλλόμενον σπέρμα, οὐκ ἔστι νεκρὸν, ἀλλ' ἐν τῇ ψυχῇ ὑφίσταται· ἐκ τῆς φύσεως γὰρ τῆς ἀνθρωπίνης τὸ σῶμα, ἐκ τοῦ θεοῦ δὲ ἡ ψυχή.

τὸν θεὸν λέγων πατέρα τῶν πνευμάτων εἶναι μόνον, αὐτὸς φησὶ μητέρα Τιμοθέου Εὐνίκην, καὶ οὐ τῆς σαρκὸς Τιμοθέου μόνον· δῆλον οὖν ὡς ἀληθῶς, εἰ καὶ μὴ τὸ εἶναι αὐτὸ ἁπλῶς, ἀλλὰ τὸ σαρκωθῆναι καὶ σεσαρκωμένος εἶναι ὁ λόγος ἔσχεν ἐκ τῆς ἁγίας παρθένου υἱός τε ἀληθῶς αὐτῆς ἐστί· καὶ νεώτερος ταύτης ἐν τῷ τοιῶσδε εἶναι, ἤγουν σύνθετος ἐξ ἁπλοῦ, καὶ σεσωματωμένος ἐξ ἀσωμάτου φανήσεται.

Τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τικτόμενον, εἰ ἐν χρόνῳ τίκτεται, δυνάμει μόνον ἐστὶν ἐν τῷ τίκτοντι πρὸ τῆς ἰδίας συλλήψεως, ὡς ἐν τῇ τοῦ Ἀβραὰμ ὀσφύϊ ὁ Λευΐ· τὸ δὲ δυνάμει μόνον ἐν τῷ τίκτοντι ὂν, ἀρχὴν λαμβάνει τοῦ εἶναι ἐν τῷ τίκτοντι· τὸ κυρίως ἄρα καὶ κατὰ ἀλήθειαν τικτόμενον εἰ ἐν χρόνῳ τίκτεται, ἀρχὴν τοῦ εἶναι λαμβάνει ἐν τῷ τίκτοντι. Ἵνα μὴ πολλάκις περὶ τῶν αὐτῶν ὑμῖν διασαφοῦντες συλληρωδῶμεν, παντὶ ὑμῶν τῷ σκοπῷ τοῦ νῦν ἐπιχειρήματος συγχωρήσωμεν, ὡς ἂν ἔχοι· δυνάμενοι λέγειν, ὡς καὶ κυρίως καὶ ἐν χρόνῳ ἐγεννήθη Τιμόθεος Παύλῳ· καὶ ὅμως οὐκ ἦν δυνάμει ἐν αὐτῷ, ὅτε Στέφανος ἐλιθάζετο· οὐ γὰρ ἀνάγκη προεῖναι κατὰ πᾶσαν γέννησιν ἐν τοῖς τίκτουσι τὰ ὁπωσοῦν τικτόμενα· τοῦτο δὲ ὑμῖν ἐροῦμεν· ὅτι τοῦ δεσπότου ὑμῶν Χριστοῦ, τὴν μὲν τῶν αὐτοῦ φύσεων ἀρχὴν οὐ τῆς οὐσιώσεως ἀλλὰ τῆς συνουσιώσεως μόνον ἐν τῇ ἁγίᾳ παρθένῳ λαβεῖν, τουτέστι τὴν τοῦ λόγου· τὴν δὲ ἑτέραν τῶν ἐν αὐτῷ φύσεων, ἤγουν τὴν τῆς σαρκὸς, ἀρχὴν τῆς τε οὐσιώσεως καὶ συνουσιώσεως ἐν αὐτῇ λαβεῖν· κατὰ θάτερον οὖν λόγον ἑκατέρας οὐσίας τοῦ τεχθέντος συνθέτου Χριστοῦ, ἀληθὴς γενέτειρα ἡ τεκοῦσα τὸ συναμφότερου δείκνυται κατὰ χρόνον· ἔκ τε γὰρ τοῦ εἰς τὸ εἶναι καὶ τοῦ εἰς τὸ τοιῶσδε εἶναι ἐγχρόνως προάγειν, γεννήτορες ἀληθῶς οἱ τεκόντες ὀνομάζονται· ὅπουγε ἐνθάδε οὐ φυσικοῦ ὄντος τοῦ τόκου, οὐδὲ προαποκεῖσθαι τὸ δυνάμει φῇ τις ἐπὶ τοῦδε τοῦ τόκου, φυσικώτατοι· οὐ γὰρ ἂν θαυματουργίας εἴη παραδόξου ἔτι ἐνέργεια· εἰ δὲ μὴ θαῦμα ὑπὲρ φυσικὴν δύναμιν τῷδε μαρτυρεῖ, οὐδὲ θεὸς ὁ τεχθεὶς κατὰ τὰς φυσικὰς δυνάμεις νοηθήσεται. XVII.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ θεὸς λόγος ἐκ γυναικὸς, ἢ ὁ τεχθεὶς ὑπὸ χρόνον, ἢ ἡ γυνὴ ὑπὲρ χρόνον· ἀλλὰ μὴν οὔτε θεὸς ὑπὸ χρόνον, οὔτε γυνὴ ὑπὲρ χρόνον· οὐκ ἄρα κυρίως καὶ κατὰ ἀλήθειαν ἐτέχθη ὁ θεὸς ἐκ γυναικός. Ἀλλ' οὐκ εἰς τὸ εἶναι, ἀλλ' εἰς τὸ τοιῶσδε εἶναι ἐκ γυναικός τε καὶ ὑπὸ χρόνον τεχθῆναι εἴρηται, ληρωδέστατοι. XVIII.

Εἰ κατὰ ἀλήθειαν υἱὸς τῆς παρθένου ὁ θεὸς λόγος, τοῦτο ἔσται κατ' οὐσίαν, ὅπερ ἐστὶν ἡ τεκοῦσα· αὕτη δέ ἐστι ζῶον λογικὸν θνητόν· καὶ ὁ θεὸς ἄρα καθ' ὑμᾶς, ζῶον λογικὸν θνητὸν ἔσται. Ἀλλ' υἱὸς ἀληθινὸς ἐν τῷ λόγῳ ἑκάστης νοεῖται γεννήσεως υἱοποιοῦ· καὶ πᾶς ὁ κατὰ τὴν XIX.

οἱανοῦν γέννησιν τοιάνδε γεννώμενος· οὐ πᾶσα δὲ γέννησις, εἰ καὶ ἀληθεῖς δείκνυσι τοὺς γεννηθέντας υἱοὺς, ἤδη καὶ ὁμοίους κατὰ πάντα ὡσαύτως δείκνυσι τοῖς γεννῶσιν, ὡς καὶ ὑμεῖς εἰρήκατε ἐκ προοιμίων· εἰ δὲ τοῦτο αὐτὸ, ἤγουν ἡ ὁμοίωσις, ποιεῖ τὴν ἀληθῆ υἱότητα, ἐπεὶ μᾶλλον ἔοικε τὸ ἐν εἰκόνι πρόσωπον τοῦδε, ἤπερ τοῦ ἰδίου τέκνου ἡ ὄψις πρὸς αὐτὸν κρινομένη, μᾶλλον εἴη υἱὸς τοῦδε ἡ εἰκὼν, ἤπερ τὸ ἐκ τῆς οὐσίας αὐτοῦ τέκνον· καὶ πῶς πρὸ μικροῦ τὴν οὐσίαν καὶ οὐ τὴν ὁμοίωσιν αἰτίαν ἐλέγετε; ὄντως οὖν εἰ μὲν κατὰ πᾶν τὸ εἶναι καὶ ἐκ παντὸς τοῦ εἶναι ἡ ἀληθής ἐστι γέννησις τινὸς, ἀναγκαίως καὶ ἡ ὁμοίωσις ὅλου τοῦ γεννήσαντος πρὸς ὅλον τὸ γέννημα ἔσται· εἰ δὲ κατὰ τὸ τοιῶσδε εἶναι μόνον ἔν τινι μέρει ἐκ μέρους δὲ καὶ τοῦ εἶναι τοῦ δέ τινος συνθέτου ἡ γέννησίς ἐστιν, οὐχὶ κατὰ πᾶν τὸ εἶναι ἔσται ἡ ὁμοίωσις πρὸς τὸ γεννῆσαν τοῦ γεννηθέντος· ὅμως δὲ ἐκ μέρους τε τοῦ κατὰ τὸ εἶναι, καὶ ἐκ μέρους τοῦ κατὰ τὸ τοιῶσδε εἶναι τοῦ ἑνὸς αὐτοῦ προσώπου γεννήτωρ εἴη ὄντως ὁ γεννήσας· ὥσπερ καὶ ἐπὶ ἀνθρώπου ὁρῶμεν, τοῦ μὲν σώματος τὴν γέννησιν εἰς τὸ εἶναι ἐκ τῶν γονέων ἔχοντος, τῆς δὲ ψυχῆς οὐκ εἰς τὸ εἶναι ἁπλῶς, τοῦτο γὰρ ἐκ Θεοῦ ἔχει ὡς καὶ ὁ πρωτόπλαστος Ἀδὰμ, ἀλλ' εἰς τὸ σὺν τῷ διαπλασθέντι αὐτῇ εἶναι σώματι, οὗ καὶ χωρὶς δύναται εἶναι· λαμβάνει γὰρ τοῦτο παρὰ τῶν ὡς εἰπεῖν τοῦ μὲν σώματος αἰτίων, αὐτῆς δὲ τῆς ψυχῆς νυμφοστόλων μόνον· καὶ ὅμως ἄμφω τῶν φύσεων ὡς ἑνὸς ἀνθρώπου κυρίως τε καὶ κατὰ ἀλήθειαν οἱ αὐτοὶ λέγονται τοκέες· τί οὖν ὑμᾶς τὰ ἐξ ἀπιστίας φιμοῖ βομβήματα, Θεὸν μὴ λέγειν ὀρθῶς τὸν τεχθέντα σεσαρκωμένον λόγον; ἡνίκα καὶ ψυχὴν τὴν σαρκωθεῖσαν ἀνενδιάστως ὁμολογεῖτε γεγεννῆσθαι ἐκ τῶν τοῦ εἶναι τῆς σαρκὸς αἰτίων καὶ σὺν τῷ σώματι τοὺς αὐτοὺς καὶ αὐτῆς τοκέας ὀνομάζετε.

XX. Ἀλλὰ φησὶν οὐ ψυχοτόκον, ἀλλ' ἀνθρωποτόκον φαμὲν τὴν γεννῶσαν ἄνθρωπον· τί οὖν μὴ καὶ ὑμεῖς χριστοτόκον μᾶλλον λέγετε; Ἀλλ' ὦ οὗτοι τὸ μὲν ἄνθρωπος, φύσεως ὄνομα· τὸ δὲ Χριστὸς, οὐ φύσεως ἀλλὰ προσώπου· πῶς οὖν τὸ τῆς φύσεως ὄνομα τοῦ τεχθέντος, ἐκ τοῦ προσωπικοῦ σημάνωμεν;

XXI. Ἀλλὰ διὰ τί οὖν φησὶ μὴ ἀνθρωποτόκος ὑμῖν, ἤπερ Θεοτόκος δοκεῖ; Ῥητέον οὖν ὡς εἰ μὲν τῶν δύο Χριστοῦ φύσεων ἡ ἀνθρωπίνη τῆς θείας ἐπεκράτησε πρὸ θανάτου τε καὶ μετὰ θάνατον, ἀνάγκης οὔσης ἐκ μιᾶς μόνον τῶν φύσεων αὐτοῦ ὀνομάζεσθαι τὸν τόκον, καλῶς ἀνθρωποτόκον φατέ· εἰ δὲ ἀεὶ τὸ τῆς θείας φύσεως ἄτρεπτον κατεκράτησε τοῦ τῆς ἀνθρωπίνης φύσεως τρεπτοῦ, καὶ πρὸς τὰ κρεῖττονα μεταβαλὸν συνεξεθέωσεν αὐτὴν ἑαυτῷ ὥσπερ καὶ ὁ σίδηρος πυροῦσθαι λέγεται, καὶ οὐχὶ τὸ πῦρ σιδηροῦσθαι, πῶς οὐκ ἐκ τῆς μενούσης ὡσαύτως ἐν τοῖς ἰδίοις λό-

τοις ἀεὶ φύσεως, καὶ τὴν ἑτέραν εἰς ἑαυτὴν μεταποιούσης, ἀλλ' ἐκ τῆς μεταποιουμένης ὀνομαστέον τὸ τεχθέν; ἢ τὸν τόκον; ἢ τὴν τεκουσαν; ὦ οὗτοι.

Εἰ ὁ θεὸς λόγος ἐτέχθη ἐκ τῆς παρθένου, ἐν χρόνῳ ἐτέχθη· πᾶν XXII.
δὲ τὸ ἐν χρόνῳ τικτόμενον, χρόνου πρὸς τελείωσιν δεῖται· εἰ ὁ θεὸς ἄρα
ἐκ τῆς παρθένου ἐτέχθη, χρόνου πρὸς τελείωσιν ἐδεήθη. Ἀλλ' ὦ σοφοὶ, οὐδὲ ψυχὴ ἁπλῶς χρόνου δεῖται πρὸς τελείωσιν, ἀλλὰ τὸ ταύτης φυσικὸν ὄργανον καὶ οἰκητήριον οὐσιῶδες· ὅθεν καὶ μετὰ τὴν νεότητα τοῦ ζώου, καὶ πλεονάσαντος τοῦ χρόνου· ἐπεὶ τὸ ὄργανον ἀνεπιτηδειότερον πάλιν αὐτῇ καθίσταται πρὸς τὴν ὑπουργίαν· τὰ γὰρ χρόνῳ ἀκμάσαντα καὶ χρόνῳ παρακμάζει· τοὐναντίον ἢ φατὲ ἐν χρόνῳ ὑφίησι πάλιν τὸν ἑαυτῆς ἐνεργειῶν καὶ τελειώσεων· μὴ δὲ ὁρῶσα ὡσαύτως ἢ ἀκούουσα, ἐν ἑκατονταετίᾳ τυχὸν, ὡς ἐν τῇ τριακονταετίᾳ· καὶ δείκνυσι σαφῶς, ὡς οὐχ' ἑαυτῆς, ἀλλὰ τοῦ ὀργάνου ἦν τὸ ἀπὸ τοῦ χρόνου χρήσιμον καὶ ἀχρήσιμον πρὸς τελείωσιν· λοιπὸν δὲ καὶ αὐτῆς, διὰ μέσου μέντοι τούτου· πῶς οὖν ὑμεῖς πᾶν τὸ ἐν χρόνῳ τικτόμενον, χρόνου δεῖσθαι πρὸς τελείωσιν οἰκείαν, οὕτως ἀπερισκέπτως φατέ; καὶ οὐχ' ὅτι πολλάκις οὐκ αὐτὸ πρώτως, ἀλλά τι τῶν οἰκειωθέντων αὐτῷ τῷ ἐγχρόνως τικτομένῳ, καὶ κατὰ φύσιν συνουσιωμένων τοῦδε δεῖται, καθορᾶτε; εἰ γὰρ μὴ δὲ ψυχὴ τοῦτον ὑμῶν καταδέχεται τὸν λόγον, πόσῳ γε μᾶλλον θεός; ὃς μὴ δὲ ἤρξατο τοῦ εἶναι, ἀλλὰ μόνον τὸ τοιῶσδε εἶναι χρονικῶς κατεδέξατο· ταῦτα οὖν ἐξ ἀθυροστομίας ἡμῖν βαττολογοῦντες, ἐπιτριβήσεσθε, καὶ οὐκ ἀπὸ νηφούσης διανοίας ὑποτίθεσθε.

Εἰ ἔνθα ὁ θεὸς λόγος, ἐκεῖ ὁ πατὴρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον, διὰ XXIII.
τὸ τῆς οὐσίας ἀδιαίρετον· ἦν δὲ ἐν τῇ γαστρὶ τῆς παρθένου καθ' ὑμᾶς ὁ θεὸς λόγος κατ' οὐσίαν, ἦν ἄρα ἡ τριὰς ἐν τῇ γαστρὶ τῆς παρθένου. Οἱ πάσης ἀσεβείας ἐρανιζόμενοι σπέρματα, ἵνα τὴν οἰκείαν βλασφημίαν ὑποτρέφοιτε, τί φατέ; δέον γὰρ ὑμᾶς στρεβλουμένους ἡμῖν διαστρέψαι κατὰ τὸν ψαλμῳδόν· ἐπεὶ ὁ υἱὸς ἐν τῷ κόλπῳ τοῦ πατρὸς ἐστὶ, καὶ τὸ μὲν τοῦ πατρὸς ἐστὶν ἐν ᾧ ἐστι· τὸ δὲ αὐτός ἐστι καθ' ὑμᾶς, ἀλλὰ καὶ ἑτέρως, ἐπεὶ ὅπου ὁ πατὴρ, ἐκεῖ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα ἐστὶν, ἐν δὲ τῷ τοῦ πατρὸς κόλπῳ ὁ υἱὸς, οὐκοῦν καὶ ἐν τῷ ἰδίῳ κόλπῳ ὁ υἱὸς ἅμα τῷ πατρὶ καὶ τῷ πνεύματι τῷ ἁγίῳ· καὶ ἐπειδὴ τὸ ἅγιον πνεῦμα ὡς περιστερὰ ἐπέπτη ἐν Ἰορδάνῃ βαπτιζομένου τοῦ κυρίου, ἄρα καὶ ὁ πατὴρ ἐφίπτατο· εἰ δὲ ταῦτα μετάγειν ἐκ τοῦ ἑνὸς προσώπου καὶ ἐπὶ τὰς ἑτέρας ὁμοουσίους ὑποστάσεις, ὁ τῆς εὐσεβείας οὐ βιάζεται λόγος, ἢ τὸ αὐτὸ νοεῖν ἐπὶ τῆς ἁγίας τοῦ λόγου κυήσεως εἰσπραχθήσεσθε, ἢ ἀποκληρώσει τὸν τῆς παρούσης ὑμῶν ἀπορίας λόγον προάγετε, τῆς ὁμοιοτροπίας συνωμολογημένης καὶ ἐπὶ τῶνδε· καὶ ἀρκέσει ὑμῖν οὕτως καὶ περὶ τοῦδε ἐπιστο-

*μίξεσθαι· δέον γὰρ ὑμᾶς κακουργοῦντας, καὶ τὰ τῶν ἄλλων αἱρέσεων προβαλλομένους εὑρέματα, καὶ τοῦτο δὴ τὸ τοῦ λόγου ποιοῦντας· ἀσπὶς παρ' ἐχίδνης φάρμακον δανείζεται· ὡς τῶν ὑμετέρων οὐκ ἀρκούντων ὑμῖν εἰς παντελῆ κακοδοξίαν σοφισμάτων, ἀπόρῳ τὴν ἀπορίαν ἐλέγχεσθαι· κατὰ τὴν γενομένην κυριακὴν μέθοδον πρὸς τὴν τῶν φαρισαίων πανοῦργον ἐρώτησιν, διὰ τῆς περὶ τοῦ βαπτίσματος Ἰωάννου πρὸς αὐτοὺς ἀντεπερωτήσεως.*

XXIV. Εἰ *ἐν τῇ γαστρὶ τῆς παρθένου ἡ τριὰς κατ' οὐσίαν, ἐγεννήθη δὲ ὁ θεος λόγος κατ' οὐσίαν ἐκ τῆς παρθένου, ἡ τριὰς ἄρα ἐγεννήθη ἐκ τῆς παρθένου.* Ἐπεὶ *οὖν ὁ υἱὸς ἐκ τοῦ πατρὸς γεγέννηται· ἀδιαίρετος δὲ τῆς ἁγίας τρίαδος ἡ οὐσία, ἄρα καὶ ὁ πατὴρ αὐτὸς καὶ τὸ ἅγιον πνεῦμα, γεγέννηνται καθ' ὑμᾶς· ἔτι ἐπεὶ ὁ πατὴρ οὐ γεγέννηται ἔκ τινος, οὐδὲ ἐκπεπόρευται, οὐδὲ ὁ υἱὸς οὐδὲ τὸ πνεῦμα ἄρα καθ' ὑμᾶς ἐκ τοῦ πατρὸς εἰσίν· ἀδιαίρετος γὰρ αὐτοῖς ἡ οὐσία· ἐπὶ πλεῖον μὲν οὖν ταῖς ὑμετέραις συμπεριάγεσθαι δυσφημίαις παραιτούμεθα, ἵνα μὴ πρὸς ἔλεγχον ὑμῶν ἀσχολούμενοι, πρὸς ἀθεσμολογίαν ἑαυτοὺς καὶ ἡμεῖς συνεθίζωμεν· ἀλλ' οὑτωσὶ μὲν πρὸς τὸ παρὸν ἐφεκτέον σκολιευομένους ὑμᾶς· τὸν δὲ περὶ τῶνδε λόγον ὅπως τε λέγεται καὶ ὅπως νοεῖται, τοῖς ἰδίοις ὑποφήταις ἡ ἀλήθεια ἔδειξεν· ἐν οἷς τοῖς κακῶς διαιροῦσι καὶ φαύλως συγχέουσι τὸν τῆς ἁγίας ὑπερουσίου τριάδος λόγον ἀπελέγχει.*

XXV. Πᾶς *τόκος ἐγνωσμένος τῇ θείᾳ γραφῇ ἐκ τῶν πάντη ἀνομοίων ἀνόμοια τίκτων, ἐπαίνου τὸ τίκτον ἢ ψόγου δείκνυσιν ἄξιον· ἐπαίνου μὲν, ὡς διὰ τὸν φόβον σου κύριε ἐν γαστρὶ ἐλάβομεν καὶ ἐτέκομεν· ψόγου δὲ ὡς τὸ, ἰδοὺ ὠδίνησεν ἀδικίαν, συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν· πᾶν δὲ τὸ ἐπαινούμενον ἢ ψεγόμενον ἐν τῷ τίκτειν, ἐκ τῆς προαιρέσεως, καὶ οὐκ ἐκ τῆς οὐσίας τὸ τικτόμενον τίκτει· πᾶς ἄρα τόκος γινωσκόμενος τῇ θείᾳ γραφῇ, ἐκ τῶν πάντη ἀνομοίων ἀνόμοια τίκτων, ἐκ τῆς προαιρέσεως καὶ οὐκ ἐκ τῆς οὐσίας τίκτει τὸ τικτόμενον.* Ποίαν *ἡμῖν ἄρα ἀνομοιότητα ὑποτίθεσθε τὴν κατ' οὐσίαν, ἢ κατά τι συμβεβηκὸς, καὶ πῶς ἔσται ἀληθὲς τὸ εἰρημένον ὑμῖν ἐξεταστέον· εἰ μὲν γὰρ κατὰ τὴν οὐσιώδη διαφορὰν ὡς ἐν ποιότητι φυσικῇ φατὲ, ἰδοὺ ἔκ τε λίθων καὶ σιδήρων καὶ ξύλων πυρεκβόλων πῦρ γεννᾶται, ἐξ ἀνομοίων ὂν ἀνόμοιον κατ' οὐσίαν· καὶ οὔτε ἐπαίνου οὔτε ψόγου δείκνυσιν ἄξιον τὸ τίκτον· ἔκ τε λαχάνων, κάμπαι· καὶ ἐκ μυῶν, εὐλαὶ· ἀνομοίων ὄντων τῶν τεκόντων κατὰ τὴν οὐσίαν αὐτοῖς· καὶ οὔτε ψεκτὸν οὔτε ἐπαινετὸν· ἀλλ' ὅμως τοῖς παραδείγμασιν ὑμῶν ἐπιστήσαντες, μᾶλλον τὴν κατὰ τὴν ὕπαρξιν ἀνομοιότητα λέγεσθαι ὑμῖν νοήσομεν· καὶ τὸ ἀνόμοιον τὸ ἐπαινούμενον ἢ ψεγόμενον, ὡς ἐξ ἀνθρώπου τὴν ἀνομοίαν, ἢ τὸ πνεῦμα τῆς σωτηρίας τικτόμενον· ἐπεὶ οὖν τὰ τίκτον ἐπὶ τῶν*

ἀνομοίων πάντως ἐπαίνου ἢ ψόγου ἀξιοῦτε, κἀντεῦθεν ἐκ προαιρέσεως εἶναι τὸν τόκον συλλογίζεσθε· ἵνα καὶ ἐκ τῆς κατὰ τὸν δεσπότην ἀνομοιότητος ἐκ προαιρέσεως λέγεσθαι τὴν κατ' αὐτὸν γέννησιν ἐκ τῆς δεσποίνης συνάγετε τάχα ματαιολόγοι· πρῶτον μὲν μνήσθητε, ὡς τοὐναντίον καὶ ὁμοίωσιν τῷ Χριστῷ, εἰ καὶ μὴ κατὰ τὸ ὅλον, πρὸς τὴν μητέρα μεμαρτυρήκαμεν· ἀνομία δὲ, οὐδεμίαν ἔχει οὐσιώδη ὁμοίωσιν πρὸς τὸν ἄνομον καθ' ὕπαρξιν· δεύτερον δὲ ὅτι καὶ τὸ ἐκ μέρους ἀνόμοιον πρὸς αὐτὴν, οὐ τοιαύτης ὁρᾶται ἀνομοιότητος οἵαν νῦν ὑμεῖς ἐν παραδείγμασιν ὑπέθεσθε ὑφεστῶτος πρὸς ἀνυπόστατον, ἀλλὰ μᾶλλον οὐσίας τοιᾶσδε πρὸς τοιάνδε οὐσίαν· ἵνα δὲ καὶ συναπενεχθῶμεν τῷ καταγελάστῳ τῆς ὑμετέρας δεινότητος, εἰ πάντα τὰ ἐν τῇ θείᾳ γραφῇ ἐξ ἀνομοίων καθ' ὕπαρξιν γεγεννημένα ἔπαινον ἢ ψόγον τῷ τίκτοντι ἐπιφέρειν οἴεσθε, τί φατὲ, ἐπεὶ υἱὸς ὀδύνης Βενιαμὶν, καὶ υἱὸς παρακλήσεως Βαρνάβας, καὶ Ἠλεὶ πρεσβύτερος ϡ ἐτῶν εἴρηται; ἀνάγκη ἄρα τὰ ἔτη αὐτὰ τὰ τεκόντα εἶναι τὸν Ἠλεὶ· καὶ ταῦτα ἐπαίνου ἢ ψόγου ἀξιωθῆναι· καὶ τὴν ὀδύνην δὲ καὶ τὴν παράκλησιν οὕτως ἔχειν· εἰ δὲ καὶ ταῦτά τις συγχωρήσοι τὰ μάταια, πῶς τό γε ἑξῆς ἀδακρυτὶ παρ' ὑμῶν ἀκούσεται, ἐκ προαιρέσεως τίκτειν τὰ ἔτη, ἢ τὴν ὀδύνην, ἢ τὴν παράκλησιν κατὰ προαίρεσιν γεννᾶν διδασκόμενος; καὶ ἐξ ἀνυπάρκτου πράγματος προιοῦσαν μανθάνων παρ' ὑμῶν τὴν ὕπαρξιν Ἠλεὶ καὶ Βαρνάβα καὶ Βενιαμὶν, καὶ κατὰ προαίρεσιν τίκτοντων;

Εἰ ὁ θεὸς λόγος ἐτέχθη ἐκ τῆς παρθένου πᾶν δὲ τὸ τικτόμενον, XXVI.
ἢ ἐκ τῆς οὐσίας τίκτεται τοῦ τίκτοντος, ἢ ἐκ τῆς προαιρέσεως· καὶ τὸ ἐκ τῆς οὐσίας τικτόμενον, τὸ εἶναι πάντως ἔχει ἐκ τοῦ τίκτοντος· τὸ δὲ ἐκ τῆς προαιρέσεως, πῇ μὲν τὸ εἶναι ἔχει ἐκ τοῦ τίκτοντος, πῇ δὲ τὸ τοιόνδε εἶναι, εἴπατε πόθεν βούλεσθαι τετέχθαι τὸν θεὸν, ἐκ τῆς οὐσίας τῆς παρθένου, ἢ ἐκ τῆς προαιρέσεως; ὁπότερον γὰρ αὐτῶν εἴπητε, τὸ συναγόμενον δῆλον. Ὀψέ ποτε καὶ ἄκοντες ἡμῖν συνομολογεῖτε τόκον εἶναι, τόν τε εἰς τὸ εἶναι, καὶ ὁμοίως πάλιν τὸν εἰς τὸ τοιῶσδε εἶναι μόνον προαγάγοντά τι· εἰ δὲ τὸν ἐκ τῆς οὐσίας τόκον μόνον τοῦ εἶναι αἴτιον, καὶ οὐχὶ καὶ τοῦ τοιῶσδε εἶναι ἤγουν καὶ τῆς φυσικῆς διαφορᾶς τοῦ γεννωμένον φατὲ, ἐπεὶ ἀπὸ κώνου πίτυς γεννᾶται, ἢ ἐκ τῆς προαιρέσεως, καὶ οὐκ ἀπὸ τῆς οὐσίας τοῦ κώνου εἰς τὸ εἶναι τοῦτο αὐτὸ πίτυς γεγέννηται, ἢ ἐκ τῆς οὐσίας μὲν αὐτῆς γεγέννηται τοῦδε· καὶ ἔστι ἁπλῶς ὂν, οὔτε δὲ πίτυς, οὔτε ἕτερόν τι εἶδος· πλὴν εἰ μὴ καὶ ἄλλῳ γεννήτορι κατὰ προαίρεσιν τίκτοντι ὑποβληθῇ εἰς γέννησίν τινα· ὧν τί μᾶλλον ἠλιθιώτερον;

Εἰ ἐγεννήθη ὁ θεὸς λόγος κυρίως καὶ κατὰ ἀλήθειαν ἐκ τοῦ πα- XXVII.
τρὸς, καὶ ἔστιν ὅμοιος αὐτῷ κατ' οὐσίαν· καὶ εἰ ἐγεννήθη ὁ αὐτὸς ἐκ μη-

πρὸς κυρίως καὶ κατὰ ἀλήθειαν, καὶ ἔστι αὕτη ἀνόμοιος κατ' οὐσίαν, οὐδὲν διαφέρει ὑπὸ ὁμοίων κατ' οὐ ἢ ἀνομοίων γεννᾶσθαι· εἰ δὲ τοῦτο, οὐδὲ τὰ ἀνόμοια διενεχθήσεται πρὸς ἄλληλα κατ' οὐσίαν· ἐνδεχόμενον δὲ ἦν, καὶ τὸν θεὸν λόγον ἐκ τοῦ πατρὸς κατὰ ἀλήθειαν γεννηθέντα, εἶναι αὐτῷ κατ' οὐσίαν ἀνόμοιον· ἀλλὰ πάντα ἀδύνατα καὶ τῆς ὑποθέσεως αὐτῶν ἄξια. Ἐταράχθησαν ἐσαλεύθησαν ὡς ὁ μεθύων, καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη· ταῦτα εὐκαίρως ὑμῖν ἐπᾴδεται παρ' ἡμῶν, τῆς θείας δυνάμεως ἐπιδεικνύσης καὶ εἰς ὑμᾶς τὸ δραστήριον τῆς πάλαι ἐπιτιμίας τῶν καθ' ὑμᾶς τὴν θεομάχον πρόθεσιν ἀραμένων καὶ τὴν ἐν Βαβυλῶνι πυργοποιΐαν συστησαμένων· δεῦτε γάρ φησι καὶ τότε περὶ ἐκείνων, καταβάντες συγχέωμεν αὐτῶν τὰς γλώσσας· ἐντεῦθεν οὖν ὄντως καὶ ὑμῖν οἱ νυνὶ φυρμένοι τε καὶ σκινδαλμοὶ καὶ ἐπάλληλοι ῥαψολογίαι εἰσὶ τῆς ἀσεβείας τὴν αἰσχύνην ἐπικρύπτειν μηχανώμεναι· πρώτιστα μὲν οὖν γνῶμεν, ἡ ἐξ ὁμοίων ἢ ἀνομοίων γέννησις, πῶς λέγεται ὑμῖν; τῆς ὁμοιότητος; ἢ ἀνομοιότητος; πρὸς τὰ τίκτοντα τῶν τικτομένων, πῶς νοουμένης; οὐ γὰρ δὴ τὸ μὴ ὑποστὰν καὶ εἶναι λεγόμενον, ἐξ ὁμοίων ἢ ἀνομοίων γέννησιν ἔχειν λεχθήσεται· μεταγενεστέρα γὰρ τῆς γεννήσεως αὐτοῖς ἡ ὁμοιότης ἢ ἀνομοιότης πρὸς αὐτοὺς κατὰ τὸν οἰκεῖον λόγον· ἀφείσθω δὴ ὅμως ὑμῖν τοῦτο· ἴσως γὰρ ἐκ τοῦ τέλους ταῦτα διεγνωκότες εἰρήκατε· τί δὲ οὖν ἀδύνατον τὸν κατὰ διαφόρους γεννήσεις γεννηθέντα, καὶ ἐκ διαφόρων τὴν φύσιν γεννητόρων, διάφορον ὄντα ταῖς φύσεσι, καὶ ἀληθῶς καθ' ἑκατέραν τεχθῆναι γέννησιν; καὶ τοῦ μὲν τῶν τεκόντων ὅμοιον κατά τι τῶν αὐτοῦ, τοῦ δὲ ἀνόμοιον δείκνυσθαι, διὰ τὸ διάφορον τῶν τούτου γεννήσεων καὶ τῶν γεγεννημένων τοῦδε οὐσιῶν; ἐδείχθη γὰρ ἐν τοῖς πρώτοις ἡμῖν, ὅτι καὶ ἐκ τῆς αὐτῆς καὶ κατὰ πᾶν γένος καὶ εἶδος καὶ πάντα ἀριθμὸν ἀδιαφόρου οὐσίας παρὰ τὸν διάφορον τρόπον τῆς γεννήσεως, ὅμοιά τε καὶ ἀνόμοια πολλάκις γίνεται τὰ τικτόμενα πρὸς τὰ τίκτοντα· οὐκοῦν ὀρθοτομοῦσι τὴν ἀλήθειαν οἳ φασὶν ὅτι ἐγεννήθη μὲν ὁ λόγος ἐκ τοῦ πατρὸς ἀληθῶς, κατὰ τὴν ἰδίαν δὲ μόνου τοῦ πατρὸς γέννησιν καὶ οὐσίαν, καὶ ἔστι ὅμοιος αὐτῷ κατ' οὐσίαν τὴν ὡς λόγου θεοῦ· ἐγεννήθη δὲ καὶ ἐκ μητρὸς ἀληθῶς, κατὰ τὴν ἰδίαν αὐτῆς καὶ μόνης γενομένην τοῦδε γέννησιν, καὶ ἔστι καὶ αὐτῇ τῇ μητρὶ ἑαυτοῦ κατ' οὐσίαν αὐτοῦ τὴν ὡς ἀνθρώπου ὅμοιος, κατὰ δὲ τὴν ὡς λόγου, ἀνόμοιος αὐτῇ· πλὴν υἱὸς ἀληθῶς ὁ λόγος τοῦ τε ὁμοίου πατρὸς, καὶ τῆς ἀνομοίου αὐτῷ μητρὸς· ἀληθὴς γὰρ ἑκάτερος τρόπος τῶν ἐπ' αὐτοῦ γεννήσεων ἐδείχθη, ὅ τε τοῦ εἶναι, καὶ ὁ τοῦ τοιῶσδε· οὐ γὰρ δὴ ὁμοιότης συνίστησιν ἁπλῶς τὴν υἱότητα ὡς πολλάκις εἴρηται ἢ γὰρ ἂν πάντες ἄνθρωποι ὅμοιοι ὄντες κατ' οὐσίαν ἀλλήλοις, υἱοὶ ἅμα καὶ πατέρες, καὶ τέκνα τῶν τέκνων οἱ γεννήτορες ἦσαν, καὶ οἱ ἀδελφοὶ δὲ

τῶν ἑαυτῶν ἀδελφῶν εἶναι υἱοὶ, διὰ τὴν κατ' οὐσίαν ὁμοιότητα πρὸς αὐτοὺς νομισθείησαν.

Εἰ τὸ ἀϊδίως ὂν ὕστερον γεννᾶται κατὰ ἀλήθειαν, καὶ τὸ μὴ δὲ ὅλως ὂν, ἐνεργείᾳ μὴ ὂν, γίνεται κατὰ ἀλήθειαν· εἰ δὲ τὸ δεύτερον ἀδύνατον, καὶ τὸ πρῶτον ἄρα. Ἀλλ' εἰ καὶ ὂν τὸ ὂν οὐ γίνεται, ἀλλὰ τὸ τοιῶςδε ον, εἰς τὸ ἑτέρως τοιῶςδε εἶναι, εἰ καὶ οὐ κατὰ τροπὴν ἀλλὰ πρόσληψιν καινοτέραν, γεννᾶσθαι δυνατόν· οὐδὲ γὰρ κατὰ τὸ αὐτὸ τὶς ὑμῖν ἀϊδίως τε εἶναί τι καὶ ἀπὸ χρόνου ἄρχεσθαι εἴρηκεν· οὐκοῦν τί κωλύει τὸν κατὰ τὸ εἶναι ἄναρχον νοούμενον, κατὰ τὸ ἀλλοίως εἶναι, ἤγουν σεσαρκωμένον, ἀρξάμενον εἶναι, ἀλλοίως γὰρ εἶναι αὐτὸν, οὐ κατὰ τροπὴν ἢ ῥεῦσιν τοῦ οἰκείου εἶναι· ἀλλὰ κατὰ πρόσληψιν καὶ ἕνωσιν οὐσιώδη ἑτέρου πράγματος τοῦ πρώην κεχωρισμένου ἀπ' αὐτοῦ φαμέν. XXVIII.

Εἰ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς ἤδη ὄντα γενέσθαι νῦν ἀδύνατον, τὸν τούτων δημιουργὸν πρὸ τῶν αἰώνων ἐκ πατρὸς γεγεννημένον ἐπ' ἐσχάτων γεννηθῆναι, ἀδυνατώτατον. Οὐ γὰρ ὄντα ἁπλῶς, γίνεσθαι λέγει τις, ἢ καὶ εἰς τὸ εἶναι γεννᾶσθαι ἁπλῶς τὸν οὐρανὸν ὦ οὗτοι· καινὸν μέν τοι γίνεσθαι ἐκ παλαιοῦ, καὶ μετασχηματίζεσθαι, καὶ ἀφθαρσίαν ἀμφιέννυσθαι μετὰ τῆς λοιπῆς ἑτέρας κτίσεως, καὶ ἐλευθεροῦσθαι ἐκ τῆς δουλείας τῆς φθορᾶς, ὡς καὶ τὰ ἡμέτερα σώματα ἐπενδυόμενα τῷ θνητῷ τὴν ζωὴν, καὶ ἀνιστάμενα, ἄφθαρτα πάντες οἱ τῆς εὐσεβείας τρόφιμοι συνομολογοῦσιν· ἄρα δ' οὖν καθ' ὑμᾶς, ἐπεὶ ἤδη πῶς ἐστιν ἤγουν φθαρτὸς ὁ κόσμος, οὐκέτι ἐροῦμεν αὐτὸν κατὰ τὸ ἄφθαρτον γίνεσθαι, εἴτουν ἀναγεννᾶσθαι· τὸ γὰρ ὂν φατὲ οὐ γίνεται· μὴ προσθέντες, ὅτι ὅ ἐστιν οὐ γίνεται, ἀλλ' οὐδὲ ὃ μὴ ἐστὶ γίνεσθαι συγχωροῦντες τῷ ὁποσοῦν ὄντι· κατὰ δὲ ταῦτα ὑμῶν τὰ θεσπίσματα, οὐδέ τι φθαρτὸν ἄφθαρτον κατὰ τὴν ἐλπίδα ἡμῶν τὴν σωτήριον λέγειν τινὶ τοῦ λοιποῦ συγκεχώρηται· ἐπειδὴ γὰρ τὸ φθαρτὸν ἐνδὺς ἐγεννήθη ἄνθρωπος, τὸ ἄφθαρτον ἐνδυόμενοι ἀναγεννώμεθα. XXIX.

Εἰ ἐνδέχεται τὴν χθὲς γενέσθαι αὔριον, ἐνδεχέσθω καὶ τὸν ὄντα ἀϊδίως, τεχθῆναι ἐπ' ἐσχάτων· ἀλλὰ τὸ πρῶτον ἀμήχανον, καὶ τὸ δεύτερον κατ' ἐπίτασιν. Εἰ μὲν ἐλέγομεν κατὰ τροπὴν τοῦ ἀϊδίου γενέσθαι τὸν αὐτὸν ὑπὸ χρόνον, καλῶς ὄντως εἰρήκατε ἄν· εἰ δὲ φυλαχθέντος τούτῳ τούτου ὃ ἦν, ἐπιγέγονεν αὐτῷ τῇ προσλήψει τοῦ παρ' αὐτὸν ὃ οὐκ ἦν, δῆλον ὡς τὸ νῦν συναμφότερον θεωρούμενον, ἐπεὶ τῇ τοῦ νέου πρὸς τὸ ἀεὶ ὂν συνθέσει γέγονε πάλαι μὴ οὕτως νοούμενον ὡς νῦν γέγονε τὸ αὐτὸ ὑποκείμενον ἕν· πῶς οὖν ἀντιφέρεσθε ἡμῖν εὐλόγως; καὶ γὰρ καὶ ἡ χθὲς ἡμέρα ἣν φατὲ, κατὰ μὲν τροπὴν αὔριον, ἤγουν αὐρινὴ ἡμέρα οὐ γίνεταί ποτε, ἀπολιποῦσα τὸ χθεσινὴ εἶναι, πρὸς τὴν σήμερον· πλὴν ἐπι- XXX.

γινομένης αὐτῇ πρὸς τῇ σήμερον, καὶ τῆς αὔριον, καὶ τὸ γενέσθαι προχθὲς, ἐπικτήσεται· μείνασα καὶ ἐν τῷ εἶναι χθὲς· ἤγουν ἑξῆς πρὸς τὴν μετ' αὐτὴν ἡμέραν· ὥσπερ καὶ προχθές ἐστι πρὸς τὴν τρίτην ἀπ' αὐτῆς ἡμέραν.

XXXI. Εἰ ἐνδέχεται τὸ πρότερον μὴ ὂν, ὕστερον εἶναι· μὴ γεννηθὲν ἢ ποιηθὲν, ἐνδεχέσθω καὶ τῷ ἀϊδίως ὂν, ὕστερον κατὰ ἀλήθειαν γεννηθῆναι· ἀλλὰ τὸ πρότερον ἀμήχανον, καὶ τὸ ὕστερον ἄρα. Ἰδοὺ δὴ οὖν ἡμεῖς· ὃ μὲν ἦν ὁ λόγος, ἤγουν ἄσαρκος, τοῦτο οὐ γίνεσθαι φαμέν· ὃ δὲ οὐκ ἦν, ἤγουν σὰρξ καὶ σεσαρκωμένος, τοῦτο γενέσθαι πιστεύομεν· ἕως τοῦδε γὰρ ταῖς ὑμετέραις ταυτολογίαις συνανελίττεσθαι καταδεξόμεθα· καὶ τί ἡμῖν ἐκ τοῦδε τὸ ἔγκλημα;

XXXII. Τὸ ἄνωθεν γεννώμενον, τουτέστι δευτέρᾳ γεννήσει, ἐξ ὕδατος καὶ πνεύματος, ἢ καὶ διὰ διδασκαλίας γεννᾶται· τὸ δὲ οὕτως γεννώμενον, εἰς υἱοθεσίαν γεννᾶται· τὸ δὲ εἰς υἱοθεσίαν γεννώμενον, ἐκ τῆς οὐσίας οὐ γεννᾶται τοῦ γεννῶντος· τὸ ἄνωθεν ἄρα γεννώμενον, οὐκ ἐκ τῆς οὐσίας γεννᾶται τοῦ γεννῶντος. Τὴν οὖν ἄνωθεν γέννησιν, πῶς ὀνομάζετε ἡμῖν; εἰ μὲν τὴν κατὰ τόπον, ὡς ὑπὲρ γῆς καὶ τοὺς ἐκ γῆς οὖσαν, καὶ ἁπλῶς ὡς οὐράνιον τινὰ ταύτην ἴστε, ἵνα τὰ πλεῖστα σιγήσωμεν τῶν πρὸς ὑμᾶς λέγεσθαι δυναμένων, ἀνάγκη διότι πάσης ἑτέρας γεννήσεως μᾶλλον ἡ τοῦ λόγου ἐκ πατρὸς ὑπερουράνιός ἐστι γέννησις, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ταύτην μάλιστα ὑμᾶς εἰδέναι ἄνωθεν οὖσαν γέννησιν· οὐκοῦν εἰς υἱοθεσίαν καὶ τὸν κατὰ ταύτην γεννώμενον ἤγουν τὸν λόγον γυμνὸν ἀνάγκη ἐστὶ δοξάζεσθαι· καὶ ἔσται οὗτος, οὐ φύσει υἱὸς καθ' ὑμᾶς, ὁμονογενὴς υἱὸς καὶ λόγος τοῦ πατρός· τὸ δὲ ἑπόμενον τῆς ὑμετέρας προτάσεως, σαφέστερον πῶς ἐστὶν ἀσεβέστερον· τὸ γὰρ οὕτως γεγεννημένον, οὐδὲ ἐκ τῆς οὐσίας τεχθῆναι συνάγεται· οὐκοῦν οὐδὲ ἐκ τῆς τοῦ πατρὸς ὁ υἱὸς καθ' ὑμᾶς· ἀλλὰ τὴν Ἀρείου πρὸς τῇ ὑμετέρᾳ κακοδοξίᾳ παράνοιαν ἐκυρώσατε· εἰ δὲ ταῦτα μὲν οὕτως οὐκ ἐκδέχεσθε, ἄνωθεν δὲ γέννησιν τὴν οἱονεὶ ἐπανάληψιν τῆς γεννήσεως τῆς πρώτης οἴεσθε, καὶ τοῦ αὐτοῦ ὑποκειμένου δὶς τὴν αὐτὴν γέννησιν τῇ ὡς ἐξ ὑπαρχῆς σημασίᾳ διὰ τοῦ ἄνωθεν φατὲ· καὶ ἁπλῶς ἀναγέννησιν, ἢ καὶ δευτέραν γέννησιν, ἴστε τήνδε· καὶ ἐν τῷδε πάλιν πόῤῥω τῆς ὀρθοδοξίας ἀπεπλανήθητε, ἀναγέννησιν ἐπὶ Χριστοῦ παραφέροντες καὶ διανοούμενοι· ἐκείνων γὰρ λέγεται ἀναγέννησις, ὧν παλαίωσίς τις καὶ ῥύπος καὶ νόσος ἐπιγενομένη, τὸ ἐκ τῆς πρώτης γεννήσεως ὑποκείμενον πάλαι τε ὂν ἀμόλυντον· ἐκιβδήλωσέ πως ἢ διέφθειρεν ἢ κατεμάρανεν· ὥσπερ ἡμῖν τὸ κατ' εἰκόνα θεοῦ, τὸ ἐκ πρώτης ὂν γεννήσεως ἡ παράβασίς τε ἡ πρώτη καὶ αἱ μεταγενέστεραι τῶν ἐπὶ τὰ φαυλότερα προσηλώσεις· τὸν δὲ θεὸν λόγον οὐδεὶς· οὐδὲ τῶν λίαν

ἀθέσμων, ἐδόξασε πώποτε κατὰ τὴν πρώτην αὐτοῦ γέννησιν, ἔκ τινος ἀπροσεξίας ἢ ἐπιβουλῆς, παλαιωθέντα τῇ ἁμαρτίᾳ, νῦν δεῖσθαι τῆς ἀνακαινιζούσης αὐτὸν ἀναγεννήσεως, καὶ διὰ τοῦτο τὴν δευτέραν ὑποστῆναι γέννησιν· πῶς οὖν μηδενὸς ἀναγέννησιν, εἴτουν ἄνωθεν γέννησιν, ἐπὶ τοῦτον λέγοντος ἢ νοοῦντος, ἀλλὰ τὴν γέννησιν αὐτοῦ τὴν δευτέραν μετὰ τῆς πρώτης, πάντων ὁσίων ὁμολογούντων, τὴν ἀναγέννησιν ἀντὶ γεννήσεως ἀληθοῦς, δευτέρας δὲ τὴν τάξιν, ἐπὶ τὸν Θεὸν λόγον μετηγάγετε, ἵνα ἐντεῦθεν ἡμῖν τὸ δοκοῦν ὑμῖν συλλογίσησθε; ἔτι μέν τοι, οὐδὲ ἐκεῖνο πῶς ὑμῖν ἔδοξε νενοήκαμεν τὸ ἐκ τοῦ πνεύματος γεννώμενον, μὴ ἐκ τῆς οὐσίας οἴεσθαι· ἢ γὰρ ὡς ἐνέργεια εἰς ξύλον ἐκ τῆς φύσεως τοῦ τέκτονός ἐστιν, ἢ ὡς πῦρ ἐκ πυρὸς ἐν ξύλῳ ἐκ τῆς οὐσίας ὑπάρχει· ἀλλ' εἰ μὲν κατὰ τὸ πρῶτον, δῆλον ὅτι ἐνεργεῖν τι τὸ γεννηθὲν ὥσπερ οὐδὲ ἡ ἐνέργεια αὕτη ἡ ἐν τῷ ξύλῳ, τὰ τοῦ τέκτονος οὐ δυνήσεται· εἰ δὲ κατὰ τὸ δεύτερον, σαφὲς ὅτι ἐνεργεῖν τὰ τοῦ πυρὸς καὶ τὸ γεννηθὲν ἐν τῷ ξύλῳ πῦρ, δυνήσεται· εἰ δὲ τοῦτο, μετάληψις γέγονε τῆς τεκούσης αὐτὸν οὐσίας τῷ γεννηθέντι· τοῦτο γὰρ μαρτυρεῖ δηλαδὴ, ἑπομένη καὶ τῷδε, ταύτης ἡ φυσικὴ ἐνέργεια· εἰ δὲ μετάληψις γέγονεν οὐσίας, εἰ μὴ ἐκ τῆς οὐσίας ἡ γέννησις, ἀλλ' ἐξ ἐνεργείας ἀνουσίου, ἔσται ἀνούσια κατακρατοῦντα τῆς οὐσίας, καὶ οὐσιῶν αἴτια, ὅπερ ἀδύνατον.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ Θεὸς λόγος ἐκ τῆς παρθένου, καὶ ἔστιν αὕτη ἀνόμοιος, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ αὐτὸς ἐκ πατρὸς, τί κωλύει εἶναι αὐτὸν καὶ τὸ πατρὶ ἀνόμοιον, μήτε τῶν γεννήσεων κατ' εἶδος παραλλατουσῶν, μήτε τοῦ γεννωμένου καθάπαξ; XXXIII.
Καὶ γὰρ εἰ μὲν ὄντως αἱ γεννήσεις κατ' εἶδος οὐ παρήλλαττον, καὶ τὸ ὅλον τοῦ γεννήματος ὡσαύτως εἶχεν ἐν ἑκατέρᾳ γεννήσει, ἰσχὺν εἶχεν ἂν ὑμῖν τὸ ἐπιχείρημα· ἐπειδὴ δὲ τοσαύτη τῶν γεννήσεων ἡ διαφορὰ, ὡς τὴν μὲν ἀΐδιον νοεῖσθαι, τὴν δὲ ἀρχομένην· καὶ τὴν μὲν ἀσωμάτως, τὴν δὲ ἐν σώματι· καὶ τὴν μὲν ἀδιαστάτως, τὴν δὲ διαστατῶς· καὶ ἁπλῶς τὴν μὲν τοῦ λόγου γυμνοῦ καὶ ἁπλοῦ, τὴν δὲ Χριστοῦ τοῦ συνθέτου οὖσαν· καὶ τὴν μὲν ἀκυήτως, τὴν δὲ διὰ κυήσεως εἶναι, ἄλλοις τε μυρίοις ἀπαραβλήτοις διενηνοχότων, πῶς, λέγετε, συνάγετε ἐπὶ ἑκατέρας τῶν γεννήσεων τοῦ αὐτοῦ ἑνὸς υἱοῦ τὸ πρὸς τοὺς τεκόντας ἀνόμοιον ὀφείλειν ἕπεσθαι, ὡς ὁμοειδῶν οὐσῶν τῶν τούτου γεννήσεων; ἀλλ' ἐν ᾧ προσπταίοντες οὐκ ἐπισκέπτετε, μάθετε ὦ οὗτοι, εἴγε μὴ ἀεὶ γνωσιμαχεῖν βούλεσθε· τῷ γὰρ κυρίως καὶ κατὰ ἀλήθειαν ἑκατέραν λέγεσθαι γέννησιν, οἴεσθε τὴν αὐτὴν εἶναι θατέραν θατέρᾳ, καὶ ὁμοειδεῖς ἄμφω τὰς γεννήσεις ὑπολαμβάνετε· οὐ σκοποῦντες ὅτι εἰς τὸν ἑαυτῆς λόγον ἑκατέρα κυρίως ἐστὶ καὶ κατὰ ἀλήθειαν, καὶ οὐκ εἰς τὸν τῆς ἑτέρας· εἰ γὰρ πάντα ὁμοειδῆ νομιστέον

γινομένης αὐτῇ πρὸς τῇ σήμερον, καὶ τῆς αὔριον, καὶ τὸ γενέσθαι προχθὲς, ἐπικτήσεται· μείνασα καὶ ἐν τῷ εἶναι χθὲς· ἤγουν ἑξῆς πρὸς τὴν μετ' αὐτὴν ἡμέραν· ὥσπερ καὶ προχθές ἐστι πρὸς τὴν τρίτην ἀπ' αὐτῆς ἡμέραν.

XXXI. Εἰ ἐνδέχεται τὸ πρότερον μὴ ὂν, ὕστερον εἶναι· μὴ γεννηθὲν ἢ ποιηθὲν, ἐνδεχέσθω καὶ τῷ ἀϊδίως ὂν, ὕστερον κατὰ ἀλήθειαν γεννηθῆναι· ἀλλὰ τὸ πρότερον ἀμήχανον, καὶ τὸ ὕστερον ἄρα. Ἰδοὺ δὴ οὖν ἡμεῖς· ὃ μὲν ἦν ὁ λόγος, ἤγουν ἄσαρκος, τοῦτο οὐ γίνεσθαι φαμέν· ὃ δὲ οὐκ ἦν, ἤγουν σὰρξ καὶ σεσαρκωμένος, τοῦτο γενέσθαι πιστεύομεν· ἕως τοῦδε γὰρ ταῖς ὑμετέραις ταυτολογίαις συνανελίττεσθαι καταδεξόμεθα· καὶ τί ἡμῖν ἐκ τοῦδε τὸ ἔγκλημα;

XXXII. Τὸ ἄνωθεν γεννώμενον, τουτέστι δευτέρᾳ γεννήσει, ἐξ ὕδατος καὶ πνεύματος, ἢ καὶ διὰ διδασκαλίας γεννᾶται· τὸ δὲ οὕτως γεννώμενον, εἰς υἱοθεσίαν γεννᾶται· τὸ δὲ εἰς υἱοθεσίαν γεννώμενον, ἐκ τῆς οὐσίας οὐ γεννᾶται τοῦ γεννῶντος· τὸ ἄνωθεν ἄρα γεννώμενον, οὐκ ἐκ τῆς οὐσίας γεννᾶται τοῦ γεννῶντος. Τὴν οὖν ἄνωθεν γέννησιν, πῶς ὀνομάζετε ἡμῖν; εἰ μὲν τὴν κατὰ τόπον, ὡς ὑπὲρ γῆς καὶ τοὺς ἐκ γῆς οὖσαν, καὶ ἁπλῶς ὡς οὐράνιον τινὰ ταύτην ἴστε, ἵνα τὰ πλεῖστα σιγήσωμεν τῶν πρὸς ὑμᾶς λέγεσθαι δυναμένων, ἀνάγκη διότι πάσης ἑτέρας γεννήσεως μᾶλλον ἡ τοῦ λόγου ἐκ πατρὸς ὑπερουράνιός ἐστι γέννησις, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ, ταύτην μάλιστα ὑμᾶς εἰδέναι ἄνωθεν οὖσαν γέννησιν· οὐκοῦν εἰς υἱοθεσίαν καὶ τὸν κατὰ ταύτην γεννώμενον ἤγουν τὸν λόγον γυμνὸν ἀνάγκη ἐστὶ δοξάζεσθαι· καὶ ἔσται οὗτος, οὐ φύσει υἱὸς καθ' ὑμᾶς, ὁμονογενὴς υἱὸς καὶ λόγος τοῦ πατρός· τὸ δὲ ἑπόμενον τῆς ὑμετέρας προτάσεως, σαφέστερον πῶς ἐστὶν ἀσεβέστερον· τὸ γὰρ οὕτως γεγεννημένον, οὐδὲ ἐκ τῆς οὐσίας τεχθῆναι συνάγεται· οὐκοῦν οὐδὲ ἐκ τῆς τοῦ πατρὸς ὁ υἱὸς καθ' ὑμᾶς· ἀλλὰ τὴν Ἀρείου πρὸς τῇ ὑμετέρᾳ κακοδοξίᾳ παράνοιαν ἐκυρώσατε· εἰ δὲ ταῦτα μὲν οὕτως οὐκ ἐκδέχεσθε, ἄνωθεν δὲ γέννησιν τὴν οἱονεὶ ἐπανάληψιν τῆς γεννήσεως τῆς πρώτης οἴεσθε, καὶ τοῦ αὐτοῦ ὑποκειμένου δὶς τὴν αὐτὴν γέννησιν τῇ ὡς ἐξ ὑπαρχῆς σημασίᾳ διὰ τοῦ ἄνωθεν φατὲ· καὶ ἁπλῶς ἀναγέννησιν, ἢ καὶ δευτέραν γέννησιν, ἴστε τήνδε· καὶ ἐν τῷδε πάλιν πόῤῥω τῆς ὀρθοδοξίας ἀπεπλανήθητε, ἀναγέννησιν ἐπὶ Χριστοῦ παραφέροντες καὶ διανοούμενοι· ἐκείνων γὰρ λέγεται ἀναγέννησις, ὧν παλαίωσίς τις καὶ ῥύπος καὶ νόσος ἐπιγενομένη, τὸ ἐκ τῆς πρώτης γεννήσεως ὑποκείμενον πάλαι τε ὂν ἀμόλυντον· ἐκιβδήλωσέ πως ἢ διέφθειρεν ἢ κατεμάρανεν· ὥσπερ ἡμῖν τὸ κατ' εἰκόνα θεοῦ, τὸ ἐκ πρώτης ὂν γεννήσεως ἡ παράβασίς τε ἡ πρώτη καὶ αἱ μεταγενέστεραι τῶν ἐπὶ τὰ φαυλότερα προσηλώσεις· τὸν δὲ θεὸν λόγον οὐδείς· οὐδὲ τῶν λίαν

ἀθέσμων, ἐδόξασε πώποτε κατὰ τὴν πρώτην αὐτοῦ γέννησιν, ἔκ τινος ἀπροσεξίας ἢ ἐπιβουλῆς, παλαιωθέντα τῇ ἁμαρτίᾳ, νῦν δεῖσθαι τῆς ἀνακαινιζούσης αὐτὸν ἀναγεννήσεως, καὶ διὰ τοῦτο τὴν δευτέραν ὑποστῆναι γέννησιν· πῶς οὖν μηδενὸς ἀναγέννησιν, εἴτουν ἄνωθεν γέννησιν, ἐπὶ τοῦτον λέγοντος ἢ νοοῦντος, ἀλλὰ τὴν γέννησιν αὐτοῦ τὴν δευτέραν μετὰ τῆς πρώτης, πάντων ὁσίων ὁμολογούντων, τὴν ἀναγέννησιν ἀντὶ γεννήσεως ἀληθοῦς, δευτέρας δὲ τὴν τάξιν, ἐπὶ τὸν θεὸν λόγον μετηγάγετε, ἵνα ἐντεῦθεν ἡμῖν τὸ δοκοῦν ὑμῖν συλλογίσησθε; ἔτι μέν τοι, οὐδὲ ἐκεῖνο πῶς ὑμῖν ἔδοξε νενοήκαμεν τὸ ἐκ τοῦ πνεύματος γεννώμενον, μὴ ἐκ τῆς οὐσίας οἴεσθαι· ἢ γὰρ ὡς ἐνέργεια εἰς ξύλον ἐκ τῆς φύσεως τοῦ τέκτονός ἐστιν, ἢ ὡς πῦρ ἐκ πυρὸς ἐν ξύλῳ ἐκ τῆς οὐσίας ὑπάρχει· ἀλλ' εἰ μὲν κατὰ τὸ πρῶτον, δῆλον ὅτι ἐνεργεῖν τι τὸ γεννηθὲν ὥσπερ οὐδὲ ἡ ἐνέργεια αὕτη ἡ ἐν τῷ ξύλῳ, τὰ τοῦ τέκτονος οὐ δυνήσεται· εἰ δὲ κατὰ τὸ δεύτερον, σαφὲς ὅτι ἐνεργεῖν τὰ τοῦ πυρὸς καὶ τὸ γεννηθὲν ἐν τῷ ξύλῳ πῦρ, δυνήσεται· εἰ δὲ τοῦτο, μετάληψις γέγονε τῆς τεκούσης αὐτὸν οὐσίας τῷ γεννηθέντι· τοῦτο γὰρ μαρτυρεῖ δηλαδὴ, ἑπομένη καὶ τῷδε, ταύτης ἡ φυσικὴ ἐνέργεια· εἰ δὲ μετάληψις γέγονεν οὐσίας, εἰ μὴ ἐκ τῆς οὐσίας ἡ γέννησις, ἀλλ' ἐξ ἐνεργείας ἀνουσίου, ἔσται ἀνούσια κατακρατοῦντα τῆς οὐσίας, καὶ οὐσιῶν αἴτια, ὅπερ ἀδύνατον.

Εἰ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ θεὸς λόγος ἐκ τῆς παρ- XXXIII.
θένου, καὶ ἔστιν αὕτη ἀνόμοιος, καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἐγεννήθη ὁ αὐτὸς ἐκ πατρὸς, τί κωλύει εἶναι αὐτὸν καὶ τὸ πατρὶ ἀνόμοιον, μήτε τῶν γεννήσεων κατ' εἶδος παραλλατουσῶν, μήτε τοῦ γεννωμένου καθάπαξ; Καὶ γὰρ εἰ μὲν ὄντως αἱ γεννήσεις κατ' εἶδος οὐ παρήλλαττον, καὶ τὸ ὅλον τοῦ γεννήματος ὡσαύτως εἶχεν ἐν ἑκατέρᾳ γεννήσει, ἰσχὺν εἶχεν ἂν ὑμῖν τὸ ἐπιχείρημα· ἐπειδὴ δὲ τοσαύτη τῶν γεννήσεων ἡ διαφορὰ, ὡς τὴν μὲν ἀΐδιον νοεῖσθαι, τὴν δὲ ἀρχομένην· καὶ τὴν μὲν ἀσωμάτως, τὴν δὲ ἐν σώματι· καὶ τὴν μὲν ἀδιαστάτως, τὴν δὲ διαστατῶς· καὶ ἁπλῶς τὴν μὲν τοῦ λόγου γυμνοῦ καὶ ἁπλοῦ, τὴν δὲ Χριστοῦ τοῦ συνθέτου οὖσαν· καὶ τὴν μὲν ἀκινήτως, τὴν δὲ διὰ κινήσεως εἶναι, ἄλλοις τε μυρίοις ἀπαραβλήτοις διενηνοχότων, πῶς, λέγετε, συνάγετε ἐπὶ ἑκατέρας τῶν γεννήσεων τοῦ αὐτοῦ ἑνὸς υἱοῦ τὸ πρὸς τοὺς τεκόντας ἀνόμοιον ὀφείλειν ἔπεσθαι, ὡς ὁμοειδῶν οὐσῶν τῶν τούτου γεννήσεων; ἀλλ' ἐν ᾧ προσπταίοντες οὐκ ἐπισκέπτετε, μάθετε ὦ οὗτοι, εἴγε μὴ ἀεὶ γνωσιμαχεῖν βούλεσθε· τῷ γὰρ κυρίως καὶ κατὰ ἀλήθειαν ἑκατέραν λέγεσθαι γέννησιν, οἴεσθε τὴν αὐτὴν εἶναι θατέραν θατέρᾳ, καὶ ὁμοειδεῖς ἄμφω τὰς γεννήσεις ὑπολαμβάνετε· οὐ σκοποῦντες ὅτι εἰς τὸν ἑαυτῆς λόγον ἑκατέρα κυρίως ἐστὶ καὶ κατὰ ἀλήθειαν, καὶ οὐκ εἰς τὸν τῆς ἑτέρας· εἰ γὰρ πάντα ὁμοειδῆ νομιστέον

72

οἷς τὸ κυρίως καὶ κατὰ ἀλήθειαν ἐπιμαρτυρεῖται, δέον ὑμᾶς ἐπεὶ ὁ λίθος κυρίως καὶ κατὰ ἀλήθειαν σῶμα εἶναι λέγεται, καὶ ὁ ἥλιος δὲ κυρίως καὶ κατὰ ἀλήθειαν σῶμα εἶναι λέγεται, καὶ ὁ θεὸς ἀσώματος κυρίως τὲ καὶ κατὰ ἀλήθειαν λέγεται, ὁμοειδῆ νομίζειν τόν τε λίθον καὶ τὸν ἥλιον καὶ τὸν θεόν· ὁμοίως δὲ ἄνθρωπόν τε καὶ βάτραχον· ζῶά τε ὄντα καὶ κυρίως καὶ κατὰ ἀλήθειαν ἑκάτερον λεγόμενα· καὶ τὸ ὕδωρ ἄζωον ἀληθῶς λεγόμενον, ὁμοειδῆ νομιστέον· οὐρανόν τε καὶ κέγχρον καὶ τὰ λοιπὰ πάντα τῶν ὄντων ὡσαύτως, ἐξορισθείσης ὑμῖν πάσης ἀνομοιότητος· τῷ ἰδίῳ λόγῳ κυρίως ἐστὶ καὶ κατὰ ἀλήθειαν, τοῦτο ὅπερ ἐστι, κἂν ὁμωνύμως ποτὲ καὶ ἐπὶ ἑτέρου τὸ τοῦδε ὄνομα, ὡς ὄντος, λέγοιτο.

XXXIV. Εἰ ὁ θεὸς λόγος ἐγεννήθη κατὰ ἀλήθειαν ἐκ τῆς παρθένου, πᾶσα δὲ γέννησις μὴ ψεγομένη, ἥ τε τὸ εἶναι διδοῦσα τῷ τικτομένῳ, καὶ ἡ μὴ διδοῦσα, ἴσον κατ' οὐσίαν τοῦ γεννῶντος ἔχει τὸ γεννώμενον, ἢ ἔλαττον· ἴσον μὲν, ὡς τὸ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ· καὶ ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα· ἔλαττον δὲ, ὡς ἡ τῶν πιστῶν ἐκ θεοῦ γέννησις· κρεῖττον δὲ οὐδεμία· ἢ ἴσος ἄρα κατ' οὐσίαν ὁ θεὸς τῆς παρθένου, ἢ ἐλάττων· ἀλλ' ἑκάτερα δυσσεβῆ· οὐκ ἄρα ὁ θεὸς κατὰ ἀλήθειαν ἐγεννήθη ἐκ τῆς παρθένου. Ἀληθῶς μὲν πᾶσα γέννησις μὴ ψεγόμενη, τὸ ἴσον ἢ ἧττον δείκνυσι τοῦ γεννηθέντος πρὸς τὸν γεννήσαντα· ἀλλ' ὦ τοῦ μεγαλείου τῆς θείας οἰκονομίας ἀναίσθητοι, σκοπεῖτε ὡς τοῦτο ἔχει πᾶσα γέννησις, οὐ μόνον ἡ μὴ ψεγομένη, ἀλλὰ μὴ δὲ θαυμαζομένη ὡς παράδοξος· ἐπὶ δὲ τοῦ τῆς οἰκονομίας θεοπρεποῦς λόγου, τοῦτο γὰρ δὴ τοῦτό ἐστι τὸ ὑπερφυὲς τῆς ἀγαθότητος μυστήριον, καὶ τὸ τῆς θείας φιλανθρωπίας τεκμήριον· ὅτι ὁ πάσης κτίσεως ποιητὴς καὶ παντοίας γεννήσεως αἴτιος καὶ πάσης φύσεως δεσπότης καὶ τὸ ὑπερκόσμιον τοῦ παντὸς κόσμου κράτος, γέννησιν κατεδέξατο· καὶ ταύτην ἐκ φύσεως ἐπικήρου καὶ φθαρτῆς καὶ εὐεπηρεάστου· δι' ἡμᾶς τε ἐπτώχευσε πλούσιος ὤν, ἵνα ἡμεῖς τῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· εἰ οὖν ὄντως καὶ τῶν μὴ θαυμαζομένων ἦν γεννήσεων, οὕτως ἔχειν ἔδει καὶ τήνδε τὴν γέννησιν μὴ ψεγομένην· εἰ δὲ καὶ θαυμάζεσθαι ἔδει, ἀνάγκη παρὰ τὴν συνήθη γέννησιν πάντων ἔχειν αὐτὴν τὶ, ἐπεὶ οὐδὲ θεία τότε ἂν ὑμῖν ἀμογητὶ δειχθήσεται· εἰ δὲ δεῖ, ἐκ τῶν καθόλου συλλογιστέον ὑμῖν καὶ τῶν πάντη ὁμοίων ἄρα ὦ σοφοί· πᾶσα οὖν γέννησις ὁμοίως τῇδε, θαυμαζομένη· καὶ τῇδε ἐοικυῖα, ὅτι χεῖρον ἢ ἴσον ἔχει τὸ τεχθὲν τῷ τεκόντι, τοῦτο δείξατε· τίς δὲ ὑμῶν οὐ δακρύσει τὴν τύφλωσιν; ὅτι δι' ὧν ἐχρῆν πιστοῦσθαι περὶ τοῦ θείου τόκου ἤγουν ἐκ τῶν παραδόξων καὶ ὑπερφυῶν καὶ παρὰ τὴν συνήθειαν λόγων, διὰ τούτων κατασκευάζειν σπεύδετε, ὅτι οὐ θεοῦ ἐστιν ἡ γέννησις, ἐπεὶ μὴ ὁμοίως ἔχει ταῖς φθαρταῖς ἡμῶν καὶ φυσικαῖς γεννή-

σεσιν, ὡς καθ' ὑμᾶς εἰ γεννήσει τῇ καθ' ὑμᾶς ἐγεννήθη, τότε ἂν εἶναι ἀξιόπιστον τὸ ὑπὲρ ἡμᾶς αὐτὸν εἶναι τὸν τεχθέντα· εἰ δὲ μὴ δὲ τότε, πόθεν ἔδει πιστῶσαι ἡμᾶς τὸν θεὸν περὶ τῆς ἑαυτοῦ γεννήσεως τῆςδε, εἴπατε· εἴπερ μὴ δὲ ἐκ τῶν καθ' ἡμᾶς, μὴ δὲ ἐκ τῶν ὑπὲρ ἡμᾶς, ὦ οὗτοι.

Εἰ ὁ τόκος ἐκ τῶν πάντη ὁμοίων ἀληθινὸς, ὃς κατ' οὐσίαν τίκτων XXXV. ὅμοια τῶν τικτόντων κατὰ ἀλήθειάν ἐστιν, ὁ πάντη ἀνόμοια τίκτων κατ' οὐσίαν ἐκ τῶν ὁμοίων, οὐκ ἔστι κατὰ ἀλήθειαν τόκος· τὰ γὰρ ἐναντία, οὐ συναληθεύουσι ποτὲ· ἀλλὰ τὸ πρῶτον· οὐκ ἄρα τὸ ὕστερον. Ὅτι μὲν ὅτε ἐκ τῶν ὁμοίων, καὶ ὁ ἐξ ἀνομοίων· ὅ τε εἰς τὸ εἶναι, καὶ εἰς τὸ τοιῶςδε εἶναι· καὶ εἴτις ἕτερος τόκου τρόπος, τόκος ἐστί τε καὶ λέγεται ἀληθῶς τῇ θείᾳ γραφῇ κατὰ τὸν ἑαυτοῦ λόγον, καὶ ὑμεῖς εἰρήκατε πολλάκις μέχρι τοῦ νῦν· εἰ δὲ τὸ μὲν εἶναι τόκον διδοῦντες, οὐ κυρίως ὅμως καὶ κατὰ ἀλήθειαν τοῦτο εἶναι φατὲ τὸν οὐκ ἐξ ὁμοίων κατ' οὐσίαν γινόμενον, ἀνάγκη τῇ ὁμοιώσει τῶν τικτόντων, καὶ οὐ τῷ λόγῳ τοῦ τόκου, εἰδέναι ὑμᾶς τὴν ἀληθινὴν γέννησιν· ἤδη μὲν οὖν ἐλέλεκτο τοῦτο ὑμῖν μικρὸν ἀνωτέρω δεόντως· πῶς γὰρ ἀνόμοιος ὢν ἑτέρου βάτραχος ἐκ τοῦ ὁμοίου γεννηθείη βατράχου; καί τοι οὐδὲ τίκτεται ὅλως βάτραχος ἐκ βατράχου ποτὲ· ἀλλ' ἐπεὶ τοῖς αὐτοῖς ἐξ ἀπορίας πάλιν κατακυλίεσθε· πρὸς τοῖς εἰρημένοις ἡμῖν ἐν τοῖς φθάσασι, καὶ τάδε νῦν ἀκούσεσθε· εἰ ὁ ἐκ τῆς οὐσίας τοῦ πυρὸς πυρσὸς, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ κόκκου κόκκος, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ ἀνθρώπου ἄνθρωπος, καὶ ὁ ἐκ τῆς οὐσίας τοῦ θεοῦ θεὸς, πάντα μὲν ἐκ τῆς οὐσίας συνωμολόγηνται, οὐχὶ δὲ τὴν αὐτὴν ἀκραιφνῆ ὁμοιότητα ἐπὶ πάντων πρὸς τὰ γεννῶντα ἔχουσι τὰ γεννώμενα, ἀλλά μόνος θεὸς ἔχει τὸ πάντη ἀπαράλλακτον, πῶς δυνατὸν ὡσαύτως κυρίως καὶ κατὰ ἀλήθειαν ἑκάστου τούτων λέγεσθαι τὴν γέννησιν, εἰ καὶ ἐκ τῆς οὐσίας ἐστίν; ἀνάγκη γὰρ καθ' ὑμᾶς διαφόρου οὔσης τῆς ὁμοιώσεως ἐξ ἧς τὸ κυρίως καὶ κατὰ ἀλήθειαν τῷ τόκῳ προσμαρτυρεῖτε, διάφορον εἰδέναι ὑμᾶς καὶ τὴν τοῦ τόκου κυριότητα· ὅπερ προφανὲς καταγέλαστον· ὃ γὰρ κύριόν ἐστι, οὐ διάφορον ἔτι· καὶ ὁ διάφορον, οὐχὶ κύριον ποτὲ κατὰ τὸ αὐτὸ· σύνετε δὲ ὦ φυσικοὶ, μᾶλλον πεφυσιωμένοι, ὅτι καὶ λίθοι καὶ σίδηρος καὶ ξύλα πῦρ γεννᾷ, καὶ οὔτε πῦρ ὄντα, οὔτε κατὰ τὸν αὐτὸν τρόπον τοῦ πυρὸς γεννᾷ· καὶ ὅμως οὐκ ἄν τις εἴποι οὐδὲ ὑμῖν ὅμοιος, ὡς οὔτε ἀληθινοῦ πυρὸς γέννησίς ἐστιν ἡ ἐξ ἀνομοίων αὐτῷ προελθοῦσα φύσεων· οὐκοῦν εἰς οὐδὲν ὑμῖν ἅπας ὁ κυκεὼν τῆς τοιᾶςδε ὑμῶν λέσχης κατέστρεψεν.

Ἔτι δὲ ἀκουστέον αὐτῶν καὶ τοῦδε· εἰ ἄσαρκός τε καὶ ἄτρεπτος ὁ XXXVI. λόγος, κατὰ φυσικὸν αὐτοῦ λόγον φησὶ, πῶς ἔσται σεσαρκωμένος ὁ αὐτὸς μένων ἄτρεπτος; οὕτως γὰρ ἂν καὶ τρεπόμενος λέγοιτο ἂν ἔτι ἄτρε-

πτος μεῖναι· εἴτε οὖν οὐχ' ὁ θεὸς σὰρξ γέγονεν, οὐ θεοτόκος ἡ τεκοῦσα τὴν σάρκα· εἴτε αὐτὸς γέγονεν, οὐ θεὸς λοιπὸν ὁ μὴ ἄτρεπτος, οὐδ' ἄρα θεοτόκος οὐδαμῶς ἡ τοῦ τρεπτοῦ μητήρ. Τί οὖν οὕτως ὑμῶν ἄγαν κωφωθέντων οὐκ ἐνηχεῖ τοῖς ὠσὶ παντελῶς οὐδ' ὁ τῆς βροντῆς υἱὸς λέγων, καὶ ὁ λόγος σὰρξ ἐγένετο; ἀλλ' ὦ οὗτοι, εἰ μὲν σεσαρκωμένον τὸν λόγον κατὰ τροπὴν ἀκούετε τῆς φύσεως, ὡς φαμὲν λελιθωμένον τὸ φυτὸν τοῦ κοραλίου, καὶ νενεκρωμένον τὸ πρὶν ζῶον, ὄντως ἂν τὸ ἄτρεπτον καταλύεσται εἰκότως δόξητε· εἰ δὲ ὥσπερ κεχρυσωμένον τὸ ξύλον, καὶ ὡπλισμένον τὸν ἄνδρα λέγομεν, κατὰ τὴν πρὸς τὸν χρυσὸν ἕνωσιν, καὶ τῶν ὅπλων τὴν ἀνάληψιν καὶ ἐπένδυσιν, τὴν πρόσληψιν τῆς σαρκὸς ἐν τῷ λόγῳ δοξάζοντες, πῶς τροπὴν αὐτῷ φύσεως εἰσάγομεν; εἴπερ γὰρ ξύλον ἔτι ἄχρυσον τὴν φύσιν, τὸ τὴν ἐνυπόστατον φύσιν αὐτοῦ κεχρυσωμένον· καὶ ἀνὴρ ἔτι ἀσίδηρος, ἢ μᾶλλον εἰπεῖν ἐκ ψιλοῦ τετριχωμένος τὴν φύσιν, ὁ τὴν φυσικὴν ὑπόστασιν αὐτοῦ σεσιδηρωμένος ὁπλίτης, ἢ ἐν ἀκμῇ λασιούμενος, καὶ ὁ λόγος ἄσαρκος μένει τὴν φύσιν, ἤγουν τὸν οὐσιώδη λόγον, ἐπιγενομένην τῇ φυσικῇ αὐτοῦ ὑποστάσει, περικείμενος σάρκα· ἐν τοῖς μὲν γὰρ οὐσιώδεσι λόγοις, ὁρᾶται τὸ ἄτρεπτον τὴν φύσιν, οὐκ ἐν τοῖς ἐπιγενομένοις τῇ οὐσίᾳ· μενούσης δὲ ἐν αὐτοῖς ὡσαύτως τῆς φύσεως, ἡ περὶ τὴν ὑπόστασιν ἐπιθεωρία γίνεται.

XXXVII. Ἀλλὰ φασὶ καὶ τόδε οἱ πάντα λέγειν εἰδότες, ἵνα μὴ τῇ ἀληθείᾳ συνφθέγξωνται, ἵνα καὶ τοῖς ἐξ ἀγράφου αὐτῶν ῥήμασιν ἐπεξέλθωμεν· ὅτι ἰδοὺ καὶ κατὰ τὰς ὑμετέρας ὑποθέσεις καὶ κατασκευὰς, καὶ ἐκ μέρους καὶ κατά τι ἐξέστιν ὀνομάζειν τινὸς τινὰ μητέρα· πῶς οὖν εἰ μὴ ἄσαρκον γεννηθῆναι θεὸν ἐξ αὐτῆς δοξάζετε, λέγουσιν ἡμῖν ἀνθρωποτόκον καὶ ἐκ μέρους ταύτην παρθένον ἀντιφέρεσθε, τὸ θεοτόκος ὄνομα μόνον αὐτῇ κατ' ἐξαίρετον ἀποκληρώσαντες, ἀλλ' οὐδὲ χριστοτόκον ἐκ τοῦ ὅλου φάσκοντας αὐτὴν οἰκειότερον, καταδέχεσθε; Καὶ πρὸς τοῦτο δὲ φαμὲν αὐτοῖς πρῶτον μὲν, πῶς δύνασθε ἄθλιοι ἀνθρωποτόκον ὀνομάζειν τὴν ἁγίαν παρθένον ἐκ μέρους, οἵ γε ἐκ μέρους αὐτὴν θεοτόκον ὀνομάζειν μὴ καταδεξάμενοι; οὐ γὰρ δι' ὧν τις λόγων τὰς ὀνομασίας ἀποσκευάζεται τῶν ἐναντίων, διὰ τούτων καὶ προβάλλεσθαι δύναται τὰς ἰδίας, πλὴν εἰ μὴ κατ' ἐξουσίας τρόπον τοῦτο ποιῇ· δεύτερον δὲ ἀκούσεσθε παρ' ἡμῶν, ὡς ἐξ ἐκείνων ὀνομάζειν τῶν μερῶν τὸ ὅλον, ἔθος τῇ θείᾳ γραφῇ σαφέστατα, τῶν κατ' ἐπικράτειαν εἶναι ἐν τῷ συνθέτῳ φαινομένων· καὶ γὰρ ὡμολογημένως, ἔκ τε ψυχῆς καὶ σώματος τῶν ἀνθρώπων συνεστώτων πάντων, ὅμως ἡνίκα ὁ κατὰ θάτερον μέρος τῆς συνθέσεως ἐπεκράτησε τοῦ βίου, καὶ τῆς ζωῆς τῶν ἀνθρώπων λόγος, εἴρηται ὡς οὐ μὴ μείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· καί τοι ὡμολογημένως,

οὐκ ἀψύχων ὄντων τῶν σαρκικῶς βιούντων τότε, ἀλλ' ἐπικρατηθέντος τῇ φύσει τῆς σαρκός· Ἰακὼβ δὲ πάλιν ἐν ο̄ ψυχαῖς εἰσιέναι εἰς τὴν Αἴγυπτον ἀναγέγραπται, οὐκ ἀσωμάτως δηλονότι τὴν παρουσίαν ἐκεῖσε ποιησάντων, ἀλλὰ τῶν ἐξ Ἰακὼβ τῇ κατὰ τὸ κρεῖττον τῶν ἐν τῷ ἀνθρώπῳ πολιτείᾳ μαρτυρουμένων· ἕως πληθυνθέντες οἱ υἱοὶ Ἰσραὴλ, χυδαῖοι ἐγένοντο· οὐκοῦν δεόντως τῇ τοῦ θείου μέρους ἐπικρατείᾳ ὁσίως τε καὶ τοῖς ἱεροῖς λόγοις ἀκολούθως, θεὸν τὸν ὅλον Χριστὸν ὀνομάζομεν· μάλιστα δὲ ὅτι καὶ τὸ ἰδικώτατον θεοῦ γνωριστήριον ἐν τῷ κατ' αὐτὸν ὅλῳ, καὶ οὐκ ἐν τῷ ἑνὶ μόνον μέρει θεωροῦμεν, ὅπέρ ἐστι τὸ ἀναμάρτητον· ἔτι μὴν καὶ πᾶσαν θεοπρεπῆ πρᾶξιν ἐν αὐτῷ ὅλῳ γινώσκομεν.

Τρίτον δὲ ὑμῖν φαμὲν· πῶς πάντων τῶν κυρίων ὀνομάτων, μάλιστα τῶν φερωνύμως κειμένων, ἰδικῷ τινὶ γνωρίσματι παρὰ τοὺς λοιποὺς τῶν ὁμοειδῶν καὶ ὑπεξῃρημένῳ σημαινομένων, ἵνα οὕτως νοοῖτο κατ' αὐτὸ τὸ πρόσωπον ἰδικῶς οὗ ἐστιν ἡ κλῆσις τοῦ ὀνόματος, ἀνθρωποτόκον λέγειν τὴν παρθένον τὴν τοῦ θεοῦ λόγου γενομένην μητέρα βούλεσθε· πᾶσα γὰρ καὶ ἑτέρα τεκοῦσα ἐν ἀνθρώποις γυνὴ, τῷ ὀνόματι τούτῳ προσαγορεύεταί τε καὶ σημαίνεται· οὐ γὰρ τοῦτο ἰδικῆς τινος, ἀλλὰ πάσης γυναικὸς ὀνομασία· πῶς οὖν ἔσται κύριον τῆς παρθένου; ἰδιάζειν γὰρ δεῖ τὰ τῶν ὑποστάσεων· καὶ πῶς τι αὐτὴν ἐκ τοῦ κοινοῦ τροσαγορεύων ὀνόματος, ἰδικῶς σημαίνει, ὥσπερ εἴωθε τὰ καθέκαστον ὀνόματα δηλοῦν τὸν δεῖνα; εἰ γὰρ καὶ ὡς ἐπίθετον ληφθείη, ἀλλ' ὡς ἰδικὸν ἐπίθετον ἀντιστρέφειν δεῖ πρὸς τὸ ὑποκείμενον τῶν ὀνομάτων· οὕτω γὰρ ἔχει καὶ ἐπὶ τῶν διωνύμων, δύο ὀνομάτων καθ' ἓν προσώπου κυρίως τεταγμένον, ὡς ἥλιος ὁ καὶ ὑπερίων, καὶ διχομηνὶς ἡ σελήνη· οὐ γάρ ἐστι καὶ ἐπὶ ἑτέρων τάδε τὰ ἐπίθετα ὡς κοινὰ λαβεῖν· σαφέστερον δὲ εἰπεῖν, τὸ ἀνθρωποτόκος καὶ θεοτόκος, ὀνόματά εἰσιν ἐπίθετα προσώποις· τὰ δὲ ἐπίθετα, ἢ κοινά ἐστιν, ὡς φιλοπάτωρ ὁ Πτολεμαῖος, καὶ φιλάδελφος ἕτερος· καὶ γὰρ καὶ ἄλλοι τῶν ὁμοειδῶν αὐτοῖς γεγόνασι καὶ εἶεν φιλοπάτορες καὶ φιλάδελφοι, καὶ σχεδὸν πάντες· ἢ ἰδικά ἐστιν, ὡς ἀμητρογενὴς μόνος ὁ Ἀδάμ· καὶ τριχοσθενὴς ὁ Σαμψὼν μόνος, παρὰ τοὺς ὁμοφυεῖς πάντας· τὸ δὲ ἀνθρωποτόκος ἐπίθετον ὄνομα, ὡς μὲν ἰδικὸν οὐκ ἂν λέγοιτο κατὰ τῆς ἀχράντου παρθένου, μυρίων καὶ ἑτέρων οὐσῶν ἀνθρωποτόκων γυναικῶν δηλαδὴ· ὡς δὲ κοινὸν εἰ φῇ τις αὐτὸ καὶ κατ' αὐτῆς ὡς καὶ καθ' ἑτέρων, εἴπερ ἀληθῶς ἔσται κοινὸν, κατὰ τὸν αὐτὸν τρόπον ἐν πᾶσιν οἷς ἐπίκειται δεῖ αὐτὸ ὀνομάζεσθαι, καὶ τὸ αὐτὸ πρᾶγμα ὡσαύτως πάντη κατὰ πάντα σημαίνειν· οὐ γὰρ συνώνυμα ἔσται τινὰ, μὴ κοινωνοῦντα τῷ τε ὀνόματι καὶ τῷ πράγματι τῷ αἰτίῳ τοῦ ὀνόματος· ἢ οὖν καὶ τὰς λοιπὰς γυναῖκας πάσας, ἀνθρωποτόκους σὺν αὐτῇ λεγομένας, καὶ αὐτὰς ἀνάγκη

θεανθρώπους τινὰς τεκεῖν κατὰ Χριστὸν, ὥσπερ αὕτη ἀπὸ μέρους τὲ καὶ αὐτὰς, καὶ οὐκ ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἢ μὴ δὲ τήνδε σύνθεον τινά τεκεῖν ἄνθρωπον μὴ δὲ ἀπὸ μέρους· ἀλλ' ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἤγουν ἀνθρωποτόκον, εἰ δὲ μὴ δὲ αὕτη ἐξ ὅλου, μὴ δὲ ἐκεῖναι ἐκ μέρους εἴρηνται ἀνθρωποτόκοι· ἀλλ' οὔτε αὕτη ψιλὸν τέτοκεν ἄνθρωπον, οὔτε ἐκεῖναι σύνθεον πώποτε γεγεννήκασι, πῶς ἔσται ἐν αὐταῖς κοινῶς τὸ ἀνθρωποτόκος ὄνομα κείμενον; οὐκοῦν ἐπείπερ, μή τε ἰδικῶς τῇ δεσποίνῃ, μὴ δὲ κοινῶς ὀνομάζεσθαι ἥρμοσε τόδε τὸ ὄνομα, ὡμολόγηται ὡς κατ' οὐδένα λόγον ἀνθρωποτόκος ἀληθῶς ἂν λέγοιτο ἡ ἁγία θεοτόκος· αὐτῆς ὃν μόνον ἰδικῶς τὸ ὄνομα τὸ ἐκ μέρους οὐ κεκώλυται, πῶς ἢ πόθεν εἰς ὁμωνυμίαν τινὰ πρὸς ἑτέραν τῶν γυναικῶν οὐκ ἐππιπτούσης, κατὰ τόδε ὡς ἐπὶ τοῦ ἀνθρωποτόκος ἐδείχθη.

Ἀλλὰ καὶ τόδε γοῦν σκοπητέον ἔτι, ὡς εἰ τὰ τῶν προσώπον ὀνόματα ἰδικὴν ὑπόστασίν τινα τοῦδέ τινος σημαίνοντα, οὐκ ἐκ κοινῶν τινῶν ἅ ἐστι καὶ ἑτέροις, ἀλλ' ἐξ ἰδικῶν καὶ αὐτοῦ μόνου ὄντων, τοῦ ὀνομαστοῦ προσώπου θέλει λαμβάνεσθαι· εἴπερ καὶ γυναῖκες λέγονται ἄπειροι, καὶ ἀνθρωποτόκοι ἀμέτρητοι, καὶ παρθένοι μυρίαι, πλεῖσται καὶ Μαρίαι εἰσὶ· καὶ μόνον ἰδικώτατον καὶ κυριώτατον καὶ σημαντικώτατόν ἐστι τῇ ἁγίᾳ ἀχράντῳ καὶ ἀειδόξῳ παρθένῳ ὄνομα τὸ θεοτόκος· ὅπερ καὶ ἀφ' ἑαυτῶν μάθοιεν οἱ ἀντιλέγοντες μὴ πρὸς ἔριν μόνην ἀπεσκληκότες· εἰ γὰρ ἁπλῶς τὸ γυνὴ ἡ παρθένος ἡ ἁγία ἀκούσειαν καὶ αὐτοὶ, οὔπω στηρίζονται ἐφ' ἓν τὸ δέ τι πρόσωπον τὴν φαντασίαν· εἰ δὲ τὸ θεοτόκος ἐνηχηθεῖεν, ἄλλης οὐκ οὔσης τοιᾶσδε, εὐθὺς ἐπὶ τὴν θεομήτορα ταύτην ἀποβλέπουσιν ἀναμφιβόλως, περὶ αὐτῆς πεπεισμένοι εἶναι τὸ λεγόμενον· καὶ οὕτω μὲν τάδε· πῶς δὲ καὶ αὐτοὶ ἀνθρωποτόκον ἐκ μέρους αὐτὴν λέγειν βούλονται, εἰπάτωσαν· εἰ μὴ δὲ θεοτόκος ἐκ μέρους ὄντως, ὅπουγε τὰ λόγια καὶ ψυχὴν μόνον τὸν ἄνθρωπον, καὶ σάρκα μόνως ἐκάλεσαν· καὶ ἡ κοινὴ δὲ πάντων χρῆσις, ἕως τοῦ νῦν μήτε ἀνθρωποτόκος μήτε θεοτόκος ἐκ μέρους λέγοιτο, ἄτοκος ἢ ἀνώνυμος ἔσται κατά γε τὸ ὄνομα τὸ φυσικὸν τοῦ τεχθέντος ἐξ αὐτῆς· τὸ γὰρ Χριστὸς, προσωπικὸν, καὶ οὐ φυσικὸν, οὐδὲ τοῦ εἴδους ὄνομά ἐστιν, ἵνα λέγοιτο χριστοτόκος, ἀλλὰ τοῦ προσώπου, ὡς εἰ καὶ ἰαννοτόκος ἡ Ἐλισάβετ λέγοιτο, ὅπερ οὐ νῦν ἐστι τὸ ζητούμενον ἡμῖν, ἀλλ' ὅπως ἂν ἐκ τῆς φύσεως τοῦ τεχθέντος λέγοιτο.

Εἰ δὲ καὶ πρὸς τάδέ τις εἴποι ὅτι καὶ θεοτόκος κοινόν τι ὄνομα ἀπὸ φύσεως τοῦ τεχθέντος ἐπικείμενον καὶ τῷ πατρὶ καὶ τῇ μητρὶ τοῦ κυρίου ἐστὶ, καὶ δέον ἢ ἐν ἀμφοῖν ὁμοίαν θεωρεῖσθαι γέννησιν αὐτοῦ, ἢ τῇ κυριωτέρᾳ προσκυρωθῆναι τὸ ὄνομα· ἐπεὶ οὐ μόνον τὲ θεὸν καὶ τὶς τὸ εἶναι, εἰ καὶ ἀχρόνως, καὶ ἀεὶ προάγει ὁ πατὴρ τὸν υἱὸν, πῶς οὐ μᾶλλον αὐτὸς

ἰδικῶς ἂν λέγοιτο θεοτόκος μόνος, κοινῶς δὲ οὐδεὶς σὺν αὐτῷ; ἀλλ' εὔδηλον ὡς οὐ δύναται ἐκ τῆς οὐσίας ὁ πατὴρ λέγεσθαι τοκεύς· οὐ γὰρ οὐσίαν ἑτέραν ἀριθμῷ ἑτέρα ἔτεκε θεία· τριθεΐας γὰρ τόδε· ἀλλὰ τῶν τῆς αὐτῆς ὄντων οὐσίας μιᾶς διαφόρων ἰδιωμάτων θάτερον θατέρου αἴτιον ἐν αὐτῇ· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῆς οὐσίας Δαβὶδ, τοῦτο αἴτιον τοῦ μουσικοῦ αὐτοῦ ἰδιώματος, οὐ μὴν ἑτέρας οὐσίας μουσικῆς ἢ ὡς οὐσία· καὶ γὰρ καὶ τῶν ἀμούσων οὐσία ἐστίν· εἴποτε οὖν ἢ ἀνθρωποτόκον ἢ καὶ χριστοτόκον εἴπητε, ὅσον οὔπω τῆς ἀρεβείας ὑφήσαντες, οὐδὲ οὕτως ῥοῦμεν ὡς ἰδιωτάτην ὀνόματι σημαίνετε· τῶν γὰρ κατὰ τὸν Ἰσραὴλ διὰ τοῦ αἰσθητοῦ μύρου χριομένων βασιλέων τὲ καὶ ἱερέων λεγομένων πλείστων χριστῶν, καὶ τῶν διὰ τῆς θείας ἐνεργείας χριομένων προφητῶν καὶ τῆς θείας προχειρίσεως, οἷον Κῦρος ὁ περσῶν βασιλεὺς, οἷς πλείους εἰσὶ μητέρες, οὐ διακριθήσεται οὐδ' οὕτως· πάσαις γὰρ τῷ αὐτῷ ἐπιθέτῳ ὀνόματι, μία τὲ καὶ κοινὴ ἔσται κλῆσις σὺν αὐτῇ· συνθέτου γὰρ πράγματος ἔκ τε χρίσεως καὶ χριομένου ἔστι δηλωτικὸν ὄνομα τὸ Χριστός· οὐ μὴν οἵας ἐστὶ φύσεως ἢ τὸ χρίσμα ἢ τὸ χρισθέν· οὐκοῦν οὐδὲ οὕτως αὐτὴν ἐξονομάζειν ἐστὶν εἴ τῷ κυρίῳ καὶ ἰδίῳ αὐτῆς ὀνόματι, τῶν τε συνωνύμων καὶ ὁμωνύμων αὐτὴν διακρίνειν βουληθείημεν· ἀναγκαίως οὖν ἐκ τοῦ προσόντος αὐτῇ ἀληθῶς καὶ μόνως παρὰ τὰς λοιπὰς πάσας γυναῖκας ὀνομαστέον τὴν ἄχραντον παρθένον· τοῦτο δέ ἐστι τὸ, θεὸν φύσει ὄντα τεκεῖν ἀψευδῶς γεννήσει οὐ φυσικῇ οὔσῃ θεοῦ ἀλλ' ἐπιτηδευτῇ.

Διὸ δὴ καὶ θεοτόκος ἡ παρθένος ἀληθῶς ἤδε ἐπὶ τούτοις φαμὲν, ὅτι εἷς ὁ τόκος οὐκ ἐκ σπορᾶς, οὐ κατὰ φύσιν, οὐχ' ὅμοιος τινὶ τῶν ἀνθρώπων, ἀλλὰ θεῖος διὰ τῆς ἀῤῥαγοῦς μήτρας παρθενικῶς ἐδείχθη· πῶς οὐ κυρίως θεοτόκος καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς ἀποτέξεως λέγοιτο; ἐπὶ τούτοις δὲ λεγέσθω ἡμῖν καὶ ὅτι πολλάκις πολλοῖς τῶν γεννητόρων, ἐκ τοῦ τέλους τοῦ κατὰ τοὺς παῖδας, ἡ τῶν ἐπιθέτων ὀνομασία προσγέγονεν· οὕτως γὰρ κλυτόπαιδα, καὶ ἀνακτόκον, καὶ καλλίγονον φαμὲν τήνδε· καί τοι οὐκ ἐξ ἀρχῆς τῷ βρέφει τῆς ἀρετῆς ἢ τῆς ἀξίας ἐνεργείας συμπροελθούσης, ἀλλ' ὕστερον ἐμφανισθείσης, καὶ τοῖς γονεῦσι τὴν ὀνομασίαν προσαγαγούσης· ἐπεὶ οὖν καὶ ἡμεῖς, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκωμεν· τοῦ μὲν ἐν αὐτῷ λόγου θεοῦ κατὰ φύσιν ὄντος, τῆς δὲ κατὰ φύσιν σαρκὸς μετὰ τὴν ἀνάστασιν αὐτῆς θεωθείσης εἰς τὸ παντελές· οὐκ ἔχοντες οὐδὲ ἐκ μέρους οὐδὲ κατὰ λόγον τινὰ, τὶ τῶν αὐτοῦ ἢ περὶ αὐτῶν γυμνὸν κατανοῆσαι θεότητος· χαρισθέντος καὶ τῷ μὴ κατὰ φύσιν ἐν αὐτῷ θείῳ τοῦ ὀνόματος τοῦ ὑπὲρ πᾶν ὄνομα· κυρίου τὲ καὶ θεοῦ γενομένου Ἰησοῦ τούτου ὃν ἰουδαῖοι ἐσταύρωσαν· ἐξ ἀνάγκης οὐκέτι καὶ ἀνθρωποτόκον μητέρα, ἀλλὰ

θεανθρώπους τινὰς τεκεῖν κατὰ Χριστὸν, ὥσπερ αὕτη ἀπὸ μέρους τὲ καὶ αὐτὰς, καὶ οὐκ ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἢ μὴ δὲ τήνδε σύνθεον τινά τεκεῖν ἄνθρωπον μὴ δὲ ἀπὸ μέρους· ἀλλ' ἐκ τοῦ ὅλου οὕτως ὀνομάζεσθαι, ἤγουν ἀνθρωποτόκον, εἰ δὲ μὴ δὲ αὕτη ἐξ ὅλου, μὴ δὲ ἐκεῖναι ἐκ μέρους εἴρηνται ἀνθρωποτόκοι· ἀλλ' οὔτε αὕτη ψιλὸν τέτοκεν ἄνθρωπον, οὔτε ἐκεῖναι σύνθεον πώποτε γεγεννήκασι, πῶς ἔσται ἐν αὐταῖς κοινῶς τὸ ἀνθρωποτόκος ὄνομα κείμενον; οὐκοῦν ἐπείπερ, μή τε ἰδικῶς τῇ δεσποίνῃ, μὴ δὲ κοινῶς ὀνομάζεσθαι ἥρμοσε τόδε τὸ ὄνομα, ὡμολόγηται ὡς κατ' οὐδένα λόγον ἀνθρωποτόκος ἀληθῶς ἂν λέγοιτο ἡ ἁγία θεοτόκος· αὐτῆς ὃν μόνον ἰδικῶς τὸ ὄνομα τὸ ἐκ μέρους οὐ κεκώλυται, πῶς ἢ πόθεν εἰς ὁμωνυμίαν τινὰ πρὸς ἑτέραν τῶν γυναικῶν οὐκ ἐππιπτούσης, κατὰ τόδε ὡς ἐπὶ τοῦ ἀνθρωποτόκος ἐδείχθη.

Ἀλλὰ καὶ τόδε γοῦν σκοπητέον ἔτι, ὡς εἰ τὰ τῶν προσώπον ὀνόματα ἰδικὴν ὑπόστασίν τινα τοῦδέ τινος σημαίνοντα, οὐκ ἐκ κοινῶν τινῶν ἅ ἐστι καὶ ἑτέροις, ἀλλ' ἐξ ἰδικῶν καὶ αὐτοῦ μόνου ὄντων, τοῦ ὀνομαστοῦ προσώπου θέλει λαμβάνεσθαι· εἴπερ καὶ γυναῖκες λέγονται ἄπειροι, καὶ ἀνθρωποτόκοι ἀμέτρητοι, καὶ παρθένοι μυρίαι, πλεῖσται καὶ Μαρίαι εἰσί· καὶ μόνον ἰδικώτατον καὶ κυριώτατον καὶ σημαντικώτατόν ἐστι τῇ ἁγίᾳ ἀχράντῳ καὶ ἀειδόξῳ παρθένῳ ὄνομα τὸ θεοτόκος· ὅπερ καὶ ἀφ' ἑαυτῶν μάθοιεν οἱ ἀντιλέγοντες μὴ πρὸς ἔριν μόνην ἀπεσκληκότες· εἰ γὰρ ἁπλῶς τὸ γυνὴ ἡ παρθένος ἡ ἁγία ἀκούσειαν καὶ αὐτοὶ, οὔπω στηρίζονται ἐφ' ἓν τὸ δέ τι πρόσωπον τὴν φαντασίαν· εἰ δὲ τὸ θεοτόκος ἐνηχηθεῖεν, ἄλλης οὐκ οὔσης τοιᾶσδε, εὐθὺς ἐπὶ τὴν θεομήτορα ταύτην ἀποβλέπουσιν ἀναμφιβόλως, περὶ αὐτῆς πεπεισμένοι εἶναι τὸ λεγόμενον· καὶ οὕτω μὲν τάδε· πῶς δὲ καὶ αὐτοὶ ἀνθρωποτόκον ἐκ μέρους αὐτὴν λέγειν βούλονται, εἰπάτωσαν· εἰ μὴ δὲ θεοτόκος ἐκ μέρους ὄντως, ὅπουγε τὰ λόγια καὶ ψυχὴν μόνον τὸν ἄνθρωπον, καὶ σάρκα μόνως ἐκάλεσαν· καὶ ἡ κοινὴ δὲ πάντων χρῆσις, ἕως τοῦ νῦν μήτε ἀνθρωποτόκος μήτε θεοτόκος ἐκ μέρους λέγοιτο, ἄτοκος ἢ ἀνώνυμος ἔσται κατά γε τὸ ὄνομα τὸ φυσικὸν τοῦ τεχθέντος ἐξ αὐτῆς· τὸ γὰρ Χριστὸς, προσωπικὸν, καὶ οὐ φυσικὸν, οὐδὲ τοῦ εἴδους ὄνομά ἐστιν, ἵνα λέγοιτο χριστοτόκος, ἀλλὰ τοῦ προσώπου, ὡς εἰ καὶ ἰαννοτόκος ἡ Ἐλισάβετ λέγοιτο, ὅπερ οὐ νῦν ἐστι τὸ ζητούμενον ἡμῖν, ἀλλ' ὅπως ἂν ἐκ τῆς φύσεως τοῦ τεχθέντος λέγοιτο.

Εἰ δὲ καὶ πρὸς τάδέ τις εἴποι ὅτι καὶ θεοτόκος κοινόν τι ὄνομα ἀπὸ φύσεως τοῦ τεχθέντος ἐπικείμενον καὶ τῷ πατρὶ καὶ τῇ μητρὶ τοῦ κυρίου ἐστὶ, καὶ δέον ἢ ἐν ἀμφοῖν ὁμοίαν θεωρεῖσθαι γέννησιν αὐτοῦ, ἢ τῇ κυριωτέρᾳ προσκυρωθῆναι τὸ ὄνομα· ἐπεὶ οὖν μόνον τὲ θεὸν καὶ τὶς τὸ εἶναι, εἰ καὶ ἀχρόνως, καὶ ἀεὶ προάγει ὁ πατὴρ τὸν υἱὸν, πῶς οὐ μᾶλλον αὐτὸς

ἰδικῶς ἂν λέγοιτο θεοτόκος μόνος, κοινῶς δὲ οὐδεὶς σὺν αὐτῷ; ἀλλ' εὔδηλον ὡς οὐ δύναται ἐκ τῆς οὐσίας ὁ πατὴρ λέγεσθαι τοκεύς· οὐ γὰρ οὐσίαν ἑτέραν ἀριθμῷ ἑτέρα ἔτεκε θεία· τριθεΐας γὰρ τόδε· ἀλλὰ τῶν τῆς αὐτῆς ὄντων οὐσίας μιᾶς διαφόρων ἰδιωμάτων θάτερον θατέρου αἴτιον ἐν αὐτῇ· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης δεκτικὸν τῆς οὐσίας Δαβὶδ, τοῦτο αἴτιον τοῦ μουσικοῦ αὐτοῦ ἰδιώματος, οὐ μὴν ἑτέρας οὐσίας μουσικῆς ἢ ὡς οὐσία· καὶ Γὰρ καὶ Τῶν ἀμούσων οὐσία ἐστὶν· εἴποτε οὖν ἢ ἀνθρωποτόκον ἢ καὶ χριστοτόκον εἴπητε, ὅσον οὔπω τῆς ἀρεβείας ὑφήσαντες, οὐδὲ οὕτως ῥοῦμεν ὡς ἰδιωτάτην ὀνόματι σημαίνετε· τῶν γὰρ κατὰ τὸν Ἰσραὴλ διὰ τοῦ αἰσθητοῦ μύρου χριομένων βασιλέων τὲ καὶ ἱερέων λεγομένων πλείστων χριστῶν, καὶ τῶν διὰ τῆς θείας ἐνεργείας χριομένων προφητῶν καὶ τῆς θείας προχειρίσεως, οἷον Κῦρος ὁ περσῶν βασιλεὺς, οἷς πλείους εἰσὶ μητέρες, οὐ διακριθήσεται οὐδ' οὕτως· πάσαις γὰρ τῷ αὐτῷ ἐπιθέτῳ ὀνόματι, μία τὲ καὶ κοινὴ ἔσται κλῆσις σὺν αὐτῇ· συνθέτου γὰρ πράγματος ἔκ τε χρίσεως καὶ χριομένου ἔστι δηλωτικὸν ὄνομα τὸ Χριστός· οὐ μὴν οἵας ἐστὶ φύσεως ἢ τὸ χρίσμα ἢ τὸ χρισθὲν· οὐκοῦν οὐδὲ οὕτως αὐτὴν ἐξονομάζειν ἐστὶν εἴ τῷ κυρίῳ καὶ ἰδίῳ αὐτῆς ὀνόματι, Τῶν Τε συνωνύμων καὶ ὁμωνύμων αὐτὴν διακρίνειν βουληθείημεν· ἀναγκαίως οὖν ἐκ τοῦ προσόντος αὐτῇ ἀληθῶς καὶ μόνως παρὰ τὰς λοιπὰς πάσας γυναῖκας ὀνομαστέον τὴν ἄχραντον παρθένον· τοῦτο δέ ἐστι τὸ, θεὸν φύσει ὄντα τεκεῖν ἀψευδῶς γεννήσει οὐ φυσικῇ οὔσῃ θεοῦ ἀλλ' ἐπιτηδευτῇ.

Διὸ δὴ καὶ θεοτόκος ἡ παρθένος ἀληθῶς ἥδε ἐπὶ τούτοις φαμὲν, ὅτι εἷς ὁ τόκος οὐκ ἐκ σπορᾶς, οὐ κατὰ φύσιν, οὐχ' ὅμοιος τινὶ τῶν ἀνθρώπων, ἀλλὰ θεῖος διὰ τῆς ἀῤῥαγοῦς μήτρας παρθενικῶς ἐδείχθη· πῶς οὐ κυρίως θεοτόκος καὶ ἐξ αὐτοῦ τοῦ τρόπου τῆς ἀποτέξεως λέγοιτο; ἐπὶ τούτοις δὲ λεγέσθω ἡμῖν καὶ ὅτι πολλάκις πολλοῖς τῶν γεννητόρων, ἐκ τοῦ τέλους τοῦ κατὰ τοὺς παῖδας, ἡ τῶν ἐπιθέτων ὀνομασία προσγέγονεν· οὕτως γὰρ κλυτόπαιδα, καὶ ἀνακτόκον, καὶ καλλίΓονον φαμὲν τήνδε· καί τοι οὐκ ἐξ ἀρχῆς τῷ βρέφει τῆς ἀρετῆς ἢ τῆς ἀξίας ἐνεργείας συμπροελθούσης, ἀλλ' ὕστερον ἐμφανισθείσης, καὶ τοῖς Γονεῦσι τὴν ὀνομασίαν προσαγαγούσης· ἐπεὶ οὖν καὶ ἡμεῖς, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκωμεν· τοῦ μὲν ἐν αὐτῷ λόγου θεοῦ κατὰ φύσιν ὄντος, τῆς δὲ κατὰ φύσιν σαρκὸς μετὰ τὴν ἀνάστασιν αὐτῆς θεωθείσης εἰς τὸ παντελὲς· οὐκ ἔχοντες οὐδὲ ἐκ μέρους οὐδὲ κατὰ λόγον τινὰ, τὶ τῶν αὐτοῦ ἢ περὶ αὐτῶν γυμνὸν κατανοῆσαι θεότητος· χαρισθέντος καὶ τῷ μὴ κατὰ φύσιν ἐν αὐτῷ θείῳ τοῦ ὀνόματος τοῦ ὑπὲρ πᾶν ὄνομα· κυρίου τὲ καὶ θεοῦ γενομένου Ἰησοῦ τούτου ὃν Ἰουδαῖοι ἐσταύρωσαν· ἐξ ἀνάγκης οὐκέτι καὶ ἀνθρωποτόκον μητέρα, ἀλλὰ

θεοτόκον μητέρα μόνον ὀνομάζομέν τε καὶ προσκυνοῦμεν τὴν πάνσεπτον· τοῦ γὰρ ἐξ αὐτῆς προελθόντος, τὸ μέν τοι κατ᾽ οὐσίαν, τὸ δὲ κατὰ μετουσίαν θεῖον εἰδότες, ὅλον αὐτὸν θεὸν τέλειον δοξάζομεν καὶ προσκυνοῦμεν· εἰ καὶ γινώσκωμεν σεσῶσθαι τὸ ἐξ ἀνθρωπότητος θεωθὲν ἐν τῷ τεχθέντι ὑπ᾽ αὐτῆς Χριστῷ, καὶ τὸ ἀφράστως σαρκωθέν· κρειττώσει γὰρ καὶ οὐκ ἀναιρέσει τόδε τεθέωται· καὶ εὐδοκίᾳ οὐ τροπῇ τὸ ἕτερον σεσάρκωται.

Εἰ δὲ φασὶν ὡσεὶ καὶ ἐκ μέρους τινὰ λέγοιντο ὀνόματα, ἀλλ᾽ ἡμεῖς θεὸν οὐχ᾽ ὡς ἐκ μέρους τὸν Χριστὸν ὀνομάζομεν· εἰ γὰρ καὶ μέρος λέγεται Χριστοῦ ἡ θεότης πρὸς σαφήνειαν τῆς συνθέσεως αὐτοῦ, ἀλλὰ παντὸς μέρους καὶ ὅλου νοεῖται αὐτῆς τελειότερος ὁ λόγος· οὐ γὰρ τὸν λόγον ἥττονα Χριστοῦ φαμὲν, ἀλλ᾽ ἁπλούστερον· ὃ γάρ τι μέρος λεγόμενον τοῦ τε σὺν αὐτῷ συγκειμένου μέρους, αὐτῆς πρὸς ἑαυτὸ ἑνώσεως τοῦδε καὶ τοῦ τῆς συνθέσεως αὐτοῦ τρόπου, αἴτιόν τε καὶ συνεκτικὸν καὶ κυριεῦον θεωρεῖται· καὶ ἄγον τὸ οἰκεῖον ὅλον μᾶλλον ἢ ἀγόμενον, ὡς μέρος ὑπὸ τοῦ οἰκείου ὅλου, ὡς φύσις τοῖς ἄλλοις συνθέτοις· πῶς οὐ κυρίως καὶ κατὰ ἀλήθειαν μᾶλλον τοῦ τε ἑτέρου μέρους καὶ τοῦ κατ᾽ αὐτὸ ὡς ὅλου νοουμένου, τὴν ὀνομασίαν τοῦ προσώπου, καὶ τοῦ ὑφεστῶτος περὶ αὐτὸ παντὸς συγκρίματος ἐξ ἑαυτοῦ ποιήσοιτο; ἔσχατον δὲ ὑμῖν καὶ τόδε λεκτέον, ὡς εἰ Χριστὸν ὀνομάζοντες αὐτὸν τὸν κύριον καὶ θεὸν ἴστε σημαίνεσθαι, καὶ οὐδὲν ἧττον εἰς θεότητα διὰ θατέρου τῶν ὀνομάτων περὶ αὐτοῦ λογίζεσθε, τί δυσχεραίνετε ἐπὶ τῇ θεοτόκος φωνῇ, ἀντὶ τῆς χριστοτόκου; καὶ ὡς ἐκ τοῦ ὅλου μᾶλλον χριστοτόκον ἀποκαλεῖν βούλεσθε; εἰ γὰρ ταυτὸν Χριστὸς τῷ θεῷ, καὶ ἡ χριστοτόκος τῇ θεοτόκῳ ὀνομασίᾳ· εἰ δὲ ἕτερόν τι ἴστε θεὸν παρὰ τὸ Χριστὸν, πρώτην ὑμῶν ταύτην τὴν βλασφημίαν ὁμολογεῖτε· καὶ οὐ περὶ τῆς δευτέρας λοιπὸν ὡς πάντη ἀπίστοις ἅπαξ καὶ ἀσεβέσιν ἰουδαίοις, χριστιανικῶς προσδιαλεγόμεθα· ἀλλ᾽ ἐπεὶ ταῦτα σὺν θεῷ καλῶς ὑμῖν ὡμολόγηται καὶ ἀποδέδεικται, ὅσιον καὶ δίκαιον καὶ ἀληθινὸν θεοτόκον ὄντως τὴν ἁγίαν παρθένον Μαρίαν ἐν οὐρανοῖς ὑμνεῖσθαι, καὶ ἐπὶ γῆς προσκυνεῖσθαι, σώφρονι λογισμῷ καὶ ἀμωλύντῳ διανοίᾳ χείλεσί τε ἁγνοῖς καὶ ὑπὸ πάντων μακαριζομένην, νῦν δὲ καὶ εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων ἀμήν· ταῦτα μὲν οὖν παρ᾽ ἡμῶν πρὸς ὑμᾶς τὴν ἀληθῆ τε καὶ πρέπουσαν ἰδικωτάτην ὀνομασίαν τῆς ἁγίας παρθένου θεοτόκου παραιτουμένους.

### Ὅτι οὐδὲ Θεὸς ὁ Χριστὸς εἰκότως ὀνομάζεται, τολμῶσι κατασκευάζειν.

Θεὸς ἦν ὁ λόγος· γέγονεν ἄνθρωπος· εἰ Θεοτόκος ἡ παρθένος, δῆ- XXXVIII.
λον ὅτι οὗ ἦν ὁ λόγος, ἔστι μήτηρ ἡ παρθένος, οὐχὶ οὗ γέγονεν· εἰ δὲ
διὰ τὸν ἄνθρωπον ἔχει μητέρα, τοῦ ἀνθρώπου μητέρα μὴ ἔχοντος, οὐ-
δὲ ἄρα ὁ λόγος δύναται ἔχειν μητέρα. Ἀλλὰ καὶ οὗ ἦν καὶ γέγονεν ὁ
λόγος, ἔστι μήτηρ ἡ παρθένος· καὶ ἅμα μὲν, ἀλλ' οὐχ' ὁμοίως· τοῦ
μὲν γὰρ λόγου, ὡς ἐξ αὐτῆς ἐναρξαμένου σαρκώσεως· τῆς δὲ σαρκὸς,
ὡς ἐξ αὐτῆς ἐναρξαμένης ὑπάρξεως.

Κατὰ μὲν τὸν προφήτην, τὸ Ἐμμανουὴλ ὄνομα, σημείου ἐστὶν ὄνο- XXXIX.
μα τοῦ ἐκ τῆς παρθένου τῷ οἴκῳ Δαβὶδ τικτομένου τὲ καὶ διδομένου· κα-
τὰ δὲ τὸν Αἰγύπτιον, τοῦ δοτῆρος τοῦ σημείου Θεοῦ ἐστὶ τὸ ὄνομα τὸ
Ἐμμανουήλ. Ἀλλ' οὐ σημεῖον ἐστὶν ὁ Ἐμμανουήλ· ὄνομα γάρ ἐστι ὑπο-
στάσεώς τινος σημαντικὸν, καθ' ἣν μεθ' ἡμῶν τῶν ἀνθρώπων Θεὸς γέγο-
νε· πῶς δὲ γέγονεν μεθ' ἡμῶν, ἢ δῆλον ὡς καὶ πρώην διεστήκει ἡμῶν;
διέστηκε δὲ ἡμῶν θεὸς, οὐκ ἐνεργείᾳ, οὐ σχέσει, οὐ τόπῳ πώποτε· φύσει
ἄρα, ὥστε καὶ φύσει τῇ ἡμετέρᾳ νῦν ἥνωται τὴν φύσιν, καὶ ἔστιν ὄντως
μεθ' ἡμῶν· σημεῖον δὲ οὐ γέγονεν μεθ' ἡμῶν· ἀλλ' εἴγε καὶ ἄρα ἐν ἡμῖν
τις εἴποι, οὐ μεθ' ἡμῶν τὸ σημεῖον· τοῦ δὲ ἐμμανοὺ, τὸ μεθ' ἡμῶν ὡμο-
λογημένως σημαίνοντος κατὰ ἑβραίους, τὸ ἦλ, ποῦ ποτε ἀκήκοαν σημεῖον
σημαίνειν, καὶ οὐ τὸν Θεὸν σαφῶς λέγειν;

Τῶν τικτομένων ἡ φύσις, Θετοῖς ὀνόμασιν οὐδαμοῦ παραδηλοῦται· XL.
τὰ γὰρ θετὰ ὀνόματα, τῶν τῇ φύσει συμβαινόντων ἔστι σημαντικά· τοιοῦ-
τον δὲ καὶ τὸ Ἐμμανουὴλ ὄνομα, ἅτε θετὸν ὄνομα· οὐ τὴν φύσιν οὖν δη-
λοῖ τοῦ λαβόντος, τοῦ Ἐμμανουὴλ ἡ κλῆσις κατὰ τὸν Αἰγύπτιον· ἀλλὰ
Θεοῦ τὴν συμμαχίαν εἶναι, μετὰ τῶν εἰληφότων τὸ Ἐμμανουὴλ εἰς ση-
μεῖον ἐκείνης. Ἀλλ' οὐδὲν ἕτερον ὄνομα ἰδικὸν ὃ φασί τινες καὶ κύριον
ἤγουν τὸ καθ' ὑποστάσεως ἑνὸς προσώπου κείμενον, φύσεως ἔστι δηλω-
τικὸν ἁπλῶς· οὔτε γὰρ ὁριστικῶς, ἀλλ' οὐδὲ σημαντικῶς, ὡς τὰ κοινὰ
καὶ προσηγορικὰ τισὶ λεγόμενα ὀνόματα, ἐπὶ τὴν οὐσίαν ἀναπέμπει τὴν ἔν-
νοιαν· ἀλλ' οὐδὲ τὸ ὁπωσοῦν κατὰ πλειόνων· ξάνθον γὰρ ἵππον τινὰ καὶ
ποταμὸν καὶ ἄνθρωπον, ἔστι φαντασθῆναι ἀκούσαντας· τῶν οὖν προσωπικῶν
ὀνομάτων ἀεὶ θετοῖς τισὶ καὶ συμβεβηκόσι ταῖς οὐσίαις δηλούντων τὰς ὑπο-
στάσεις, ἄρα γε καὶ τὸ Ἐμμανουὴλ, κατὰ προσώπου κείμενόν ἐστι, καθ' ὃ
πρόσωπον συμβέβηκεν ἡμῖν κοινωνίαν ἔχειν πρὸς Θεόν· εἴπερ μεσίτης θεοῦ
καὶ ἀνθρώπων οὗτός ἐστιν· εἰ δὲ τὸ ὄνομα κατὰ τῆς συμμαχίας ἐστὶ κεί-

μενον, καὶ τὸ ὀνομαστὸν ἡ συμμαχία ἐστὶ τὸ καὶ ὑποκείμενον τοῦ Ἐμμανουήλ· ἄρα οὖν, εἰ ὃ τέξεται ἡ παρθένος, τοῦτο καλέσουσι τὸ ὄνομα Ἐμμανουὴλ κατὰ τὸν προφήτην, συμμαχίαν ἔτεκε καὶ οὐ φύσιν, οὐχ' ὑπόστασιν ἡ ἐν γαστρὶ συλλαβοῦσα κόρη· εἰ δὲ τόδε ἄτοπον διὰ τῆς σημασίας ὀνομαστικῶς σημαινομένην, τινὰ αὐθυπόστατον ὕπαρξιν νοήσομεν.

XLI. Εἰ διὰ τοῦτο θεοτόκος ἡ παρθένος, ὅτι τὸν ἀληθινὸν θεὸν ἐγέννησε, καὶ ὁ ἀληθινὸς ἄρα θεὸς, διὰ τοῦτο ἀληθινὸς θεὸς, ἐπειδὴ παρθενογέννητος. Ἀλλ' οὐκ εἴ τι παρωνύμως ἢ φερωνύμως ὠνομασμένον ἀναγκαίως ἔχει ἀληθῆ προωμολογημένην τὴν μέθεξιν ἢ σύμβασιν τοῦ ὀνοματιστικοῦ αἰτίου, διὰ τοῦτο καὶ εἰ καθ' αὐτὸ ἢ πρὸς ἕτερόν τι ἔχοι κείμενον ὄνομα τὸ ἀφ' οὗ ἡ μέθεξις, ἢ ἡ παρωνυμία πρὸς αὐτὸ τὸ μετέχον ἢ παρωνομασθὲν, ἀναγκαῖον τῷ καθ' αὑτὸ ὀνόματι, ἢ τῷ πρὸς ἕτερον κειμένῳ, πρὸς τὸ ἀλλαχόθεν εἰλημμένον ὄνομα ἀντιστρέφειν· οὐ γὰρ ἐπεὶ ὁ φιλῶν τὴν δικαιοσύνην, ὄντως φιλοδίκαιος ὀνομάζεται, διὰ τοῦτο ὡσαύτως καὶ ἡ δικαιοσύνη, ἐκ τοῦδε δικαιοσύνη λέγοιτο, διότι φιλεῖται ὑπὸ τοῦ ἀνθρώπου· καὶ γὰρ καὶ ἡ ἀδικία ὑπὸ ἀπὸ ἀνθρώπου φιλεῖται· ἄλλῳ οὖν λόγῳ δίκαιον τὸ δίκαιον, καὶ καθ' αὑτὸ καὶ ἰδιαζόντως· καὶ ἄλλῳ ὁ φιλοδίκαιος, ὁ πρός τί πως ἔχων, ἤγουν πρὸς τὸ δίκαιον· θεοτόκος οὖν ὡς θεὸν τεκοῦσα φερωνύμως· θεὸς δὲ οὔτε φερωνύμως, οὔτε ἀφ' ἑτέρου· ἐκ γὰρ τῆς ἰδίας ἐστὶ φύσεως αὐτῷ ὄνομα.

XLII. Εἰ κατὰ τὴν εἰς σάρκα τροπὴν γέγονε σὰρξ ὁ λόγος, δῆλον ὅτι ὁ λόγος ἔχει δημιουργὸν καὶ μητέρα· εἰ δὲ χωρὶς τροπῆς γέγονε σὰρξ ὁ λόγος, πῶς μὴ τρεπόμενος ὁ λόγος, ὡς τρεπόμενος πράττεται καὶ τίκτεται; Τίκτεται μὲν τινὶ γεννήσει, οὐ μεταπλαττόμενος δὲ, ἀλλ' οὐδὲ ἁπλῶς μένων γυμνὸς, οὐδὲ εἰς τὸ εἶναι· οὐδὲ μένων εἰς τὸ ὡσαύτως πάντη ὑπογράφεσθαι, ἀλλὰ μετὰ σαρκὸς· καὶ εἰς τὸ τοιῶσδε εἶναι τὸ λοιπὸν ἀλλοιωθέντά πως τὴν ὑπόστασιν, ὡς τολμήσας ἐρῶ, οὐ τροπῇ τῶν ἰδιωμάτων τοῦ λόγου· ὥσπερ οὐδὲ τῶν ὡς θεοῦ· ἀλλ' ὑποδοχῇ καὶ συμπαραλήψει ἑτέρων τῶν Ἰησοῦ ἰδιωμάτων, καὶ τῶν ὡς ἀνθρώπου, κατὰ μίαν τὴν αὐτὴν ὑπόστασιν τοῦ λόγου αὐτοῦ ἐπαυξηθεῖσαν καὶ πλεονάσασαν φυσικοῖς τε καὶ ὑποστατικοῖς ἰδιώμασιν, ὑπὲρ πάντα τὰ ἑκατέρωθεν αὐτῇ ὁμοούσια πρόσωπα· καὶ πλάττεται οὖν, οὐδαμῶς δὲ ὡς λόγος, ἀλλ' ὡς καὶ Χριστὸς ὁ λόγος· καὶ τοῦτο κατά τι μέρος αὐτοῦ, ἤγουν κατὰ τὴν σάρκα μόνον.

XLIII. Τὰ μὴ τῆς θεότητος τοῦ λόγου, ταῦτα οὐδὲ τοῦ λόγου· πῶς τοίνυν ὁ Αἰγύπτιος, δευτέραν ἀρχὴν γεννήσεως τῇ μὲν τοῦ λόγου θεότητι οὐ δίδωσι, τῷ δὲ θεῷ λόγῳ δίδωσιν; Ἡ γὰρ ὑπόστασις αὐτοῦ καθ' ἣν καὶ λόγος θεὸς ὢν τὴν φύσιν νοεῖται, δευτέραν ἔχει ἀρχὴν, οὐκ ἔτι ἁπλῆ

και μονοφυὴς ἐν τοῖς θείοις προσώποις νοουμένη, ἀλλὰ σύνθετος καὶ διφυὴς καὶ προσκυνουμένη ὡς Χριστοῦ τοῦ σεσαρκωμένου, ἀνθρωπίνως θείου λόγου.

Τὸ θεὸν λόγον χωρίσας ὁ Αἰγύπτιος τῆς θεότητος, αὐτὸν μὲν ἐκ τῆς παρθένου δογματίζει σαρκικῶς τικτόμενον· τὴν δὲ αὐτοῦ θεότητα ὑποβάλλειν τῇ αὐτῇ σαρκικῇ γεννήσει, ᾗ ὑπέβαλε τὸν θεὸν λόγον, ἐσχάτης εἶναι μανίας λέγει. Οὐχ' ἁπλῶς γὰρ γεννήσει ἀλλὰ σαρκικῇ, τουτέστι ῥευστῶς καὶ εἰς τὸ εἶναι ὅλως προαγούσῃ τὶ οὐχ' ὑποβλητέον θεόν. XLIV.

Εἰ τῇ θεότητι θεὸς ὁ λόγος, καὶ τῇ ἀνθρωπότητι ἄνθρωπος ὁ λόγος, πῶς ὅ ἐστι τῇ σαρκὶ οὐ τίκτεται ὁ λόγος, ἀλλ' ὅ ἐστι τῇ θεότητι; δογματιζει γὰρ τὸ θεοτόκος ὁ Αἰγύπτιος, καὶ τοὺς λέγοντας τὸ ἀνθρωποτόκος ἀναθεματίζει. Καὶ ὅ ἐστι σαρκὶ τίκτεται ὁ λόγος· ἀλλ' ἡ τεκοῦσα οὐ δύναται θατέρῳ τῶνδε, ἤγουν τῷ χείρονι τῶν ὀνομάτων, ἰδικῶς ὀνομάζεσθαι· ἔστι γὰρ κοινὸν ὄνομα τόδε πάσαις ἀνῆκον γυναιξὶ, καὶ κατὰ τόδε πάσαις συνεμπίπτουσα. XLV.

Τὴν τοῦ νόμου διάταξιν περὶ τοῦ καθαρισμοῦ τῶν τικτομένων ἣν ἐπλήρωσεν ἡ παρθένος ἀνάγνωθι, καὶ μάθε· θεὸν ἐκαθάρισεν ὁ νόμος κελεύων ἃ ἔφη, καὶ ἡ παρθένος πληροῦσα αὐτὰ; ἢ ἄνθρωπον; ἐὰν γὰρ σπερματισθῇ γυνὴ, φησὶν ὁ νόμος, καὶ τέκῃ ἄρσεν, ἔστω ἀκάθαρτος ἑπτὰ ἡμέρας τῆς ἀφέδρου τοῦ αἵματος αὐτῆς, καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας καθιεῖται ἐν τῷ αἵματι αὐτῆς τῷ καθαρῷ· αὕτη παντὸς ἁγίου οὐχ' ἅπτεται· καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως αὐτῆς· καὶ ὅταν πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως αὐτῆς, οἴσει ἀμνὸν ἄμωμον ἢ δύο νεοσσοὺς περιστερᾶς εἰς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ποιήσει ὁ ἱερεὺς τὸ μὲν περὶ ἁμαρτίας, τὸ δὲ εἰς ὁλοκαύτωσιν· καὶ καθαρίσει αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς· καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὸ ἅγιον· ὅτι δὲ ἐπλήρωσεν ἡ παρθένος ταύτην τὴν διάταξιν, μαρτυρεῖ Λουκᾶς ὁ εὐαγγελιστὴς λέγων· καὶ πληρώσαντες φησὶ τὰς ἡμέρας τοῦ καθαρισμοῦ αὐτῶν, ἀνήνεγκαν αὐτὸν εἰς τὸ ἱερὸν παραστῆσαι αὐτὸν τῷ κυρίῳ, καὶ τοῦ δοῦναι δύο νεοσσοὺς περιστερῶν. Πολλὰ ἀσεβῆ τῇ ἀπορίᾳ τῇδε ἕπεται· εἰ γὰρ μὴ τύποι τινῶν πνευματικῶν οἱ νομικοὶ τῆς σαρκὸς καθαρισμοὶ καὶ ἑτέροις ἐπικείμενοι, οὐ γὰρ Χριστῷ, ἄχρι τῆς παρουσίας αὐτοῦ τοῦ ἀληθινοῦ καθαρτηρίου τῶν ὅλων Χριστοῦ· ἄρα γὲ καὶ αὐτὸν καθάραντες τὸν ποιησάμενον τὸν καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν Χριστὸν καὶ ἰσχυρότερον καὶ ἁγιώτερον παριστῶσι Χριστοῦ τὸν νόμον, τοῦ τὸν νόμον τῶν ἐντολῶν καταργήσαντος· τί οὖν ἔδει καταργῆσαι ἐλθόντα αὐτὸν τὸν νόμον; καί τοι διὰ τὸ ἀδύνατον τοῦ νόμου, ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν ἔπεμψεν ἐν XLVI.

ὁμοιώματι σαρκὸς ἁμαρτίας· καὶ οὐ μόνον καθήρησεν, ἀλλὰ καὶ κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ αὐτοῦ· ἔχων οὖν τὴν ἰσχὺν τοῦ παντὸς καθαρισμοῦ ἐν τῇ σαρκὶ αὐτοῦ τῇ θεοπλόκῳ Χριστὸς, πληροῖ πάντα τὰ τοῦ νόμου δικαιώματα σαρκικῶς, ἵνα τὴν φύσιν τῆς σαρκὸς, τῆς νομικῆς κατακρίσεως καὶ κατάρας ἐλευθερώσῃ, καὶ ἀξίαν αὐτὴν ἀποδείξῃ τῆς πνευματικῆς διαβιώσεως ἣν αὐτῇ χαρίσασθαι προσέθετο· εἰ δὲ ἐπιδεὴς ὡς ἀνθρώπου τόκος τούτων ἦν, καὶ περιτομῆς ἄρα, καὶ βαπτίσματος μετανοίας τοῦ Ἰωάννου, καὶ τῶν λοιπῶν· εἰ οὖν ἐδεῖτο τοῦ τῆς μετανοίας ὄντως βαπτισμοῦ, πάντως ὡς ἁμαρτωλὸς· οὐ γὰρ δικαίων ἐπαινετῶν ἐστιν ἡ μετάνοια· εἰ δὲ καὶ μὴ χρήζων τελεῖ τινὰ Χριστὸς, δῆλον ὡς πρὸς τὸ πᾶσαν δικαιοσύνην πληρῶσαι τὴν κατὰ σάρκα αὐτοῦ οἰκονομίαν, ποιεῖ τάδε· καὶ δεῖξαι ἐκ τῆς τοῦ νόμου πληρώσεως αὐτῆς τὴν ἑαυτοῦ θεότητα, ἀσθενούσης αὐτὸν ἐκπληρῶσαι, πάσης σαρκικῆς φύσεως, μόνης δὲ θείας οὐσίας αὐτὸν καταπραξαμένης.

XLVII. Πανταχοῦ ἡ σύλληψις καὶ ὁ τόκος τὸν οὐκ ὄντα ἄγει εἰς γέννησιν· ἀλλ' εἰ κατὰ τὸν Αἰγύπτιον, οὐ τὸν ἄνθρωπον ἐγέννησεν ἡ παρθένος, ἀλλὰ τὸν ἀληθινὸν θεὸν, δῆλον ὅτι τὸν οὐκ ὄντα ἐγέννησε· καὶ εἰ ὁ νεόπλαστος καὶ νεοτόκος καὶ νεόκλητος ὁ αὐτὸς οὗτος καὶ θεὸς, ἐξ ἀνάγκης καὶ νέος θεὸς· καὶ ἡ μὲν θεία γραφὴ βοᾷ· μὴ ἔστω σοι θεὸς πρόσφατος· ὁ δὲ Αἰγύπτιος ἀντιβοᾷ, ἔστω· καὶ τοὺς μὴ λέγοντας εἶναι θεὸν πρόσφατον, ἀναθεματίζει. Ἆρα οὖν ὁ λέγων οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ἡμῖν, καὶ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα, καὶ ἡ διαθήκη ἡ ἐξ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, οὐκ ὄντα ὅλως σημαίνει γεννηθῆναι τινὰς, ἢ ἑτέρως ὄντας, πρὸς τὸ ἑτέρως πῶς εἶναι γεννᾶσθαι· καὶ οὐ τῇ οὐσίᾳ, ἀλλὰ τῇ ἐπουσιώσει τοῦ πνεύματος δηλοῖ· εἰ δὲ τοῦτο, δῆλον οὐ πᾶσα γέννησις ἁπλῶς, τὸν οὐκ ὄντα ἄγει εἰς τὸ εἶναι, ἀλλὰ καὶ εἰς τὸ πῶς εἶναι, γεννηθῆναι τινὰς δυνατόν.

XLVIII. Ὁ μὴ ὁμολογῶν τὴν παρθένον χριστοτόκον, οὐδὲ τὸν Χριστὸν ὁμολογεῖ ὅπέρ ἐστι· προοίμιον γὰρ τῶν περὶ Χριστοῦ λόγων, ἡ γέννησις ἡ ἐκ τῆς παρθένου. Ἀλλ' οὐκ ἰδίως σημαντικὴ προσηγορία τῆς παρθένου ἁγίας, τὸ χριστοτόκος· καὶ αἱ μητέρες γὰρ Δαβὶδ καὶ Σαμουὴλ καὶ τῶν ἱερέων, χριστοτόκοι ὀρθῶς λέγοιντο ἂν, καὶ αἱ τῶν προφητῶν πάντων, μάλιστα δὲ Ἱερεμίου· εἴρηται γὰρ αὐτῷ ὅτι πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε· Ἰωάννης τε ἐν κοιλίᾳ τῆς Ἐλισάβετ ἐσκίρτησεν ἀγαλλιώμενος τῷ κυρίῳ· καὶ δῆλον ὅτι ἐν χρίσει καὶ μετοχῇ τοῦ ἁγιαστικοῦ πνεύματος ἦσαν, καὶ ἐν γαστρὶ ὄντες ἔτι οἵδε· χριστοὶ οὖν κυρίου οἱ προφῆται ἀφ' οὗ ἐγίνοντο καὶ ἐτίκτοντο· θεοτόκος δὲ μόνη ἰδίως ἐστὶν ἣ αὐτὸ τὸ πνεῦμα ἐν αὐτῇ σκιασθὲν καὶ κατοικῆσαν, καὶ τῇ ἀπ' αὐτῆς σαρκὶ συλ-

ληφθὲν εἰς ἑνὸς υἱοῦ τοιοῦδε ὑπόστασιν ἔτεκε· τέτοκε γὰρ οὐχ᾽ ἡγιασμένον μόνον, ἀλλὰ καὶ ἁγιοποιοῦντα τὸ γεννηθὲν ἐξ αὐτῆς ἅγιον· διὸ καὶ οὐκ αὐτῆς μόνης, ἀλλὰ καὶ θεοῦ υἱὸς ἐκλήθη.

Θεοτόκον τὴν μητέρα τοῦ Ἰησοῦ λέγειν ἡμεῖς οὐκ αὐθεντήσομεν, τῆς XLIX.
ἁγίας γραφῆς οὐδαμοῦ αὐτὴν οὕτω προσαγορευούσης, ἀλλ᾽ οὐδὲ τῶν τινῶν πατέρων· ἀλλὰ κατὰ τὴν φωνὴν τοῦ ἀγγέλου λέγοντος τοῖς ποιμέσιν· ἐτέχθη ὑμῖν σήμερον Χριστὸς κύριος· καὶ κατὰ τὸ εἰρημένον, βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ· καὶ τὸ, νῦν δέ με θέλετε ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· ἀνθρωποτόκον φύσει, καὶ ἀξίᾳ χριστοτόκον αὐτὴν φαμέν· ὃ μὴ παρελάβομεν οὐ νομοθετοῦντες προπετῶς καθ᾽ ὑμᾶς. Ἐὰν οὖν ὅτε μὲν διαῤῥήδην θεὸν τὸν Χριστὸν κυριολεκτεῖ τὰ λόγια, ἐπεξηγεῖσθε καὶ μετεκλαμβάνετε αὐτολεξεὶ εἰρημένον, ὅτε δὲ ἀπὸ διανοήματος συνάγει συμπέρασμα, οὐκ αὐτολεξεὶ κείμενον, οἷον ἐπὶ τῆς θεοτόκου, τότε κυριολεξίαν ἀπαιτεῖτε, δῆλον ὡς παντὶ τρόπῳ μόνην τὴν ὀρθοδοξίαν δραπετεύετε· εἰ γὰρ οὖν ὄντως ὃ μὴ κεῖται τοῖς λογίοις ῥητῶς οὐδὲ ὑμῖν ἐστι λεκτὸν, οὐδ᾽ ὅτι ἀῤῥεύστως ἐγέννησε τὸν λόγον ὁ πατὴρ, οὐδ᾽ ὅτι ὁμοφυὲς πατρὶ καὶ υἱῷ τὸ ἅγιον πνεῦμα, οὐδ᾽ ὅτι τὸ πῦρ ὁ θεὸς ἔκτισεν, ἢ τὸν ἀέρα· οὐδ᾽ ὅτι σκότος οὐκ ἔκτισεν, οὐδ᾽ ὅτι θνηταὶ τῶν ἀναίμων μυρμήκων καὶ καρκίνων καὶ σφηκῶν καὶ λοιπῶν αἱ ψυχαὶ, καὶ τὰ ἄλλα μυρία ὧ οὗτοι· πλὴν ἵνα πάντα ὑμῖν ἀφῶμεν, καὶ αὐτοὶ ἀνθρωποτόκον ἢ χριστοτόκον αὐτὴν θεσπιστικῶς ἀποκαλοῦντες, ποῦ ἡμῖν δείξετε τοῦτο κείμενον ἐν τῇ ἁγίᾳ γραφῇ περὶ τῆς ἁγίας παρθένου; εἰ δὲ οὐδαμοῦ, σαφῶς ὃ φεύγειν προσποιεῖσθε, διώκοντες κατελήφθητε· εἰ δὲ μὴ δὲ τούτῳ μὴ δὲ ἄλλῳ ὀνόματι αὐτὴν προσαγορεύειν ἐπιτηδεύοιτε ἀπὸ τοῦ τόκου παρωνομασμένῳ, ἢ οὐδὲ νοοῦντές τι περὶ τοῦ τεχθέντος, καὶ πῶς περὶ ὧν οὐκ ἴστε δογματίζετε; ἢ νοοῦντες μὲν, αἰδούμενοι δὲ τὰ οἰκεῖα φρονήματα διὰ τοῦ προφορικοῦ λόγου θριαμβεῦσαι ἡμῖν, τοῦτο πάσχετε; ἡμεῖς δὲ κατὰ τὸν ἀπόστολον, εὐχόμεθα σὺν θεῷ παῤῥησιάζεσθαι ἐν τῷ εὐαγγελίῳ, καθὼς δεῖ λαλῆσαι· οὐ γὰρ ἐπαισχυνόμεθα τῷ εὐαγγελίῳ Χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστὶν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι.

# LIBER V.

Πέμπτης αὐτῶν ἀσεβείας ἔκφανσις, ἀναίδην τὴν φυσικὴν θεότητα ἀρνουμένων Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν.

1. Πότε οὖν φασὶ τὸ ὅλον ἴστε Χριστοῦ θεόν; εὐθὺς ἀπὸ τοῦ τόκου; ἢ μετὰ τὴν ἀνάστασιν; εἰ γὰρ ἀπὸ γεννήσεως εὐθὺς, καὶ ἀπαθῆ ἄρα καὶ ἀθάνατον ἀεὶ ἴστε τὸν Χριστόν· τίς οὖν ἔπαθε καὶ ἀπέθανε καὶ ἐτάφη καὶ τὰ λοιπὰ ἀνθρώπινα ὑπέστη; εἰ μὴ φαντασία ἦν τὰ λεγόμενα περὶ Χριστοῦ· εἰ δὲ οὐκ ἀπὸ τόκου ἦν τὸ ὅλον Χριστοῦ θεὸς ἐξ ἀρχῆς, ἦν καθ' ὑμᾶς ὅτε οὐκ ἦν ὅλος θεὸς ὁ λόγος. Ἀλλὰ τὸ ὅλον Χριστοῦ ἀεί τε θεὸν, διὰ τὸν ἐν αὐτῷ λόγον καὶ ἄνθρωπον ἴσμεν· τοῦ δὲ ἁπλῶς λόγου μόνον, θεὸν ἀεὶ τὸ ὅλον ὡς λόγου· πότε δ' οὖν καὶ αὐτοὶ λαβεῖν τὸν Χριστὸν, ὃν φασὶν ἄνθρωπον τὴν φύσιν, οἴονται δόξαν καὶ χάριν, υἱοθεσίαν τὲ καὶ ἀξίαν τῆς θείας τιμῆς καὶ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα; ταῦτα γὰρ ὁμολογοῦσιν ἐξ ἀρχῆς εὐθὺς ἀπὸ συλλήψεως αὐτῷ· καὶ τίς ἡ ὄνησις τῶνδε τῶν μεγάλων δωρεῶν, οὐδὲ πάθους οὐδὲ ἀτιμίας οὐδὲ θανάτου αὐτὸν ἐξαιρουμένων; καὶ εἰσέτι γὰρ εἴη παθητὸς, εἰ μηδὲν πλέον ἐπεκτήσατο νῦν, ἢ ἑτέρῳ τινὶ καὶ δι' ἑτέρου παθὼν τότε, ἐλεύθερος γέγονε παθῶν· τίς οὖν ὁ ὑπὲρ Χριστοῦ καὶ ἡμῶν παθὼν, λεγέτωσαν· εἰ δὲ μετὰ τὴν ἀνάστασιν ταῦτα ἔσχεν, ἦν ἄρα ὅτε οὐκ ἦν, οὐδὲ ἐν τῇ κατὰ χάριν υἱοθεσίᾳ καὶ τιμῇ καὶ ἀξίᾳ ἥν φασι· καὶ τότε δὴ τότε παντοίως ψιλώτατον αὐτὸν ἀποφαίνουσιν ἄνθρωπον καθ' ἡμᾶς· ἄρα οὖν οὐδὲ κατὰ τὴν οἱανοῦν οἰκείωσιν ἢ ἀναφορὰν τὰ εἰς αὐτὸν γινόμενα τότε, εἰς τὸν λόγον ἀνατρέχουσι· καὶ πῶς τὸ, ἑαυτὸν ἐταπείνωσε μορφὴν δούλου λαβὼν ὁ λόγος εἴρηται, καὶ αἰσχύνης θανάτου καταφρονήσας; πῶς δὲ καὶ τὸ, εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν; καὶ πῶς τότε, τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὑπὸ Πέτρου ὡμολογεῖτο; καὶ σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ εὐδόκησα ὑπὸ τοῦ πατρὸς ἐμαρτυρεῖτο; ἄρα οὖν οὐδὲ αὐτοὶ ἐλεύθεροι τῆς ἰδίας ἀπορίας· ἡμεῖς δ' οὖν φαμὲν ὡς καὶ γενομένης ἐξ ἀρχῆς τῆς ἐν τῇ ἁγίᾳ τῆς παρθένου μήτρᾳ, τοῦ λόγου καὶ τῆς σαρκὸς ὑποστατικῆς ἑνώσεως, ὅμως εὐδοκία ἦν αὐτοῦ τοῦ λόγου συμπτωχεῦσαι ἐν πάσῃ τῇ διαβιώσει τῆς σαρκὸς, τὴν φυσικὴν αὐτοῦ μεγαλειότητα· ἵνα ὁ πάντα λόγῳ ποιῶν λόγος, καὶ οὐχ' ἁρπαγμῷ ἢ ἀδικίᾳ ἐν δίκῃ γε καὶ αὐτὸς διὰ πάσης τῆς ἀχράντου αὐτοῦ διαβιώσεως συνυψώσῃ τὴν ἑνωθεῖσαν αὐτῷ ἀνθρωπότητα, μετὰ τὸν τῆς σαρκὸς θάνατον, τῆς πνευματικῆς ἀθανασίας καὶ ἀϊδίου τιμῆς καὶ μακαριό-

τητος ἀπαρχομένην· τούτῳ τοι Χριστὸς δόξαν αἰτῶν παρὰ τοῦ πατρὸς ἐκ προσώπου τῆς ἀνθρωπότητος αὐτοῦ, καὶ ἐκ προσώπου τοῦ λόγου τοιαύτην εἶναι εἰπὼν οἵαν καὶ πρὸ καταβολῆς κόσμου εἶχε, καὶ ἑαυτὸν ὁ ἔνδοξος ἅμα καὶ ἄδοξον ἀνακηρύττων, ἤκουεν ὅτι ἐδόξασα ἤδη, τουτέστι διὰ τῆς ἐκ παρθένου παραδόξου γεννήσεως καὶ τῶν λοιπῶν θεοσημειῶν, καὶ πάλιν δοξάσω ἤγουν διὰ τῆς μετὰ τὸν θάνατον ἀναστάσεως, καὶ ἀφθαρσίας, καὶ κόσμου κατακρατήσεως, καὶ τῆς κατὰ πάντων ἐξουσίας καὶ ὑπερυψώσεως, καὶ ἁπλῶς δι' ὁμοίας θεώσεως, καὶ τῆς προκοσμίου δόξης τοῦ λόγου τοῦ ἐν αὐτῷ.

Ἀλλὰ φασὶ πάλιν· καὶ πῶς εἰ ἐν Χριστῷ ὁ ζῶν λόγος τοῦ θεοῦ II.
ἐστιν, εἴρηται τῷ ἀποστόλῳ περὶ Χριστοῦ ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη, καὶ ὅτι ἀνέστη τῇ τρίτῃ ἡμέρᾳ, κατὰ τὰς γραφάς; ἡμῖν τε πῶς παραβάλλεται πάλιν ἐν τῷ, εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται; δῆλον γὰρ ὡς καὶ αὐτὸς νεκρὸς καθ' ἡμᾶς γενόμενος· καὶ τὰ λοιπὰ μαρτυρεῖται τάδε. Ἀλλ' ἴσασι καὶ αὐτοὶ νῦν ἑκουσίως ἐπιλελησμένοι τῶν σφῶν διορισμῶν ὡς πολλάκις ἐκ τοῦ ὅλου τὸ μέρος καλεῖ ἡ ἁγία γραφή· ὡς τὸ, ἐκεῖ ἔθαψαν Ἀβραάμ· οὐ γὰρ δὴ καὶ ψυχὴν Ἀβραάμ, ἀλλὰ μόνον τὸ σῶμα· τάδε οὖν σαφῶς περὶ τοῦ ἀνθρωπίνου Χριστοῦ εἴρηται· ἐπεὶ πῶς ἔχει χώραν περὶ τοῦ αὐτοῦ λέγεσθαι καὶ τὸ ἐν νεκροῖς ἐλεύθερος; πῶς τε εἰ καθ' ὑμᾶς νεκρὸς γέγονεν ἀπαραλλάκτως, αὐτὸς ἤγειρε τὸν ἑαυτοῦ ναὸν ἐν τρισὶν ἡμέραις; ὁ καὶ σώματι καὶ ψυχῇ ὥς φασι πάντῃ ἄπρακτος γενόμενος, ὡς πᾶς ἄνθρωπος μετὰ θάνατον· καὶ γὰρ οὐδὲ τὴν οἱανοῦν ψυχῆς ἐνέργειαν ἐδίδοσαν μετὰ θάνατον ἀνθρώποις, ἄχρι τῆς ἀναστάσεως, ἐν τοῖς ἔμπροσθεν αὐτῶν ἐπιχειρήμασι, πόσῳ γε μᾶλλον θείαν πρᾶξιν; πῶς δὲ εἰ αὐτὸς ἔχει τὴν ἐξουσίαν τοῦ τὴν ἰδίαν ψυχὴν θεῖναι καὶ ἀπολαβεῖν αὐτὴν, καθ' ἡμᾶς γέγονε νεκρός; τίς γὰρ ὁ τοιαύτης οὐκ ἀξίας ἁπλῶς, ἀλλ' ἐξουσίας, πώποτε ἐν ἀνθρώποις γέγονεν; ἔτι μὴν εἰ μὴ θεὸς ἐν Χριστῷ, καὶ κατὰ τὸν θάνατον καὶ τὸ πάθος καὶ τὰ λοιπὰ, κόσμον ἑαυτῷ καταλλάσσων, ὡς γέγραπται, πῶς ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, αὐτὸς καὶ οὐκ ἄλλος, ἢ δι' ἄλλου ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου; καὶ πῶς τὸν κύριον τῆς δόξης ἀληθῶς ἐσταύρωσαν; καὶ πῶς εἴρηται τὸ, ὁ δὲ θεὸς καὶ τὸν κύριον ἐξήγειρε, καὶ ἡμᾶς ἐγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ τοῦ ἐγερθέντος ὡμολογημένως; δῆλον γὰρ ὡς ἐξεγερτικὴ οὖσα νεκρῶν καὶ ἑτέρων σωμάτων ἡ δύναμις τοῦ κυρίου, πολλῷ μᾶλλον τὸ ἴδιον ἤγειρε σῶμα, ᾧ ἡνῶτο καθ' ὑπόστασιν· προσεχεστέρως γὰρ ἐνεργοῦσα αὐτὴ, καὶ οὐκ ἄλλη ζωοποιὸς ἀναστήσει αὐτό· πῶς δὲ αὐτοῦ τοῦ ἰδίου υἱοῦ οὐ φείσασθαι, ἀλλ' ὑπὲρ ἡμῶν πάντων παραδοῦναι αὐτὸν εἴρηται ὁ πατήρ; εἰ γὰρ ἀντιπρόσωπον δέδωκεν, οὐκ ὄντως εἴρηται τάδε περὶ τῆς ἀγάπης αὐτοῦ τῆς εἰς

ἡμᾶς· σαφὲς οὖν ὡς ἀπὸ μέρους, ἥ τε ζωοποιΐα καὶ ἡ νέκρωσις, ἑκατέρα λέγεται περὶ Χριστοῦ· οὐ γὰρ κατὰ τοῦ ὅλου ὡσαύτως ἄμφω, ἐπεὶ μὴ συναληθεύει τὰ ἐναντία πώποτε περὶ τοῦ αὐτοῦ· εἴπερ οὖν ὄντως τὸν κύριον τῆς δόξης ἐσταύρωσαν οἱ Χριστὸν ἐπὶ ξύλου κρεμάσαντες, δῆλον ὡς ὁ αὐτὸς ἐκ μὲν τοῦ θείου λόγου, τὸ εἶναι κύριος τῆς δόξης εἶχε· τὸ δὲ ἀληθῶς σταυροῦσθαι, ἐκ τῆς ἀνθρωπείας σαρκός· φύσει τε γὰρ ὡς θεὸς ἐποφείλεταί τε τὴν παρὰ πάντων δόξαν· ἐξουσιάζει τε αὐτῆς δοξάζων οὓς βούλεται, μόνος καὶ φύσει ὡς ἄνθρωπος πάθος ὑπέμεινεν.

III. Τί οὖν, φησίν; οὐ προφανέστατα εἴρηται περὶ Χριστοῦ, ὡς ὑπὸ τοῦ θεοῦ ἀνέστη, καὶ οὐκ ἀφ' ἑαυτοῦ; καὶ ὅτι διὰ τὴν ὑπὸ τοῦ ἁγίου πνεύματος γενομένην αὐτοῦ ἀνάστασιν ἐκ νεκρῶν, ὡρίσθη υἱὸς θεοῦ; πῶς οὖν λέλεκται, ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν; καὶ τοῦ ὁρισθέντος υἱοῦ θεοῦ, κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν; Ἀλλ' εἰπάτωσαν οἱ ἐρευνητικοὶ τῶν Γραφῶν, ὡς οἴονται, εἰ τὸ ἀναστῆναι ἐκ νεκρῶν διὰ τοῦ θείου πνεύματος, ἁπλῶς τοῦτο δόξαν υἱοῦ θεοῦ περιποιεῖται τῷ ἀνισταμένῳ, πῶς ὁ υἱὸς τῆς χήρας ἐπὶ Ἠλίου, καὶ ὁ τῆς Σωμανίτιδος ἐπὶ Ἐλισσαιὲ, καὶ Ταβηθὰ ἐπὶ Πέτρου, καὶ οἱ λοιποὶ οἱ ἀναστάντες ἐκ νεκρῶν, οὐχ υἱοὶ θεοῦ ὡρίσθησαν; δῆλον γὰρ ὡς καὶ οὗτοι δυνάμει θεοῦ καὶ διὰ τοῦ πνεύματος τῆς ἁγιωσύνης τοῦ ἐν τοῖς ἀναστήσασιν αὐτοὺς ἐνεργοῦντος ἀνέστησαν· εἴπερ μὴ ἔστι ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχων, πάρεξ τοῦ κυρίου, ὅς ἐστι πνεῦμα τὸ ζωοποιὸν φύσει μόνον ὄν· καὶ γὰρ ἐν αὐτῷ μόνῳ τῷ θεῷ ζωὴ ἦν, καὶ αὐτὸς θανατοῖ καὶ ζωογονεῖ, ἀποκτείνει καὶ ζῆν ποιεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει· δῆλον οὖν ὡς τῷ ἑαυτὸν ἀναστῆσαι, παρέστησεν ἑαυτὸν υἱὸν θεοῦ ὁ κύριος· μὴ συνθανὼν τῷ ἀνθρωπίνῳ αὐτοῦ μέρει, διότι ἀθάνατος θεὸς ἦν, ἀλλ' ἐνεργῶν ἀπὸ μέρους τὴν ἰδίως θείαν ἐνέργειαν, καὶ ζωοποιῶν τὸ θανὸν αὐτοῦ μέρος· καὶ τοῦτό ἐστι τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως τοῦ θεοῦ, εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν· ἐνδιδομένη γὰρ καὶ εἰς ἡμᾶς διὰ τῆς μεταλήψεως τοῦ ἁγίου αὐτοῦ σώματος, ζωοποιεῖ καὶ τὰ θνητὰ σώματα ἡμῶν μετὰ θάνατον, διὰ τοῦ ἐνοικοῦντος θείου αὐτοῦ πνεύματος ἐν ἡμῖν· οὐκοῦν σαφὲς ὅτι οὐ διότι ἀνέστη ἁπλῶς, ἐδοξάσθη υἱὸς θεοῦ ὁ κύριος, ἀλλ' ὅτι ἰδίᾳ δυνάμει· ἐπεὶ νεκροὺς ἤδη πλείστους καὶ ἄλλους πρότερον καὶ μετὰ Χριστὸν ἀνέστησε τὸ πνεῦμα τῆς ἁγιωσύνης, ἐν οἷς οὐ λέγεται τὸ ὑπερβάλλον μέγεθος αὐτοῦ, ὥσπερ κατὰ τὴν ἰσχὺν ταύτην, ἐμφανίσαι· οὐκ ἀλόγως οὖν, οὐδὲ ἀπὸ τῆς τυχούσης δόξης, οὐδὲ μὴν ἐκ λόγου τινὸς τῶν συμβεβηκότων, ὡρίσθη υἱὸς θεοῦ Χριστὸς, ἀλλ' ἐκ τῆς κατὰ τὴν ἀνάστασιν τοῦ σώματος αὐτοῦ ἐνεργείας, παραστήσας ὄν-

τως θείαν αὐτοῦ εἶναι τὴν δύναμιν, ἐκ δὲ τῆς δυνάμεως, τὴν οὐσίαν· οἱ γὰρ ὅροι εἴτουν ὁρισμοὶ τῶν ὑποκειμένων πραγμάτων, ἐκ τῶν οὐσιωδῶν λαμβάνονται λόγων· ὦ σοφοὶ παρ' ἑαυτοῖς· καὶ τοῦτο ὅλον οὐκ ὤφειλε λαθεῖν τὴν ὑμετέραν ἀμαθῆ πολυμάθειαν· τόδε οὖν αὐτὸ σαφέστατα βοᾷ τὸν υἱὸν Δαβὶδ Χριστὸν καὶ υἱὸν θεοῦ εἶναι· διότι ἐξ αὐτῆς τῆς κατὰ τὴν ἀνάστασιν αὐτοῦ ἐνεργείας, ὅμοιος θεῷ τὴν οὐσίαν δέδεικται· καὶ τοῦτο τεκμήριον ἔχομεν περὶ αὐτοῦ, ὡς γνησιωτάτου υἱοῦ φύσει τοῦ θεοῦ καὶ πατρός· οὕτως οὖν ὡρίσθη υἱὸς θεοῦ, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν.

Ἀλλ' οἱ τὸν ἀπόστολον καὶ ἀρχιερέα, φησὶ, τῆς πίστεως ἡμῶν μὴ κατανοοῦντες, καθὼς Παῦλος ἐντέλλεται ὑμῖν, εἴπατε, ποῖον ἴστε ἱερέα ταυτοφυῆ τῷ ἱερατευομένῳ ποτέ; ἢ τίνα ἀπόστολον οὐχ' ὑποτεταγμένον τῷ ἀποστείλαντι αὐτόν; ἢ οὖν ὁ λόγος ὤν, περὶ οὗ τάδε εἴρηται, αὐτὸς ἥττων ἐστὶ φύσει καὶ τάξει τοῦ θεοῦ, ὡς Ἀρείῳ δοκεῖ; εἰ ἐκεῖνος μὴ ἔστιν, ἕτερόν τινα παρὰ τὸν λόγον αὐτὸν εἶναι δεήσει, τὸν λειτουργόν τε καὶ διάκονον θεοῦ νοούμενον ἐνεργείᾳ τοῦ λόγου. Ἀλλὰ τί δὴ τῶν μειζόνων ἀφέμενοι τῆς θεότητος λόγων, καὶ τῶν πτωχοτέρων τῆς ἀνθρωπότητος, ταῦτα ἡμῖν μόνον παράγετε; ἡμεῖς γὰρ καὶ κτίσμα φαμὲν εἶναι θεοῦ τὸν αὐτὸν Χριστὸν, ὃν καὶ κτίστην ἁπάντων οἴδαμεν· ἀλλ' οὐκ ἐκ τοῦ αὐτοῦ τῶν ἐν αὐτῷ τὰ ὄντως ἄνισα δοξάζοντες δηλαδή· τῷ τοι ἄρα, καὶ θεὸν καὶ ἱερέα καὶ θῦμα, τὸν αὐτὸν εἶναι ἴσμεν Χριστόν· μὴ γὰρ ὅτι ἱερεὺς λέγεται, λάτρης καὶ λειτουργὸς μόνον ὑμῖν ἐντεῦθεν νοείσθω θεοῦ, κατὰ τὸν ἐπὶ παντὸς ἱερέως λαμβανόμενον λόγον· ἀλλ' ὅτι τοῦ αὐτοῦ ἀποστόλου περὶ τοῦ αὐτοῦ καὶ πάλιν λέγοντος ἱερέως ἀκούετε· τοιοῦτον ἔχοντες ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς ἐπουρανίοις· αὐτὸ τοῦτο ὃ ὑπορήσατε ἡμῖν ἐν ἑαυτοῖς σκοπεῖτε, ὅτι οὐκ ἔστιν ἱερέως τὸ σύνθρονον εἶναι τῷ ἱερατευομένῳ καὶ σύντιμον καὶ ὁμόδοξον, ἀλλὰ τινὸς ἰσοφυοῦς καὶ ἰσοσθενοῦς τῷ ἐνδόξῳ θεῷ· οὐκοῦν ἄρα ὡς ἱερεὺς συγκαθέζεται θεῷ ἐν οὐρανοῖς ὁ ἱερεὺς τοῦ θεοῦ γενόμενος ἐπὶ γῆς, καὶ τὴν ἰδίαν σάρκα ἱερουργήσας θεῷ, καὶ ἀναγαγὼν αὐτὴν πρὸς θεὸν, ἀλλ' ὡς καὶ θεὸς ὢν ἀληθῶς ὁ αὐτός. IV.

Βασανιστέον δὲ καὶ τὸ ἀτρανῶς μὲν καὶ ἀθάρσως ὅμως ἐν πλείοσιν αὐτῶν ἐπιχειρούμενον· δεδόσθω γὰρ, φασὶ, κατὰ συνδρομὴν εἶναι καθ' ὑμᾶς καὶ θεὸς ὁ αὐτὸς Χριστός· ὁ δὲ Ἰησοῦς, τί ὑμῖν εἶναι δοκεῖ; οὐ γὰρ δὴ καὶ αὐτὸν λόγον καὶ σάρκα ἐρεῖτε· εἰ γὰρ καὶ αὐτὸς ὁμοίως θεὸς, δῆλον ὡς οὐκ ἀεὶ ὁ Χριστὸς, θεός· τὸν γὰρ Ἰησοῦν ὃν φατὲ θεὸν, τοῦτον καὶ κύριον καὶ Χριστὸν ὁ θεὸς ἐποίησε, σαφῶς εἴρηται· οὐχ' ὁ ἦν οὖν ὁ Ἰησοῦς εἴτουν κύριος, τοῦτο γέγονε ποιηθεὶς Χριστὸς καὶ κύριος· οὐδεὶς V.

ἡμᾶς· σαφὲς οὖν ὡς ἀπὸ μέρους, ἥ τε ζωοποιΐα καὶ ἡ νέκρωσις, ἑκατέρα λέγεται περὶ Χριστοῦ· οὐ γὰρ κατὰ τοῦ ὅλου ὡσαύτως ἄμφω, ἐπεὶ μὴ συναληθεύει τὰ ἐναντία πώποτε περὶ τοῦ αὐτοῦ· εἴπερ οὖν ὄντως τὸν κύριον τῆς δόξης ἐσταύρωσαν οἱ Χριστὸν ἐπὶ ξύλου κρεμάσαντες, δῆλον ὡς ὁ αὐτὸς ἐκ μὲν τοῦ θείου λόγου, τὸ εἶναι κύριος τῆς δόξης εἶχε· τὸ δὲ ἀληθῶς σταυροῦσθαι, ἐκ τῆς ἀνθρωπείας σαρκός· φύσει τὲ γὰρ ὡς θεὸς ἐποφείλεταί τε τὴν παρὰ πάντων δόξαν· ἐξουσιάζει τὲ αὐτῆς δοξάζων οὓς βούλεται, μόνος καὶ φύσει ὡς ἄνθρωπος πάθος ὑπέμεινεν.

III. Τί οὖν, φησίν; οὐ προφανέστατα εἴρηται περὶ Χριστοῦ, ὡς ὑπὸ τοῦ θεοῦ ἀνέστη, καὶ οὐκ ἀφ' ἑαυτοῦ; καὶ ὅτι διὰ τὴν ὑπὸ τοῦ ἁγίου πνεύματος γενομένην αὐτοῦ ἀνάστασιν ἐκ νεκρῶν, ὡρίσθη υἱὸς θεοῦ; πῶς οὖν λέλεκται, ὃν δὲ ὁ θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν; καὶ τοῦ ὁρισθέντος υἱοῦ θεοῦ, κατὰ πνεῦμα ἁγιωσύνης ἐξ ἀναστάσεως νεκρῶν; Ἀλλ' εἰπάτωσαν οἱ ἐρευνητικοὶ τῶν γραφῶν, ὡς οἴονται, εἰ τὸ ἀναστῆναι ἐκ νεκρῶν διὰ τοῦ θείου πνεύματος, ἁπλῶς τοῦτο δόξαν υἱοῦ θεοῦ περιποιεῖται τῷ ἀνισταμένῳ, πῶς ὁ υἱὸς τῆς χήρας ἐπὶ Ἠλίου, καὶ ὁ τῆς Σωμανίτιδος ἐπὶ Ἐλισσαιὲ, καὶ Ταβηθὰ ἐπὶ Πέτρου, καὶ οἱ λοιποὶ οἱ ἀναστάντες ἐκ νεκρῶν, οὐχ υἱοὶ θεοῦ ὡρίσθησαν; δῆλον γὰρ ὡς καὶ οὗτοι δυνάμει θεοῦ καὶ διὰ τοῦ πνεύματος τῆς ἁγιωσύνης τοῦ ἐν τοῖς ἀναστήσασιν αὐτοὺς ἐνεργοῦντος ἀνέστησαν· εἴπερ μὴ ἔστι ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχων, πάρεξ τοῦ κυρίου, ὅς ἐστι πνεῦμα τὸ ζωοποιὸν φύσει μόνον ὄν· καὶ γὰρ ἐν αὐτῷ μόνῳ τῷ θεῷ ζωὴ ἦν, καὶ αὐτὸς θανατοῖ καὶ ζωογονεῖ, ἀποκτείνει καὶ ζῆν ποιεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει· δῆλον οὖν ὡς τῷ ἑαυτὸν ἀναστῆσαι, παρέστησεν ἑαυτὸν υἱὸν θεοῦ ὁ κύριος· μὴ συνθανὼν τῷ ἀνθρωπίνῳ αὐτοῦ μέρει, διότι ἀθάνατος θεὸς ἦν, ἀλλ' ἐνεργῶν ἀπὸ μέρους τὴν ἰδίως θείαν ἐνέργειαν, καὶ ζωοποιῶν τὸ θανὸν αὐτοῦ μέρος· καὶ τοῦτό ἐστι τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως τοῦ θεοῦ, εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν· ἐνδιδομένη γὰρ καὶ εἰς ἡμᾶς διὰ τῆς μεταλήψεως τοῦ ἁγίου αὐτοῦ σώματος, ζωοποιεῖ καὶ τὰ θνητὰ σώματα ἡμῶν μετὰ θάνατον, διὰ τοῦ ἐνοικοῦντος θείου αὐτοῦ πνεύματος ἐν ἡμῖν· οὐκοῦν σαφὲς ὅτι οὐ διότι ἀνέστη ἁπλῶς, ἐδοξάσθη υἱὸς θεοῦ ὁ κύριος, ἀλλ' ὅτι ἰδίᾳ δυνάμει· ἐπεὶ νεκροὺς ἤδη πλείστους καὶ ἄλλους πρότερον καὶ μετὰ Χριστὸν ἀνέστησε τὸ πνεῦμα τῆς ἁγιωσύνης, ἐν οἷς οὐ λέγεται τὸ ὑπερβάλλον μέγεθος αὐτοῦ, ὥσπερ κατὰ τὴν ἰσχὺν ταύτην, ἐμφανίσαι· οὐκ ἀλόγως οὖν, οὐδὲ ἀπὸ τῆς τυχούσης δόξης, οὐδὲ μὴν ἐκ λόγου τινὸς τῶν συμβεβηκότων, ὡρίσθη υἱὸς θεοῦ Χριστὸς, ἀλλ' ἐκ τῆς κατὰ τὴν ἀνάστασιν τοῦ σώματος αὐτοῦ ἐνεργείας, παραστήσας ὅτ-

τως θείαν αὐτοῦ εἶναι τὴν δύναμιν, ἐκ δὲ τῆς δυνάμεως, τὴν οὐσίαν· οἱ
γὰρ ὅροι εἴτουν ὁρισμοὶ τῶν ὑποκειμένων πραγμάτων, ἐκ τῶν οὐσιωδῶν
λαμβάνονται λόγων· ὦ σοφοὶ παρ' ἑαυτοῖς· καὶ τοῦτο ὅλον οὐκ ὤφειλε
λαθεῖν τὴν ὑμετέραν ἀμαθῆ πολυμάθειαν· τόδε οὖν αὐτὸ σαφέστατα βοᾷ
τὸν υἱὸν Δαβὶδ Χριστὸν καὶ υἱὸν θεοῦ εἶναι· διότι ἐξ αὐτῆς τῆς κατὰ
τὴν ἀνάστασιν αὐτοῦ ἐνεργείας, ὅμοιος θεῷ τὴν οὐσίαν δέδεικται· καὶ
τοῦτο τεκμήριον ἔχομεν περὶ αὐτοῦ, ὡς γνησιωτάτου υἱοῦ φύσει τοῦ θεοῦ
καὶ πατρός· οὕτως οὖν ὡρίσθη υἱὸς θεοῦ, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀνα-
στάσεως νεκρῶν.

Ἀλλ' οἱ τὸν ἀπόστολον καὶ ἀρχιερέα, φησὶ, τῆς πίστεως ἡμῶν μὴ κα- IV.
τανοοῦντες, καθὼς Παῦλος ἐντέλλεται ὑμῖν, εἴπατε, ποῖον ἴστε ἱερέα ταυτο-
φυῆ τῷ ἱερατευομένῳ ποτέ; ἢ τίνα ἀπόστολον οὐχ' ὑποτεταγμένον τῷ ἀπο-
στείλαντι αὐτόν; ἢ οὖν ὁ λόγος ὢν, περὶ οὗ τάδε εἴρηται, αὐτὸς ἥττων
ἐστὶ φύσει καὶ τάξει τοῦ θεοῦ, ὡς Ἀρείῳ δοκεῖ; εἰ ἐκεῖνος μὴ ἔστιν, ἕτε-
ρόν τινα παρὰ τὸν λόγον αὐτὸν εἶναι δεήσει, τὸν λειτουργόν τε καὶ διά-
κονον θεοῦ νοούμενον ἐνεργείᾳ τοῦ λόγου. Ἀλλὰ τί δὴ τῶν μειζόνων ἀφέ-
μενοι τῆς θεότητος λόγων, καὶ τῶν πτωχοτέρων τῆς ἀνθρωπότητος, ταῦ-
τα ἡμῖν μόνον παράγετε; ἡμεῖς γὰρ καὶ κτίσμα φαμὲν εἶναι θεοῦ τὸν αὐ-
τὸν Χριστὸν, ὃν καὶ κτίστην ἁπάντων οἴδαμεν· ἀλλ' οὐκ ἐκ τοῦ αὐτοῦ τῶν
ἐν αὐτῷ τὰ ὄντως ἄνισα δοξάζοντες δηλαδὴ τῷ τοι ἄρα, καὶ θεὸν καὶ
ἱερέα καὶ θῦμα, τὸν αὐτὸν εἶναι ἴσμεν Χριστόν· μὴ γὰρ ὅτι ἱερεὺς λέγε-
ται, λάτρης καὶ λειτουργὸς μόνον ὑμῖν ἐντεῦθεν νοείσθω θεοῦ, κατὰ τὸν
ἐπὶ παντὸς ἱερέως λαμβανόμενον λόγον· ἀλλ' ὅτι τοῦ αὐτοῦ ἀποστόλου
περὶ τοῦ αὐτοῦ καὶ πάλιν λέγοντος ἱερέως ἀκούετε· τοιοῦτον ἔχοντες ἀρ-
χιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης, ἐν τοῖς ἐπου-
ρανίοις· αὐτὸ τοῦτο ὃ ὑπορήσατε ἡμῖν ἐν ἑαυτοῖς σκοπεῖτε, ὅτι οὐκ ἔστιν
ἱερέως τὸ σύνθρονον εἶναι τῷ ἱερατευομένῳ καὶ σύντιμον καὶ ὁμόδοξον,
ἀλλὰ τινὸς ἰσοφυοῦς καὶ ἰσοσθενοῦς τῷ ἐνδόξῳ θεῷ· οὔκουν ἄρα ὡς ἱε-
ρεὺς συγκαθέζεται θεῷ ἐν οὐρανοῖς ὁ ἱερεὺς τοῦ θεοῦ γενόμενος ἐπὶ γῆς,
καὶ τὴν ἰδίαν σάρκα ἱερουργήσας θεῷ, καὶ ἀναγαγὼν αὐτὴν πρὸς θεὸν,
ἀλλ' ὡς καὶ θεὸς ὢν ἀληθῶς ὁ αὐτός.

Βασανιστέον δὲ καὶ τὸ ἀτρανῶς μὲν καὶ ἀθάρσως ὅμως ἐν πλείοσιν αὐ- V.
τῶν ἐπιχειρούμενον· δεδόσθω γὰρ, φασὶ, κατὰ συνδρομὴν εἶναι καθ' ὑμᾶς
καὶ θεὸς ὁ αὐτὸς Χριστός· ὁ δὲ Ἰησοῦς, τί ὑμῖν εἶναι δοκεῖ; οὐ γὰρ δὴ
καὶ αὐτὸν λόγον καὶ σάρκα ἐρεῖτε· εἰ γὰρ καὶ αὐτὸς ὁμοίως θεὸς, δῆ-
λον ὡς οὐκ ἀεὶ ὁ Χριστὸς, θεός· τὸν γὰρ Ἰησοῦν ὃν φατὲ θεὸν, τοῦτον
καὶ κύριον καὶ Χριστὸν ὁ θεὸς ἐποίησε, σαφῶς εἴρηται· οὐχ' ὃ ἦν οὖν ὁ
Ἰησοῦς εἴτουν κύριος, τοῦτο γέγονε ποιηθεὶς Χριστὸς καὶ κύριος· οὐδεὶς

γὰρ γίνεται ὅ ἐστιν· οὐδ' ἄρα οὖν θεὸς ἀεί ἐστιν ὁ Ἰησοῦς, ἐπεὶ μὴ δὲ κύριός ἐστιν· εἰ δὲ ὁ μὲν Ἰησοῦς ἄνθρωπος, ὁ δὲ Χριστὸς θεὸς ὑμῖν νοεῖται, ἢ μόνον θεὸς ἔσται ὥσπερ ὁ λόγος, καὶ ὁ λόγος Χριστὸς, καὶ πρὸ τῆς σαρκώσεως· ἢ θεὸς καὶ ἄνθρωπός τις ἕτερος παρὰ τὸν Ἰησοῦν καὶ ἔσονται δύο ἄνθρωποι, μετὰ τὴν ποίησιν τοῦ Ἰησοῦ εἰς Χριστὸν ἐν αὐτῷ φαινόμενοι· ὧν ὁ μὲν σύνθετος τὴν ὑπόστασιν, ὡς φατὲ· ὁ δὲ Ἰησοῦς, ποιητὸς Χριστὸς· εἰ δὲ Χριστὸς, θεὸς καὶ ἄνθρωπος ὄντως νοεῖται· καὶ οὕτως ὁ Ἰησοῦς ἐπίκτητον ἀνθρωπότητα λαβὼν, καὶ θεότητα τὴν Χριστοῦ, τρεῖς μὲν ἀνθρώπους, δύο δὲ θεοὺς εἶναι ἑαυτὸν ἐπιδείξηται Χριστὸς γενόμενος· ἢ εἰς θεὸν καὶ ἄνθρωπον μερισθῆναι ὁ Ἰησοῦς λογισθήσεται, ποιηθεὶς Χριστός.

Φαμὲν οὖν σὺν τῷ θεολόγῳ πρὸς τάδε καὶ ἡμεῖς, ὅτι πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, οὐκ ἔστιν ἐκ τοῦ θεοῦ· εἰ δὲ οὐχ' ἕτερον κηρύσσει, τόν τε λόγον σάρκα γενόμενον, καὶ τὸν Ἰησοῦν ἐν σαρκὶ ἐληλυθότα, δῆλον ὡς τὸν αὐτὸν οἶδεν Ἰησοῦν τῷ Χριστῷ, καὶ Χριστὸν τὸν αὐτὸν τῷ λόγῳ· Χριστὸς τε γὰρ οὐκ ἄλλοθεν λέγεται, ἢ διὰ τὸ κεχρίσθαι, καὶ πιαίνεσθαι τῇ θεότητι τοῦ λόγου ἡ σὰρξ· καὶ Ἰησοῦς, ὅ ἐστι σωτὴρ, οὐχ' ἑτέρωθεν κέκληται, ἢ διὰ τὸ σωτήριον ἔχειν φυσικὴν δύναμιν· οὕτως γὰρ αὐτοῦ καὶ ὁ ἄγγελος τὴν φερώνυμον κλῆσιν ἐξηγήσατο λέγων· καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἰησοῦν, αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν· ὁ οὖν ἔχων δύναμιν, οὐ μόνον τοῦ μὴ ἁμαρτάνειν, ἀλλὰ καὶ λυτροῦσθαι τῶν ἁμαρτιῶν, τίς ἂν εἴη τὴν φύσιν εἰ μὴ θεὸς; τοῦτο γὰρ οὐδὲ ἰουδαῖοι ἠγνόησαν, εἰπόντες ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ θεὸς· καὶ Ἰησοῦς οὖν ὠνόμασται, ὡς αὐτὸς ὢν ὁ θεὸς ὁ λέγων· οὐκ ἔστι πάρεξ ἐμοῦ δίκαιος καὶ σώζων· ὅτι τοῦ κυρίου ἡ σωτηρία· καὶ οὐ πρέσβυς, οὐδ' ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς· εἰ δὲ καὶ ἕτερός τις λέγεται Ἰησοῦς, ὥσπερ οὖν ὁ τοῦ Ναυῆ, καὶ ὁ ἐπιλεγόμενος Ἰοῦστος, δῆλον ὡς ἢ ἀπὸ μέρους πνευματικῆς μεταλήψεως, ἢ κατὰ τύχην, ἢ τύπον ἐστὶν ἡ ὁμωνυμία· ὥσπερ καὶ ἐπὶ τῶν χριστῶν λεγομένων προφητῶν καὶ ἱερέων καὶ βασιλέων· τὸ δὲ μὴ εἶναι ἀεὶ Χριστὸν τὸν Ἰησοῦν διὰ τὸ εἰρηκέναι τὸν Πέτρον, καὶ κύριον καὶ Χριστὸν πεποιηκέναι τὸν Ἰησοῦν τὸν θεὸν, εὔηθες λίαν· εἰ γὰρ πάντως μεταβολὴν ἢ προκοπὴν προϋποκειμένου σημαίνει τὸ ἐποίησεν, ἄρα γε καὶ ὁ λέγων οὐκ αὐτὸς οὗτος σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε πρῶτον κτῆμα εἶναι θεοῦ, εἶτα ποίημα αὐτοῦ γενέσθαι σημαίνει τὸν λαὸν αὐτοῦ· καὶ ὁ εἰπὼν, σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, οὐ τὸ πονηρὸν ποιήσας ἅμα ἦν καὶ ἁμαρτῶν, ἀλλ' ἥμαρτε πρῶτον, εἶτα τὸ πονηρὸν ἐποίησε· καὶ τίς ταῦτα

δοὺς, οὐ διὰ πάσης τῆς ἱερᾶς γραφῆς σοφιστικῶς ληρῶν ἐλεγχθήσεται; καὶ ἐν τῷ λέγεσθαι δὲ ποιῆσαι τὸν θεὸν τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ, πρῶτον ἄνθρωπον, εἶτα εἰκόνα θεοῦ γενέσθαι αὐτὸν νοήσομεν.

Αἱ θεῖαι Γραφαὶ τὸν Χριστὸν καλοῦσι, καὶ ἕνα θεὸν, καὶ ἕνα ἄνθρωπον, καὶ ἕνα Χριστόν· ἀλλ' ὁ μὲν εἷς θεὸς, κατὰ φύσιν ἐστὶν εἷς· ὡσαύτως καὶ ὁ εἷς ἄνθρωπος· ὁ δὲ εἷς Χριστὸς, κατὰ τὴν ἑκούσιον ἕνωσιν θεοῦ πρὸς ἄνθρωπόν ἐστιν εἷς Χριστός· διαφέρει ἄρα ὁ εἷς θεὸς, τοῦ ἑνὸς Χριστοῦ. Ἀλλὰ οὐ τῷ μὴ εἶναι θεὸς, τῷ δὲ εἶναι καὶ ἄνθρωπος, διαφέρει τοῦ εἶναι μόνον θεὸς, Χριστός· κατὰ δὲ τόνδε τὸν συλλογισμὸν, καὶ ἀνθρώπου ἄρα διαφέροι ἂν τὴν φύσιν, Χριστός· εἰ δὲ καὶ θεοῦ καὶ ἀνθρώπου διαφέρει τῇ φύσει Χριστὸς, τί ἂν εἴη τὴν φύσιν εἴπατε· εἰ δὲ διὰ τάδε μὴ τῇ φύσει πάντως δεῖν διαφέρειν τοῦ ἀνθρώπου Χριστὸν φατὲ, οὐδ' ἄρα τοῦ θεοῦ ἀναγκαίως, ἐκ τῶνδε διαφέρει. VI.

Κύριον καὶ Χριστὸν ἐποίησεν ὁ θεὸς τὸν Ἰησοῦν· ποῦ τάσσεις τὸν θεὸν λόγον ὦ Αἰγύπτιε; ποιοῦντα κύριον; ἢ ποιούμενον κύριον; μὴ ποιῶν ἰδικὰς διανομάς· ἀπόκριναι πρὸς τὴν ἐρώτησιν. Ποιοῦντα μὲν ὄντως, ἀλλὰ τῇ τῆς ἰδίας φύσεως ἐνδόσει εἰς τὴν τοῦ ἀνθρώπου φύσιν, καὶ ἐμπλοκῇ κατὰ μίαν τὴν ἰδικὴν αὐτοῦ πάλαι ὑπόστασιν. VII.

Εἰ παραπλησίως ἡμῖν κεκοινώνηκε σαρκὸς καὶ αἵματος ὁ Χριστὸς, δῆλον ὅτι φύσει τῇ καθ' ἡμᾶς ἐστιν ἄνθρωπος ὁ Χριστός. Εἴ τι οὖν τῶν αὐτῶν καὶ ὡσαύτως κοινωνεῖ, πάντως καὶ τῆς αὐτῆς ἐστι πάντη φύσεως, καὶ μόνης τῶν ἑτέρων τῶν τοῦ αὐτοῦ συμμετασχόντων· ἄρα οὖν ἐπεὶ τῶν τεσσάρων στοιχείων, μύρμηξ τὲ καὶ πέρδιξ καὶ χαρὶς καὶ πάρδαλις μετέχει, τῆς αὐτῆς εἰσὶ τάδε φύσεως πάντη; σκόπει δὲ, ὦ οὗτος, ὅτι τῶν μὲν αὐτῶν τοῖς παιδίοις καὶ ὁμοίᾳ κοινωνίᾳ φησὶ τὸ λόγιον κεκοινωνηκέναι τὸν υἱὸν, ἤγουν αἵματος καὶ σαρκός· οὐ μὴν καὶ τὸν κοινωνήσαντα τοῖςδε καθ' ἡμᾶς, ὅμοιον ἡμῖν φησὶν ἁπλῶς· ὥστε ἐξ ὁμοίου καὶ ἀνομοίου ἡμῖν ἐκεῖνος σύγκειται· πῶς οὖν μόνος καθ' ἡμᾶς ἔσται ἄνθρωπος; VIII.

Εἰ ὁ πατὴρ ποτὲ μὲν τοῦ θεοῦ λόγου μόνου πατὴρ, ποτὲ δὲ καὶ πατὴρ καὶ θεὸς, ἢ ἄρα εἰς τὸ μεῖζον προέκοψεν ὁ πατὴρ, ἢ εἰς τὸ ἔλαττον κατεβιβάσθη ὁ υἱός. Ἀλλὰ πατὴρ μὲν τοῦ ἀοράτου λόγου ἀεὶ, θεὸς δὲ μόνης τῆς ὁρωμένης σαρκὸς τοῦ λόγου ἐστίν. IX.

Εἰ ὁμοῦ θεὸς καὶ ἄνθρωπος ὁ Χριστὸς, καὶ οὐκ ἔστιν ὁ θεὸς θεὸς τοῦ ἀνθρώπου, δῆλον ὅτι οὐκ εἰσὶν ἀλλήλοις ὅπερ λέγονται· τουτέστι οὔτε θεὸς τῷ ἀνθρώπῳ ὁ θεὸς, οὔτε ἄνθρωπος τῷ θεῷ ὁ ἄνθρωπος. Ἀλλ' αἱ μὲν ἐν κυρίῳ φύσεις, οὕτως ἔχουσι πρὸς ἀλλήλας ἀντεξεταζόμεναι· τούτων γὰρ ἡ μὲν ἐθέωσε δηλονότι ὡς θεία, ἡ δὲ ἐθεώθη ὡμολογημένως ὡς μὴ φύσει θεία πάλαι· Χριστὸς δὲ αὐτὸς, ἤγουν ἡ ξυνωρὶς τῆς X.

θεότητος καὶ ἀνθρωπότητος, οὔτε ἁπλῶς θεὸς ἀνθρώπου καὶ ὅλου ἑαυτοῦ, οὔτε ἄνθρωπος θεοῦ καὶ ἑαυτοῦ κατὰ τὴν ὑπόστασιν· ἀλλ' ἅμα θεός τε καὶ ἄνθρωπος ὁ αὐτός· πρός τε θεὸν διαφέρων τῇ ἐπενδύσει τοῦ ἀνθρωπίνου, καὶ πρὸς ἀνθρώπους διοίσων τῇ ἐνοικήσει τοῦ θείου.

XI. Λειτουργὸν τῶν ἁγίων τὸν Χριστὸν ὀνομάζει ἡ ἁγία γραφὴ καὶ πᾶς λειτουργὸς, τοῦ θεοῦ δηλονότι, τῷ θεῷ αὐτοῦ λειτουργεῖ· καὶ εἰ τὰ τοῦ νόμου σκιὰ ἦν τῶν ἐν τῇ χάριτι, ἐν δὲ τῇ σκιᾷ εἶχεν ὁ νόμος λειτουργὸν, δῆλον ὅτι καὶ ἐν τῇ χάριτι ἔχει λειτουργόν. Ἐπεὶ οὖν καὶ θῦμα εἶχεν ἡ σκιὰ, καὶ λειτουργοῦ ὄντος τοῦ Χριστοῦ ὡς ἀνθρώπου καθ' ὑμᾶς, ποῦ ζητοῦμεν καὶ τὸ θῦμα τῆς σκιᾶς; εἰ νοήσομεν οὖν τὸ ἀποστολικὸν ὅτι διὰ πνεύματος ἁγίου ἑαυτὸν ἄμωμον προσήνεγκε τῷ θεῷ, γνωσόμεθα ὡς ὁ αὐτός τε καὶ ἐφάπαξ· οὐ γὰρ καὶ πολλάκις, καὶ εἷς καὶ οὐ πλείους ἱερατεύων ἐστὶ, λειτουργός τε θεοῦ, καὶ θῦμα θεῷ ὁμοίως τε καὶ θεὸς λειτουργούμενος· εἰ γὰρ διὰ πνεύματος ἁγίου προσφερόμενος ἑαυτὸν προσενεγκεῖν λέγεται, καὶ οὐδ' ἑτέρου προσενεχθῆναι, δῆλον ὡς τῆς αὐτοῦ φύσεώς ἐστι τὸ πνεῦμα τὸ ἅγιον, ὅ ἐστι καὶ θεός.

XII. Εἰ τῆς κεφαλῆς οὐ δεσπόζει ὁ θεὸς λόγος, οὐδ' ἄρα ὅλου τοῦ σώματος δεσπόζει· εἰ δὲ τῆς ἐκκλησίας κύριος ὁ θεὸς λόγος, ἐξ ἀνάγκης καὶ τῆς κεφαλῆς τῆς ἐκκλησίας ἐστὶ κύριος. Εἰ κατὰ φύσιν πάντη ἰσότιμος τὴν τάξιν καὶ ὁμοταγὴς ἡ κεφαλὴ πρὸς τὸ ὅλον σῶμα, οὐδ' ἄρα κεφαλὴ ὄντως ἐστὶν ἥτις ὡς ἀρχὴ καὶ ἐπικείμενον μέρος τῷ ὑποκειμένῳ αὐτῆς ὅλῳ σώματι νοεῖται· εἰ δὲ ὄντως ὑπέρκειταί τε αὐτοῦ φυσικῇ θέσει, καὶ ἐξ αὐτῆς πᾶν τὸ σῶμα συναρμολογεῖται καὶ συμβιβάζεται καὶ ἐπιχορηγεῖται τὰς δυνάμεις, δῆλον ὡς μεθέξει τινὸς ἡγεμονικῆς τοῦ σώματος φύσεως παρὰ τὴν ἡγεμονευομένην ὑπ' αὐτῆς ὁμοούσιον αὐτῇ φύσιν αὐτοῦ τοῦ ὅλου σώματός ἐστιν· ἧς εἰ μὴ μετέχει, οὐδ' ἄρα κεφαλή ἐστιν, ὡς μὴ δὲ ἡγεμονοῦσα λοιπὸν καθ' αὐτήν· εἰ δὲ μετέχει τοῦ κινοῦντος καὶ ἄγοντος τὸ σῶμα, οὐδ' ἄρα λοιπὸν ἡγεμονευόμενον ἀλλὰ ἄρχον ἐστίν· οὐκοῦν ὡς μέλους μὲν ἡμῶν οὔσης καὶ τῆς σαρκὸς ἑαυτοῦ κύριος ὁ λόγος, εἰ καὶ ταύτης τῆς κεφαλῆς ἡμῶν νοουμένης, ἐπὶ καὶ αὐτὴ ὑπ' αὐτοῦ λέγεται· κεφαλὴ γὰρ καὶ Χριστοῦ ὁ θεὸς εἴρηται· οὐ μὴν καὶ ὅλου Χριστοῦ· τοῦ γὰρ ὅλου καὶ ἡ κεφαλὴ αὐτὴ, ἤγουν ὁ λόγος· καὶ αὐτὸς ἑαυτοῦ οὐ δεσπόζει· εἰ δὲ καθὰ φὴς τὸ δεσπόζον τοῦ λοιποῦ, καὶ τῆς κεφαλῆς δεσπόζει, ἐπεὶ Χριστοῦ κεφαλὴ ὁ θεὸς εἶναι ἐῤῥήθη, ἄρα καὶ τοῦ θεοῦ δεσπόζει ὁ θεός· τοῦ γὰρ σώματος ὑποτεταγμένου τῷ θεῷ ἤγουν Χριστοῦ ὅλου ὡς φατὲ, καὶ τὴν κεφαλὴν αὐτοῦ ἤγουν τὸν θεὸν, δεῖ ὑποκεῖσθαι τῷ αὐτῷ θεῷ.

XIII. Εἰ μὴ θεὸς καὶ δεσπότης τοῦ Χριστοῦ ὁ θεὸς λόγος, δῆλον ὅτι

οὐδὲ ναὸς τοῦ θεοῦ λόγου ὁ Χριστός· εἰ δὲ ναὸς τοῦ θεοῦ λόγου ἢ ὁ Ἰησοῦς, ἐξ ἀνάγκης καὶ θεὸς αὐτοῦ καὶ δεσπότης ὁ θεὸς λόγος. Ἡ σὰρξ μόνη ναὸς τοῦ λόγου· ὁ γὰρ Χριστὸς ναὸς ἅμα καὶ θεὸς ἐνοικῶν τῷ ναῷ ἐστιν· οὔτε γὰρ χρίσμα μόνον, οὔτε χρισθησόμενον ὁ Χριστὸς ἀληθῶς, ἀλλὰ χρίσμα καὶ ὁ χρισθείς· ἦν δὲ τὸ μὲν χρισθὲν τὸ ἀνθρώπινον τοῦ κυρίου· τὸ δὲ χρίσμα, οὐκ αἰσθητὸν δηλαδή τι ὅλως, ἀλλὰ τὸ θεῖον αὐτοῦ· θεὸς ἄρα καὶ ἄνθρωπος ὁ αὐτὸς Χριστός.

Εἰ πάντα διὰ τοῦ λόγου οὐ μόνον γέγονεν, ἀλλὰ καὶ γίνεται, δῆλον ὅτι καὶ ὁ Ἰησοῦς καὶ κύριος καὶ Χριστὸς διὰ τοῦ θεοῦ λόγου ἐγένετο· πάντων δὲ τῶν δι' αὐτοῦ, θεὸς καὶ δεσπότης ὁ λόγος. Εἰ οὖν δὴ κύριος καὶ Χριστὸς, καθὼς εἴρηται, ἐποιήθη ὑπὸ τοῦ θεοῦ ὁ Ἰησοῦς, πῶς ἔτι ὑπὸ τοῦ θεοῦ δεσπόζεται; οὐ γὰρ καθολικῶς τὸ κυριεύειν πάσης τῆς παρὰ τὴν φύσιν αὐτοῦ οὐσίας ἔχων ὁρᾶται λοιπὸν, ὥσπερ νοοῦμεν ἐπὶ τοῦ κυρίως κυρίου, πρὸς ὃν εἴρηται, ὅτι Τὰ σύμπαντα δοῦλα σά· εἰ δὲ ὅτι τινῶν κυριεύει, οὐ μὴν καὶ πάντων τῶν παρ' αὐτὸν ὥσπερ ὁ θεὸς, τοῦτο εἴρηται καὶ αὐτὸς γενέσθαι, καὶ Πιλάτος καὶ Ἡρώδης ἄρα, ὡς ἐκ μέρους τοιοίδε κύριοί εἰσι, καὶ γέγοναν ὑπὸ θεοῦ· ἔτι μὴν εἰ μὴ κατὰ τούσδε καὶ αὐτὸς ἀξίᾳ τινὶ καὶ κωδικέλλοις ἔλαβε τὴν κυριότητα ποιηθεὶς κύριος, δῆλον ὡς κατὰ τὴν ποίησιν αὐτοῦ, τὴν φύσιν αὐτὴν ὑπὸ τοῦ θεοῦ κυριακῶς ὡς εἰπεῖν ποιηθεὶς ἐν τῷ κτίζεσθαι, κύριος ἐστὶ πάντων, δηλονότι χωρὶς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· εἰ δὲ οὐ θέμις ἀνυποστάτῳ κυριότητι οὐσιῶσθαι τινὰ φύσει εἰς κύριον, δῆλον ὡς ἐνδόσει κυριευούσης φύσεως εἰς τὴν γενομένην φύσιν γεγένηται μὲν, κύριος δὲ ἐστιν ὁ Ἰησοῦς οὗτος· τίς δὲ ἡ κυριεύουσα πάντων φυσικῶς οὐσία; ἡ θεία προδήλως· Ταύτης δὲ τί; τὸ εἰς τὸν Ἰησοῦν ἐνδόσιμόν ἐστι, ὁ κτίστης αὐτοῦ λόγος· ἑαυτῷ γὰρ περικτίσας αὐτὸν, καὶ συμφὺς τῷδε ἀπ' αὐτῆς ποιήσεως αὐτοῦ, κύριον αὐτὸν ὄντως δι' ἑαυτοῦ ἐποίησε· τῇ μεθέξει οὖν αὐτοῦ τοῦ λόγου καὶ ἐν αὐτῷ γεγονὼς καὶ ὢν, κύριος ὁ Ἰησοῦς, πῶς ἂν εἴη ὡς γεγονὼς ὑπ' αὐτοῦ, δοῦλος τοῦ πεποιηκότος αὐτὸν κύριον ὡς ποίημα λοιπόν; εἰ γὰρ τὸ κύριον εἶναι αὐτὸν ἀναιρεθῇ, καὶ τὸ ποιηθῆναι αὐτόν· κύριον γὰρ αὐτὸν ἐποίησεν· εἰ δὲ ἔστι ποίημά τε καὶ κύριος, οὐκ ἄλλως δὲ κύριος ἐποιήθη, πλὴν διὰ τῆς οὐσιώδους ἕξεως τοῦδε αὐτοῦ τοῦ ποιήσαντος αὐτὸν, ἢ καὶ ἑαυτοῦ δεσπόσει ὁ φύσει κύριος, ἢ καὶ τὸ ποιητὸν κύριον ἤγουν τὸ ἀνθρώπινον αὐτοῦ συνελευθερώσει ἑαυτῷ καὶ πάντων κατεξουσιάσει· ἄρα δ' οὖν καὶ ἐν τῇ συνηθείᾳ ἐλεύθερον ποιῆσαι τὸν δὲ ἕτερόν τινα λέγοντες, ἐκ τοῦδε αὐτοῦ καὶ δοῦλον γενέσθαι, τὸν ποιηθέντα ἐλεύθερον, λογισόμεθα. XIV.

Χωρὶς τοῦδε δεσπόζεσθαι ὑπὸ τοῦ θεοῦ τὴν ὑπακοὴν πληρῶσαι, ἢ XV.

ἀναμάρτητον γενέσθαι τῇ τοῦ νόμου φυλακῇ, ἀδύνατον ἀνθρώπῳ. Εἰ οὖν τὸ δεσπόζεσθαι ἁπλῶς ἐστι τούτων αἴτιον, μόνης ὑπακοῆς χρεία ἦν ἡμῶν, καὶ οὐκ οἰκονομίας Χριστοῦ εἰς δικαίωσιν ἡμῶν· ἐπεὶ πάντες ἡμεῖς καὶ ὁ διάβολος αὐτὸς, δεσποζόμεθα ὑπὸ τοῦ θεοῦ, ἀναμάρτητα ἄρα τὰ πάντα, καὶ ἐν φυλακῇ τοῦ νόμου ἐγένοντο ἂν, καὶ ἄνευ τοῦ Χριστοῦ ὑποτασσόμενα· καὶ μετὰ δὲ τὴν σάρκωσιν τοῦ λόγου μὴ ὑπακούοντα τῷ μόνῳ, οὐ δικαιοῦται ποτέ· τὸ οὖν ἐναντίον δείκνυται ὦ οὗτοι· ὅτι σάρκα ἁμαρτίας οὖσαν φύσει δικαιωθῆναι καὶ ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ οὐ δυναμένην, οὐκ ἦν δικαιωθῆναι καὶ πληρῶσαι πᾶσαν ὑπακοὴν, εἰ μὴ διὰ μεταλήψεως οὐσίας ἀναμαρτήτου, ἥτις ἐστὶν ἡ θεία μόνον.

XVI. Τὸ ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, εἰ μὴ τὸν ἄνθρωπον λέγει τῇ χρίσει τοῦ πνεύματος τιμώμενον, ἀλλὰ τὸν θεὸν λόγον, πρὸς ἀτιμίαν αὐτὸν ἔχρισεν ὁ χρίσας αὐτὸν, μείζονα ὧν ἔλαβε διὰ τῆς χρίσεως ἔχοντα ἐν τῇ οἰκείᾳ φύσει· πᾶς γὰρ ὁ χριόμενος, χρίεται ἵνα λάβῃ τινὰ ἃ ἐν τῇ φύσει ἔχειν οὐ δύναται. Ἀλλὰ τί γέγονε διὰ τῆς χρίσεως τὴν φύσιν ὑπὸ τοῦ θεοῦ οὗτος ὁ χρισθεὶς, ὁ ψαλμῳδὸς προσλέγει· τῷδε οὖν προσεκτέον· θεὸν γὰρ καὶ αὐτὸν ὀνομάζει λοιπὸν τὸν ὑπό του χρισθέντα· πέφυκε δὲ οὔτε αἰσθητὸν οὔτε νοητόν τι θεὸν ὄντως ποιεῖν, πλὴν ἡ ὄντως θεότης· ἀνάγκη οὖν θεότητα εἶναι τὴν χρίουσαν, διὰ τὸ ὁ θεός σου· καὶ θεότητα τὸ χρίσμα, διὰ τὸ θεοποιῆσαι· καὶ θεὸν εἶναι τὸν χρισθέντα δεικνύειν, καὶ οὐχ' ὁμωνύμως οὕτω λεγόμενον· καὶ γὰρ ὁμοιογραφεῖται τῷ ἑβραίῳ, ἑκάτερόν τι ἐν τῷ χωρίῳ θεὸς, διὰ τῶν ἀνεκφωνήτων χαραγμάτων· θεὸν δὲ καὶ ἄνθρωπον τὸν κεχρισμένον οἰητέον· ὡς μὲν γὰρ ὑποκείμενόν τι τῷ χρίσματι, ἄνθρωπός ἐστι, καθὸ καὶ τὸ θεός σου εἴρηται· ὡς δὲ ἐν μεθέξει τοῦ θεοποιοῦ χρίσματος τοῦ καθ' αὐτό τε οὐσιωμένου, καὶ οὐσιωδῶς ὄντος ἐν αὐτῷ, θεὸν ἀπηρτισμένον.

XVII. Ἀληθῶς κατὰ τὸ εἰρημένον ὁ ἀσεβὴς, ὅταν ἔλθῃ εἰς βάθος ἀσεβείας, καταφρονεῖ· οἱ λέγοντες θεὸν ἢ δεσπότην τοῦ Χριστοῦ τὸν θεὸν λόγον, οὐκ ἀφ' ἑαυτῶν τοῦτο λέγουσιν, ἀλλὰ τῇ τοῦ πνεύματος τοῦ ἁγίου διδασκαλίᾳ τῇ διὰ τῶν προφητῶν τε καὶ ἀποστόλων· ἔτι δὲ καὶ αὐτοῦ τοῦ Χριστοῦ πειθόμενοι λέγουσι· Δαβὶδ γάρ, φασι, καὶ Πέτρος ὁ ἀπόστολος εἴρηκεν, εἰς αὐτὸν προωρώμην τὸν κύριον ἐνώπιόν μου διαπαντός· καὶ αὐτὸς ὁ σωτὴρ θεέ μου θεέ μου ἵνα τί με ἐγκατέλιπες· καὶ πνεῦμα κυρίου ἐπ' ἐμὲ· καὶ ὁ προφήτης ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου. Ἀλλὰ τίς ἀγνοεῖ πλεῖστα τοιῶσδε εἰρημένα τῇ ἁγίᾳ Γραφῇ, πῶς εἴρηται τῶν πρὸς εὐσέβειαν παρεσκευασμένων; καὶ γὰρ ὁ λέγων εὐλόγει ἡ ψυχή μου τὸν κύριον, εἰ καὶ ὅλος ἐστὶν ὁ λέγων, ἀλλ' ὡς ἀπὸ μέρους αὐτοῦ μόνου, παραινεῖ τῇ ψυχῇ αὐτοῦ· καὶ ὁ λέγων ὅτι γῆ εἰμὶ καὶ σποδὸς, εἰ καὶ ὅλος

ἐστὶν ὁ λέγων, ἀλλὰ περὶ μέρους αὐτοῦ φησὶ μόνου, ἤγουν τοῦ σώματος· καὶ τὸ Τοῦν προωρώμην τὸν κύριον ἐνώπιόν μου, καὶ τὸ πνεῦμα κυρίου ἐπ' ἐμὲ, εἰ καὶ ἀπὸ τοῦ ὅλου Χριστοῦ λέγοιτο, ἀλλ' ἐκ τῆς ἀνθρωπότητος αὐτοῦ ἰδίως ἀκουστέον αὐτὰ, καὶ τὰ ὅμοια· ἥτις καὶ ἦν ἣν ἔχρισε τὸ πνεῦμα, καὶ ἔδειξεν ἐπὶ τῇ χρίσει αὐτοῦ εἰς αὐτὴν Χριστόν· τὸ δὲ Θεέ μου Θεέ μου ἵνα τί με ἐγκατέλιπες, τῷ μὴ παρέλκοντι διπλασιασμῷ, εἰ φρικτότερον κατανοήσομεν, διττὴν σχέσιν ἔχειν τὸ χωρισθέν πως πρὸς τὸ ἐγκαταλειφθὲν τάχα αἰνίττεται· τοῦ μὲν πρώτου θεός μου, ὡς πρὸς κτήτορα φωνοῦντος τοῦ κτήματος· οἷον καὶ τὸ σὺ κύριε Θεὲ ἡμῶν· τοῦ δὲ δευτέρου, ὡς πρὸς ἴδιον κτῆμα βοῶντος τοῦ κτήτορος· οἷον τὸ ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου· διαλογιστέον δὲ ἔτι καὶ τόδε, ὡς εἰ τῶν οὐσιωδῶς ἡνωμένων ἐστὶ χωρισμὸς ὁ θάνατος, ἐπὶ δὲ τῷ θανάτῳ ὡς φὴς πρὸς τὸν Θεὸν εἴρητο παρὰ τοῦ ἀνθρώπου τόδε, ἄρα γε οὐσιωδῶς αὐτῷ ἥνωτο ὁ τότε ἐγκαταλιπεῖν αὐτὸν πως λεγόμενος· οὐκοῦν τὸ αὐτὸ ἓν πρόσωπον, θεός τε καὶ ἄνθρωπος ἦν· καὶ οὗτος ὁ θνήσκων καὶ πάσχων τὸν χωρισμὸν τῶν ἐν αὐτῷ κατὰ φύσιν ἀχωρίστων ἀπὸ τοῦ χωριστικοῦ θανάτου· εἰ δὲ τῇ ἐνεργείᾳ τοῦ θεοῦ εἴποιτε τὸν χωρισμὸν εἶναι ἐκ τοῦ ἁγίου ἀνθρώπου, τοὐναντίον ὁρῶμεν κατὰ πάντα τοὺς ἁγίους γινόμενον· μᾶλλον γὰρ συμπαρόντα καὶ ἐνισχύοντα ἐν τοῖς ἀγῶσι καὶ πάθεσι τοὺς θεοφόρους, τὸν κύριον ἴσμεν, ἢ ἐγκαταλιμπάνοντα αὐτοὺς ἐν τοῖς περὶ τὸν θάνατον καιροῖς· καὶ τάδε μὲν οὕτως· τὸ δὲ ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου, οὐδὲ δεῖται ἐξωτέρας ἐπεξηγήσεως, αὐτοῦ τοῦ Δαβὶδ τοῦ εἰδότος θεὸν αὐτοῦ, εἶναι τὸν χρίσαντα, καὶ θεὸν ὄντως τὸν χρισθέντα αὐτὸν ἐχομένως ὁμολογοῦντος.

Ὁ ἀναθεματίζων τοὺς λέγοντας τὸν Ἰησοῦν παρὰ τοῦ πνεύματος δεδοξάσθαι, ἀναθεματίζει τοὺς λέγοντας τὸν Ἰησοῦν κεχρίσθαι τῷ πνεύματι. Οὐχί· τὸ γὰρ πνεῦμα τὸ χρίσαν, οὐκ ἂν προσεπλάσθη ἀμέσως τῷ χριομένῳ, εἰ μή τινα πνευματικὴν ὁμοειδῆ αὐτῷ φύσιν ἔνδοξον εὗρεν ἐν αὐτῷ· οὐδὲ γὰρ τὸ αἰσθητὸν μῦρον ἐν οὐκ αἰσθητῇ φύσει προζειζάνει· οὐδὲ πῦρ ὕδατι ἐπαλείφεται· οὐ μὴν οὐδὲ ἀὴρ γῇ καταχρίεται· οὐδὲ τὸ πνεῦμα οὖν τὸ καταβὰν ἐξ οὐρανοῦ καὶ μεῖναν ἐπ' αὐτὸν, σαρκὶ ἁπλῶς ἐπανεπαύσατο τοῦ Ἰησοῦ τῇ ἀνθρωπότητι· ἅπαξ ἀποφήσαντος τοῦ θεοῦ, μὴ μένειν τὸ πνεῦμα αὐτοῦ ἐν ἀνθρώποις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας λοιπόν· οὐκοῦν τῇ ἐπιγνώσει τοῦ συγγενοῦς αὐτῷ λόγου τοῦ πατρὸς, πρὸς τὸ ἴδιον ἐπέπτη· τὸ δὲ ὁμοούσιον οὐ δόξα τῷ ὁμοουσίῳ· ἦν ἄρα κύριος διὰ τὸν λόγον τὸν θεῖον ὁ γενόμενος καὶ Χριστὸς διὰ τὴν χρίσιν τοῦ πνεύματος, αὐτὸς Ἰησοῦς· καὶ κύριον γὰρ αὐτὸν διὰ τοῦ λόγου, καὶ Χριστὸν διὰ τοῦ πνεύματος ὁ θεὸς ἐποίησε τοῦτον τὸν Ἰησοῦν ὃν Ἰουδαῖοι ἐσταύ- XVIII.

ρωσαν· τῇ τε ἐνδόσει τοῦ λόγου αὐτοῦ καὶ περιθήσει τοῦ πνεύματος αὐτοῦ, τά τε ἐντὸς καὶ ἐκτὸς τῆςδε τῆς ἁγίου κιβωτοῦ καταχρυσῶν ὁ πατὴρ θείᾳ μαρμαρυγῇ· εἰ δὲ καὶ ἀπὸ γεννήσεως εὐθὺς Χριστὸς καὶ κύριος ἐν πόλει Δαβὶδ ὀνομάζεται τῷ ἀγγέλῳ προαναφωνητικῶς· καὶ γὰρ καὶ Σαμουὴλ πρὶν χρίσαι τινὰ τῶν υἱῶν Ἰεσσαὶ ἔλεγεν, ἀλλ' ἢ ὁ Χριστὸς κύριος;

XIX. Εἰ μὴ ἄρα ἐκ τοῦ πνεύματος ἔλαβεν ὁ Ἰησοῦς καθὰ διδάσκει ὁ Αἰγύπτιος τὸ ἐνεργεῖν δύνασθαι, τίνος ἕνεκεν δέδωκεν αὐτῷ ὁ πατὴρ τὸ πνεῦμα; οὐ μέτρῳ γὰρ φησὶ δίδωσιν ὁ θεὸς τὸ πνεῦμα· ὁ γὰρ πατὴρ ἀγαπᾷ τὸν υἱὸν καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ· πῶς οὖν, εἰ μὴ μέτρῳ καὶ ἀξίᾳ δίδοται αὐτῷ ὑπὸ θεοῦ πατρὸς τὸ πνεῦμα; Οὐχ' ὡς ἄτονος ἄνθρωπος πρὸς ἐνέργειαν θείαν ἔλαβεν ὁ Ἰησοῦς τὸ πνεῦμα· εἰ γὰρ μὴ ἔστι μέτρου φύσεως ἑτέρας λαβεῖν τὸ πνεῦμα τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, ἀλλ' ὁμοφυΐᾳ καὶ ἀγάπῃ μόνῃ τῇ πρὸς αὐτὸν δίδοται, μόνος δὲ ὁ υἱὸς πατρὶ καὶ τῷ πνεύματι ὁμοούσιος, δῆλον ὡς διὰ φυσικὴν ἀγάπην τῷ ὁμοουσίῳ υἱῷ δέδωκε τὸ ὁμοούσιον αὐτοῦ πνεῦμα ὁ πατήρ· πάντα γὰρ δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ ὁ πατήρ· ὥστε λέγειν τὸν υἱὸν, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι.

XX. Ζωοποιός ἐστι τοῦ κυρίου ἡ σὰρξ πιστευομένη ὅτι ὑπὸ τοῦ θεοῦ λόγου ἐζωοποιήθη· ἄλλως γὰρ οὐκ ἔστι ζωοποιός. Ἀλλ' οὐκ' ἐνεργείᾳ τοῦ ζωτικοῦ λόγου νῦν ἁπλῶς ἐζωοποιήθη, ὥσπερ ἐν τῇ τοῦ Ἀδὰμ δημιουργίᾳ· ὅτῳ γὰρ ἂν πάλιν δυνάμει καὶ τὸ φθαρτὸν εἶχε καὶ νῦν ὁ ἄνθρωπος· ἀλλ' ἐνοικήσει φύσεως ζωτικῆς εἰς φύσιν, καθ' ἕνωσιν οὐσιῶν δύο, τὴν ὑπόστασιν μίαν ἀποδεικνῦσαν· ὡς μὴ ἰσχύειν πώποτε λοιπὸν τὸ δυνάμει ἐναποκείμενον φθαρτὸν τῇ φύσει τῇ ἀνθρωπίνῃ, εἰς τὸ ἐνεργείᾳ προελθεῖν· ὡς κατὰ ἀνθρωπίνης ὑποστάσεως συνεναποκειμένης αὐτῇ ἐν τῇ τῆς ἀφθαρτοποιοῦ δυνάμεως, τῆς αὐτοφύσει ζωῆς, καὶ εἰς τὴν αὐτὴν θείαν ὑπόστασιν συνεχούσης τὴν ἀνθρωπείαν φύσιν· οὕτω γοῦν τινὲς καὶ τοὺς φθοροποιοὺς τῆς γαστρὸς ὀπούς ἢ βοτάνας δι' ἑτέραν τινὰ ὠφέλειαν προσφέροντες τισὶ τοῖς ἰδίως ἐφεκτικοῖς αὐτῆς εἴδεσι μίξαντες, εἰς ἑνὸς φαρμάκου σύνθεμα, ἀδεῶς τὸ λοιπὸν παρέχουσι· φθοροποιΐαν γαστρὸς λοιπὸν οὐκ εὐλαβούμενοι διὰ τὸ συμπεπλεγμένον ἐφεκτικὸν τῆς γαστρὸς ἐν ἑνὶ καὶ τῷ αὐτῷ φαρμάκῳ ἅμα.

XXI. Οὐκ ἔστιν ἄνθρωπος μὴ ὢν τις ἄνθρωπος· καὶ ὁ λαμβάνων τὸν ἄνθρωπον θεὸς τινὰ ἄνθρωπον λαμβάνει, τὸν διὰ μὲν τὴν φύσιν ὄντα ἄνθρωπον, διὰ δὲ τὴν λῆψιν ὄντα ὑπὲρ ἄνθρωπου. Εἰ μὲν οὖν τινα ὄντα ἄνθρωπον ἤδη ὕστερον ἔλαβεν ὁ θεὸς, καλῶς λέγεις· εἰ δὲ τῇ λήψει καὶ μετὰ τὴν λῆψιν ὠράθη τὶς ὢν ἄνθρωπος, πῶς τινὰ ἄνθρωπον ἔλαβε γυμνὸν ἄτευκτον ἔτι τῆς προσλήψεως αὐτοῦ; εἰ δὲ διὰ τὴν φύσιν ἄνθρωπός

ἐστι τῇ φύσει καὶ διὰ τὴν λῆψιν ὑπὲρ ἄνθρωπον, οὐκ ἄλλό τι ἀλλ' αὐτὴν τὴν φύσιν πάντως ἐτράπη οὖν τοῦ εἶναι ὃ ἦν τῇ φύσει διὰ τῆς λήψεως· τί οὖν γέγονεν; ἢ γὰρ ἕτερόν τι, ὃ οὐδὲ θεὸς, οὐδὲ ἄνθρωπός ἐστι τὸ προσλαβόμενον ἤγουν· ἄρα οὖν καθ' ὑμᾶς, καὶ φύσις μία ἐστὶ Χριστῷ, καὶ αὐτὴ θεία· καὶ ὑπόστασις δὲ αὐτῷ μία προδήλως καὶ αὐτὴ θεοῦ.

Γέγραπται ὅτι καὶ ὁ ἁγιάζων, ἤγουν Χριστὸς, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες, δηλαδὴ ἐκ τοῦ Θεοῦ· δι' ἣν αἰτίαν οὐδὲ ἐπαισχύνεται αὐτοὺς ἀδελφοὺς καλεῖν λέγων, ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· καὶ πάλιν, ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν· Ἀλλ' εἰ καὶ ἐξ ἑνὸς πάντες, ἀλλ' οὐχ' ὡσαύτως· ὁ μὲν γὰρ καὶ γεννήσει καὶ ἀχράντῳ καὶ ἀνάρχῳ ἐστὶν ἐξ αὐτοῦ· οἱ δὲ κτίσει μόνον, οὐ τῆς αὐτῆς δὲ φύσεως, ὅ τε υἱὸς τοῦ κεραμέως καὶ ἡ στάμνος, καίτοι ἐξ αὐτοῦ γενόμενοι ἄμφω· ἄλλως δὲ ὁ φύσει ἁγιάζων, καὶ οἱ φύσει ἁγιαζόμενοι, πῶς ὁμοφυεῖς; εἴπερ μὴ καὶ ὁ κτίζων καὶ οἱ κτιζόμενοι· διὰ τί δὲ καὶ καλεῖν αὐτοὺς ἀδελφοὺς οὐκ ἐπαισχύνεται; τίς γὰρ αἰσχύνη καὶ ὑποπτεύεται ἐν ὁμοουσίοις πάντη καὶ ἰσοτίμοις; ἢ τίς ἔπαινος ταπεινοφροσύνης τῷ καλοῦντι ἑαυτὸν, ὃ φύσει ὅλος ἐστὶ μηδὲν πλέον ἔχων τοῦδε; οὐδὲ γὰρ ὁ μορφὴ δούλου φύσει ὢν μόνον, δοῦλον ἑαυτὸν καλῶν ἀκενόδοξος· τίς δὲ γνωμικὴ ἐποίησε συμπάθεια πρὸς τὰ κεκοινωνηκότα παιδία αἵματος καὶ σαρκὸς φύσει, τὸν τῇ φύσει ἑαυτὸν πάντη ὅμοιον καὶ αὐτὸν παραπλησίως τῆς σαρκὸς καὶ αἵματος φύσει κοινωνῆσαι; κἂν γὰρ μὴ ἐβούλετο, μᾶλλον δὲ καὶ εἰ μὴ ἐκοινώνησαν, μὴ δὲ ἐγένοντο ὅλως οὗτοι οἱ ὁμοούσιοι παῖδες τῷδε· εἰ λόγῳ τῆς οἰκείας φύσεως κεκοινώνηκεν αἵματι καὶ σαρκὶ, πάντως ἂν καὶ μόνος ὢν τοῖςδε ἐκοινώνησε· σαφὲς οὖν καὶ ἐν τούτοις τὸ ὑπερφυὲς ἡμῖν τοῦ καταδεξαμένου τὸ ὁμορφυὲς ἡμῖν θεοῦ ἐνανθρωπήσαντος, καὶ τὸν ἄνθρωπον ἀποθεώσαντος ὃς καὶ παιδία καλεῖ τούςδε τοὺς ἑαυτοῦ κατὰ σάρκα ἀδελφοὺς, λέγων, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός· ἐπεὶ δὲ εἰ καὶ κατὰ σαρκικὴν γέννησιν ἀδελφός ἐστιν αὐτοῖς ἐξ Ἀδὰμ προελθὼν τοῦ προπάτορος εἰς τόνδε τὸν ἐνεστῶτα αἰῶνα, ἀλλ' ὅμως τὸ ἑαυτοῦ σῶμα ἐξ ἀναστάσεως νεκρὸν πνευματικὸν ποιήσας, καὶ τοῦτο εἰς τροφὴν ἡμῖν παρέχων τοῦ ἐνθεῖναι καὶ ἡμῖν δι' αὐτοῦ δύναμιν εἰς ἀνάστασιν μετὰ τὴν νεκρότητα ἐνεργητικὴν πνευματικῆς σωμάτων ἀναβιώσεως, αὐτὸς αἴτιος ἡμῖν ἐστι σαφῶς τῆς τοιᾶςδε ἐν τῷ μέλλοντι αἰῶνι πνευματικῆς φύσεως καὶ ἀτελευτήτου καὶ ἀφθάρτου καταστάσεως τῶν νῦν ἐν ἡμῖν φθαρτῶν σωμάτων· τούτῳ τοι καὶ εἴρηται οὗτος οὗ τὰ παιδία ἐσμὲν, πατὴρ τοῦ μέλλοντος αἰῶνος· δι' ἡμᾶς γὰρ οὓς ἀφθάρτους ἀνιστᾷ πνευματικοῖς σώμασι καὶ τοὺς τόπους καὶ τὰ περὶ ἡμᾶς πάντα κατάλληλα τοῖς XXII.

ἐνδιαιτωμένοις καὶ περιπολοῦσι καὶ διαβιοῦσι καὶ ἁπλῶς ἐμπολιτευομένοις αὐτοῖς, ἄφθαρτα ἀποκαθίστησι σώματα· ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς εἰς τὴν δόξαν τῆς ἐλευθερίας τῶν τέκνων τοῦ θεοῦ τούτου τοῦ καὶ ὡς ἀνθρώπου ἀδελφοῦ και πατρὸς λέγοντος· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός.

XXIII. Εἰ αὐτὸς ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων ἐταπεινώθη κενώσας ἑαυτὸν εἰς τὴν τοῦ δούλου μορφὴν, οὗτός ἐστιν ὁ ὑπερυψωθεὶς, καὶ ᾧ ἐχαρίσατο ὁ θεὸς ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἆρά γε ὃ κατὰ φύσιν εἶχεν ὁ λόγος, ὕστερον κατὰ χάριν ἔσχεν. Ἀλλ' εἰ μὲν ὁ αὐτός ἐστι ὁ καθ' ἑτέραν μὲν τῶν αὐτοῦ φύσεων κενωθεὶς εἰς τὴν φύσει δούλην ἀνθρωπότητα, ὑψωθεὶς δὲ τὴν ἑτέραν εἰς τὴν φύσει δεσπόζουσαν θεότητα, ἆρά γε τῆς ταπεινώσεως ἑτέρου, ἑτέρῳ ὁ μισθὸς ἀποδέδοται ἀλόγως τὲ καὶ ἀδίκως· πλὴν ἡ ταπείνωσις, καὶ καθ' ὑμᾶς τοῦ λόγου ἐστὶν· αὕτη δὲ μέχρι θανάτου, καὶ θανάτου σταυροῦ εἴρηται προβῆναι· τοῦ λόγου ἄρα ἰδία χωρὶς σαρκικῆς συμφυΐας καὶ τῆς οἱασοῦν συνυποστάσεως ἑτέρας οὐσίας τὰ πάθη καὶ τὸν θάνατον εἶναι συνάγετε.

XXIV Θεὸν οὐδεὶς ἑώρακε πώποτε· εἰ οὖν ὁ ἐπὶ γῆς ὀφθεὶς, οὗ τὴν δόξαν ἐθεάσαντο ὡς μονογενοῦς παρὰ πατρὸς, αὐτός ἐστιν ὁ φύσει θεὸς, πῶς ἀληθὲς τὸ προομολογούμενον; Καί τοι τὰ ἐπαγόμενα διασαφεῖ ὡς αὐτός ἐστιν ὅτε φύσει ἰδίᾳ ἀόρατος, καὶ σαρκὶ ἰδίᾳ ὁρατὸς ἡμῖν· εἴρηται γὰρ ὅτι αὐτὸ τοῦτο τὸ μηδένα ἑωρακέναι θεὸν, ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς, αὐτὸς ἐξηγήσατο· οὐ μέν τοι ὅτι καὶ ὤφθη ἐθεασάμεθά τε, οὐ τὴν φύσιν αὐτοῦ ἔφη· δῆλον γὰρ ὅτι καὶ ὁ υἱὸς ὁμοφυὴς τῷ ἀοράτῳ πατρὶ τὴν φύσιν, ἀλλὰ τὴν δόξαν αὐτοῦ, καὶ τήνδε οὐ τῆς φυσικῆς ἀξίας, ἀλλὰ τῆς σχετικῆς πρὸς τὸν ἴδιον πατέρα τάξεως· φησὶ γὰρ ὅτι δόξα ὡς μονογενοῦς παρὰ πατρὸς· ὁ δὲ ἐπὶ γῆς ὀφθεὶς καὶ λαλῶν ἀπλανῶς λέγων· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν· καὶ ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα· οὐ σαφῶς δηλοῖ ὅτι ὁ μὴ ἐκεῖνον ὁρᾶν δυνάμενος οὐδὲ τοῦτον, ἀόρατος ἄρα θεότητι· ὁρατὸς ἀνθρωπότητι Χριστὸς ὁ θεὸς καὶ οὐκ ἄνθρωπος.

XXV. Εἰ πάντα οἰκειοῦται τὰ τῆς σαρκὸς ἴδια ὁ λόγος, καὶ πάντων ἠξίωται τῶν τοῦ λόγου ἡ σάρξ, ἆρα γέ καὶ τὸ ἐξ οὐκ ὄντων εἶναι ὅ ἐστι τῆς σαρκὸς φυσικὸν· καὶ τὸ τρεπτὸς εἶναι καὶ ὁρατὸς εἶναι καὶ τὸ περιέχεσθαι· εἰ δὲ καὶ ταῦτά τις δοίη, πῶς καὶ ἡ σὰρξ τῶν ἐναντίων μεταλήψεται; ἡ γὰρ ὁρατὴ, οὐκ ἀόρατος· καὶ ἡ τρεπτὴ, οὐκ ἄτρεπτος. Ἀλλὰ πάντα οἰκειοῦνται, εἰς πρόσωπον τῆς ἑαυτοῦ σαρκὸς γινόμενα, εἴτε φυσικὰ πάθη, εἴτε ἐξωτέρας ὕβρεις, εἴτε ὅτι οὖν αὐτῇ συμβεβηκὸς· τῇ γὰρ ἰδίᾳ ὑποστάσει αὐτὴν ἀνειληφὼς, ἐπροσωποποίησεν· οὐ μέν τοι τοὺς λό-

γους τῆς φύσεως τῆς σαρκὸς, οἰκειοῦται ἡ φύσις τοῦ λόγου· καὶ ἀξιώσασα γὰρ ὕστερον τὴν ἀνθρωπότητα, ἡ θεότης πρὸς τῇ ὑποστάσει καὶ θείων φυσικῶν ἰδιωμάτων, ὅμως ἰδιάζει καὶ οὕτως, κατά τινα φυσικὰ αὐτῆς ἐξαίρετα· ἡ μὲν γὰρ ἐθέωσεν ὡς θεοποιὸς φύσις· ἡ δὲ ἐθεώθη ὡς θεοποιουμένη· καὶ ἡ μὲν ὑψώθη φύσις· ἡ δὲ οὐχί· καὶ ἡ μὲν ἔδωκε τὰ ἴδια· ἡ δὲ ἔλαβε τὰ δόματα τὰ φυσικά· οὐδὲν οὖν ἐκ τῶνδε ἡμῖν ἡ τοῦ προσώπου ἕνωσις τὴν διαφορὰν τῶν φύσεων λυμαίνεται.

Εἰ φύσει θεὸς ὁ Χριστὸς, πῶς λέγει ἐν τῷ σταυρῷ, Θεέ μου θεέ μου, ἵνα τί με ἐγκατέλιπες; οὐδὲ γάρ ἐστι θεοῦ θεὸς φύσει νοουμένου· ἄρα οὖν φύσει ἄνθρωπός ἐστιν ὁ λέγων ἑαυτοῦ θεὸν τὸν θεὸν σαφῶς. Ἐπεὶ οὖν πατέρα ἡμῶν καὶ ἡμεῖς τὸν ἐν τοῖς οὐρανοῖς θεὸν καλοῦμεν, ἀρά γε διὰ τόδε καὶ ἡμεῖς καὶ τὸ κατὰ σάρκα φύσει υἱοὶ θεοῦ, ἢ οὐ δῆτα; εἰ γὰρ μὴ φύσει πατέρα τοῦ ὅλου ἡμῶν δηλοῦμεν, ὃν καλοῦμεν πατέρα, οὐδὲ πάσης φύσεως αὐτοῦ θεὸν εἶναι ἀνάγκη, ὃν καλεῖ θεὸν αὐτοῦ ὁ Χριστός. XXVI.

Εἰ φύσει θεὸν εἶναι ᾔδει τὸν Ἰησοῦν τὰ δαιμόνια, φησὶ, πῶς ἔλεγεν, ἐξορκίζω σε τὸν θεὸν ἵνα μὴ βασανίσῃς ἡμᾶς; Ἔστω οὖν μὴ εἰδέναι αὐτὸν θεὸν τὰ ἀκάθαρτα πνεύματα· οὐδὲ γὰρ τῶν ἀνθρώπων τὶς δύναται εἰπεῖν κύριον εἴτουν θεὸν τὸν Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ λαλεῖ, καθὼς γέγραπται· τί οὖν ὑμῖν ἀξιοπίστως εἰρῆσθαι δοκεῖ ὑπὸ τῶν ἐχθρῶν τε τῆς ἀληθείας ἀεὶ, καὶ φίλων καὶ διδασκάλων τοῦ ψεύδους δαιμονίων; XXVII.

Εἰ ἡ σὰρξ, σάρξ ἐστι καὶ οὐ θεότης, ἐπεὶ μὴ δὲ ἐτράπη ἡ θεότης εἰς σάρκα, μὴ δὲ πάλιν συναναπληροῖ τὴν οὐσίαν τῆς σαρκὸς, πῶς διὰ τὴν αὐτὴν αἰτίαν, οὐχὶ καὶ ὁ ἄνθρωπός ἐστι καὶ οὐ θεότης; Καὶ γὰρ ἀληθῶς ἥ τε τῆς σαρκὸς, σαρκική ἐστι φύσις· ἥ τε τῆς ἀνθρωπότητος ὡς ἀνθρωπείας, ἀνθρωπεία ἐστὶ φύσις· ἀλλ' οὐχ' ὑποστάσεις ταῦτα ἰδικαὶ, οὐδέ τι τούτων ἐν Χριστῷ ἀπεσχοινισμένως ἐστὶ τοῦ ἑτέρου ὑφεστώς· καὶ ἐν τοῖς ἄλλοις γὰρ πᾶσι ψιλοῖς ἀνθρώποις, οὐχ' ἡ τοῦ ἀνθρώπου ἁπλῶς, ἀλλὰ τοῦ δέ τινος ἑκάστη τε φύσις ἐνυπόστατος ὁρᾶται· καὶ ὅμως οὔτε ἡ σὰρξ ἐκ τοῦ σὰρξ ἁπλῶς λέγεσθαι διακρίνοιτο τῆς ψυχῆς ἰδίᾳ ὑποστάσει, οὔτε ἡ ψυχὴ τῆς σαρκὸς· ὁ τοῦ μυστηρίου γοῦν τῆς ἐνανθρωπήσεως τοῦ δεσπότου ἡμῶν λόγος, τοῦτο διδάσκει· καὶ περὶ τούτου τὴν πίστιν ἡμᾶς ἀπαιτεῖ· ὡς τὴν προυπάρχουσαν τῆς ἀνθρωπείας φύσεως ὑπόστασιν ἑαυτοῦ καὶ φύσιν ὁ λόγος τὴν ἄσαρκον πρὸ αἰώνων, ἐν ὑστέροις καιροῖς ἑαυτῷ σάρκα περιβαλὼν αὐτῇ τῇ ἰδίᾳ ὑποστάσει οὐκ ἀνθρώπου ψιλοῦ τὴν ἀνθρωπείαν φύσιν ἐνυπέστησεν. XXVIII.

Εἰ ἡ μὲν σὰρξ, σάρξ ἐστὶ καὶ οὐ θεότης· ὁ δὲ ἄνθρωπος, ἄνθρωπός ἐστι καὶ οὐ θεότης, πῶς ἐκ μέρους τῆς σαρκὸς τὸν ἄνθρωπον ὀνομάζεις; XXIX.

Τῷ μὲν τῆς φύσεως λόγῳ ἄμφω ἡμῖν νοεῖται ἐπὶ Χριστοῦ διαφέροντα πρὸς τὴν θεότητα· εἴ τε ἀδιαφόρως ἔν τινι σημαίνοι ἀμφότερα, εἴ τε ὡς μέρος ἡ σὰρξ· ὅλον δὲ λέγοιτο ὁ ἄνθρωπος· τῷ δὲ τῆς ὑποστάσεως λόγῳ ὡς μέρος νοουμένη ἡ σὰρξ, πάλιν ὡσαύτως ἔχουσα τὴν ἔννοιαν πρὸς τὴν θεότητα τοῦ Χριστοῦ λογισθήσεται· καὶ ἔστιν ἡμῖν ἀνυπόστατος· οὐδὲ γὰρ ἐν τῷ λόγῳ, οὐδὲ ἐκτὸς τοῦ λόγου, ἰδίαν ὑπόστασιν ἀποκεκλήρωται, ἀλλ' ἔστιν ὡς μέρος θεωρουμένη τοῦ ζώου ἀεί· ὁ δὲ ἄνθρωπος λεγόμενος ἐπὶ Χριστοῦ, ἐπεὶ οὐχ' ἁπλῶς μέρος ἐστὶν ὁλότητος ὑποστάσεως, ἀλλ' ἐπὶ Χριστοῦ μόνον, οὐκέτι τὸν αὐτὸν τοῖς πᾶσιν ἀνθρώποις φυλάττει λόγον ὑποστατικὸν καὶ ἐπὶ Χριστοῦ· καὶ ἑτερότητος γὰρ ὑποστατικῆς, ὥσπερ οὖν καὶ φυσικῆς, ἐν αὐτῷ δείκνυσι λόγον καθ' αὑτὸν νοούμενος· ὅπερ οὐχ' οὕτως ἔχει· ἐκμελὴς γὰρ ἔσται πᾶσα ἡ σύνθεσις τῆς ὁλότητος τοῦ προσώπου Χριστοῦ, φύσεσί τε καὶ ὑποστάσεσι διακεκριμένη· καὶ ψευδὴς ἡ ὁμολογία τῆς ἑνώσεως τῶν φύσεων, ἥνπερ εὐσεβῶς δοξάζομεν ἐπὶ Χριστοῦ· καινοτομεῖται γὰρ πρὸς τὸ πάλαι ἔνδοξον διὰ τὴν ἄφραστον ἕνωσιν τὴν πρὸς Θεὸν παρὰ πάντας ἀνθρώπους ὁ ἐπὶ Χριστοῦ λεγόμενος ἄνθρωπος, μὴ καθ' ἡμᾶς ἰδιάζουσαν ἔχων καὶ διακεκριμένην πάσης ὁμοειδοῦς καὶ ἑτεροειδοῦς φύσεως τὴν ἑαυτοῦ ἀνθρωπείαν ὑπόστασιν, ἀλλὰ κοινὴν καὶ ἀδιαίρετον τῆς τε ἑαυτοῦ καὶ τῆς ὑπὲρ αὐτὸν φύσεως οὖσαν τοῦ λόγου τὴν ὑπόστασιν· διὸ εἰ μὲν ὡς ἐκ μέρους φυσικοῦ τὴν ἀνθρωπείαν φύσιν ἐκ τῆς σαρκὸς ὀνομάζεται, οὐδενὸς ὑπόπτου ἡμῖν πρὸς ῥᾳδιουργίαν γινομένου, ταυτὸν ἴσμεν ἀμφότερα· εἰ δὲ ὡς ἐκ μιᾶς τῶν ὑποστάσεων τὸ ὅλον τοῦ Χριστοῦ οἷα τινὸς χοροῦ ὡς ἰδιοϋπόστατον βουλόμενοι εἰσάγειν τὸν ἀνθρώπινον αὐτοῦ, καὶ οὐ θείᾳ φύσει σύνθετον φατὲ, οὐδὲ τὸν ἄνθρωπον λεγόμενον γυμνῶς, οὐδὲ τὴν σάρκα ἀντὶ τοῦ ἀνθρώπου τελείου γυμνοῦ λεγομένην καταδεξόμεθα.

XXX. Εἰ ἡ σὰρξ ἐστὶ καὶ οὐ θεότης, ὁ δὲ ἄνθρωπος οὐκέτι ἄνθρωπός ἐστι καὶ οὐ θεότης, εἰπὲ τί μὲν τῆς σαρκὸς ἡ θεότης, τί δὲ τοῦ ἀνθρώπου ἡ θεότης; Τῆς σαρκὸς, ταυτὸν δέ ἐστιν εἰπεῖν καὶ τοῦ ἀνθρώπου, συνενυπόστατος ἡ θεότης ἐν Χριστῷ· ἀλλὰ τῆς μὲν σαρκὸς, ὡς εἴρηται, ἀκαινίστως ἐχούσης κατά τε φύσεως καὶ ὑποστάσεως λόγον, καὶ ἐν αὐτῷ ὡς καὶ ἐν τοῖς λοιποῖς, μέρους τε καὶ διαφόρου θεωρουμένης πρὸς τὸ ὅλον· τοῦ δὲ ἀνθρώπου, συνενυπόστατός ἐστιν ἡ θεότης· καινισθέντος παρὰ τοὺς πολλοὺς καθ' ὑπόστασιν· ἀντὶ γὰρ ἰδικῆς, κοινήν· καὶ ἀντὶ ἀνθρωπείας, θείαν κτησαμένου ὑπόστασιν· καὶ ἀντὶ ὅλου ὑποστατικοῦ, ὡς μέρους ἐν αὐτῇ θεωρουμένου· τοῦτο γὰρ αὐτῷ ὄντως ἐστὶ πρὸς ἀπαρτισμὸν τῆς τελείας μακαριότητος· καὶ παρατηρητέον, ὅτι οὐ πάντοτε ἡμῖν ἥ τε σὰρξ τὸν ἄνθρωπον ἐκ μέρους σημαίνει, ἢ ὁ ἄνθρωπος τὴν σάρκα, ἀλλ' ἡνίκα

περὶ φύσεως μόνον εἴη ὁ λόγος· καὶ εἰ τοῦτο, οὐ διὰ τὸ πάντα τὸν ἄνθρωπον εἶναι σάρκα· ἀλλὰ διὰ τὸ ἐπὶ Χριστοῦ ὡς μίαν ἀντιδιαστέλλεσθαι φύσιν κατὰ τὴν σάρκα, πᾶσαν τὴν ἀνθρωπότητα πρὸς τὴν θεότητα· ὡς κτιστήν τε πρὸς τὸ ἄκτιστον, καὶ ὡς ἕνα ὅρον ἐπιδεχομένην ἴδιον παρὰ τὴν θεότητα.

Εἰ ὅπερ ἐστὶ τῆς σαρκὸς ἡ θεότης, τοῦτό ἐστι καὶ τοῦ ἀνθρώπου ἡ θεότης· ἑτέρα δὲ ἡ σὰρξ παρὰ τὴν θεότητα· σὰρξ γάρ ἐστι καὶ οὐ θεότης, πῶς οὐχ' ἕτερος καὶ ὁ ἄνθρωπος παρὰ τὴν θεότητα; ἐπείπερ ἄνθρωπος καὶ οὐ θεότης. Ὄντως γὰρ ταυτόν ἐστι τῆς τε σαρκὸς, κἂν ὡς σὰρξ μόνον λέγοιτο καὶ οὐχ' ὡς ἄνθρωπος, καὶ τοῦ ἀνθρώπου ἡ θεότης· τί δὲ ἄρα ἐστὶν αὐτοῖς, ἢ μόνον συνυπόστατος διὰ τῆς ἑνώσεως τῆς καθ' ὑπόστασιν· εἴτε ἄμφω τὸν ἄνθρωπον σημαίνοιεν, εἴτε τῇ μὲν ὡς μέρει, τῷ δὲ ὡς ὅλῳ φυσικῷ συνυφίστασθαί τις λέγει αὐτήν· ἕτερα δὲ πάλιν ἥ τε σὰρξ καὶ ὁ ἄνθρωπος, πῶς ἐστιν ἀληθῶς τῆς θεότητος ἐν Χριστῷ, εἰ μὴ φύσει; ἐπείπερ σὰρξ τέ ἐστι καὶ ἄνθρωπος, καὶ οὐ θεότης τάδε, καθὼς καὶ ὑμεῖς φατὲ, ἀλλὰ κατὰ φύσιν ἑτέραν δηλαδὴ ἕτερα ἐστὶ τάδε καὶ οὐ καθ' ὑπόστασιν ἄλλην· εἴπερ φύσις ἡ θεότης, καὶ φύσις ἑτέρα ἡ ἀνθρωπότης. XXXI.

Εἰ τῆς σαρκὸς μὲν μέρος οὐκ ἦν ὁ θεὸς λόγος, τοῦ δὲ ἀνθρώπου μέρος ἦν, πῶς οὐκ ἀρειανίζεις ἢ ἀπολιναρίζεις; Ἀλλ' οὐδὲ τῆς σαρκὸς οὐδὲ τοῦ ἀνθρώπου μέρος ὁ λόγος, μὴ γένοιτο· εἰ γάρ τις καὶ ἀντὶ ψυχῆς τῇ σαρκὶ ἀθέσμως δοίη τὸν λόγον κατὰ τοὺς μνημονευθέντας ὑμῖν θεολοιδόρους, ἀλλ' ὅμως οὐδὲ οὕτως ἀνθρώπου μέρος ἂν αὐτὸν παραστήσῃ· οὐ γὰρ τὸ τοιόνδε ὅλον ἄνθρωπος ἔσται λοιπὸν τὸ ἐκ σαρκὸς ἀψύχου καὶ λόγου θείου συμπληρούμενον· σώματος γὰρ λογικῇ ψυχῇ ἐψυχωμένου, ὁ τοῦ ἀνθρώπου λόγος καὶ ὅρος ἐστίν· οὐ μὴν θείῳ λόγῳ ἐψυχωμένου· εἰ δὲ ἄρα καὶ λέγοι τίς πως μέρος τὸν λόγον Χριστοῦ, δηλαδὴ ὡς ὅλου· καὶ οὐχ' ὡς ἀνθρώπου ἁπλῶς φησὶ· καὶ τοῦτο μόνον πρὸς σημασίαν τοῦ ἓν εἶναι πρόσωπον αὐτοῦ ἐκ διαφόρων φύσεων συγκείμενον. XXXII.

Εἰ ὥσπερ μέρος οὐκ ἔστι τῆς σαρκὸς ὁ θεὸς λόγος, οὕτως οὐδὲ μέρος τοῦ ἀνθρώπου, πῶς οὐχ' ἕτερος ὁ ἄνθρωπος παρὰ τὸν θεὸν λόγον; ὥσπερ οὖν καὶ ἕτερος ὁ θεὸς λόγος παρὰ τὴν σάρκα· ὁ λόγος γὰρ θεός ἐστι καὶ οὐ σὰρξ, ὥσπερ οὖν καὶ ἡ σὰρξ ἐστι καὶ οὐ θεότης. Οὐδὲ τῆς σαρκὸς, οὐδὲ τοῦ ἀνθρώπου μέρος ὁ θεὸς λόγος, οὔτε κατὰ φύσιν, οὔτε καθ' ὑπόστασιν, ἀλλὰ Χριστοῦ· ἐπεὶ μὴ ἀνθρώπου ψιλή τις ἦν ἡ ὑπόστασις τοῦ δεσπότου ἡμῶν Χριστοῦ· ἕτερος οὖν τῆς τε σαρκὸς καὶ τοῦ ἀνθρώπου ἤγουν τῆς ἀνθρωπότητος κατὰ φύσιν μόνον νοοῖτο ἂν ὁ λόγος ἐν Χριστῷ, οὐ μὴν καὶ καθ' ὑπόστασιν· εἰ καὶ ὑμεῖς ὑπούλως ἔχοντες περὶ XXXIII.

τὴν ὑπόθεσιν, σιωπᾶτε τὰς ἑτερότητας καὶ ταυτότητας τίνων γε, καὶ ὅπως ἑκάτερα λέγηται, ἵνα διὰ τῆς τοῦ ἑνὸς πράγματος ἤγουν τῆς φύσεως ὡμολογημένης ἑτερότητος λεληθότως καὶ τὴν ἄλλου πράγματος ἤγουν τῆς ὑποστάσεως τὴν ἑτερότητα παρεισενέγκοιτε· καὶ τὸ ἐξ ἀρχῆς ὑμῖν σπουδαῖον, δύο τὰς ὑποστάσεις δείξητε, καὶ τὴν ἕνωσιν τοῦ δεσπότου ἡμῶν Χριστοῦ διαζεύξητε ἣν λόγῳ μόνῳ καταδέχεσθαι προσποιεῖσθε· ὁ γὰρ κατὰ φύσιν τε καὶ ὑπόστασιν διακρίνον τὶ, κατ' οὐδὲν ἔτι ἢ ἄρα κατὰ συμβεβηκὸς μόνον τὴν τούτου συνάφειαν οἴεται.

# LIBER VI.

Ἕκτης αὐτῶν ἀσεβείας δεῖξις, θεοφόρον ἄνθρωπον καὶ οὐ θεὸν ἐνανθρωπήσαντα λεγόντων τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

I. Εἰ στολὴν ἔχει ὁ λόγος τὴν σάρκα, κατὰ τὸ εἰρημένον αὐτῷ διὰ τῶν λόγων αὐτοῦ περὶ ἑαυτοῦ, πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, δηλονότι ὁ ἀναθεματίζων τὸν λέγοντα θεοφόρον ἄνθρωπον τὸν Χριστὸν, πρὸ τοῦ λέγοντος τὸν φοροῦντα ἀναθεματίζει. Ἀλλ' εἴπερ ἡ στολὴ τοῦ λόγου ἐστιν ἡ σὰρξ, ὁ δὲ λόγος θεός, ἡ δὲ σάρξ ἐστιν ὁ ἄνθρωπος, θεὸν ἀνθρωποφόρον ἀκόλουθον μᾶλλον εἰπεῖν ἐπὶ Χριστοῦ· τούςδε ἀποστόλους αὐτοῦ ἐνδυσαμένους δύναμιν ἐξ ὕψους ἐπελθόντος αὐτοῖς τοῦ ἁγίου πνεύματος τοῦ θεοῦ· τούτους εἰκὸς καὶ τοὺς τοιούτους θεοφόρους καλεῖν, ἵνα τὸ ἐπίκτητον τῇ ὑποστάσει τῇ ἀνθρωπίνῃ, ἡ θεία φύσις νοηθῇ· ἐν δὲ τῷ κυρίῳ, ἀνάπαλιν τὸ ἐπίκτητον τῇ θείᾳ ὑποστάσει, ἡ φύσις ἡ ἀνθρωπίνη δοξασθῇ· αὐτὸς γὰρ ἐνεδύσατο τὸ τῆς ἡμετέρας φύσεως, ὁ ἐνδύσας ἡμᾶς πάντας, τὸ τῆς ἑαυτοῦ φύσεως σάρκα λαβὼν καὶ δοὺς πνεῦμα.

II. Τὸ θεὸς ἦν ἐν τῷ υἱῷ κατὰ τὸ εἰρημένον μὴ τὸν λόγον λέγειν εἶναι ἐν ἀνθρώπῳ, ὡς ὁ φορῶν ἐν τῷ φορουμένῳ· οὐδ' ἄλλως ἄρα δύναται ὁ θεὸς εἶναι ἐν τῷ Χριστῷ. Εἰ οὖν οὕτως ἀδιαφόρως ὡς ὁ φορῶν ἐν τῷ φορουμένῳ, ἐν Χριστῷ ἦν θεὸς, κατὰ περιορισμὸν ἄρα καὶ περίληψιν καὶ σκέπην καὶ κάλυμμά ἐστιν ὁ λόγος ἐν τῇ σαρκὶ· τοπικῇ τε παραθέσει πέρατος θατέρου πρὸς θάτερον ἥνωνται ἀλλήλοις, καὶ οἷον ὁ φλοιὸς ἢ τὸ ἔλυτρόν ἐστι περίθεμα τοῦ ἀμυγδάλου· ἄρα οὖν καὶ περιγράφεται τῇ σαρκὶ ἢ πᾶς ἢ κατὰ τὸ πλεῖστον αὐτοῦ ὁ λόγος· ἔτι μὴν οὕτως οὐκ εἰς τὸ φανερωθῆναι τῷ κόσμῳ τὸν λόγον, ἀλλ' εἰς τὸ ἐπικαλυφθῆναι, καὶ μὴ γεγυμνῶσθαι πρὸς κατανόησιν τινὶ ἔσται ἐπινοήσας ἑαυτῷ τὴν σάρκωσιν· ἄλλως δὲ σῶμα καὶ πρὸ σαρκὸς νοοῖτο ἂν ὁ λόγος, εἰ οὕτως ἔχει ἐπιφάνειαν· ἵνα δὲ πάντα δοθῇ ἡμῖν λέγειν τὰ ἄτοπα, καὶ οὕτως οὐ θεοφόρος,

ἀλλ' ἢ ἀνθρωποφόρος ὁ ἐκ Θεοῦ Θεός· ἢ εἰ Χριστὸς αὐτὸς ὁ φορούμενος ἦν καθ' ὑμᾶς ὁ καὶ θεοφόρος, δύο θεοῖς μεσάζει Χριστός· ἑνὶ τῷ ἔνδον αὐτοῦ χωρουμένῳ, διότι Θεὸς ἦν ἐν Χριστῷ· καὶ ἑνὶ τῷ ἔξωθεν φορουμένῳ, διότι θεοφόρος ὑμῖν δοκεῖ ὁ Χριστός.

Ὁ τρόπος τῆς ἑκουσίου ἑνώσεως, τὴν ἐνύπαρξιν οὐκ ἀναιρεῖ· εἰ μὴ III.
γὰρ ἐνυπάρχει, οὐδὲ ἥνωται. Ἀλλὰ ἡ κατὰ τὴν τῶν φύσεων εἰς ἀλλήλας ἑκούσιον ἕνωσιν ἐνύπαρξις, ἐν δυάδι ὑποστάσεων ποτὲ οὐχ ὑπάρχει, ὡς ἐνοικοῦντος καὶ ἐνοικουμένου.

Εἰ μὴ εἰς ναὸν ἢ φόρημα ἔχει ὁ λόγος τὸν ἄνθρωπον, ἐξ ἀνάγκης IV.
εἰς οὐσίαν ἔχει· ὁ δὲ λαμβάνων τὴν σάρκα εἰς οὐσίαν τοῦ Χριστοῦ, αὔξησιν ποιεῖ τῆς οὐσίας τοῦ υἱοῦ, τρέπων καὶ ἀλλοιῶν αὐτὴν εἰς ἕτερον. Ἀλλ' ἔστι μὲν καὶ ὡς εἰς ναὸν καὶ ὡς εἰς σκηνὴν καὶ ὡς εἰς φόρημα, κατὰ ἀναλογίαν τινὰ ὁ λόγος ἐν τῇ σαρκί· οὐ μέν τοι κατὰ ἀπαραλλαξίαν ὡς ἐν ἑνὶ τούτων ἐστίν· εἴπερ γὰρ μὴ ταυτόν ἐστιν, οὐδὲ ὡσαύτως τὸ ἐν τοῖσδε αὐτοῖς πᾶσιν ἓν εἶναι, πολλῷ μᾶλλον τὸ μὴ δὲ ὡς ἓν τῶνδε πάντη εἶναι, τὸ ἐχόμενον πρὸς τὸν ἔχοντα ἕξει ἐν Χριστῷ τὴν διαφοράν· εἰ δὲ τὸ παρὰ τάδε ὄν, εὐθὺς εἰς οὐσίαν προσληφθῆναι, καὶ οὐκ εἰς ὑπόστασιν μᾶλλον, διὰ τῆς πρὸς οὐσίαν συνελεύσεως οὐσίας δηλοῖ, ἄρά γε τοῦ τε πυρὸς ἐν τῷ μύδρῳ πρὸς τὸν σίδηρον, καὶ τῆς ψυχῆς πρὸς τὸ σῶμα ἐν τῷ ἀνθρώπῳ· ἐπεὶ μήτε ὡς ναοῦ ἐστὶν ἡ εἴσδυσις, μήτε ὡς σκηνῆς ἡ ἐνοίκησις, μήτε ὡς φορήματος ἡ ἔνδυσις· οὔτε γὰρ πέφυκε τὰ ἐν τούτοις τῇ τῶν φορουμένων αὐτοῖς οἴκων ἢ ἐνδυμάτων ἐπιπροσθεῖν ἐπιφανείᾳ, καὶ οἷον καὶ αὐτὰ τούτων εἶναι φορήματα· μὴ τὸ συμπάσχειν θατέρῳ θάτερον ἁπλῶς ἀνάγκη εἰς οὐσίαν σιδήρου μετατροπὴν οἴεσθαι τῆς οὐσίας τοῦ πυρὸς ἐν τῷ μύδρῳ, καὶ τῆς ψυχῆς ἀμοιβὴν εἰς σῶμα ἐν τῷ ἀνθρώπῳ· ὅπουγε καὶ εἰ τροπὴ ὡς φατὲ ἦν, οὐκ ἐπαύξησις· καὶ εἰ ἐπαύξησις, οὐ τροπὴ γέγονε· μένοντος γὰρ τοῦ προϋποκειμένου, γίνεται ἡ αὔξησις, οὐ μὲν καὶ ἡ τροπὴ ὡσαύτως.

Εἰ θεοφόρον ἄνθρωπον εἰπεῖν τὸν Χριστὸν ἄτοπον, δίδαξον ἡμᾶς V.
πῶς χρὴ ὀνομάζειν τὸν Χριστὸν ἄνθρωπον, θεόσαρκον ἄνθρωπον ἢ ἀνθρωπόσαρκον θεόν; ἀλλ' εἰ τοιοῦτος ἄνθρωπος ὁ Χριστὸς, δῆλον ὅτι παρὰ τὴν τοῦ Ἀδὰμ φύσιν ἔστιν ἄνθρωπος ὁ Χριστός. Ἐγγύς σου τὸ ῥῆμα ἐστὶν ἐν τοῖς χείλεσί σου καὶ ἐν τῇ διανοίᾳ σου, τουτέστι σεσαρκωμένον θεὸν, ὃς καὶ ὄντως ὑπὲρ τὴν φύσιν Ἀδάμ τι ἔχει, σώζων μέν τοι καὶ τὰ κατὰ ταύτην πάντα.

Εἰ ὥσπερ ἦν πρὸ τοῦ σαρκωθῆναι ὁ λόγος εἷς θεὸς καὶ εἷς υἱός, VI.
οὕτως καὶ μετὰ τὴν σάρκωσιν, δῆλον ὅτι τὴν σάρκα εἰς φόρημα ἔχει καὶ ναὸν, καὶ οὐκ εἰς μέρος οὐσίας. Ἀλλὰ νῦν καὶ εἷς ἄνθρωπος ὁ αὐτός ἐστιν·

ἐν ἡμῖν γὰρ κατελογίσθη· ὅθεν καὶ καλεῖται Ἐμμανουήλ· οὐδεὶς δὲ ναὸν οἰκῶν, ἢ ἱμάτιον φορῶν, ναοῖς ἢ ἱματίοις συγκαταλογίζεται.

VII. Εἰ μὴ θεοφόρος ἄνθρωπος ὁ Χριστὸς, οὐδ' ἄρα ἄνθρωπος ἐστὶν ὁ Χριστὸς ὁ ἀκούων τὴν ἀλήθειαν παρὰ τοῦ θεοῦ· τί με γὰρ, φησὶ, ζητεῖτε, ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν λελάληκα ἣν ἤκουσα παρὰ τοῦ πατρός; Ἀλλ' ἔστιν ἄνθρωπος θεοφόρητος, καὶ οὐ θεοφόρος· οὐ γὰρ ἡ σὰρξ ἐσκήνωσεν ἐν τῷ λόγῳ, ἀλλὰ ὁ λόγος ἐν τῇ σαρκί.

VIII. Ὁ κωλύων τὸν θεὸν λόγον τοῦ ἐνεργεῖν ἐν τῷ Ἰησοῦ, κωλύει τὸν ἄνθρωπον τοῦ ὁρᾶσθαι ὡς θεὸν λόγον. Καλῶς ἔφης, εἰ τρανῶς ὁμολογήσεις· ἐνεργεῖ γὰρ ἐν τῇ σαρκὶ ὁ λόγος μόνος καθ' αὐτὸν τὴν θέωσιν αὐτῆς πρώτως ὡς θεὸς, ἀλλὰ διὰ φυσικῆς αὐτοῦ πρὸς αὐτὴν συμπλοκῆς· ᾧ τρόπῳ καὶ ψυχὴ ἰδίως ἐνεργεῖ ἐν τῷ ἰδίῳ σώματι, κατὰ τὸν ἄνθρωπον, τὴν ζώωσιν αὐτοῦ· καὶ πῦρ ἐν τῷ σιδήρῳ, κατὰ τὸν μύδρον, τὴν πύρωσιν αὐτοῦ· τοῦτο δὲ ἀποδείκνυται, προελθὸν ὄντως τὸ ἔργον θατέρου τῶν συνελθόντων, εἰς θάτερον διὰ τῆς τῶν εἰς τὰ ἐξώτερα ἐνεργειῶν ἐπιδείξεως τοῦδε τοῦ εἰς αὐτὸν ἐνεργήσαντος ἐκ τοῦ ἐνεργηθέντος τὸ λοιπὸν ἀεὶ προϊόντων.

IX. Εἰ οὐκ ἔστι Χριστὸς ὁ ἐνεργῶν ὡς θεὸς, καὶ ἐνεργούμενος ὡς ἄνθρωπος, ἢ ἄρα ἐνεργῶν μόνον ἐστὶν ὁ Χριστὸς, ἢ ἐνεργούμενον. Τὴν πρὸς αὐτὸν ἔκληψιν τῆς σαρκὸς ὁ λόγος ἔπραξε· καὶ τὴν ἀνάστασιν αὐτῆς ἐκ νεκρῶν ἐνεργεῖ· οὐ μὴν Χριστὸς ὅλος ὑφ' ἑτέρου τάδε ἐνεργεῖται, ἢ εἰς ἕτερόν τινα ἐνεργεῖ· Χριστοῦ γὰρ τοῦ αὐτοῦ, δι' ὃν ὁ λόγος καὶ ἡ σάρξ· κατὰ δὲ τὰς ἐν ἑτέροις ὑπὸ Χριστοῦ γινομένας ἐνεργείας ἰδίως αὐτῷ πολλάκις διὰ τῆς σαρκὸς αὐτοῦ ἐνεργεῖ ὁ λόγος θαυματουργῶν ὡς φυσικοῦ ὀργάνου λοιπὸν νοουμένης αὐτῷ προσεῖναι τῆς σαρκός.

X. Ἀλλὰ μὴν καὶ Ἀθανάσιος, φησὶ, ὃν οὐ παραιτεῖσθε, ἐν τῷ περὶ ἐνανθρωπήσεως λέγει· κατασκευάζει ἑαυτῷ ναὸν τὸ σῶμα, καὶ ἰδιοποιεῖται τοῦτο ὥσπερ ὄργανον, ἐν αὐτῷ γνωριζόμενος καὶ ἐνοικῶν· καὶ πάλιν, τὸν ἑαυτοῦ ναὸν καὶ σωστικὸν ὄργανον προσάγων ἀντίψυχον ὑπὲρ πάντων. Νόει γοῦν ὅτι καὶ ὄργανον φυσικῶς ἡνωμένον ὡς σῶμα ψυχῇ, καὶ οἶκος οὕτως λέγεται· ὁ γὰρ λόγος σὰρξ ἐγένετο, εἴρηται, οὐ μόνον εἰς σάρκα ἁπλῶς ἐνῴκησεν.

# LIBER VII.

## Ἑβδόμης ἀπιστίας αὐτῶν στηλίτευσις διαμεμφομένων τοῖς λέγουσι τὸν ἕνα τῆς ἁγίας τριάδος πεπονθέναι σαρκί.

Πῶς λέγετε, φασὶν, ἕνα τῆς ἁγίας τριάδος πεπονθέναι σαρκί; εἰ γὰρ οὐ 1.
τρεῖς θεοὺς ἀλλ' ὑποστάσεις φατὲ, ἀκόλουθον ἓν λέγειν, ἢ μίαν τῆς τριάδος, ἀφορῶντας πρὸς τὴν ὑπόστασιν ἢ τὸ πρόσωπον, καὶ μὴ ἕνα· πρὸς θεοὺς γὰρ ἢ πατέρας ἢ υἱοὺς, τοῦτο ἀποδίδωται ἀῤῥενικῶς λεγόμενον· διότι οὐδὲ ἄλλον καὶ ἄλλον ἀπαρατηρήτως τῇ χρήσει λέγειν τὸν Χριστὸν ὃν ὁμολογεῖτε, ἄλλο καὶ ἄλλο, ἀνέχεσθε. Θαυμαστὸν ὅπως ἐν αἷς ὑμεῖς ὡς οἰκείαις προήλθετε δόξαις ὅτε τὰ περὶ ὑποστάσεως τοῦ κυρίου ἐξητάζετε, ἐν ταύταις νῦν ἡμᾶς ὥσπερ ἀσεβοῦντας δεικνύειν βουλόμενοι, οὐκ ἠρυθριάσατε· ἰδικάς τε γὰρ καὶ τρεῖς τὰς οὐσίας τῆς ἁγίας τριάδος ὑμεῖς ἐδώκατε· ὧν μίαν εἶναι τὴν λεγομένην ἐνανθρωπῆσαι· καὶ τοῦτο εἶναι ὑπόστασιν ἐλέγετε μόνον, τὴν ἰδικὴν οὐσίαν· πλὴν οὐ γὰρ ἐν τούτῳ εἶεν ἂν ἐλεύθεροι τοῦ ἐγκλήματος, εἰ τοὺς κατηγοροῦντας ἔχοιεν ἑαυτοῖς, συναμαρτήμονας οἱ κατηγορούμενοι· τοῦτο μὲν ἀφείσθω ὑμῖν· καὶ περὶ τῶνδε δὴ τάδε λέγειν ἔχοιμεν πρὸς ὑμᾶς καὶ νῦν· ὡς οὐ μόνον ταύτῃ τῇ τοῦ ἀριθμοῦ σημαντικῇ προσαγορευόμενον σημασίᾳ τὸν λόγον ἀῤῥενικῶς ἕνα φάσκοντες τῆς ἁγίας τριάδος, θεὸν φαμὲν, ἀλλὰ καὶ αὐτὸν πατέρα καὶ τὸ ἅγιον πνεῦμα, θεὸν ἀῤῥενικῶς λέγομεν· καὶ οὐ διὰ τοῦτο τρεῖς θεοὺς ἡμεῖς ταῦτα οἰόμεθα· οὐδὲ γὰρ οἱ ὅσιοι πατέρες ἡμῶν οὔτε ἡ ἁγία γραφὴ, ἔστιν ὅπη οὕτως διαλέγεσθαι περὶ ἑνὸς ἑκάστου τῶν τριῶν τῆς θείας φύσεως προσώπων παρεφυλάξατο· καὶ ἀῤῥενικῶς γὰρ τὸν πατέρα καὶ τὸν υἱὸν ἐν πλείστοις κέκληκαν· διὰ τὸ τὸ παντέλειον ἑκάστου ἐνουσίως τὲ κατὰ τὸ κοινὸν, καὶ ἐνυποστάτως κατὰ τὸ ἰδικὸν, τὴν αὐτὴν ἐν τοῖς τρισὶ γνωρίζειν ἅπασι τελειότητα θεότητός τε καὶ κυριότητος· οὕτω γάρ φησι ἡ θεοσύλλεκτος ὁμήγυρις τῆς ἐν Νικαίᾳ συνόδου, πιστεύειν εἰς ἕνα θεὸν πατέρα παντοκράτωρα, καὶ εἰς ἕνα κύριον Ἰησοῦν Χριστόν· καί τοι τὰς ὑποστάσεις καὶ τὰ πρόσωπα θηλυκῶς τε καὶ οὐδετέρως λέγοντες ἀεί· καὶ περὶ τούτων αὐτὸ δὴ καὶ τοῦτο ἐκπιθέμενοι τὸ σύμβολον, κανόνα τινὰ καὶ γνώμονα τῆς περὶ θεοῦ καὶ τῆς ἐν τῇ θείᾳ τριάδι ὀρθοδοξίας· οὔτε εἰς ἓν πιστεύειν εἰρήκεισαν, ἀλλ' ἄμφω ἀῤῥενικῶς ἐκήρυξαν, κατά τε τὸ ἀριθμοῦ σημαντικὸν ὄνομα, ἤγουν τὸ ἕν· καὶ κατὰ τὸ ἀπολελυμένον καὶ ἰδικὸν, ἤγουν θεὸν καὶ κύριον· τὰ δὲ ἱερὰ λόγια, δύο τε ἀῤῥενικῶς φησὶ πολλάκις καὶ περὶ ἓν πρᾶγμα τὴν ἐνέργειαν μεριζομένους· καὶ ὅμως,

οὐκ ἀναγκαίως τοῦτον εἰσάγει καθ' ὑμᾶς τὸν σκοπὸν τῆς πολυθείας· ὡς τὸ, ἔβρεξε κύριος πῦρ παρὰ κυρίου· καὶ εἶπεν κύριος τῷ κυρίῳ μου· καὶ ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου· καὶ ἕτερα πλεῖστα· ὧν οὐδὲν τρεῖς εἶναι θεοὺς ἔδειξεν· ἢ ἀνεῖλε τὸ μίαν εἶναι τὴν ἐν τοῖς τρισὶ θεότητα καὶ κυριότητα· καὶ γὰρ ἀλλαχόσε εἴρηται· κύριος ὁ θεός σου κύριος εἷς ἐστι καὶ ἅγιος ἅγιος ἅγιος κύριος σαβαώθ· καὶ τὰ τοιαῦτα ἐκ τοῦ ἁγίου αὐτοῦ πνεύματος· μή τι οὖν μίαν ἢ ἕν, ἢ ἁγίαν, ἢ κυρίαν, ἢ θείαν εἰπεῖν ἀναγκαίως ἐδέησε τῷ πνεύματι, ἵνα μὴ τοῖς παρ' ὑμῶν ἐγκαλουμένοις εὐθύνηται; πῶς δὲ ἄρα ὑμεῖς αὐτοὶ τὸν πατέρα ἢ τὸν υἱὸν ἢ τὸ πνεῦμα τὸ ἅγιον προσαγορεύετε; εἰ μὲν οὖν μή τε κύριον, μή τε θεὸν, ταῦτα γὰρ ἀρρενικῶς εἴρηται, πῶς οὐκ ἄθεοι παντελῶς ἐστέ; εἰ δὲ λέγετε ταῦτα καὶ ὑμεῖς περὶ ὧν ἡμῖν ἐγκαλεῖτε, πῶς οὐκ ἀναίσχυντοι λίαν κριθήσεσθε;

11. Εἰ ἡ ἁγία τριὰς ἀπαθὴς, ὁ δὲ Χριστὸς παθητὸς, εἷς δέ ἐστι ὁ Χριστὸς τῆς ἁγίας τριάδος, ἢ καὶ ἡ ἁγία τριὰς παθητὴ, ἢ ὁ Χριστὸς οὐχ' εἷς τῆς ἁγίας τριάδος· εἰ δὲ προσθῆτε τὸ σαρκὶ πέπονθε, τὸ τοιῶςδε πάσχειν, οὐκ ἐλευθεροῖ πάθους· ὥσπερ ἂν καὶ εἴποι τις τοιῶςδε πεπνίχθαι τινὰ, οὐκ ἐλευθεροῖ τοῦ πάσχειν ἢ τοῦ πεπνίχθαι, τὸν περὶ οὗ εἴρηται. Ἀλλ' ὁ Χριστὸς οὐ μόνον εἷς ἐστι τῆς ἁγίας τριάδος, ἀλλὰ καὶ εἷς τῆς ἀνθρωπότητος ἐν μιᾷ καὶ τῇ αὐτῇ αὐτοῦ ὑποστάσει· διὰ τὸ καὶ περισσόν τι τῆς φύσεως ἑαυτοῦ τὸν θεὸν λόγον, ἤγουν τὸ ἐξ αὐτοῦ πλάσμα, εἰς τὸ ἑαυτοῦ πρόσωπον ἀναλαβεῖν· τὸ δὲ ληφθὲν, οὐχ' ὑπόστασις ὂν ἐλήφθη, ἀλλὰ φύσις, τῇ φύσει τοῦ λόγου ἐν τῇ ἰδίᾳ αὐτοῦ ὑποστάσει συνυποστᾶσα· ἐδείχθη γὰρ οἰκείως κατὰ τόπον πολλάκις ὡς δυνατὸν, καὶ πλείους φύσεις, ἐν μιᾷ ὑπάρχειν τῇ ὑποστάσει· ἴδωμεν δὲ καὶ ἐπὶ παραδείγματος τὸ κατὰ τὸν δεσπότην ἡμῶν Χριστὸν οὕτως· εἰ γὰρ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ μετὰ τὴν ἐνθένδε ἀποβίωσιν, ἤδη λοιπὸν τῷ τῆς ἀθανασίας ὁρίζονται λόγῳ, πρὸς τὸ μᾶλλον ζῶον λογικὸν ἀθάνατον ἕκαστος τούτῳ ὢν τῶν λοιπῶν· Ἰωσὴφ δὲ εἷς αὐτοῖς ὢν κατὰ τὴν φύσιν, καὶ ὁμοούσιος ἀληθῶς, ἔτι δὲ ἄρχων Αἰγύπτου καὶ ζῶν κατὰ σάρκα, εἰ θνητὸς ὁρίζοιτο, ὡς πρὸς τὸν νῦν βίον ζῆν ἔτι μετὰ σαρκὸς φθαρτῆς νοούμενος, ἄρά γε κἀκείνους καθ' ὑμᾶς θνητοὺς ἔτι ὁρίζεσθαι καὶ δὶς θνήσκειν, ἵνα μὴ ψευδὴς εἴη ὅρος Ἰωσὴφ, ἀναγκαῖον· ἢ καὶ τὸν Ἰωσὴφ ἀθάνατον εἶναι, καὶ πρὸ τῆς ἐνθένδε ἀποβιώσεως, οὕτως ὁρίζεσθαι, ἵνα μὴ ἐκεῖνοι ψευδῶς λέγοιντο ἀθάνατοι· εἰ δὲ ταῦτα ἄτοπα, δῆλον ὡς ἀληθῶς τοῖς τε ἀθανάτοις κατὰ τὸ πᾶν ἑαυτῶν νοουμένοις προσώποις ὁμοούσιος ὁ Ἰωσήφ ἐστι καὶ πρὸ τῆς ἀποθέσεως τῆς σαρκὸς, κατ' ἐκεῖνο τῶν ἑαυτοῦ, καθ' ὃ οὐ τεθνέξεται πώποτε, ἤγουν τὴν ψυχήν· θνητός τε καὶ τοῖς θνητοῖς συναρίθμιός ἐστι, καθὸ τὸ περισσὸν αὐτοῦ τέως πρὸς τοὺς

κατὰ τὴν ἀθανασίαν ὁμοουσίους αὐτῷ, ἤγουν τὸ σῶμα ὃ ἐπεφέρετο· οὕτως οὖν καὶ ἡμεῖς σαρκὶ, καὶ οὐ τῇ θεότητι, παθητὸν φαμὲν τὸν ἐκ σαρκὸς καὶ θεότητος Χριστόν· ἐπειδὴ δὲ λέγετε τὸ σαρκὶ μόνον διάφορον αἰτίαν καὶ τρόπον σημαίνειν τοῦ συμβεβηκότος τῷ ὑποκειμένῳ Χριστῷ κατηγορήματος, εἴτουν τοῦ παθήματος· οὐ μέν τοι ὡς εἰς τινὰ τῶν οὐσῶν διαφόρων ἐν αὐτῷ οὐσιῶν μερικῶς τῆς αὐτῆς ὑποστάσεως αὐτοῦ τοῦτο πεισομένης λέγεσθαι, καθὰ ἡμεῖς νομίζομεν· οὐκοῦν ἀναγκαῖον ἡμᾶς κατὰ τὸν ἡμέτερον λόγον καὶ εἴτις λέγει τὸν ἕνα ἄνθρωπον τμηθῆναι σαρκὶ, ἅμα μὲν τῇ ψυχῇ πάντα διαιρεθῆναι τοῦτον ἀεὶ νοεῖν· μόνον δὲ τοῦτο φαντάζεσθαι περὶ τοῦ λεχθέντος· ὅτι οὐχ' ὑπὸ ξίφους τυχὸν ἢ λίθου ἀλλ' ὑπὸ σαρκὸς ὁ ἄνθρωπος ὅλος τέτμηται ψυχῇ τε καὶ σώματι διαιρεθεὶς διὰ τοῦδε τοῦ ὡς τμητικοῦ ὀργάνου· ἀκολούθως δὲ τοῦτον ψιλοῦσθαί τε καὶ ἑλκοῦσθαι, καὶ δάκνεσθαι σαρκὶ ἀκούσαντες, ἄνθρωπον κατ' ἄμφω νομίσετε, ἤγουν κατὰ ψυχήν τε καὶ σῶμα ταῦτα συμβεβηκέναι τῷ ἀνθρώπῳ, ἀλλὰ διὰ σαρκὸς ψιλόθρου δύναμιν ἐχούσης· ἔτι μὴν ἐπὶ τῶν ἐλευθερουμένων ἐκ βασάνου τὴν σάρκα καὶ παθόντων τὶ, εἰ λέγοιμεν ὅτι ὁ δεῖνα ἀπαθὴς ἔμεινε σαρκὶ διὰ σαρκὸς καὶ τοῦδε δοθέντος, ὁμοίως λέγεσθαι καθ' ὑμᾶς ἔσται τὴν ψυχὴν διὰ τῆς σαρκὸς ἀπαθής· οὐδὲν γὰρ αὐτῷ μετὰ τὴν σάρκα ἕτερον ὑπολείπεται· τούτων δὲ ποῖος ἄφρων ἀνεπαίσθητος; οὐκοῦν δῆλον ὡς τὸ σαρκὶ, οὔτε ὡς δι' ὀργάνου παθοποιοῦ εἴρηται· οὔτε μὴν ὡς μέρος οὔσης τοῦ θεοῦ λόγου καθ' αὐτὸν νοουμένου ἐν τῷ λέγεσθαι ὁ θεὸς λόγος ἔπαθε σαρκί· ὥσπερ φαμὲν ὅτι ὁ δεῖνα προσέπταισε τῷ ποδὶ, ἢ ἐκρεμάσθη τῇ χειρί· καὶ λέγοντες γὰρ τὸν θεὸν λόγον, Χριστὸν νοοῦμεν μετὰ τὴν ἕνωσιν τῶν φύσεων ἀεί· καὶ ὡς Χριστοῦ μέρος φαμὲν τὴν σάρκα καθ' ἣν παθεῖν καὶ τὸν θεὸν λόγον ὡς Χριστὸν λέγομεν· ὥσπερ καὶ ἐπὶ ἀνθρώπου, ὡς ἐκ μέρους φαμὲν ἀσθενεῖν μὲν σαρκὶ, ὑγιαίνειν δὲ Παῦλον τῷ πνεύματι· καὶ τῇ σαρκὶ μὲν ἀπεῖναι τινῶν, τῷ δὲ πνεύματι σὺν αὐτοῖς εἶναι· οὕτω γοῦν καὶ θεοκτόνους νοητέον ἰουδαίους, καὶ τὰ ὅμοια, ὡς Χριστοῦ ὄντως τοῦ θεοῦ καὶ λόγου· Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ, κατὰ τὸν ἀπόστολον Πέτρον, δῆλον ὡς καὶ θεὸς ὁ λόγος· οὐχ' ὡς τὸ μέρος, ἀλλ' ὡς ὁ Χριστὸς λέγοιτο παθεῖν· καὶ γὰρ ὅλος Ἰὼβ λέγεται παθεῖν, τῆς σαρκὸς αὐτοῦ μόνης παθούσης· τῆς γὰρ ψυχῆς αὐτοῦ φησὶ τῷ διαβόλῳ, μὴ ἅψῃ, ὁ κύριος.

Εἰ φάσκοιεν τὸ ἔπαθε σαρκὶ, ἀντὶ τοῦ οὐχ εἰς τὴν οἰκείαν οὐσίαν, III.
ἐναντίως ἑαυτοῖς τοῦτο λέγουσιν· εἰ γὰρ τὴν οὐσίαν ἐκείνην καθ' ἣν ἔπαθεν ὁ θεὸς λόγος κατ' αὐτοὺς, οὐκ ἰδίαν αὐτοῦ λέγουσιν, ἵνα μὴ παθητὸν κατ' οὐσίαν ὁμολογήσωσι· τὸ δὲ μὴ ἴδιον, ἀλλότριον· τὸ δὲ ἀλλότριον ἄλλου τινὸς παρ' ἐκεῖνο οὗ μὴ ἔστιν ἴδιον, οὐ μόνον δύο οὐσίας

λέγουσιν ἀλλὰ καὶ δύο πρόσωπα, τοῦ τε Θεοῦ λόγου ἓν, καὶ ἓν ἐκείνου οὗ τινός ἐστι ἡ οὐσία καθ' ἣν πέπονθεν ὁ Θεὸς λόγος· τινὸς γὰρ ἢ δῆλον ὅτι ἀνθρώπου; ὁ δὲ τὶς ἄνθρωπος, πρόσωπον. Ἀλλ' ἴδιος μὲν τῆς ψυχῆς ὁ νοῦς, ὡς δύναμις· ἴδια δὲ τὰ νοήματα ὡς ἐνέργειαι· ἴδιον δὲ τὸ σῶμα ὡς ὄργανον· ἴδιος δὲ τοῦ ἀνθρώπου τὶς υἱὸς ὡς ἐξ αὐτοῦ· ἴδιος δὲ τοῦ αὐτοῦ ἀγρὸς ὡς κτῆμα· καὶ πάντων ἀληθῶς ὄντων αὐτοῦ ἰδίων, οὐδὲν τούτων ὅμως, κατὰ τὸν τοῦ ἑτέρου λόγον, ἴδιον τοῦ αὐτοῦ ἐστι, εἰ καὶ ἐπὶ τοῦ ἑνὸς πάντα λέγεται· δῆλον δὲ ὅτι τοῦτο συμβαίνει, διὰ τὸ τοῦ ἰδίου πολύσημον· ἐπεὶ οὖν ὁ ἀγρὸς ἴδιος τοῦδε κατὰ τὸν οἰκεῖον λόγον ἀληθῶς, κατὰ δὲ τὸν αὐτὸν τοῦ ἀγροῦ λόγον οὐχ' ὁμοίως ἴδια τὰ λοιπὰ τῷ αὐτῷ ἐστι, πᾶν δὲ καθ' ὑμᾶς τὸ μὴ ἴδιόν πως, εὐθὺς ἀλλότριον ἁπλῶς ἔσται ἄρα ὁ μὲν ἀγρὸς ἴδιος τοῦδε, ὁ δὲ νοῦς καὶ τὸ σῶμα τοῦδε. καὶ τὰ λοιπὰ οὐκ ἴδια ἔσται αὐτοῦ· ταῦτα δὲ οὕτω φρονεῖν, πῶς οὐκ ἂν σαφῶς παραφρονεῖν; πλὴν ὅ τε προσκυνητὸς ἡμῖν Θεὸς Χριστὸς δοξαζόμενος, ὅ τε καθ' ὑμᾶς ἄνθρωπος ἁπλῶς νοούμενος· ἢ καὶ εἴ τι ἕτερον αὐτῷ, πλὴν θεοῦ, περισσότερον ὅμως ἀνθρώπου φιλοτιμεῖσθε, ἰδοὺ ἰδίαν ἑαυτοῦ ἀληθῶς σάρκα καὶ σῶμα παρίστησι, τὴν τοὺς ἥλους καὶ τὴν λόγχην ὑποστᾶσαν· ταύτης γὰρ ἦσαν μέλη· περὶ ὧν φησὶ, ὤρυξαν χεῖράς μου καὶ πόδας μου· καὶ πάλιν τὴν μυστικὴν τοῦ τῆς εὐχαριστίας ἄρτου μετάληψιν, ἰδίας σαρκὸς διάδοσιν εἶναι δείκνυσιν εἰπών· ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα· ἑτέρωθι δὲ· τοῦτό μου ἐστὶ τὸ σῶμα· ἔτι δὲ καὶ τὴν ἐκκλησίαν, σάρκα αὐτοῦ ἰδίαν οἴεται· τοῦτο γὰρ διδάσκει φάσκων ὁ ἀπόστολος· οὐδεὶς γὰρ πώποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτὴν, καθὼς καὶ ὁ Χριστὸς τὴν ἐκκλησίαν· ἐν ἑτέρῳ δὲ· ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέλους· σαρκὸς οὖν καὶ σώματος αὐτοῦ ἰδίου τῆς ἐκκλησίας τυγχανούσης, ἆρα τὸ οὐκ ὂν ἡ ἐκκλησία αὐτοῦ, οὐκ ἴδιον αὐτοῦ καθ' ὑμᾶς λογισθήσεται; καὶ ἐπεὶ μὴ κατὰ ταύτην τὴν σάρκα ἐσταυρώθη, ἀλλ' ὑπὲρ ταύτης, ἀναγκαίως ἔσται ἐν ἀλλοτρίᾳ σαρκὶ πεπονθώς; εἰ γὰρ τὸ οὐκ ἴδιόν πως, ἀλλότριον εὐθὺς καθ' ὑμᾶς· ἡ δὲ ἐκκλησία, ἰδία· τὸ μὴ κατὰ τὴν ἐκκλησίαν ἴδιον αὐτῷ, πάντως ἀλλότριον αὐτοῦ ἔσται· ὡσαύτως καὶ εἰ τὴν σάρκα εἴποιτε ἰδίαν αὐτοῦ κυρίως εἶναι τὴν καθηλωθεῖσαν, ἡ ἐκκλησία ἔσται οὐκ ἰδία αὐτοῦ, ἐπεὶ μὴ καθηλώθη· τὸ γὰρ οὐκ ἴδιόν πως λεγόμενον, εὐθὺς ὑμῖν ἔδοξεν εἶναι καὶ ἀλλότριον· ἀλλ', ὦ οὗτοι, οὐκ ἰδία μὲν τῆς φύσεως τοῦ λόγου ἡ σὰρξ, τῆς δὲ ὑποστάσεως αὐτοῦ γέγονεν ἐπ' ἐσχάτων ἀληθῶς τῶν χρόνων ἰδία· λέγομεν δὲ καὶ ἀνθρώπου εἶναι τὸ σχῆμα τὸ ὄρθιον, ἴδιον ὂν τῆς φύσεως τῆς ψυχῆς, τῇ δὲ ἐν σώματι αὐτῆς ὑποστάσει ἐνθεωρούμενον· ὅπως οὖν τοῦτο περὶ ταύτης λέγηται εἰ ἐνοήσατε, οὐκ ἂν ἡμῖν τοὺς ὑπὸ

σκιᾶς καὶ ὀνείρων συλλογισμοὺς ἀνεπλέξατε· ἀλλὰ ταῦτα μὲν περὶ τούτων· ἐν δὲ τῷ τέλει τοῦ ἐπιχειρήματος ὑμῶν, τὸ τοῦ ληθάργου πάθος ὑποστῆναι δόξαντες δι' ἀπροσεξίαν, πρὸς γέλωτα ἂν ἡμᾶς οὐ μέτριον συνεκινήσατε, εἰ μὴ τῷ φρικτῷ τῶν ζητουμένων προκατεστελλόμεθα πρὸς εὐλάβειαν· εἰ γὰρ καὶ τὰ μάλιστα ψευδῶς ἅπαντα ὑμῖν εἴρηται, ἀλλ' ὅμως ταὐτὸν μὲν συνάγειν ὑμᾶς βουλομένους ὁρῶμεν νῦν, ὡς δύο τε οὐσίας καὶ δύο πρόσωπα ἤτουν ὑποστάσεις λέγομεν ἐπὶ τοῦ λόγου καὶ τῆς σαρκός· καὶ τοῦτο ὡς ἄτοπόν τι συμπέρασμα καὶ ἀθέμιτον δόξαν διανοουμένους ἡμᾶς ἐλέγχειν σπουδάζετε, ὅπερ χθὲς καὶ τρίτην, εἴη δὲ μὴ εἰς αὔριον, τῆς ὑμετέρας μόνης ἐστὶ θρησκίας τὸ κεφαλαιωδέστατον· καὶ πάντων μᾶλλον τὸ τῆς τοιᾶσδε δόξης ἄτοπον, ὑμέτερόν ἐστι γνωριστήριον· ἡμῖν ὄντως καὶ λίαν ἀπεχθές τε καὶ πολέμιον· διά τοι γὰρ τοῦτο αὐτὸ καὶ τοσαῦτα σὺν θεῷ ὑμῖν ἀνταγωνιζόμεθα.

Εἰ τὸ εἷς τῆς τριάδος λεγόμενον, κοινὸν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος Χριστοῦ ἐστὶν, ἢ κατὰ τὸν αὐτὸν λόγον ἔστι κοινὸν τῷ πατρὶ καὶ τῷ πνεύματι, ἢ καθ' ἕτερον καὶ ἕτερόν πως ἐξ ἀμφοῖν ἀποτελουμένου λόγου ἑνός· ἀλλ' εἰ μὲν κατὰ τὸν αὐτὸν ἡ κοινωνία, πρῶτον μὲν πῶς οὐχ' ὁμοούσιος ἡ σὰρξ τῷ λόγῳ; εἶτα δὲ καὶ τετρὰς οὐ τριὰς τὸ θεῖον; εἰ δὲ καθ' ἕτερον κοινωνεῖ ὁ λόγος καὶ καθ' ἕτερον ἡ σὰρξ τῷ πατρὶ καὶ πνεύματι, πῶς οὐ δύο τὰς φύσεις τῆς ἁγίας τριάδος εἰσάγετε; εἰ δὲ ὡς ὅλον ἐκ μερῶν τὸ εἷς τῆς τριάδος λέγετε, ὁ θεὸς λόγος καθ' ἑαυτὸν, ἥμισυ ἑνὸς τῆς ἁγίας τριάδος ἔσται· εἰ δὲ ἄρα καὶ ὁμοούσιον δεῖ λέγειν ἐκ δύο, καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα λέγοντες, ἐξ μονάδων εἶναι τῆς ἁγίας τριάδος τὸν λόγον δεδώκατε. Ἀλλ' ὦ τὴν διάνοιαν ἰσχνοὶ καὶ περὶ τὴν τῶν τοιῶνδε ἀκριβολογίαν δεινοὶ, ὡς οἴεσθε, πρῶτον μὲν οὐ καθ' ὃ ἕν τι εἶναι καὶ ἐκ τῶν πολλῶν λέγεταί τι, κατὰ τοῦτο πάντως καὶ κοινὸν εἶναι τοῖς πολλοῖς ἀνάγκη· ἀλλὰ καθὸ ἓν εἶναι λέγεται, καὶ σὺν πολλοῖς εἶναι· εἰ οὖν εἷς τῆς ἁγίας τριάδος κατὰ τὴν ὑπσόστασιν ὁ λόγος εἴρηται, κατὰ γὰρ τὴν οὐσίαν οὐχ' ἓν ἐκ τριῶν, ἀλλ' εἷς ἅμα σὺν τοῖς δύο δοξάζεται ὁ λόγος· καὶ οὐκ ἔχει τινὰ κοινωνίαν κατὰ τὴν οἰκείαν ὑπόστασιν, οὔτε πρὸ σαρκὸς πρὸς τὸν πατέρα ἢ τὸ πνεῦμα, οὐδὲ μετὰ τὴν σάρκα· ἐπεὶ μὴ ταῦτα ὁ λόγος ἐστίν· οὐδὲ μὴν ἁπλῶς ὡς ὑπόστασις ὑποστάσει κοινωνήσει πώποτε· πῶς κοινωνίαν εἴτε καὶ ὡς ἁπλῶς λόγου, εἴτε καὶ ὡς σεσαρκωμένου ἤγουν Χριστοῦ ἐρωτᾶτε, τοῦ ἑνὸς τῆς ἁγίας τριάδος, πρὸς τὰ ἕτερα δύο πρόσωπα, κατ' αὐτὸ τοῦτο καθὸ ἓν ἐκ τῶν τριῶν ἀνομοίων ἐστίν· οὐδὲ γὰρ ἓν τῷ λόγῳ, ἢ τὸ ἀριθμῷ τῆς ὑποστάσεως εἰσί· τὸ γὰρ ἓν αὐτοῖς, τῇ οὐσίᾳ ἐστὶν ἀληθῶς· καὶ τὸ τῆς οὐσίας ἀριθμῷ· καθ' ἣν οὐδέ ποτε οὐδὲ τρία εἰσὶν, ἵνα IV.

ἕνα τῶν τριῶν λέγοιμεν τὸν Χριστόν· καὶ πρὸς τὰ ἕτερα οὕτως ἔχειν αὐτὸν σκοποῦμεν τὴν ὁμοίωσιν· δῆλον γὰρ ὡς αἱ ὑποστάσεις οὐ κατὰ τὴν ὑπόστασιν ἀλλὰ κατὰ τὴν ἐν αὐταῖς οὐσίαν, μίαν ἔχουσι τὴν ἀπαράλλακτον φύσιν· ἐκ τοῦ γὰρ πάντη ταύταις εἶναι μίαν ὕπαρξιν, καὶ τὴν ταυτότητα φαμέν· ὁμοίωσις μὲν γὰρ τοῦ υἱοῦ πρὸς τὸν πατέρα· καὶ εἰκὼν εἶναι τοῦ πατρὸς ὁ υἱὸς τότε λέγεται, ὅτε σὺν τῇ φύσει, καὶ τὸ ἰδίωμα τοῦδε νοεῖται, ἤγουν τὸ ἐξ αἰτίου· οὕτως γὰρ καὶ τῆς εἰκόνος ὁ λόγος μετὰ τοῦ κοινοῦ τῆς ὁμοιώσεως ἔχει καὶ τὸ μὴ πρωτότυπον εἶναι ἀλλ' ἐκ παραδείγματος, ἴδιον αὐτῆς ὄντα λόγον· ὅτε δὲ καθ' αὐτὴν τὴν οὐσίαν ἄμφω τῶν ὑποστάσεων αὐτοὺς νοοῦμεν, οὔτε ὁμοίωσιν λοιπόν ἐστι λέγειν· ἐπεὶ μὴ ἔστιν ἑτέρα πρὸς ἑτέραν συγκρινομένη· οὐδεμία γὰρ ὀφθήσεται ἑτερότης, ἀλλὰ μόνον ταυτότητα αὐτῆς ἐνιαίως ἴσμεν· εἰ οὖν καὶ μὴ κατὰ λόγον τὴν ἐρώτησιν προσαγαγεῖν δεδύνησθε, ὅμως μέν τοι κατὰ τὴν ἰδίαν κοινωνίαν τοῦ δεσπότου ἡμῶν Ἰησοῦ Χριστοῦ φανταζόμενοι τάδε πυνθάνεσθε, ταύτην λήψεσθε παρ' ἡμῶν τὴν ἀπόκρισιν, ὡς ὁ λόγος ἓν πρόσωπον ὅλον ὑπάρχων, μία τε ὑπόστασις τῆς ἁγίας τριάδος· ἐξ ὑποστάσεων γὰρ οὐ φύσεων τὸ τριαδικὸν συνείλεκται· ἐσαρκώθη ὁ πρώην ἄσαρκος καὶ ἔστι Χριστὸς, ὃς ἐκ μέρους αὐτοῦ ἤγουν τῆς μιᾶς τῶν ἐν αὐτῷ φύσεων κοινῶς τέ ἐστι καὶ ὁμοούσιος καὶ εἷς τῇ φύσει, σὺν τῷ πατρὶ τῷ ἀγαθῷ, καὶ τῷ ἁγίῳ αὐτοῦ πνεύματι κατ' οὐσίαν αὐτοῖς ἡνωμένος· καὶ οὔτε πλεονασμὸν ἢ λεῖψιν ὑποστάσεων τῇ ἁγίᾳ τριάδι παρίστησιν· εἴπερ ὁ λόγος μία τε ἦν ὑπόστασις πρὸ σαρκὸς καὶ μετὰ σάρκα· ἀλλ' οὔτε ἐλάττων αὐτὸς μιᾶς ὑποστάσεως εἶναι πρὸ τῆς σαρκὸς δείκνυται ἐν τῇ ἁγίᾳ τριάδι δηλονότι· οὐδὲ γὰρ πρόσθεσιν ὑποστάσεως ἐπιδεξάμενος τὴν νῦν ἔχει τελειότητα τῆς ὑποστάσεως· ἀλλ' ἣν εἶχε μόνον κέκτηται, καὶ μετὰ τὴν προσθήκην ἧς οὐκ εἶχε φύσεως· καὶ οὕτως ἔσται ὑμῖν εἰς οὐδὲν ἀναλυομένη πᾶσα τῶν διπλώσεων ἐπὶ τὰς τριπλώσεις ἡ ψηφολογία, καὶ πᾶσα ἡ ὁμὰς τοῦ ἀλογίστου ὑμῶν καταλόγου εὐλόγως ἡμῖν παραλογισθεῖσα· εἷς γὰρ ὅλως ἐκ τριῶν, ὦ δοκήσει σοφοὶ, οὐ κατὰ κοινωνίαν ὁ Χριστός· εἷς δὴ σὺν τοῖς λοιποῖς δύο προσώποις κατὰ τὴν κοινωνίαν τῆς μιᾶς τῶν ἐν αὐτῷ φύσεως, οὐ μὲν τῶν ἐν αὐτῷ δύο φύσεων· οὐκ εἴτι δὲ μὴ ἐκ πάντων τῶν ἑαυτοῦ κοινωνεῖ τινὶ, οὐ δὲ κοινὸν ἔσται πρὸς αὐτό.

V. Εἰ τὸ εἷς τῆς τριάδος ἐκ θεότητος καὶ σαρκὸς σημαίνεται, πῶς οὐκ ἔσται τῆς τριάδος καὶ ἡ σάρξ; εἰ δὲ ἡ ἁγία τριὰς κατά τι μονάς ἐστι, οὐκ ἔσται καὶ τῆς μονάδος ἡ σάρξ· εἰ δὲ τῆς μονάδος ἡ σάρξ, κτιστὴ δὲ αὕτη, πῶς ἄκτιστος ἡ μονάς; Ἀλλὰ τίς ἂν εἴη λόγος ὑμῖν ὁ παριστῶν τὸ κατά τι κοινωνοῦν, πάντως καὶ κατὰ πάντα κοινωνεῖν ἀναγκαίως; εἰ

οὖν ἡ σὰρξ κεκοινώνηκε τῇ θεότητι κατὰ τὴν ὑπόστασιν τοῦ λόγου, ὡς διὰ τοῦτο καὶ ἀληθῶς σὺν αὐτῷ εἶναι μιᾶς τῶν μονάδων τῆς ἁγίας τριάδος, ἤτουν τῆς ὑποστατικῆς ἀριθμήσεως, τίς ὁ βιαζόμενος λόγος κοινωνῆσαι αὐτὴν καὶ τῷ οὐσιώδει λόγῳ τῆς θεότητος, ἤγουν τῷ τῆς φύσεως λόγῳ κατὰ τὸ μοναδικὸν τῆς ὑπάρξεως τῆς θείας συμπεριλαμβανομένην σὺν αὐτῇ; δι' αὐτὸ γὰρ δὲ τοῦτο τοὐναντίον φαμὲν ἡμεῖς τοῖς ὑμετέροις· ὅτι ἐπεὶ ἐκείνῳ τῷ λόγῳ ἔφθη κατὰ τὴν εὐδοκίαν τῆς οἰκονομίας ἑνωθῆναι τῇ σαρκὶ ἡ θεότης, καθ' ὃ καὶ πρὸς ἑαυτήν πως διαφέρεται ἤγουν κατὰ τὴν ὑπόστασιν, ὡμολογημένως οὐκ ἔσται πρὸς αὐτὴν κατὰ λόγον οὐσίας κοινωνοῦσα καθ' ὃν πρὸς ἑαυτὴν μὴ διαφέρεται· εἰ γὰρ οὐδὲ καθ' ἑαυτὴν θεωρουμένη ἡ θεότης ἐν ἀμφοτέροις τοῖς λόγοις αὐτῆς, ἤγουν τοῖς τῆς οὐσίας καὶ ὑποστάσεως δείκνυται κοινωνοῦσα, ἓν γὰρ κατ' ἄλλο ἐστὶ, καὶ τρία καθ' ἕτερόν ἐστι, πῶς τῷ παρ' αὐτὴν ὄντι σὺν τῇ σαρκὶ κατ' ἀμφότερα κοινωνήσει; εἰ γὰρ τοῦτο εἴη, ὄντως ἂν τῇ σαρκὶ μόνῃ τό τε ὑπὲρ θεόν πως καὶ ἀσυγκρίτως ἁπλότερον, καὶ ἑαυτῆς ὑπερκείμενον ἐμαρτύρησεν ἂν ἡ θεότης· καὶ τάδε μὲν οὕτως· εἰ δὲ τῷ λεπτῷ τοῦ θεωρήματος ἴσως οὐκ εὔγνωστον ὑμῖν τὸ λεγόμενον, παχυμερεστέρῳ ὑμᾶς ἐλεκτέον τῷ παραδείγματι· ἐπεὶ γὰρ μέρει πυρὸς μέρος σιδήρου κατά τινα ὑπόστασιν τοῦ δέ τινος τοῦ μύδρου συνῆπται· τὸ δὲ εἶναι ταύτῃ ἐκ πυρός τε τοῦ κοινοῦ καὶ σιδήρου πληροῦται· ἐπεὶ τὸ πῦρ ὅλον ἔνεστι κατὰ τὴν φύσιν, πῶς οὐκ ἔσται λέγειν καὶ τῷ πυρὶ τὸν σίδηρον ὁμοούσιον καθ' ὑμᾶς; εἰ δὲ τοῦτο πρόδηλον ἔχει τὸν ἔλεγχον, ὡμολογημένως καθ' ἑτέραν κοινωνίαν τά τε ἐν τῷ μύδρῳ σώματα διάφορα τὸ ἓν εἶναι ἔχουσι σὺν ἀλλήλοις ἐν τῇ ὑποστάσει· καὶ καθ' ἑτέραν ἕνωσιν πάλιν ἓν νοεῖται τάδε σὺν τοῖς ἑαυτῶν ἑκάτερον ὁμοουσίοις ἐν κοινῇ τῇ φύσει· τῆς οὖν τριάδος ἀληθῶς ἔφητε ὅτι ἔστι καὶ ἡ σάρξ· μιᾶς γὰρ τῶν τριῶν ὑποστάσεων· ἀλλ' οὐχὶ καὶ τῆς μονάδος, ὦ οὗτοι, πρώτως ἤτουν οἰκείῳ λόγῳ· ἀλλ' ἡ τριὰς κατά τι καὶ μονάς ἐστιν ἴσως φατέ· ἀλλὰ κατ' ἐκεῖνο οὐκ ἔστιν ὁμοίως τῇ τριάδι καὶ μονὰς ἡ σὰρξ σὺν αὐτοῖς ἀπερίσκεπτοι.

VI. Εἰ τὸ εἷς τῆς τριάδος ἐκ θεότητος καὶ σαρκὸς ἀναπληροῦται· ἀπαθὴς δὲ ἡ τριὰς ὡμολόγηται, πῶς οὐκ ἔσται ἀπαθὴς ἡ θεότης καὶ ἡ σάρξ; εἰ δὲ ἀπαθὴς, τίς ὁ παθὼν ὑπὲρ ἡμῶν; καὶ τί τὸ λεγόμενον παθητὸν πρὸ τῆς ἀναστάσεως; Ἀλλ' οὐδεὶς ὑμῖν ἀναπληροῦσθαι ἐκ θεότητος καὶ σαρκὸς κατὰ τὴν ὑμετέραν ἔκληψιν δέδωκε τὸν ἕνα τῆς τριάδος· οὐδὲ γὰρ ὡς ἐλλιποῦς ὄντος τοῦ λόγου τῆς θεότητος ἐν τῷ υἱῷ κατὰ φύσιν ἢ ὑπόστασιν, καὶ εἰς τὸν τῆς προσωπικῆς τριάδος ἀριθμὸν, ἢ τῆς φυσικῆς μονάδος, μὴ συντελοῦντος τοῦ λόγου μόνον καθ' αὐτὸν ἀσάρκως, ἡ πρόσθεσις τῆς σαρκὸς αὐτῷ προσείληπται, ἐνυποστᾶσα τῷ ἀπαθεῖ αὐτῷ ἡ παθητή· οὐ γὰρ

εἰς τελείωσιν καὶ πλήρωσιν θεῷ πάθους καὶ παθητοῦ ἐπίκτησις χρεία· καὶ τὰ γοῦν τῆς πρὸ σαρκὸς καὶ μετὰ σάρκα ἀπαθείας αὐτοῦ ὁ λόγος, καὶ τὰ τῆς σαρκὸς δὲ αὐτοῦ πάθη, ὁ αὐτὸς ἀληθῶς ἐπιδείκνυται· ἀλλὰ μηδαμῶς ἡμᾶς ἐκ τῶν πρὸ τῆς σαρκώσεως τοῦ λόγου, ἢ τῶν μετὰ τὴν ἀνάστασιν τῆς σαρκὸς αὐτοῦ ὡμολογημένων συναρπάζετε λέγοντες ἁπλῶς ὅτι ἀπαθὴς ἡ ἁγία τριάς· φανερῶς γὰρ ὑμῖν τόδε ὁμολογοῦμεν, ὅτι κατὰ τὸν καιρὸν τῆς ἐνσάρκου ἐπιδημίας τοῦ λόγου ἐπὶ γῆς ὥσπερ οὐκ ἄσαρκος ἦν πᾶσα ἡ ἁγία τριὰς τῶν ὑποστάσεων, οὕτως οὐδὲ ἀπαθὴς ἦν πᾶσα αὐτῆς ὑπόστασις, εἰ παθητὸς ὁ Χριστὸς κατὰ τὸν φήσαντα ἅγιον, καὶ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν· οὗτος γάρ ἐστι καὶ ὁ λόγος αὐτὸς ὁ ἐν ἀρχῇ· ἀπαθὴς δὲ ἂν ἡ θεία φύσις ἐστὶ αὐτοῦ τε καὶ τοῦ ἀγαθοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος αὐτοῦ, ἤ τις ἐν ἀσάρκῳ τε καὶ σεσαρκωμένῃ τῇ αὐτῇ ὑποστάσει τοῦ λόγου τῆς ἀληθείας ἔστιν ἀεί.

VII. Εἰ τὸ εἷς τῆς τριάδος ἐκ θεότητος καὶ σαρκὸς ἀναπληροῦται, πῶς οὐκ ἔσται ὁ εἷς τῆς τριάδος, ὥσπερ θεὸς οὕτως καὶ ἄνθρωπος, καὶ ὁμοούσιος καὶ τῇ μητρί; καὶ εἰ τοῦτο, πῶς οὐκ ἔσται ὁ εἷς τῆς τριάδος ὥσπερ εἷς τῆς τριάδος, ὄντως καὶ εἷς τῆς ἀνθρωπείας φύσεως, ἔτι δὲ τῆς τριάδος, καὶ κατὰ θεότητα, καὶ κατὰ τὴν σάρκα; πῶς οὖν οὐκ ἔσται καὶ τῆς ἀνθρωπείας φύσεως, καὶ κατὰ θεότητα καὶ κατὰ σάρκα; Ἀλλ' ἤδη εἴρηται μὲν ὡς οὐκ εἰς τὸ τέλειον ἐλλιποῦς· ἢ εἰς τὸ εἶναι ὃ ἦν ὁ λόγος ἐκ τῆς σαρκὸς ἀναπληροῦται· ἦν γὰρ καὶ πρὸ σαρκὸς τέλειος, εἷς τῆς ἁγίας τριάδος· ἀλλὰ τοὐναντίον· εἰς τὸ καὶ τὴν ὡς πρὸς θεὸν ἀτέλειον σάρκα ποιῆσαι τοῦ ἑνὸς εἶναι τῶν τελείων τῆς ἁγίας τριάδος ἤγουν ἑαυτοῦ, καὶ τῆς οἰκείας μεταλαβεῖν τελειότητος· καὶ μετὰ οὖν τὴν τῆς σαρκὸς ἀνάληψιν ὁμοίως πάλιν σὺν αὐτῇ ὁ λόγος, εἷς ἐστι τῆς ἁγίας τριάδος, εἰ καὶ ὥσπερ θεὸς εἷς ἐστιν ἀληθῶς, καὶ ὡς ὁμοούσιος τῷ πατρὶ, ὁμοούσιος τῇ μητρὶ, κατὰ τὸ ἑκατέροις ἀναλογοῦν ὁμοούσιον· καὶ τοῦτο, οὐ κατὰ τὴν αὐτὴν τῶν ἐν αὐτῷ φύσεων· καὶ ταῦτα μὲν οὕτως· τὰ δὲ ἀπεντεῦθεν, σκαιῶς ὑμῖν ἀντὶ ὑποστάσεως τὴν φύσιν παρεισάγει ἡμῖν· δέον γὰρ ὑμᾶς ἀκολούθως ἐπαγαγεῖν, ἵνα μηδὲν ἄτοπον φανήσεται οὕτως· καὶ εἰ ὥσπερ εἷς ἤγουν μία ὑπόστασις τῶν τριῶν ὑποστάσεων τῆς θείας φύσεώς ἐστι, οὕτως καὶ εἷς ἤγουν μία ὑπόστασις τῶν πολλῶν τῆς ἀνθρωπίνης φύσεώς ἐστι· ἔστι δὲ μία τῆς τριάδος τῶν ὑποστάσεων καθ' ὑπόστασιν τὴν κατὰ τὴν θεότητά τε καὶ ἀνθρωπότητα, ἔσται ἄρα καὶ μία τῶν ὑποστάσεων τῆς ἀνθρωπότητος καθ' ὑπόστασιν τὴν κατὰ θεότητά τε καὶ ἀνθρωπότητα· ἐν μὲν ταῖς θείαις, διὰ τῶν ἀνθρωπίνων ἰδιωμάτων κατὰ φύσιν πλεονάζουσα, καὶ ἐν ταῖς ἀνθρωπίναις, τῷ θείῳ ἰδιώματι ὑπερέχουσα· ἀλλ' ὑμεῖς τὸ μὲν τῆς ὑποστάσεως ἐσιγήσατε . . . ὄνομα . . . ἵνα τροπὴν καὶ κατα-

στροφὴν φυσικὴν καὶ τοῖς λέγουσιν ἡμῖν ὑποστατικὴν εἶναι τὴν ἀσύγχυτον ἕνωσιν τῶν φύσεων ἐγκαλέσητε, ὥσπερ τοῖς κατὰ μίαν φύσιν γενέσθαι τὴν ἕνωσιν φάσκουσι.

Κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸ θεὸς πέπονθε σαρκὶ, καὶ ὁ λόγος, καὶ ὁ Χριστὸς, καὶ ὁ υἱὸς ἐξεταστέον· ἢ γὰρ περιλαμβάνει τὰ ὀνόματα ταῦτα τῇ σημασίᾳ τὰ δύο, ἢ οὔ· εἰ μὲν οὖν οὐ περιλαμβάνει, ἢ ἀνούσιον δώσουσι τὴν σάρκα, ἢ τὸν λόγον, ἢ ὄργανον, ἢ ἐργάτην θάτερον· εἰ δὲ περιλαμβάνει τὰ δύο ἕκαστον τῶν ὀνομάτων, τὰ εἰρημένα ἄτοπα αὐτοῖς ἐπαχθήσονται. Ἀλλ' ὦ οὗτοι, περιλαμβάνει μὲν καθ' ὑπόστασιν μίαν τὰ δύο, ἕκαστον τῶν εἰρημένων ὀνομάτων· οὐ περιλαμβάνει δὲ κατὰ μίαν φύσιν, ἀλλὰ κατὰ δύο, τό τε Χριστὸς καὶ θεὸς, καὶ υἱὸς ὄνομα· τὸ μέν τοι λόγος καὶ θεὸς· ἐπεὶ καὶ κατὰ τὴν μίαν μόνον φύσιν δύναται λέγεσθαι τὴν πρὸ σαρκὸς, ἔχει προσειρημένον τὸ σαρκὶ, ἤγουν τῇ ἑτέρᾳ φύσει τῇ ἐν τῷ συνθέτῳ Χριστῷ· καὶ διὰ τοῦτο ἡνίκα τὸ πάθος τοῦ λόγου ἢ θεοῦ κατηγοροῦμεν, ὡς τοῦ ὅλου προσώπου Χριστοῦ, ἀπὸ μέρους τῶν ἐν αὐτῷ ἐπάγομεν, καὶ διὰ ποίας τῶν ἐν αὐτῷ φύσεων. VIII.

Φασὶν ἔτι· εἰ κατ' οὐσίαν οὐκ ἔπασχεν ὁ λόγος τῇ σαρκὶ, δῆλον ὅτι ἀνουσίως ἔπασχεν· εἰ δὲ ἀνουσίως, οὐδὲ ἔπαθεν· οὐσίας γὰρ τὰ πάθη κυρίως. Ἀλλ' ὑποστάσει καὶ ὁ λόγος λέγεται παθεῖν· προσελάβετο γὰρ παθητὴν οὐσίαν εἰς τὴν ἑαυτοῦ ὑπόστασιν σὺν τῇ οἰκείᾳ τῇ ἀπαθεῖ· καὶ τὰ τῆς οὐσίας κατηγορήματα εἰώθει τῆς ὑποστάσεως κατηγορεῖσθαι ὀρθῶς. IX.

Ἰδοὺ, φασὶν, ὁ ὑμέτερος πατὴρ Κύριλλος τὸν θεὸν λόγον πεπονθέναι σαρκὶ λέγων, καὶ τοῦτο πῶς φησὶ δυνατὸν εἶναι ἀπαθὴς, κατ' οἰκείωσιν τῆς πεπονθυίας φύσει σαρκὸς αὐτοῦ ἄνω καὶ κάτω ἀπολογεῖται· εἰ οὖν τῇ οἰκειώσει τοῦ παθόντος ὑπὸ ἰουδαίων παθητὸς ὁ θεὸς ὁ ἐν αὐτῷ μένων ἀληθῶς, ἆρά γε καὶ τῇ οἰκειώσει τοῦ γεννηθέντος ἐκ γυναικὸς, γεννητὸς ἐξ αὐτῆς ὁ ἐν αὐτῷ θεὸς μόνον· οὐκ ἄρα οὖν ἀληθῶς νοοῦνται θεοκτόνοι ἰουδαῖοι, εἰ καὶ λέγονται· οὐδὲ θεοτόκος ἡ παρθένος, εἰ καὶ λέγεται· οὐ γὰρ τὸ οἰκειοῦσθαι τὸ πάσχον ἢ τὸ γεννώμενον, ἤδη παθεῖν ἢ γεννηθῆναι ἐστι. Ἀλλ' ἡμεῖς ὄντως, οὐχ' ἁπλῶς οἰκειώσει τῆς σαρκὸς παθεῖν ἢ γεννηθῆναι τὸν λόγον φαμέν· ἀλλ' ἐπειδὴ ἐπὶ τῇ ἑνώσει τινῶν τῇ εἰς μίαν ὑποστατικὴν ὁλότητα τὰ ὀνόματα ἑκάστου τῶν ἐν αὐτῇ δύναται κατὰ τοῦ ὅλου φέρεσθαι, ὥσπερ τὸ περὶ ἀνθρώπων λεγόμενον· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον κυρίου· καὶ τὸ εἰρημένον τῷ Λώτ· σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν· ποτὲ δὲ καὶ τὰ τοῦ ὅλου κατὰ τῶν μερῶν· ὥσπερ φαμὲν ὅτι ἐκλάσθη ὁ ἄνθρωπος, καί τοι μόνον τὸ σωματικὸν μέλος τοῦδε· καὶ ὅτι ὑψηλόφρων ἄνθρωπος ὁ δεῖνα, καί τοι μόνῃ τῇ ψυχῇ· ποτὲ δὲ καὶ τὰ τοῦ ἑτέρου τῶν ἐν τῷ ἑνὶ ὅλῳ κατὰ τοῦ σὺν αὐτῷ ἑτέρου, ὥσπερ λέ- X.

γομεν, πόσαι ψυχαὶ κατεκόπησαν ἐν τῇ ἁλώσει Ἱεροσολύμων, καί τοι τα σώματα μόνον· καὶ ὅτι οὐ φέρει τὴν ὕβριν τὸ σῶμα τὸ ἐλεύθερον, καί τοι ἡ ψυχὴ ἐπαισχύνεται μόνον· δῆλον ὡς ἔστι, καὶ τῆς σαρκὸς Χριστοῦ παθούσης, λέγειν τὸν ἀπαθῆ αὐτὸν λόγον παθεῖν διὰ τὴν ἕνωσιν· οὐ δι' οἰκείωσιν μόνον· γεννηθῆναι δὲ καὶ διὰ τόδε, καὶ ὡς ἰδίαν καὶ αὐτὸν ὑποστάντα γέννησιν σὺν αὐτῇ· οὐκ εἰς τὸ εἶναι ὥσπερ αὕτη, ἀλλ' εἰς τὸ ἐνσάρκως εἶναι· καὶ μορφωθῆναι τὴν ἰδίαν ἀόρατον ὑπόστασιν ὅτε ἡ σὰρξ τὸ εἶναι, ἐν αὐτῇ ἐλάμβανε.

XI. Δι' ἑτέρου πάσχειν, φησὶ, πεπονθότος οὐδέ τι τῶν φύσει παθητῶν δυνατόν· αὐτὸ γὰρ δὴ τὸ πάθος, ἐν ᾧ γέγονεν, ὁρᾶται μόνον, οὔτε δὲ δι' οὗ γέγονεν αὐτῷ οὔτε ὡς ἔνεστιν· πόσῳ οὖν μᾶλλον ὁ ἀπαθὴς λόγος, οὐκ ὀρθῶς σαρκὶ λέγοιτο παθεῖν τοῖς εὐσεβοῦσιν; Ἴστωσαν οὖν ὡς μᾶλλον τοῖς γε θεοπρεπεστέρως εὐσέβοῦσι τὸν λόγον παθεῖν λέγοιτο σαρκὶ ἐν Χριστῷ ἤπερ ἀπαθεῖν· οὐ γὰρ ἁπλῶς ἀπαθὲς τὸ θεῖον ἴσμεν, ἀλλὰ καὶ ἀπαθηστικὸν τῶν οἷς προσγίνεται· οὐ μόνον ἀθάνατον εἶναι δοξάζομεν, ἀλλὰ καὶ ἀπαθανατίζον τὰ ἐγγινόμενα αὐτῷ· ἡνωμένης οὖν τῆς σαρκὸς τῷ λόγῳ ἑνώσει τοιᾷδε ἧς πλεῖον σύγκρασιν ἀσύγχυτον ἐπινοηθῆναι τοῖς ἑτεροφυέσιν ἀδύνατον ἦν, καὶ κατὰ τοὺς ἀντιλέγοντας, οὐχ' ὅπερ μὲν ἔπαθεν ἡ σὰρξ, τοῦτο ἁπλῶς καὶ ὁ λόγος παθεῖν λέγοιτο, καὶ παθητὸς εἶναι τὴν φύσιν, πλὴν εἰ μὴ ὡς Χριστὸς, ἀλλ' ὅτι ἡνωμένου αὐτῇ τοῦ ἀπαθοποιοῦ, πέπθονθεν αὕτη κατ' οἰκονομίαν αὐτοῦ, ἐγκοπὴν τῆς φυσικῆς ἐνεργείας τοῦ λόγου ποιεῖ θεωρεῖσθαι, ὃ ἐστὶν ὅρος τινὸς πάθους· λίαν δὲ τοῦτο δυνατῶς καὶ σοφῶς ὑπεράγαν ἀμετρήτῳ τε ἀγαθότητι θεοῦ τελεῖται, διὰ τῆς ἐν τῷ μερικῷ τῆς ἀνθρώποτητος παθήσεως αὐτοῦ τοῦ ἀπαθηστικοῦ, τῆς ὅλης ἀνθρωπίνης φύσεως τὴν ἀπάθειαν εἰς αἰῶνας ἐνεργοῦντος· οὗτος γὰρ ἦν αὐτῷ ὁ προκείμενος σκοπός· πάθος δὲ τὸ κατὰ σκοπὸν τῆς εὐδοκίας τοῦ πεπονθότος προϊὸν, φυσικῆς μᾶλλον ἐνεργείας ἔχοι ἂν τὸν λόγον· τοῖς γὰρ κατὰ φύσιν οὐ τοῖς παρὰ φύσιν αὐτῷ ἐνευδοκεῖ τὶ· οὐδὲν δὲ τῶν κατὰ φύσιν, διαβλητὸν ἐφ' ὁτοοῦν ἢ πάθος.

Οἶμαι ὅτι λείπει τῆς ὀγδόης αὐτῶν ἀσεβείας ὁ ἔλεγχος· καὶ ζήτει τοῦτον.

Ἡ βίβλος αὕτη μετεγράφη ὑπ' ἐμοῦ Κορνηλίου τοῦ ναυπλιέως τῶν Μουρμουρίων, υἱοῦ Ἀνδρέου, ἐν Ἐνετίῃσι διάγοντος, ἔτει τῷ ἀπὸ τῆς θεογονίας ‚αφνβ.

# ΝΙΚΟΛΑΟΥ

## ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΟΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

### ΠΟΙΗΜΑ ΠΡΟΣ ΤΟΝ ΠΡΩΤΟΝ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ ΩΣ ΤΥΠΙΚΟΝ ΔΙΑ ΣΤΟΙΧΟΥ.

*Πολλάκις με ἐβίασας καὶ ἐξέθλιψας, τέκνον, μᾶλλον δὲ παρεκάλεσας καὶ ἠξίωσας πλεῖστα, εὐσύνοπτον καὶ σύντομον δέλτον μικράν σοι γράψαι, δι' ἧς δυνήσῃ τοῦ μαθεῖν τι ποιῆσαι ὀφείλεις, καὶ πῶς τὸν βίον σου καλῶς διέξεις ἕως τέλους, ἵνα καὶ τῆς ἐκ δεξιῶν στάσεως ἐπιτύχῃς· ἀλλὰ τὸ πρᾶγμα ἐννοῶν ὑπὲρ δύναμιν εἶναι, οὐ μόνον δὲ τὸ κατ' ἐμὲ ἰδιώτῃ τῷ λόγῳ καὶ ἀμετόχῳ πράξεως καὶ θεωρίας πάσης, ἀλλὰ καὶ τοῖς γραμματικὴν καὶ πολλὴν πεῖραν σχοῦσι, ἐμπράκτοις οὖσι τῶν καλῶν καὶ πάσης θεωρίας, καὶ ἔργον ἀδιάπαυστον σχοῦσι τοιαῦτα γράφειν· καὶ διὰ τοῦτο ἔσπευδον τὸ βάρος ἀποῤῥίψαι ἀπ' ἐμαυτοῦ, ὡς εἴρηται, μὴ δυνάμενος τοῦτο. Ἐντεῦθεν λοιπὸν ἄρξομαι τὴν ὑπόθεσιν ταύτην, ἀρωγὸν προβαλλόμενος τῆς ἐμῆς ἀσθενείας, ἰδιωτείας μᾶλλον δὲ καὶ πολλῆς ἀγροικίας, τὸν λόγον τοῦ θεοῦ πατρὸς τὸν δεσπότην Χριστόν μου, ὡσαύτως καὶ τὴν δέσποιναν θεοτόκον Μαρίαν, καὶ τοὺς ἁγίους ἅπαντας προσκαλούμενος πρέσβεις, ἀρχὴν ἔνθεν ποιούμενος ὅθεν ἄρχεσθαι θέμις.* 1.

*Ὀφείλει πᾶς χριστιανὸς τὸν θεμέλιον ἔχειν τὴν πίστιν τὴν ἀνόθευτον ἐκ καθαρᾶς καρδίας, ἀγάπην τὲ πρὸς τὸν θεὸν ἐξ ὅλης τῆς ἰσχύος, ἐξ ὅλης διανοίας τὲ καὶ ἐξ ὅλης ψυχῆς τε· ὡσαύτως καὶ πλησίον ὡς ἑαυτὸν οὕτως ἔχειν· ἐν ταύταις οὖν ταῖς ἐντολαῖς, ὡς ἔφη ὁ δεσπότης, ὅλος ὁ νόμος κρεμᾶται καὶ οἱ προφῆται πάντες· οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ ψευδομαρτυρήσεις, ἀλλ' οὐδὲ ἐπιορκήσεις, ἀληθῶς δὲ ὀμόσεις, ἀποδιδοὺς τοὺς ὅρκους σου κυρίῳ τῷ θεῷ σου, ἀλλ' οὐδὲ κλέψεις ὅλως γε ἢ καὶ ἁπλῶς πορνεύσεις· ταῦτα ὁ παλαιὸς νόμος ἐντελεῖται καὶ γράφει.* 2.

*Ὁ δὲ Χριστὸς καὶ δεσπότης τῶν ὅλων, ὁ παλαιᾶς καὶ τῆς καινῆς κύριος διαθήκης, πλεῖον τὴν ἀκρίβειαν ἔχειν ἡμᾶς διδάσκει, τὸ μὴ ὀμνῦναι ἀληθῶς ἤ τινα ὅρκον λέγειν· ἔσται δὲ μόνον ἐν ἡμῖν τὸ ναὶ ναὶ καὶ τὸ οὒ οὔ· τὸ δέ γε τούτων περισσὸν, ἔστι τοῦ διαβόλου· ὁ γὰρ νό-* 3.

μος ἐκόλασε τῶν πράξεων τὸ τέλος, ἀλλ' ὁ σωτὴρ ἡμῶν Χριστὸς τὰς ἀρχὰς μᾶλλον πλέον· ὁ γὰρ ἐμβλέψας γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ αὐτοῦ καρδίᾳ· ὅλως δὲ μὴ ἀντιστῆναι τῷ πονηρῷ διδάσκει· ἀλλ' ἀγγαρευόμενον τινὰ μίλιον ἓν, δύο ὑπάγειν μετ' αὐτοῦ μὴ ἀντιλέγειν ὅλως· τῷ πλήσσοντι τὴν δεξιὰν σιαγόνα ὀργίλως, ἡμέρως τὲ καὶ πρασηνῶς καὶ τὴν ἄλλην παρέχειν· καὶ ἁπλῶς εἴ τι οὖν ἕκαστος πάσχειεν ἐκ τοῦ πέλας, ὕβρεις ὁμοῦ καὶ μάστιγας ὑπομένειν γενναίως· τῷ θέλοντι κριθῆναι δὲ καὶ λαβεῖν τὸν χιτῶνα, δοῦναι καὶ τὸ ἱμάτιον ὁ δεσπότης κελεύει· καὶ εἴ τι πάθοι ἕτερος κακὸν ἐκ τοῦ πλησίον, εἶτα καὶ ὀργισθῇ αὐτῷ, εἰκῆ ὠργίσθη τούτῳ· τῷ αἰτοῦντι σε, διδόναι προστάττει ἀπραγμόνως· τὸν θέλοντα δανείσασθαι, κενὸν μὴ ἀποστρέφειν· ἀγαπᾶν τοὺς ἐχθροὺς ἡμῶν ἐντέλλεται ὡς φίλους, καὶ ὑπερεύχεσθαι πάντων τῶν ἐπηρεαζόντων· καταρωμένους εὐλογεῖν, καλῶς ποιεῖν μισοῦντας. Καὶ πάλιν περὶ προσευχῆς οὕτως ἡμᾶς διδάσκει, ἵνα μὴ προσευχώμεθα ὥσπερ οἱ ὑποκριταὶ, μὴ δὲ μεθ' ὑποκρίσεως τὴν νηστείαν ποιοῦντες, καὶ σκυθρωποὶ γινόμενοι τὰ πρόσωπα μειοῦντες· τοῦ μὴ ἐπὶ τῆς γῆς ἡμῖν θησαυροὺς θησαυρίζειν· τῆς δὲ δεκάτης ἐντολῆς οὕτως ἔχει· τινὰ μὴ κρίνειν ἔφησεν, ἵνα μὴ κριθῶμεν· εἶτα καὶ πρὸς τὸν θέλοντα εἰς τελειότητα φθάσαι, πωλεῖν διδάσκει ἅπαντα τὰ ὑπάρχοντα τούτου, καὶ ἐπιδοῦναι τοῖς πτωχοῖς σὺν προθυμίᾳ πάσῃ, ἕξειν δ' ἐκ τούτου θησαυρὸν ἐν οὐρανοῖς καὶ δόξαν, καὶ οὕτως αἴρειν τὸν σταυρὸν αὐτῷ ἀκολουθοῦντες· καὶ ταῦτα μὲν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις.

4. Ὁ δὲ θεῖος ἀπόστολος καὶ μέγας κήρυξ Παῦλος τὸν ἀληθῆ χριστιανὸν καὶ πιστὸν κατὰ πάντα, τὸν ἐνοικοῦντα ἔχοντα τὸ πανάγιον πνεῦμα ἐδίδαξεν ὡς ἀληθῶς φθεγξάμενος τοιάδε· ὁ καρπὸς τοῦ πνεύματος πρώτη ἀγάπη πέλει, χαρὰ, εἰρήνη σὺν αὐτοῖς καὶ ἡ μακροθυμία, ὡσαύτως ἡ χρηστότης καὶ ἡ ἀγαθοσύνη, πρᾳότης, πίστις ἀληθὴς καὶ ἐγκράτεια ἁπάντων· καὶ ἀλλαχοῦ πάλιν φησίν· ἀδελφοὶ μὴ πλανᾶσθε, οὔτε μοιχοὶ, οὔτε πόρνοι, οὔτε ἀρσενοκοῖται, οὐχ ἅρπαγες, οὐ λοίδοροι ἢ μαλακοὶ ἢ κλέπται, οὐ μέθυσοι οὐκ ἄδικοι ἀλλ' οὐδὲ πλεονέκται, βασιλείαν τὴν τοῦ θεοῦ οὐ μὴ κληρονομήσουσι.

5 Ἀλλὰ πρὸ τούτων πάντων δὲ καὶ τῶν ἄλλων ἁπάντων, τὴν τοῦ θείου βαπτίσματος φρικτὴν ὁμολογίαν ἣν ἀπαιτεῖσθαι μέλλομεν μικροί τε καὶ μεγάλοι ἐν μέλλοντι αἰῶνι· καὶ γὰρ ἀποτασσόμεθα τῷ διαβόλῳ πάντες, καὶ τοῖς ἔργοις αὐτοῦ πᾶσι καὶ πάσῃ λατρείᾳ καὶ πάσῃ τῇ πομπῇ αὐτοῦ τρισσῶς ὁμολογοῦντες. Καὶ τὰ μὲν ψυχικὰ πάθη ἀπαριθμοῦνται οὕτως· πρῶτον ὑπερηφανεία, φθόνος ὁμοῦ καὶ μῖσος, θυμὸς, ὀργὴ παράλογος, καὶ σὺν αὐτοῖς ὁ φθόνος, ἐπιθυμία ἄτοπος, ἀπρεπεῖς λογισμοί τε, λοιδορία,

κατάκρισις, ζῆλος, πλεονεξία, κλεψία, μέθη, ἁρπαγὴ, καὶ ἀκηδία πᾶσα· ταῦτα εἰσὶ τὰ ψυχικὰ ἔργα τοῦ διαβόλου. Ὡσαύτως τὰ σωματικὰ ἀπαριθμοῦνται οὕτως, μαλακία, πορνεία τὲ καὶ μοιχία σὺν τούτοις, ἡ ἀῤῥενομανία τε καὶ ἡ παιδοφθορία, κτηνοβατία τε τριπλῆ καὶ ἡ πτηνοβατία, καὶ τὰ ἐπιτηδεύματα πάσης ἀκαθαρσίας. Ἡ δὲ λατρεία τοῦ σατανᾶ ὡς εἰπεῖν ἐστὶν αὕτη, τὸ πιστεύειν μαντεύματα καὶ τοῖς μάγοις προστρέχειν, τοὺς ἀστρονόμους προσκαλεῖν καὶ τοὺς νεφοδιώκτας· τὸ φυλακτὰ προσδέχεσθαι καὶ τὰ περίαπτά τε, γυτείας παραδέχεσθαι καὶ τοὺς κριθαρομάντεις, τοὺς ἔχοντας τοὺς δαίμονας, καὶ τοὺς ὀρνεοσκόπους, καὶ ἅπαν ἐπιτήδευμα ἐθνικῶν καὶ ἀπίστων· ταῦτα λατρεία πέφυκε τοῦ διαβόλου πάντα· λείπεται οὖν λοιπὸν εἰπεῖν τίς ἡ πομπὴ σατανᾶ ὑπάρχει· μάτζεφε τραγῳδήματα καὶ πᾶν ὄργανον ἄλλο, ταυλία καὶ ζατρίκια καὶ αἱ ἱπποδρομίαι· ταῦτα ἀπευξάμεθα ἐν τῷ λουτρῷ τῷ θείῳ, καὶ σὺν αὐτοῖς τὸν σατανᾶν ὡς διδάσκαλον τούτων, καὶ συνετάγημεν Χριστῷ, ὀρθῶς αὐτῷ πιστεύειν, φυλάττειν τὲ πρόσταγμα τοῦ θεοῦ καὶ σωτῆρος, ἅπερ ἐδίδασκε συνὼν τοῖς αὐτοῦ ἀποστόλοις, τῶν μὲν κακῶν ἀπέχεσθαι ὡς ἔργων διαβόλου, τῶν δὲ καλῶν ἀντέχεσθαι ὡς ἐντολῶν κυρίου· ταύτην λοιπὸν, ὡς εἴρηται, τὴν συνταγὴν τὴν θείαν προσαπαιτεῖσθαι μέλλομεν μικροί τε καὶ μεγάλοι, ἐπίσκοποι καὶ βασιλεῖς, μοναχοὶ καὶ μιγάδες, ἄρχοντες τὲ καὶ πένητες καὶ πᾶς πιστῶν ὁ δῆμος· ταῦτα δὲ ἅπερ ἔγραψα, οὐκ εἰσὶ μοναζόντων ἀλλὰ πάντων τῶν πιστῶν καὶ Χριστοῦ τῆς μερίδος.

Τῶν μοναχῶν, ὡς ἔφην, δὲ ἄλλος ὑπάρχει βίος, διότι ἀπηρνήσαντο 6.
τὸν πάντα κόσμον οὗτοι, καὶ ἔχουσιν ἀκρίβειαν φοβερὰν καὶ μεγάλην· καὶ γὰρ μετὰ τῶν ἄνωθεν γραφέντων ἐνταλμάτων, πλείονα τὴν ἀκρίβειαν προσαπαιτοῦνται οὗτοι, ἀκτημοσύνην παντελῆ, παρθενίαν εἰς ἄκρον, ἐγκράτειάν τε τῶν παθῶν ὁμοῦ καὶ τῶν βρωμάτων, αἰσθήσεις χαλιναγωγεῖν, τῶν κακῶν τι μὴ πράττειν, ὅρασιν, ὄσφρησιν, ἀφὴν, ἀκοὴν, καὶ τὴν γεῦσιν· τὴν ψαλμῳδίαν ἄπαυστον καὶ πολλὴν ἀγρυπνίαν, χαμευνεῖν καὶ ξηροσιτεῖν καὶ ἀλουσίαν ἔχειν· συνδιαιτᾶσθαι γυναιξὶν ἢ ὅλως σχεῖν φιλίαν, ἀπαγορεύει ὁ κανὼν τοῖς μοναχοῖς τελείως, μᾶλλον δὲ καὶ προσομιλεῖν ἢ ὅλως συνοδεύειν, παιδία τε μὴ προσίεσθαι ἢ ὅλως συνδυάζειν, καταλαλεῖν ἢ λοιδορεῖν ἢ ὅλως κατακρίνειν, πᾶσι πιστοῖς κεκώλυται, πόσῳ γε μᾶλλον τούτοις; ὀμνῦναι ἢ περιορκεῖν ἀπηγόρευται πάντη· φιλάργυρον ἢ φίλαυτον οὐ δεῖ μοναχὸν εἶναι· καὶ ἵνα τί φιλολογῶν τὸν καιρὸν ἀναλίσκω; εἰ βασιλείας οὐρανῶν ἐπιτυχεῖν ἐθέλοις, ἀπόσχου πάντων τῶν κακῶν καὶ τῶν καλῶν ἀντέχου· ἀδύνατον γὰρ πέφυκε καὶ δυσχερὲς εἰς ἅπαν φιλήδονον ὑπάρχοντα ἢ κενόδοξον ὅλως, ἐπιτυχεῖν τῆς ἀληθοῦς ζωῆς τῆς αἰωνίου.

7. Καὶ ταῦτα μέν σοι ἔγραψα ἐκ τῶν πολλῶν ὀλίγα· σὺ γὰρ ἐπίστασαι καλῶς τὴν ἐμὴν ἀγροικίαν· καὶ γὰρ πάλιν ἐπείγομαι εἰς ὑπόθεσιν ἄλλην, δηλοποιῆσαι ἀμυδρῶς πῶς ὀφείλῃς διάγειν, εἰς εὐχὴν εἰς ἐγκράτειαν καὶ ἀληθῆ νηστείαν, ἔτι δὲ δίαιταν φημὶ ἁπλῶς τοῦ ὅλου χρόνου· ἀρχὴν τοῦ λόγου θέμενος εἰς ἀρχὴν τῆς ἰνδείκτου, ὅθεν καὶ δεῖ σε φυλακὴν ἔχειν ἐν τῇ νηστείᾳ· μὴ νηστείαν δὲ ποίαν φημὶ τῶν ἡμερῶν τῶν δύο, τετράδα καὶ παρασκευὴν, ὡς οἱ πατέρες ἔφασκον, ἰχθύων τὲ ἀπέχεσθαι ἐλαίου τὲ καὶ οἴνου, ξηροφαγίαν λύοντες ἅπαξ ἐν τῇ ἐνάτῃ· ἀλλά γε σὺ ὡς ἀσθενὴς οἴνῳ ὀλίγῳ χρήσῃ· εἰ δὲ καὶ τούτου δυνηθῇς ἀπέχεσθαι τὴν χρῆσιν, πλείονα σχῇς ὠφέλειαν τὴν ἐντολὴν πληρώσας· οἱ θεῖοι γὰρ ἀπόστολοι ἐν ταύταις ταῖς ἡμέραις, ἀλλά γε καὶ οἱ μετ' αὐτοὺς θεοφόροι πατέρες ἀκρίβειαν ὁρίζουσι φοβερὰν καὶ μεγάλην, ἄρτῳ καὶ μόνῳ τρέφεσθαι ἁλί τε καὶ λαχάνοις, καὶ τὸ πόμα γε ὡσαύτως ὕδωρ καὶ μόνον ἔσται, εἰ μή που δι' ἀσθένειαν τίς ἀδυνάτως ἔχει, οἴνῳ ὀλίγῳ χρώμενος διὰ τὴν ἀῤῥωστίαν· τῶν δὲ λοιπῶν, ὡς γέγραφα, ἀπέσχου πάμπαν ὅλως· εἰ μή που τίς ἀσθένεια ἢ ἀφορμὴ ἐπέλθοι, ἀλλ' οὖν ἡ οὐχ ὡς ἔτυχεν ἀλλ' ἀναγκαία πάνυ. Καὶ ταῦτα γέγραφα ἁπλῶς περὶ παντὸς τοῦ χρόνου· αὕτη δὲ ἡ ἀκρίβεια τῶν νηστειῶν ἣν γράφω, οὐ πρὸς ἡμᾶς τοὺς μοναχοὺς ἐγράφησαν καὶ μόνον, ἀλλὰ πρὸς πάντας τοὺς πιστοὺς καὶ Χριστοῦ τῆς μερίδος· πρὸς ἡμᾶς δὲ τοὺς μοναχοὺς οἱ ἅγιοι πατέρες μονοσιτίαν γράφουσιν ἔχειν τὸ καθ' ἡμέραν, σάββατα καὶ κυριακῇ τοῦ μὴ νηστεύειν ὅλως· νῦν οὖν λοιπὸν ἀπάρξομαι τοῦ γράφειν ὧδε πάλιν.

8. Τὰς ἑορτὰς ἃς λέγομεν δεσποτικὰς οἱ πάντες καὶ λύομεν ἐν ἅπασι εἰς βρῶσιν τὲ καὶ πόσιν· καὶ προτιθέσθω πρότερον γέννησις τῆς παρθένου καὶ θεοτόκου ἀληθῶς τῆς πανάγνου δεσποίνης· ὡσαύτως εἴσοδος αὐτῆς εἰς ναὸν τοῦ κυρίου· λοιπὸν ἡ τοῦ δεσπότου μου γέννησις κατὰ σάρκα· ἡ τούτου πάλιν βάπτισις δι' ἡμᾶς τοὺς φθαρέντας, ἀνακαινίσαι θέλοντος ἐν ῥείθροις Ἰορδάνου· ἡ τούτου εἰσένεξις εἰς ναόν τε τὸν θεῖον, ἣν πάντες ὀνομάζομεν ὑπαπαντὴν κυρίου· σὺν ταύταις ἡ ἐν τῷ Θαβὼρ ἔλλαμψις τοῦ προσώπου· Χριστοῦ γὰρ οὕτως λέγομεν μεταμόρφωσιν θείαν· τῆς παναμώμου καὶ μητρὸς τοῦ θεοῦ κατὰ σάρκα ἡ κοίμησις ἡ ἔνδοξος καὶ ξένη ἐκδημία, ἐν ᾗ νηστεία πρὸ αὐτῆς κανονικῶς τελεῖται, ἀρχὴν καὶ τέλος εἴληφαν αἱ πάντιμοι καὶ θεῖαι τῆς θεοτόκου ἑορταὶ καὶ μητρὸς τοῦ κυρίου· ἀρχὴν ἔσχεν ἡ γέννησις, ἡ κοίμησις τὸ τέλος· προσκείσθωσαν αὐταῖς λοιπὸν αἱ δύο τοῦ προδρόμου ἡ γέννησις ἡ πάντιμος καὶ παράδοξος ὄντως, τῆς κεφαλῆς ἡ ἐκτομὴ ἣν ὑπέστη ἀδίκως· ἐπισυνάψεις οὖν αὐταῖς τῶν θείων ἀποστόλων, Παύλου φημὶ τοῦ κήρυκος, καὶ τοῦ κορυφαίου Πέ-

τρου· ἐν ταύταις οὖν ταῖς ἑορταῖς εἰ μέλλεις καταλύειν, ἐν αἷς ὑπάρχει ἡ τετρὰς τῶν ἡμερῶν ἡ ἕκτη, ὀψάριον καὶ ἔλαιον κατάλυε καὶ μόνον· εἰ δέ γε θέλεις καὶ τυρὸν, οὐδέν μοι διαφέρειν ἐν μόναις καὶ ταῖς τέσσαρσιν οὕτως ἑστιαθήσῃ· ἔν τε γεννήσει τοῦ Χριστοῦ καὶ τῶν θεοφανιῶν· καὶ μὴν καὶ τῇ ὑπαπαντῇ σὺν τῇ μεταμορφώσει· καὶ ταῖς λοιπαῖς ἀρκέσθητι εἰς ἰχθύας καὶ οἶνον· ἀλλ' ὡς οὐ κανονίζοντες, οὐδὲ νομοθετοῦντες, οὐδὲ πρὸς τὴν ἀκρίβειαν τὴν τῶν πατέρων λέγω, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ἡμετέραν γράφω.

Τὰς δὲ λοιπὰς τῶν ἑορτῶν ἐν αἷς ἐστὶν ἀργία, ἀργίαν δὲ ποίαν 9.
φημὶ τῶν ὡρῶν καὶ τοῦ ἔργου· καὶ τίνες δὲ ὑπάρχουσιν, ἀπαριθμῶμαι ἤδη· τῶν ἀποστόλων τῶν σεπτῶν καὶ μύστων τοῦ κυρίου, ἡ δωδεκὰς ἡ θαυμαστὴ καὶ πάντιμος καὶ θεία, καὶ τῶν μαρτύρων τῶν στεῤῥῶν ὧν ἐξόχως αἱ μνῆμαι, σὺν τούτοις τῶν ἱεραρχῶν καὶ ἱερομαρτύρων ἀσκητῶν ἡ ὁμήγυρις προεχόντων τῶν ἄλλων· ἐν ταύταις οὖν ταῖς ἑορταῖς ἔκλυε τὴν νηστείαν· εἰς βρῶσιν μόνον ἔλαιον καὶ τὴν πόσιν εἰς οἶνον, ἄλλο δὲ τί μὴ ἅψαι ἐν ταύταις ταῖς ἡμέραις, εἰ μὴ τοῦ εὐαγγελισμοῦ τὴν ἑορτὴν καὶ μόνην. Τὴν δὲ σεπτὸν καὶ πάντιμον μεγάλην ἑβδομάδα, ὡς τοῦ κυρίου ἔχουσαν τὸ σωτήριον πάθος, οὕτως σε δεῖ φυλάξασθαι ὡς οὐδεμίαν ἄλλην, ἅπαξ καὶ μόνον λῦσαι δεῖ τῇ ἑβδομάδι ταύτῃ, εἰ ἐν μιᾷ τῶν ἡμερῶν ἑορτῇ ἀπαντήσει· ἑορτὴν δὲ ποίαν φημὶ, τὴν κεφαλὴν ἁπάντων, ἐν ᾗ ὁ εὐαγγελισμὸς τῆς θεοτόκου κόρης· ἀλλ' οὐκ ἰχθύας ὥς τινες, ἀλλ' ἔλαιον καὶ οἶνον· τὰς δὲ λοιπὰς τῶν ἡμερῶν παρέλκον ἐστὶν γράφειν· μᾶλλον μὲν οὖν εἰ δύνασαι τὰς δύο μοι συνάψας, παρασκευὴν καὶ σάββατον ἄσιτος διαμείνῃς, ἕως τέλος δέξηται ἡ θεία λειτουργία, καὶ οὕτως ἑστιάθητι εὐχαριστῶν κυρίῳ. Ἰδοὺ λοιπὸν ἐφέστηκεν ἡμέρα λατροφόρος, ἡ τοῦ Χριστοῦ ἀνάστασις, πιστῶν ἡ εὐφροσύνη· πατήσας γὰρ τὸν θάνατον ὡς θεὸς καὶ δεσπότης, ἐξανέστη τριήμερος, ὥσπερ πάλαι προεῖπεν· ἀπόθου τοίνυν καὶ αὐτὸς τὸν πενθήρη χιτῶνα, καὶ τὴν νηστείαν σχόλασον· οὐκ ἔστι γὰρ νηστεία, ἀλλ' εὐφροσύνη καὶ χαρὰ ὡς μοναχοῖς ἁρμόζει.

Ἐνταῦθα δὲ γενόμενος βούλομαί τι προσθεῖναι ἐκ τῶν πανσόφων 10.
καὶ χρυσῶν λόγων τοῦ Χρυσοστόμου· ἐκεῖνος γὰρ ἐφθέγξατο εἰς ἕνα τούτων οὕτως· εἰ καὶ παρῆλθεν ὁ καιρὸς τῆς παντίμου νηστείας, ἀλλ' ἡ αὐτῆς ὠφέλεια ἐν ἡμῖν ἀεὶ ἔστω· ὅθεν κἀγώ σοι παραινῶν ὧδέ πως γράφω· εἰ τάχα καὶ παρῆλθεν ὁ τῆς νηστείας χρόνος, ἀλλὰ τῆς ἐγκρατείας γε παρέδραμεν οὐδ' ὅλως, καὶ δεῖ σε ταύτην ἀσφαλῶς ὡς τιθηνὸν κατέχειν· κἂν διέλθῃ ἡ ἑβδομὰς τῆς δι' ἀκινησίμου, μονοπροσώπως φύλαττε τετράδα καὶ τὴν ἕκτην· τυροῦ ἀπέχου καὶ ὠοῦ, καὶ τῶν

λοιπῶν μηκέτι, ἀλλ' ἔσω νῦν ἐλεύθερος ἐν ταύταις ταῖς ἡμέραις· νηστεία γὰρ οὐ γέγραπται οὐδὲ γονυκλισία· ταύτας γὰρ τὰς πεντήκοντα οἱ ἅγιοι πατέρες ἀνακυκλοῦντες ἔφησαν ἡμέραν εἶναι μίαν· περὶ τούτων δὲ λοιπὸν ἀρκέσθητι ἐνταῦθα· ἀγὼν γάρ μοι ἐπίκειται πάλιν ἐντεῦθεν ἄλλος, αἱ δύο τεσσαρακοσταὶ καταλείφθησαν οὕτως· μᾶλλον καὶ ἡ τὸν αὔγουστον τελουμένη νηστεία, ἣν πολλοὶ ἀβροδίαιτοι διαβάλλουσι πάμπαν· καὶ περὶ τούτων δεῖ εἰπεῖν ὡς δυνατὸν ὑπάρχει· καὶ πρότερον δηλώσωμεν περὶ τῶν Χριστοῦ γέννων· παράδοσιν ἐλάβομεν ἐκ τῶν ἔκπαλαι χρόνων, ἐν ταύτῃ τῇ τεσσαρακοστῇ μονοσιτίαν ἔχειν, ἀλλ' οὐδ' ἰχθύων ἅπτεσθαι ἐν ταῖς τρισὶν ἡμέραις, δευτέραν, τρίτην· λέγω δὴ σὺν αὐταῖς καὶ τὴν ε̅, τετράδα καὶ παρασκευὴν, οὐκ ἔλαιον οὐκ οἶνον σαββάτῳ καὶ κυριακῇ λαμβάνειν πάντως· καὶ ἅλις μὲν περὶ αὐτῆς· οὐ γὰρ δεῖ πλέον γράφειν.

11. Ἀνάγκη τοίνυν διελθεῖν περὶ τῶν τελευταίων· συνήθεια κεκράτηκεν ἐν ταῖς νηστείαις ταύταις δὶς τῆς ἡμέρας ἐσθίειν, οὐκ οἶδ' ὅθεν λαμβάνοντες, οἶμαι δὲ διὰ τὸν καιρὸν ὄντα καυσώδη τότε· ἀλλ' οὐ τῇ συνηθείᾳ δεῖ προσέχειν ἡμᾶς ὅλως, οὐδὲ τὸ πῶς καὶ διὰ τί πράττεται τόδε λέγειν, ἀλλ' ἐρευνᾷν καὶ ἀκριβοῦν τοὺς λόγους τῶν πατέρων καὶ τοὺς κανόνας τῶν σοφῶν καὶ θείων ἀποστόλων, δι' ὧν καὶ τὸν ἐμέτερον οὕτως βίον ῥυθμίζειν· ὅμως εἰ τὴν ἀκρίβειαν καὶ τούτων ἔχειν θέλεις, ζήτησον ὄπισθεν μικρὸν ἐν τῇ τῶν Χριστοῦ γέννων, κἀκεῖ εὑρήσεις ὃ ζητεῖς, καὶ ὅπερ βούλει, πράττε.

12. Ἐνταῦθα ἐβουλόμην νῦν καταπαῦσαι τὸν λόγον, ἀλλὰ βία μοι πρόσεστι μικρὰ τινὰ προσθεῖναι· δέδοικα δὲ μὴ φορτικὸς φανῶμαι σοι ἐν τούτοις· γονυκλισίας δεῖ ποιεῖν πάντα τὸν χρόνον ὅλον, εἰ μή που τύχοι ἑορτὴ νηστείας μὴ παρούσης ἐν ᾗ ἀργία γίνεται τῶν ὡρῶν καὶ τοῦ ἔργου· μὴ φοβηθῇς τὸν ἀριθμὸν, ὀλιγοστὸς ὑπάρχει· δώδεκα μέλλεις ἀριθμεῖν ἐν ταῖς λιταῖς ἡμέραις· τὰς δέ γε τεσσαρακοστὰς ψηφίζειν δεκαπέντε, ἐν τῇ τῶν Χριστοῦ γέννων καὶ τῶν δύο λοιπῶν σοι. Τὴν δ' ἄλλην τεσσαρακοστὴν ἧς ἡ κλῆσις μεγάλη διπλασιάζειν ταύτας γε εἴπερ καὶ οὐκ ὀκλάζεις· εἰ δὲ βαρύ σοι φαίνεται τοῦ ἐκμετρεῖν, κἂν τὰς εἴκοσι τέσσαρας πλήρωσον δίχα λόγου· οὐ μὴν ἅπαξ ἢ δεύτερον τῆς ἡμέρας τελέσεις· ἀλλ' ὡς ἐδίδαξεν ἡμᾶς Δαβὶδ ὁ θεοπάτωρ θεὸν αἰνεῖν προτρέπεται ἑπτάκις τῆς ἡμέρας· ψηφίσας οὖν ὡς νουνεχὴς εὑρήσεις ὅπερ λέγω· ἀπὸ φωτὸς ἀπάρξομαι, καὶ λήξω εἰς τὸ σκότος· ὄρθρος καὶ πρώτη τρίτη τε ἕκτη καὶ ἐνάτη, ἑσπερινὸν ἀπόδειπνον σὺν τῷ μεσονυκτίῳ.

13. Ἔτι προσθήσω οὖν λοιπὸν σὺν τούτοις ἀναγκαῖον, καὶ μὴ μεμφθῶ ὡς ὕστερον τοῦτο διασαφήσας· ἣν ἑβδομάδα λέγω οὖν τὴν πρὸ τῆς ἀποκρέου, τὴν καὶ ἐπονομάζομεν τὴν τοῦ ἀρτζιβουρίου οἱ πλεῖστοι ἔθος

ἔλαβον ἀδεῶς καταλύειν τετράδα καὶ παρασκευὴν οἱ κοσμικοὶ τὸ κρέας, ὡσαύτως καὶ οἱ μοναχοὶ τυροῦ μεταλαμβάνειν, κακῶς νοοῦντες ἀληθῶς καὶ πράττοντες ὁμοίως· εἰ μὲν φυλῆς κατάγονται ἐκ τῆς τῶν Ἀρμενίων, καὶ εἶχον καὶ τὴν αἵρεσιν τὴν τοῦ ἀρτζιβουρίου, καλῶς ποιοῦσι λύοντες ἅπασαν ὑποψίαν· οἳ δὲ πιστοὶ ὀρθόδοξοι εἰσὶ καὶ ἐκ προγόνων, εἰς μάτην προφασίζονται λύοντες τὴν νηστείαν· ἐκεῖνοι γὰρ νηστεύουσιν ὅλην τὴν ἑβδομάδα, ἄρτῳ μόνῳ τρεφόμενοι ὕδατι ἅλατί τε· ἡμεῖς δὲ καταλύομεν ἀπ' αὐτῆς τῆς δευτέρας· λοιπὸν ἐκ τούτου δείκνυμεν μὴ κοινονοῦντες τοιούτοις· καὶ μάτην προφασίζονται οὗτοι τὸν ἀρτζιβούριον.

14. Ἐπεὶ δὲ ἔλαθεν ἡμᾶς ὑπόθεσις μικρά τις, διασαφῆσαι ἔρχομαι καὶ περὶ ταύτης οὕτως· Τῆς τυρικῆς ἡ ἑβδομὰς λελυμένη ὑπάρχει, καὶ ἡ τετρὰς τῶν ἡμερῶν, ὡσαύτως καὶ ἡ ἕκτη· καὶ πόθεν δῆλον πέφυκεν τοῦτο εἴπῃ τίς ἴσως; Ἰακωβῖται, ὡς φασὶ, τὴν ἑβδομάδα ταύτην ὁλόαγνον φυλάσσουσι καὶ καθαρὰν τελείως, ἄρτου μόνου γευόμενοι καὶ ὕδατος ὁμοίως· καὶ διὰ τοῦτο ὁ καλὸς τῷ ὄντι Νικηφόρος ὁ Κωνσταντινουπόλεως ὁ μέγας ἱεράρχης κανονικῶς παρέδωκε τοῦ καταλύειν ταύταις, ἀνατρέπων τὰ δόγματα αἱρέσεων τῶν δύω, τοῦ Ἰακώβου τὲ φημὶ σὺν καὶ τοῖς τετραδίταις· ὅθεν τὰ μοναστήρια οὕτως ἔχουσιν ἔθος, τὴν ἐννάτην πληρώσαντες καὶ ὕμνον τῆς ἑσπέρας, οὕτως εἰσέρχονται λοιπὸν ἐν τῇ κοινῇ τραπέζῃ, τυροῦ μεταλαμβάνοντες ἰχθύων τὲ καὶ οἴνου· καὶ ἡμεῖς μὲν ἐγράψαμεν ὡς εὕραμεν ἐγγράφως· εἰ δέ τις οὐ προσίεται οὐδὲ πιστεύει ταῦτα, ὡς θέλει καὶ ὡς βούλεται, οὕτως καὶ πορευέσθω. Προσθήσω τοίνυν ἕτερον δι' ἄλλην ἑβδομάδα, ἣν καὶ ἐπονομάζομεν τὴν τῶν ἁγίων πάντων· τινὲς ὑπολαμβάνοντες μὴ εἶναι λελυμένην, κακῶς ὑποτοπάζοντες καὶ ὅλως ἀγνοοῦντες· οἱ θεῖοι γὰρ ἀπόστολοι καὶ νομοθέται πάντων καὶ περὶ ταύτης ἔγραψαν τοῦ εἶναι λελυμένην· ἀλλ' ἴσως ἀντιφθέγξοιτό τις τῶν γνωστικωτέρων, καὶ ποῦ ταύτης ἐμνήσθησαν οἱ μαθηταὶ τοῦ λόγου; ἐρευνησάτω ἀκριβῶς καὶ πάντως εὕρῃ τοῦτο· ἀδυνατῶ γὰρ ἐν λεπτῷ πάντα ἀναδιδάσκειν· οἱ δὲ φιλοπονότερον τὴν γραφὴν ἐρευνῶντες, πληροφορίαν λαβοῦσιν ἐξ αὐτῆς τὴν τελείαν.

15. Ταῦτα σοι τοίνυν ἔγραψα ἐκ τῶν πολλῶν ὀλίγα· ἀλλ' οὖν διαμαρτύρομαι καὶ βεβαιῶ σοι τοῦτο, εἰ τούτων φύλαξ τὲ φανῇς, ἐγγυῶμαι σοι ταῦτα, στάσεως τῆς ἐκ δεξιῶν τοῦ σωτῆρος τυχεῖν σε, καὶ σὺν αὐτῷ κληρονομεῖν καὶ πᾶσι τοῖς ἁγίοις βασιλείαν τῶν οὐρανῶν καὶ ζωὴν τὴν ἀγήρω. Ἰδοὺ τοίνυν πεπλήρωκα τὴν αἴτησίν σου, τέκνον, ὡς ἐφικτὸν ὑπῆρχε μοι καὶ δυνάμεως εἶχον· σὺ γὰρ καλῶς ἐπίστασαι τὸ πάμπαν ἄμουσον μου καὶ ὅλως ἰδιωτικὸν πρὸς τὸ τοιαῦτα γράφειν· εἰ δὲ, τὸ κατὰ δύναμιν φίλον θεῷ ὑπάρχει, δέξαι καὶ σὺ ὡς ἀγαθὸν τὴν προαίρεσιν

μόνην· ἐνταῦθα σταίημεν λοιπὸν τοῦ σκοποῦ καὶ τοῦ λόγου· εἰ μὲν ἀποδεκτέα σοι, Θεῷ χάρις ἐν τούτῳ· εἰ δὲ πολλάκις φορτικὰ, ὡς βούλει λοιπὸν πράττε· ὁ δὲ τῶν πάντων κύριος καὶ Θεὸς καὶ δεσπότης ὁ θέλων πάντας σώζεσθαι διὰ φιλανθρωπίαν, αὐτὸς καὶ σὲ στηρίξει ἐν ἀγαθοεργίᾳ τοῦ πληρωτὴν γενέσθαι σε τῶν αὐτοῦ ἐνταλμάτων, καὶ βασιλείας οὐρανῶν ὀφθῆναι κληρονόμον ἐν Χριστῷ τῷ κυρίῳ μου, ᾧ ἡ δόξα καὶ κράτος εἰς αἰῶνας αἰώνων τὲ καὶ ἐπὶ αἰώνων. Ἀμήν.

*Ex codice Collegii Graecorum in alma urbe desumptum a me fuit praecedens opusculum. In alio autem eiusdem Collegii codice nonnulla analoga deprehendebam. Postquam enim de tribus ieiuniis sollemnibus actum fuit, ante pascha, ante Deiparae transitum, et ante natalia Domini, sic pergit auctor anonymus.*

Τὰ ὅμοια τούτου καὶ Ἰωάννης ὁ Νικαίας μητροπολίτης φησὶν ἐν τῇ πρὸς τὸν καθολικὸν τῶν Ἀρμενίων γραφεῖσαν ἐπιστολήν· ὁ δὲ ἁγιώτατατος πατριάρχης Κωνσταντινουπόλεως κύριος Νικόλαος, ἠρωτήθη ἐπὶ συνόδου προκαθήμενος παρὰ τῶν μοναχῶν τοῦ ἁγίου ὄρους εἰ χρὴ νηστεύειν νηστείαν πρὸ τῆς κοιμήσεως τῆς πανυμνήτου Θεοτόκου· καὶ ἐξέδωκεν οὕτως ἐγγράφως· αὕτη ἦν νηστεία πρότερον ἐν τῷ καιρῷ τούτῳ τοῦ αὐγούστου, μετετέθη δὲ διὰ τὸ παραπίπτειν ταῖς κατὰ τὸν καιρὸν τοῦτον γινομέναις ἐνθνικαῖς νηστείαις· πλὴν καὶ ἔτι τὴν νηστείαν ταύτην φυλάσσομεν καὶ νηστεύομεν· ὥστε ἐκ τούτου δῆλον ἐστὶ, καθὼς ἔφημεν, ὅτι μία ἦν ἡ πᾶσα νηστεία ἡ μετὰ τὴν μίαν τῆς ν̄ ἑβδομάδα, ἄχρι τῆς κοιμήσεως τῆς Θεοτόκου· ὑπὸ δὲ τῶν ἁγίων πατέρων διὰ οἰκονομίαν ἐξεκόπη· ἐτυπώθη δὲ ἄχρι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων νηστεύειν· εἶθ' οὕτως ἐπιλύειν· ἔπειτα ἀπ' ἀρχῆς αὐγούστου νηστεύειν, ἄχρι τῆς κοιμήσεως τῆς Θεοτόκου· καὶ πάλιν διαλύειν· τί οὖν ἐμέλλομεν ποιεῖν εἰ ἀδιακόπως ταύτην ἐνηστεύομεν; ἔχεις οὖν ὁ ἀμφιβάλλων περὶ τῶν τοιούτων νηστειῶν τὴν μαρτυρίαν, ἐκ τῶν ἀποστολικῶν καὶ πατριαρχικῶν παραδόσεων· καὶ λοιπὸν μὴ ἀμφίβαλε, ἵνα μὴ κατακριθῇς ὡς παραβάτης τῶν θείων διατάξεων (1).

(1) Confer ea quae habentur apud Cotelerium M. E. G. T. II. p. 495. et T. III. p. 431.

# ΑΝΑΣΤΑΣΙΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

### ΕΚ ΤΟΥ ΚΑΤ' ΕΙΚΟΝΑ (1).

Οὐ μίαν τινὰ εἰκόνα καὶ ὁμοίωσιν κέκτηται, ἀλλὰ καὶ δευτέραν, καὶ τρίτην, καὶ τετάρτην, καὶ πέμπτην· ἐξεικονίζων ὥσπερ ἐν ἐσόπτρῳ τινὶ καὶ σκιαγραφίᾳ φυσικῇ, οὐ τυπικῇ, τῆς τρισυποστάτου θεότητος τὸ μυστήριον· οὐ μόνον, ἀλλὰ καὶ τὴν ἐνανθρώπησιν τοῦ ἑνὸς τῆς αὐτῆς τριάδος θεοῦ λόγου, σαφῶς προδιαγράφων· καὶ τάχα κατ' εἰκόνα μέν ἐστι γυμνὴ ἡ ψυχὴ, τῆς γυμνῆς θεότητος· καθ' ὁμοίωσιν δὲ τῆς τοῦ λόγου σαρκώσεως, τὸ σύνθετον ἡμῶν τῆς ψυχῆς καὶ τοῦ σώματος· μᾶλλον δὲ πάλιν ἐπ' αὐτὴν τοῦ λόγου τὴν ἀρχὴν ἀναδράμωμεν· ἐκεῖθεν ὥσπερ ἔκ τινος πηγῆς πρῶτον ζητοῦντες, τὸ, τί δήποτε μὴ καθ' ὁμοιότητα τῶν λοιπῶν λογικῶν, ἤγουν τῶν ἀγγέλων, ἢ πάλιν κατ' ἰσότητα τῶν ἐμψύχων ζώων ὁμοιοτρόπως τὰς προπατορικὰς καὶ κορυφαίας ἡμῶν ὁ θεὸς ὑποστάσεις, τοῦ Ἀδὰμ λέγω καὶ τῆς Εὔας, καὶ τοῦ προελθόντος ἐξ αὐτῶν υἱοῦ, πεποίηκεν; ἄλλὰ τὸν μὲν Ἀδὰμ, ἀναιτίως καὶ ἀγεννήτως ὑπέστησε· τὸν δὲ δεύτερον αὐτοῦ ἄνθρωπον, τὸν υἱὸν, γεννητὸν· τὴν δὲ Εὔαν, οὔτε γεννητῶς, οὔτε πάλιν ἀναιτίως, ἀλλὰ ληπτῶς ἤτοι ἐκπορευτῶς, ἐκ τῆς οὐσίας τοῦ ἀναιτίου Ἀδὰμ ἐξελθοῦσαν ἀῤῥήτως οὐσίωσεν· καὶ μήπως ἄρα αἱ τρεῖς αὗται τῶν προγόνων κεφαλαὶ, πάσης τῆς ἀνθρωπότητος ὁμοούσιοι ὑποστάσεις, κατ' εἰκόνα τινὰ ὡς καὶ Μεθοδίῳ δοκεῖ, τυπικῶς γέγοναν τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος, τοῦ μὲν ἀναιτίου καὶ ἀγεννήτου Ἀδὰμ, τύπον καὶ εἰκόνα ἔχοντος, τοῦ ἀναιτίου καὶ πάντων αἰτίου παντοκράτορος θεοῦ καὶ πατρὸς· τοῦ δὲ γεννητοῦ αὐτοῦ υἱοῦ, εἰκόνα προδιαγράφοντος τοῦ γεννητοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ· τῆς δὲ ἐκπορευτῆς Εὔας, σημαινούσης τὴν τοῦ ἁγίου πνεύματος ἐκπορευτὴν ὑπόστασιν· διὸ

(1) Gulielmus Caveus in hist. litt. tit. Anastasii, ita scribit. "Inter codices ba-„roccianos in biblioth. bodleiana cod. 197. fol. 263. habetur sermo Anastasii pa-„triarchae antiocheni περὶ τοῦ κατ' εἰκόνα, id est, ut arbitror, *de illo* quod homo ad „imaginem Dei conditus sit. Incipit ἀλλά γε δεῖ ἐπὶ τὸ etc „. Huius ergo sermonis, seu opusculi, nos fragmentum ex vaticano codice nunc divulgamus.

οὐδὲ ἐνεφύσησεν αὐτῇ ὁ Θεὸς πνοὴν ζωῆς, διὰ τὸ τύπον αὐτὴν εἶναι τῆς τοῦ ἁγίου πνεύματος πνοῆς καὶ ζωῆς· καὶ διὰ τὸ μέλλειν αὐτὴν δι' ἁγίου πνεύματος δέξασθαι Θεὸν, τὸν ὄντως ὄντα πάντων πνοὴν καὶ ζωήν· ὅθεν καὶ ἔστιν ἰδέσθαι καὶ θαυμάσαι, ὅτι ὁ μὲν ἀγέννητος Ἀδὰμ, ἄλλον ἀγέννητον ἢ ἀναίτιον ἐν ἀνθρώποις οὐκ ἔσχεν ὅμοιον· ὥσπερ οὐδὲ ἡ ἐκπορευτὴ Εὔα· ὡς τύποι ἀληθεῖς ὑπάρχοντες τοῦ ἀγεννήτου πρατρὸς, καὶ τοῦ ἁγίου πνεύματος· ὁ δὲ γεννητὸς υἱὸς πάντας ἀνθρώπους, γεννητοὺς υἱοὺς ὄντας, ἀδελφοὺς ὁμοίως ἔσχεν ὡς κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν ὑπάρχων Χριστοῦ τοῦ γεννητοῦ υἱοῦ, ὃς ἐγένετο ἄνθρωπος, πρωτότοκος ἄνευ σπορᾶς ἐν πολλοῖς ἀδελφοῖς· εἰ δὲ μὴ οὕτω, καὶ κατὰ τοῦτο τὸ κατ' εἰκόνα ταῦτα, τί δή ποτε μὴ τέσσαρες, δύο, ἢ πλείονες ὑποστάσεις τῶν προπατόρων γέγοναν, παρηλλαγμένας ἔχουσαι τὰς ὑποστατικὰς αὐτῶν ἰδιότητας, λέγω δὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν, καὶ τὸ ἐκπορευτὸν, ἀλλὰ τρεῖς καὶ μόναις; οὐκοῦν ἔχεις τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν, τυπικὴν τριάδα ἐν μονάδι, ἐν τρισὶν ὑποστάσεσιν.

Ἀκόλουθόν σε μαθεῖν καὶ μονάδα ἐν τριάδι· πῶς δὲ τοῦτο καλῶς διαγνῶναι δυνήσῃ, ἄκουσόν τινος τῶν σοφῶν σοι παραινοῦντος, καὶ λέγοντος· εἰ βούλει γνῶναι Θεὸν, προλαβὼν, γνῶθι σαυτὸν, ἐκ τῆς σαυτοῦ φησι πατασκευῆς, ἐκ τῆς σαυτοῦ συνθέσεως, ἐκ τῶν ἐντὸς ἑαυτοῦ· εἴσιθι ὑποδὺς ἐν σαυτῷ· διάβλεψον ἐν ἐσόπτρῳ τινὶ ἐν τῇ ψυχῇ ἑαυτοῦ· διάκρινον τὴν ταύτης πατασκευὴν, καὶ ὄψῃ σαυτὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ τυγχάνοντα· ἀνώνυμός σου γὰρ καὶ ἄγνωστος, καὶ νοερὰ, καὶ ἀθάνατος τῆς ψυχῆς ἡ οὐσία κατ' εἰκόνα καὶ ὁμοίωσιν τυπικὴν τοῦ ἀνωνύμου καὶ ἀγνωρίστου καὶ ἀθανάτου Θεοῦ καθέστηκεν· οὔτε γὰρ θεοῦ, οὔτε ψυχῆς λογικῆς οὐσίαν, ἔγνω τῶν ἐν αἰῶνι τίς γεγενημένων ἀνθρώπων· ζωοποιὸς καὶ συστατικὴ καὶ προνοητικὴ ἡ ψυχὴ ὑπάρχει τῆς τετραστοίχου τοῦ σώματος φύσεως, κατ' εἰκόνα Θεοῦ τοῦ προνοητοῦ πάσης τῆς τετραπεράτου καὶ τῆς ἄνω κτίσεως· διόπερ οὔτε τὸν τοῦ Θεοῦ τόπον ἔνθα κατοικεῖ, ἀλλὰ μόνον πιστεύομεν, ὅτι ἐν παντί ἐστιν· οὔτε μὴν τὸν τόπον τῆς ψυχῆς οἴδαμεν ἔνθα οἰκεῖ ἐν τῷ σώματι· ἀλλὰ μόνον ἐπιστάμεθα, ὅτι ἐν τῷ παναγίῳ σώματι ἐστὶ καὶ ἐνεργεῖ.

Ἔχει σου καὶ ἕτερον καθ' εἰκόνα θεοῦ ἡ ψυχὴ· λέγω δὴ τὸ ἑτεροούσιον αὐτὴν εἶναι πάσης κτιστῆς φύσεως· τὸ δὲ πάντων παραδοξότερον τοῦ ἐν ἡμῖν κατ' εἰκόνα, ἐκεῖνό ἐστιν, ὅτι οὔτε τῆς τοῦ θεοῦ ὑπάρξεως τοὺς λόγους, ἀνθρώπινος νοῦς κατασβέσθαι δύναται, οὔτε τῆς ψυχικῆς ἡμῶν οὐσίας, πῶς εἰς ὕπαρξιν πέφυκέ τε καὶ παραγίνεται· ἀλλ' ἄγε δὴ ἐπ' αὐτὸ τὸ κυριώτατον τοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν ἔλθωμεν, ὅπως κατὰ τὰς ὑποσχέσεις δείξωμεν τὸ μοναδικὸν τῆς ἐν τριάδι θεότητος· ποῖον δέ ἐστι τοῦ-

το, εὔδηλον ὅτι ἡ ἡμετέρα πάλιν ψυχὴ, καὶ ὁ ταύτης νοερὸς λόγος, καὶ ὁ νοῦς· ὃν τινα ὁ ἀπόστολος πνεῦμα προσηγόρευσεν, ὅτε διακελεύεται ἁγίους ἡμᾶς εἶναι τῇ ψυχῇ καὶ τῷ σώματι καὶ τῷ πνεύματι· ἀγέννητος μὲν γὰρ πάλιν ἐστὶν ἡ ψυχὴ καὶ ἀναίτιος εἰς τύπον τοῦ ἀγεννήτου καὶ ἀναιτίου Θεοῦ καὶ πατρός· οὐκ ἀγέννητος δὲ ὁ νοερὸς αὐτῆς λόγος, ἀλλ' ἐξ αὐτῆς γεννώμενος ἀῤῥήτως καὶ ἀοράτως, ἀνερμηνεύτως καὶ ἀπαθῶς, εἰς τύπον τοῦ γεννητοῦ υἱοῦ· ὁ δὲ νοῦς, οὐδὲ ἀναίτιός ἐστιν, οὐδὲ γεννητὸς, ἀλλ' ἐκπορευτὸς, πάντη διατρέχων, καὶ τὰ πάντα διασκοπῶν· καὶ ἀοράτως ψηλαφῶν, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ παναγίου καὶ ἐκπορευτοῦ πνεύματος· περὶ οὗ εἴρηται, ὅτι τὸ πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· οὐκ ἔστιν ἐκπορευτὴ ἡ ψυχὴ, ἕως οὗ ἐστιν ἐν τῷ σώματι· ἐπεὶ εἰ ἐκπορευτὴ ἦν, ἄρα ἂν καθ' ὥραν ἀπεθνήσκομεν· οὐκ ἔστιν ἀγέννητος ὁ λόγος ἡμῶν, ἐπεὶ ἄλογοί τινες καὶ κτηνώδεις ὑπήρχομεν· τὸ δὲ παραδοξότερον τῶν παραδόξων τούτων, ἐκεῖνό ἐστιν, ὅτι ψυχὴν μὲν ἁπλῆν τινα ἔχομεν, ὁμοίως καὶ νοῦν μοναδικὸν καὶ ἀσύνθετον, λόγον δὲ διπλοῦν, διπλῆν ἔχοντα τὸ αὐτὸ τὴν γέννησιν, καὶ ἕνα καὶ ἀμέριστον φυλαττόμενον· γεννᾶται γὰρ ὁ λόγος ἐν τῇ καρδίᾳ, γέννησίν τινα ἀκατάληπτον καὶ ἀσώματον· καὶ μένει ἔνδον ἀγνώριστον· καὶ γεννᾶται δευτέραν γέννησιν τὴν σωματικὴν διὰ χειλέων, καὶ τό τε τοῖς πᾶσι γνωρίζεται, τῆς δὲ γεννησάσης αὐτὸν ψυχῆς οὐ χωρίζεται· ἵνα διὰ τῶν δύο τοῦ λόγου ἡμῶν γεννήσεων, σαφῶς τὰς δύο τοῦ Θεοῦ λόγου γεννήσεις κατ' εἰκόνα τινὰ καὶ ὁμοίωσιν μάθωμεν· γεγέννηται γὰρ ἀοράτως καὶ ἀνερμηνεύτως πρὸ τῶν αἰώνων ἐκ πατρὸς, καὶ μένει ἄγνωστος, ὡς ἔν τινι ψυχῇ πρὸς τὸν πατέρα· ἕως ὥσπερ ἐκ καρδίας τινὸς, τῆς ἁγίας παρθένου, ἀφθόρως καὶ ἀπόνως γεγέννηται τὸ κατὰ σάρκα, καὶ ἐνεφανίσθη ἡμῖν σωματικῶς διὰ δευτέρας γεννήσεως.

Ὁρᾶται πάλιν ὡς ἐν εἰκόνι τινὶ καὶ τύπῳ, λέγω ἐν τῷ ἀνθρώπῳ, καὶ διττή τις ἐνεργείας ἔμφασις εἰς εἰκόνα καὶ τύπον Χριστοῦ· καθάπερ γὰρ ἡ αὐτοῦ Θεότης, ἐνήργει καὶ Θεανδρικῶς ἐνήργει καὶ Θεϊκῶς ἐν οὐρανῷ πρὸ τῆς τοῦ σώματος ἀναπλάσεως, ὡς ἀπερίγραπτος, καὶ μὴ περιγραφεῖσα ἐν τῷ σώματι, οὕτω καὶ ἡ ψυχὴ ἡ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ ἀοράτου Θεοῦ λόγου ὑπάρχουσα, ἐνεργεῖ μὲν καὶ ψυχανδρικῶς, τουτέστι σωματοψύχως, εἰς τύπον τοῦ Θεανδρικῶς Χριστοῦ· ἐνεργεῖ δὲ καὶ ψυχικῶς μόνον πλεῖστά τινα, μὴ συνεργοῦντος αὐτῇ τοῦ οἰκείου σώματος, εἰς τύπον τοῦ ἀοράτου Θεοῦ λόγου, τοῦ πολλὰ ἀοράτως ἐνεργήσαντος καὶ ἐνεργοῦντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τῆς ἀπεριγράπτου αὐτοῦ καὶ παγκοσμίου Θεϊκῆς ἐνεργείας· ἡ οὖν ἀγάπη ἡ περὶ Θεὸν κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, οὐ χρήζουσα ἐν τούτῳ τῆς συνεργείας τοῦ

σώματος· ὁμοίως καὶ ἡ πίστις, ψυχικῆς καὶ μόνης ἐνεργείας ἐστὶν ἔνδειξις· ὡσαύτως καὶ ἡ ἐλπὶς, κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν· ὥσπερ καὶ ταπεινοφροσύνη, δι' ἐνεργείας ψυχῆς ἐνεργεῖται καὶ ὑφίσταται· καὶ περιληπτικῶς εἰπεῖν, πᾶσαι αἱ ἀναγκαῖαι καὶ πνευματικαὶ ἀρεταὶ ὧν ῥίζα καὶ θεμέλιός ἐστιν ἡ καθαρότης τῆς καρδίας, κατὰ τὴν νοερὰν καὶ μόνην τῆς λογικῆς ἡμῶν ψυχῆς ἐνέργειαν ἐπιτελοῦνται, οὐ χρήζουσαι τοῦ σώματος εἰς τὴν ἑαυτῶν ἐκπλήρωσιν· ὅθεν καὶ οἱ πηροὶ καὶ ἀσθενεῖς, καὶ ἀκίνητοι ὄντες τῇ σαρκὶ, δύνανται διὰ τὸν τοιούτων ἀρετῶν, τῇ κατὰ ψυχὴν ἐνεργείᾳ εὐαρεστῆσαι τῷ θεῷ· καὶ ἐν τῷ ὕπνῳ δὲ μάλιστα τῷ καθ' ἡμᾶς δείκνυται τὸ διττὸν τῆς καθ' ἡμᾶς ἐνεργείας· τοῦ γὰρ σώματος, ὥσπερ νενεκρωμένας καὶ σχεδὸν ἀνενεργήτους τὰς αἰσθήσεις ἔχοντος, ἡ νοερὰ καὶ λογικὴ τῆς ψυχῆς ἐνέργεια, ἀκοίμητός τε καὶ ἀσίγητος τὰ πάντα περιπολεῖ· ἐπεὶ, πῶς καὶ χωριζομένη τοῦ σώματος ἐν τῷ θανάτῳ, συνίσταται ἡ λογικὴ ψυχὴ, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῆς, καὶ ζωτικῆς, καὶ ἀειζώου ἐνεργείας; πᾶσα μὲν ἡ θεόπνευστος γραφὴ, καὶ εὐαγγελικαὶ καὶ ἀποστολικαὶ διδασκαλίαι, ἐν οὐρανοῖς λέγουσιν εἶναι τὸν τὰ πάντα πληροῦντα θεόν· διὸ κἀκεῖθεν καταβεβηκέναι τὸν θεὸν λόγον ἐγνώκαμεν, καὶ ἐν οὐρανοῖς πάλιν μετὰ σαρκὸς ἀναβεβηκέναι πιστεύομεν· οὐκοῦν εἰ ἄνω ἐστὶ τὸ θεῖον φῶς, ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, καὶ ἄνω ὁ θεὸς λόγος τὸ ἐκ τοῦ φωτὸς φῶς, καὶ ἄνω ἐν ὑψίστοις τὸ πνεῦμα τὸ ἅγιον, ἴσως κατ' εἰκόνα ταύτης τῆς ὑψίστου ἁγίας τριάδος ἐν τοῖς ὑψηλοτέροις ὅλον τοῦ σώματος ἔχομεν τὸ φῶς, καὶ τὸν λόγον, καὶ τὸ πνεῦμα τῶν ῥινῶν, πλησιόχωρά τε καὶ ἐν τῷ ἅμα ἐν τῇ ἡμετέρᾳ κεφαλῇ τυγχάνοντα· κἀκεῖθεν ὡς ἐξ οὐρανοῦ τινος ὑψηλοῦ, τὸν κόσμον τοῦ σώματος διοικοῦντα καὶ φωτίζοντα τοῦτο τὸ τριαδικὸν πλήρωμα.

# ΕΥΤΥΧΙΟΥ (1).

## ΕΚ ΤΟΥ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ

ΚΕΦ. ΚΒ. ϛιχ. ια-ιη.

Οὐκέτι τοίνυν δράματος προσαγωγὴ, ἑαυτὸν τοῦ κυρίου προσαγαγόντος ἀντὶ τοῦ δράματος, τῷ θεῷ καὶ πατρί· οὐδὲ ἐξαριθμήσεις ἑβδομάδων καὶ πεντηκοστὴ νομικὴ, ἀλλ' ἑτέρα τελείαν ἐπίγνωσιν διὰ τῆς τοῦ πνεύματος παρουσίας ὑποφαίνουσα, ἣν ἡμεῖς ὡς τελείαν παρουσίαν τοῦ ἁγίου πνεύματος ἑορτάζομεν· οὐκέτι σαλπίγγων καὶ σκηνῶν ἑορτὴ, τύπον τῆς ἀναστάσεως ἔχουσα, τῆς ἀληθεινῆς ἀναστάσεως τοῦ κυρίου ἡμῶν φανερωθείσης· οὐκέτι τρεῖς καιροὺς ἑορτάσουσι τοῦ ἐνιαυτοῦ, τυπικῶς· ἅπας γὰρ ὁ βίος σήμερον, ἑορτὴ μία καθέστηκεν· καὶ ἁπλῶς, πᾶσαι αἱ διὰ τοῦ νόμου ἐμφάσεις πεπλήρωνται· ὅτι πλήρωμα νόμου Χριστός· ὅθεν καὶ ἡ τοῦ Χριστοῦ ἐκκλησία τὴν ἁγίαν ἀνάστασιν αὐτοῦ ἑορτάζει, ἥ τις ἐναρχομένης τῆς ἑξκαιδεκάτης ἐγένετο· καὶ οὐκέτι Ἰουδαίοις συνεορτάζει, τὴν τεσσαρεσκαιδεκάτην τῆς σελήνης διώκουσα· ὥσπερ μέν τοι ἐκ νεκρῶν ἐγηγερμένος, καὶ ἑαυτὸν ὑπὲρ ἡμῶν τῷ πατρὶ προσαγαγὼν, ἐπλήρωσε τὸν τύπον τοῦ δράματος, οὕτως ἀντὶ τοῦ ἀμνοῦ, τῆς τεσσαρεσκαιδεκάτης ἐναρχομένης, ἑαυτὸν θύσιας μυστικῶς καὶ προληπτικῶς, καὶ ἐμμίξας τῷ ἀντιτύπῳ φαίνεται· τὸ οὖν μυστικὸν, ἀπαρχὴ καὶ ἀῤῥαβὼν ἐστὶ τοῦ πραγματικοῦ· τὸ δὲ πραγματικὸν, τὸ τέλειον· κατὰ τὸ, οὐ μὴ φάγω αὐτὸ, ἕως οὗ πληρωθῇ ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ, ὅπερ ἔσχεν ἡ ἁγία αὐτοῦ ἀνάστασις· τοῦτο γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ· διότι οὐκέτι δύναται ἀποθανεῖν, ἅπαξ ἀποθανών· ὅτι δὲ οὕτως ἐστὶν, ἰδοὺ μυστικῶς καὶ ἡμεῖς ἀποθνήσκομεν ἐν τῷ βαπτίσματι τῷ ἁγίῳ· ἐν μαρτυρίῳ δὲ μετὰ τοῦτο, ἢ καὶ ἄνευ μαρτυρίου, πραγματικῶς· καὶ οὐκ ἠλλοτρίωται ὁ μυστικὸς ἡμῶν θάνατος, τοῦ πραγματικοῦ, κἂν εἰ τελειοῦται ἐν τῷ πραγματικῷ· καὶ ἑτέραν γὰρ παρὰ τὴν πρώτην ἐν τῷ μυστικῷ κτώμεθα ζωὴν, ἀπαρχήν τινα τῆς ἀναστάσεως, καὶ υἱοθεσίαν καὶ ἁγιασμὸν, καὶ συγκληρονόμοι Χριστοῦ γινόμεθα· οὐκ ἀπέῤῥηται τοίνυν τὰ μυστικὰ, τῶν πραγματικῶν· κἂν εἰ ἐν τοῖς πραγματικοῖς

(1) Ex codice vaticano haec duo Eutychii (patriarchae, ut puto, cpolitani, neque enim de alexandrino cogitare velim) sumpsi fragmenta inediti nescio cuius operis, commentarii fortasse in Lucam. Sermones equidem ab Eutychio cpolitano editos contra omnes haereses memorat Eustratius in eius vita ff. 87. apud Bollandianos T. I. aprilis die 6. Porro hunc Eutychium S. Gregorii magni PP. fuisse coaetaneum, notissimum est.

τελειοῦται· ἡ οὖν ἐκκλησία, καὶ τῆς τεσσαρεσκαιδεκάτης ἐπιτελεῖ τὴν μνήμην, ἐν τῇ μεγάλῃ πέμπτῃ, καθὼς τότε γέγονεν ὑπὸ τοῦ κυρίου τὸ πάσχα τὸ μυστικὸν, ὅτε ἑαυτὸν ἔθυσε τῆς τεσσαρεσκαιδεκάτης ἐναρχομένης· κἂν οὖν ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς ἑβδομάδος τοῦ πάσχα τῇ καὶ κυριακῇ, κἂν ἐν τῇ θατέρᾳ, κἂν ἐν τῇ τρίτῃ, κἂν ἐν τῇ τετάρτῃ ἐκπέσῃ ἡ τεσσαρεσκαιδεκάτη, ζητεῖται γὰρ τοῦτο, τῇ πέμπτῃ ἡ ἐκκλησία ἐπιτελεῖ τὴν ἑορτὴν τοῦ πάσχα τοῦ μυστικοῦ· καθ' ἣν καὶ ὁ κύριος ἑαυτὸν μυστικῶς ἔθυσε τότε· τὴν δὲ τελείαν καὶ πληρωματικὴν τῆς μυστικῆς ἑορτῆς, κατὰ τὴν ἁγίαν ἀνάστασιν ἐπιτελεῖ, ἥ τις ἐναρχομένης τῆς ἑξκαιδεκάτης, τῆς καὶ κυριακῆς τότε φθασάσης, γεγένηται· διὸ καὶ οἱ ἐν Νικαίᾳ πατέρες τινὶ ταῖς ἐκκλησίαις τοῦτο μὴ ποιούντων, ὥρισαν πάντας ἅμα κατὰ τὴν τότε ἐν τῇ σωτηριώδει ἀναστάσει φθάσασαν ἑξκαιδέκατην τὴν καὶ κυριακὴν ἑορτάζειν, ὡς τὸ τέλειον δὲ πραγματικὸν ἔχουσαν, κατὰ τὴν τοῦ κυρίου φωνήν· καὶ τοῦτο τῇ Ἀλεξανδρέων γράφουσιν ἐκκλησίᾳ, λέγοντες· εὐαγγελιζόμεθα ὑμᾶς δὲ περὶ τῆς συμφωνίας τοῦ ἁγιωτάτου πάσχα, οὕτως ὑμετέραις εὐχαῖς κατωρθώθη καὶ τοῦτο τὸ μέρος, ὥστε πάντας τοὺς τῆς ἑωίας ἀδελφοὺς μετὰ τῶν Ἰουδαίων τὸ πρότερον ποιοῦντας, σύμφωνα Ῥωμαίοις καὶ ὑμῖν καὶ πᾶσιν ἡμῖν τοῖς ἐξ ἀρχῆς φυλάσσουσι τὸ πάσχα ἐκ τοῦ δεῦρο μεθ' ἡμῶν ἄγειν· τελείας οὖν ἐνστάσεως γεγενημένης, ἀτελῶς τινες ἑορτάζοντες, ταύτην οὐκ ἐρυθριῶσιν, ὥσπερ καὶ οἱ τὸ ὕδωρ μόνον παριστῶντες τῷ ἐπὶ τοῦ θυσιαστηρίου κανῷ, ἀντὶ τοῦ κερασθέντος μετὰ τοῦ γεννήματος τῆς ἀμπέλου, κατὰ τὴν τοῦ κυρίου παράδοσιν, λελήθασιν ἑαυτοὺς χωρίζοντες τοῦ κυριακοῦ αἵματός τε καὶ σώματος· πληροῦται γὰρ τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου· ὁ οὖν μὴ ἔχων τὸ ἓν, οὐδὲ τὸ ἓν ὃ δοκεῖ ἔχειν, ἔχει· δείκνυνται δὲ οἱ τοιοῦτοι, ἀλλότριοι τῆς ἁγίας Χριστοῦ ἐκκλησίας· ἡμεῖς δὲ καὶ τὴν τῆς τεσσαρεσκαιδεκάτης ἑορτὴν ἐπιτελοῦμεν· κατὰ τὴν πέμπτην ἡμέραν τῆς ἑβδομάδος τῆς μεγάλης, καθὼς ὑπὸ τοῦ κυρίου παραδέδοται, κἂν εἰ ἐν ταῖς προτέραις ἡμέραις ἐμπέσῃ αὕτη· καὶ ἁγίαν ἀνάστασιν τὴν γενομένην τῇ ἑξκαιδεκάτῃ κατὰ τὸν σωτήριον καιρὸν, ἑορτάζομεν ἐν κυριακῇ, μετὰ τροπὴν ἡλίου ἐαρινήν· καὶ τὸ ὕδωρ μόνον οὐκ ἄνευ τοῦ γεννήματος τῆς ἀμπέλου παριστῶμεν, ἀλλὰ μετὰ τούτου κιρνῶντες, κατὰ τὴν τοῦ κυρίου παράδοσιν.

## ΕΥΤΥΧΙΟΥ.

Τὸ γὰρ πιεῖν, τὴν σωτηριώδη διδασκαλίαν δηλοῖ, ἣν πίνει μεθ' ἡμῶν ὁ σωτὴρ, κοινούμενος ἀεὶ τὰ ἡμέτερα, μετὰ τὴν ἀνάστασιν, ἥτις οὐρανῶν

εἴρηται βασιλεία παρ' αὐτοῦ· καινὸν δέ ἐστι τὸ ἄρτι προστιθέμενον εἰς γνῶσιν τινί· εὐφραίνεται δὲ καὶ ὁ διδάσκων καὶ ὁ διδασκόμενος ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀκουόντων, καὶ μανθανόντων, ὃ καὶ Γρηγορίῳ τῷ θεολόγῳ δοκεῖ· Τοῦτο μέν τοι τὸ ποτήριον, ὃ ἐκέλευσεν αὐτοῖς εἰς ἀλλήλους διαμερίσαι, τοῦ δείπνου ἦν οὐ τῶν κοινωνικῶν μυστηρίων (1)· ἐφεξῆς οὖν προϊὼν ὁ Λουκᾶς, φησὶν ὅτι καὶ τοῦ ἄρτου καὶ τοῦ ποτηρίου αὐτὸς μετέδωκε τοῖς ἀποστόλοις· εἰ δὲ καὶ ἐπὶ τῷ ποτηρίῳ τοῦ δείπνου ηὐχαρίστησεν, οὐ θαυμαστὸν· καὶ ἡμεῖς γὰρ εὐχαριστοῦμεν, καὶ ἐπὶ τῆς κοινῆς ἑστιάσεως, καὶ ἐπὶ τῆς μυστικῆς· διάφορος δὲ ὅμως ἡ εὐχαριστία καὶ ἡ εὐλογία· τὸ δὲ καὶ ἐπὶ τῇ βρώσει εὐχαριστεῖν, ἐκ τοῦ εὐαγγελίου ἡμῖν που δέδοται· εὐλόγησε γοῦν τοὺς πέντε ἄρτους, καὶ οὕτως τοῖς ὄχλοις ἔδωκε διὰ τῶν μαθητῶν· καὶ πάλιν μετὰ τὸ δεῖπνον εἴρηται, ὅτι ὑμνήσαντες, ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Ὥστε ματαιάζουσιν οἱ τὸν τῆς προθέσεως ἄρτον, καὶ τὸ κερασθὲν ἀρτίως ποτήριον, τῷ ἁγίῳ θυσιαστηρίῳ προσάγειν μελλούσης τῆς λειτουργικῆς τάξεως, ὕμνον τινὰ ψαλμικὸν λέγειν παραδεδωκότες τῷ λαῷ (2), τῷ γινομένῳ πράγματι πρόσφορον, ὡς νομίζουσι, βασιλέα δόξης προσφέρειν ἢ καὶ προσαγορεύειν τὰ εἰσφερόμενα καὶ μηδέπω τελειωθέντα, διὰ τῆς ἀρχιερατικῆς ἐπικλήσεως καὶ τοῦ ἐν αὐτοῖς ἀναλάμποντος ἁγιασμοῦ· εἰ μήτι ἕτερον βούλοιτο αὐτοῖς τὸ ὑμνούμενον· καί τοι λέγοντος τοῦ μεγάλου Ἀθανασίου ἐν τῷ εἰς τοὺς βαπτιζομένους λόγῳ, τοιαῦτα· ὄψει τοὺς λευίτας φέροντας ἄρτους, καὶ ποτήριον οἴνου, καὶ τιθέντας δὲ τὴν τράπεζαν· καὶ ὅσον οὔπω ἱκεσίαι καὶ δεήσεις γίνονται, ψιλός ἐστιν ὁ ἄρτος καὶ τὸ ποτήριον· ἐπ' ἂν δὲ ἐπιτελεσθῶσιν αἱ μεγάλαι καὶ θαυμασταὶ εὐχαὶ, τότε γίνεται ὁ ἄρτος, σῶμα· καὶ τὸ ποτήριον, αἷμα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ πάλιν. Ἔλθωμεν ἐπὶ τὴν τελείωσιν τῶν μυστηρίων· οὗτος ὁ ἄρτος καὶ τοῦτο τὸ ποτήριον, ὅσον οὔπω εὐχαὶ καὶ ἱκεσίαι γεγόνασι, ψιλὰ εἰσὶ· ἐπ' ἂν δὲ αἱ μεγάλαι εὐχαὶ, καὶ αἱ ἅγιαι ἱκεσίαι ἀναπεμφθῶσι, καταβαίνει ὁ λόγος εἰς τὸν ἄρτον καὶ τὸ ποτήριον, καὶ γίνεται αὐτοῦ τὸ σῶμα.

(1) Sequitur enim postea apud Lucam panis et vini consecratio v. 18. et 19.

(2) Est haec praeclara et authentica doctrina Eutychii adversus graecos praesertim armeniosque schismaticos, qui panem nondum consecratum supplicatione ducta per templum, cum adorationibus et canticis ad altare ante Missam deferunt. De qua orientalium consuetudine (iam inde ab Eutychii temporibus grassante) romana Ecclesia non semel questa est; cavens nimirum periculum falsi cultus et adhuc indebiti.

# ΣΥΝΑΓΩΓΗ ΕΞΗΓΗΣΕΩΝ

## ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

### ΕΚ ΔΙΑΦΟΡΩΝ ΕΡΜΗΝΕΥΤΩΝ ΠΑΡΑ ΝΙΚΗΤΑ ΔΙΑΚΟΝΟΥ ΤΗΣ ΤΟΥ ΘΕΟΥ ΜΕΓΑΛΗΣ ΕΚΚΛΗΣΙΑΣ ΔΙΔΑΣΚΑΛΟΥ.

### CAP. I.

Coll. pag. 1. a. Ἐξ ἀρχῆς μὲν ὁ θεὸς δι' ἑαυτοῦ τοῖς ἀνθρώποις διελέγετο, ὡς ἀνθρώποις δυνατὸν ἦν ἀκοῦσαι· ὅτε δὲ εἰς πολλὴν κακίαν ἐξώκειλε πᾶσα ἡ τῶν ἀνθρώπων φύσις, οὐδὲ οὕτως τέλεον ἀπεστράφη· ἀλλ' ἐπειδὴ λοιπὸν ἀνάξιοι γεγόνασι τῆς αὐτοῦ ὁμιλίας, βουλόμενος πάλιν ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν, καθάπερ ἀνθρώποις μακρὰν ἀφεστηκόσι, γράμματα πέμπει, πρὸς ἑαυτὸν ἐφελκόμενος πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν· τὰ δε γράμματα ταῦτα ἐν μὲν τῇ παλαιᾷ, Μωϋσῆς καὶ οἱ μετ' αὐτόν· ἐν δὲ τῇ καινῇ, μετὰ Ματθαῖον καὶ Μάρκον, Λουκᾶς ἡμῖν ἐκόμισεν ὁ θεσπέσιος.

Συμεῶνος. Λουκᾶς (1) ὃς ἐξ Ἀντιοχείας μὲν προῆλθε τῆς Συρίας ἔνθα καὶ πρῶτον ἄνθρωπος τὴν τοῦ χριστιανοῦ κλῆσιν πεπλούτηκε· φύσιν δὲ ἔχων οἵαν εὐγενῆ καὶ φιλότιμον, ἐφήβου μὲθ ἁπτόμενος, τοῖς τε καθ' Ἑλλάδα καὶ τὴν Αἴγυπτον ἐφοίτα διδασκαλείοις· καὶ τὴν καλλίστην παρ' ἕλλησι παιδείαν συνέλεξε, γραμματικὴν μὲν καὶ ποιητικὴν εἰς ἅπαν κατωρθωκώς· ῥητορικῆς δὲ καὶ τοῦ εὖ δύνασθαι λέγειν, ἥκων εἰς τὸ ἀκρότατον· καὶ μὴ δὲ τῶν τῆς φιλοσοφίας πρεσβείων ἑτέρῳ παραχωρῶν· οὕτω τε πᾶσι τοῖς ἀγαθοῖς προσκείμενος, τέλος καὶ τὴν καλλίστην ἅμα καὶ φιλανθρωποτάτην ἰατρικὴν κατορθοῖ· καὶ τοσοῦτον, ὥστε τα πολλὰ καὶ ἀπὸ ταύ ης χαρακτηρίζεσθαι· ἐπεὶ δὲ τάχει φύσεως καὶ μεγέθει τέχνην ἅπασαν διῆλθε ῥᾳδίως, ἢ ἀέρα πτηνόν, ἅλις δὲ τῆς ἀνθρωπίνης εἶχε παιδείας, πρὸς τὴν ὑψηλοτέραν ἕξιν καὶ ἀμείνω μεταχωρεῖ· τίς δὲ ὁ τρόπος τῆς μεταθέσεως; εἶχε μὲν ἄρτι τὰς ἐπὶ σωτηρίᾳ τοῦ κόσμου διατριβὰς ὁ Χριστὸς, δῄει δὲ ἀνὰ πᾶσαν Ἰουδαῖαν καὶ Γαλιλαίαν, ἥπτετο δὲ που καὶ τῆς ὑπερορίου τὸ κήρυγμα· ἐντεῦθεν ὅπως ἂν ἐγγὺς τοῦ τοιούτου καλοῦ γένοιτο, καὶ αὐτῇ γυμνῇ τῇ ψυχῇ τὴν πληροφορίαν εἰσδέξαιτο, σὺν πολλοῖς ἄλλοις καὶ Λουκᾶς ἐπεθύμησεν· οὐκοῦν τῇ μὲν Ἰουδαίᾳ ἐπιδημεῖ· τῷ ποθουμένῳ δὲ προσφοιτᾷ· καὶ εἰς ὄψιν καὶ λόγους τῷ Ἰησοῦ ἐλθών, καὶ θᾶττον ἐπιγνοὺς τὴν ἀλήθειαν, γνήσιος Χριστοῦ μαθητὴς γίνεται, τὰ πολλά τε τῷ διδασκάλῳ συνών, καὶ τοῖς τέρασιν αὐτοῦ καὶ σημείοις παρηκολουθηκώς, οὐδὲ τῶν σωτηρίων αὐτοῦ παθημάτων ἀπολιμπάνεται· ἀλλὰ καὶ τῆς ἀναστάσεως θεωρὸς ἦν, μετὰ Κλεόπα ἐξ Ἱερουσαλὴμ εἰς τὸν ἀγρὸν Ἐμμαοῦς πορευόμενος· ἐντεῦθεν καὶ

(1) Haec de S. Luca notitia extat, et quidem copiosior, verbis ipsius Metaphrastae, etiam in calce commentarii Arethae ad apocalypsin ed. Paris. an. 1631; a nobis nihilominus heic retinenda fuit tum propter rei opportunitatem, tum quia reliquo Metaphrastae in Lucam inedito commentario viam sternit.

τῆς τοῦ σωτῆρος πρὸς οὐρανὸν ἀναλήψεως, καὶ τῆς τοῦ παναγίου πνεύματος ἐκεῖθεν ἐπιφοιτήσεως, οὗτος τοῖς δώδεκα κεκοινωνηκώς, τῆς αὐτῆς τε πληρωθεὶς χάριτος καὶ δυνάμεως, τῶν ἐθνῶν διδάσκαλος ἀναδέδεικται· καὶ τῷ μεγάλῳ Παύλῳ πιστεύσαντι, συνοδοιπόρος πανταχοῦ καθίσταται καὶ συνέκδημος· φαίην δ' ἂν ὅτι καὶ μαθητής· οὕτω τε ἱερογράφος ὁμοῦ καὶ εὐαγγελιστὴς δείκνυται· ἅτε δὴ καὶ πρότερον παρηκολουθηκώς, καὶ παρὰ τῶν ἀπ' ἀρχῆς ὑπηρετῶν πάντα γνωρισθεὶς ἢ καὶ μυσταγωγηθεὶς ἄνωθεν· τὸ γὰρ τοῦ νυμφοστόλου Γαβριὴλ πρὸς τὴν παρθένον μυστήριον, μόνος οὗτος ἀνετάξατο· καὶ τὴν τοῦ Χριστοῦ γέννησιν, ἀκριβῶς διεχάραξε· καὶ τὰς πάντα νοῦν ὑπεραλλομένας παραδοξοποιΐας φιλαλήθως ὁμοῦ καὶ φιλοκάλως ἐδήλωσε· πραγμάτων ἀληθείᾳ, λόγων συγκεράσας εὐγένειαν, ἐν παραβολαῖς τε διδασκαλίας, κἀν τούτῳ τῶν ἄλλων πλεονεκτῶν ἐξυφήνατο· καὶ συνελόντα φάναι, καθάπερ τὴν ἐπὶ γῆς κάθοδον τοῦ λόγου τρανῶς ἐγνώρισεν, οὕτω καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον, καὶ πρὸς τὸν πατρῷον θρόνον ἐπάνοδον, οἷά τις ἥκων ἐξ οὐρανοῦ, τοῖς ἐπὶ γῆς διεσάφησεν· ὃ δὲ τῶν ἄλλων ἐστὶ χαριέστατον, ὅτι καὶ αὐτὸν τὸν τοῦ προσλήμματος τοῦ ἐμοῦ Χριστοῦ, τόν τε τῆς αὐτὸν τεκούσης, καὶ δούσης τὸ πρόσλημμα, χαρακτῆρα πρῶτος οὗτος κηρῷ καὶ χρώματι γράψας ἐν εἰκόνι, τιμᾶσθαι καὶ μέχρι καὶ νῦν παραδέδωκεν· οὗτος καὶ τὰς τῶν ἀποστόλων πράξεις ἐκτίθεται· καὶ κατὰ Παῦλον, ὧν οὐ θεατὴς μόνον, ἀλλὰ καὶ κοινωνὸς ἦν, ἀκριβέστατα ἐξηγεῖται· ἀλλὰ Παῦλον μὲν ἐν Ῥώμῃ καταλιπὼν, πρὸς ἕω ἀπαίρει· ὅλην δὲ Λιβύην διαδραμὼν, τοῖς ἐπ' Αἰγύπτου ἐπιδημεῖ· καὶ τὴν ἄνωθεν παιδείαν τῆς αὐτοῦ διδασκαλίας εἴσω λαβὼν, τῇ κάτω Θηβαΐδι τῇ ἑπταπύλῳ ἐφίσταται, ἐφ' ᾗ καὶ ἀρχιερεὺς ὑπὸ τοῦ πνεύματος καὶ ποιμὴν προχειρίζεται· καὶ τὴν ἀπάτην διώξας, καὶ τοὺς ὑπὸ βαθεῖ ζόφῳ τῆς ἀγνοίας κατειλημμένους δι' αὐτοῦ εὐαγγελίου πρὸς θεογνωσίαν ἀναγεννήσας, πλήρης ἡμερῶν ἤδη γενόμενος, περὶ τέσσαρα ἔτη καὶ ὀγδοήκοντα, ἐν εἰρήνῃ πρὸς τὸν τῆς εἰρήνης ἀναλύει θεόν· τὸ δὲ ἱερὸν αὐτοῦ λείψανον εἰκοστῷ μὲν ἐνιαυτῷ Κωνσταντίου, τοῦ τρίτου τῶν τοῦ μεγάλου Κωνσταντίνου υἱῶν, διὰ τοῦ θείου Ἀρτεμίου εἰς τὴν βασιλίδα τῶν πόλεων, ἐξ Ἀχαΐας εἴτουν ἐκ Θηβῶν τῆς Βοιωτίας ἀνακομίζεται· ἔνθα καὶ τὸ κατ' αὐτὸν εὐαγγέλιον μετὰ Ματθαῖον καὶ Μάρκον συνέταξε, μετὰ πεντεκαίδεκα ἔτη τῆς τοῦ σωτῆρος ἡμῶν ἀναλήψεως· μετὰ δὲ ταῦτα Ἰουστινιανὸς ἐν ἀργυρέᾳ θήκῃ παρ' αὐτῷ τῷ θείῳ θυσιαστηρίῳ, μετ' Ἀνδρέου καὶ Τιμοθέου τῶν ἀποστόλων, κατατίθησι· καὶ τράπεζα μὲν τοῦ ἱεροῦ θυσιαστηρίου ἡ θήκη τελεῖ· κοινῷ δὲ τῶν ἀποστόλων ὀνόματι, ὁ νεὼς οὗτος προσαγορεύεται· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον· φέρε δὲ ἤδη καὶ τῶν εὐαγγελικῶν ἐδαφίων ἁψώμεθα.

Φωτίου. Τὸ προοίμιον τοῦ εὐαγγελιστοῦ, δύο τινὰ κεφάλαια περιέχει· σύστασίν τε τῶν p. 1. b.
πρὸ αὐτοῦ τὸ εὐαγγέλιον συγγραψάντων, οἷον Ματθαίου καὶ Μάρκου, καὶ ἀπολογίαν δι' ἣν καὶ αὐτὸς ἐπὶ τὸ συγγράφειν ἦλθεν· εἰπὼν δὲ τὸ, ἐπεχείρησαν, λέξιν δυναμένην ἐπί τε τῶν τολμηρῶς ἁπτομένων τῆς ὑποθέσεως ἁρμόττειν, καὶ ἐπὶ τῶν εὐλαβῶς αὐτῇ προσιόντων· δυσὶν ἐπιδιορθώσεσι τὸ ἀμφίβολον τῆς λέξεως ἐπιδιορθοῦται, ἔκ τε τοῦ εἰπεῖν περὶ τῶν πεπληροφορημένων ἡμῖν πραγμάτων, καὶ ἐκ τοῦ εἰπεῖν καθὼς παρέδοσαν οἱ αὐτόπται, καὶ ἑξῆς· οἱ γὰρ κατ' ἄμφω ταῦτα ἐπιχειροῦντες διηγεῖσθαι, δηλονότι πανευλαβῶς καὶ οἰκείως ἐπιχειροῦσι· τῇ μὲν ἀδιστάκτῳ πληροφορίᾳ τὸ ἀληθὲς ἀπαγγέλλοντες, τῇ δὲ ἀξιοπιστίᾳ τῶν παραδεδωκότων τὸ εὐπαράδεκτον εἰσηγούμενοι· ἅμα δὲ καὶ τὸ, παρέδοσαν, ἔμφασιν ἔχειν μοι δοκεῖ τῆς ἐπὶ τὸ καὶ αὐτῆς παραδιδόναι προτροπῆς· καθὼς γὰρ ἐκεῖνοι παρέδοσαν, καὶ

αὐτοὺς δεήσει πάλιν ἐκεῖθεν παρειληφότας, ἀκολούθῳ λόγῳ ἀλλήλοις ταῦτα παραδιδόναι· εἶτα· ἐπεὶ ἀγράφου τῆς παραδόσεως γινομένης, ἀνάγκη ἦν πάλιν τοὺς παρειληφότας, ἄλλοις παραδοῦναι· κἀντεῦθεν συνέβαινε τὰ παραδιδόμενα, ἢ λήθη τῶν ἐν μέσῳ ὑποδεχομένων, ἢ ῥᾳδιουργίᾳ πολλὰ παραπεποιῆσθαι· ὅπου γε καὶ γεγραμμένων τινὲς ἐτόλμησαν ταῦτα παραφθείρειν· ἐπεὶ οὖν ἀγράφων ὄντων τῶν παραδιδομένων, εἰκὸς ἦν ἄτοπα πολλὰ συμβαίνειν, τῷ μακρῷ χρόνῳ, εἰκότως οἱ ἀπὸ τῶν αὐτοπτῶν καὶ ὑπηρετῶν τοῦ λόγου πρῶτοι παρειληφότες, ἔγγραφον παντὶ τῷ κόσμῳ παρέσχοντο τὴν παράδοσιν· καὶ τὴν ἐπιβουλὴν ἀπελαύνοντες, καὶ τὴν λήθην ἀνακόπτοντες, καὶ τὸ ἀνελλιπὲς τῇ παραδόσει περιποιούμενοι· ἀλλὰ Ματθαῖος μὲν καὶ Μάρκος, ὡς παρέλαβον, οὕτω καὶ παρέδοσαν· ἄλλοι δὲ καθὼς αὐτοὺς ἡ πονηρὰ καὶ θρασεῖα συνήλασε γνώμη, ἐπεχείρησαν διηγεῖσθαι διανοίας ἰδίας ἀναπλάσματα, ὡς τὸ λεγόμενον κατ' Αἰγυπτίους, καὶ τῶν δώδεκα εὐαγγέλιον· ὡς γὰρ τῷ σίτῳ τὸ ζιζάνιον, οὕτως καὶ τῇ ἀληθείᾳ φιλονεικεῖ τὸ ψεῦδος ἐπισυνίστασθαι· ἀλλ' ἐκεῖνα μὲν εὐσεβούντων καὶ χοροῦ καὶ μνήμης ἐξωστράκισται· ὁ δὲ μακάριος Λουκᾶς· δι' ὧν ἔφη συστήσασθαι τῶν πρὸ αὐτοῦ εὐαγγελιστῶν τὴν ἀκρίβειαν, ἐπὶ τὴν ὁμοίαν ἐκείνοις προαίρεσιν ἔρχεται, δι' αἰτίαν δι' ἣν κἀκείνοις γράφειν ἐγένετο· ὡς γὰρ ἐκεῖνοι διότι παρέλαβον, καὶ καθὼς παρέλαβον γράφουσιν, οὕτω καὶ οὗτος διότι καὶ ἐξ ἀρχῆς, καὶ καθὼς ἠκολούθησεν, οὕτω καὶ εἰς τὸ γράφειν ἐλήλυθεν· οὐκ ἐναντία οὖν πράττων ἐκείνοις, ἀλλὰ συντρέχων καὶ συμμαρτυρούμενος μᾶλλον γράφει· δι' ἑτέραν δὲ αἰτίαν, ὅτι Θεόφιλόν τινα θεοφιλῆ ἐργασάμενος ἀληθῶς, καὶ τὸν τῆς πίστεως αὐτῷ παραδεδωκὼς ἀγράφως λόγον, ἀκοῇ δὲ ταῦτα μόνῃ πιστεύει οὐκ ἦν ἀσφαλὲς, καὶ διὰ γραφῆς αὐτῷ τὴν ἀσφάλειαν τῶν κατηχηθέντων λόγων ἀπεργάζεται, καὶ δι' αὐτοῦ παντὶ τῷ κόσμῳ δαψιλεύεται τὴν ὠφέλειαν· εἰκότως οὖν οὗτος καὶ προοιμίου ἐδεήθη· δι' οὗ ἥ τε σύστασις τῶν πρὸ αὐτοῦ πραγματεύεται, καὶ ἡ αἰτία δι' ἣν μετ' ἐκείνους ἔγραψεν, ἐπιγινώσκεται· ἐκείνων μηδὲν ὑπὲρ τῆς ἰδίας εἰπόντων συστάσεως· ἀλλ' ὥσπερ τούτῳ τὴν ὑπὲρ αὐτῶν μαρτυρίαν καταλελοιπότων.

v. 5. p. 3. b. Σιμεῶνος. Καὶ φησὶ κατὰ τοὺς χρόνους τούτους, ἱερέα γενέσθαι Ζαχαρίαν, ἐξ ἐφημερίας Ἀβιά· δύο γὰρ ἱερεῖς ἦσαν, ἐκ διαδοχῆς τὴν λειτουργίαν ἀνῃρημένοι, ὅ τε Ἀβιὰ καὶ ὁ Ζαχαρίας· ἐπεὶ οὖν ἱερατεύσειε τῇ λειτουργίᾳ ὁ Ἀβιὰ, μετὰ τὴν ἐκείνου ἐφημερίαν, ἐλειτούργει καὶ Ζαχαρίας· ἐφημερίαν δὲ νοητέον, οὐ τὸ πρὸς ἡμέραν, ἀλλὰ τὸ πρὸς ἑβδομάδα μᾶλλον παραμένειν τῇ λειτουργίᾳ· τοῦτο γὰρ τοῖς παλαιοῖς ἔθιμον.

Τοῦ αὐτοῦ. Εἶναι φησὶ τῷ Ζαχαρίᾳ γυναῖκα, ἐκ τῆς λευϊτικῆς φυλῆς καταγομένην, ὅθεν καὶ αὐτὸς ἦν· ἵν' ἑκατέρωθεν νόμιμος ἱερεὺς ᾖ· ἐκ τῆς αὐτῆς γὰρ φυλῆς καὶ πατριᾶς, ἀλλ' οὐκ ἐξ ἑτέρας ἐξῆν ἄγεσθαι γυναῖκα, ἑρμηνεύεται δὲ Ζαχαρίας μὲν μνήμη θεοῦ, Ἐλισάβετ δὲ θεοῦ ἀνάπαυσις.

v. 6. Τοῦ αὐτοῦ. Δικαιοσύνην δὲ τούτοις μαρτυρεῖ, τὴν κατ' ὀφθαλμοὺς θεοῦ· αὕτη γὰρ ἡ ὄντως δικαιοσύνη· ἐπεὶ καὶ θεῷ μόνῳ ἀνθρώπων καρδίαι καταφανεῖς.

v. 13. p. 5. a. Βασιλείου. Τετηρήκαμεν δὲ, ὅτι οἷς ἐξεπίτηδες τίθενται τὰ ὀνόματα, ἔνδειξιν ἔχει τῆς ὑποκειμένης φύσεως· ὡς τῷ Ἀβραὰμ, τῷ Ἰσαὰκ, τῷ Ἰσραήλ· τούτων γὰρ ἑκάστου ἡ προσηγορία, οὐ μᾶλλον τὸν τοῦ σώματος χαρακτῆρα, ἢ τὸ ἰδίωμα τῆς κατορθουμένης ὑπ' αὐτῶν ἀρετῆς, παρεδήλου· διὰ τοῦτο καὶ νῦν τὸν τεχθησόμενον τῷ Ζαχαρίᾳ Ἰωάννην φησὶν ὁ ἄγγελος κληθήσεσθαι· ὅ ἐστι χάρις θεοῦ· κατὰ δέ τινας, ὁ δεικνύς.

Σιμεῶνος. Ἔσεσθαι οὖν μέγαν τὸν Ἰωάννην, οὐχ' ἁπλῶς, ἀλλ' ἐνώπιον κυρίου προαγο- v. 13.
ρεύει ὁ Λουκᾶς· ὥσπερ ἄρα καὶ τοὺς γεγεννηκότας, δικαίους ἐνώπιον θεοῦ προλαβὼν, ἔλεξεν.

Τοῦ αὐτοῦ. Ἐνταῦθα δείκνυσιν ἐν τίνι μέγαν τὸν Ἰωάννην ἔσεσθαι ὁ θεῖος ἔφη ἀρχάγ-
γελος, ὅτι ἐν τῇ δαψιλείᾳ τοῦ πνεύματος· οὐδὲ γὰρ θείας χάριτος κοινωνήσειν ἁπλῶς, ἀλλὰ
πλησθήσεσθαι αὐτὸν πνεύματος ἁγίου· καὶ οὐ μετά τινα χρόνον, οὐδὲ ἡλικίας τινὸς ἁπτό-
μενον· ἀλλ' ὅτι σύνδρομος αὐτῷ ἔσται ἡ ἀπὸ γαστρὸς ἐξέλευσις, καὶ ἡ τοῦ πνεύματος πλή-
ρωσις· τί δὲ καὶ ἔργον ἕξει ὁ Ἰωάννης καὶ τί διαπράξεται.

Τοῦ αὐτοῦ. Ὥσπερ ὁ θεσβίτης Ἠλίας τῆς δευτέρας ἔσται παρουσίας Χριστοῦ πρόδρομος, v. 17. p. 5. b.
οὕτω καὶ Ἰωάννης τῆς πρώτης γέγονε· τῇ τε ἴσῃ δυνάμει καὶ τῷ αὐτῷ πνεύματι· καὶ ἐπέ-
στρεψε καρδίας πατέρων ἐπὶ τέκνα· τουτέστιν ἐπηκόους γενέσθαι τοὺς Ἰουδαίους παρεσκεύα-
σε τῆς τῶν ἀποστόλων διδασκαλίας· οἱ γὰρ ἀπόστολοι, ἐκείνων τέκνα τῇ συγγενείᾳ τοῦ αἵ-
ματος, ὧν καὶ τῇ φρονήσει καταπεισθεῖς ὤφθησαν, οἱ τέως ἀπειθεῖς καὶ ἀνήκοοι ἰουδαῖοι·
πρὸς τοῦτο γὰρ φέρει καὶ τὸ κατασκευάσαι κυρίῳ λαὸν περιούσιον τὸ τὸν ἰουδαϊκὸν λαὸν εὐ-
πειθῆ γενέσθαι Χριστῷ καὶ πρὸ τῆς τοῦ Χριστοῦ φανερώσεως, ὑπὸ Ἰωάννου δηλαδὴ προευ-
τρεπισθέντας, καὶ τῆς αὐτοῦ γλώττης θήραμα γενομένους.

Ἀντιπάτρου Βοστρῶν. Εὐθύνας μὲ ὦ Ζαχαρία ὧν εἴρηκα αἰτεῖς, λογοθετεῖς τοῦ θεοῦ v. 19. p. 6. a.
τὸν διάκονον· εὐαγγέλια φέροντα, ἐνέχυρα ἀπαιτεῖς· ἐνέχυρον τῶν λαληθέντων λάμβανέ μου
τὸ ὄνομα· ἐγὼ γάρ εἰμι Γαβριὴλ· ὅ ἐστιν ἄνθρωπος θεοῦ· καὶ εἰ μικρόν σοι τοῦτο, μάνθα-
νε τὸ ἀξίωμα, ὅτι παρέστηκα ἐνώπιον κυρίου, παρ' οὗ καὶ ἀπεστάλην λαλῆσαι σοι ταῦτα.

Τοῦ αὐτοῦ. Τούτων φησὶν ἔνδον τελουμένων, ὁ καιρὸς παρελκόμενος εἰς θαῦμα ἦγεν v. 22.
ἔξω ἑστῶσαν τὴν πληθύν· ἥ τε ὑπόνοια εἰς πολλὰ μεριζομένη, ἑκάστῳ τὸ δοκοῦν ὑπηγό-
ρευε· μέχρις οὗ Ζαχαρίας φανεὶς, ἐδίδαξε σιγῶν ἃ πέπονθε λαθών.

Σιμεῶνος. Ὅτι γὰρ κατὰ πόδας ἡ δίκη, καὶ τῇ φωνῇ ἅμα τοῦ ἀγγέλου τῷ Ζαχαρίᾳ ἐσ-
βεστο ἡ φωνὴ, δεῖγμα σαφὲς τὸ νεῦμα· ἦν γάρ φησι διανεύων αὐτοῖς· τῷ λαῷ δηλονότι
δι' ἀπορίαν τοῦ φθέγματος· σὸν ἄρα καὶ τοῦτο πρόδρομε, καὶ τῆς σῆς ἐκ προοιμίων ἀποῤῥή-
του δυνάμεως, ἵνα καὶ τῷ πατρὶ λύσῃς δεσμὰ γλώττης, ἐκ ψιλοῦ τοῦ ὀνόματος· καὶ τῇ μη-
τρὶ πέδας ἀναγκαίας στειρώσεως· ὥσπερ οὖν καὶ πολλοῖς ὕστερον κηρύγματι μετανοίας, ἁμαρ-
τιῶν δεσμὰ λέλυκας· εἰκότως δὲ δύο ταῦτα πάθη ὁ ἱερεὺς ἔπαθε· τὸ, μήτε ἀκούειν μή-
τε λαλεῖν· ὡς μὲν γὰρ παρακούσας, καταδικάζεται κώφευσιν· ὡς δὲ ἀντειπὼν, σιωπήν.

Ἀντιπάτρου Βοστρῶν. Ἀποδοὺς τοίνυν ὁ Ζαχαρίας τὰς τῆς λειτουργίας ἡμέρας, ἀπῆλ- v. 23. p. 6. b.
θεν οἴκαδε ἔχων ἐν τοῖς σπλάγχνοις τὸ εὐαγγέλιον, καὶ ἐν τῷ στόματι χαλινόν· σύγχρο-
νον τῇ κυήσει τὴν ἀφωνίαν λαβὼν· ὅρον τῆς καταδίκης, τοῦ παιδὸς τὸν τόκον δεξάμενος·
τῷ γὰρ τεχθέντι τὴν προσηγορίαν ἀποδοὺς, ἀπέλαβεν τὴν φωνήν· καὶ ἡ χεὶρ ἔλυε τῆς
γλώττης τὴν σιωπήν.

Σιμεῶνος. Ζαχαρίας μὲν τῶν ἡμερῶν αὐτῷ τῆς λειτουργίας ἤδη τελεσθεισῶν ἐν ἁγιό- v. 24.
τητι, οἴκαδε ἐπανῄει· τῇ Ἐλισάβετ δὲ μετὰ ταῦτα ἐκ παραδόξου ἡ σύλληψις ἐπιλάμπει· καὶ
περιέκρυβεν ἑαυτήν φησι μῆνας πέντε, τὴν γηραιὰν ὥσπερ καὶ ἔξωρον αἰδουμένη κυοφορίαν·
ὡς δέον ἤδη τῆς γαμικῆς ὁμιλίας κεχωρίσθαι διὰ τὸ γῆρας.

Βασιλείου. Ἐκ γὰρ θείου προστάγματος, ἡ κατεψυγμένη καὶ ἄγονος ὠδίνει ἀθρόως· καὶ v. 25.
πρὸς καρποφορίαν συγκινεῖται· καὶ ὥσπέρ τινα σκυθρωπὴν καὶ πενθήρη ἀποῤῥίψασα περιβο-

λὴν, μεταμφιεννυμένη δὲ τὴν φαιδροτέραν, περιχαρῶς φησίν· ἀφεῖλεν ὁ κύριος τὸ ἐν ἀνθρώποις μου ὄνειδος.

p. 7. a. Τοῦ Γεωμέτρου καὶ τοῦ ἁγίου Βασιλείου. Διπλῆ γὰρ αὐτοῦ ἡ γέννησις· ἡ μὲν ἄνω τε καὶ πρώτη, ἐκ μόνου πατρὸς ἄχρονος καὶ ἀναίτιος· οὐ γὰρ ἵνα τὸ δέ τι, διὰ τοῦτο υἱὸς, τῇ δὲ ἀρχῇ καὶ αἰτιατή· πῶς γὰρ ἂν καὶ εἴη υἱὸς, μὴ τὸ εἶναι λαβὼν παρὰ τοῦ πατρὸς; ἡ δὲ κάτω τε καὶ δευτέρα, ἐκ μόνης μητρὸς· χρονική τε καὶ αἰτιατή· καὶ ἡ αἰτία, ἡ ἐμὴ σωτηρία· πέμπεται μὲν οὖν ἄγγελος, διὰ τὸν ἄγγελον· ὁ τοῦ φωτὸς, διὰ τὸν τοῦ σκότου· ὁ ἄρχων, διὰ τὸν κοσμοκράτορα· ὁ πτερωτὸς, διὰ τὸν ἑρπηστήν.

v. 26. Τοῦ αὐτοῦ. Ὁ μὲν οὖν διὰ τὸν σοφιστὴν τῆς κακίας ἀποστέλλεται ὡς ἀντίθετος· ἐκλέγεται δὲ καὶ διὰ τὴν γυναῖκα, γυνή· διὰ τὴν Εὔαν, ζωή· διὰ τὴν φθαρεῖσαν, παρθένος· διὰ τὴν πλανηθεῖσαν, ἡ μὴ συναρπαγεῖσα· διὰ τὴν τῆς Ἐδὲμ ἐκπεσοῦσαν, ἡ τῷ ναῷ προσαχθεῖσα· διὰ τὴν ἡδονῇ δελεασθεῖσαν, ἡ μὴ δὲ λογισμοῖς εὐπειθεῖσα· διὰ τὴν κακῶς τῷ δαίμονι ψιθυρίσασαν, ἡ διηνεκῶς τῷ θεῷ προσομιλήσασα· δέχεται τὴν χαρὰν, διὰ τὴν ἀράν· ἔπεισιν ὁ νυμφίος· ἐφίσταται ὁ νυμφαγωγὸς χαίρων ἅμα καὶ φρίττων· τὸ μὲν, εὐαγγέλια τῇ τε κόρῃ καὶ τῇ φύσει πάσῃ διακονούμενος· τὸ δὲ, ὡς παρὰ δεσπότου, καὶ περὶ δεσπότην πεμπόμενος· καὶ ἅμα, τὸ φρικτὸν τοῦ πράγματος ἐνδεικνύμενος.

v. 28.
p. 7. b. Τοῦ αὐτοῦ. Τούτων τὰ μὲν, τῆς νύμφης· τὰ δὲ, τοῦ νυμφίου· ἀμφότερα γὰρ ὁ ἄγγελος· τὰ μὲν, ἐπαγγέλλεται· τὰ δὲ, μαρτυρεῖ· τὸ μὲν ἤδη κεχαριτῶσθαι ταύτην ἐκ πνεύματος, καὶ ἀξίαν γεγενῆσθαι τῶνδε τῶν νυμφευμάτων· τοῦτο τῇ κόρῃ μαρτυρεῖ· τὸ δὲ τὴν χαρὰν αὐτῇ χαρίζεσθαι, διὰ τὴν πάλαι λύπην, καὶ τὴν λύσιν τῆς ἀποφάσεως· τοῦτο ἡ ἐπαγγελία· καὶ τὸ μὲν χαῖρε, οἱονεὶ μνῆστρον τοῦ νυμφίου καὶ ἀῤῥαβών· τὸ δὲ κεχαριτῶσθαι ταῖς ἀρεταῖς, τοῦτο τῆς νύμφης ὁ πλοῦτος· τὸ δὲ καὶ ὁ κύριος μετὰ σοῦ, αὐτὸ τῆς ἐπαγγελίας τὸ τέλος· αὐτὸς ὁ νυμφίος εὔλογος, ὡς λόγος διὰ λόγου καὶ σὺν τῷ λόγῳ καὶ ὑπὲρ λόγον τὴν ἕνωσιν ἐργαζόμενος· καὶ νυμφίος ὁ αὐτὸς ὁμοῦ καὶ πατὴρ καὶ υἱὸς γινόμενος, ὡς αὐτὸς μὲν σπείρων, αὐτὸς δὲ σπειρόμενος· μᾶλλον δὲ ὥσπερ ὀπὸς γάλα τὴν ὅλην φύσιν κινῶν, καὶ ἑαυτῷ περιπλάττων· εἶεν δὲ καὶ τὸ ἀκροτελεύτιον, ὡς πληρέστατόν τε ἅμα καὶ συντομώτατον· εὐλογημένη σὺ ἐν γυναιξὶ, παρὰ πάσας ὁμοῦ δηλαδὴ τὰς γυναῖκας· ἀλλὰ καὶ εὐλογημέναι πάντως ἐν σοὶ αἱ γυναῖκες· καθάπερ καὶ οἱ ἄνδρες, ἐν τῷ υἱῷ· μᾶλλον δὲ καὶ ἐν ἀμφοτέροις ἀμφότεροι· καθάπερ γὰρ διὰ μιᾶς καὶ ἑνὸς γυναικὸς καὶ ἀνδρὸς ἡ ἀρὰ καὶ λύπη, οὕτω καὶ νῦν διὰ μιᾶς καὶ ἑνὸς ἡ εὐλογία τε καὶ χαρὰ καὶ τοῖς ἄλλοις ἅπασι διεδόθη.

Τοῦ αὐτοῦ. Ἀλλ' ὅρα πῶς ἀντίθετα τοῖς πάλαι τὰ νῦν· ἐκεῖ, ἐν λύπαις τέξεις τέκνα· ἐνταῦθα, χαῖρε· καὶ τὴν λύπην ἐκβάλλων, καὶ ἀντεισάγων τὴν ἀγαλλίασιν· ἐκεῖ, λύπαι προηγούμεναι τῶν ὠδίνων· ὠδῖνες δὲ τὰς λύπας διαδεχόμεναι· καὶ παρὰ τὰς ὠδῖνας, λύπαι, καὶ τὰς λύπας, ὠδῖνες· καὶ κύκλος τῶν συμφορῶν· ἀεὶ γὰρ ἡ ἀποστροφὴ πρὸς τὸν ἄνδρα, καὶ ἡ σύλληψις, καὶ ἐπικύησις καὶ τῶν τέκνων ἅμα καὶ τῶν ὠδίνων· ἐνταῦθα χαρὰ μὲν ἡγήτρια τῶν ὠδίνων· τῆς δὲ χαρᾶς, ἡ χάρις αὐτὴ μαιεύτρια· καὶ γλυκεῖα μὲν ἡ κυοφορία, γλυκυτέρα δὲ ἡ θεοτοκία· καὶ τῆς κοσμικῆς εὐτοκίας αὐτουργὸς ὁμοῦ καὶ προάγγελος.

v. 29. Τοῦ αὐτοῦ. Ὅρα μοι τῆς παρθένου τὴν καθαρὰν καὶ σοφὴν καὶ ψυχὴν ὁμοῦ καὶ φω-

τὴν χαρὰν ἀκούσασα, οὐχ ἥπλωσε τὴν ἀκοὴν, ἀλλ' ἐβασάνισε τὴν φωνήν· καὶ οὔτε φα-
νερῶς ἀντιπίπτει διὰ τὴν ἀπιστίαν, οὔτε παντελῶς εὐθὺς ὑποπίπτει διὰ τὴν εὐκολίαν· ἀλλ'
ἐπίσης φεύγουσα καὶ τὴν ἁπαλότητα τῆς Εὔας, καὶ τὴν ἀπείθειαν τοῦ Ζαχαρίου, μέση χω-
ρεῖ διὰ τὴν ἀσφάλειαν· καὶ διαταράττεται μὲν ὡς εἰκός· οὐ διὰ τὰ ὁρώμενα μᾶλλον· τοσοῦ-
τον αὐτῇ τὸ παράστημα· ἄλλως τε καὶ τούτων οὖσα τῶν θεαμάτων ἤδη συνήθης, ἀλλὰ διὰ
τὰ λεγόμενα· ταῦτά τοι καὶ ὁ εὐαγγελιστὴς οὐ τῇ θεωρίᾳ μᾶλλον, ἀλλὰ τῇ ἐπαγγελίᾳ τὸν
τάραχον ἀποδίδωσι· διεταράχθη γάρ φησιν ἐπὶ τῷ λόγῳ.

Φωτίου. Τί ἰδοῦσα, καὶ τίνος ἕνεκεν διεταράχθη; ἰδοῦσα τὸν ἄγγελον ἁγνοῖς τοῖς ὀφ- p. 8.
θαλμοῖς ἀτενίζοντα, ἀλλὰ μνηστῆρος μηνύματα φέροντα· καθαρῷ βλέμματι προσανέχοντα,
ἀλλὰ γάμου λέγοντα συναλλάγματα· τούτων τῶν νυμφικῶν ῥημάτων γενομένη κατήκοος, καὶ
παθῶν ἀμέτοχα τῆς ὁμιλίας τὰ σχήματα βλέπουσα, ταῖς τῶν λογισμῶν ἀντιπνοίαις ἐτα-
ράσσετο· ὁρῶ φησι τὸν μηνυτὴν εὐλαβῶς παριστάμενον, καὶ περιχαρῶς τὴν ἀγγελίαν ἀναπεί-
θομαι δέξασθαι· ἀλλὰ νυμφικούς μοι λόγους προβάλλεται, καὶ τὴν χαρὰν εἰς φόβον μηθίστη-
σι· καὶ θορυβεῖ τὴν ψυχὴν τῷ μηνύματι· ὁρῶ τὸ πρόσωπον αἰδοῖ συστελλόμενον· ἀλλὰ νυμ-
φίου μοι παρουσίαν ἐπαγγέλλεται· ὁρῶ συνετῶς διαλεγόμενον, ἀλλὰ συλλήψεως ῥήματα φθέγ-
γεται· καὶ τῆς παρθενίας ὁ πόθος, τὸν λόγον ὡς δόλον ὑποπτεύειν βιάζεται· διὰ τοῦτο ἐκ-
ταράσσομαι, ὡς ἰσοῤῥόπῳ γνώμῃ τὸ πρᾶγμα ζυγοστατούμενον βλέπουσα· ἡ τάξις μὲν γὰρ τοῦ
μηνυτοῦ καὶ κατάστασις, σὺν τῷ κοσμίῳ τοῦ σχήματος, θεόθεν ἥκειν διδάσκει τὸ μήνυμα·
τὰ ῥήματα δὲ μνηστῆρος ἔμφασιν ὑπεμφαίνοντα, ἀνανεύειν πείθει τὴν συγκατάθεσιν.

Τοῦ Γεωμέτρου. Οὐχ' ὁ τοκετός· ἔτι γὰρ ἠγνόει τοῦ μυστηρίου τὸ μέγεθος· ἀλλ' ὅμως,
ἐδεδοίκει καὶ ἔτρεμε τὴν θείαν ὁμιλίαν καὶ κοινωνίαν· καὶ καθ' αὐτὴν ἠπόρει ποταπή τις
αὕτη καὶ ὅπως· ἆρα πορνική τις καὶ ἄτοπος ὡς ἐξ ἀνδρὸς πρὸς κόρην, ἢ θεία· ἐπειδὴ καὶ
θεοῦ μνήμη αὐτῇ σύνεστι, τὸ ὁ κύριος μετὰ σοῦ.

Φωτίου. Ἐθορυβήθη τοῖς λόγοις, οὐκ ἀπεστράφη τὴν εὐεργεσίαν· διεταράχθη, ἀλλὰ διε-
λογίζετο· καὶ τὸν τρόπον μὲν ἐπιζητοῦσα τοῦ ἀσπασμοῦ, τὸν δὲ λόγον ὁρῶσα διαφεύγοντα
τοὺς λογισμοὺς, φόβῳ κατείχετο σώφρονι, καὶ τὸ ξένον τοῦ ἀσπασμοῦ κατεπλήττετο· τί οὖν
ὁ ἄγγελος; ἆρα κατέλιπεν αὐτὴν ταῖς ἀντισπώσαις διανοίαις ταράσσεσθαι, καὶ τοῖς κύμασι
τῶν ἀποριῶν κλυδωνίζεσθαι; καὶ πῶς ἂν τοῦ προστάγματος οὐ φαῦλος ὑπηρέτης ἠλέγχετο;
πῶς δὲ δίκας οὐκ ἂν δικαίως εἰσεπράττετο, ὅτι τὴν παρθένον θορυβεῖσθαι κατέλιπε; διὰ
τὸ μὴ εἶναι τοίνυν δυνατὸν θορυβουμένην καὶ φοβουμένην, ἀκριβῶς ἀκούειν τὰ λεχθησόμενα,
διὰ τοῦτο λύει πρῶτον αὐτῆς τὸν φόβον.

Τοῦ Γεωμέτρου. Καί τοι τῆς κόρης μηδὲν εἰπούσης, ἀλλ' ἐν ἑαυτῇ περὶ τοῦ ἀσπασμοῦ v. 30.
διαλογιζομένης, ὁ χαροποιὸς νυμφοστόλος, οἷα νοῦς, τὸν νοῦν αὐτῆς ὁρῶν, οὐκ ἐκβάλλει μό-
νον τὸν φόβον, ἀλλὰ καὶ πᾶσαν ἀντεισάγει χαρὰν, καὶ μηνύει τὸν ἄφραστον τόκον· μὴ
φοβοῦ, φησι· τοῦτο διὰ τὸν πρὸ τῶν ὠδίνων φόβον.

Φωτίου. Οὐκ ἀπάτην ἦλθον λαλῆσαι σοι, ἀλλὰ τῆς ἀπάτης ἀναίρεσιν εἰσηγήσασθαι·
οὐ πλανῆσαι παραγέγονα, τῆς δὲ πλάνης λύτρωσιν ἐγγυήσασθαι· οὐ συλῆσαι σοι τὴν ἄσυλον
παρθενίαν ἐπεδήμησα, ἀλλὰ τοῦ πλάστου τῆς παρθενίας καὶ φύλακος τὴν ἐνοίκησιν εὐαγγε-
λίσασθαι· οὐκ ὄφεώς εἰμι πονηρίας διάκονος, ἀλλὰ τοῦ καταργοῦντος τὸν ὄφιν ἀπόστολος·
νυμφοστόλος οὐκ ἐπίβουλος παραγέγονα· χαρᾶς πρόξενος, οὐ λύπης παραίτιος· σωτηρίας προ-

ἄγγελος, οὐκ ἀπωλείας σύμβουλος· ἐγὼ τοῖς προστάγμασι τοῖς δεσποτικοῖς τοὺς σοὺς λογισμοὺς θεραπεύσω· ἐγὼ τοὺς δεσμοὺς διαλύσω τῆς ἀπορίας.

Τοῦ αὐτοῦ. Χάριτός ἐστι θείας ὁ ἀσπασμὸς, ἀλλ' οὐ φύσεως ὑπουργός· χάριτος θεϊκῆς, οὐκ ἀνθρωπίνης ἐπιβουλῆς· χάριτος τὸν ἀνθρώπινον ὑπερπεδώσης λογισμόν· ἀλλ' ὅταν χάριν ἀκούσῃς ἄνθρωπε, μὴ μάτην τὸ χάρισμα τῇ παρθένῳ χορηγηθῆναι νομίσῃς· μὴ δὲ φιλοτιμίαν διάκενον τὸ δῶρον ὑπολάβῃς· εὗρε γὰρ χάριν ἡ παρθένος παρὰ θεῷ, ὅτι ἀξίαν ἑαυτὴν τῷ δημιουργῷ κατεσκεύασεν· ὅτι τῷ κάλλει τῆς ἁγνείας τὴν ἑαυτῆς ψυχὴν ὡραΐσασα, κατοικητήριον ἀξιέραστον ἑαυτὴν τοῦ λόγῳ τοὺς οὐρανοὺς στερεώσαντος ἡτοιμάσατο· ὅτι οὐ μόνην τὴν παρθενίαν ἄχραντον διετήρησεν ἀλλά γε καὶ τὴν προαίρεσιν ἀμόλυντον συνετήρησεν· ὅτι ἐκ βρέφους κατηγιάσθη θεῷ, λαὸς ἔμψυχος καὶ ἀλάξευτος τῷ βασιλεῖ τῆς δόξης οἰκοδομούμενος, διὰ τὸ τοῦ σώματος ἀκηλίδωτον· διὰ τὸ τῆς παρθενίας ὑπέρλαμπρον· διὰ τὸ τῆς ἁγνείας ἀμόλυντον· διὰ τὸ τῆς προαιρέσεως καθαρώτατον· διὰ τὸ τῆς ψυχῆς πρὸς τὴν ἁμαρτίαν ἀῤῥεπὲς, καὶ τοῦ κρείττονος ἀμετάπτωτον·

v. 31. Τοῦ Γεωμέτρου. Τὸ μέν τοι ἰδοὺ, τὸ τάχος καὶ τὸ νῦν δηλοῖ· ἵνα καὶ διὰ τούτου τὴν διὰ λόγου καὶ σὺν τῷ λόγῳ ἐμφήνῃ σύλληψιν·

v. 35. p. 8. b. Τοῦ αὐτοῦ. Ἐπειδὴ δέ ἐστι καὶ ἐν γαστρὶ κατὰ τὸν προφήτην τῇ γε πνευματικῶς νοουμένῃ πνεῦμα συλλαβέσθαι θεοῦ· καὶ πνεῦμα σωτηρίας ἀποτεκεῖν, ἀλλὰ σύ φησι καὶ τέξεις υἱόν·

Τοῦ αὐτοῦ. Οὐχ' ὅσον οὐδὲν αὐτή φησιν ἐκ τοῦ τόκου πείσῃ δεινὸν ἢ πικρὸν, ἀλλὸ καὶ ὁ τόκος ἔσται παντὶ τῷ κόσμῳ σωτήριος· καὶ δῆλον τὸ ἔργον ἐκ τοῦ ὀνόματος.

p. 9. a. Βασιλείου. Ἅγιον δὲ λέγεται τὸ ὄνομα τοῦ θεοῦ· οὐ πάντως διὰ τὸ ἐν συλλαβαῖς ἔχειν τινὰ δύναμιν ἁγιαστικὴν, ἀλλ' ὅτι πνεῦμα ἡ ἰδία ποιότης τοῦ θεοῦ, καὶ ἔννοια τῶν ἐξαιρέτως περὶ αὐτὸν θεωρουμένων, ἁγία ἐστὶ καὶ ἁγνή.

v. 49. Φωτίου. Τὸ μέλλον, ὡς ἤδη παρὸν ἀποφαίνεται· ἀντὶ γὰρ τοῦ, ποιήσει, φησὶν ἐποίησεν, ὡς ἤδη κατορθωθὲν καὶ γενόμενον, τῆς αὐτοῦ φησι χειρὸς οὐκ ἀνθρώπου τὸ ἔργον· ἐποίησε κράτος, οὐ διὰ Μωϋσέως (1) ὡς πάλαι ἐπὶ τοὺς αἰγυπτίους· οὐδὲ διὰ Ἰησοῦ τοῦ Ναυῆ, ὡς τότε ἱεριχούντεια τείχη κατασείων περιόδῳ ἱερέων καὶ σαλπίγγων ἠχῇ· οὐδὲ δι' ἀγγέλου, ὡς ἡνίκα τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας κατεστρώννυε τῶν πολεμίων· οὐδὲ δι' ἄλλου τινός· ἀλλὰ διὰ τίνος; δι' αὐτοῦ τοῦ οἰκείου βραχίονος· βραχίων δὲ τοῦ πατρὸς, ὁ υἱός· κατὰ τὸ, ἐλυτρώσω ἐν βραχίονί σου τὸν λαόν σου· δι' αὐτοῦ οὖν νίκην εἰργάσατο, καὶ τρόπαιον ἔστησε κατὰ τῶν πάλαι τυραννούντων τῶν ἐχθρῶν.

v. 51. Τοῦ αὐτοῦ Κατετροπώσατο φησὶν οὐκ αἰγυπτίους, ἢ ἀσσυρίους, ἢ τόδε τὸ πολέμιον, ἀλλὰ πάντα λογισμὸν ὑπερήφανον, τουτέστι μὴ ὑποκύπτοντα καὶ πειθαρχοῦντα τῇ παρουσίᾳ αὐτοῦ· διεσκέδασε καὶ σαθρὰς ἀπήλεγξε τὰς ὑπερηφάνους διανοίας τῆς καρδίας αὐτῶν, ἃς ἔσχον εἰς τὸ μὴ πιστεῦσαι καὶ φοβηθῆναι αὐτόν· διελίκμησε τὰς ὑπερηφάνους τῶν μὴ πιστευσάντων διανοίας, οὐδὲ σκιὰν αὐτοῖς ὑπολιπὼν ἀπολογίας· ἀπὸ γὰρ οἰκείας καρδίας, καί τοι τοσαῦτα ἔχοντες τὰ δυσωποῦντα αὐτοὺς, ἐφυσιώθησαν· καὶ καρπὸν ὀλέθριον τῆς ἰδίας ψυχῆς, τὴν ἀπιστίαν παρέστησαν.

(1) Confer volumen primum primae editionis p. 190.

Βίκτορος πρεσβυτέρου. Ἐπὶ γὰρ τῷ ἐλεῆσαι τὰς γενεὰς τῶν γενεῶν κἀγὼ συλλαμβάνω, καὶ αὐτὸς ἑνοῦται σώματι ἐμψυχωμένῳ ψυχῇ λογικῇ τε καὶ νοερᾷ καθ' ὑπόστασιν· καὶ εἰς κόσμον ἔρχεται, καὶ μετὰ ἀνθρώπων ὑποστρέφεται, καὶ κάτω πολιτεύεται, καὶ πάντα οἰκονομεῖ, τὴν ἡμετέραν σωτηρίαν πραγματευόμενος διὰ μόνην φιλανθρωπίαν· ἐλεεῖ μέν τοι οὐχ ἁπλῶς, ἀλλὰ τοὺς ἐν ἑκάστῃ γενεᾷ φοβουμένους αὐτὸν, τοὺς δι' ἐπιγνώσεως πρὸς πίστιν καὶ μετάνοιαν μετατρεπομένους· οἱ γὰρ διαμένοντες ἐν τῇ ἀπιστίᾳ, τὸ ἔλεος ἑαυτοῖς ἀπέκλεισαν.

Τοῦ ἁγίου Μακαρίου. Ἔτι ὁ θρόνος τῆς θεότητος, ὁ νοῦς ἐστιν ἡμῶν· ἀλλ' αἱ δυνάμεις v. 52.
αἱ πονηραὶ ἀπὸ τῆς παραβάσεως ἐνεκάθισαν εἰς τὴν καρδίαν τοῦ Ἀδὰμ, ὡς εἰς θρόνον ἴδιον· λοιπὸν, διὰ τοῦτο ἦλθεν ὁ κύριος· καὶ ἔλαβεν ἐκ τῆς παρθένου τὸ σῶμα· εἰ γὰρ ἠθέλησε γυμνῇ τῇ θεότητι κατελθεῖν, τίς ἠδύνατο ὑπενεγκεῖν; ἀλλὰ διὰ τοῦ ὀργάνου τοῦ σώματος ἐλάλει τοῖς ἀνθρώποις· λοιπὸν, ὁ αὐτὰ πνεύματα τῆς πονηρίας ἃ ἐνεκαθέζοντο εἰς τὸ σῶμα, καθεῖλεν ἀπὸ τῶν θρόνων τῶν νοημάτων καὶ τῶν λογισμῶν οἷς ἐνεπολιτεύοντο· καὶ ἐκαθάρισε τὴν συνείδησιν ὁ κύριος, καὶ ἑαυτῷ θρόνον ἐποίησε τὸν νοῦν καὶ τοὺς λογισμοὺς καὶ τὸ σῶμα· καὶ τοὺς ταπεινωθέντας ὑπὸ τῶν δαιμόνων ὕψωσεν.

Τοῦ Μεταφράστου. Εἶχε μὲν ἡ τῆς Ἐλισάβετ οἰκία τὴν παρθένον ἔνοικον περὶ μῆ- v. 56.
νας τρεῖς· ἐβούλετο δὲ αὐτῇ ἡ παραμονὴ, τυχὸν μὲν καὶ τοῦ παραδόξου κατανοῆσαι τὴν p. 10. a.
ἔκβασιν· ἠπορεῖτο γὰρ, ὡς εἰκὸς, τοῖς καθ' ἑαυτὴν· καὶ ἔκπληξις εἶχε ταύτην οὐχὶ μετρία· τυχὸν δὲ καὶ συνησθῆναι τῇ Ἐλισάβετ τὰ τοιαῦτα μεγαλεῖα καὶ εὐαγγέλια· ὅτου δὲ χάριν ἐπὶ τρεῖς μῆνας καὶ μὴ πλέον ἡ συνοικία, ἢ πάντως ὡς τίκτειν μελλούσης τότε τῆς Ἐλισάβετ; εἰ γὰρ περὶ τὸν ἕκτον μῆνα τοῦ ταύτην δὴ συλλαβεῖν ἡ τοῦ ἀγγέλου γέγονε πρὸς τὴν παρθένον ἀποστολὴ, αὕτη δὲ γενομένη πρὸς Ἐλισάβετ μῆνας τρεῖς παρ' αὐτῇ διαμένῃ, εὔδηλον ὅτι τοῦ χρόνου τῆς συλλήψεως, ὃν ὁ ἔνατος περιγράφει μὴν, πέρας ἔχοντος, εἰς τὸν αὐτῆς οἶκον ἐπάνεισιν ἡ παρθένος· καὶ τούτου τυχὸν, διὰ τὸ μέλλον ἀπαντᾷν πλῆθος εἰς τὸν Ζαχαρίου οἶκον, τόκου μὲν ὥραν τῆς Ἐλισάβετ ἐχούσης· τῆς δὲ παρθενικῆς ταῦτα αἰδοῦς οὐκ ἀνεχομένης· ἔθιμον δὴ ὂν ὑποχωρεῖν τὰς παρθένους, ἐπειδὰν μέλλῃ τίκτειν ἐν γαστρὶ ἔχουσα· δεῖ γὰρ καὶ τοῦτο σκοπεῖν· ἤδη καὶ τῆς Ἐλισάβετ τόκου ὥραν ἐχούσης, ἡ Μαρία καί τοι ἀτεχνῶς οὖσα ἔγκυος, ἀλλ' οὖν, ὡς παρθένος ἐξίσταται· ἐπεὶ δὲ καὶ εἰς τὸν οἶκον τὸν ἑαυτῆς ἐπανῆλθεν, ἀλλαχοῦ μὲν, οὐδαμοῦ· ἐκεῖ δὲ τὸ μετὰ τοῦτο διάγουσα ἦν· ἕως ἐγγίζειν ἤδη τὸν τῆς κυοφορίας καιρὸν ἔγνωκεν· ἀλλὰ τῷ Ἰωσὴφ ἡ τῆς παρθένου γαστὴρ εἰς ὄγκον ἀρθεῖσα, ἠγνόει γὰρ ὅτι πνεύματος ἦν ἁγίου, λογισμοὺς ἐνῆκεν οὐκ εὐπρεπεῖς· ταύτῃ τοι καὶ λαθραίαν αὐτῇ τὴν ἀπόλυσιν ᾠκονόμει· ἅτε οὕτω δίκαιος ὢν, ὡς μὴ μόνον μὴ κολάσαι βούλεσθαι, καί τοιγε τοῦ νόμου τοῦτο κελεύοντος, ἀλλὰ μὴ δὲ παραδειγματίσαι, τουτέστι φανερὸν τὸ πρᾶγμα θέσθαι καὶ ἐκπομπεῦσαι· ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἀφικνεῖται ὁ ἄγγελος, λύων ἑτοίμως τὴν ἀπορίαν· ἔδει γὰρ μηδὲν ὅλως ὑβριστικὸν ἐπίμωμον ὑποστῆναι, τὴν παντὸς μώμου καθαρωτάτην· οὐ γὰρ μόνον φησὶν ἄθικτος παρανόμου μίξεως ἡ παρθένος, ἀλλὰ καὶ φύσεως κρείττων, καὶ ὑπὲρ ἄνθρωπον ἡ κυοφορία, ὥστε οὐ φόβου μόνον ἀπηλλάχθαι δεῖ, ἀλλὰ καὶ εὐφροσύνης ὑποπεπλῆσθαι· σὰ ταῦτα μεγαλεῖα παρθένε· καὶ σὲ δοξάζων ὁ δυνατὸς, ὑπερφυῶν πραγμάτων οἰκονομίας πεποίηκεν.

p. 11. a. Τοῦ Μεταφράστου καὶ Βικτῶρος. Πόθεν γὰρ ἄλλοθεν αὐτῇ ἐπῆλθε τὸ Ἰωάννου εἰπεῖν ὄνομα πρὸς τὴν τοῦ παιδὸς κλῆσιν, ξένον ὂν ἀτεχνῶς καὶ τοῦ γένους αὐτῆς ἀλλότριον ἢ πάντως, ἐκ πνεύματος ἁγίου, καὶ τῆς τοῦ τικτομένου δυνάμεως; ἐπεὶ οὐκ ἦν ἐκ τοῦ ἀνδρὸς ἡ δήλωσις· πῶς γὰρ τῷ προστίμῳ ἔτι τῆς ἀφωνίας πεπεδημένου; διὸ καὶ διένευον αὐτῷ ὡς μὴ ἀκούοντι ἢ λαλῆσαι δυναμένῳ, ὃς καὶ λαβὼν δέλτον, ἔγραψε συμφώνως τῇ ἑαυτοῦ γυναικὶ, τοῦ παιδὸς τὴν προσηγορίαν· ἀμέλει καὶ μετὰ τὸ γραφῇ δηλῶσαι τοῦτο τὸν Ζαχαρίαν· καὶ γὰρ ἀμήχανον ἦν διὰ νεύματος· ἐθαύμασαν φησὶ πάντες· ἐπὶ τίνι ἄλλῳ, ἢ ἐπὶ τῇ συμφωνίᾳ τῶν γεννητόρων, περὶ τὸ τοῦ παιδὸς ὄνομα;

v. 63. Τοῦ αὐτοῦ. Ὁμοῦ τοίνυν γράφων, ὠνόμαζε· καὶ γλώττῃ τὰ δεσμὰ διελύετο· καὶ λέγειν ἤρχετο· καὶ προφητεύειν τὰ ἀναγεγραμμένα· πρῶτον μὲν παρὰ τοῦ Χριστοῦ, ὡς ἤδη ἐπιδημήσαντος τῷ υἱῷ· ὕστερον δὲ περὶ Ἰωάννου.

v. 64. Τοῦ αὐτοῦ. Εἰς τί ὁ φόβος πάντων λαμβάνεται τῶν περιοικούντων; ὅτι προτρέχειν ἔδει περιφανῆ θαύματα ἐπί τε τῇ ἐπαγγελίᾳ τοῦ τεχθησομένου, καὶ ἐπ' αὐτῷ δὴ τῷ ἐκείνου τόκῳ· ἵν' ὥσπερ ἐπὶ τῇ σιωπῇ Ζαχαρίου ἐξέστη ὁ λαὸς, οὕτως καὶ ἐν τῷ λαλῆσαι αὐτὸν ὅπως διὰ τῶν δύο τούτων θαυμάτων, μέγα τι λογίζωνται πάντες περὶ τοῦ τεχθέντος παιδίου· ταῦτα δὲ πάντα προκατεσκευάζοντο πόῤῥωθεν, ἵν' ἐκ προοιμίων τὸ ἀξιόπιστον τοῦ μαρτυρῆσαι Χριστῷ μέλλοντος, ἐπισήμως ἀναφανῇ· δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγή, τὸ, θαύματι καὶ δέει κατόχους γενέσθαι πάντας δηλαδὴ τοὺς ἀκούοντας, τί ἄρα λέγοντας τοῦτο τὸ παιδίον ἔσται; καὶ ἦν χεὶρ κυρίου μετ' αὐτοῦ· ὁ θεὸς εἰργάζετο· οὐ γὰρ Ἰωάννης ταῦτα ἐποίει, ἀλλ' ἡ τοῦ θεοῦ χείρ.

v. 65. Βικτῶρος καὶ Κυρίλλου. Λαμβάνεται δὲ τὸ κέρας, οὐ μόνον ἀντὶ δυνάμεως, ἀλλὰ καὶ ἀντὶ βασιλείας· ἀμφότερα δὲ ὁ Χριστός ἐστιν, ὁ ἐκ τῆς πατριᾶς καὶ τοῦ γένους τοῦ Δαυὶδ ἀνατείλας ἡμῖν σωτήρ· αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ ἡ ἀκαταμάχητος δύναμις τοῦ πατρός.

v. 69. p. 11. b. Βικτῶρος. Ἤγειρε, φησὶν, ἡμῖν ὁ θεὸς καὶ πατὴρ κέρας σωτηρίας τὸν Χριστὸν, κατὰ τὴν τῶν ἁγίων αὐτοῦ προφητῶν προαγόρευσιν· πᾶσι γὰρ τοῖς προφήταις τὸ περὶ Χριστοῦ κατήγγελται μυστήριον· ὃς ἐῤῥύσατο ἡμᾶς ἐξ ἐχθρῶν οὐκ αἰσθητῶν,, ἀλλὰ νοητῶν, τῶν ἀλιτηρίων φημὶ δαιμόνων, τῶν μισούντων ἡμᾶς· ποῦ δὲ ἐλάλησεν ὁ θεὸς διὰ τῶν προφητῶν τὴν ἡμῶν διὰ Χριστοῦ σωτηρίαν; ἔνθα εἴρηται· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· καὶ πάλιν· οὐ πρέσβις, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς· καὶ πολλαχοῦ εἰπὼν μέν τοι, καθὼς ἐλάλησε διὰ στόματος τῶν προφητῶν, ἔδειξε τὸν θεὸν δι' αὐτῶν φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον.

v. 72. Τοῦ αὐτοῦ. Τὸ ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων, οὕτω χρὴ νοεῖν, ὡς τὸ εἰς ἡμᾶς γενόμενον ἔλεος· καὶ πρὸς τοὺς πατέρας ἡμῶν ἀνατρέχει τοὺς περὶ τὸν Ἀβραάμ· ἐπαισθόμενοι γὰρ τῆς εἰς ἡμᾶς εὐεργεσίας, κοινωνοὶ γίνονται τῆς εὐφροσύνης· καὶ ἑτέρως δὲ χαίρουσι, καθὸ τὰς ἐλπίδας αὐτῶν ἐπλήρωσεν· ὅσα γὰρ προσεδόκων, ἐπὶ Χριστῷ εἶδον τελειωθέντα· οἶδα καὶ ἄλλο γεγονὸς μετὰ τῶν πατέρων ἔλεος, ὅτι καὶ πρὸς αὐτοὺς ἡ τοῦ Χριστοῦ ἐπισκοπὴ γέγονε· καὶ τοῦτο, ἡ εἰς τὸν ᾅδην αὐτοῦ ἄφιξις ἐπραγματεύσατο· ποίας δὲ διαθήκης ἐμνήσθη, καὶ ποίου ὅρκου πρὸς τὸν Ἀβραὰμ γενομένου, ἢ πάντως τοῦ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη; καὶ τοῦ, εὐλογῶν εὐλογήσω

σε καὶ πληθύνων πληθυνῶ σε· ἐπληθύνθη γὰρ ὄντως ὁ Ἀβραὰμ, εἰς σπέρμα καὶ τῶν ἐθνῶν λογισθέντων αὐτῷ τῶν υἱοθετησάντων αὐτῷ διὰ τῆς πίστεως· ὡς γὰρ ἐπίστευσεν αὐτὸς, οὕτω καὶ ταῦτα διὰ πίστεως ᾠκειώθησαν.

Βασιλείου. Μηδεὶς δὲ ἀκούων, ὅτι ὤμοσεν ὁ θεὸς τῷ Ἀβραὰμ, οἰκοδομείσθω πρὸς τὸ v. 73.
ὀμνύειν· ὥσπερ γὰρ ὁ θυμὸς ἐπὶ θεοῦ λεγόμενος, οὐκ ἔστι θυμὸς, οὐδὲ πάθος δηλεῖ, ἀλλὰ τὸ τιμωρητικὸν καὶ τὴν τοιάνδε κίνησιν, οὕτως οὐδὲ ὁ ὅρκος, ὅρκος· οὐδὲ γὰρ ὄμνυσιν ὁ θεὸς, ἀλλὰ τὴν βεβαίωσιν δηλεῖ, καὶ τὸ πάντως ἐσόμενον λέγει· ὅρκος γὰρ θεοῦ, ὁ λόγος αὐτοῦ ἐστι πληροφορῶν τοὺς ἀκούοντας, καὶ πίστιν ἑκάστῳ παρέχων, ὅτι ὃ ἐπήγγελται καὶ λαλεῖ, πάντως γενήσεται· οὐ γὰρ, ὡς ἄνθρωπος, ὀμνύει θεός· ἀλλ' ἡμῖν ὁ λόγος αὐτοῦ, ἀντὶ ὅρκου πρὸς ἀλήθειαν γίνεται, ἀτρέπτοις καὶ ἀκινήτοις δόγμασι τὴν ἐπαγγελίαν βεβαιοῦντος.

Τοῦ Μεταφράστου. Θία ὅπως ἡ Ζαχαρίου γλῶττα, τὰς τοῦ κωφεύειν πέδας ἀποθεμένη, οὐχ p. 12. b.
ἁπλῶς φθέγγεται, ἀλλὰ καὶ προφητεύειν ἐπιεικῶς ἄρχεται καὶ προφητεύειν περὶ αὐτοῦ δὴ τοῦ παιδὸς, ὃς καὶ τὰς πέδας αὐτῇ τῆς ἀφωνίας ἐπέθηκε, καὶ πάλιν ἀνῆκεν· ἔσεσθαι γὰρ προφήτην αὐτὸν ὑψίστου προλέγει, καὶ πρὸ προσώπου αὐτοῦ προπορεύσεσθαι, ἑτοιμασίαν τῶν ὁδῶν αὐτοῦ ποιησόμενον· τουτέστι, προπαρασκευάσοντα τὰς ψυχὰς τῶν μελλόντων δέχεσθαι τὸν Χριστὸν, ἵνα ἑτοίμους αὐτὰς εὑρὼν, ἐμπεριπατήσῃ ἐν αὐταῖς.

Μακαρίου. Καὶ ὥσπερ ἐν Αἰγύπτῳ τριημέρου σκότους γενομένου, καὶ πάντας καλύψαντος, v. 79. p. 13. a.
οὐκ ἔβλεπεν υἱὸς πατέρα, οὔτε ἀδελφὸς τὸν ὁμόγνιον, οὔτε φίλος γνήσιον φίλον, οὕτω τοῦ Ἀδὰμ παραβάντος τὴν ἐντολὴν, καὶ πεσόντος ἀπὸ τῆς προτέρας δόξης, καὶ ὑπὸ τὸ πνεῦμα τοῦ κόσμου γεγονότος, καὶ τοῦ καλύμματος τοῦ σκότους ἐλθόντος ἐν τῇ ψυχῇ αὐτοῦ ἀπ' αὐτοῦ, καὶ μέχρι τοῦ ἐσχάτου Ἀδὰμ τοῦ κυρίου, οὐκ ἔβλεπον τὸν ἀληθινὸν πατέρα τὸν ἐπουράνιον, καὶ τὴν ἀγαθὴν μητέρα τὴν χάριν τοῦ πνεύματος, καὶ τὸν γλυκὺν ἀδελφὸν τὸν κύριον, καὶ τοὺς γνησίους φίλους ἀγγέλους· καὶ νῦν δὲ ἔτι ἐφ' οὓς οὐκ ἀνατέλλει ὁ τῆς δικαιοσύνης ἥλιος, ὑπὸ τὸ αὐτὸ σκότος εἰσὶ, τὴν αὐτὴν τῶν ἡδονῶν ἐνέργειαν ἔχοντες.

## CAP. II.

Τοῦ Μεταφράστου καὶ Ἀλεξάνδρου μοναχοῦ. Ἐνταῦθα ὁ λόγος διασαφεῖν ὥρμηται περὶ τῆς v. 1.
προφητείας, ὅπως εἴληφε πέρας, τῆς μὴ ἐκλείψειν ἄρχοντα ἐξ Ἰούδα θεσπιζούσης, μὴ δὲ ἡγούμενον ἐκ τῶν μηρῶν ἐκείνου, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, αὐτὸν δὲ εἶναι προσδοκίαν ἐθνῶν· περὶ τοῦ Χριστοῦ δηλαδὴ καὶ τοῦτο λεγούσης· τότε γὰρ ἐκεῖνος ἐπιφοιτᾷ, ὅτε λοιπὸν ἐπιλελοιπότες ἦσαν οἱ ἰουδαϊκοὶ ἄρχοντες· καὶ ὑπὸ τὰ σκῆπτρα ἤδη τὰ τῶν ῥωμαίων γενόμενοι· ὁμοῦ τε γὰρ ὁ Χριστὸς γίνεται, καὶ ἀπογραφὴ πρώτη ἐκείνη γίνεται, κρατησάντων ῥωμαίων τοῦ ἰουδαίων ἔθνους, καὶ ὑπὸ ζυγὸν τῆς οἰκείας βασιλείας αὐτοὺς ἐνεγκόντων· Ἀντίπατρος γὰρ ὁ Ἡρώδου πατὴρ, τοῦ ἰουδαίων ἄρξαντος ὕστερον, ἐξ Ἀῤῥαβίας ἄγεται γυναῖκα, Κύπρον ὄνομα, ἥτις παίδων αὐτὸν τεσσάρων πατέρα ποιεῖ, ὧν εἷς οὗτος ὁ Ἡρώδης ἦν· μᾶλλον δὲ τρανότερον, ὡς οἷόν τε, τὰ τοῦ πράγματος ἄνωθεν δηλωτέον· Ὑρκανοῦ γὰρ, τοῦ ἀδελφοῦ Ἀριστοβούλου τοῦ ἀρχιέρεως, ὃς καὶ διάδημα μὲν βασιλικὸν περιέθετο, δέσμιος δὲ ὑπὸ Πομπηΐου στρατηγοῦ τῶν ῥωμαίων σὺν ἅμα παισὶν εἰς Ῥώμην αἰσχρῶς παρεπέμφθη, ἡνίκα καὶ τε-

λεῖν φόρους ἐτάχθη τοῖς ἰουδαίοις· τούτου δὴ τοῦ Ὑρκανοῦ ἀρχιερέως ὑπὸ Πομπηΐου ἀναδειχθέντος, ἔπειτα δὲ καὶ ὑπὸ Πάρθων ἑαλωκότος, Ἀντιπάτρου τε πρὸς δόλων ἀναιρεθέντος, ὃν ἐπίτροπον αὐτὸς τῆς χώρας κατέστησεν, ὃς καὶ Ἡρώδου τοῦ μετὰ ταῦτα βεβασιλευκότος τῆς Ἰουδαίας πατὴρ ἦν, καὶ μηδενὸς ὄντος τοῦ τῶν ἐν Ἰουδαίᾳ πραγμάτων ἀντεχομένου, Ἡρώδης οὗτος ὁ τοῦ Ἀντιπάτρου υἱὸς πέμπει πολλά τινα χρήματα δοὺς τοῖς ῥωμαίοις, καὶ ὑπόσπονδος αὐτοῖς γεγονὼς, ἐγκρατὴς γίνεται τῆς ἀρχῆς· ὅθεν δὲ τοῦ πράγματος ἔσχε τὰς ἀφορμὰς, ὁ λόγος ὡς οἷόν τε διὰ βραχέων ἐρεῖ· Αὐγούστου γὰρ Καίσαρος εἰς Αἴγυπτον ἀπιόντος μετὰ χειρὸς ὡς μάλιστα πλείστης, πρός τε τὸν Κλεοπάτρας φημὶ πόλεμον, εἰς ἣν περιέστη τὰ τῆς ἀρχῆς Αἰγύπτου, ἐκ τῶν Πτολεμαίων ἕλκουσαν τὸ γένος, ὥσπερ ἄρα καὶ Ἰωσήπῳ δοκεῖ, πρόσεισιν αὐτῷ Ἡρώδης οὗτος, λειτουργίαν οὔτι μετρίαν ἐν στρατεύμασί τε καὶ ἀναλώμασι χορηγῶν· ἐπεὶ δὲ καὶ Κλεοπάτρα καὶ Αἴγυπτος ἐν χερσὶν ἦν Αὐγούστῳ, δωδέκατον ἔτος ἤδη τῆς ἀρχῆς ἔχοντι, ἐπανιὼν αὐτὸς εἰς Ῥώμην, Ἡρώδου τῆς θεραπείας ὥσπερ εἰκὸς ἀπομνημονεύων, βουλῇ τῆς ῥωμαίων συγκλήτου, βασιλέα τοῦτον τῆς Ἰουδαίας χειροτονεῖ, περιθεὶς διάδημα· ὅσπερ ἐπιβὰς Ἱεροσολύμων, ἐπεὶ τοὺς ἰουδαίους ἔγνω μὴ κατὰ γνώμην αὐτῷ διακειμένους, ἀλλὰ τῷ ἀλλόφυλον εἶναι καὶ ἄλλως δύσχρηστον, βαρυνομένους αὐτοῦ τὴν ἀρχὴν, ἐνίους μὲν αὐτῶν καὶ ἀπέκτεινε, τοὺς πλείστους δὲ κακῶς ἔδρασεν· ἠνδραποδίσατό τε τὴν πόλιν, καὶ τὸ τοῦ θεοῦ ἱερὸν, ἀνοήτως καὶ μοχθηρῶς· κακῶς οὖν ἐκεῖνος τῇ ἐξουσίᾳ χρώμενος, εἶτα καὶ παράσημόν τι προστίθησι, καὶ δεῖγμα σαφὲς τῆς σφετέρας κακίας· πάσας γὰρ τὰς τῶν ἐν Ἰουδαίᾳ φυλῶν καὶ γενῶν δημοσίους ἀναγραφὰς, αἳ ἀπὸ τοῦ Ἔσδρα ἐτύγχανον οὖσαι, φθόνου καὶ μανίας ἔργον ποιῶν, πυρὶ δίδωσι· καὶ ὁ σκοπὸς, οἷς κομιδῇ πονηρὸς· ἵνα μηκέτι τοῖς ἰουδαίοις γνώριμον ᾖ ἐκ ποίας οὗτοι τυγχάνουσι πατριᾶς, καὶ τίνες μὲν αὐτῶν οἱ ἡμεδαποὶ καὶ αὐτόχθονες, τίνες δὲ οὓς γειώρας εἴθιστο καλεῖν· πρὸς τοῖς ἄλλοις, καὶ τὴν ἱερατικὴν στολὴν ἐν σκεύει δή τινι ἀποθέμενος, καὶ σφραγῖδας ἐπιβαλὼν, ἀσήμοις ἀνδράσι φεῦ χρημάτων ὤνιον τὴν ἀρχιερωσύνην ἐτίθει· καὶ ταῦτα μὲν οὕτως· ἤδη δὲ Καίσαρος Αὐγούστου, δεύτερον ἔτος καὶ τεσσαρακοστὸν βασιλεύοντος, ἔξεισι παρ' αὐτοῦ δόγμα, ἀπογραφὴν πάσῃ τῇ οἰκουμένῃ ἐγκελευόμενον, ἤγουν φορολογίαν· καὶ ταύτην Κυρηνίῳ τινὶ ὡς εὐνουστάτῳ καὶ πρώτῳ τῆς συγκλήτου βουλῆς, ὁ Καῖσαρ ἐνεχείρισεν, ὃν καὶ κατέστησεν ἡγούμενον Συρίας ἤ τοι τῆς Ἰουδαίας· ἀπῄει τοιγαροῦν ἕκαστος εἰς τὴν ἰδίαν ἀπογράψασθαι πόλιν· ἔδει γὰρ τῇ πρὸς γῆν καθόδῳ τοῦ ἐν οὐρανοῖς βασιλεύοντος καὶ τοὺς τῆς γῆς ἄρχοντας λειτουργίας εἰσενεγκεῖν· καὶ ἐπεὶ τὸ δόγμα δηλαδὴ τῆς ἀπογραφῆς πρὸς τὴν σφετέραν ἕκαστον συνώθει πατρίδα· τούτῳ καὶ Ἰωσὴφ πειθόμενος, ἐκ τῆς Γαλιλαίας, ἐκ πόλεως φημὶ Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν ἀφικνεῖται πρὸς Βηθλεὲμ πόλιν, ἣ πόλις ἐστὶ Δαβίδ· καὶ ἡ αἰτία, τὸ εἶναι αὐτὸν ἐξ οἴκου φησὶ καὶ πατριᾶς, ὅ ἐστι συγγενείας Δαβίδ· ἀφικνεῖται δὲ πρὸς ἀπογραφὴν, σὺν τῇ θαυμασιωτάτῃ γυναικῶν Μαρίᾳ, οὔσῃ ἐγκύῳ· καὶ γὰρ ἡ μὲν Γαλιλαία, χώρα τίς ἐστι Παλαιστίνης· ἡ δὲ Ναζαρὲτ πόλις τῆς Γαλιλαίας· πάλιν ἡ Ἰουδαία, χώρα τίς οὕτω προσαγορευομένη· Βηθλεὲμ δὲ πόλις τῆς Ἰουδαίας· τὸν μὲν τοι Χριστὸν οἱ προφῆται πάντες οὐκ ἀπὸ τῆς Ναζαρὲτ, ἀλλ' ἀπὸ τῆς Βηθλεὲμ ἔφασκον ἥξειν, κἀκεῖ τεχθήσεσθαι.

v. 4. p. 14. a. Εἰρηναίου. Εἰς τί δὲ καὶ τὸ, ἐν πόλει Δαβὶδ πρόσκειται, εἰ μὴ ἵνα τὴν ὑπὸ θεοῦ γεγε-

νημένην τῷ Δαβὶδ ὑπόσχεσιν, ὅτι ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ αἰώνιος ἔσται βασιλεὺς, πεπληρωμένην εὐαγγελίσηται;

Τοῦ Μεταφράστου. Ἐπεὶ οὖν φανερὸν ἅπασιν ἦν, ἀπὸ τῆς Βηθλεὲμ τὸν κύριον ἔρχεσθαι, γέγραπται γὰρ ὡς ἔφημεν, καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ.

Τοῦ Γεωμέτρου. Εἰ δὲ χρή τι λοιπὸν ἐνταῦθα καὶ θεωρῆσαι, ἡ μὲν ἀρχὴ, τῆς ἀρχῆς· ἡ δὲ ἀπογραφὴ, τῆς ἀπογραφῆς τύπος ἦν· ἡ μὲν γὰρ τὴν μοναρχίαν ἐδήλου τοῦ ἑνὸς πάντων θεοῦ τε καὶ βασιλέως, ἡ δὲ τὴν ἑκούσιον ὑποταγὴν, ἢ καὶ εἰς οὐρανοὺς ἀπογραφὴν, πάντων βουλομένων· καὶ ὅτι καθάπερ τὸ δόγμα, οὕτω δὴ καὶ τὸ κήρυγμα πᾶσαν διαδραμεῖται τὴν οἰκουμένην· οὐ μὴν ἀλλὰ καὶ τὸ, πάντας εἰς τὰς οἰκείας πατριὰς ἀνατρέχειν, τοῦ καὶ πάντας εἰς τὴν ἀρχαίαν ἡμῶν καὶ πρώτην ἀναστρέφειν πατρίδα καὶ πολιτείαν, ἀφ' ἧς ἄλλος ἀλλαχοῦ καὶ τοῖς βίοις καὶ ταῖς ὁρμαῖς διεσπάρημεν· καὶ τὸ πάντας δὲ φόρους φέρειν τῷ Καίσαρι, τοῦ καὶ πάντας ὀφείλειν καρποφορεῖν θεῷ κατὰ δύναμιν· οὐ τὰ σωματικὰ μόνον δι' εὐποιΐας τε καὶ θυσίας, ἀλλὰ καὶ τὰ πνευματικὰ διὰ θεωρίας καὶ πράξεως.

Τοῦ αὐτοῦ. Ὅπερ ἔφημεν, καὶ νῦν ἐροῦμεν· ὅτι ἡ ἀπογραφὴ κατὰ θείαν πάντως p. 14. a.
οἰκονομίαν, ὤθει καὶ τὸν Ἰωσὴφ εἰς τὴν οἰκείαν πατρίδα, χώρας χώραν, καὶ πόλεως πόλιν· τῆς μὲν Γαλιλαίας, τὴν Ἰουδαίαν· τῆς Ναζαρὲτ δὲ, τὴν Βηθλεὲμ ἀλλαττόμενον, ἵνα καὶ ἡ προφητεία τῇ προφητείᾳ, καὶ ἡ δόξα τῇ ἀληθείᾳ, καὶ πατρὶς τῇ πατρίδι συμβῇ, ἡ μὲν λέγουσα ὅτι ναζωραῖος κληθήσεται, ἡ δὲ ὅτι ἀπὸ Βηθλεὲμ ὁ Χριστὸς ἔρχεται τῆς μικρᾶς καὶ πενιχρᾶς, οὐκ ἐλαχίστης δὲ, διὰ τὴν ἐξ αὐτῆς τοῦ σωτῆρος πρόοδον.

Ἐφραίμ. Ἐν μὲν οὖν τῷ ξανθικῷ τῷ φαιδρῷ σύλληψις τοῦ φαιδροῦ καρποῦ καὶ θείου v. 6. p. 15. b.
φωτός· τότε δὴ δραμὸν ὀξέως τὸ σκότος, οὐκ ἴσχυσεν ἀμαυρῶσαι τὴν φωτεινὴν σύλληψιν· ἐν δὲ τῷ ἀπελλαίῳ γέγονεν ἡ γέννησις τοῦ φωτὸς τοῦ τὸ ἡμέτερον σκότος διασκεδάσαντος· καὶ τὸ μηνὶ ἐν ᾧ λείπεται τὸ σκότος, ἀνέτειλεν ἡμῖν φῶς νικητικόν· ὁ τῆς συλλήψεως αὐτοῦ μὴν, ἡρμήνευεν ἡμῖν τὸν τύπον, ὃν ὁ Μωϋσῆς διὰ γραμματέων ἐμήνυσε· καὶ ὁ μὴν τῆς γεννήσεως αὐτοῦ ὁμοίως ἐδήλωσεν ἡμῖν τὸ μυστήριον.

Μακαρίου. Ἐσωματοποίησεν ἑαυτὸν ὁ ἄπειρος καὶ ἀπρόσιτος, δι' ἄπειρον καὶ ἀνεννόητον p. 16. a.
χρηστότητα, καὶ ὡς εἰπεῖν, συνεσμίκρυνεν ἐκ τῆς ἀπροσίτου δόξης, ἵνα συνενωθῆναι δυνηθῇ τοῖς αὐτοῦ κτίσμασι· σήμερον γέγονε καταλλαγὴ θεότητος πρὸς ἀνθρωπότητα, καὶ ὁδὸς πρὸς θεὸν τοῖς ἀνθρώποις, καὶ θεοῦ ὁδὸς εἰς τὴν ψυχήν· τὸ πρὶν γὰρ ἔλεγεν ὁ προφήτης· ὁδοὶ Σιὼν πενθοῦσι, παρὰ τὸ μὴ εἶναι ἐρχομένους εἰς ἑορτὴν, τῆς ψυχῆς τὴν ἐρήμωσιν καὶ τὴν ἀφανισμὸν αἰνισσόμενος· οὔτε γὰρ ὁδὸς θεοῦ εἰς ψυχὴν καὶ διάνοιαν ἀνθρώπου ἦν, οὔτε ψυχὴ εἰς θεὸν περιεπάτει· ἐπληρώθη ὁ χρόνος τῆς καταδίκης τοῦ ἀνθρώπου· λαβὼν ὁ ἐχθρὸς ὑποχείριον τὸν Ἀδὰμ, ὥσπερ ὅπλῳ χρησάμενος τῷ αὐτοῦ σώματι, δι' αὐτοῦ ἐνεμήθη καὶ ᾐχμαλώτευσε πάντας ἀνθρώπους· ὡσαύτως καὶ ὁ κύριος, ὥσπερ ὅπλον λαβὼν τὸν ἄνθρωπον, τὰ τείχη τοῦ πονηροῦ διέλυσε, κατὰ τὸ εἰρημένον, ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· αὐτός ἐστιν ἄνω, καὶ αὐτός ἐστι κάτω· αὐτὸς ὁ ζῶν, αὐτὸς ἀποθανών· τὸ ἀρνίον, ἡ θυσία, ὁ μόσχος, ὁ τυθεὺς, ὁ παθὼν, ὁ ἀπαθὴς, ὁ νυμφίος, ὁ νυμφὼν, ὁ παράδεισος, τὸ ξύλον τῆς ζωῆς, ὁ ἄρτος ὁ ζῶν, τὸ ὕδωρ τῆς ζωῆς, ἡ ἄμπε-

λος ἡ ἀληθινὴ, ὁ οἶνος τῆς εὐφροσύνης, ὁ μαργαρίτης, ὁ θησαυρὸς, ἡ σαγήνη, ὁ πολεμιστὴς, τὸ ὅπλον, ὁ νικῶν, ἡ περιτομὴ, τὸ σάββατον, ὁ νόμος, ἡ κεφαλὴ τῆς ἐκκλησίας, ὁ τοῦ σινάπεως κόκκος, ὁ ἀμπελὼν, τὸ ἄροτρον, ἡ χάρις, ἡ πίστις, ὁ γάμος, τὸ ἔνδυμα τοῦ γάμου, ἡ ὁδὸς, ἡ θύρα, ὁ ἥλιος τῆς δικαιοσύνης, τὸ φῶς τῶν ψυχῶν, ἡ ζωὴ, ἡ βασιλεία, ἡ ἀρχὴ, τὸ τέλος, ὁ πάντων ἐπέκεινα, ὁ τὰ πάντα ἐν πᾶσι γινόμενος.

### *Rursus cap. I. 32.*

p. 17. a. Τοῦ Γεωμέτρου. Σὺ οὖν φησι καλέσεις οὐχ' ὁ πατήρ· ἀπάτωρ γὰρ τό γε κατὰ τὴν κάτω γέννησιν, ὥσπερ ἀμήτωρ, κατὰ τὴν ἄνω· σὺ καλέσεις Ἰωάννην· ἀπὸ τῆς εὐεργεσίας, ἡ ὀνομασία, ἀπὸ τῆς χρήσεως ἡ κλῆσις, ἀπὸ τῶν ἔργων ἡ εὐφημία· δι' αὐτοῦ γὰρ ἀνθρώποις ὁ τῆς σωτηρίας ἀνεξάντλητος ἐπιῤῥεύσει πλοῦτος.

Τοῦ αὐτοῦ. Ἐπεὶ δὲ κοινὸν αὐτῷ τοῦτο καὶ πρὸς τὸν αὐτοῦ τύπον τὸν στρατηγὸν καὶ δημαγωγὸν, καὶ πρὸς τὴν τῆς ἐπαγγελίας γῆν ὁδηγὸν, διὰ τοῦτο δεικνὺς ὁ ἄγγελος, ὡς οὐ κατ' ἐκεῖνον ἔσται, ἐπάγει· οὗτος ἔσται μέγας.

Φωτίου. Τὸ ἀνθρώπινον ὑποβάλλων, ὡς γὰρ θεὸς, καὶ ὑπὲρ τὸ μέγα.

Τοῦ αὐτοῦ. Ἢ μέγας ἔσται ὅπερ ἦν, εἰ δὲ τὴν βραχύτητα τῆς σαρκὸς ὑποδύεται· οὐδὲ γὰρ οὐδ' ἡ τῆς ἀνθρωπότητος πρόσληψις, τὸ μέγεθος κατασμικρύνει τῆς θεότητος, ἀλλὰ συνυψοῦται μᾶλλον αὐτῇ τὸ ταπεινὸν τῆς ἀνθρωπότητος· κἂν γοῦν πτωχεύῃ τὴν σάρκα, ἀλλὰ καὶ οὕτως μέγας ἔσται ὥσπερ ἦν.

Τοῦ αὐτοῦ. Οὐκέτι σὺ τὴν κλῆσιν ὀνοματοθετήσεις, ἀλλ' ἐκεῖνος κληθήσεται· παρὰ τίνος, ἢ δηλονότι παρὰ τοῦ ὁμοουσίου πατρὸς; οὐδεὶς γὰρ οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· παρ' οὗ δὲ γνῶσις ἀληθὴς τοῦ γεννήματος, οὗτος ἐπιθεῖναι καὶ κλῆσιν κατάλληλον ἀξιόπιστος· διὸ καὶ φησίν· οὗτος ἐςὶ ὁ υἱός μου ὁ ἀγαπητός· ἔστι οὖν ἀεὶ, εἰ καὶ νῦν ἡ κλῆσις αὐτῷ εἰς ἡμετέραν διδασκαλίαν πεφανέρωται· διὰ τοῦτο καὶ κληθήσεται, φησὶν, οὐ γενήσεται· ἦν γὰρ καὶ πρὸ αἰώνων τῷ ὁμοουσίῳ συνεδριάζων πατρί· τοῦτον συλλήψῃ, τούτου μήτηρ ἀναδειχθήσῃ, τοῦτον ὁ σὸς παρθενικὸς ὑποδέχεται κόλπος, ὃν οὐράνιον οὐκ ἐχώρησε κῦτος.

p. 18. a. Τοῦ Γεωμέτρου. Δώσει τοίνυν αὐτῷ κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, ὡς ἀνθρώπῳ, καὶ ὡς ἐντεῦθεν ἀρχομένῳ τῆς βασιλείας, διὰ τῶν πιστευόντων, οὓς καὶ οἶκον καὶ θρόνον ὀνομάζει Δαβίδ τε καὶ Ἰακώβ· οὐδενὸς δέ ἐστι τὸ βασιλεύειν εἰς τὸν αἰῶνα, εἰ μὴ θεοῦ· ὥστε εἰ καὶ λαμβάνειν διὰ τὴν οἰκονομίαν ἀνθρωπίνως λέγεται τὸν θρόνον Δαβὶδ, ἀλλ' ἔστιν ὁ αὐτὸς καὶ θεϊκῶς βασιλεὺς ἀτελεύτητος, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· οὐ καθὸ θεὸς μόνον, ἀλλὰ καθὸ καὶ ἄνθρωπος· καὶ ὡς οὐ κατὰ φύσιν μόνον βασιλεὺς, ἀλλὰ βασιλεύσων καὶ κατὰ γνώμην· καὶ νῦν μὲν, πολλῶν· ἐπ' ἐσχάτων δὲ, καὶ πάντων, ἡνίκα καὶ ὑποταγήσεται αὐτῷ τὰ πάντα.

Φωτίου. Ἀλλὰ τί πρὸς ταῦτα ἡ παναγία παρθένος; ἆρα εὐθὺς κατεμαλακίσθαι τοῖς λόγοις, ἢ τὰς ἀκοὰς ἡδέως ἀναπετάσασα τοῖς λογισμοῖς ἐφῆκε φέρειν ἀνεξετάστως τὴν συγκατάθεσιν; οὐδαμῶς.

v. 34. Τοῦ Γεωμέτρου. Οὔτε γὰρ τῷ ἀγγέλῳ διαπιστεῖν ἔχει διὰ τὸ ἀξιόπιστον, οὔτε πάλιν τὴν παρθενίαν ἀρνεῖσθαι διὰ τὴν καθαρότητα· ἀλλὰ μέση χωρεῖ τῆς ἀπιστίας τι καὶ τῆς εὐκολίας, καὶ ζητεῖ τὸν τρόπον τῆς παραδόξου ταύτης νυμφεύσεως ἢ κυήσεως· φέρε οὖν ἴδωμεν αὐτῆς καὶ τὴν γλῶτταν ἅμα καὶ τὴν ψυχὴν, καὶ ὅσον αὐτὴ σοφή τε καὶ φιλοπάρθενος.

Τοῦ αὐτοῦ. Πῶς τοίνυν ἔσται μοι τοῦτο τὸ θεῖον οὕτω καὶ θαυμαστὸν καὶ ἀπερινόητον; καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἀνακόλουθον· τό τε γὰρ ἄνδρα με γνῶναι, καθάπερ Θεῷ καθιερωθεῖσαν, τῶν ἀμηχάνων· καὶ τὸ, χωρὶς ἀνδρὸς καὶ συλλαβεῖν καὶ τεκεῖν, τῶν ἀδυνάτων· τὸ δὲ ἐπεὶ ἄνδρα οὐ γινώσκω, εἶπε πάντως μὲν καὶ πρὸς τὸν Ἰωσὴφ ἀναφέρουσα, ὡς μέχρι μνηστείας μόνον εἰδυῖα τὸν αὐτοῦ γάμον, καὶ ὡς οὐ νῦν μόνον ἀλλὰ καὶ διὰ τέλους ἄχραντος ἐγνωκυῖα μένειν ἀνδρὸς, οἷα καὶ θεῖον καὶ ἄψαυστον ἀφιέρωμα· πάντως δὲ κἀκεῖνον βεβαιοῦσα τὸν λόγον, ὃς ἐκ πατέρων εἰς ἡμᾶς ἥκει, ὅτι μὴ τὴν πεῖραν τοῦ γάμου μόνον, ἀλλὰ καὶ τὴν ἔφεσιν ἡ παρθένος ἠγνόησεν· οὐκ ἔγνωκα φησὶν ἐπιθυμίαν ἀνδρὸς· οὐκ ἔγω θέλημα τῆς σαρκὸς· ὃ δὴ καὶ κατὰ πάσης αὐτῇ τῆς γυναικείας ἐξαίρετον φύσεως, ὅτι καὶ ὑπὲρ πάσας αὐτῇ καὶ ἐκ γνώμης ὅλως ἀνεπιδέκτου τῆς τοιαύτης κακίας ἡ σωφροσύνη· ὥστε διπλοῦς ὁ λόγος· ἢ γὰρ ὅλως διαπορεῖται περὶ τὴν σύλληψιν, ὡς οὐ δυνατὴν ἄνευ ἀνδρὸς, ἢ καὶ τὸν τρόπον αὐτὸν ἐπιζητεῖ τῆς συλλήψεως, ὡς τὸν Ἰωσὴφ ἄνδρα οὐκ ἔχουσα, τάχα δὲ οὐδὲ ἕξουσα· οὐ γὰρ δὴ δέδοται καὶ τῶν ἀψαύστων ψαύειν αὐτῷ, οὐδὲ τὸν ἀποκεκλεισμένον κῆπον συλᾷν, οὐδὲ τὸ ἐσφραγισμένον ἀνοίγειν βιβλίον, ἢ ἀποσυλᾷν τοῦ Θεοῦ τὸ ἀνάθημα;

Φωτίου. Οἶδα φησὶν ἐμφανῶς, ὡς σύλληψιν καὶ κυοφορίαν, καὶ υἱόν μοι, καὶ τόκον, λογογραφεῖς· ἀλλὰ πολλῷ πλέον ηὔξησας τὴν ἀπορίαν ὦ ἄγγελε· τόκος γὰρ ἅπας, ἀνδρὸς κοινωνίᾳ συνίσταται· ἡ δὲ τῆς πρὸς ἄνδρας ὁμιλίας ἀλλοτρίωσις, οὐδὲ τὴν ἀρχὴν εἰς ὄκνον κατέρχεται τῆς συλλήψεως· πῶς οὖν ἔσται μοι γέννημα, οὗ γεννήτωρ οὐκ ἐγνώρισται;

Ἀντιπάτρου Βοστρῶν. Ἐγὼ μόνη τὴν φύσιν καινοτομῶ, ἐπ' ἐμοῦ λυθήσονται τῆς τεκνογονίας αἱ ἀφορμαί;

Τοῦ Γεωμέτρου. Ἀλλ' ὅρα πῶς τῇ παρθένῳ λύει τὴν ἀπορίαν ὁ ἄγγελος, καὶ διερ- v. 35.
μηνεύει τὸν ἄφθαρτον γάμον, καὶ τὸν ἄφραστον τόκον, καὶ τὸν ἀκατάληπτον τρόπον· οὐ p. 18. b.
χρεία φησὶν ἀνδρὸς· οὐ γὰρ ὁμοίως ταῖς ἄλλαις τὰ σὰ, ὥσπερ οὐδὲ τὰ τοῦ υἱοῦ τοῖς υἱοῖς·
οὐ γὰρ ἡ σὴ σύλληψις, τῆς παρθενίας ἀφαίρεσις, ἀλλὰ καὶ τοὐναντίον σφραγὶς καὶ συν-
τήρησις· δέχου οὖν ὦ παρθένε τὸ λεχθέν· μὴ ζήτει τὸ σιγηθέν· τῷ τόκῳ μαρτυρῶ· τῷ τρό-
πῳ παραχωρῶ· ἄγγελος γὰρ οὐ διδάσκαλός σοι τῆς οἰκονομίας ἐλήλυθα· διάκονος καὶ κῆρυξ
τῆς δεσποτικῆς ἀπεστάλην ἐπιδημίας, οὐχ' ἑρμηνεὺς, οὐδ' ἐξηγητὴς τοῦ προστάγματος· πῶς
ἔσται τοῦτο, οἶδεν αὐτὸς ὁ παρών· ὅτι πάρεστιν, ἐπίσταμαι· τὸν δὲ τρόπον λέγειν, οὐ
δύναμαι.

Ἀνδρέου. Σὺ ὦ παρθένε τόκον ἀσάτερα, ὃ μὴ πρότερον τῇ φύσει τῶν ἀνθρώπων ἐγνώριστο, ἐξ ἀλοχεύτων ὠδίνων τῇ φύσει παρὰ τὴν φύσιν εἰσάξεις, ὑπερφυεῖ δυνάμει τὸν τῆς φύσεως αὐτουργὸν ἐν μήτρᾳ παιδοποιήσασα· καὶ γενήσῃ μήτηρ, τὰ μητέρων φυγοῦσα: καὶ τὸ βρέφος, οὐχ' ἕξει πατέρα καλεῖν ἐπὶ γῆς, ὅτι μὴ σπορᾶς μεσιτευούσης συλληφθήσεται· μὴ δὲ φθορᾶς ὑποδραμούσης, ἡ τεκοῦσα γεννήσεις.

Τοῦ Γεωμέτρου. Οὐ γὰρ ἀνδρὸς, ἀλλ' ἁγίου πνεύματος ἡ ἐπέλευσις· καὶ αὐτῆς τῆς τοῦ ὑψίστου δυνάμεως ἡ ἐπισκίασις.

Εἰρηναίου εἰς τὰς αἱρέσεις. Εἰ ὁ πρῶτος Ἀδὰμ ἔσχε πατέρα ἄνθρωπον, καὶ ἐκ σπέρματος p. 19. a.
ἐγεννήθη, εἰκὸς ἦν καὶ τὸν δεύτερον Ἀδὰμ λέγειν ἐξ Ἰωσὴφ γεγεννῆσθαι· εἰ δὲ ἐκεῖνος ἐκ
γῆς ἐλήφθη, πλάστης δὲ αὐτοῦ ὁ Θεὸς, ἔδει καὶ τὸν ἀνακεφαλαιούμενον ἐκεῖνον, τὴν αὐ-

τὴν ἐκείνῳ τῆς γεννήσεως ἔχειν ὁμοιότητα· εἰς τί οὖν πάλιν οὐκ ἔλαβεν χοῦν ὁ Θεὸς, ἀλλ' ἐκ Μαρίας τὴν πλάσιν ἐνήργησεν; ἵνα μὴ ἄλλη πλάσις γένηται, μὴ δὲ ἄλλο τὸ σωζόμενον· ἀλλ' αὐτὸς ἐκεῖνος ἀνακεφαλαιωθῇ, τηρουμένης τῆς ὁμοιότητος· ἄγαν οὖν πίπτουσι καὶ οἱ λέγοντες αὐτὸν μηδὲν εἰληφέναι ἐκ τῆς παρθένου· ἵν' ἐκβάλωσι τὴν τῆς σαρκὸς οἰκονομίαν, καὶ ἀποβάλωνται τὴν ὁμοιότητα· τί γὰρ καὶ εἰς αὐτὴν κατήει, εἰ μηδὲν ἔμελλε λήψεσθαι παρ' αὐτῆς; ἔτι τε εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας, οὐκ ἂν τὰς ἀπὸ γῆς εἰλημμένας προσίετο τροφὰς, δι' ὧν τὸ ἀπὸ γῆς ληφθὲν τρέφεται σῶμα· οὐδ' ἂν τὰ ἄλλα ὅσα σύμβολα σαρκὸς τῆς ἀπὸ γῆς εἰλημμένης, ἐνεδείξατο· νῦν δὲ ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου, τοῦ πρώτως ἐκ γῆς ἀνεργάστου πεπλασμένου, ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, καὶ ἀπέβαλον τὴν ζωὴν, οὕτως ἔδει καὶ δι' ὑπακοῆς ἑνὸς ἀνθρώπου τοῦ πρώτως ἐκ παρθένου γεγεννημένου, δικαιωθῆναι πολλοὺς καὶ ἀπολαβεῖν τὴν σωτηρίαν·

p. 19. b. Βικτῶρος πρεσβυτέρου. Πῶς ἐπελεύσεται; οὐκ ὄψει τὸ ἐπερχόμενον, ἐνεργήσει δὲ δημιουργικῶς μὴ φαινόμενον, τό τε ἅγιον πνεῦμα καὶ ἡ δύναμις τοῦ πατρός· Χριστὸς δὲ Θεοῦ δύναμις ἐπισκιάσει σοι, τουτεστὶ περιβαλεῖ σε, ἐνδύσει σε, καὶ περιχαρακώσει σε, καὶ κύκλῳ σου ἔσται· καὶ τοῦτο δὲ πρὸς τὴν ὑπόνοιαν τῆς παρθένου, εὐκαίρως εἴρηται· φησάσης γὰρ τὸ, ἐπεὶ ἄνδρα οὐ γινώσκω, σωματικῆς ἐννοίας τοῦτο ἐπάγει διάνοιαν· ἐπεὶ τῆς γε ἀληθινῆς καὶ ἀφαντασιάστου σαρκώσεως ἕνεκα, καὶ ἐναργεστέρων εἰς παράστασιν τοῦ ἀπορρήτου θαύματος ἔδει ῥημάτων.

p. 20. a. Ἰουστίνου. Μέσῃ γὰρ παρθένῳ ἐκ Δαυιτικοῦ καταγομένῃ γένους, διὰ τὰς πρὸς αὐτὸν ἐπαγγελίας, πρὸς τὴν τῆς οἰκονομίας χρείαν χρησάμενος, καὶ ταύτης τῇ νηδύϊ εἰσδὺς οἱονεὶ θεῖος σπόρος, πλάττει ναὸν ἑαυτῷ τέλειον ἄνθρωπον, μέρος τί λαβὼν τῆς ἐκείνης φύσεως, καὶ εἰς τὴν τοῦ ναοῦ διάπλασιν οὐσιώσας.

p. 20. b. Βικτῶρος πρεσβυτέρου. Σὺ δέ μοι ὅρα πῶς τῇ παρθένῳ ὅλην ἐξέφηνε τὴν τριάδα ὁ ἄγγελος· πνεῦμα ἅγιον εἰπὼν, καὶ δύναμιν, καὶ ὕψιστον· ἀδιαίρετος γὰρ ἡ τριάς· καὶ ἐν μὲν τῷ λόγῳ, τὸ πνεῦμα· διὰ δὲ τοῦ λόγου, καὶ ἐν τῷ Θεῷ.

Τοῦ Γεωμέτρου. Τὸ μὲν οὖν πνεῦμα φησὶν ἐπελεύσεται, προοδοποιοῦν τῷ υἱῷ τὴν εἴσοδον, καὶ προευνοικοῦν, καὶ προκαθαῖρον αὐτῷ τὸν θάλαμον· μᾶλλον δὲ προκαλλωπίζον, εἰ καὶ προκεκάθαρται καὶ προκεκαλλώπισται· ἡ δὲ δύναμις τοῦ ὑψίστου ὁ υἱὸς, ἐπισκιάσει· καθάπερ ἐσκιαγραφημένοις τισὶν ἤδη παρὰ τοῦ πνεύματος τύποις, ἐπιβάλλων δι' ἑαυτοῦ καὶ αὐτὰ τὰ χρώματα, εἴτουν τὰ πατρικὰ γνωρίσματα· ἢ καὶ τὴν ἀθέατον αὐτοῦ μορφὴν, ἐν σοὶ σκιωδῶς περιγράψει· καὶ τὸ καθ' ἡμᾶς ἐν σοὶ μορφωθήσεται· ἢ καὶ αὐτὴ τοῦ πατρὸς ἡ σφραγὶς, ἐν σοὶ διασημανθήσεται· πάσας ὁμοῦ τὰς πατρικὰς ἐνεργείας, εἴτουν σκιὰς καὶ τοὺς χαρακτῆρας, ἐν ἑαυτῷ περιφέρων· καὶ σὸς υἱὸς, ὁ καὶ τοῦ Θεοῦ καὶ πατρὸς υἱὸς γινόμενος καὶ καλούμενος.

Φλαβιανοῦ. Μὴ τοίνυν νόει σωματικῶς συνάφειαν, μὴ δὲ γαμικὴν ὁμιλίαν ἐκδέχου· ὁ γὰρ σὸς δημιουργὸς τὸν σωματικὸν αὐτοῦ ναὸν παρὰ σοῦ τικτόμενον δημιουργεῖ· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ.

p. 21. a. Τοῦ Γεωμέτρου. Οὐ διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν μόνον, τὸν αὐτὸν καὶ υἱὸν Θεοῦ καὶ υἱὸν ἀνθρώπου καὶ ὄντα καὶ καλούμενον, ἀλλὰ διὰ τὴν τῶν ὀνομάτων μετάπτωσιν, ὡς

τοῦ μὲν ἀνθρώπου πολλάκις τὸ τοῦ φύσει Θεοῦ, τοῦ δὲ Θεοῦ τὸ τοῦ φύσει ἀνθρώπου καλουμένου, διὰ τὴν ἄκραν ἕνωσίν τε καὶ περιχώρησιν.

Τοῦ αὐτοῦ. Διὰ τί δὲ οὐκ εἶπε τὸ γεννώμενον ὑπὸ σοῦ, ἀλλ' ἁπλῶς τὸ γεννώμενον; ὅτι οἶδεν οὐκ ἀπὸ γυναικὸς ἀλλ' ἀπὸ ἀνδρὸς κυρίως καὶ πρώτως τὴν γέννησιν· καὶ γεννᾷ μὲν ὁ πατὴρ, ἡ δὲ μήτηρ διαδεχομένη, τελεσφορεῖ καὶ προάγει τὴν γέννησιν· ἵνα οὖν μήτε ἀπὸ ταύτης ὅλον, μήτε δὲ καὶ ἀπὸ πατρὸς, ἀλλ' ἀφ' ἑαυτοῦ δείξῃ τὸ γέννημα, καὶ γεννῶν ὁμοῦ καὶ γεννώμενον, διὰ τοῦτο οὕτως εἶπεν.

Τοῦ αὐτοῦ. Πίστις φησὶ τῶνδε τῶν εὐαγγελίων, ἕτερα εὐαγγέλια, προσεμφερῆ καὶ ὑπερφυῆ, δι' ἐμοῦ καὶ γινωσκόμενα καὶ γινόμενα· τούτων δέ σοι παρὰ πολλῶν ἀπόδειξις, ὑπὸ τοῦ ὀνόματος, ἀπὸ τῆς συγγενείας, ἀπὸ τοῦ πράγματος, ἀπὸ τοῦ χρόνου, καὶ ἀπ' αὐτοῦ τοῦ θαύματος· ἰδοὺ γὰρ Ἐλισάβετ ἡ συγγενής σου, συνέλαβεν ἐν γήρει, ἡ καλουμένη στεῖρα· τοσοῦτον εἰς ἕξιν ἧκε τῆς ἀπαιδίας, ὥστε καὶ εἰς κλῆσιν αὐτῇ γνώρισμα εἶναι τὸ ἀτύχημα· καὶ τὸ δὴ πλέον, ὅτι οὐδὲν ἀδυνατήσει παρὰ τῷ Θεῷ.

Φωτίου. Ὁ γὰρ στειρώσεως λύων δεσμὰ, αὐτὸς καὶ τόκον ἑαυτῷ δύναται κατασκευάσαι, δίχα μεσιτείας ἀνδρὸς· ὁ τὴν ξηρανθεῖσαν ῥίζαν εἰς καρποφόρον στέλεχος ἀνανεώσας, αὐτὸς καὶ τὴν ἄνικμον ἄρουραν εἰς εὔφορον χώραν ἑαυτῷ καινοποιήσει· ἂν δὲ βούλῃ καὶ παραδείγμασι τῶν ἀπηγγελμένων τὴν πίστιν παραδέξασθαι, μικροῖς τὰ μεγάλα εἰκάζουσα, καὶ τοῖς φθάσασι πιστουμένη τὰ μέλλοντα, οὕτως συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν, ὡς ἡ ῥάβδος Ἀαρὼν ἀγεωργήτως ἐβλάστησε, τὰ τῶν ἐῤῥιζωμένων ἐνεργήσασα· ὡς ὁ ὑετὸς οὐρανόθεν ἐπὶ τὸν πόκον φερόμενος, αὐτὸν μόνον ἐπότιζε, τὴν δὲ γῆν οὐκ ἐδρόσιζεν· ὡς ἡ βάτος τὸ πῦρ ὑπεδέχετο, καὶ τὴν φλόγα τρέφουσα, οὐκ ἐφθείρετο· οὕτω καὶ σὺ συλλήψῃ υἱὸν σάρκα, δανείζουσα, τροφὴν τῷ ἀΰλῳ πυρὶ παρέχουσα, καὶ τὴν ἀφθαρσίαν ἀνθέλκουσα· ταῦτα γὰρ τὴν σὴν πόῤῥωθεν προεζωγράφει κυοφορίαν· ἐκαινοποιήθη ταῦτα καὶ προϋπέστη, ἵνα τοῦ κατὰ σὲ μυστηρίου σκιαγραφήσῃ τὸ ἀκατάληπτον.

Τοῦ Γεωμέτρου. Πολλὰ μὲν καὶ μεγάλα, τὰ κατὰ τὴν παλαιὰν θαύματα, θάλασσα διϊ- p. 21. b.
σταμένη καὶ πάλιν συναγομένη· πέτρα πλημμυρουμένη νάμασι· ποταμοὶ ῥηγνύμενοι, καὶ ἀναχαιτιζόμενοι· ἥλιος ἐπεχόμενος· νεφέλη προτρέχουσα· στύλος πυρὸς προερχόμενος· πηγὴ μικρὰ μέλι ῥέουσα· ξηρὰ ῥάβδος ἄνθεσι βρύουσα· καὶ ἔτι πρὸ τούτων καιομένη βάτος ἄκαυστα· δροσιζομένη κάμινος ἄσβεστα· ὕδωρ ὕδασιν ἐκπυρούμενον· πλάκες δακτύλῳ Θεοῦ γραφόμεναι· ὡσεὶ ἄμμος πετεινὰ βρεχόμενα· μάννα καταφερόμενον· στεῖραι τίκτουσαι· γηραιαὶ βλαστάνουσαι, παραλόγως μὲν, οὐκ ἀσπόρως δέ· ἀλλὰ τί μοι ταῦτα παρθένε πρὸς τὸ, νόμους ἐν σοὶ λυθῆναι λόγου καὶ φύσεως, ἀλλ' οὐχὶ χρόνου τὲ καὶ πηρώσεως, καὶ συλλαβεῖν καὶ τεκεῖν; οὐκ ἄνθος οὐδὲ καρπὸν ὡς ἡ ῥάβδος μόνον· οὐδέτι ῥευστὸν καὶ ἄψυχον, ὡς ἡ πέτρα τὸ νάμα, ἀλλὰ Θεὸν ὁμοῦ καὶ βροτὸν καὶ οὐχ' ὅσον μὴ φλεχθῆναι, ἀλλὰ καὶ θεωρηθῆναι, μὴ δὲ ὑλικῇ καθάπερ οἱ παῖδες, ἀλλὰ Θεοῦ φλογί· μὴ δ' ἀκαρῆ καὶ ἔξωθεν σχεῖν τὴν φλόγα καθάπερ ἡ βάτος· ἀλλ' ἔνδον τὲ καὶ ἐπὶ τοσοῦτον· καὶ μὴ διελθεῖν δοῦναι μόνον, καθὰ καὶ ἡ ἐρυθρὰ πάλαι τῷ Ἰσραὴλ, ἀλλὰ καὶ σάρκα δοῦναι τῷ ἐκ σοῦ· μηδ' ἁπλῶς γραφῆναι καθάπερ αἱ πλάκες Θεοῦ δακτύλῳ, ἀλλὰ καὶ αὐτὸν συνουσιωθῆναι τὸν λόγον καὶ ὑποστῆναι τὸ πρόσλημμα· τὸ δὲ μὴ μόνον καὶ συλλαβεῖν παρθένον, καὶ συλλαβοῦσαν διατελεῖν, ἀλλὰ καὶ τεκοῦσαν τὴν παρθενίαν διατηρεῖν, πῶς οὐ διπλοῦν ἡμῖν τὸ κατὰ σὲ θαῦμα

τοῦ μυστηρίου δείκνυσι; τὸ μὲν γὰρ μήπω παχυθέντα τὸν λόγον, διὰ τὸν νυμφικῶν εἰσελθεῖν ἀφράστως κλείθρων, καὶ σαρκολαβεῖν, θαυμαστὸν μὲν, καὶ οὐδὲ καταληπτόν· οὔπω δὲ τοσοῦτον ὅσον μετὰ τοῦ πάχους ὅλου καὶ τοῦ προσλήμματος ἐξελθόντα τὴν πύλην ἐσφραγισμένην ἀπολιπεῖν, ὥσπερ ἂν εἰ μὴ δὲ τὴν ἀρχὴν διελθὼν ἦν· καὶ τί μοι τοῦ θαύματος ἀνιχνεύειν τὸ πέλαγος; οὕτω γὰρ ἔδοξε καὶ τοῖς πάλαι τοῦτο θαυμαστὸν, ὡς ἄνωθεν αὐτὸ τοὺς προφήτας ἐκπλήττεσθαι, καὶ ὑπογράφειν συμβόλοις τε καὶ σκιαῖς· εἴσως ὥσπερ ἐν ἀμαυροτέροις τισὶ χρώμασι σκιαγραφήσουσι τὸ τοῦ πράγματος μέγεθος· πάντα γὰρ ἐκεῖνα σὲ ἐτύπουν· και πάντα πάντες σὲ ὀνομάζουσι· θάλασσαν σχιζομένην καὶ πάλιν συνερχομένην, πλὴν διαβαινομένην ἅμα καὶ κεκλεισμένην· κάμινον δροσιζομένην ἅμα καὶ φλεγομένην· βάτον καιομένην, ἀλλ' οὐ κατακαιομένην· νεφέλην ἡμέρας ἅμα καὶ εὐθυπορίας ἄγγελον· στῦλον πυρὸς οὐ τὸ θεῖον οἶμαι μόνον πῦρ ἐπιφερομένην, ἀλλὰ καὶ θείου καὶ νέου λαοῦ, τὸν Φαραὼ τὸν νοητὸν ἀποτειχίζουσαν· πέτραν μέλι τὸν λόγον ῥέουσαν· ῥάβδον ἄνθος τὴν εὐωδίαν καὶ δόξαν τοῦ γένους φέρουσαν· γῆν μείνασαν οἷα ἐστὶ, καὶ πλήρη τῆς θείας εὑρισκομένην τροφῆς· καὶ μάννα τὸν ἀγεώργητον ἄρτον φέρουσαν, ὃν οὔτε ἄροσις οὔτε σπορὰ ἐγεώργησε· κιβωτὸν ἄψαστον, κῆπον ἄσυλον, λυχνίαν ἄσβεστον, ναὸν ἄβατον, ὄρος ἄτομον, ἀρεταῖς κατάκομον καὶ κατάσκιον· πλάκα θεόγραφον, στάμνον θεοδόχον, τράπεζαν ἐφ' ἧς ὁ τῆς ζωῆς ἄρτος, κλίνην ἐφ' ἧς δυνατὸς ἀνεπαύσατο· κλίμακα δι' ἧς κατέρχεται μὲν ὁ θεὸς, ἀνέρχεται δὲ ὁ θνητὸς· ἀρχομένην μὲν τῶν χθονίων, ἁπτομένην δὲ καὶ τῶν οὐρανίων· τοσαῦτα μοι καὶ ἔτι πλείω τὰ περὶ σὲ ὦ παρθένε θαύματα· μᾶλλον δὲ τὰ τοῦ θαύματος εἰκονίσματα· ἔχεις εἰ βούλει καὶ τὴν γείτονα καὶ συγγενῆ Ἐλισάβετ εἰς παράδειγμα· οὐδὲν τοῖς δεσποτικοῖς ἀνυπότακτον ὅρους· πάντα εἴκει τῷ θείῳ προστάγματι· εἶπέ ποτε τὴν ἄνυδρον πέτραν γενέσθαι κατάῤῥυτον, ἡ δὲ ποταμοὺς ὑδάτων εὐθέως ἠρεύξατο· ὁ τότε τοίνυν τὴν ἄγονον πέτραν μεταβαλὼν εἰς λίμνην, καὶ νῦν τὴν στεῖραν Ἐλισάβετ, παιδογόνον ἐκέλευσεν ἀναδειχθῆναι μητέρα· καὶ ὅτε τὸ σῶμα τὸ γῆρας ἐμάρανε, τότε τὴν μήτραν ὁ θεὸς ἀνενέωσε· καὶ βρέφος ἐπὶ τῆς ἀγκάλης βαστάσει ἡ βακτηρίας διὰ τὸ γῆρας χρήζουσα· καὶ στεῖρα παραδόξως γεννήσει, ἵνα σὺ πιστεύσῃς ὅτι παρθένος παρὰ φύσιν τέξεις.

v. 38. p. 22. b. Τοῦ αὐτοῦ. Ὅρα μοι κἀνταῦθα τῆς παρθένου τὸ ἦθος, καὶ ὅσην εἶχεν ἐν νεαρῷ κομιδῇ τῷ σώματι, καὶ φρονήματος ὁμοῦ καὶ πνεύματος τελειότητα· ἕως μὲν γὰρ ἀνδρὸς ὑπόληψις ἦν, τὴν σύλληψιν οὐκ ἐδέχετο· ἀλλὰ κἂν ἀρχάγγελος ᾖς φησι, κἂν ὑπερφυῆ μοι τινὰ καὶ οὐράνια κομίζῃς τὰ εὐαγγέλια, ἀλλ' ἐμὲ καὶ ἀνδρὶ συνελθεῖν, καὶ συλλαβεῖν, καὶ τεκεῖν, ἀμήχανον· ἐπειδὴ δὲ καὶ τὴν παρουσίαν, καὶ τὴν ἐνοίκησιν, τὴν μὲν τοῦ πνεύματος τὴν δὲ τοῦ υἱοῦ προσευηγγελίσθη, πείθεται μὲν καὶ πιστεύει· μηδὲν γὰρ ἀδύνατον εἶναι θεῷ· φυσᾶται δὲ καὶ ἐπαίρεται οὐδὲ οὕτως, ἀλλὰ καταπίπτει μᾶλλον καὶ ὑποστέλλεται, καὶ δούλην μὲν ἑαυτὴν οὐκ ὀνομάζει μόνον, ἀλλὰ καὶ ὡς εἰκὸς ἑτοίμην εἶναι λέγει πρὸς τὸ ὑπούργημα· ὡς δὲ καὶ ὑπὲρ αὐτὴν ὂν, οὐ δέχεται μᾶλλον ἢ ἐπεύχεται τὸ ἐπάγγελμα.

Τοῦ Μεταφράστου. Ὡς γὰρ ἤκουσε τούτων, εὐθὺς ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῇ πνεύματος διαυγασθεῖσα τὸν νοῦν, ἀσμένως τε διετέθη τῷ ἐπαγγέλματι· καὶ ἰδοὺ ἡ δούλη κυρίου φησὶ πρὸς τὸν ἄγγελον· γένοιτό μοι κατὰ τὸ ῥῆμα σου· ἅμα τήν τε ἀκρίβειαν εἰς ὅσον ἔδει πρὸς τὴν τοῦ ἀγγέλου φωνὴν φυλάξασα, καὶ μὴ πλέον μετὰ τὴν ἀξιοπιστίαν τῶν εἰρημέ-

νων ἑλομένη διαπιστεῖν· ἀλλὰ τῷ μὲν, τῆς προμήτορος τὴν ἀπάτην διαφυγοῦσα· τῷ δὲ τὸ δυσπειθὲς ἐκκλίνασα Ζαχαρίου καὶ πέρα τοῦ καλῶς ἔχοντος.

Φωτίου. Ἐπεί μοι, φησὶ, πνεῦμα ἅγιον ἐπελεύσεσθαι διετράνωσας, οὐκέτι ἀντιπίπτω, οὐδὲ ἀντιλέγω· γενηθήτω μοι κατὰ τὸ ῥῆμα σου· εἰ ἀξία τῷ δεσπότῃ κρίνομαι, ὑπουργήσω χαίρουσα τῷ θελήματι· εἰ ὁ πλάστης τῷ πλάσματι ἀναπαύεται, οἰκοδομείτω τὸν οἶκον αὐτὸς ἑαυτῷ, ὡς εὐδόκησε· ζωοπλαστείτω ἐν ἐμοὶ τὴν σάρκα τὴν ἑαυτοῦ, ὡς οἶδεν αὐτὸς καὶ ὡς βούλεται· γένοιτό μοι τὰ σὰ ῥήματα περατούμενα πράγματι.

Τοῦ Γεωμέτρου. Ἄλλος μὲν οὖν ἄλλό τι τῶν περὶ τὴν μυσταγωγίαν ταύτην ἐπαινείτω p. 23. a. τῆς κόρης· ὁ μὲν τὴν ἀσφάλειαν, ὁ δὲ τὴν εὐπείθειαν· ὁ μὲν, ὅτι μὴ συνηρπάγη λαμπραῖς οὕτως καὶ μεγάλαις καὶ παρὰ λαμπροῦ καὶ μεγάλου ταῖς ὑποσχέσεσιν· ὁ δὲ, ὅτι μὴ πέρα τοῦ μετρίου δυσπειθῶς ἐχρήσατο ταῖς ἐνατιώσεσιν, ἀλλ' ἐπίσης ἐξέφυγεν καὶ τῆς προγονικῆς ἀπάτης, τῆς Εὔας φημὶ, τὴν εὐήθειαν, καὶ τῆς συγγενικῆς ἀπιστίας τοῦ Ζαχαρίου πρὸ μικροῦ τὴν ἀπείθειαν· ἐμοὶ δὲ καὶ τὸ ὕψος τῆς ταπεινοφροσύνης, οὐχ ἧττον δοκεῖ θαυμαστὸν, ἀλλ' εἴπέρ τι καὶ τῶν ἄλλων ἐκπληκτικώτατον· δι' ἣν τάχα καὶ ἐπὶ τοσοῦτον ὑψώθη, καὶ πρὸς ὑπουργίαν ἀφιερώθη τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι καὶ σώματος· κεχαριτωμένη γὰρ καὶ νύμφη θεοῦ ἀκούσασα, καὶ τοῖς λεγομένοις πιστεύσασα, δούλην ἑαυτὴν ὅμως καλεῖ· καὶ τὴν ἐπαγγελίαν δέχεται μὲν, καὶ συγκατατίθεται, ὡς δὲ μὴ κατ' αὐτὴν ἀλλὰ κρείττονα καὶ προσδοκίας οὖσαν, ἐπεύχεται, ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμα σου· ταῦτά τοι, καὶ ἄπεισιν εὐθὺς ἀπ' αὐτῆς ὁ ἄγγελος οὐ μόνον ἀπαρτίσας ὅπερ ἐβούλετο, ἀλλὰ καὶ ὑπερθαυμάσας τοῦ παρθενικοῦ κάλλους τὴν ὡραιότητα καὶ τῆς ἀρετῆς τὴν ὑπερβολὴν, καὶ μηδὲν ἐπὶ πλέον βασανίσαι θελήσας, ἀλλὰ τὴν ὁμολογίαν τῆς πίστεως ἐκείνης δεξάμενος.

Τοῦ αὐτοῦ. Ἡμῖν δὲ οὐκ ἄπορον καὶ τούτου τὴν αἰτίαν εἰπεῖν· σαρκοῦται γὰρ οὐκ ἄλλος τίς τῆς τριάδος, ἀλλ' ὁ υἱὸς, ἵνα καὶ πάλιν υἱὸς μείνῃ, μὴ μετατιθεμένης τῆς ἰδιότητος· ἢ καὶ πάλιν δημιουργὸς, καθάπερ κτίσας τὸ πρότερον, οὕτω καὶ ἀνακαινίσας τὸ δεύτερον· ἀλλὰ καὶ υἱοὶ γενώμεθα δι' υἱοῦ διὰ τοῦ φύσει, θέσει προσοικειούμενοι, καὶ διὰ τοῦ κληρονόμου, καὶ πρὸς τὴν συγκληρονομίαν παρακαλούμενοι· πᾶσα μὲν οὖν ἑνοῦται τῇ σαρκὶ καὶ τελείως ἡ θεότης, οὐσιωδῶς· μόνος δὲ ὁ υἱὸς, ὑποστατικῶς· εἴπερ ὁλικῶς ἐν τοῖς τρισὶν ἡ θεότης· καὶ οὕτως ὅλη μὲν ἡ τῆς θεότητος φύσις, ὅλῃ τῇ ἀνθρωπίνῃ κραθεῖσα φύσει, τὸν θεάνθρωπον ἀπετέλεσεν· οὐ μὴν ὥσπερ ὅλῃ τῇ φύσει τὴν φύσιν ὅλην, οὕτω καὶ τὰς ὑποστάσεις ὅλας ὅλαις ταῖς ἀνθρωπίναις ἑνωθῆναι λέγειν ἐκβιασθησόμεθα· ἄπαγε· ἀλλ' ὅλην μὲν ὅλῃ τῇ ἀνθρωπότητι τὴν θεότητα, ὡς πρὸς τὰς φύσεις· μόνον δὲ τὸν υἱὸν μόνῃ τῇ τοῦ υἱοῦ κεκράσθαι σαρκὶ, ὡς πρὸς τὰς ὑποστάσεις, ὁμολογήσομεν· οὐ μὴν οὐδὲ πάλιν ὥσπερ ὑποστατικῶς ὁ υἱὸς μόνος, οὕτω καὶ ἐνεργητικῶς, ἀλλ' εὐδοκίᾳ μὲν τοῦ πατρὸς, συνεργίᾳ δὲ τοῦ πνεύματος, τὴν πρόσληψιν ἀπεργάζεται· καὶ οὕτω πάλιν ἡ τριὰς, ἑνουμένη γνωρίζεται· καὶ ὁ εἷς θεὸς πρὶν διαιρεθῆναι, συνάγεται· κἀκεῖνο δὲ ἀναγκαῖον εἰδέναι, ὅτι καὶ τῆς οἰκονομίας ἐστὶ τὸ συνεκτικώτατον, ὅτι μὴ δὲ ὅσον οὖν, πρῶτον σὰρξ μὴ δὲ ἄνθρωπος, εἶτα θεοῦ λόγου σὰρξ ἢ καὶ ἄνθρωπος, ἵν' οὕτω προυποστάσας καὶ ἄμφω τὰς φύσεις ὁμολογήσαντες, εἰς διπλῆν κατενεχθῶμεν ὑπόστασιν, ἐκ τῆς διπλῆς καὶ ἰδίᾳ προυποστάσης ἑκατέρῳ φύσεως· ἀλλ' ἅμα μὲν τῷ λόγῳ ἡ σὰρξ, καὶ τῇ σαρκὶ ὁ λόγος· ἅμα δὲ

p. 11. a. Τοῦ Μεταφράστου καὶ Βικτῶρος. Πόθεν γὰρ ἄλλοθεν αὐτῇ ἐπῆλθε τὸ Ἰωάννου εἰπεῖν ὄνομα πρὸς τὴν τοῦ παιδὸς κλῆσιν, ξένον ὂν ἀτεχνῶς καὶ τοῦ γένους αὐτῆς ἀλλότριον ἢ πάντως, ἐκ πνεύματος ἁγίου, καὶ τῆς τοῦ τικτομένου δυνάμεως; ἐπεὶ οὐκ ἦν ἐκ τοῦ ἀνδρὸς ἡ δήλωσις· πῶς γὰρ τῷ προστίμῳ ἔτι τῆς ἀφωνίας πεπεδημένου; διὸ καὶ διένευον αὐτῷ ὡς μὴ ἀκούοντι ἢ λαλῆσαι δυναμένῳ, ὃς καὶ λαβὼν δέλτον, ἔγραψε συμφώνως τῇ ἑαυτοῦ γυναικὶ, τοῦ παιδὸς τὴν προσηγορίαν· ἀμέλει καὶ μετὰ τὸ γραφῇ δηλῶσαι τοῦτο τὸν Ζαχαρίαν· καὶ γὰρ ἀμήχανον ἦν διὰ νεύματος· ἐθαύμασαν φησὶ πάντες· ἐπὶ τίνι ἄλλῳ, ἢ ἐπὶ τῇ συμφωνίᾳ τῶν γεννητόρων, περὶ τὸ τοῦ παιδὸς ὄνομα;

v. 63. Τοῦ αὐτοῦ. Ὁμοῦ τοίνυν γράφων, ὠνόμαζε· καὶ γλώττῃ τὰ δεσμὰ διελύετο· καὶ λέγειν ἤρχετο· καὶ προφητεύειν τὰ ἀναγεγραμμένα· πρῶτον μὲν παρὰ τοῦ Χριστοῦ, ὡς ἤδη ἐπιδημήσαντος τῷ υἱῷ· ὕστερον δὲ περὶ Ἰωάννου.

v. 64. Τοῦ αὐτοῦ. Εἰς τί ὁ φόβος πάντων λαμβάνεται τῶν περιοικούντων; ὅτι προτρέχειν ἔδει περιφανῆ θαύματα ἐπί τε τῇ ἐπαγγελίᾳ τοῦ τεχθησομένου, καὶ ἐπ' αὐτῷ δὴ τῷ ἐκείνου τόκῳ· ἵν' ὥσπερ ἐπὶ τῇ σιωπῇ Ζαχαρίου ἐξέστη ὁ λαὸς, οὕτως καὶ ἐν τῷ λαλῆσαι αὐτὸν ὅπως διὰ τῶν δύο τούτων θαυμάτων, μέγα τι λογίζωνται πάντες περὶ τοῦ τεχθέντος παιδίου· ταῦτα δὲ πάντα προκατεσκευάζοντο πόῤῥωθεν, ἵν' ἐκ προοιμίων τὸ ἀξιόπιστον τοῦ μαρτυρῆσαι Χριστῷ μέλλοντος, ἐπισήμως ἀναφανῇ· δηλοῖ δὲ τοῦτο καὶ ἡ ἐπαγωγὴ, τὸ, θαύματι καὶ δέει κατόχους γενέσθαι πάντας δηλαδὴ τοὺς ἀκούοντας, τί ἄρα λέγοντας τοῦτο τὸ παιδίον ἔσται; καὶ ἦν χεὶρ κύριου μετ' αὐτοῦ· ὁ θεὸς εἰργάζετο· οὐ γὰρ Ἰωάννης ταῦτα ἐποίει, ἀλλ' ἡ τοῦ θεοῦ χείρ.

v. 65. Βικτῶρος καὶ Κυρίλλου. Λαμβάνεται δὲ τὸ κέρας, οὐ μόνον ἀντὶ δυνάμεως, ἀλλὰ καὶ ἀντὶ βασιλείας· ἀμφότερα δὲ ὁ Χριστός ἐστιν, ὁ ἐκ τῆς πατριᾶς καὶ τοῦ γένους τοῦ Δαυὶδ ἀνατείλας ἡμῖν σωτήρ· αὐτὸς γάρ ἐστιν ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ ἡ ἀκαταμάχητος δύναμις τοῦ πατρός.

v. 69. p. 11. b. Βικτῶρος. Ἤγειρε, φησὶν, ἡμῖν ὁ θεὸς καὶ πατὴρ κέρας σωτηρίας τὸν Χριστὸν, κατὰ τὴν τῶν ἁγίων αὐτοῦ προφητῶν προαγόρευσιν· πᾶσι γὰρ τοῖς προφήταις τὸ περὶ Χριστοῦ κατήγγελται μυστήριον· ὃς ἐῤῥύσατο ἡμᾶς ἐξ ἐχθρῶν οὐκ αἰσθητῶν, ἀλλὰ νοητῶν, τῶν ἀλιτηρίων φημὶ δαιμόνων, τῶν μισούντων ἡμᾶς· ποῦ δὲ ἐλάλησεν ὁ θεὸς διὰ τῶν προφητῶν τὴν ἡμῶν διὰ Χριστοῦ σωτηρίαν; ἔνθα εἴρηται· αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς· καὶ πάλιν· οὐ πρέσβις, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ κύριος ἔσωσεν ἡμᾶς· καὶ πολλαχοῦ εἰπὼν μέν τοι, καθὼς ἐλάλησε διὰ στόματος τῶν προφητῶν, ἔδειξε τὸν θεὸν δι' αὐτῶν φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον.

v. 72. Τοῦ αὐτοῦ. Τὸ ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων, οὕτω χρὴ νοεῖν, ὡς τὸ εἰς ἡμᾶς γενόμενον ἔλεος· καὶ πρὸς τοὺς πατέρας ἡμῶν ἀνατρέχει τοὺς περὶ τὸν Ἀβραάμ· ἐπαισθόμενοι γὰρ τῆς εἰς ἡμᾶς εὐεργεσίας, κοινωνοὶ γίνονται τῆς εὐφροσύνης· καὶ ἑτέρως δὲ χαίρουσι, καθὸ τὰς ἐλπίδας αὐτῶν ἐπλήρωσεν· ὅσα γὰρ προσεδόκων, ἐπὶ Χριστῷ εἶδον τελειωθέντα· οἶδα καὶ ἄλλο γεγονὸς μετὰ τῶν πατέρων ἔλεος, ὅτι καὶ πρὸς αὐτοὺς ἡ τοῦ Χριστοῦ ἐπισκοπὴ γέγονε· καὶ τοῦτο, ἡ εἰς τὸν ᾅδην αὐτοῦ ἄφιξις ἐπραγματεύσατο· ποίας δὲ διαθήκης ἐμνήσθη, καὶ ποίου ὅρκου πρὸς τὸν Ἀβραὰμ γενομένου, ἢ πάντως τοῦ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη; καὶ τοῦ, εὐλογῶν εὐλογήσω

σε καὶ πληθύνων πληθυνῶ σε· ἐπληθύνθη γὰρ ὄντως ὁ Ἀβραὰμ, εἰς σπέρμα καὶ τῶν
ἐθνῶν λογισθέντων αὐτῷ τῶν υἱοθετησάντων αὐτῷ διὰ τῆς πίστεως· ὡς γὰρ ἐπίστευσεν αὐ-
τὸς, οὕτω καὶ ταῦτα διὰ πίστεως ᾠκειώθησαν.

Βασιλείου. Μηδεὶς δὲ ἀκούων, ὅτι ὤμοσεν ὁ θεὸς τῷ Ἀβραὰμ, οἰκοδομείσθω πρὸς τὸ v. 73.
ὀμνύειν· ὥσπερ γὰρ ὁ θυμὸς ἐπὶ θεοῦ λεγόμενος, οὐκ ἔστι θυμὸς, οὐδὲ πάθος δηλοῖ, ἀλλὰ
τὸ τιμωρητικὸν καὶ τὴν τοιάνδε κίνησιν, οὕτως οὐδὲ ὁ ὅρκος, ὅρκος· οὐδὲ γὰρ ὄμνυσιν ὁ
θεὸς, ἀλλὰ τὴν βεβαίωσιν δηλοῖ, καὶ τὸ πάντως ἐσόμενον λέγει· ὅρκος γὰρ θεοῦ, ὁ
λόγος αὐτοῦ ἐστι πληροφορῶν τοὺς ἀκούοντας, καὶ πίστιν ἑκάστῳ παρέχων, ὅτι ὃ ἐπήγγελ-
ται καὶ λαλεῖ, πάντως γενήσεται· οὐ γὰρ, ὡς ἄνθρωπος, ὀμνύει θεός· ἀλλ' ἡμῖν ὁ λόγος
αὐτοῦ, ἀντὶ ὅρκου πρὸς ἀλήθειαν γίνεται, ἀτρέπτοις καὶ ἀκινήτοις δόγμασι τὴν ἐπαγγελίαν
βεβαιοῦντος.

Τοῦ Μεταφράστου. Θεία ὅπως ἡ Ζαχαρίου γλῶττα, τὰς τοῦ κωφεύειν πέδας ἀποθεμένη, οὐχ p. 12. b.
ἁπλῶς φθέγγεται, ἀλλὰ καὶ προφητεύειν ἐπιεικῶς ἄρχεται καὶ προφητεύειν περὶ αὐτοῦ δὴ
τοῦ παιδὸς, ὃς καὶ τὰς πέδας αὐτῇ τῆς ἀφωνίας ἐπέθηκε, καὶ πάλιν ἀνῆκεν· ἔσεσθαι γὰρ
προφήτην αὐτὸν ὑψίστου προλέγει, καὶ πρὸ προσώπου αὐτοῦ προπορεύσεσθαι, ἑτοιμασίαν
τῶν ὁδῶν αὐτοῦ ποιησόμενον· τουτέστι, προπαρασκευάσοντα τὰς ψυχὰς τῶν μελλόντων δέ-
χεσθαι τὸν Χριστὸν, ἵνα ἑτοίμους αὐτὰς εὑρὼν, ἐμπεριπατήσῃ ἐν αὐταῖς.

Μακαρίου. Καὶ ὥσπερ ἐν Αἰγύπτῳ τριημέρου σκότους γενομένου, καὶ πάντας καλύψαντος, v. 79. p. 13. a.
οὐκ ἔβλεπεν υἱὸς πατέρα, οὔτε ἀδελφὸς τὸν ὁμόγνιον, οὔτε φίλος γνήσιον φίλον, οὕτω τοῦ Ἀδὰμ
παραβάντος τὴν ἐντολὴν, καὶ πεσόντος ἀπὸ τῆς προτέρας δόξης, καὶ ὑπὸ τὸ πνεῦμα τοῦ
κόσμου γεγονότος, καὶ τοῦ καλύμματος τοῦ σκότους ἐλθόντος ἐν τῇ ψυχῇ αὐτοῦ ἀπ' αὐτοῦ,
καὶ μέχρι τοῦ ἐσχάτου Ἀδὰμ τοῦ κυρίου, οὐκ ἔβλεπον τὸν ἀληθινὸν πατέρα τὸν ἐπουρά-
νιον, καὶ τὴν ἀγαθὴν μητέρα τὴν χάριν τοῦ πνεύματος, καὶ τὸν γλυκὺν ἀδελφὸν τὸν κύ-
ριον, καὶ τοὺς γνησίους φίλους ἀγγέλους· καὶ νῦν δὲ ἔτι ἐφ' οὓς οὐκ ἀνατέλλει ὁ τῆς δι-
καιοσύνης ἥλιος, ὑπὸ τὸ αὐτὸ σκότος εἰσὶ, τὴν αὐτὴν τῶν ἡδονῶν ἐνέργειαν ἔχοντες.

## CAP. II.

Τοῦ Μεταφράστου καὶ Ἀλεξάνδρου μοναχοῦ. Ἐνταῦθα ὁ λόγος διασαφεῖν ὥρμηται περὶ τῆς v. 1.
προφητείας, ὅπως εἴληφε πέρας, τῆς μὴ ἐκλείψειν ἄρχοντα ἐξ Ἰούδα θεσπιζούσης, μὴ δὲ ἡγού-
μενον ἐκ τῶν μηρῶν ἐκείνου, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, αὐτὸν δὲ εἶναι προσδοκίαν ἐθνῶν· περὶ
τοῦ Χριστοῦ δηλαδὴ καὶ τοῦτο λεγούσης· τότε γὰρ ἐκεῖνος ἐπιφοιτᾷ, ὅτε λοιπὸν ἐπιλελοιπό-
τες ἦσαν οἱ ἰουδαϊκοὶ ἄρχοντες· καὶ ὑπὸ τὰ σκῆπτρα ἤδη τὰ τῶν ῥωμαίων γενόμενοι· ὁμοῦ
τε γὰρ ὁ Χριστὸς γίνεται, καὶ ἀπογραφὴ πρώτη ἐκείνη γίνεται, κρατησάντων ῥωμαίων τοῦ ἰου-
δαίων ἔθνους, καὶ ὑπὸ ζυγὸν τῆς οἰκείας βασιλείας αὐτοὺς ἐνεγκόντων· Ἀντίπατρος γὰρ ὁ Ἡρώδου
πατὴρ, τοῦ ἰουδαίων ἄρξαντος ὕστερον, ἐξ Ἀῤῥαβίας ἄγεται γυναῖκα, Κύπριν ὄνομα, ἥτις
παίδων αὐτὸν τεσσάρων πατέρα ποιεῖ, ὧν εἷς οὗτος ὁ Ἡρώδης ἦν· μᾶλλον δὲ τρανότε-
ρον, ὡς οἷόν τε, τὰ τοῦ πράγματος ἄνωθεν δηλωτέον· Ὑρκανοῦ γὰρ, τοῦ ἀδελφοῦ Ἀριστοβού-
λου τοῦ ἀρχιέρεως, ὃς καὶ διάδημα μὲν βασιλικὸν περιέθετο, δέσμιος δὲ ὑπὸ Πομπηΐου
στρατηγοῦ τῶν ῥωμαίων σὺν ἅμα παισὶν εἰς Ῥώμην αἰσχρῶς παρεπέμφθη, ἡνίκα καὶ τε-

λεῖν φόρους ἐτάχθη τοῖς ἰουδαίοις· τούτου δὴ τοῦ Ὑρκανοῦ ἀρχιερέως ὑπὸ Πομπηΐου ἀναδειχθέντος, ἔπειτα δὲ καὶ ὑπὸ Πάρθων ἑαλωκότος, Ἀντιπάτρου τε πρὸς δόλων ἀναιρεθέντος, ὃν ἐπίτροπον αὐτὸς τῆς χώρας κατέστησεν, ὃς καὶ Ἡρώδου τοῦ μετὰ ταῦτα βεβασιλευκότος τῆς Ἰουδαίας πατὴρ ἦν, καὶ μηδενὸς ὄντος τοῦ τῶν ἐν Ἰουδαίᾳ πραγμάτων ἀντεχομένου, Ἡρώδης οὗτος ὁ τοῦ Ἀντιπάτρου υἱὸς πέμπει πολλά τινα χρήματα δοὺς τοῖς ῥωμαίοις, καὶ ὑπόσπονδος αὐτοῖς γεγονὼς, ἐγκρατὴς γίνεται τῆς ἀρχῆς· ὅθεν δὲ τοῦ πράγματος ἔσχε τὰς ἀφορμὰς, ὁ λόγος ὡς οἷόν τε διὰ βραχέων ἐρεῖ· Αὐγούστου γὰρ Καίσαρος εἰς Αἴγυπτον ἀπιόντος μετὰ χειρὸς ὡς μάλιστα πλείστης, πρός τε τὸν Κλεοπάτρας φημὶ πόλεμον, εἰς ἣν περιέστη τὰ τῆς ἀρχῆς Αἰγύπτου, ἐκ τῶν Πτολεμαίων ἕλκουσαν τὸ γένος, ὥσπερ ἄρα καὶ Ἰωσήπῳ δοκεῖ, πρόσεισιν αὐτῷ Ἡρώδης οὗτος, λειτουργίαν οὔτι μετρίαν ἐν στρατεύμασί τε καὶ ἀναλώμασι χορηγῶν· ἐπεὶ δὲ καὶ Κλεοπάτρα καὶ Αἴγυπτος ἐν χερσὶν ἦν Αὐγούστῳ, δωδέκατον ἔτος ἤδη τῆς ἀρχῆς ἔχοντι, ἐπανιὼν αὐτὸς εἰς Ῥώμην, Ἡρώδου τῆς θεραπείας ὥσπερ εἰκὸς ἀπομνημονεύων, βουλῇ τῆς ῥωμαίων συγκλήτου, βασιλέα τοῦτον τῆς Ἰουδαίας χειροτονεῖ, περιθεὶς διάδημα· ὅσπερ ἐπιβὰς Ἱεροσολύμων, ἐπεὶ τοὺς ἰουδαίους ἔγνω μὴ κατὰ γνώμην αὐτῷ διακειμένους, ἀλλὰ τῷ ἀλλόφυλον εἶναι καὶ ἄλλως δύσχρηστον, βαρυνομένους αὐτοῦ τὴν ἀρχὴν, ἐνίους μὲν αὐτῶν καὶ ἀπέκτεινε, τοὺς πλείστους δὲ κακῶς ἔδρασεν· ἠνδραποδίσατό τε τὴν πόλιν, καὶ τὸ τοῦ θεοῦ ἱερὸν, ἀνοσίως καὶ μοχθηρῶς· κακῶς οὖν ἐκείνος τῇ ἐξουσίᾳ χρώμενος, εἶτα καὶ παράσημόν τι προστίθησι, καὶ δεῖγμα σαφὲς τῆς σφετέρας κακίας· πάσας γὰρ τὰς τῶν ἐν Ἰουδαίᾳ φυλῶν καὶ γενῶν δημοσίους ἀναγραφὰς, αἳ ἀπὸ τοῦ Ἔσδρα ἐτύγχανον οὖσαι, φθόνου καὶ μανίας ἔργον ποιῶν, πυρὶ δίδωσι· καὶ ὁ σκοπὸς, ὡς κομιδῇ πονηρὸς· ἵνα μηκέτι τοῖς ἰουδαίοις γνώριμον ᾖ ἐκ ποίας οὗτοι τυγχάνουσι πατριᾶς, καὶ τίνες μὲν αὐτῶν οἱ ἡμεδαποὶ καὶ αὐτόχθονες, τίνες δὲ οὓς γειώρας εἴθιστο καλεῖν· πρὸς τοῖς ἄλλοις, καὶ τὴν ἱερατικὴν στολὴν ἐν σκεύει δή τινι ἀποθέμενος, καὶ σφραγίδας ἐπιβαλὼν, ἀσήμοις ἀνδράσι φεῦ χρημάτων ὤνιον τὴν ἀρχιερωσύνην ἐτίθει· καὶ ταῦτα μὲν οὕτως· ἤδη δὲ Καίσαρος Αὐγούστου, δεύτερον ἔτος καὶ τεσσαρακοστὸν βασιλεύοντος, ἔξεισι παρ' αὐτοῦ δόγμα, ἀπογραφὴν πάσῃ τῇ οἰκουμένῃ ἐγκελευόμενον, ἤγουν φορολογίαν· καὶ ταύτην Κυρηνίῳ τινὶ ὡς εὐνουστάτῳ καὶ πρώτῳ τῆς συγκλήτου βουλῆς, ὁ Καῖσαρ ἐνεχείρισεν, ὃν καὶ κατέστησεν ἡγούμενον Συρίας ἤ τοι τῆς Ἰουδαίας· ἀπῄει τοιγαροῦν ἕκαστος εἰς τὴν ἰδίαν ἀπογράψασθαι πόλιν· ἔδει γὰρ τῇ πρὸς γῆν καθόδῳ τοῦ ἐν οὐρανοῖς βασιλεύοντος καὶ τοὺς τῆς γῆς ἄρχοντας λειτουργίας εἰσενεγκεῖν· καὶ ἐπεὶ τὸ δόγμα δηλαδὴ τῆς ἀπογραφῆς πρὸς τὴν σφετέραν ἕκαστον συνώθει πατρίδα· τούτῳ καὶ Ἰωσὴφ πειθόμενος, ἐκ τῆς Γαλιλαίας, ἐκ πόλεως φημὶ Ναζαρὲτ, εἰς τὴν Ἰουδαίαν ἀφικνεῖται πρὸς Βηθλεὲμ πόλιν, ἥ πόλις ἐστὶ Δαβίδ· καὶ ἡ αἰτία, τὸ εἶναι αὐτὸν ἐξ οἴκου φησὶ καὶ πατριᾶς, ὅ ἐστι συγγενείας Δαβίδ· ἀφικνεῖται δὲ πρὸς ἀπογραφὴν, σὺν τῇ θαυμασιωτάτῃ γυναικῶν Μαρίᾳ, οὔσῃ ἐγκύῳ· καὶ γὰρ ἡ μὲν Γαλιλαία, χώρα τίς ἐστι Παλαιστίνης· ἡ δὲ Ναζαρὲτ πόλις τῆς Γαλιλαίας· πάλιν ἡ Ἰουδαία, χώρα τίς οὕτω προσαγορευομένη· Βηθλεὲμ δὲ πόλις τῆς Ἰουδαίας· τὸν μὲν τοι Χριστὸν οἱ προφῆται πάντες οὐκ ἀπὸ τῆς Ναζαρὲτ, ἀλλ' ἀπὸ τῆς Βηθλεὲμ ἔφασκον ἥξειν, κἀκεῖ τεχθήσεσθαι.

v. 4. p. 14. a. Εἰρηναίου. Εἰς τί δὲ καὶ τὸ, ἐν πόλει Δαβὶδ πρόσκειται, εἰ μὴ ἵνα τὴν ὑπὸ θεοῦ γεγε-

νημένην τῷ Δαβὶδ ὑπόσχεσιν, ὅτι ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ αἰώνιος ἔσται βασιλεὺς, πεπληρωμένην εὐαγγελίζηται;

Τοῦ Μεταφράστου. Ἐπεὶ οὖν φανερὸν ἅπασιν ἦν, ἀπὸ τῆς Βηθλεὲμ τὸν κύριον ἔρχεσθαι, γέγραπται γὰρ ὡς ἔφημεν, καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ.

Τοῦ Γεωμέτρου. Εἰ δὲ χρή τι λοιπὸν ἐνταῦθα καὶ θεωρῆσαι, ἡ μὲν ἀρχὴ, τῆς ἀρχῆς· ἡ δὲ ἀπογραφὴ, τῆς ἀπογραφῆς τύπος ἦν· ἡ μὲν γὰρ τὴν μοναρχίαν ἐδήλου τοῦ ἑνὸς πάντων θεοῦ τε καὶ βασιλέως, ἡ δὲ τὴν ἑκούσιον ὑποταγὴν, ἢ καὶ εἰς οὐρανοὺς ἀπογραφὴν, πάντων βουλομένων· καὶ ὅτι καθάπερ τὸ δόγμα, οὕτω δὴ καὶ τὸ κήρυγμα πᾶσαν διαδραμεῖται τὴν οἰκουμένην· οὐ μὴν ἀλλὰ καὶ τὸ, πάντας εἰς τὰς οἰκείας πατριὰς ἀνατρέχειν, τοῦ καὶ πάντας εἰς τὴν ἀρχαίαν ἡμῶν καὶ πρώτην ἀναστρέφειν πατρίδα καὶ πολιτείαν, ἀφ' ἧς ἄλλος ἀλλαχοῦ καὶ τοῖς βίοις καὶ ταῖς ὁρμαῖς διεσπάρημεν· καὶ τὸ πάντας δὲ φόρους φέρειν τῷ Καίσαρι, τοῦ καὶ πάντας ὀφείλειν καρποφορεῖν θεῷ κατὰ δύναμιν· οὐ τὰ σωματικὰ μόνον δι' εὐποιΐας τε καὶ θυσίας, ἀλλὰ καὶ τὰ πνευματικὰ διὰ θεωρίας καὶ πράξεως.

Τοῦ αὐτοῦ. Ὅπερ ἔφημεν, καὶ νῦν ἐροῦμεν· ὅτι ἡ ἀπογραφὴ κατὰ θείαν πάντως p. 14. a.
οἰκονομίαν, ὤθει καὶ τὸν Ἰωσὴφ εἰς τὴν οἰκείαν πατρίδα, χώρας χώραν, καὶ πόλεως πόλιν· τῆς μὲν Γαλιλαίας, τὴν Ἰουδαίαν· τῆς Ναζαρὲτ δὲ, τὴν Βηθλεὲμ ἀλλαττόμενον, ἵνα καὶ ἡ προφητεία τῇ προφητείᾳ, καὶ ἡ δόξα τῇ ἀληθείᾳ, καὶ πατρὶς τῇ πατρίδι συμβῇ, ἡ μὲν λέγουσα ὅτι ναζωραῖος κληθήσεται, ἡ δὲ ὅτι ἀπὸ Βηθλεὲμ ὁ Χριστὸς ἔρχεται τῆς μικρᾶς καὶ πενιχρᾶς, οὐκ ἐλαχίστης δὲ, διὰ τὴν ἐξ αὐτῆς τοῦ σωτῆρος πρόοδον.

Ἐφραίμ. Ἐν μὲν οὖν τῷ ξανθικῷ τῷ φαιδρῷ σύλληψις τοῦ φαιδροῦ καρποῦ καὶ θείου v. 6. p. 15. b.
φωτὸς· τότε δὴ δραμὸν ὀξέως τὸ σκότος, οὐκ ἴσχυσεν ἀμαυρῶσαι τὴν φωτεινὴν σύλληψιν· ἐν δὲ τῷ ἀπελλαίῳ γέγονεν ἡ γέννησις τοῦ φωτὸς τοῦ τὸ ἡμέτερον σκότος διασκεδάσαντος· καὶ τὸ μηνὶ ἐν ᾧ λείπεται τὸ σκότος, ἀνέτειλεν ἡμῖν φῶς νικητικόν· ὁ τῆς συλλήψεως αὐτοῦ μὴν, ἡρμήνευεν ἡμῖν τὸν τύπον, ὃν ὁ Μωϋσῆς διὰ γραμματέων ἐμήνυσε· καὶ ὁ μὴν τῆς γεννήσεως αὐτοῦ ὁμοίως ἐδήλωσεν ἡμῖν τὸ μυστήριον.

Μακαρίου. Ἐσωματοποίησεν ἑαυτὸν ὁ ἄπειρος καὶ ἀπρόσιτος, δι' ἄπειρον καὶ ἀνεννόητον p. 16. a.
χρηστότητα, καὶ ὡς εἰπεῖν, συνεσμίκρυνεν ἐκ τῆς ἀπροσίτου δόξης, ἵνα συνενωθῆναι δυνηθῇ τοῖς αὐτοῦ κτίσμασι· σήμερον γέγονε καταλλαγὴ θεότητος πρὸς ἀνθρωπότητα, καὶ ὁδὸς πρὸς θεὸν τοῖς ἀνθρώποις, καὶ θεοῦ ὁδὸς εἰς τὴν ψυχήν· τὸ πρὶν γὰρ ἔλεγεν ὁ προφήτης· ὁδοὶ Σιὼν πενθοῦσι, παρὰ τὸ μὴ εἶναι ἐρχομένους εἰς ἑορτὴν, τῆς ψυχῆς τὴν ἐρήμωσιν καὶ τὸν ἀφανισμὸν αἰνισσόμενος· οὔτε γὰρ ὁδὸς θεοῦ εἰς ψυχὴν καὶ διάνοιαν ἀνθρώπου ἦν, οὔτε ψυχὴ εἰς θεὸν περιεπάτει· ἐπληρώθη ὁ χρόνος τῆς καταδίκης τοῦ ἀνθρώπου· λαβὼν ὁ ἐχθρὸς ὑποχείριον τὸν Ἀδὰμ, ὥσπερ ὅπλῳ χρησάμενος τῷ αὐτοῦ σώματι, δι' αὐτοῦ ἐνεμήθη καὶ ᾐχμαλώτευσε πάντας ἀνθρώπους· ὡσαύτως καὶ ὁ κύριος, ὥσπερ ὅπλον λαβὼν τὸν ἄνθρωπον, τὰ τείχη τοῦ πονηροῦ διέλυσε, κατὰ τὸ εἰρημένον, ὡς τὸ σκότος αὐτῆς, οὕτως καὶ τὸ φῶς αὐτῆς· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσι, οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· αὐτός ἐστιν ἄνω, καὶ αὐτός ἐστι κάτω· αὐτὸς ὁ ζῶν, αὐτὸς ἀποθανών· τὸ ἀρνίον, ἡ θυσία, ὁ μόσχος, ὁ τυθεὶς, ὁ παθὼν, ὁ ἀπαθὴς, ὁ νυμφίος, ὁ νυμφὼν, ὁ παράδεισος, τὸ ξύλον τῆς ζωῆς, ὁ ἄρτος ὁ ζῶν, τὸ ὕδωρ τῆς ζωῆς, ἡ ἀμπε-

λος ἡ ἀληθινή, ὁ οἶνος τῆς εὐφροσύνης, ὁ μαργαρίτης, ὁ θησαυρὸς, ἡ σαγήνη, ὁ πολεμιςὴς, τὸ ὅπλον, ὁ νικῶν, ἡ περιτομὴ, τὸ σάββατον, ὁ νόμος, ἡ κεφαλὴ τῆς ἐκκλησίας, ὁ τοῦ σινάπεως κόκκος, ὁ ἀμπελὼν, τὸ ἄροτρον, ἡ χάρις, ἡ πίστις, ὁ γάμος, τὸ ἔνδυμα τοῦ γάμου, ἡ ὁδὸς, ἡ θύρα, ὁ ἥλιος τῆς δικαιοσύνης, τὸ φῶς τῶν ψυχῶν, ἡ ζωὴ, ἡ βασιλεία, ἡ ἀρχὴ, τὸ τέλος, ὁ πάντων ἐπέκεινα, ὁ τὰ πάντα ἐν πᾶσι γινόμενος.

## *Rursus cap. I. 32.*

p. 17. a. Τοῦ Γεωμέτρου. Σὺ οὖν φησι καλέσεις οὐχ' ὁ πατήρ· ἀπάτωρ γὰρ τό γε κατὰ τὴν κάτω γέννησιν, ὥσπερ ἀμήτωρ, κατὰ τὴν ἄνω· σὺ καλέσεις Ἰωάννην· ἀπὸ τῆς εὐεργεσίας, ἡ ὀνομασία, ἀπὸ τῆς χρήσεως ἡ κλῆσις, ἀπὸ τῶν ἔργων ἡ εὐφημία· δι' αὐτοῦ γὰρ ἀνθρώποις ὁ τῆς σωτηρίας ἀνεξάντλητος ἐπιῤῥεύσει πλοῦτος.

Τοῦ αὐτοῦ. Ἐπεὶ δὲ κοινὸν αὐτῷ τοῦτο καὶ πρὸς τὸν αὐτοῦ τύπον τὸν στρατηγὸν καὶ δημαγωγὸν, καὶ πρὸς τὴν τῆς ἐπαγγελίας γῆν ὁδηγὸν, διὰ τοῦτο δεικνὺς ὁ ἄγγελος, ὡς οὐ κατ' ἐκεῖνον ἔσται, ἐπάγει· οὗτος ἔσται μέγας.

Φωτίου. Τὸ ἀνθρώπινον ὑποβάλλων, ὡς γὰρ θεὸς, καὶ ὑπὲρ τὸ μέγα.

Τοῦ αὐτοῦ. Ἢ μέγας ἔσται ὅπερ ἦν, εἰ δὲ τὴν βραχύτητα τῆς σαρκὸς ὑποδύεται· οὐδὲ γὰρ οὐδ' ἡ τῆς ἀνθρωπότητος πρόσληψις, τὸ μέγεθος κατασμικρύνει τῆς θεότητος, ἀλλὰ συνυψοῦται μᾶλλον αὐτῇ τὸ ταπεινὸν τῆς ἀνθρωπότητος· κᾂν γοῦν πτωχεύῃ τὴν σάρκα, ἀλλὰ καὶ οὕτως μέγας ἔσται ὥσπερ ἦν.

Τοῦ αὐτοῦ. Οὐκέτι σὺ τὴν κλῆσιν ὀνοματοθετήσεις, ἀλλ' ἐκεῖνος κληθήσεται· παρὰ τίνος, ἢ δηλονότι παρὰ τοῦ ὁμοουσίου πατρὸς; οὐδεὶς γὰρ οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· παρ' οὗ δὲ γνῶσις ἀληθὴς τοῦ γεννήματος, οὗτος ἐπιθεῖναι καὶ κλῆσιν κατάλληλον ἀξιόπιστος· διὸ καὶ φησίν· οὗτος ἐςὶ ὁ υἱός μου ὁ ἀγαπητός· ἔστι οὖν ἀεὶ, εἰ καὶ νῦν ἡ κλῆσις αὐτῷ εἰς ἡμετέραν διδασκαλίαν πεφανέρωται· διὰ τοῦτο καὶ κληθήσεται, φησὶν, οὐ γενήσεται· ἦν γὰρ καὶ πρὸ αἰώνων τῷ ὁμοουσίῳ συνεδριάζων πατρί· τοῦτον συλλήψῃ, τούτου μήτηρ ἀναδειχθήσῃ, τοῦτον ὁ σὸς παρθενικὸς ὑποδέχεται κόλπος, ὃν οὐράνιον οὐκ ἐχώρησε κύτος.

p. 18. a. Τοῦ Γεωμέτρου. Δώσει τοίνυν αὐτῷ κύριος τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, ὡς ἀνθρώπῳ, καὶ ὡς ἐντεῦθεν ἀρχομένῳ τῆς βασιλείας, διὰ τῶν πιστευόντων, οὓς καὶ οἶκον καὶ θρόνον ὀνομάζει Δαβίδ τε καὶ Ἰακώβ· οὐδενὸς δέ ἐστι τὸ βασιλεύειν εἰς τὸν αἰῶνα, εἰ μὴ θεοῦ· ὥστε εἰ καὶ λαμβάνειν διὰ τὴν οἰκονομίαν ἀνθρωπίνως λέγεται τὸν θρόνον Δαβὶδ, ἀλλ' ἔστιν ὁ αὐτὸς καὶ θεϊκῶς βασιλεὺς ἀτελεύτητος, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος· οὐ καθὸ θεὸς μόνον, ἀλλὰ καθὸ καὶ ἄνθρωπος· καὶ ὡς οὐ κατὰ φύσιν μόνον βασιλεὺς, ἀλλὰ βασιλεύσων καὶ κατὰ γνώμην· καὶ νῦν μὲν, πολλῶν· ἐπ' ἐσχάτων δὲ, καὶ πάντων, ἡνίκα καὶ ὑποταγήσεται αὐτῷ τὰ πάντα.

Φωτίου. Ἀλλὰ τί πρὸς ταῦτα ἡ παναγία παρθένος; ἆρα εὐθὺς κατεμαλακίσθαι τοῖς λόγοις, ἢ τὰς ἀκοὰς ἡδέως ἀναπετάσασα τοῖς λογισμοῖς ἐφῆκε φέρειν ἀνεξετάστως τὴν συγκατάθεσιν; οὐδαμῶς.

v. 34. Τοῦ Γεωμέτρου. Οὔτε γὰρ τῷ ἀγγέλῳ διαπιστεῖν ἔχει διὰ τὸ ἀξιόπιστον, οὔτε πάλιν τὴν παρθενίαν ἀρνεῖσθαι διὰ τὴν καθαρότητα· ἀλλὰ μέση χωρεῖ τῆς ἀπιστίας τὲ καὶ τῆς εὐκολίας, καὶ ζητεῖ τὸν τρόπον τῆς παραδόξου ταύτης νυμφεύσεως ἢ κυήσεως· φέρε οὖν ἴδωμεν αὐτῆς καὶ τὴν γλῶτταν ἅμα καὶ τὴν ψυχὴν, καὶ ὅσον αὐτὴ σοφή τε καὶ φιλοπάρθενος.

Τοῦ αὐτοῦ. Πῶς τοίνυν ἔσται μοι τοῦτο τὸ θεῖον οὕτω καὶ θαυμαστὸν καὶ ἀπερινόητον; καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ ἀνακόλουθον· τό τε γὰρ ἄνδρά με γνῶναι, καθάπερ θεῷ καθιερωθεῖσαν, τῶν ἀμηχάνων· καὶ τὸ, χωρὶς ἀνδρὸς καὶ συλλαβεῖν καὶ τεκεῖν, τῶν ἀδυνάτων· τὸ δὲ ἐπεὶ ἄνδρα οὐ γινώσκω, εἶπε πάντως μὲν καὶ πρὸς τὸν Ἰωσὴφ ἀναφέρουσα, ὡς μέχρι μνηστείας μόνον εἰδυῖα τὸν αὐτοῦ γάμον, καὶ ὡς οὐ νῦν μόνον ἀλλὰ καὶ διὰ τέλους ἄχραντος ἐγνωκυῖα μένειν ἀνδρὸς, οἷα καὶ θεῖον καὶ ἄψαυστον ἀφιέρωμα· πάντως δὲ κἀκεῖνον βεβαιοῦσα τὸν λόγον, ὃς ἐκ πατέρων εἰς ἡμᾶς ἥκει, ὅτι μὴ τὴν πεῖραν τοῦ γάμου μόνον, ἀλλὰ καὶ τὴν ἔφεσιν ἡ παρθένος ἠγνόησεν· οὐκ ἔγνωκα φησὶν ἐπιθυμίαν ἀνδρὸς· οὐκ ἔχω θέλημα τῆς σαρκὸς· ὃ δὴ καὶ κατὰ πάσης αὐτῇ τῆς γυναικείας ἐξαίρετον φύσεως, ὅτι καὶ ὑπὲρ πάσας αὐτῇ καὶ ἐκ γνώμης ὅλως ἀνεπιδέκτου τῆς τοιαύτης κακίας ἡ σωφροσύνη· ὥστε διπλοῦς ὁ λόγος· ἢ γὰρ ὅλως διαπορεῖται περὶ τὴν σύλληψιν, ὡς οὐ δυνατὴν ἄνευ ἀνδρὸς, ἢ καὶ τὸν τρόπον αὐτὸν ἐπιζητεῖ τῆς συλλήψεως, ὡς τὸν Ἰωσὴφ ἄνδρα οὐκ ἔχουσα, τάχα δὲ οὐδὲ ἕξουσα· οὐ γὰρ δὴ δέδοται καὶ τῶν ἀψαύστων ψαύειν αὐτῷ, οὐδὲ τὸν ἀποκεκλεισμένον κῆπον συλᾷν, οὐδὲ τὸ ἐσφραγισμένον ἀνοίγειν βιβλίον, ἢ ἀποσυλᾷν τοῦ θεοῦ τὸ ἀνάθημα;

Φωτίου. Οἶδα φησὶν ἐμφανῶς, ὡς σύλληψιν καὶ κυοφορίαν, καὶ υἱόν μοι, καὶ τόκον, λογογραφεῖς· ἀλλὰ πολλῷ πλέον ηὔξησας τὴν ἀπορίαν ὦ ἄγγελε· τόκος γὰρ ἅπας, ἀνδρὸς κοινωνίᾳ συνίσταται· ἡ δὲ τῆς πρὸς ἄνδρας ὁμιλίας ἀλλοτρίωσις, οὐδὲ τὴν ἀρχὴν εἰς ἀκοὴν κατέρχεται τῆς συλλήψεως· πῶς οὖν ἔσται μοι γέννημα, οὗ γεννήτωρ οὐκ ἐγνώρισται;

Ἀντιπάτρου Βοστρῶν. Ἐγὼ μόνη τὴν φύσιν καινοτομῶ, ἐπ' ἐμοῦ λυθήσονται τῆς τεκνογονίας αἱ ἀφορμαί;

Τοῦ Γεωμέτρου. Ἀλλ' ὅρα πῶς τῇ παρθένῳ λύει τὴν ἀπορίαν ὁ ἄγγελος, καὶ διερ- v. 35.
μηνεύει τὸν ἄφθαρτον γάμον, καὶ τὸν ἄφραστον τόκον, καὶ τὸν ἀκατάληπτον τρόπον· οὐ p. 18. b.
χρεία φησὶν ἀνδρὸς· οὐ γὰρ ὁμοίως ταῖς ἄλλαις τὰ σὰ, ὥσπερ οὐδὲ τὰ τοῦ υἱοῦ τοῖς υἱοῖς· οὐ γὰρ ἡ σὴ σύλληψις, τῆς παρθενίας ἀφαίρεσις, ἀλλὰ καὶ τοὐναντίον σφραγὶς καὶ συντήρησις· δέχου οὖν ὦ παρθένε τὸ λεχθέν· μὴ ζήτει τὸ σιγηθέν· τῷ τόκῳ μαρτυρῶ· τῷ τρόπῳ παραχωρῶ· ἄγγελος γὰρ οὐ διδάσκαλός σοι τῆς οἰκονομίας ἐλήλυθα· διάκονος καὶ κῆρυξ τῆς δεσποτικῆς ἀπεστάλην ἐπιδημίας, οὐχ' ἑρμηνεὺς, οὐδ' ἐξηγητὴς τοῦ προστάγματος· πῶς ἔσται τοῦτο, οἶδεν αὐτὸς ὁ παρών· ὅτι πάρεστιν, ἐπίσταμαι· τὸν δὲ τρόπον λέγειν, οὐ δύναμαι.

Ἀνδρέου. Σὺ ὦ παρθένε τόκον ἀπάτορα, ὃ μὴ πρότερον τῇ φύσει τῶν ἀνθρώπων ἐγνώριστο, ἐξ ἀλοχεύτων ὠδίνων τῇ φύσει παρὰ τὴν φύσιν εἰσάξεις, ὑπερφυεῖ δυνάμει τὸν τῆς φύσεως αὐτουργὸν ἐν μήτρᾳ παιδοποιήσασα· καὶ γενήσῃ μήτηρ, τὰ μητέρων φυγοῦσα: καὶ τὸ βρέφος, οὐχ' ἕξει πατέρα καλεῖν ἐπὶ γῆς, ὅτι μὴ σπορᾶς μεσιτευούσης συλληφθήσεται· μὴ δὲ φθορᾶς ὑποδραμούσης, ἡ τεκοῦσα γεννήσεις.

Τοῦ Γεωμέτρου. Οὐ γὰρ ἀνδρὸς, ἀλλ' ἁγίου πνεύματος ἡ ἐπέλευσις· καὶ αὐτῆς τῆς τοῦ ὑψίστου δυνάμεως ἡ ἐπισκίασις.

Εἰρηναίου εἰς τὰς αἱρέσεις. Εἰ ὁ πρῶτος Ἀδὰμ ἔσχε πατέρα ἄνθρωπον, καὶ ἐκ σπέρματος p. 19. a.
ἐγεννήθη, εἰκὸς ἦν καὶ τὸν δεύτερον Ἀδὰμ λέγειν ἐξ Ἰωσὴφ γεγεννῆσθαι· εἰ δὲ ἐκεῖνος ἐκ γῆς ἐλήφθη, πλάστης δὲ αὐτοῦ ὁ θεὸς, ἔδει καὶ τὸν ἀνακεφαλαιούμενον ἐκεῖνον, τὴν αὐ-

τὴν ἐκείνῳ τῆς γεννήσεως ἔχων ὁμοιότητα· εἰς τί οὖν πάλιν οὐκ ἔλαβεν χοῦν ὁ Θεὸς, ἀλλ' ἐκ Μαρίας τὴν πλάσιν ἐνήργησεν; ἵνα μὴ ἄλλη πλάσις γένηται, μὴ δὲ ἄλλο τὸ σωζόμενον· ἀλλ' αὐτὸς ἐκεῖνος ἀνακεφαλαιωθῇ, τηρουμένης τῆς ὁμοιότητος· ἄγαν οὖν πίπτουσι καὶ οἱ λέγοντες αὐτὸν μηδὲν εἰληφέναι ἐκ τῆς παρθένου· ἵν' ἐκβάλωσι τὴν τῆς σαρκὸς οἰκονομίαν, καὶ ἀποβάλωνται τὴν ὁμοιότητα· τί γὰρ καὶ εἰς αὐτὴν κατῄει, εἰ μηδὲν ἔμελλε λήψεσθαι παρ' αὐτῆς; ἔτι τε εἰ μηδὲν εἰλήφει παρὰ τῆς Μαρίας, οὐκ ἂν τὰς ἀπὸ γῆς εἰλημμένας προσίετο τροφὰς, δι' ὧν τὸ ἀπὸ γῆς ληφθὲν τρέφεται σῶμα· οὐδ' ἂν τὰ ἄλλα ὅσα σύμβολα σαρκὸς τῆς ἀπὸ γῆς εἰλημμένης, ἐνεδείξατο· νῦν δὲ ὥσπερ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου, τοῦ πρώτως ἐκ γῆς ἀνεργάστου πεπλασμένου, ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, καὶ ἀπέβαλον τὴν ζωὴν, οὕτως ἔδει καὶ δι' ὑπακοῆς ἑνὸς ἀνθρώπου τοῦ πρώτως ἐκ παρθένου γεγεννημένου, δικαιωθῆναι πολλοὺς καὶ ἀπολαβεῖν τὴν σωτηρίαν·

p. 19. b. Βικτῶρος πρεσβυτέρου. Πῶς ἐπελεύσεται; οὐκ ὄψει τὸ ἐπερχόμενον, ἐνεργήσει δὲ δημιουργικῶς μὴ φαινόμενον, τό τε ἅγιον πνεῦμα καὶ ἡ δύναμις τοῦ πατρὸς· Χριστὸς δὲ Θεοῦ δύναμις ἐπισκιάσει σοι, τουτεστὶ περιβαλεῖ σε, ἐνδύσει σε, καὶ περιχαρακώσει σε, καὶ κύκλῳ σου ἔσται· καὶ τοῦτο δὲ πρὸς τὴν ὑπόνοιαν τῆς παρθένου, εὐκαίρως εἴρηται· φησάσης γὰρ τὸ, ἐπεὶ ἄνδρα οὐ γινώσκω, σωματικῆς ἐννοίας τοῦτο ἐπάγει διάνοιαν· ἐπεὶ τῆς γε ἀληθινῆς καὶ ἀφαντασιάστου σαρκώσεως ἕνεκα, καὶ ἐναργεστέρων εἰς παράστασιν τοῦ ἀπορρήτου θαύματος ἔδει ῥημάτων.

p. 20. a. Ἰουστίνου. Μέσῃ γὰρ παρθένῳ ἐκ Δαυιτικοῦ καταγομένῃ γένους, διὰ τὰς πρὸς αὐτὸν ἐπαγγελίας, πρὸς τὴν τῆς οἰκονομίας χρείαν χρησάμενος, καὶ ταύτης τῇ νηδύϊ εἰσδὺς οἱονεὶ θεῖος σπόρος, πλάττει ναὸν ἑαυτῷ τέλειον ἄνθρωπον, μέρος τί λαβὼν τῆς ἐκείνης φύσεως, καὶ εἰς τὴν τοῦ ναοῦ διάπλασιν οὐσιώσας.

p. 20. b. Βικτῶρος πρεσβυτέρου. Σὺ δέ μοι ὅρα πῶς τῇ παρθένῳ ὅλην ἐξέφηνε τὴν τριάδα ὁ ἄγγελος· πνεῦμα ἅγιον εἰπὼν, καὶ δύναμιν, καὶ ὕψιστον· ἀδιαίρετος γὰρ ἡ τριάς· καὶ ἐν μὲν τῷ λόγῳ, τὸ πνεῦμα· διὰ δὲ τοῦ λόγου, καὶ ἐν τῷ Θεῷ.

Τοῦ Γεωμέτρου. Τὸ μὲν οὖν πνεῦμα φησὶν ἐπελεύσεται, προοδοποιοῦν τῷ υἱῷ τὴν εἴσοδον, καὶ προευτρεποῦν, καὶ προκαθαῖρον αὐτῷ τὸν θάλαμον· μᾶλλον δὲ προκαλλωπίζον, εἰ καὶ προκεκάθαρται καὶ προκεκαλλώπισται· ἡ δὲ δύναμις τοῦ ὑψίστου ὁ υἱὸς, ἐπισκιάσει· καθάπερ ἐσκιαγραφημένοις τισὶν ἤδη παρὰ τοῦ πνεύματος τύποις, ἐπιβάλλων δι' ἑαυτοῦ καὶ αὐτὰ τὰ χρώματα, εἴτουν τὰ πατρικὰ γνωρίσματα· ἢ καὶ τὴν ἀθέατον αὐτοῦ μορφὴν, ἐν σοὶ σκιωδῶς περιγράψει· καὶ τὸ καθ' ἡμᾶς ἐν σοὶ μορφωθήσεται· ἢ καὶ αὐτὴ τοῦ πατρὸς ἡ σφραγὶς, ἐν σοὶ διασημανθήσεται· πάσας ὁμοῦ τὰς πατρικὰς ἐνεργείας, εἴτουν σκιὰς καὶ τοὺς χαρακτῆρας, ἐν ἑαυτῷ περιφέρων· καὶ σὸς υἱὸς, ὁ καὶ τοῦ Θεοῦ καὶ πατρὸς υἱὸς γινόμενος καὶ καλούμενος.

Φλαβιανοῦ. Μὴ τοίνυν νόει σωματικῶς συνάφειαν, μὴ δὲ γαμικὴν ὁμιλίαν ἐκδέχου· ὁ γὰρ σὸς δημιουργὸς τὸν σωματικὸν αὐτοῦ ναὸν παρὰ σοῦ τικτόμενον δημιουργεῖ· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς Θεοῦ.

p. 21. a. Τοῦ Γεωμέτρου. Οὐ διὰ τὴν καθ' ὑπόστασιν ἕνωσιν μόνον, τὸν αὐτὸν καὶ υἱὸν Θεοῦ καὶ υἱὸν ἀνθρώπου καὶ ὄντα καὶ καλούμενον, ἀλλὰ διὰ τὴν τῶν ὀνομάτων μετάπτωσιν, ὡς

τοῦ μὲν ἀνθρώπου πολλάκις τὸ τοῦ φύσει Θεοῦ, τοῦ δὲ Θεοῦ τὸ τοῦ φύσει ἀνθρώπου καλουμένου, διὰ τὴν ἄκραν ἕνωσίν τε καὶ περιχώρησιν.

Τοῦ αὐτοῦ. Διὰ τί δὲ οὐκ εἶπε τὸ γεννώμενον ὑπὸ σοῦ, ἀλλ' ἁπλῶς τὸ γεννώμενον; ὅτι οἶδεν οὐκ ἀπὸ γυναικὸς ἀλλ' ἀπὸ ἀνδρὸς κυρίως καὶ πρώτως τὴν γέννησιν· καὶ γεννᾷ μὲν ὁ πατὴρ, ἡ δὲ μήτηρ διαδεχομένη, τελεσφορεῖ καὶ προάγει τὴν γέννησιν· ἵνα οὖν μήτε ἀπὸ ταύτης ὅλον, μήτε δὲ καὶ ἀπὸ πατρὸς, ἀλλ' ἀφ' ἑαυτοῦ δείξῃ τὸ γέννημα, καὶ γεννῶν ὁμοῦ καὶ γεννώμενον, διὰ τοῦτο οὕτως εἶπεν.

Τοῦ αὐτοῦ. Πίστις φησὶ τῶνδε τῶν εὐαγγελίων, ἕτερα εὐαγγέλια, προσεμφερῆ καὶ ὑπερφυῆ, δι' ἐμοῦ καὶ γινωσκόμενα καὶ γινόμενα· τούτων δέ σοι παρὰ πολλῶν ἀπόδειξις, ὑπὸ τοῦ ὀνόματος, ἀπὸ τῆς συγγενείας, ἀπὸ τοῦ πράγματος, ἀπὸ τοῦ χρόνου, καὶ ἀπ' αὐτοῦ τοῦ θαύματος· ἰδοὺ γὰρ Ἐλισάβετ ἡ συγγενής σου, συνέλαβεν ἐν γήρει, ἡ καλουμένη στεῖρα· τοσοῦτον εἰς ἕξιν ἧκε τῆς ἀπαιδίας, ὥστε καὶ εἰς κλῆσιν αὐτῇ γνώρισμα εἶναι τὸ ἀτύχημα· καὶ τὸ δὴ πλέον, ὅτι οὐδὲν ἀδυνατήσει παρὰ τῷ Θεῷ.

Φωτίου. Ὁ γὰρ στειρώσεως λύων δεσμὰ, αὐτὸς καὶ τόκον ἑαυτῷ δύναται κατασκευάσαι, δίχα μεσιτείας ἀνδρός· ὁ τὴν ξηρανθεῖσαν ῥίζαν εἰς καρποφόρον στέλεχος ἀνανεώσας, αὐτὸς καὶ τὴν ἄνικμον ἄρουραν εἰς εὔφορον χώραν ἑαυτῷ καινοποιήσει· ἂν δὲ βούλῃ καὶ παραδείγμασι τῶν ἀπηγγελμένων τὴν πίστιν παραδέξασθαι, μικροῖς τὰ μεγάλα εἰκάζουσα, καὶ τοῖς φθάσασι πιστουμένη τὰ μέλλοντα, οὕτως συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν, ὡς ἡ ῥάβδος Ἀαρὼν ἀγεωργήτως ἐβλάστησε, τὰ τῶν ἐῤῥιζωμένων ἐνεργήσασα· ὡς ὁ ὑετὸς οὐρανόθεν ἐπὶ τὸν πόκον φερόμενος, αὐτὸν μόνον ἐπότιζε, τὴν δὲ γῆν οὐκ ἐδρόσιζεν· ὡς ἡ βάτος τὸ πῦρ ὑπεδέχετο, καὶ τὴν φλόγα τρέφουσα, οὐκ ἐφθείρετο· οὕτω καὶ σὺ συλλήψῃ υἱὸν σάρκα, δανείζουσα, τροφὴν τῷ ἀΰλῳ πυρὶ παρέχουσα, καὶ τὴν ἀφθαρσίαν ἀνθέλκουσα· ταῦτα γὰρ τὴν σὴν πόῤῥωθεν προεζωγράφει κυοφορίαν· ἐκαινοποιήθη ταῦτα καὶ προυπέστη, ἵνα τοῦ κατὰ σὲ μυστηρίου σκιαγραφήσῃ τὸ ἀκατάληπτον.

Τοῦ Γεωμέτρου. Πολλὰ μὲν καὶ μεγάλα, τὰ κατὰ τὴν παλαιὰν θαύματα, θάλασσα διϊ- p. 21. b.
σταμένη καὶ πάλιν συναγομένη· πέτρα πλημμυρουμένη νάμασι· ποταμοὶ ῥηγνύμενοι, καὶ ἀναχαιτιζόμενοι· ἥλιος ἐπεχόμενος· νεφέλη προτρέχουσα· στύλος πυρὸς προερχόμενος· πηγὴ μικρὰ μέλι ῥέουσα· ξηρὰ ῥάβδος ἄνθεσι βρύουσα· καὶ ἔτι πρὸ τούτων καιομένη βάτος ἄκαυστα· δροσιζομένη κάμινος ἄσβεστα· ὕδωρ ὕδασιν ἐκπυρούμενον· πλάκες δακτύλῳ Θεοῦ γραφόμεναι· ὡσεὶ ἄμμος πετεινὰ βρεχόμενα· μάννα καταφερόμενον· στεῖραι τίκτουσαι· γηραιαὶ βλαστάνουσαι, παραλόγως μὲν, οὐκ ἀσπόρως δέ· ἀλλὰ τί μοι ταῦτα παρθένε πρὸς τὸ, νόμους ἐν σοὶ λυθῆναι λόγου καὶ φύσεως, ἀλλ' οὐχὶ χρόνου τὲ καὶ πηρώσεως, καὶ συλλαβεῖν καὶ τεκεῖν; οὐκ ἄνθος οὐδὲ καρπὸν ὡς ἡ ῥάβδος μόνον· οὐδέτι ῥευστὸν καὶ ἄψυχον, ὡς ἡ πέτρα τὸ νάμα, ἀλλὰ Θεὸν ὁμοῦ καὶ βροτὸν καὶ οὐχ' ὅσον μὴ φλεχθῆναι, ἀλλὰ καὶ θεωρηθῆναι, μὴ δὲ ὑλικῇ καθάπερ οἱ παῖδες, ἀλλὰ Θεοῦ φλογί· μὴ δ' ἀκαρῆ καὶ ἔξωθεν σχεῖν τὴν φλόγα καθάπερ ἡ βάτος· ἀλλ' ἔνδον τὲ καὶ ἐπὶ τοσοῦτον· καὶ μὴ διελθεῖν δοῦναι μόνον, καθὰ καὶ ἡ ἐρυθρὰ πάλαι τῷ Ἰσραὴλ, ἀλλὰ καὶ σάρκα δοῦναι τῷ ἐκ σοῦ· μηδ' ἁπλῶς γραφῆναι καθάπερ αἱ πλάκες Θεοῦ δακτύλῳ, ἀλλὰ καὶ αὐτὸν συνουσιωθῆναι τὸν λόγον καὶ ὑποστῆναι τὸ πρόσλημμα· τὸ δὲ μὴ μόνον καὶ συλλαβεῖν παρθένον, καὶ συλλαβοῦσαν διατελεῖν, ἀλλὰ καὶ τεκοῦσαν τὴν παρθενίαν διατηρεῖν, πῶς οὐ διπλοῦν ἡμῖν τὸ κατὰ σὲ θαῦμα

τοῦ μυστηρίου δείκνυσι; τὸ μὲν γὰρ μήπω παχυνθέντα τὸν λόγον, διὰ τὸν νυμφικῶν εἰσελθεῖν ἀφράστως κλείθρων, καὶ σάρκολαβεῖν, θαυμαστὸν μὲν, καὶ οὐδὲ καταληπτόν· οὔπω δὲ τοσοῦτον ὅσον μετὰ τοῦ πάχους ὅλου καὶ τοῦ προσλήμματος ἐξελθόντα τὴν πύλην ἐσφραγισμένην ἀπολιπεῖν, ὥσπερ ἂν εἰ μὴ δὲ τὴν ἀρχὴν διελθὼν ἦν· καὶ τί μοι τοῦ θαύματος ἀνιχνεύειν τὸ πέλαγος; οὕτω γὰρ ἔδοξε καὶ τοῖς πάλαι τοῦτο θαυμαστὸν, ὡς ἄνωθεν αὐτὸ τοὺς προφήτας ἐκπλήττεσθαι, καὶ ὑπογράφειν συμβόλοις τε καὶ σκιαῖς· εἴσως ὥσπερ ἐν ἀμαυροτέροις τισὶ χρώμασι σκιαγραφήσουσι τὸ τοῦ πράγματος μέγεθος· πάντα γὰρ ἐκεῖνα σὲ ἐτύπουν· καὶ πάντα πάντες σὲ ὀνομάζουσι· θάλασσαν σχιζομένην καὶ πάλιν συνερχομένην, πλὴν διαβαινομένην ἅμα καὶ κεκλεισμένην· κάμινον δροσιζομένην ἅμα καὶ φλεγομένην· βάτον καιομένην, ἀλλ' οὐ κατακαιομένην· νεφέλην ἡμέρας ἅμα καὶ εὐθυπορίας ἄγγελον· στῦλον πυρὸς οὐ τὸ θεῖον οἶμαι μόνον πῦρ ἐπιφερομένην, ἀλλὰ καὶ θείου καὶ νέου λαοῦ, τὸν Φαραὼ τὸν νοητὸν ἀποτειχίζουσαν· πέτραν μέλι τὸν λόγον ῥέουσαν· ῥάβδον ἄνθος τὴν εὐωδίαν καὶ δόξαν τοῦ γένους φέρουσαν· γῆν μείνασαν οἷα ἐστὶ, καὶ πλήρη τῆς θείας εὑρισκομένην τροφῆς· καὶ μάννα τὸν ἀγεώργητον ἄρτον φέρουσαν, ὃν οὔτε ἄροσις οὔτε σπορὰ ἐγεώργησε· κιβωτὸν ἄψαστον, κῆπον ἄσυλον, λυχνίαν ἄσβεστον, ναὸν ἄβατον, ὄρος ἄτομον, ἀρεταῖς κατάκομον καὶ κατάσκιον· πλάκα θεόγραφον, στάμνον θεοδόχον, τράπεζαν ἐφ' ἧς ὁ τῆς ζωῆς ἄρτος, κλίνην ἐφ' ἧς δυνατὸς ἀνεπαύσατο· κλίμακα δι' ἧς κατέρχεται μὲν ὁ θεὸς, ἀνέρχεται δὲ ὁ θνητὸς· ἀρχομένην μὲν τῶν χθονίων, ἁπτομένην δὲ καὶ τῶν οὐρανίων· τοσαῦτα μοι καὶ ἔτι πλείω τὰ περὶ σὲ ὦ παρθένε θαύματα· μᾶλλον δὲ τὰ τοῦ θαύματος εἰκονίσματα· ἔχεις εἰ βούλει καὶ τὴν γείτονα καὶ συγγενῆ Ἐλισάβετ εἰς παράδειγμα· οὐδὲν τοῖς δεσποτικοῖς ἀνυπότακτον ὅροις· πάντα εἴκει τῷ θείῳ προστάγματι· εἰπέ ποτε τὴν ἄνυδρον πέτραν γενέσθαι κατάῤῥυτον, ἡ δὲ ποταμοὺς ὑδάτων εὐθέως ἠρεύξατο· ὁ τότε τοίνυν τὴν ἄγονον πέτραν μεταβαλὼν εἰς λίμνην, καὶ νῦν τὴν στεῖραν Ἐλισάβετ, παιδογόνον ἐκέλευσεν ἀναδειχθῆναι μητέρα· καὶ ὅτε τὸ σῶμα τὸ γῆρας ἐμάρανε, τότε τὴν μήτραν ὁ θεὸς ἀνενέωσε· καὶ βρέφος ἐπὶ τῆς ἀγκάλης βαστάσει ἡ βακτηρίας διὰ τὸ γῆρας χρῄζουσα· καὶ στεῖρα παραδόξως γεννήσει, ἵνα σὺ πιστεύσῃς ὅτι παρθένος παρὰ φύσιν τέξεις.

v. 38. p. 22. b. Τοῦ αὐτοῦ. Ὅρα μοι κἀνταῦθα τῆς παρθένου τὸ ἦθος, καὶ ὅσην εἶχεν ἐν νεαρῷ κομιδῇ τῷ σώματι, καὶ φρονήματος ὁμοῦ καὶ πνεύματος τελειότητα· ἕως μὲν γὰρ ἀνδρὸς ὑπόληψις ἦν, τὴν σύλληψιν οὐκ ἐδέχετο· ἀλλὰ κἂν ἀρχάγγελος ᾖς φησι, κἂν ὑπερφυῆ μοι τινὰ καὶ οὐράνια κομίζῃς τὰ εὐαγγέλια, ἀλλ' ἐμὲ καὶ ἀνδρὶ συνελθεῖν, καὶ συλλαβεῖν, καὶ τεκεῖν, ἀμήχανον· ἐπειδὴ δὲ καὶ τὴν παρουσίαν, καὶ τὴν ἐνοίκησιν, τὴν μὲν τοῦ πνεύματος τὴν δὲ τοῦ υἱοῦ προσευηγγελίσθη, πείθεται μὲν καὶ πιστεύει· μηδὲν γὰρ ἀδύνατον εἶναι θεῷ· φυσᾶται δὲ καὶ ἐπαίρεται οὐδὲ οὕτως, ἀλλὰ καταπίπτει μᾶλλον καὶ ὑποστέλλεται, καὶ δούλην μὲν ἑαυτὴν οὐκ ὀνομάζει μόνον, ἀλλὰ καὶ ὡς εἰκὸς ἑτοίμην εἶναι λέγει πρὸς τὸ ὑπούργημα· ὡς δὲ καὶ ὑπὲρ αὐτὴν ὂν, οὐ δέχεται μᾶλλον ἢ ἐπεύχεται τὸ ἐπάγγελμα.

Τοῦ Μεταφράστου. Ὡς γὰρ ἤκουσε τούτων, εὐθὺς ὑπὸ τοῦ ἐνοικοῦντος αὐτῇ πνεύματος διαυγασθεῖσα τὸν νοῦν, ἀσμένως τε διετέθη τῷ ἐπαγγέλματι· καὶ ἰδοὺ ἡ δούλη κυρίου φησὶ πρὸς τὸν ἄγγελον· γένοιτό μοι κατὰ τὸ ῥῆμα σου· ἅμα τήν τε ἀκρίβειαν εἰς ὅσον ἔδει πρὸς τὴν τοῦ ἀγγέλου φωνὴν φυλάξασα, καὶ μὴ πλέον μετὰ τὴν ἀξιοπιστίαν τῶν εἰρημέ-

νων ἐλομένη διαπιστεῖν· ἀλλὰ τῷ μὲν, τῆς προμήτορος τὴν ἀπάτην διαφυγοῦσα· τῷ δὲ τὸ δυσπειθὲς ἐκκλίνασα Ζαχαρίου καὶ πέρα τοῦ καλῶς ἔχοντος.

Φωτίου. Ἐπεί μοι, φησὶ, πνεῦμα ἅγιον ἐπελεύσεσθαι διετράνωσας, οὐκέτι ἀντιπίπτω, οὐδὲ ἀντιλέγω· γενηθήτω μοι κατὰ τὸ ῥῆμά σου· εἰ ἀξία τῷ δεσπότῃ κρίνομαι, ὑπουργήσω χαίρουσα τῷ θελήματι· εἰ ὁ πλάστης τῷ πλάσματι ἀναπαύεται, οἰκοδομείτω τὸν οἶκον αὐτὸς ἑαυτῷ, ὡς εὐδόκησε· ζωοπλαστείτω ἐν ἐμοὶ τὴν σάρκα τὴν ἑαυτοῦ, ὡς οἶδεν αὐτὸς καὶ ὡς βούλεται· γένοιτό μοι τὰ σὰ ῥήματα περατούμενα πράγματι.

Τοῦ Γεωμέτρου. Ἄλλος μὲν οὖν ἄλλό τι τῶν περὶ τὴν μυσταγωγίαν ταύτην ἐπαινείτω p. 23. a.
τῆς κόρης· ὁ μὲν τὴν ἀσφάλειαν, ὁ δὲ τὴν εὐπείθειαν· ὁ μὲν, ὅτι μὴ συνηρπάγη λαμπραῖς οὕτως καὶ μεγάλαις καὶ παρὰ λαμπροῦ καὶ μεγάλου ταῖς ὑποσχέσεσιν· ὁ δὲ, ὅτι μὴ πέρα τοῦ μετρίου δυσπειθῶς ἐχρήσατο ταῖς ἐναντιώσεσιν, ἀλλ' ἐπίσης ἐξέφυγεν καὶ τῆς προγονικῆς ἀπάτης, τῆς Εὔας φημὶ, τὴν εὐήθειαν, καὶ τῆς συγγενικῆς ἀπιστίας τοῦ Ζαχαρίου πρὸ μικροῦ τὴν ἀπείθειαν· ἐμοὶ δὲ καὶ τὸ ὕψος τῆς ταπεινοφροσύνης, οὐχ ἧττον δοκεῖ θαυμαστὸν, ἀλλ' εἴπέρ τι καὶ τῶν ἄλλων ἐκπλεκτικώτατον· δι' ἣν τάχα καὶ ἐπὶ τοσοῦτον ὑψώθη, καὶ πρὸς ὑπουργίαν ἀφιερώθη τοῦ ταπεινώσαντος ἑαυτὸν μέχρι καὶ σώματος· κεχαριτωμένη γὰρ καὶ νύμφη θεοῦ ἀκούσασα, καὶ τοῖς λεγομένοις πιστεύσασα, δούλην ἑαυτὴν ὅμως καλεῖ· καὶ τὴν ἐπαγγελίαν δέχεται μὲν, καὶ συγκατατίθεται, ὡς δὲ μὴ κατ' αὐτὴν ἀλλὰ κρείττονα καὶ προσδοκίας οὖσαν, ἐπεύχεται, ἰδοὺ ἡ δούλη κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου· ταῦτά τοι, καὶ ἄπεισιν εὐθὺς ἀπ' αὐτῆς ὁ ἄγγελος οὐ μόνον ἀπαρτίσας ὅπερ ἐβούλετο, ἀλλὰ καὶ ὑπερθαυμάσας τοῦ παρθενικοῦ κάλλους τὴν ὡραιότητα καὶ τῆς ἀρετῆς τὴν ὑπερβολὴν, καὶ μηδὲν ἐπὶ πλέον βασανίσαι θελήσας, ἀλλὰ τὴν ὁμολογίαν τῆς πίστεως ἐκείνης δεξάμενος.

Τοῦ αὐτοῦ. Ἡμῖν δὲ οὐκ ἄπορον καὶ τούτου τὴν αἰτίαν εἰπεῖν· σαρκοῦται γὰρ οὐκ ἄλλος τίς τῆς τριάδος, ἀλλ' ὁ υἱὸς, ἵνα καὶ πάλιν υἱὸς μείνῃ, μὴ μετατιθεμένης τῆς ἰδιότητος· ἢ καὶ πάλιν δημιουργὸς, καθάπερ κτίσας τὸ πρότερον, οὕτω καὶ ἀνακαινίσας τὸ δεύτερον· ἀλλὰ καὶ υἱοὶ γενώμεθα δι' υἱοῦ διὰ τοῦ φύσει, θέσει προσοικειούμενοι, καὶ διὰ τοῦ κληρονόμου, καὶ πρὸς τὴν συγκληρονομίαν παρακαλούμενοι· πᾶσα μὲν οὖν ἑνοῦται τῇ σαρκὶ καὶ τελείως ἡ θεότης, οὐσιωδῶς· μόνος δὲ ὁ υἱὸς, ὑποστατικῶς· εἴπερ ὁλικῶς ἐν τοῖς τρισὶν ἡ θεότης· καὶ οὕτως ὅλη μὲν ἡ τῆς θεότητος φύσις, ὅλῃ τῇ ἀνθρωπίνῃ κραθεῖσα φύσει, τὸν θεάνθρωπον ἀπετέλεσεν· οὐ μὴν ὥσπερ ὅλῃ τῇ φύσει τὴν φύσιν ὅλην, οὕτω καὶ τὰς ὑποστάσεις ὅλας ὅλαις ταῖς ἀνθρωπίναις ἑνωθῆναι λέγειν ἐκβιασθησόμεθα· ἄπαγε· ἀλλ' ὅλην μὲν ὅλῃ τῇ ἀνθρωπότητι τὴν θεότητα, ὡς πρὸς τὰς φύσεις· μόνον δὲ τὸν υἱὸν μόνῃ τῇ τοῦ υἱοῦ κεκρᾶσθαι σαρκὶ, ὡς πρὸς τὰς ὑποστάσεις, ὁμολογήσομεν· οὐ μὴν οὐδὲ πάλιν ὥσπερ ὑποστατικῶς ὁ υἱὸς μόνος, οὕτω καὶ ἐνεργητικῶς, ἀλλ' εὐδοκίᾳ μὲν τοῦ πατρὸς, συνεργίᾳ δὲ τοῦ πνεύματος, τὴν πρόσληψιν ἀπεργάζεται· καὶ οὕτω πάλιν ἡ τριὰς, ἑνουμένη γνωρίζεται· καὶ ὁ εἷς θεὸς πρὶν διαιρεθῆναι, συνάγεται· κἀκεῖνο δὲ ἀναγκαῖον εἰδέναι, ὅτι καὶ τῆς οἰκονομίας ἐστὶ τὸ συνεκτικώτατον, ὅτι μὴ δὲ ὅσον οὖν, πρῶτον σὰρξ μὴ δὲ ἄνθρωπος, εἶτα θεοῦ λόγου σὰρξ ἢ καὶ ἄνθρωπος, ἵν' οὕτω προυποστάσας καὶ ἄμφω τὰς φύσεις ὁμολογήσαντες, εἰς διπλῆν κατενεχθῶμεν ὑπόστασιν, ἐκ τῆς διπλῆς καὶ ἰδίᾳ προυποστάσης ἑκατέρω φύσεως· ἀλλ' ἅμα μὲν τῷ λόγῳ ἡ σὰρξ, καὶ τῇ σαρκὶ ὁ λόγος· ἅμα δὲ

καὶ ὁ Θεὸς τῷ ἀνθρώπῳ· εἰ καὶ 'προῆν, ὡς λόγος τὲ καὶ Θεὸς, ὑπόστασις δὲ τὸ προὸν, τῷ νῦν ἡ Θεότης τῇ ἀνθρωπότητι· περὶ γὰρ τὸ ὂν τὸ γινόμενον· κινεῖ μὲν γὰρ ὁ λόγος τὴν φύσιν, κινεῖ δὲ δημιουργικῶς, ἀλλ' οὐ σπερματικῶς, ὥς τις ἔφη τῶν πρὸ ἡμῶν· συνίσταται δὲ καὶ περὶ τὸν λόγων, ἡ φύσις ὅλη πρὸς ὅλον, αἰσθητή τε καὶ λογικὴ, παθητή τε καὶ νοερά· και οὕτω προῆλθεν ὑπόστασις, σύνθετος μὲν, οὐ διπλῆ δὲ· καὶ φύσις διπλῆ μὲν, οὐ σύνθετος δὲ· ἄφυρτα γὰρ ἑκάτερα· τί γὰρ καὶ ἔσται Χριστὸς, εἰ μή τε καθαρῶς ἄνθρωπος ἔσται, μή τε καθαρῶς ἔσται Θεὸς; ἀλλ' ἵν' ἀμφότερα συμπεφυκὼς ᾖ καὶ ἀμφοτέρων ἐκτὸς ᾖ· τί δὲ καὶ ὅλως ἐθελήσει καὶ δράσει, μή τε ἀνθρωπίνως μή τε θείως, ἀλλ' ἄλλον τινὰ τρόπον σύνθετον, ἐθέλων καὶ δρῶν; ἀλλὰ ταῦτα μὲν ἴσως ἑτέρου λόγου τὲ καὶ καιροῦ· νυνὶ δὲ τὴν ἑαυτοῦ ἀκολουθίαν ὁ λόγος αἰτεῖ.

Τοῦ αὐτοῦ. Πρὸς δὲ τὴν Ἐλισάβετ ἀποτρέχει μόνον· τοῦτο μὲν εἰωθὸς αὐτῇ διά τε τὴν συγγένειαν καὶ τὴν ἄλλην τοῦ τρόπου συνάφειαν· τοῦτο δὲ καὶ διὰ τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα, καὶ παρ' αὐτῆς ἐκείνης μαθεῖν βουλομένη, καὶ ὀφθαλμοῖς αὐτοῖς θεασομένη τὰ προφητεύματα.

v. 39. p. 25. b. Τοῦ Μεταφράστου. Ἐπειδὴ γὰρ ἐν τῷ τοῦ μνηστῆρος οἴκῳ διάγουσα, ὃς ἀνὰ τὴν πόλιν Ναζαρὲτ ἐτύγχανεν οὖσα, ἐκεῖ τῆς τοῦ λόγου σαρκώσεως ἐδέξατο τὰ εὐαγγέλια, καὶ ὡς ξένῳ τῷ πράγματι νόμων φύσεως ἐπηπορεῖτο, ἤκουσε δὲ πρὸς τοῦ ἀγγέλου, τρανῶς τά τε ἄλλα βεβαιοῦντος τὸν λόγον, καὶ παραδείγματι τοι ὧδε πρὸς πίστιν ἕλκοντος· ἰδοὺ γάρ φησι καὶ ἡ συγγενής σου Ἐλισάβετ ἐν γήρει συνέλαβεν· ἀκολουθεῖ μετ' ὀλίγον ἡ μετὰ σπουδῆς πρὸς τὴν ὀρεινὴν ἄφιξις, καὶ ἡ πρὸς τὸν οἶκον Ζαχαρίου εἰσέλευσις· ἔσπευσε γὰρ συνησθῆναι τῇ Ἐλισάβετ τὰ τῆς καινῆς ταύτης συλλήψεως εὐαγγέλια· πρόσεισι τοιγαροῦν καὶ ἀσπάζεται φιλοφρόνως αὐτὴν, εἴτουν προσαγορεύει.

Τοῦ Γεωμέτρου. Ἐχρῆν γὰρ μὴ τὸν δεσπότην μόνον, ἀλλὰ καὶ τὴν τούτου μητέρα τῇ μετριοφροσύνῃ κατὰ πάντων ἔχειν τὰ νικητήρια, καὶ τούτῳ αὐτῷ τὸ πρωτεῖον ἔχειν, τῷ τὸ δευτερεῖον πανταχοῦ ζητεῖν, ἀλλὰ καὶ τύπον εἶναι πᾶσι, καθάπερ ἐκεῖνον, τοῦ μετρίου καὶ τῆς ὑφέσεως.

v. 40. Τοῦ Μεταφράστου. Οὐ φθάνει γοῦν ἀσπασαμένη τὴν Ἐλισάβετ ἡ πολυύμνητος δέσποινα· καὶ ὁ ἀσπασμὸς, σκίρτημα τοῦ ἐν γαστρὶ αὐτῆς βρέφους ἡδὺ γίνεται· καὶ γὰρ ἀπὸ γαστρὸς ἐμάνθανεν ἤδη τὸν ἐν γαστρὶ δεσπότην ὁ δοῦλος, καὶ τὴν εἰς τὸν κόσμον αὐτοῦ πάροδον ᾐσθημένος, ὑπερφυῶς ἥδετο· τοῦτο γὰρ τὸ ἐν ἀγαλλιάσει σκίρτημα, φανερῶς ἐδήλου· μὴ λάθοι δέ σε μὴ δὲ τὸ λίαν μέτριόν τε καὶ ὑποχωρητικὸν Ἐλισάβετ, μετὰ καὶ θαυμαστῆς τῆς προῤῥήσεως· ᾐδεῖτο γὰρ τὴν τῆς παρθένου ἐπιστασίαν· ὡς ὑπὲρ ἀξίαν οὖσαν αὐτῆς· καὶ διὰ ταῦτα διαποροῦσα, πόθεν μοι τοῦτο, λέγει; καθάπερ καὶ ὁ παῖς ἐκείνης πρὸς τὴν δεσποτικὴν ἐποίει προσέλευσιν, καὶ σὺ ἔρχῃ πρός με, λέγων, κατὰ τὸν καιρὸν τοῦ βαπτίσματος; ὅρα δὲ πῶς καὶ προαγορεύει, καὶ μητέρα ταύτην ἤδη καὶ κυρίαν ἑαυτῆς ὀνομάζει· ἀλλὰ καὶ εὐλογημένην ἐν γυναιξὶ λέγει· καὶ τὸν κυοφορούμενον ἐν αὐτῇ καρπὸν κοιλίας παραδόξως ἀποκαλεῖ· τί τοῦτο σημαίνουσα; ὅτι σπέρματος ἀνδρὸς οὐδαμῶς ἐκοινώνει.

Τοῦ Γεωμέτρου. Ἡ πρὸ τῆς φωνῆς φωνὴ, ὁ πρὸ τοῦ φωτὸς προφήτης, ὀξύτερον τῆς μητρὸς ὁρᾷ καὶ ἀκούει καὶ ἀσπάζεται τὸν προφητευόμενον· καὶ ἐπεὶ μὴ εἶχε τῷ δακτύλῳ μὴ δὲ τοῖς ῥήμασι, τοῖς ἅλμασιν αὐτὸν ποιεῖ δῆλον· σκιρτᾷ γὰρ κυοφορούμενος, καὶ τὸ δὴ

μεῖζον, ἐν ἀγαλλιάσει τὸ φρονεῖν ἤδη τελείως πρὸ τοῦ τόκου δεξάμενος· τίς εἶδε χαρὰν γεννήσεως πρεσβυτέραν; ὢ γνώσεως τὸν οἰκεῖον οὐκ ἀναμεινάσης καιρόν· ἔδειξεν ἡ χάρις ἅπερ οὐκ εἶδεν ἡ φύσις· ἐχόρευσεν βρέφος ἐν νηδύϊ τυπούμενον· κυοφορούμενος ὁ στρατιώτης, ἐπέγνω τὸν δεσπότην καὶ βασιλέα μέλλοντα τίκτεσθαι· τῆς ἔτι συγκαλυπτούσης γαστρὸς οὐκ ἐπιπροσθούσης τῇ μυστικῇ θεωρίᾳ, εἶδεν οὐ διὰ βλέμματος, ἀλλὰ διὰ πνεύματος, καὶ ἄνευ φωνῆς τῷ παρὰ φύσιν σκιρτήματι προσεφθέγξατο· εἶπες ἂν αὐτὸν καὶ πρὸς τὴν μητέρα λέγειν· δεσποτικῆς ἐπιδημίας ὦ μῆτερ καιρός· γενοῦ κῆρυξ ἄνευ ἐμοῦ τῇ παρθένῳ· ἢ λάλησον ταχέως, ἢ γέννησον· εἰ μήπω γεννᾷς, κήρυξον· σάλπιγγος χρεία τῷ μυστηρίῳ, καὶ σπουδῆς τῷ κηρύγματι· σύ μοι χρῆσον τὴν γλῶτταν, κἀγώ σοι δωροῦμαι τὸ πνεῦμα.

Τοῦ Γεωμέτρου. Δῆλον οὖν, ὡς μὴ τὴν σύλληψιν μόνον εἶδεν, ἀλλὰ καὶ ὅτι δίχα σπο- v. 42. p. 24. a.
ρᾶς καὶ ἀνδρός, διὸ καὶ καρπὸν αὐτῆς μόνης καλεῖ τὸ κυοφορούμενον, καὶ εὐλογημένον προσαγορεύει, ἀντιδιαστέλλουσα πρὸς τὸ κατηραμένον· τῶν μὲν γὰρ ἄλλων οἱ καρποὶ, πάντες ὑπὸ κατάραν, πάντες ὑπὸ τὴν αμαρτίαν· ἐκ δὲ τοῦ πρώτου πεσόντος, καὶ δι' ἁμαρτίας γάμου τε καὶ φθορᾶς, καὶ ἐν ἁμαρτίαις· οὗτος δὲ μόνος εὐλογημένος, ὡς οὔτε δι' ἀνδρὸς, οὔτε δι' ἁμαρτίας.

Τοῦ Μεταφράστου. Μεγαλύνει δὲ τὸν θεὸν ἡ Μαρία, ὅτι τε πιστεύει δεικνῦσα διὰ τὴν v. 46. p. 24. b.
τῆς Ἐλισάβετ φωνήν· μακαρία γάρ φησι ἡ πιστεύσασα τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου· καὶ ὡς μεγάλῳ τοιούτῳ ὑπηρετεῖ πράγματι· ἀλλὰ καὶ ἠγαλλίασε τὸ πνεῦμα μου ἐπὶ τῷ θεῷ.

Ἀνεπιγράφου. Εἶτα, καὶ τὴν αἰτίαν λέγει τοῦ δεῖν μεγαλύνειν τὸν κύριον, καὶ τοῦ v. 48.
ἀγαλλιᾶσθαι ἐπ' αὐτῷ, ἐπαγαγοῦσα ὅτι ἐπέβλεψεν δὲ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· τίς εἰμί φησιν ἐγὼ πρὸς τοσοῦτον ἔργον; αὐτὸς ἐπέβλεψεν, οὐκ ἐγὼ προσεδόκησα· ταπεινὴ γὰρ ἤμην, ἀπερριμμένη· καὶ νῦν ἀπὸ γῆς εἰς οὐρανὸν μεταβαίνω, καὶ εἰς ἄῤῥητον οἰκονομίαν ἕλκομαι· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσι με πᾶσαι αἱ γενεαὶ, δηλονότι αἱ τῶν πιστευόντων, οὐ σὺ μόνη.

Τοῦ Μεταφράστου. Οὐ μακαρίζει δὲ ἑαυτὴν, τύφῳ κενῷ κινηθεῖσα, οὐδὲ γλώσσῃ κοινῇ φθέγγεται ταῦτα, ἀλλὰ θείῳ πνεύματι λειτουργοῦσα, αὐτὸ τὸ εἰσαεὶ τελούμενον προθεσπίζει, καὶ οὐ τὰ ἴδια μόνον, ἀλλὰ καὶ τὰ κοινά· ποῦ γὰρ τὸ ἀλαζονεύεσθαι παρ' αὐτῇ, ἥ τις καὶ δούλην ἑαυτὴν καλεῖ, καὶ τὴν ταπείνωσιν ὁμολογεῖ, καὶ ἀπορεῖ τὴν ἐπ' αὐτῇ θείαν ἐπίβλεψιν; πνεύματι τοίνυν θείῳ κινουμένη, οὐκ ἐνάτινα καὶ ὑπέρκομπα, ἀλλ' αὐτὰ ταῦτα προσαγορεύει τὰ ἐσόμενα.

## *Rursus Cap. II. 4.*

Εἰρηναίου. Προστίθησι δὲ καὶ τὸ, ἐν πόλει Δαβὶδ, ἵνα τὴν ὑπὸ θεοῦ Δαβὶδ γε- v. 4. p. 30. a.
γενημένην ἐπαγγελίαν, ὅτι ἐκ καρποῦ τῆς κοιλίας αὐτοῦ αἰώνιος ἔσται βασιλεὺς, πεπληρωμένην εὐαγγελίσηται.

Ἱππολύτου. Εἰ δὲ βούλει, λόγος θεοῦ ἦν πρωτότοκος, ἀπ' οὐρανῶν ἐπὶ τὴν μακαρίαν v. 7. p. 26. a.
Μαρίαν κατερχόμενος, καὶ ἄνθρωπος πρωτότοκος ἐν κοιλίᾳ πλασσόμενος, ἵνα ὁ πρωτότοκος θεοῦ πρωτοτόκῳ ἀνθρώπῳ συναπτόμενος δειχθῇ.

Κοσμᾶ μοναχοῦ. Ὁ γὰρ πρωτότοκος ἐκ τοῦ πατρὸς πρὸ αἰώνων, πρωτότοκος νήπιος κόρης ἀφθόρου, τῷ Ἀδὰμ χεῖρα προτείνων ἐπέφανεν.

p. 27. a. Φωτίου. Ὁ ἀσπασμὸς, ἄνωθεν· ἡ σύλληψις, ἄσπορος· ἡ κύησις, ἄφραστος· ὠδῖνες, ἀλόχευτοι· σφραγὶς τῆς παρθενίας, ἡ τῶν ὠδίνων διάλυσις· ὁ τόκος, ἄφθορος· καὶ ἡ τεκοῦσα, παρθένος καὶ μετὰ γέννησιν· Θεὸς ἐν σαρκὶ, τὸ τικτόμενον· χορὸς ἀγγέλων, ᾆσμα τὸ θαῦμα ποιούμενοι· ἔνθα τοσούτων καὶ τηλικούτων συνδρομὴ, πῶς ἄν τις διαμφισβητήσειε, κἂν πάντα ἀσεβεῖν ἔθετο μελέτην, ὅτι μὴ οὐχὶ παρθένος ἡ παρθένος καὶ μέχρι τέλους διέμεινεν, ὥστε ἡ τῶν ἀχράντων λόγων ἀλήθεια τὸ μὲν παράδοξον καὶ ὑπερφυὲς καὶ ὑπὲρ κατάληψιν, ἠβουλήθη παραστῆσαι ὅπερ ἐστὶ τόκος ἄνευ ἀνδρὸς ἐπιγνώσεως· τὸ δὲ μετὰ ταῦτα, νοεῖν κατέλιπεν ὡς ἀκόλουθον· τὸ γὰρ τὴν ἐν τόκῳ παρθενεύουσαν, καὶ τὸ λοιπὸν διὰ βίου παρθενεύειν, οὔτε καινὸν ὅλως ἢ παράδοξον, ἀλλὰ καὶ τοῖς προηγησαμένοις ἐξ ἀναγκαίου μᾶλλον ἑπόμενον· ἄλλως τε καὶ τῶν ἰουδαίων τέως ἐπιστομίζειν ὁ εὐαγγελιστὴς ἔγνω τὸ βλάσφημον, οἳ ἐκ πορνείας τὸν ἄσπορον τόκον διέσυρον· διὸ καὶ πρὸς τὴν ἐκείνων ἵσταται κακόνοιαν, δι' ὧν τρανοῖ τῆς τεκούσης τὸ ἀνέπαφον· ἀλλὰ καὶ τὸ ἕως, ἐνίοτε μὲν πρὸς ἀντιδιαστολὴν τοῦ ἐφεξῆς χρόνου, ὡς εἴρηται, παραλαμβάνεται, ἐνίοτε δὲ ἐπὶ δηλώσει μεγάλων ἔργων καὶ θεοπρεπῶν, καθάπερ νῦν, οὐ μὴν πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινὸς, ἀλλὰ καὶ τοὐναντίον εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος· καὶ ἀνατελεῖ γὰρ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη· καὶ κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου· καὶ μεθ' ὑμῶν εἰμι ἕως τῆς συντελείας· δῆλον γὰρ ὡς ἐνταῦθα τὸ ἕως, οὐ χρονικόν τι μεθόριον, καὶ πέρας παρεισάγει, μέγεθος δὲ θείων πραγμάτων ἡ λέξις παραδηλοῦσα, εἰς ἀπεριόριστον παράτασιν τὸν νοῦν τῶν ἐντυγχανόντων ἀναπέμπει· καὶ ἄλλα δὲ μυρία ἔστιν εὑρεῖν, δι' ὧν δῆλον καθίσταται, ὡς ἀντὶ τοῦ διηνεκῶς καὶ εἰς τὸν αἰῶνα, ἡ λέξις παραλαμβάνεται· ὅταν οὖν δείξωσιν οἱ πάντα θρασεῖς, μετὰ τὴν τῆς σελήνης ἀνταναίρεσιν, τὴν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δικαιοσύνην εἰς τὸ μὴ ὂν καταδύουσαν, καὶ μετά γε τὸ ὑποτεθῆναι τοὺς ἐχθροὺς αὐτοῦ, τῆς ἐκ δεξιῶν καθέδρας τοῦ πατρὸς παρακινούμενον, ἢ καὶ μετὰ τὴν συντέλειαν τοῦ αἰῶνος, ὅτε μᾶλλον αὐτοῖς ἡ οἰκείωσις τῶν μαθητῶν ἀφιστάμενον, τότε διαπορείτωσαν, καὶ εἰ μετὰ τὸν ἄῤῥητον τόκον ἀνδρὸς ὁμιλίας ἡ παρθένος ἐμελέτησεν.

p. 28. b. Τοῦ Μεταφράστου. Τίκτει τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, ἡ ἀμίαντος κόρη, καὶ σπαργανοῖ τὸν ἀόριστον, καὶ παρὰ τὸ μὴ εἶναι τόπον αὐτοῖς ἐν τῷ καταλύματι, ὢ τῆς ἀφάτου σου Χριστὲ δι' ἐμὲ πτωχείας, ἐν τῇ φάτνῃ τὸν τῆς τροφῆς ἁπάσης χορηγὸν ἀνακλίνει, τὸν μηδαμοῦ χωρούμενον ἡ ἀχωρήτως χωρήσασα· πολλῶν γὰρ πολλαχόθεν πρὸς τὴν γραφὴν ὥσπερ εἰκὸς συῤῥεόντων, καὶ πολλὴν ἐντεῦθεν τοῖς ἔσχατον ἐπιγενομένοις περιποιούντων τὴν στένωσιν, ὢ τῆς δι' ἐμὲ στενοχωρίας καὶ ξενιτείας τοῦ διὰ πάντων χωροῦντος καὶ πᾶσαν κτίσιν ἐμπεριέχοντος, ἐκεῖνον μετὰ τῶν ἄλλων οὕτω καὶ τόπου διαπορούμενον, οὐχ' εὑρίσκει γὰρ τόπον οὐδὲ κατάλυμα, ἡ φάτνη δέχεται τὴν πτωχείαν ἑλόμενον ἐξ ἀρχῆς, καὶ ταύτην ἐν ἑαυτῷ τιμήσαντα· ἐντεῦθεν ὁ ἀπερίγραπτος ἐν σπηλαίῳ, ὁ λόγος ἐν φάτνῃ, ὁ τοῦ κόσμου δημιουργὸς αὐτουργὸς καὶ τοῦ τόκου, καὶ ὁδηγὸς τοῦτό που γίνεται, αὐτὸς μὲν μαιεύων, αὐτὸς δὲ μαιευόμενος, καὶ τῇ μητρὶ τὸν θάλαμον χαριζόμενος· ἐντεῦθεν ὁ πάντων συνοχεὺς, ἐν σπαργάνοις· ὁ πάντων τροφεὺς, ἐν τοῖς γαλακτοτροφουμένοις· ὁ πάντων ἀπογραφεὺς, ἐν τοῖς ἀπογραφομένοις.

v. 8. p. 29. b. Τοῦ αὐτοῦ. Ποιμένες δέ, φησιν, ἦσαν ἐν τῇ χώρᾳ ταύτῃ, φυλακὰς περὶ νύκτα ποιοῦ-

μενοι, οἷς καὶ ἄγγελος θεοῦ ἐπέστη, καὶ δόξα κυρίου αὐτοὺς περιέλαμψεν· ἐπεὶ δὲ κατό-
φοβοι γέγονασι τῷ θεάματι, ὁ ἄγγελος, ὡς μὴ καθ᾽ ὥραν ἐπελθόντα τὸν φόβον ἔξω ποιεῖ,
μὴ φοβεῖσθε λέγων, ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν, ἥ τις ἔσται, οὐκ ἰουδαίοις μό-
νοις, ἀλλ᾽ ἅπασι· καὶ προστίθησι τρανότερον τὴν τῆς χάριτος δήλωσιν, ὅτι φησὶν ἐτέχθη
ὑμιν σωτήρ.

Τοῦ Γεωμέτρου. Οὕτω λύεται τὰ διαφράγματα, καὶ καταλύεται μὴν ἡ ἔχθρα, εἰρή- v. 10.
νη δὲ πάντα καταλαμβάνει, καὶ θεὸς μὲν, ἄνθρωπος γίνεται· οὐρανὸς δὲ τῇ γῇ μίγ-
νυται, καὶ ἄγγελοι μὲν τοῖς ποιμέσιν ἐφίστανται, ποιμένες δὲ τοῖς ἀγγέλοις περιαστράπ-
τονται, καὶ τὸν μέγαν εὐαγγελίζονται καὶ πρῶτον ποιμένα καθάπερ ἀμνὸν ἐν σπηλαίῳ τικ-
τόμενον· καὶ γῆ μὲν τὴν οὐράνιον δοξολογίαν διδάσκεται, οὐρανὸς δὲ ἐπὶ τῆς γῆς εἰ-
ρήνῃ καὶ εὐδοκίᾳ τέρπεται· καὶ τὸ παράδοξον μὲν τοῦ θαύματος καὶ ἀκούσματος, φρίκης
καὶ ἀγωνίας μεγίστης τοῖς ποιμέσι πρόξενον, ἡ δὲ φρίκη, χαρᾶς μείζονος αἰτία γίνεται·
σαφέστερον γὰρ αὐτοῖς ὁ ἄγγελος οὐ λύει τὸν φόβον μόνον, ἀλλὰ καὶ ἐπιτείνει τὴν εὐφρο-
σύνην· εὐαγγελίζομαι γάρ φησιν ὑμῖν, οὐ φόβον μέγαν, ἀλλὰ χαρὰν μεγάλην, ἥ τις ἔςαι
οὐ τῷ ἰουδαϊκῷ μόνον, ἀλλὰ καὶ παντὶ τῷ λαῷ· καὶ τὸ αἴτιον τῆς χαρᾶς, ὁ νέος καὶ και-
νὸς ὄντως τόκος· οὗτος δὲ δῆλος, ἐκ τῶν ὀνομάτων αὐτῶν, ὅτι φησὶν ἐτέχθη ὑμῖν σω-
τὴρ, Χριστὸς κύριος· ὧν τὸ μὲν, τῆς ἐνεργείας· τὸ δὲ, τῆς ἐξουσίας· τὸ δὲ μέσον, τῶν
φύσεων· ἐπεὶ καὶ τοῦτο φύσει Χριστὸς· καὶ τὰ τεκμήρια, καιρὸς, καὶ τόπος, σήμερον, καὶ
ἐν πόλει Δαβίδ.

Τοῦ Γεωμέτρου. Τὰ ὁραθέντα καὶ λαληθέντα ἐξέστησάν τε ἅμα τοὺς ποιμένας, καὶ v. 18. p. 31. a.
τῶν ποιμνίων ἀπανέστησαν· καὶ διήρχοντο μέχρι Βηθλεὲμ ἐν νυκτὶ, τὸν φωστῆρα καὶ σωτῆ-
ρα ζητοῦντες· συνήρχοντο δὲ καὶ ἄλλοι τινὲς οὐκ ὀλίγοι τῶν γνωρίμων καὶ συγγενῶν, καὶ
ἐξίσταντο τῶν ποιμένων ἀκούοντες.

Φωτίου. Αὐτοψίᾳ τὰ εὐηγγελισμένα λαβόντες, καὶ τῷ θαύματι τῆς ἀληθείας κατεχόμε- p. 32. a.
νοι, οὐκ ἀπέκρυψαν τοῖς πυνθανομένοις τὴν αἰτίαν, ἀλλ᾽ ἅπερ τε πρότερον ἐθεάσαντο, καὶ
ὧν ἀκοῇ τὴν γνῶσιν ἔσχον παρ᾽ αὐτοῦ τε τοῦ εὐαγγελιζομένου ἀγγέλου κήρυκος, καὶ παρὰ
τῆς ἄλλης ἀγγελικῆς καὶ ὑμνολόγου στρατιᾶς, ταῦτα πάντα τοῖς παροῦσιν ἀπεκάλυπτον·
οὐ γὰρ μόνον τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ τὰ ὑπὲρ λόγον αὐτοῖς τεθεαμένα ἀπήγγελλον, ἀλλὰ
μετ᾽ ἐκείνους, καὶ τοὺς ἄλλους ἅπαντας ὅσοις ἦν ἐντυχεῖν, κοινωνοὺς τῶν ὑπερφυῶν θεαμά-
των καὶ ἀκουσμάτων διὰ τῆς διηγήσεως παρελάμβανον· καὶ αὐτίκα ἡ πόλις ἡ Βεθλεὲμ
ἀνεπέπληστο, πλησίον γὰρ ἦν, τοῦ τε σωτηρίου τόκου τὴν ἀλήθειαν, καὶ τῆς ἐξ οὐρανῶν
μαρτυρίας τὴν ἀκρίβειαν, τῶν θεοσόφων ἐκείνων ποιμένων προθύμως πάντα διηγουμένων,
καὶ τὸ φρικτὸν τοῦ θαύματος τῶν ἀνθρώπων ψυχαῖς ἐναφιέντων· καὶ γάρ φησι, πάντες οἱ
ἀκούσαντες ἐθαύμαζον· πῶς γὰρ οὐκ ἦν θαυμάζειν, τὸν ἐν οὐρανοῖς, ἐπὶ γῆς ὁρᾷν, καὶ
τήν τε γῆν τοῖς οὐρανίοις διὰ τῆς εἰρήνης συνάπτοντα, καὶ τὰ οὐράνια τὴν γῆν οἰκειοῦ-
μενα, μᾶλλον δὲ τὸ ἄφραστον ἐκεῖνο βρέφος, τῇ μὲν θεότητι τὰ οὐράνια, τῇ δὲ ἀνθρω-
πότητι τὰ ἐπίγεια συνάπτον ἀλλήλοις ἐκ τῆς οἰκείας συναφείας, καὶ τὴν πρὸς ἄλληλα εἰ-
ρήνην θαυμασίαν τινὰ καὶ ὑπὲρ λόγον πρυτανεῦον; ὃ καὶ καθορῶσαι αἱ οὐράνιαι στρατιαὶ,
τὸ, δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, μετὰ τῆς πνευματικῆς χορείας ἀνέμελπον· ἀλ-
λὰ τὸ μὲν τῶν ποιμένων ἔργον, καὶ τὸ κήρυγμα, καὶ ὁ δρόμος, ἐν τούτοις.

v. 19. Τοῦ αὐτοῦ. Ποῖα ῥήματα; τὰ τοῦ ἀρχαγγέλου Γαβριὴλ, τὰ τοῦ Ζαχαρίου, τὰ τῆς Ἐλισάβητ, τὰ τῶν ποιμένων, ἐν οἷς ὁ ἄγγελος αὐτοῖς ἐκόμιζεν εὐαγγέλια, καὶ τὰ τάγματα τῶν ἀγγέλων, ἃ διὰ τῆς ὑμνολογίας, τὴν πίστιν τοῖς εὐαγγελίοις βεβαιοτέραν παρείχοντο· ἀλλὰ τίσι τὰ ῥήματα ταῦτα συνέβαλλεν ἐν τῇ καρδίᾳ αὐτῆς, ἢ δηλονότι τοῖς ἔργοις, ὧν τὴν πεῖραν εἶχε, τῇ ἀσπόρῳ συλλήψει, τῇ ἀνωδίνῳ κυήσει, τῷ ἀδιαφθόρῳ τόκῳ; τοῖς οὖν καθ' ἑαυτὴν ἔργοις τοὺς λόγους συμβάλλουσα, Θεὸν ὁμολογεῖν τὸν γεννηθέντα, τὴν κρίσιν ὀρθὴν ἀνεδέχετο.

Τοῦ Γεωμέτρου. Τί δέ ἐστι συμβάλλουσα; τυχὸν μὲν, συναθροίζουσα, καὶ συντηροῦσα ἐν τῇ καρδίᾳ, τυχὸν δὲ ἀντιπαραβάλλουσα ἄλλο πρὸς ἄλλο, καὶ συμβιβάζουσα μὴ τὰ λεγόμενα μόνον, ἀλλὰ καὶ τὰ ὁρώμενα, τὰ ἐν τῷ ναῷ, τὰ μετὰ τὸν ναὸν, τὰ παρὰ τοῦ ἀγγέλου, τὰ παρὰ τῶν ποιμένων, τὸ τελευταῖον, τὰ παρ' αὐτὸν τὸν τόκον καὶ τὰς ὠδῖνας· ὅτι μὴ μόνον αὐτὴ ταύτας λαθοῦσα, καὶ μήτηρ φανεῖσα, καὶ διαφυλαχθεῖσα παρθένος, ἀλλ' ὅτι καὶ ταύτην λαθὼν υἱὸς, ὢ θείων πραγμάτων οἰκονομία καὶ καινοτομία φύσεων, οὔτε τῆς προόδου παρέσχεν αἴσθησιν, καὶ ἄφνω τῆς γαστρὸς ἔξω καὶ πρὸς τοῖς κόλποις αὐτῆς ἦν, ἵν' ὥσπερ συνελήφθη ἀσπόρως τὲ καὶ ἀγνώστως, οὕτω καὶ γεννηθῇ μὴ μόνον ἀφθόρως, ἀλλὰ δὴ καὶ ἀνεπαισθήτως· καὶ τοῦτο τοῦ τύπου σχῇ πλέον, τῆς δρόσου τὲ καὶ τοῦ πόκου· ἡ μὲν γὰρ δρόσος, αὐτομάτη μὲν, καὶ ἀψοφητὶ πρὸς τὸν πόκον, οὐκ αὐτομάτη δὲ οὐδὲ ἄνευ χειρὸς, ἐκ τοῦ πόκου· ὁ δὲ, πρὸς τοῖς ἄλλοις, καὶ αὐτὸν τὸν νοητὸν πόκον ἐν τῇ συλλήψει λαθὼν· καὶ αὐτὸ δὲ περιβαλόμενος ὅλον τὸ πάχος, καὶ τὸ ἔριον ἐξ αὐτοῦ, μεθ' ὁμοίας προῆλθε τῆς εὐκολίας, οὐκ ἐνταῦθα τοὺς ἄλλους μόνον, ἀλλὰ καὶ αὐτὴν τὴν τεκοῦσαν λαθὼν, ὥσπερ αὐτὸς ἑαυτὸν μαιεύσας, ἀλλὰ δὴ καὶ γεννήσας.

Τοῦ Μεταφράστου. Ποῖα γὰρ ἦν ἕτερα, ἅπερ ἡ θαυμαστὴ συνετήρεις Μαρία, καὶ εἰς καρδίαν συνέβαλλες, ἢ πάντως ὅσα τὲ εἰρήκει πρὸς σὲ ὁ ἄγγελος, καὶ ὅσα δὴ πάλιν οἱ ποιμένες εἶπον; ταῦτα εἰς καρδίαν αὐτὴ συντιθεῖσα, καὶ τοῦτο ἐκείνῳ συγκρίνουσα, πρὸς ἓν ἑώρας συνᾴδοντα πάντα, καὶ μίαν εὕρισκες ὦ μῆτερ σοφίας τὴν συμφωνίαν· ὅτι Θεὸς πρὸς ἀλήθειαν ὁ ἐκ σοῦ γεννηθεὶς, καὶ σὲ θαῦμα δείξας παρὰ ταῦτα πάντα, καὶ παρὰ πάντων τούτων συντεθειμένων, οὐρανῷ καὶ γῇ χωρούμενον, ἀλλὰ μὴ δὲ ἀξίως ὑμνολογούμενον.

p. 32. b. Τοῦ Γεωμέτρου. Τοὺς μὲν μάγους ἀστὴρ ὡδήγησεν, ἀστὴρ οὐκ ἀστὴρ, ἵνα καὶ ἀστρολογίαν ἀνέλῃ, καὶ πᾶσαν τὴν περὶ τὰ τοιαῦτα καταλύσῃ πλάνην, ἀλλὰ θεία τίς δύναμις, οἷα λαμπτὴρ, τὸν σκότον μᾶλλον τῆς τοιαύτης ἀγνοίας καταφωτίζουσα· τοὺς δὲ ποιμένας, ἄγγελοι περιήστραψαν, καὶ τὸ μέγα μυστήριον αὐτοῖς ἀπεκάλυψαν, οἳ καὶ τὸ τελευταῖον ὧν εἶδον παραδόξων θεασάμενοι, καὶ τὴν ψυχὴν χαρᾶς πληρωθέντες, ὑπέστρεφον, ἐφ' οἷς ἤκουσαν καὶ εἶδον, τὸν Θεὸν δοξάζοντες· δῆλα δὲ ἐκ τῶν εἰρημένων, καὶ τὰ ἠκουσμένα καὶ τὰ ἑωραμένα, καὶ οὐ χρὴ περὶ τῶν αὐτῶν πολλάκις ἰχνομυθεῖν.

Ἀναστασίου μαθητοῦ τοῦ ἁγίου Μαξίμου. Ὅ γε μὴν μὴ μόνον ἐν τῇ διανοίᾳ κατέχων τὸν θεῖον λόγον, ἀλλὰ καὶ εἰς ἔργον ἄγων, καὶ οἷον ἐνσωματῶν διὰ τῶν ἀρετῶν, καὶ ἐμψυχῶν διὰ τῆς ἀπλανοῦς γνώσεως, ὃν διὰ τῆς ἀπαθοῦς ἐν πίστει ἀκροάσεως συνέλαβεν ἐν τῇ ἑαυτοῦ διανοίᾳ θεῖον λόγον, καὶ ἐμφανῆ τοῦτον διὰ τῆς κατ' ἐνέργειαν ἀνελλιποῦς ἀρετῆς ποιῶν, ἐπλήρωσε τὸ παρὰ τοῦ προφήτου εἰρημένον, τὸ, ὠδινήσαμεν καὶ ἐτέκομεν πνεῦμα σωτηρίας· καὶ

προσφόρως λοιπὸν καὶ ἀληθῶς, τὴν τοῦ δι' ἡμᾶς ἐκ τῆς ἁγίας Θεοτόκου κατὰ σάρκα γεννηθέντος Θεοῦ λόγου ἑορτάζει γέννησιν· οἱ δὲ τεταγμένοι ποιμένες τῆς λογικῆς τοῦ τικτομένου Χριστοῦ ποίμνης, ἐὰν καλῶς καὶ ἐπιστημόνως, καὶ ἀγρύπνως φυλάσσωσι τὰς ἑαυτῶν φυλακὰς, ἐπὶ τὴν εἰρημένην ἐν τῇ νυκτὶ τοῦ βίου τούτου ποίμνην, οἱ τοιοῦτοι οὐκ ἀπ' ἀνθρώπων, ἀλλ' ἐξ οὐρανίων δυνάμεων, μανθάνουσι τοῦ τεχθέντος τὸ μυστήριον, ὡς καὶ αὐτόπτας λοιπὸν γενέσθαι τοῦτον εὐαγγελίζεσθαι.

. . . Περιτομὴν ὁ κύριος δέχεται, βεβαιῶν τὴν πρὸς ἰουδαίους αὐτοῦ συγγένειαν· ὥστε μὴ πρόφασιν ἀρνήσεως αὐτοῖς ὑποσχεῖν· περιτέμνεται δὲ κατὰ τὴν ὀγδόην, εἴτ' οὖν τὴν κυριακὴν, καθ' ἣν ἡ ἀνάστασις, ἐν ᾗ καὶ Ἰησοῦς ὀνομάζεται· σωτηρίαν δὲ τοῦτο σημαίνει λαοῦ, ὃ καὶ πρὸ τῆς συλλήψεως ὁ ἄγγελος τῇ παρθένῳ προλέγει.

Φωτίου. Δοκεῖ γάρ μοι ἡ περιτομὴ, σωτήρια τινὰ πραγματεύεσθαι· ἓν μὲν, οἱονεὶ ση- v. 21. p. 34. a.
μείῳ τινὶ καὶ σφραγῖδι, τοὺς ἐκγόνους Ἀβραὰμ ἀφορίζουσα, καὶ τῶν λοιπῶν ἐθνῶν διαστέλλουσα· δεύτερον δὲ, ἐν ἑαυτῇ τὴν τοῦ θείου βαπτίσματος προδιατυποῦσα χάριν καὶ δύναμιν· ὥσπερ γὰρ ὁ περιτεμνόμενος εἰς λαὸν Θεοῦ διὰ τῆς σφραγῖδος πάλαι ἐχρημάτιζεν, οὕτως ὁ βαπτιζόμενος σφραγῖδα τὸν Χριστὸν ἐν ἑαυτῷ τυπωσάμενος, εἰς υἱοθεσίαν Θεοῦ ἀναγράφεται· καὶ τρίτον, σύμβολον τῶν ἐν τῇ χάριτι καθισταμένη πιστῶν, οἳ τῶν σαρκικῶν ἡδονῶν καὶ παθῶν τὰς ἐπαναστάσεις, τῷ τμητικῷ τῆς πίστεως λόγῳ, καὶ πόνοις ἀσκητικοῖς, ἐκτέμνουσι καὶ ἀπονεκροῦσιν, οὐ σῶμα τέμνοντες, ἀλλὰ τὴν καρδίαν, καὶ πνεύματι οὐ γράμματι περιτεμνόμενοι, ὧν καὶ τὸν ἔπαινον, οὐκ ἀνθρωπίνης ἐπικρίσεως δεῖσθαι, ἀλλὰ τῆς ἄνωθεν ἠρτῆσθαι ψήφου, Παῦλος ὁ θεῖος διαμαρτύρεται. Ἔχω καὶ ἄλλην αἰτίαν εἰπεῖν τῆς ἐντολῆς τῆς περιτομῆς· ἐπειδὴ γὰρ γένους χαλδαίων ἐχρημάτιζεν ὁ Ἀβραὰμ, παρ' οἷς τὸ μητερογαμεῖν καὶ θυγατράσι συναναφύρεσθαι ἀνεύθυνον ἦν, τέμνεται τὴν ἀκροβυστίαν εἰς ἀθέτησιν τῆς τοιαύτης ἀῤῥητοποιίας· καὶ γίνεται αὐτοῦ οἰκείας σαρκὸς περιτομὴ, τῆς προσεχοῦς συγγενείας διαίρεσις· πλὴν ἀφορισθῆναι τὸ τοῦ Ἀβραὰμ ἔδει γένος· πρῶτον μὲν, ἵνα μὴ τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον, τῆς οἰκείας εὐσεβείας παρατροπὴν πάθῃ· ἔπειτα, ἵνα τῆς θείας ὑποσχέσεως ἐναργὲς πᾶσι τὸ πέρας δειχθῇ, εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ πληθυνομένου σπέρματος, καὶ τρίτον, ὃ καὶ τῶν ἄλλων ἐστὶν αἰτιώτατον, ἐπείπερ ὑπεσχημμένον ἦν τῷ Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ τὰ ἔθνη ἐνευλογηθήσεσθαι· τοῦτο δὲ δι' αὐτοῦ τοῦ πλάσαντος δυνατὸν ἦν προελθεῖν· διὰ τοῦτο τὸ ἀβραμιαῖον γένος ἀφορίζεται, καὶ τῆς τῶν ἄλλων ἐθνῶν ἐπιμιξίας, διακρίνεται, ἵνα τοῦ δημιουργοῦ τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, ἐπίδηλος ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ· καὶ ὅτι Χριστὸς ἐν ᾧ τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως· κἀκεῖνο δὲ δῆλον, ὡς τὴν περιτομὴν ὁ Ἀβραὰμ οὔτε πίστεως ἔσχεν αἰτίαν, οὔτε τάξιν ἐπέχουσαν πίστεως· προεπίστευσε γὰρ, ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ πίστεως, μόνον σφραγῖδα ταύτην ἐδέξατο· τὸ μέν τοι λέγειν ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὸς τῶν ἐκ φύσεως περιβλημάτων τὸ παιδογόνον μόριον, τῶν ἐκεῖθεν ῥύπων καθαρεύοι, τῷ ἰουδαίῳ Φίλωνι πεφλυάρηται.

Μακαρίου. Πάλαι μὲν ἰουδαῖοι ὅτι λαὸς Θεοῦ ἦσαν, ἐκ τῆς περιτομῆς ἐφαίνοντο· ἐν-

ταῦθα δὲ ὁ λαὸς τοῦ Θεοῦ ὁ περιούσιος, τὸ σημεῖον τῆς περιτομῆς ἔνδοθεν τῇ καρδίᾳ αὐτοῦ ὑποδέχεται· μάχαιρα ἐπουράνιος ἐκτέμνει τὸ περισσὸν τοῦ νοῦ, τουτέστι τὴν ἀκάθαρτον ἀκροβυστίαν τῆς ἁμαρτίας.

p. 34. b. Ἀναστασίου. Ὑψηλότερον δὲ, ὅσοι διὰ τοῦ ἐνεργοῦς καὶ τομωτέρου ὑπὲρ πᾶσαν μάχαιραν δίστομον θείου λόγου, πᾶσαν ῥυπαρίαν καὶ σαρκικὴν ἐπιθυμίαν ἐξ ἑαυτῶν ἀποτέμνουσι· καὶ τὸ ἐκ γενέσεως κάλυμμα τῆς ἀγνωσίας ἐκ τοῦ ἑαυτῶν ἡγεμονικοῦ ἀποῤῥίπτουσιν· οὗτοι καλῶς τὴν ὀγδόην ἡμέραν τῆς περιτομῆς τοῦ κυρίου ἐπιτελοῦσιν· ἡμεῖς γὰρ ἐσμὲν οἱ ἐν αὐτῷ περιτεμνόμενοι πνευματικῇ περιτομῇ ἀχειροποιήτῳ.

v. 22. p. 36. a. Ἱππολύτου. Ὅτε αὐτὸν ἀνήγαγον εἰς τὸ ἱερὸν, παραστῆσαι τῷ κυρίῳ, τὰς καθαρσίους ἐπιτελοῦντες ἀναφορὰς· εἰ γὰρ τὰ καθάρσια δῶρα κατὰ τὸν νόμον ὑπὲρ αὐτοῦ προσεφέρετο, ταύτῃ καὶ ὑπὸ νόμον γέγονεν· οὔτε δὲ ὁ λόγος ὑπέκειτο τῷ νόμῳ, καθάπερ οἱ συκοφάνται δοξάζουσιν, αὐτὸς ὢν ὁ νόμος· οὔτε ὁ Θεὸς ἐδεῖτο θυμάτων καθαρσίων, ἀθρόᾳ ῥοπῇ καθαρίζων ἅπαντα καὶ ἁγιάζων· ἀλλ' εἰ καὶ ἐκ τῆς παρθένου τὸ ἀνθρώπινον ὄργανον ἀναλαβὼν ἐφόρεσε, καὶ ὑπὸ νόμον ἐγένετο, κατὰ τὰς τῶν πρωτοτόκων ἀξίας καθαρισθεὶς, οὐκ αὐτὸς δεόμενος τῆς τούτων χορηγίας ὑπέμενε τὰς θεραπείας, ἀλλ' ἵνα τῆς τοῦ νόμου δουλείας ἐξαγοράσῃ τοὺς πεπραμένους τῇ δίκῃ τῆς ἀρᾶς.

v. 23. p. 36. b. Ἀναστασίου. Ἀλλὰ ζητητέον πρῶτον μὲν, περὶ τίνος γέγραπται τὸ περὶ τοῦ καθαρισμοῦ αὐτῶν· δεύτερον δὲ, περὶ τοῦ παραστῆσαι αὐτὸν τῷ κυρίῳ· καὶ τρίτον, τί σημαίνει τὸ ζεῦγος τῶν τρυγόνων, καὶ οἱ δύο νεοσσοὶ τῶν περιστερῶν· εἰ γὰρ τὸ περὶ τοῦ καθαρισμοῦ αὐτῶν, περὶ τῆς ἁγίας Θεοτόκου, ἢ περὶ τοῦ μακαρίου Ἰωσὴφ, ἢ περὶ τοῦ κυρίου, νομίσῃ τίς λέγεσθαι, ἀσεβήσει· οὔτε γὰρ ὁ Ἰωσὴφ ἔγνω τὴν ἁγίαν παρθένον, οὔτε αὐτὴ ἐν ἀνομίαις συνέλαβε καθὼς αἱ ἄλλαι γυναῖκες, ἵνα περὶ τοῦ καθαρισμοῦ ἑαυτῶν προσενέγκωσιν, ἀλλὰ ἀσπόρως συνέλαβε καὶ ἀφθόρως ἔτεκεν· ὅπου δὲ οὐ γυναικὸς καὶ ἀνδρὸς σύνοδος, οὐχ' ὕπνος, οὐχ' ἡδονὴ συνελθόντος, οὐ συνδυασμὸς, τίς χρεία καθαρισμοῦ; ἀλλ' οὐδὲ περὶ τοῦ κυρίου τοῦτο εἴρηται, τοῦ ἀκηράτου καὶ ὑπὲρ πᾶσαν καθαρότητα.

v. 25. p. 38. a. Φωτίου. Οὐκ ἦν ἱερεὺς ὁ Συμεὼν, τῶν δὲ ἱερέων, ταῖς ἀρεταῖς πολλῷ προεῖχεν· διὸ καὶ ὁ μὲν ἱερεὺς ἅπερ ἐπὶ τῷ βρέφει πράττειν ὁ νόμος ἐκέλευε, τούτοις ὑπηρέτει· ὁ δὲ Συμεὼν τοῖς τε ἄλλοις κατορθώμασι καὶ τῇ πρεσβυτικῇ βεβηκὼς πολιᾷ, κατὰ τοὺς θείους χρησμοὺς τῆς ἀπολαύσεως ἠξιοῦτο· ἐπέγνω τὸν κηρυττόμενον, τῶν χρησμῶν ἑώρα τὴν ἀλήθειαν, ἀγκάλαις ἔφερε τὸν φέροντα πάντα τῷ ῥήματι· καὶ τῆς τοῦ γένους σωτηρίας ἐν ὄψει καταστὰς, καὶ θειοτέρας ἀναπλησθεὶς ἡδονῆς, οὐκέτι τοῦ ζῆν περιείχετο· αὐτίκα δὲ μάλα τῆς σωτηρίας ἐφεστώσης, καταλιπεῖν ἐπόθει τὸ σαρκίον· εὐαγγελίσασθαι δὲ καὶ τοῖς ἐν ᾅδου τὴν σωτηρίαν καὶ τὴν ἀπολύτρωσιν· καὶ τὸν Θεὸν μὲν εὐλόγει, τουτέςι δι' ἐπαίνων καὶ δοξολογίας ἦγεν· εὐλόγει δὲ τά τε ἄλλα, καὶ διότι τὰς πρὸς αὐτὸν ὑποσχέσεις εἰς ἀλήθειαν ἔβλεπε προελθούσας· καὶ τὴν τοῦ Ἰσραὴλ παράκλησιν, ὀφθαλμοῖς τε καθορᾷν ἠξιοῦτο, καὶ χερσὶ φέρειν· καὶ χαρᾶς ἐπὶ τούτους ἱερᾶς πεπληρωμένος, νῦν φησιν ἀπολύεις τὸν δοῦλον σου, ἐπεὶ τὸ τέλος ἔχω τῶν ἐπηγγελμένων· ἐχέτω τοῦτο καὶ ὁ ἐπίκηρος βίος· τὸ γὰρ σόν μοι ῥῆμα, ταῦτα προανεφώνει· καὶ γὰρ τοῦ μὴ ἰδεῖν με θάνατον, πρὶν ἰδεῖν τὸν Χριστὸν κυρίου, αὐτός μοι πάλαι τὰ εὐαγγέλια παρέσχες· ἐπεὶ δὲ εἰς ἐμοὺς ὀφθαλμοὺς ἧκεν ἃ ἐπόθουν, ἃ ἐζήτουν, ὧν ἐγλιχόμην, νῦν ἀπολύεις τὸν δοῦλον σου, οὔτε πρὸς τὴν

πεῖραν ταραττόμενον τοῦ θανάτου, οὔτε λογισμοῖς ταραττόμενον ἀμφιβολίας, ἀλλ' ἐν εἰρήνη σταθερᾷ καὶ πολλὴν τὴν εὐφροσύνην πεγαζούσῃ· καὶ γὰρ τὸ σωτήριον πάντων τῶν λαῶν εἶδον· καὶ ὅρα τὴν ἀκρίβειαν τοῦ θείου καὶ ἱεροῦ γέροντος· πρὶν ἢ μὲν τοῦ μακαρίου θεάματος καταξιωθῇ, παράκλησιν προσεδέχετο τοῦ Ἰσραήλ· ἐπεὶ δὲ ἐντὸς τῆς ἐλπίδος γέγονε καὶ τῆς ἐπιθυμίας, οὐκέτι τοῦ Ἰσραὴλ ἀνακράζει παράκλησιν ἰδεῖν, ἀλλὰ πάντων σωτηρίαν τῶν λαῶν· οὕτως αὐτὸν περιήστραψεν ἡ ἐν τῷ βρέφει καθορωμένη ἀπόῤῥητος καὶ ὑπὲρ λόγον αἴγλη, ὡς τὰ προϊόντος τοῦ χρόνου καὶ κατὰ μικρὸν ἀνακαλυφθέντα, ἐκείνῳ τηνικαῦτα καὶ ἀθρόον εἰς γνῶσιν ἐλθεῖν· καὶ ἵνα μὴ δὲ χώραν τινὶ παράσχοι, πάντας λαοὺς καλεῖν τοὺς ἐν τῷ ἰουδαίων ἔθνει, ἐπάγει τὰ εἰρημένα, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν· ἀντὶ τοῦ, μηδείς με νῦν οἰηθείη πάντα καλεῖν τὸν ἰουδαϊκὸν λαὸν, ἀλλὰ σύμπαν τὸ γένος διὰ ταύτης μηνύων τῆς φωνῆς· καὶ γὰρ σωτηρία καὶ ἀπολύτρωσις ἔσται πάντων οὗτος, ὃν ἐγὼ τεθέαμαι καὶ ἀγκαλφέρω· καὶ οὐδὲ μέχρι τούτου ἠρκέσθη, ἀλλ' ἀντιδιαστέλλων πάντα τὰ ἔθνη, ἐπισυνάπτει φῶς εἰς ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ σου Ἰσραήλ· οἷον κοινὴ μέν ἐστιν σωτηρία τὸ ἀγκαλοφορούμενον βρέφος τοῖς ἔθνεσι πᾶσι καὶ τῷ Ἰσραήλ· ἀλλὰ τοῖς μὲν φῶς, ὅτι τὸ σκότος ἐξάξει τῆς εἰδωλολατρίας· τῷ δὲ δόξα, ὅτι τὰ τούτοις πάλαι δοθέντα νόμιμα, δι' ἃ τῆς εἰδωλικῆς ἀπεκαθαίροντο ἀχλύος, εἰς δόξαν καὶ τελειότητα μεταβαλεῖ· καὶ ἄλλως δὲ, δόξα τοῦ ἰσραηλιτικοῦ λαοῦ ὁ τεχθείς· ἅτε δὴ ἐκ σπέρματος τοῦ Ἀβραὰμ ἄνθρωπος γεγονώς· μικροῦ δὲ καὶ Ἡσαΐας, τὰ αὐτὰ ἀνακράζει, λέγων· ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, τουτέστι παρασχεῖν ὁρᾷν, καὶ διαστέλλειν τὸ σκότος ἐκ τοῦ φωτὸς, καὶ τὴν ἀλήθειαν ἐκ τοῦ ψεύδους, καὶ τὴν εὐσέβειαν ἀπὸ τῆς πλάνης· διὸ καὶ ὁ Δαβὶδ ταύτην ἀνακηρύττων τὴν σωτηρίαν, καὶ οἱονεὶ κροτῶν καὶ χορεύων, πάντα τὰ ἔθνη φησὶ κροτήσατε χεῖρας, ὅτι ὕψιστος φοβερὸς βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· εἰ δὲ λαὸς τοῦ Χριστοῦ καὶ λέγεται καὶ ἔστιν ὁ Ἰσραὴλ πρὸς τὰ ἔθνη διαστελλόμενος, διαστέλλεται δὲ πάντως τοῖς τε μωσαϊκοῖς νόμοις καὶ τοῖς ἔθνεσι, δηλονότι κἂν μήπω τῆς χάριτος ἀπήλαυσε, καὶ ἐντὸς ταύτης ἐχρημάτισε, λαὸς καὶ οὗτος ἐστὶ τοῦ Χριστοῦ· εἰ δὲ ὁ ἐν τῇ παλαιᾷ διαθήκῃ λαὸς, τοῦ Χριστοῦ ἐστι λαὸς, πῶς οὐκ ἐμφράττεται τὰ ἀπολωλότα στόματα τὰ ἀπὸ Μάνεντος, εἰς ἑτέραν τούτους παραπέμποντα ἀρχήν;

Τοῦ αὐτοῦ. Τοῦ πρεσβύτου θεολογοῦντος τὰ εἰρημένα, ἐθαύμαζον οἱ περὶ τὸν Ἰωσὴφ, οὐχ v. 33. p. 39. a.
ὅτι νῦν τῶν ὑπὲρ λόγων τὴν γνῶσιν ἐδέχοντο, ἀλλ' ὅτι περ ἐπὶ τοῖς ὑπερφυῶς προεγνωσμένοις, καὶ ταῦτα προσελάμβανον· ὑπερφυῶν γὰρ πραγμάτων γνῶσις, ὁσάκις ἂν εἰς μνήμην ἄγῃ τὸν ἐγνωκότα, τοσαυτάκις ἐν ταῖς διανοίαις ἀνακαινίζει τὸ θαῦμα.

Τοῦ Μεταφράστου. Ὅρα δέ μοι καὶ τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν· τὴν μὲν γὰρ, μητέρα εἶπεν, ἅτε δὴ καὶ ἀληθῶς οὖσαν, ἀπ' αὐτῆς καλέσας τῆς σχέσεως· τὸν δὲ, ἀπὸ ψιλοῦ τοῦ ὀνόματος, ὡς πατέρα δοκοῦντα μὲν, μὴ ὄντα δὲ πρὸς ἀλήθειαν.

Φωτίου. Συντελέσας ὁ πρεσβύτης τὴν εἰς τὸ θεῖον δοξολογίαν, τρέπεται λοιπὸν ἐπὶ τὴν v. 34.
εὐλογίαν τῶν ἀγαγόντων τὸ βρέφος· εἶτα ἐκεῖθεν πρὸς μόνην τὴν μητέρα ἀποστρέφει τὸν λόγον· τῆς μὲν γὰρ εὐλογίας, ἀμφοῖν μεταδίδωσι, τὴν δὲ πρόῤῥησιν τῶν ἀποῤῥητοτέρων, τῇ μητρὶ προσάγει μόνῃ, ἵνα διὰ μὲν τῆς κοινῆς εὐλογίας τοῦ σχήματος τῶν γεννητόρων, μὴ ἀπογυμνώσῃ τὸν Ἰωσήφ· διὰ δὲ τῶν πρὸς τὴν μητέρα λόγων, τὴν παρθένον ἐκείνου διαστείλας, τὴν ὡς ἀληθῶς ἀνακηρύξῃ μητέρα, ἣν καὶ εὐλογεῖ ὡς ὑπερετήσασαν θείᾳ βουλῇ·

εἶτα, καὶ διαλέγεται πρὸς αὐτήν· οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ· ὁρᾷς ὅπως ὅλην τοῦ μυστηρίου τὴν οἰκονομίαν πρὸς τὴν παρθένον ἀναφέρει, κἀκείνῃ ποιεῖται τὴν τούτου διήγησιν; καὶ πτῶσιν μὲν λέγει ἐνταῦθα, τῶν ἐκπεπτωκότων τῆς εἰς Χριστὸν πίστεως καὶ εὐσεβείας· ἀνάστασιν δὲ, τῶν ἐπεγνωκότων τὸν σωτῆρα.

p. 39. b. Βασιλείου. Πῶς δὲ καὶ εἰς σημεῖον ἀντιλεγόμενον; κυρίως σημεῖον εἴρηται παρὰ τῇ γραφῇ ὁ σταυρός· ἔθηκε γάρ, φησι, Μωϋσῆς τὸν ὄφιν ἐπὶ σημείου, τουτέστιν ἐπὶ σταυροῦ· ἢ σημεῖον ἐστὶ τὸ παραδόξου τινὸς καὶ ἀφανοῦς πράγματος ἐνδεικτικὸν, ὁρώμενον μὲν παρὰ τῶν ἁπλουστέρων, νοούμενον δὲ παρὰ τῶν ἐντρεχῶν τὴν διάνοιαν· ἐπεὶ οὖν οὐ παύονται ζυγομαχοῦντες περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου, οἱ μὲν ἀνειληφέναι σῶμα, οἱ δὲ ἀσώματον αὐτοῦ τὴν ἐπιδημίαν γεγενῆσθαι διοριζόμενοι· καὶ οἱ μὲν παθητὸν ἐσχηκέναι τὸ σῶμα, οἱ δὲ φαντασίᾳ τινὶ τὴν διὰ σώματος οἰκονομίαν πληροῦν· ἄλλοι χοϊκὸν, ἄλλοι δὲ ἐπουράνιον σῶμα· καὶ οἱ μὲν προαιώνιον τὴν ὕπαρξιν, οἱ δὲ ἀπὸ Μαρίας τὴν ἀρχὴν ἐσχηκέναι· διὰ τοῦτο εἰς σημεῖον ἀντιλεγόμενον.

v. 35. Τοῦ Μεταφράστου. Πῶς σοι τῷ φιλολόγῳ ἀκροατῇ ταῦτα ληφθήσεται; καὶ τί ποτε ἄρα τὴν ῥομφαίαν ταύτην ὑποληπτέον; ἢ τὴν ἀμφιβολίαν, τὸν σκανδαλισμὸν, τὸ πειρατήριον, ἅπερ ἐν τῷ καιρῷ τοῦ σταυροῦ, τὴν τῆς ἁγίας παρθένου διῆλθε ψυχήν; καὶ σοῦ οὖν αὐτῆς, εἰ καὶ καλῶς τὰ τοῦ κυρίου ἄνωθεν ἐδιδάχθης, ἅψεταί τις σάλος, καὶ διακρίνουσα καθ' ἑαυτὴν ἔσῃ· εἰκὸς δὲ καὶ τὴν λύπην αἰνίξασθαι διὰ τῆς ῥομφαίας, ἥ γε κατὰ τὸν καιρὸν τοῦ πάθους συνέσχεν αὐτὴν, ἀγνοοῦσαν ὡς καὶ αὐτοῦ θανάτου ἔσται περικρατής· ἐπεὶ καὶ τοῦτο δηλοῦν βούλεται τὸ, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί· ὅτι μετὰ τὰ σκάνδαλα δηλαδὴ ταῦτα, ἃ τὴν καρδίαν τῶν μαθητῶν διέσεισε καὶ Μαρίας, βραχὺ τὸ ἐν μέσῳ, καὶ ταχεῖα τίς ἐπέλαμψε παρὰ θεοῦ θεραπεία, τὰς ψυχὰς αὐτῶν γαλήνης πληροῦσα, καὶ πρὸς τὴν αὐτοῦ βεβαιοῦσα πίστιν τῷ μεγαλείῳ τῆς ἀναστάσεως.

p. 40. a Φωτίου. Τῆς παναγίας καὶ ἀεὶ παρθένου Μαρίας τὴν ψυχὴν ῥομφαία διῆλθε, κατ' αὐτὸ τὸ σωτήριον τοῦ Χριστοῦ πάθος, οὐκ ἐπιδιστάζουσι λογισμοῖς βαλλομένης, οὐκ ἀπιστίας βέλεσι τιτρωσκομένης· οὐκ ἐφ' οἷς ἔχαιρε, τὴν λύπην ἀλλασσομένης, ἀλλὰ μητρικὰ σπλάγχνα διδούσης, πρὸς τὴν ἔμφυτον συμπάθειαν, ἀνασκολοπιζομένου τοῦ υἱοῦ, πράττειν τὰ οἰκεῖα· τί γὰρ μήτηρ οὐκ ἂν πάθοι βλέπουσα τὸν υἱὸν καὶ μάλιστα τῆς ἀνθρωπίνης φύσεως πολιτευόμενον κρεῖττον, τὰς τῶν κακούργων ὑπέχοντα δίκας; τοῦτο γέγονε τῇ παναχράντῳ μητρὶ τοῦ λόγου, πικρότερον καὶ δριμύτερον ῥομφαίας ἁπάσης τὸ πάθος· εἰ γὰρ καὶ πολλὰς ὑποθέσεις εἶχε θεὸν εἰδέναι τὸν υἱὸν σεσαρκωμένον, ἀλλ' οὖν οὐκ ἐπὶ πάντων ἔλυε τοὺς τῆς φύσεως νόμους, ἐνεδίδου δὲ καὶ τῇ φύσει, τοῖς οἰκείοις ἐνδιαπρέπειν ὅροις· διὸ καὶ πάθος φρικτὸν ὁρῶσα μητρικοῖς ὀφθαλμοῖς προκείμενον θέαμα, κατὰ πληγὴν ῥομφαίας, τὴν ψυχὴν ἐτέμνετό τε καὶ κατεμερίζετο.

Τοῦ Γεωμέτρου. Περιτέμνεται ὁ κύριος ὀκταήμερος· Ἰησοῦς ὀνομάζεται, ὃ καὶ προηγόρευται· καὶ οὕτω μετὰ τὴν συμπλήρωσιν τῶν ἡμερῶν, ἀνάγεται πρὸς Ἱεροσόλυμα, καὶ παρίσταται τῷ κυρίῳ· κατὰ τὸν νόμον τὸν λέγοντα, ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ κυρίῳ κληθήσεται· καὶ τοῦτο μὲν ἐνταῦθα γνῶναι, παντὸς, ὡς αὐτὸς μὲν ὁ ἁγιάζων, αὐτὸς δὲ ὁ ἁγιαζόμενος· ἐκεῖνο δὲ οὐ παντὸς, ὡς ἐλέγετο μὲν καὶ ἐτελεῖτο ταῦτα κοινῶς· ἐδήλου δέ τι τοῦ φαινομένου βαθύτερον· προσήγετο γὰρ ὑπὲρ ἄρρενος πρωτοτόκου καὶ αὐτοῦ

προσαγομένου, ζεῦγος τρυγόνων, καὶ δύο νεοσσοὶ περιστερῶν, καὶ οἶμαι διὰ μὲν τῶν τρυγόνων, τὸ σῶφρον τὸ καὶ φιλέρημον δηλοῦσθαι.

Φωτίου. Διέλαμπε μέν τοι ταῖς ἀρεταῖς ἁπάσαις ἡ ἄνθρωπος· ἐκ γὰρ τοῦ μὴ ἀφίστασθαι [p. 41. b.] τοῦ ἱεροῦ, καὶ νηστείαις καὶ δεήσεσι λατρεύειν νύκτα καὶ ἡμέρας, δῆλον ὡς καὶ ὁ λοιπὸς αὐτῇ τῶν ἀρετῶν συμπαρῆν, ὑφ' ὧν κεκαθαρμένη τὸν νοῦν, καὶ τοῦ παναγίου πνεύματος γεγενημένη δοχεῖον, καὶ τὰς παρ' αὐτοῦ δεχομένη ἐμφάσεις, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, καθ' ἣν τὸ παιδίον ἡ μήτηρ καὶ ὁ Ἰωσὴφ τῷ ἱερῷ προσέφερον· ἐκάλει μὲν τὸ βρέφος, κύριος· ἀνθωμολογεῖτο δὲ αὐτῷ, τουτέστιν εὐχαρίστει· καὶ λύτρωσιν τοῦ γένους καὶ σωτηρίαν ἀνεκήρυττεν· καὶ ὅρα τὴν παραπλησίαν τῷ Συμεῶνι ταῖς ἀρεταῖς, ὅπως καὶ τὰς προφητείας παραπλησίους κιχρᾷ· ἅμα μὲν γὰρ παρῆσαν τῷ ναῷ, ἅμα δὲ καὶ τῆς προφητικῆς ἠξιοῦντο χάριτος· ἀλλ' ὁ μὲν Συμεὼν προελάμβανε χρησμολογεῖν· ἡ δὲ τὴν δευτέραν ἔχουσα τάξιν, ὅμως οὐκ ἐλευτέρει τοῖς χρησμοῖς· τάχα δ' ἂν διὰ τοῦτο προλαβεῖν εἴποι τίς τὸν Συμεῶνα, διότι ὁ μὲν τύπον ἔφερε τοῦ νόμου· καὶ γὰρ καὶ ἡ κλῆσις τὸ ὑπήκοον δηλοῖ, ὧν ἀμφοῖν ὁ Χριστὸς ἔκειτο μέσος· διὸ τὸν μὲν ἀπολύει συντελευτῶντα τῷ νόμῳ, τὴν δὲ τέως κατέχει τῇ χάριτι ζῶσαν.

Ἀναστασίου. Θεωρήσωμεν δὲ, τί ἄν τις ποιῶν τὴν ὑπαπαντὴν καλῶς ἑορτάζοι· ὁ τὰ μέλη τὰ ἐπὶ τῆς γῆς νεκρώσας, καὶ τὴν νέκρωσιν τοῦ Χριστοῦ ἐν τῷ σώματι περιφέρων, καὶ τῇ πολιᾷ τῆς συνέσεως καὶ τῇ σοφίᾳ κοσμούμενος, καὶ ὑπήκοος τῶν θείων ἐντολῶν γινόμενος, καὶ τὴν Ἱερουσαλὴμ οἰκῶν, λέγω δὴ τὴν ἀτάραχον καὶ εἰρηναίαν ἕξιν διὰ τῆς ἡσυχίας κτησάμενος, καὶ τὸν θεῖον λόγον οὐ καταφρονητικῶς ἀποθεύμενος, ἀλλὰ μυστικῶς διὰ τῆς πράξεως εἰς τὰς ἀγκάλας δεχόμενος· σύμβολον γὰρ αἱ χεῖρες καὶ αἱ ἀγκάλαι, πράξεως· καὶ μετὰ τῶν τοσούτων κατορθωμάτων ἑτοιμάζων ἑαυτὸν ὑπαντῆσαι τῷ ἐρχομένῳ ὥσπερ εἰς οἰκεῖον ναὸν τὸν κόσμον τοῦτον, κρῖναι ζῶντας καὶ νεκρούς· ὄντως κατὰ τὸν θεῖον σκοπὸν, τὴν ὑπαπαντὴν τοῦ κυρίου ἑορτάζει, γινόμενος πνευματικὸς Συμεὼν, τουτέστι ὑπήκοος τῶν θείων προσταγμάτων, καὶ πάντα κατορθώσας δικαίως καὶ εὐλαβῶς πάντοτε, καὶ κατὰ τὴν ἡμέραν τῆς ἐξόδου αὐτοῦ, λέγει τὸ, νῦν ἀπολύεις τὸν δοῦλον σου· ὁ δ' ἐν ταραχαῖς καὶ πειρασμοῖς βιωτικοῖς ἀναστρεφόμενος, καὶ μηδέποτε τῶν θείων ῥημάτων ὑπήκοος γεγονὼς, πῶς λέξει τὸ, εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· πάντοτε τῶν ὀφθαλμῶν αὐτοῦ τῶν αἰσθητῶν καὶ τῶν νοητῶν, εἰς φαντασίας κοσμικὰς καὶ ἐπιθυμίας ἀσελγεῖς, ἀσχολουμένων· οὐκ ἔστιν οὕτως ἑορτάζειν κυρίῳ, οὐκ ἔστιν οὔτε μετὰ τοιούτων ἔργων θαῤῥεῖν καὶ ἐλπίζειν ἀπαντῆσαι αὐτῷ, κατὰ τὸ, ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ κυρίου, εἰς ἀέρα.

Τοῦ Μεταφράστου. Ἐνταῦθα, οὐκ ἄχαρι ἀλλὰ καὶ ἀναγκαῖον τὸ δοκοῦν ἐναντιολογεῖσθαι τοῖς [v. 39. p. 42. a.] εὐαγγελισταῖς, ἐπιλύσαι· πῶς γάρ φησι Ματθαῖος μὲν μετὰ τὴν γέννησιν εἰς Αἴγυπτον ἀπάγει τὸν Ἰησοῦν, οὗτος δὲ ὁ θεῖος δηλονότι Λουκᾶς, μετὰ τεσσαράκοντα διέλευσιν ἡμερῶν, εἰς Ἱεροσόλυμα; οὐδὲν ἀπᾷδον λέγοντες ἀλλήλοις, οὔτε μὴν τῇ ἀκολουθίᾳ τοῦ πράγματος προσιστάμενον· δεύτερον γὰρ ἔτος ἤδη μετὰ τὴν γέννησιν παρελθὸν εἰς Αἴγυπτον ὁ Χριστὸς ἀπάγεται, Λουκᾶς δὲ τὰ ἐντὸς τούτου γενόμενα, καὶ ἃ παρῆκε Ματθαῖος, τὰ τῆς περιτομῆς λαμβάνει καὶ τοῦ καθαρισμοῦ· ἐπεὶ καὶ τοῦτο τοῖς εὐαγγελισταῖς σύνηθες, ἵνα μηδεὶς ᾖ περιττὸς, ὡς μηδὲν ἔχων εἰπεῖν πλέον· καὶ οὕτω τὰ πᾶσι παρειμένα, πᾶσι καὶ πεπλήρωνται· πῶς δὲ κἀκεῖνο ἐπιλυτέον ἡμῖν ἀμφιλογούμενον; κατὰ μὲν γὰρ τὸν θεῖον Ματθαῖον χρημα-

τισθεὶς ὁ Ἰωσὴφ, εἰς Ναζαρὲτ ἔρχεται· ὁμοῦ τὲ τὸν κίνδυνον φεύγων, καὶ τῇ πατρίδι ἐμφιλοχωρεῖν βουλόμενος· ὁ δὲ Λουκᾶς, οὐ φησι κατὰ χρησμὸν αὐτῷ τὴν ἄφιξιν ἐκεῖσε γενέσθαι· ἀλλ' ὅτι τὸν καθαρμὸν πληρώσαντες πάντα, πρὸς Ναζαρὲτ αὖθις ἐπανελθεῖν ἔγνωσαν, ἣν καὶ πατρίδα ἐπεγράφοντο, ὡς ἐκεῖ τὴν οἴκησιν πηξάμενοι· ἰστέον οὖν ὅτι τὸν πρὸ τῆς εἰς Αἴγυπτον καθόδου χρόνον ἱστορῶν ὁ Λουκᾶς, οὐδὲ γὰρ πρὸ τοῦ καθαρμοῦ κατήγαγεν ἂν αὐτοὺς ἐκεῖσε, ἵνα μὴ δὲ παρὰ τὸν νόμον· μηδ' ὅτι οὖν γένηται, ταῦτα φησίν· ἔμενον γὰρ καθαρθῆναι πάντως, εἶτα εἰς Ναζαρὲτ ἐλθεῖν, καὶ τότε δὴ καταβῆναι εἰς Αἴγυπτον· εἶθ' οὕτως ἐκεῖθεν ἀνελθόντες, εἰς Ναζαρὲτ αὖθις ἐλθεῖν ἐγκελεύονται· πρὸ τούτου δὲ οὐδαμῶς ἦσαν χρηματισθέντες ἐκεῖσε φοιτᾷν, ἀλλ' ἐμφιλοχωροῦντες ὡς ἔφημεν τῇ πατρίδι, αὐθαιρέτως τοῦτ' ἔπραττον· ἐπεὶ γὰρ παρ' οὐδὲν ἕτερον ἡ εἰς Βεθλεὲμ ἀνάβασις γέγονεν, ἢ διὰ τὴν ἀπογραφὴν, καὶ οὐδὲ στῆναι οὐδαμοῦ εἶχον, πληρώσαντες ἤδη διόπερ ἀνῆλθον, εἰς τὴν Ναζαρὲτ κατῄεσαν· οὐ τοίνυν ἀντιλογία παρὰ τοῖς εὐαγγελισταῖς, ἀλλὰ διάφορος ἀπαγγελία· ἄλλο δέ ἐστι διαφόρως εἰπεῖν, καὶ ἄλλο ἐναντίως.

p. 43. a. Τοῦ Γεωμέτρου. Καὶ ὅταν οὖν ἀκούσῃς, ὅτι ηὔξανε τὸ παιδίον· καὶ ἐκραταιοῦτο, καὶ προέκοπτεν ἡλικίᾳ ἅμα καὶ χάριτι, καὶ σοφίας ἐπληροῦτο, μὴ ὡς θεοῦ ταῦτα νόμιζε· τί γὰρ τοῦ ἐξ ἀρχῆς ὑπερτελείου καὶ κραταιοῦ, καὶ ὑπερπλήρους πάντων τῶν ἀγαθῶν, τελειώτερον, ἢ κραταιότερον, ἢ πληρέστερον; ἀλλ' ὡς ἀνθρώπου μὲν τὴν αὔξησιν καὶ προκοπήν· τὰ δ' ἄλλα διοριστέον, τὴν κραταίωσιν, τὴν ἑτέραν προκοπὴν τῆς χάριτος, τῆς σοφίας τὴν πλήρωσιν· οὔτε γὰρ ὡς θεοῦ ταῦτα, ἀλλ' οὔτε ὡς ἀνθρώπου πλεῖον κραταιουμένου παρὰ τοῦ ἐνοικοῦντος πνεύματος, ἢ προχωροῦντος, ἢ πληρουμένου, παρὰ τὰ ἐξ ἀρχῆς ἐφ' οὗπερ ἐξ αὐτῆς ἑνώσεως πᾶν τὸ πλήρωμα κατῴκηκε τῆς θεότητος· ἀλλ' ὡς κατὰ μικρὸν αὐτῷ παραφαινομένης τῆς θείας χάριτος καὶ δυνάμεως· ἢ καὶ ὥσπερ ὀργάνῳ τῷ σώματι κατ' ὀλίγον χωροῦντι πρὸς τὴν ἐνέργειαν, συναπαρτίζεσθαι καὶ τῆς τοῦ τεχνίτου νομιζομένης κατ' ὀλίγον τέχνης ἢ ἐπιστήμης.

p. 45. a. v. 52. Τοῦ αὐτοῦ. Πλὴν οὐδὲ ἡ ἐπίδειξις αὐτῷ τῆς σοφίας παρ' ἡλικίαν, ἀλλὰ καθ' ὃν χρόνον καὶ ἡμῖν ὁ λόγος εἴωθεν ἤδη συμπληροῦσθαι τῆς διακρίσεως, ὁ τῆς δωδεκαετίας.

Τοῦ Μεταφράστου καὶ τοῦ Γεωμέτρου. Ὅμως, ὅτε δώδεκα ἐτῶν γεγονὼς ἦν, ἄνεισι μὲν ἅμα τοῖς γονεῦσιν, εἰς Ἱερουσαλὴμ, τὴν ἑορτὴν τοῦ πάσχα τελεσόμενος· ὡς δὲ ἐκείνη πέρας εἶχεν ἐν ἡμέραις ἑπτὰ τελουμένη, αὐτοὶ μὲν ὑπέστρεφον, Ἰησοῦς δὲ ὑπομένει, τούτους λαθών· καὶ οἱ μὲν ἐζήτουν, ὁ δὲ τριῶν ἡμερῶν ἄδηλος ἦν· εἶτα φανερὸς αὐτοῖς γίνεται ἐν τῷ ἱερῷ μὲν καθεζόμενος, ὁμοῦ τὲ ἀκούων τῶν διδασκάλων, καὶ πρὸς ἐκείνους διαλεγόμενος, ἐκπλήττων τε τοὺς ἀκροατὰς ἐν ταῖς ἀποκρίσεσι· κατὰ τοῦτο γὰρ καὶ τὸ κραταιοῦσθαι αὐτὸν πνεύματι, καὶ σοφίᾳ προκόπτειν καὶ χάριτι, ὡς πολλοῖς τοιοῦτον ἀναφαινόμενον· λανθάνει δὲ τοὺς γονεῖς ὥστε μὴ παρ' αὐτῶν κωλυθῆναι τὴν πρὸς τοὺς νομομαθεῖς ἐκείνους διάλεξιν· εἰδότων ὥσπερ αὐτοῦ τὸ γράμματον, καὶ τοῦ μὴ προσπταίειν τοῖς λόγοις εὐλαβουμένων· ἢ ταῦτα τάχα καὶ διαφεύγων, μὴ δόξῃ τοὺς γονεις ἀτιμάζειν, τῷ ἀπειθεῖν ἐγκελευομένοις τὰ ἀνθρώποις ἀκόλουθα· διὰ ταῦτα ὑπομένει λάθρα, καὶ οὐδὲ τοῖς γονεῦσιν αὐτοῖς γινώσκεται· ἵνα μηδέτερον, ἢ φανερὸς γενόμενος κωλυθῇ, ἢ καὶ ἀπειθῇ κωλυόμενος· ὅρα δὲ ὅπως καὶ ἃ προσήκει παιδίῳ ποιεῖ· οὐ γὰρ προπετῶς διδάσκει τοὺς νομομαθεῖς διδασκάλους καὶ ἱερεῖς, καί τοι μόνος αὐτὸς αὐτόχρημα σοφία καὶ λόγος ὢν καὶ χορηγὸς τῆς σοφίας· ἀλ-

λὰ δι' αὐτὸ μὲν οὖν τοῦτο, μέτρα καὶ ἡλικίας καὶ ἀξίας αὐτός τε καλῶς εἰδὼς καὶ τοῖς ἄλλοις ὁρίζων, τοῖς ἱερεῦσι καὶ διδασκάλοις τοῦ διδάσκειν παραχωρεῖ· αὐτὸς δὲ ἀκούει τὲ καὶ ἐπερωτᾷ μετὰ πολλῆς ἀμφότερον τῆς συνέσεως· λογικῶς τὲ γὰρ ἐρωτᾷ· καὶ ἀκροᾶται συνετῶς, καὶ ἀποκρίνεται συνετώτερον, ὃ καὶ τὸ θαῦμα πολλῷ μεῖζον ἐποίει τῆς ἀκροάσεως.

Τοῦ αὐτοῦ. Ἡ μὲν θαυμασία μήτηρ, σπλάγχνων μητρικῶν ἡττωμένη, καὶ τέκνον αὐτὸν περιπαθῶς καλεῖ, καὶ ὡς ἐγκαλοῦσα, προτείνει τὴν μετ' ὀδύνης ζήτησιν, καὶ πάντα ὁμοῦ ὡς μήτηρ, καὶ παῤῥησιαστικώτερον, καὶ ἀνθρωπινώτερον, καὶ περιπαθέστερον, διαλέγεται· τί τοῦτο τέκνον ἐποίησας ἡμῖν; καὶ ὅτι ἰδοὺ ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι, ἐζητοῦμέν σε· αὐτὸς δὲ λύει πάντα διὰ τοῦτο καὶ περὶ πατρὸς ἐκείνης τοῦ δοκοῦντος εἰπούσης, ὁ Χριστὸς ὥσπερ τὸ ῥηθὲν διορθούμενος, περὶ τοῦ ὄντως λέγει πατρὸς, εἰς ἔννοιαν αὐτὴν ἐμβάλλων τῆς ἀληθείας· καὶ μὴ χαμαὶ βαίνειν, ἀλλ' εἰς ὕψος αἴρεσθαι παρασκευάζων· οὐκ ᾔδειτε λέγων, ὅτι ἐν τοῖς τοῦ πατρός μου δεῖ εἶναί με; οὕτω δείκνυσιν ἑαυτὸν ὄντα φύσει θεὸν, εἴγε τῆς αὐτῆς φύσεως ὁ παῖς τῷ τεκόντι· ἐπεὶ δὲ τοῦ πατρὸς ὁ ναὸς, ἐν τοῖς τοῦ πατρὸς ἦν ἐκεῖνος, κἂν αὐτοῖς τὸ ῥῆμα συνετὸν οὔπω γέγονεν· ἐνταῦθα πρώτως ἀνδρικώτερον ἢ μᾶλλον εἰπεῖν θειότερον, πρὸς τοὺς οἰκείους διαλέγεται, καὶ δείκνυσιν ὅτι καὶ ἕτερος ὁ πατὴρ αὐτῷ, καὶ ὅτι οὐχ' ὡς ἀνθρώπῳ ψιλῷ ἀλλὰ καὶ ὡς θεῷ, καὶ τὴν μητέρα αὐτῷ προσεκτέον, καὶ ὅτι ὁ τοῦ πατρὸς οἶκος, ὁ ναὸς δηλαδὴ, καὶ αὐτοῦ οἶκος ἐστὶ, καθάπερ καὶ τὰ ἄλλα πάντα τὰ τοῦ πατρὸς· καὶ ὅτι αὐτοὺς ἐγκλητέον μᾶλλον ἀγνοοῦσι ταῦτα, καὶ μηδὲν μή τε λαλοῦσι μή τε φρονοῦσι τῶν πρὸς ἀλήθειαν· ἐνταῦθα πρώτως τοῦ ἀληθῶς πατρὸς φανερώτερον μνημονεύει, καὶ παραγυμνοῖ αὐτοῦ τὴν θεότητα.

Τοῦ Γεωμέτρου. Τοῦτο πρῶτον δεῖγμα τῆς τοῦ παιδὸς Ἰησοῦ σοφίας τε καὶ δυνάμεως· p. 45. b.
τὰ γὰρ καλούμενα παιδικὰ, μὴ παιδαριώδους μόνον, ἀλλὰ καὶ δαιμονιώδους ἡγώμεθα γνώμης καὶ προαιρέσεως· οὐ μόνον ὡς τῶν ἡμετέρων λογίων τὲ καὶ εὐαγγελίων παρέγγραπτα, ἀλλὰ καὶ λίαν κακοτέχνου τινὸς κατὰ τῆς ἀληθείας ἐπινοήματα, διαβάλλειν ἐκ τούτων τῶν μυθευμάτων ἐπιχειροῦντος καὶ τἄλλα τῶν ἡμετέρων· πλὴν εἰ μόνα τὶς ἐκεῖνα προσδέχεσθαι βούλοιτο, παρὰ πολλῶν λεγόμενά τε καὶ πιστευόμενα· ἅτε μή τε τοῖς ἄλλοις τῶν ἡμετέρων ἐναντιούμενα· πρὸς δὲ καὶ τοῖς προφητικοῖς σύμφωνα, ὅτι καὶ τὴν ὥραν τοῦ σώματος, ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ὅτι τῆς μητρὸς ἐμφερὴς καὶ τὸ ἦθος ἐπιτερπής· τῷ δὲ κάλλει, τὴν ἡλικίαν ἀνάλογος, καὶ ἰδεῖν μὲν χαριέστατος ὁμοῦ καὶ σεμνότατος, ὁμιλῆσαι δὲ γλυκύτατος ἅμα καὶ εὐγλωττότατος, ἐπιστρεφὴς δὲ πρὸς ἑαυτὸν καὶ ἐπὶ συννοίας τὰ πολλὰ φαινόμενος· οἷα καὶ γέμων φρονήματος, καὶ συνελόντα φάναι· καθάπερ ἐν πᾶσι τοῖς ἄλλοις, οὕτω καὶ τῆς ἀνθρωπίνης ὁμιλίας καὶ καταστάσεως, εἰ καὶ ὑπὲρ ἄνθρωπον, ὅρος καὶ λόγος· ἡ δὲ πρᾳότης αὐτῷ τὸ ἐπίσημον, καὶ ὅτι μή ποτε μήτε ξυρὸς ἀνῆλθεν ἐπὶ τῆς αὐτοῦ κεφαλῆς· μήτε δὲ χεὶρ ἀνθρώπου, πλὴν τῆς αὐτοῦ μητρὸς· ἀλλ' οὕτω μὲν τότε καὶ τὸν δοκοῦντα πατέρα, καὶ τὸ συνέδριον, καὶ πάντας τοὺς παρόντας ἐξέπληξεν ὁμοῦ καὶ διωρθώσατο.

Τοῦ Μεταφράστου. Κάτεισι μετὰ τῶν γονέων ἐξ Ἱερουσαλὴμ εἰς Ναζαρὲτ ὁ κύριος· καὶ διατελεῖ τούτοις ὑποταττόμενος, γονεῖς τιμᾷν παιδεύων ἐκ τοῦ οἰκείου· καὶ ὅπερ αὐτὸς ἐντειλάμενος ἦν, τοῦτο πρῶτος πληρῶν, καὶ τιμᾷν οὕτω διδάσκων γονεῖς, τιμᾷν δὲ πάντως μετὰ θεόν· ἐκείνων γὰρ προτιμοτέραν εἶναι τὴν θεοσέβειαν· διὰ τοῦτο καὶ παραλιπὼν αὐ-

τοὺς, τῷ ναῷ προσμένει, καὶ τὸν αὐτοῦ πόθον, ἰσχυρότερον εἶναι δεῖν τοῦ φυσικοῦ κελεύει καὶ πατρικοῦ.

Τοῦ Γεωμέτρου. Πᾶσαν γὰρ αὐτοῦ τὴν ἀναμεταξὺ μέχρι τοῦ βαπτίσματος καὶ ἀναδείξεως ἡλικίαν, ὡς ἄνευ ἐπιφανοῦς τινος καὶ δημοσίου θαυματοποιΐας καὶ διδασκαλίας ὁ εὐαγγελιστὴς ἑνὶ ῥήματι συνελὼν, τοιαύτην αὐτῷ μαρτυρεῖ πολιτείαν ὁμοῦ καὶ νομοθεσίαν, λέγων, ὅτι ἦν ὑποτασσόμενος τῇ μητρὶ αὐτοῦ· πῇ μὲν γὰρ τῷ λόγῳ νομοθετῶν πρότερον, δεύτερον αὐτὸς ὡρᾶτο τῷ βίῳ τοῦτο βεβαιῶν καὶ κατασφραττόμενος· ὡς τὸ, μηδεὶς ζετείτω τὸ ἑαυτοῦ, καὶ τὸ τοῦ καλοῦ ποιμένος τοῦ τιθέντος τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων· αὐτὸς γὰρ μετ' οὐ πολὺ φαίνεται τὴν ἡμετέραν σωτηρίαν ζητῶν, καὶ τὴν ἑαυτοῦ ψυχὴν προϊέμενος· πῇ δὲ τῷ βίῳ πρότερον παραδεικνὺς τὸ παράδειγμα, δεύτερον καὶ διὰ τοῦ λόγου προὐτίθει τὸ νομοθέτημα· καθάπερ τὸ μὴ ἐπιθυμεῖν, μὴ δὲ ὀμνύειν, μηδὲ ὀργίζεσθαι, καὶ τἄλλα τῶν ἐντολῶν· αὐτὰ γὰρ αὐτὸς πρότερον πάντα, καὶ διὰ παντὸς τοῦ βίου φυλάξας, οὕτω καὶ τοῖς ἄλλοις ἐπιτάξας φαίνεται· ὥστε πῇ μὲν προηγεῖσθαι τοῦ νόμου τὸν τρόπον, πῇ δὲ τοῦ τρόπου τὸν νόμον· ὥσπερ κἀνταῦθα τρία ταῦτα πρὸ τῶν ἄλλων νομοθετήσας, ἢ καὶ νομοθετῆσαι μέλλων, τό τε τὸν θεὸν ἀγαπᾷν, καὶ τὸ τοὺς γονεῖς τιμᾷν, τὸν δὲ θεὸν καὶ αὐτῶν τούτων προτιμᾷν τῶν γονέων, καὶ τοῦ φυσικοῦ τὸ θεῖον, καὶ τοῦ καλοῦ προτιθέναι φίλτρον, ὅρα πῶς αὐτὸς προλαβὼν, οὐ τούτους φυλάττει τοὺς νόμους μόνον, ἀλλὰ καὶ τῶν νόμων τὴν τάξιν καὶ τὴν προτίμησιν· πρότερον μὲν τὸν αὐτοῦ τιμῶν πατέρα τὲ καὶ θεὸν· καὶ ἐν τοῖς αὐτοῦ, τὰ αὐτοῦ ποιῶν, ἐν τῷ ἱερῷ τῶν ἱερῶν λογίων ἀκροώμενος καὶ διαλεγόμενος· οὐ μὴν ἀλλὰ καὶ παρὰ τῶν γονέων ἐπεγκαλούμενος, ὑπερτιθεὶς καὶ ἀντεκαλῶν, καὶ δευτέρου λόγου τἄλλα ποιούμενος, ἔπειτα καὶ τοῖς γονεῦσι διὰ τέλους ὑποτασσόμενος.

p. 46. a. Τοῦ Μεταφράστου καὶ τοῦ Γεωμέτρου. Ὅρα μοι καὶ αὖθις τὴν σοφωτάτην γυναικῶν Μαρίαν· τὴν μητέρα τῆς ὄντως σοφίας καὶ ἀποῤῥήτου γνώσεως, ὅπως μαθήτρια γίνεται τοῦ παιδὸς· οὐ γὰρ κατὰ παῖδας, μᾶλλον δὲ οὐ κατ' ἄνδρας, ἢ ἄνθρωπον ὅλως· ἀλλ' ὡς θεῷ προσεῖχε λοιπὸν, καὶ θείας πράξεις τὲ καὶ φωνὰς τὰς ἐκείνου φωνὰς ἡγεῖτο καὶ πράξεις· ὅθεν οὐδὲν αὐτὴν τῶν ὑπ' ἐκείνου λεγομένων ἢ πραττομένων ἐξέπιπτεν, ἀλλὰ καθάπερ τὸν λόγον αὐτὸν ἐν ταῖς λαγόσι τὸ πρότερον, οὕτω καὶ νῦν τοὺς αὐτοῦ λόγους καὶ τρόπους, καὶ πάντα τὰ πολιτεύματα συλλαμβάνουσα, καὶ ὡσπερεὶ τρέφουσα ἐν τῇ καρδίᾳ αὐτῆς, τοῦτο μὲν καθ' ἑαυτὴν ἀνεσκόπει τά τε εἴδη καὶ κάλλη καὶ τὰς δυνάμεις, τοῦτο δὲ καὶ τὸν καιρὸν ἀνέμενε τῆς πάντων τούτων ἐκδηλοτέρας ἀποκαλύψεως· καὶ τοῦτο μὲν, ὡς τύποις καὶ νόμοις κατὰ παντὸς τοῦ βίου ἐκέχρητο· τοῦτο δὲ, καὶ ὡς τεκμηρίοις τῶν μελλόντων περὶ αὐτὴν καὶ τὸν ταύτης υἱὸν ἀποῤῥήτων μυστηρίων καὶ τῶν θαυμάτων.

Τοῦ Μεταφράστου. Διετήρει γάρ φησι πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς, ὥσπερ δὴ καὶ πρότερον ἐπὶ τῇ τῶν ποιμένων ἐπιστασίᾳ, καὶ οἷς ἐκεῖνοι ἑωρακότες καὶ ἀκούσαντες ἐξηγόρευον· καὶ τότε γὰρ ταῦτα πάντα ἡ Μαρία συνετήρει· οὐ γὰρ ὡς παιδίῳ τινὶ προσεῖχεν· ἀλλὰ περὶ πλείστου τὰ λεγόμενα ἐποιεῖτο, καὶ οὐδὲν ἦν τῶν παρ' αὐτοῦ λεγομένων, ὃ μὴ ἄξιον αὐτὴ σπουδῆς ἐποιεῖτο, καὶ εἰς καρδίαν ἔκρυπτεν ἐμμελῶς, σπέρματα εἶναι ταυτὶ καὶ μηνύματα θείων τινῶν καὶ ἀποῤῥήτων πραγμάτων, καλῶς κρίνουσα.

Βικτώρος. Ὅθεν οὐδὲ ὁ Λουκᾶς ἁπλῶς εἶπεν ὅτι προέκοπτε σοφίᾳ καὶ χάριτι, ὥστε ἐν τῇ γνώσει τῇ παρὰ πολλοῖς προσθήκην ἀεὶ δεχόμενος· οὕτω φησὶ καὶ ὁ θεολόγος Γρηγό-

ρεος ἐν τῇ πρὸς Κληδόνιον· εἴτις ἐξ ἔργων τετελειωμένων, ἢ μετὰ τὸ βάπτισμα, ἢ μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἢ υἱοθεσίας ἠξιῶσθαι λέγει, καθάπερ οὓς Ἕλληνες παρεγγράπτους εἰσάγουσιν, ἀνάθεμα ἔστω· τὸ γὰρ ἠργμένον, ἢ προκόπτον ἢ τελειούμενον, οὐ Θεός· κἂν διὰ τὴν κατὰ μικρὸν ἀνάδειξιν οὕτω λέγηται.

Ἀμφιλοχίου. Προέκοπτεν οὖν κατὰ τὴν ἡλικίαν, ἀνδρουμένου κατὰ φύσιν τοῦ σώματος· σοφίᾳ, διὰ τοὺς παρ' αὐτοῦ τὰ θεῖα σοφιζομένους· χάριτι, ἐφ' ᾗ εὐφραινόμενοι προκόπτομεν, πιστεύοντες ὅτι ἔσται τελείωσις τοῖς ὑπ' αὐτοῦ λελαλημένοις περὶ τῆς ἐν ἡμῖν ἐλπίδος· παρὰ Θεῷ, ὅτι τὸ ἔργον τοῦ πατρὸς τετελείωκε σαρκωθεὶς καὶ ἡμᾶς λυτρωσάμενος· καὶ παρὰ ἀνθρώποις, διὰ τὴν αὐτῶν ἐξ εἰδωλολατρίας ἐπὶ τριαδικὴν θεογνωσίαν μετάστασιν· κατὰ τούτους τοὺς τρόπους προέκοπτε· καὶ ἀληθεύει ὁ εὐαγγελιστής· οὐ γὰρ κατὰ τοὺς ἄφρονας, ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ κρεῖττον.

## C A P. III.

Τοῦ Μεταφράστου. Ἀλλ' ὅπερ ἐξ ἀρχῆς λέγειν προὐθέμεθα, ὅτε ἐτελεύτα μὲν ἤδη τὸν v. 1. p. 48. a.
βίον μοναρχῶν Αὔγουστος, ἀφ' οὗ καὶ ὁ μὴν μετωνομάσθαι σεξτίλιος καλούμενος πρότερον, καὶ οἱ Ῥωμαίων βασιλεῖς ἐκεῖθεν τὴν κλῆσιν ταύτην ἐκληρονόμησαν· Τιβέριος δὲ μετ' ἐκεῖνον, τὸ τῆς μοναρχίας κράτος ἀναδησάμενος, ἔτος πέμπτον ἤδη πρὸς τοῖς δέκα τῆς ἀρχῆς ταύτης ἐπειλημμένος διήνυεν· οὐ μὴν ἀλλὰ καὶ τῆς Ἡρώδου τότε βασιλείας εἰς τέσσαρας διαιρεθείσης ἀρχὰς, καὶ τοῖς ἰσαρίθμοις αὐτοῦ υἱοῖς ἐπινεμηθείσης, οἵ γε Ἀρχέλαος, καὶ Ἡρώδης, Φίλιππός τε, καὶ Λυσανίας ἐτύγχανον ὄντες· καὶ πρώτης μὲν τετραρχίας τῆς Ἰουδαίας οὔσης, Ἀρχέλαου δὲ ταύτην, ὃς ἐν υἱέσιν ἐπρώτευεν αὐτῷ διέποντος, τούτων ἤδη πάντων τῷ ῥωμαικῷ σκήπτρῳ, μετὰ τὴν πρώτην ἀπογραφὴν, αὐχένα κλινάντων· ἄρχοντάς τε καὶ ἡγεμόνας, οἷς ἡ τῶν δημοσίων φροντὶς ἐπιστεύετο τῆς Ῥώμης ἐκδεχομένων, ἡγεμονεύοντος τηνικαῦτα Ποντίου Πιλάτου τῆς Ἰουδαίας, ὃς ἐς τὰ μάλιστα Τιβερίῳ Καίσαρι προσκείμενος ἦν· καὶ παρὰ τοῦτο καὶ γέρας τῆς πρὸς αὐτὸν φιλίας τὴν ἡγεμονίαν ταύτην ἀπειληφώς· ἔδει γὰρ ἐλθόντος Χριστοῦ, ᾧ καὶ τὸ ἄρχειν κατὰ τὴν προφητείαν ἀπέκειτο ἐκλιπεῖν ἄρχοντας ἐξ Ἰούδα· καὶ τετραρχοῦντος Ἡρώδου, Φιλίππου, Λυσανίου, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα, τότε δὲ Ἰωάννης, ἔτι τῶν ἐν ἐρήμῳ διατριβῶν εἴχετο· ἡ ἔρημος γὰρ εἶχε τὸν μέγιστον ἐν γεννητοῖς γυναικῶν, μετὰ τῆς τροφῆς ἐκείνης, καὶ τῆς ζώνης, καὶ τοῦ ἐσθήματος· ἣν ἐκ παίδων ᾤκησε, τὸν ἀγγελικόν τε καὶ ἄσκευον βίον ἀσκούμενος· οὐ στέγης γὰρ, οὐ κλίνης, οὐ τραπέζης, οὐκ ἄλλου τῶν τοιούτων οὐδενὸς ἐδεῖτο, οὐ γῆν ἤροσεν, οὐκ αὔλακα ἔτεμεν, οὐκ ἐν ἱδρῶτι προσώπου, ὅπερ ἐμὸν οἶδα καὶ πατρικὸν ἐπιτίμιον, ἄρτον ἔφαγεν, ἀλλὰ δένδρων μὲν ἀκρίδες αὐτῷ ἡ τροφή· ἐκ τριχῶν δὲ καμήλου σχεδιασθὲν αὐτῷ τὸ ἱμάτιον, ἵνα καὶ τοὺς ἐν κόσμῳ, οἷς ἄρτι ἐπιδεδημηκὼς ἦν, λιτότητα παιδεύσῃ· καὶ πείσῃ τῶν τε ἀνθρωπίνων ὑπερορᾷν, καὶ τὴν ἀρχαιογενῆ τῷ ὄντι μεταδιώκειν εὐτέλειαν· ᾗ πρότερον ὁ Ἀδὰμ τιμηθεὶς, ἱματίων ἥκιστα ἐδεῖτο· δῆλον γὰρ ὡς μετὰ τὴν παράβασιν, ἡ χρῆσις τῶν ἐνδυμάτων.

Τοῦ αὐτοῦ. Οἷον γοῦν εἰς ἔκπληξιν ἦν, ἄνθρωπος τριακοστὸν ἔτος τὴν ἔρημον ᾠκηκὼς ὥσπερ ἀειφυγίαν ἑαυτοῦ καταψηφισάμενος, καὶ τὴν πρὸς ἀνθρώπους ἅπαντας ἀμιξίαν· θηρίοις δὲ τὴν μονήρη ζωὴν ἑλόμενος, ἄρτι πρῶτον εἰς ὅρασιν ἀνθρώποις ἥκων· ἐξέτι γὰρ

σπαργάνων συμφθεγγομένη ἡ πρὸς τὰς ἐρήμους φιλοχωρία, οὐδενὸς οὐδέ ποτε τῶν ἀνθρωπίνων ἐπιδεὴς γενόμενος, συμφθεγγομένην τῷ τρόπῳ καὶ τὴν μορφὴν ἅμα καὶ τὴν στολὴν ἐφελκόμενος, ἀρχιέρεως υἱὸς ὑπάρξας· μαρτυροῦντά τε περὶ αὐτοῦ τὸν Ἡσαΐαν ἄντικρυς ἐπαγόμενος· τὸ γὰρ, φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, δηλαδὴ περὶ αὐτοῦ λέλεκται· καινός τις Ἠλίας ἐκ πάντων ἐπιδεικνύμενος· μᾶλλον δὲ κἀκείνου τί πλέον ἀναπείθων ἔχειν, ὅσῳ πλείους αἱ ἐν ἐρήμοις καθάπαξ διατριβαὶ, τῶν ἐν πόλεσιν· ἐν αἷς ὁ Ἠλίας ταύτῃ τοι καὶ αἰδέσιμος Ἰουδαίοις ὑπερφυῶς ἦν, καὶ τὴν ἐπίπληξιν φορητός.

v. 3. p. 49. a. Φωτίου καὶ Κυρίλλου Ἱεροσολύμων. Ἔξεστι δὲ ἴσως φρονεῖν τε καὶ λέγειν, ὡς παρεῖχε μὲν ἁμαρτημάτων ἄφεσιν καὶ τὸ τοῦ Προδρόμου βάπτισμα· οὐ πάντων δέ· ὥσπερ οὐδ' αἱ νομικαὶ τελεταὶ καὶ θυσίαι· οὐδὲ γὰρ τῶν ἐκ προνοίας φόνων, οὐδ' οὐδ' εἴ τις ἀλλοτρίους γάμους διώρυξεν, οὐδ' ὅσα τὸ φρικτὸν ἐκεῖνο καὶ οὐράνιον πῦρ τοῖς ἐνόχοις ζημίας ἐπέβαλλεν, οὐδ' ἄλλων πολλῶν ἐξαγίστων καὶ παραπλησίων ἔργων τὴν κάθαρσιν, οὔτε ὁ νόμος οὔτε τὸ Ἰωάννου διεπράττετο βάπτισμα· ἀλλὰ τούτων ἁπάντων ὁ μὲν νόμος ὅσα μὴ προλαβὼν ὁ πρῶτος νομοθέτης εἰσεπράττετο, δικαστὴν τὸ ξίφος ἐκάθιζε· τὸ δὲ Ἰωάννου βάπτισμα, εἰς τὸ κοινὸν καὶ σωτήριον, ὡς πολλῷ μεῖζον ὑπάρχον τῆς ἰδίας ἰσχύος, παρέπεμπε· παρεῖχε μὲν οὖν καὶ τὸ τοῦ Προδρόμου βάπτισμα, ὥσπερ εἴρηται, τὴν ἁμαρτημάτων ἄφεσιν· οὐ πάντων δέ· τοῦτο γὰρ τοῦ δεσποτικοῦ τὸ ἐξαίρετον· παρεῖχε δὲ, προευτρεπίζον τῷ σωτηρίῳ τὴν τελειότητα· καὶ λουτρὸν ἦν πρὸ λουτροῦ· καὶ ἄφεσις ἐκ μέρους, πρὸ τῆς παντελοῦς ἀφέσεως· καὶ ἀτελὴς κάθαρσις προοιμιαζομένη τὴν τελειοποιόν· καὶ καθαῖρον μὲν τὰ φθάσαντα τῶν ἁμαρτημάτων, οὐδὲν δ' ἀσφαλὲς οὐδ' ἐχέγγυον περὶ τῶν μελλόντων χαριζόμενον· τὸ δεσποτικὸν δὲ καὶ σωτήριον, πάντων μὲν τῶν προλαβόντων ῥύσιον, ῥώμης δὲ παρεκτικὸν καὶ ἰσχύος, μὴ κατὰ τὰς πρώτας ὀλισθήσεις ἔτι πρὸς τὰ πάθη κατασύρεσθαι· καὶ τὸ μὲν, εἰς τὴν τῶν οὐρανῶν ἀναφέρει βασιλείαν· καὶ τὸ μεῖζον πάντων, υἱοθεσίαν χαρίζεται· τὸ δὲ τινῶν μὲν ἄφεσιν παρέχει, οὔτε δὲ κληρουχίαν οὐρανῶν βασιλείας, οὐδὲ πολλῷ μᾶλλον πρὸς υἱοθεσίας ἀναβιβάζει ἀξίωμα· ἐντελέστερον δὲ περὶ τούτων, ἐν τῷ Ἰωάννῃ καὶ τῷ Ματθαίῳ εἴρηται· ἐκεῖσε οὖν τοὺς φιλολόγους παραπέμψαντες, ἡμεῖς ἐπὶ τὰ ἐχόμενα ἴωμεν.

v. 8. p. 51. b. Βασιλείου. Ἁπλῶς τὰ ἀντικείμενα τῇ ἁμαρτίᾳ ἔργῳ δικαιοσύνης, ἅπερ ὁ μετανοῶν, καρποφορεῖν ὀφείλει.

p. 52. a. Τοῦ αὐτοῦ. Οὔτε γὰρ ἵππον ταχὺν ποιεῖ ἡ τοῦ πατρὸς περὶ τὸν δρόμον εὐμοιρία, οὔτε κυνὸς ἐγκώμιον, τὸ ἐκ ταχυτάτων φῦναι· ἀλλ' ὥσπερ τῶν ἄλλων ζώων ἡ ἀρετὴ ἐν ἑαυτῷ θεωρεῖται ἑκάστῳ, οὕτω καὶ ἀνδρὸς ἴδιος ἔπαινος, ὁ ἐκ τῶν ὑπαρχόντων αὐτῷ κατορθωμάτων μαρτυρούμενος· αἰσχρὸν δὲ ἀλλοτρίοις κόσμοις κοσμεῖσθαι, τῇ οἰκείᾳ ἀρετῇ μὴ διαφαίνοντα.

p. 52. b. Φωτίου. Τὸ οὖν, δύναται ὁ θεὸς ἐκ τῶν λίθων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ, κατὰ μὲν τὸ πρόχειρον, ἄνευ τινὸς βαθυτέρας ἐπινοίας, ἐκδιδάσκοι ἂν, ὅτι καθ' ὃν τρόπον ἐκ τῆς εὐδιαχύτου καὶ ἀπαγοῦς καὶ γεηρᾶς ὕλης συνέπηξεν ὁ θεὸς τῷ ζώῳ σῶμα, καὶ εἰς ἀνθρώπου φύσιν καὶ εἶδος διεμορφώσατο τὴν κόνιν, κατὰ τὸν αὐτὸν τρόπον ῥᾷον τε καὶ οὐδὲν ἐργῶδες ἐκ τῆς στερεωτέρας φύσεως τῶν λίθων, ἀνθρώπου ὑπόστασιν συντεθῆναι, θεοῦ τεχνίτου τὴν πλάσιν ἀναδεχομένου, καὶ τέκνα τοὺς γεγονότας ἐκ τοῦ τοιούτου φυράματος χρηματίσαι τοῦ Ἀβραάμ· οὐ γὰρ ἧττον εἰς θαῦμα, ἵνα μὴ λέγω καὶ μεῖζον, κόνιν εἰς ἀνθρώπου

συμπῆξαι τε καὶ συναρμόσαι σάρκα, καὶ λίθου φύσιν στεῤῥὰν εἰς σώματος ζώου μεταπλάσαι χρείαν· ἄλλως τε οὐ μόνον ὁ πρῶτος ἄνθρωπος ἐκ χοὸς παράδοξον ἔσχε τὴν γένεσιν, ἀλλὰ καὶ ἡ τοῦ Λὼτ γυνὴ εἰς στήλην ἁλὸς ἀπολιθωθεῖσα, τὴν τοῦ θεοῦ δύναμιν, ἀδιήγητόν τε καὶ ἀκατάληπτον ἀνακηρύττει ἐν τῷ ἀδιαλύτῳ τοῦ θαύματος, τὴν τῆς φύσεως ἀπόθεσιν ἄνευ ἐπιφανοῦς φθορᾶς, ἑτέρας μορφῆς ἐπιδεικνυμένη καὶ ὑποστάσεως γένεσιν· καὶ ὃ μὲν γέγονεν, οὐκ ἦν· ὃ δὲ μὴ οἷόν τε ἀνθρωπίνοις λογισμοῖς γενέσθαι, χωρὶς ὑπέστη τῆς τοῦ προτέρου διαλύσεως· ὁ τοίνυν θεὸς, ὁ ταῦτα παραδοξοποιῶν, καὶ τότε δίκην εἰσπραττόμενος γύναιον ἓν παραβάσεως ἐντολῆς, ὁ θέλων τὸν ἄνθρωπον σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τί οὐκ ἂν δράσειεν διὰ φιλίαν, εἰ λίθων ὄψεται φύσιν ἐπιτηδειοτέραν παρέχουσαν χρείαν εἰς τὸ γενέσθαι τέκνα τοῦ Ἀβραάμ· οὐ γὰρ οὕτω ῥᾷον τοῖς ἰουδαίοις τοῦ Ἀβραὰμ χρηματίζειν τέκνα, ὧν οὐκ ὀλίγον μέρος τοῦ γένους ἐξώσθησαν, ὡς τῷ θεῷ διὰ τῶν λίθων αὐτῷ πολλοὺς υἱοὺς ἀπεργάσασθαι· εἰ δέ τις ἐθέλοι καὶ προφητικὸν ἀνακηρύττειν τὸ ῥῆμα ἔργον, οἱ τότε ῥηθέντες λίθοι τῷ Προδρόμῳ, ἐξ ὧν τῷ Ἀβραὰμ ἐχρησμῴδησεν ἀνίστασθαι τέκνα, οὗτοι δὴ κατὰ τὸ ἑκούσιον τοῦ σωτῆρος πάθος τῷ δεσποτικῷ ῥαγέντες πάθει καὶ διασχισθέντες καὶ οἷον ἐγκύμονες γεγονότες τῷ θαύματι, πολλοὺς τῶν ἀνθρώπων, εἰς εὐσέβειαν ὠδίνησάν τε καὶ ἀπέτικον, οἷα δὴ λαμπρᾷ τῇ φωνῇ καὶ οὐρανίῳ κηρύγματι, τῷ καθ' ἑαυτοὺς παθήματι τῆς ἐπὶ τῷ σωτῆρι τόλμης καὶ πλάνης τοὺς ἀνθρώπους ἀνακαλοῦντες, καὶ πρὸς τὴν ἐπίγνωσιν τῆς ἀληθείας χειραγωγοῦντες, καὶ πρὸς τὸ τῆς παλιγγενεσίας δῶρον ὁρᾶν, ἀφορμὰς χαριζόμενοι· οὓς καὶ ἡ κοινωνία τῆς πίστεως, υἱοὺς Ἀβραὰμ νομίζειν οἶδε μᾶλλον, ἢ τοὺς ἐξ αἵματος· εἰ δὲ διὰ τοῦ γράμματος ἐπιβαίνειν τινὸς θεωρίας βούλει, λίθοι μὲν νοοῖντο, οἱ τῶν ἐθνῶν πεπωρωμένοι καὶ σκληροκάρδιοι· ἐξ ἐκείνων δὲ ὁ τοῦ Ἀβραὰμ κλῆρος ἀναπεπλήρωται, μεταβληθέντων ἐκ τῆς πωρώσεως ἐπὶ ὁρᾶν τὸ σωτήριον· καὶ ἐκ τῆς ἑλληνικῆς πλάνης, εἰς τὴν μυσταγωγίαν τοῦ πνεύματος.

Βασιλείου. Ἐντεῦθεν μανθάνομεν, ὅτι πᾶν ὃ ἂν ἔχῃ τὶς πλέον τοῦ ἐπιδεομένου τῶν v. 11.
πρὸς τὸ ζῆν ἀναγκαίων, ὀφειλέτης ἐστὶν ἐκεῖνον εὐεργετῆσαι, κατ' ἐντολὴν τοῦ κυρίου τοῦ καὶ δεδωκότος ἃ ἔχομεν· τί γάρ, φησιν; ἔχεις ὃ οὐκ ἔλαβες; καὶ πάλιν· τὸ ὑμῶν περίσσευμα, εἰς τὸ ἐκείνων ὑστέρημα· κἀνταῦθα ὁ ἔχων δύο χιτῶνας ἢ βρώματα, μεταδότω τῷ μὴ ἔχοντι.

Τοῦ αὐτοῦ. Καί γε τὸ τοῦ πυρὸς βάπτισμα, τὴν ἐν τῇ κρίσει δοκιμασίαν δηλοῖ, καθώς φησιν ὁ ἀπόστολος· ἑκάστου ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· καὶ πάλιν· ἡ γὰρ ἡμέρα δηλώσει ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.

Τοῦ αὐτοῦ. Τοῦ κυρίου διακόπτοντος φλόγα πυρὸς καὶ μερίζοντος, ὡς σλαμπὲς μὲν εἶ- v. 16. p. 54. a.
ναι τὸ πῦρ κολάσεως, ἄκαυστον δὲ τὸ φῶς ἀπομεῖναι τῆς ἀναπαύσεως· φησὶ δέ που καὶ Ἡσαΐας, ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Σιών, καὶ τὸ αἷμα Ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως· τρανῶς τὰ αὐτὰ τῷ Ἰωάννῃ προαγορεύων, περὶ τοῦ κυρίου λέγοντι, ὅτι αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί· περὶ δὲ ἑαυτοῦ, ὅτι ἐγὼ ὑμᾶς βαπτίζω ἐν ὕδατι, εἰς μετάνοιαν· ἐπεὶ οὖν ἀμφότερα συνῆψεν ὁ κύριος, τό τε ἐξ ὕδατος εἰς μετάνοιαν, καὶ τὸ ἐκ πνεύματος εἰς ἀναγέννησιν, καὶ ὁ λόγος ἀμφότερα αἰνίσσεται τὰ βαπτίσματα, μή ποτε τρεῖς εἰσὶν αἱ ἐπίνοιαι τοῦ βαπτίσματος, ὅ τε τοῦ ῥύπου καθαρισμὸς, καὶ ἡ διὰ τοῦ πνεύματος ἀναγέννησις,

ο

καὶ ἐν τῷ πυρὶ τῆς κρίσεως βάσανος; ὥστε τὸ μὲν ἐκπλύνειν, πρὸς τὴν ὧδε ἀπόθεσιν τῆς ἁμαρτίας λαμβάνεσθαι· τὸ δὲ πνεύματι κρίσεως καὶ πνεύματι καύσεως, πρὸς τὴν ἐν τῷ μέλλοντι αἰῶνι διὰ τοῦ πυρὸς δοκιμασίαν· δέονται δὲ αἱ μὲν κατὰ ἄγνοιαν ἁμαρτίαι, οἱονεὶ ῥύπος τὶς οὖσαι, τὴν ἐπιφάνειαν τῆς ψυχῆς ἀφανίζουσαι, καὶ τῷ φυσικῷ κάλλει αὐτῆς λυμαινόμεναι, τοῦ τῆς ἐκπλύσεως καθαρισμοῦ· αἱ δὲ πρὸς θάνατον ἁμαρτίαι τῶν ἑκουσίως ἐξαμαρτανόντων μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν, αἷμα προσαγορεύονται, δεόμεναι τῆς ἐν τῷ καύματι κρίσεως· ἔστι δὲ καὶ ἁπλούστερον ἐκλαβεῖν, ὅτι τὰ μὲν ἐπιπόλαια τῶν ἁμαρτημάτων, ῥύπῳ τινὶ ἔοικε· τὰ δὲ διὰ βάθους ἐκ διαθέσεως τῆς πρὸς τὸ κακὸν ἁμαρτανόμενα, αἵματι παρεικάζεται, διὸ καὶ διὰ τῆς τοῦ πνεύματος καύσεως ἐκκαθαρίζεσθαι τὸ αἷμα λέγεται· ῥητέον δὲ καὶ οὕτως.

p. 54. b. Κοσμᾶ μοναχοῦ. Ἐν πυρὶ βαπτίζει τελευταίῳ Χριστὸς τοὺς ἀπειθοῦντας καὶ μὴ θεὸν φρονοῦντας αὐτόν· ἐν πνεύματι δὲ, καινοποιεῖ δι' ὕδατος χάριτι τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

Βασιλείου. Μηδένα δὲ παρακρουέσθω τὸ τοῦ ἀποστόλου, ὡς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ πνεύματος ἐπὶ τῆς τοῦ βαπτίσματος μνήμης πολλάκις παραλιμπάνοντος· μὴ δὲ διὰ τοῦτο ἀπαρατήρητον οἰέσθω τὴν ἐπίκλησιν εἶναι τῶν ὀνομάτων· ὅσοι, φησὶν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· καὶ πάλιν· ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθητε· ἡ γὰρ τοῦ Χριστοῦ προσηγορία, τοῦ παντός ἐστιν ὁμολογία· δηλοῖ γὰρ τόν τε χρίσαντα θεὸν, καὶ τὸν χρισθέντα υἱὸν, καὶ τὸ χρίσμα τὸ πνεῦμα· φαίνεται μέντοι ποτὲ καὶ μόνου τοῦ πνεύματος ἐπὶ τοῦ βαπτίσματος μνημονεύσας· πάντες γάρ φησιν ἐν ἑνὶ σώματι, εἰς ἓν πνεῦμα ἐβαπτίσθημεν· συμφωνεῖ δὲ τούτῳ, καὶ τὸ αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ· ἀλλ' οὐ παρὰ τοῦτο τέλειον ἄν τις εἴποι βάπτισμα ᾧ μόνον τὸ ὄνομα τοῦ πνεύματος ἐπεκλήθη· χρὴ γὰρ ἀπαράβατον μένειν ἀεὶ, τὴν ἐν τῇ ζωοποιῷ χάριτι δεδομένην παράδοσιν· τὸν γὰρ προσθεῖναί τι ἢ ἀφελεῖν, ζωῆς ἐστι προδήλως τῆς αἰωνίου ἔκπτωσις· ὡς γὰρ πιστεύομεν, οὕτω καὶ βαπτιζόμεθα εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ταῦτα ἡμῖν εἰρήσθω εἰς τὸ, αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί.

Τοῦ Μεταφράστου. Οὕτως οὐκ ἐπῆρε τὸν Βαπτιστὴν ἡ πάντων περὶ αὐτοῦ ἀπόνοια· οὔτε μὴν ὅλως ἐφάνη τῶν πρωτείων μεταποιούμενος, ἀλλὰ τὴν ἐσχάτην ἑαυτῷ μᾶλλον περιάπτων εὐτέλειαν· τί γὰρ ἕτερον ἡ τοῦ ἱμάντος δήλωσις, ἢ τὸ ἀπαγορεύειν τὴν πρὸς τὸν Ἰησοῦν ὅλως παράθεσιν, καὶ μὴ δὲ ψιλὸν αὐτὸν λέγειν φημὶ τὸν ἱμάντα τοῦ ὑποδήματος, ἱκανὸς εἶναι λύειν; ἄλλως τε καὶ παρὰ ἰουδαίων διὰ τῆς τῶν ἱερέων καὶ λευϊτῶν ἀποστολῆς ἐρωτώμενος, ὡμολόγησε ταύτην· ὅτι περ αὐτὸς ἄντικρυς ἐστὶν ὁ Χριστὸς, πάντα ποιούντων ὥστε συναρπάσαι τὸν Βαπτιστήν· εἰς τοῦτο γὰρ μετὰ τῶν ἄλλων αὐτοῖς ἔφερε, καὶ ἡ τοῦ, τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστὸς, ἐρώτησις.

v. 17. p. 56. b. Κοσμᾶ μοναχοῦ. Ταῦτά τοι γεωργὸς ὁ καὶ δημιουργὸς, μέσος ἑστηκὼς ὡς εἷς ἁπάντων καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος τὴν παγκόσμιον ἅλωνα, πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων, εὐκαρποῦσιν αἰώνιον ζωὴν χαριζόμενος.

Φωτίου. Ἀλλὰ τί δή ποτε ὁ Βαπτιστὴς εἰπὼν περὶ τοῦ Χριστοῦ ὅτι βαπτίσει ἐν πνεύματι ἁγίῳ, ἐπήγαγεν ὅτι τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ; ἐπειδὴ τὸ, βαπτίσει ἐν πνεύματι, τὸν πλοῦτον

τῆς δωρεᾶς καὶ τὸ ὀφειλὲς τῆς εὐεργεσίας παρίστησι· καὶ γὰρ ἀπολύτρωσιν καὶ υἱοθεσίαν παρεχόμενος, πανταχόθεν ἡμᾶς περιαντλεῖ τοῖς τῆς χάριτος ἀειῤῥύτοις νάμασι· ταῦτα εἰπὼν τὰ σωτήρια, καὶ πολλῆς τῆς περὶ ἡμᾶς φιλοτιμίας γέμοντα, ἵνα μὴ δόξῃ τισὶν ὡς δωρήσασθαι μὲν τηλικαῦτα δῶρα παρῆν τῷ σωτῆρι βούλησίς τε καὶ δύναμις, τιμωρήσασθαι δὲ καὶ κολάσαι τοὺς ὑπευθύνους καὶ ἀπειθεῖς, οὐδεὶς αὐτῷ λόγος περιῆν· διὰ τοῦτο ἐπήγαγε διορθούμενος τὴν ἀπάτην αὐτῶν, ὅτι τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ ἐςι· τουτέςιν οὐ μόνον ἐστὶν εὐεργετικὸς καὶ χορηγὸς ἄφθονος τοῖς ἐπιτηδείοις τῶν ἀγαθῶν, ἀλλὰ καὶ κολαςικὸς τῶν ἐκθέσμων ἔργων, καὶ τῶν παραβάσεων τιμωρητικός· τὸ γὰρ πτύον, ἐν τῇ χειρὶ αὐτοῦ· ἀντὶ τοῦ, πρόχειρος αὐτῷ ἡ ἀνταποδοτικὴ τῶν φαύλων πράξεων τιμωρία, ὥσπερ δὴ καὶ τῶν καλῶν ἡ ἀντιμισθία ἀνὰ χεῖρας αὐτῷ, ἡ διακρίνουσα καὶ χωρίζουσα δύναμις καὶ ἐξουσία τοὺς ἐνόχους τιμωρίας, τῶν ἀξίων τῆς εὐεργεσίας· ἐξ οὗ τὸν μὲν σῖτον ὃ νῦν ὁ τῶν δικαίων ὀνομάζεται χορὸς, εἰς τὰς ἄνω μονὰς ἀποθησαυρίζει τὰς αἰωνίους· οἷς δὲ τὸ ἀμεταμέλητον κακοῦ προσθήκη τοῖς ἡμαρτημένοις συνεφέλκεται, τούτους πυρὶ ἀσβέστῳ παραπέμπει τὴν τιμωρίαν οὐκ ἔχοντι λήγουσαν· εἰκότως δὲ τὸ ἐν τῇ χειρὶ αὐτοῦ πτύον, τὸ πρόχειρον αἰνιγματίζει καὶ ἕτοιμον· οὐ γὰρ μελέτῃ καὶ χρόνῳ, καὶ λογισμῶν ἐρεύνῃ διαχωρίζει τῶν βελτιόνων τοὺς χείρονας, ἀλλ' ἐκ τοῦ εὐθέος καὶ παραχρῆμα διαστέλλει τῆς σωζομένης μοίρας τὸ τιμωρούμενον· ἠβουλήθη γὰρ, ἠκολούθησεν ἡ διάκρισις· προῆλθεν ἡ κρίσις, καὶ ἡ τιμωρὸς συμπροῆλθε δίκη· ἀθρόα γὰρ ἐνώπιον θεοῦ πάντα, ἐπεὶ καὶ ἡ τιμωρὸς ἐνέργεια καὶ δίκη, πάρεδρός ἐστι καὶ ὑπηρέτης τῶν τοῦ θεοῦ κριμάτων, ὥσπερ ἡ ἄφθονος καὶ φιλάνθρωπος καὶ κρείττων ἀμοιβῆς ἀνταπόδοσις, δι' ἧς ἡμῖν τὰ ἀμείνω πρυτανεύεται· σῖτον μέν τοι ὀνομάζει τὰ ἱερὰ λόγια· ἐκείνους, οἵ τινες την ἐξ ἀρχῆς εὐγένειαν φυλαξάμενοι, καὶ τῆς θεόθεν τῇ φύσει καταβληθείσης ἀρχεγόνου τε καὶ σωτηρίου σπορᾶς τὸ ἀνόθευτον καὶ καθαρὸν μέχρις αὐτῆς τῆς καρποφορίας, διεσώσαντο· ἄχυρον δὲ καὶ πυρὸς δαπάνην, οἷς ἡ ἐπιμιξία τῶν ζιζανίων παραφυεῖσα, τὴν τοῦ πνεύματος γεωργίαν ἐναπέπνιξε, καὶ ἀτελεσφόρητον ἀπειργάσατο· καὶ πρὸς τὴν τῶν σκυβάλων ἀχρηςίαν, τὴν τῶν καρπῶν ἐλπιζομένην ἀπέῤῥιψαν ὡραιότητα.

Βίκτωρος. Τίνος χάριν τοῦτο ἐπισημαίνεται ὁ εὐαγγελιστής; ἵνα μήτις νομίσῃ ταῦτα μό- v. 18. p. 57. a.
να εἰρῆσθαι παρὰ τοῦ Βαπτιστοῦ πρὸς τὸν λαόν· ἀλλὰ προσενθυμεῖτο καὶ τὰ σεσιγημένα, ὧν ἔνια μετὰ ταῦτα ὁ θεολόγος Ἰωάννης, τῷ κατ' αὐτὸν εὐαγγελίῳ ἐνέταξεν· οἷον, ὅτι ἐκ τοῦ πληρώματος τοῦ Χριστοῦ πάντες ἐλάβομεν· καὶ ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ ὅτι ἐκεῖνος μὲν, νυμφίος· αὐτὸς δὲ, φίλος καὶ νυμφαγωγός· κἀκεῖνον δεῖ αὐξάνειν, αὐτὸν δὲ ἐλαττοῦσθαι· ἅμα δὲ καὶ ἐπιτέμνει τὰ κατὰ τὸν Βαπτιστὴν ὁ Λουκᾶς, μέλλων ἤδη περὶ τοῦ κυρίου διηγεῖσθαι· διὸ καὶ τοῦ Βαπτιστοῦ ἐμνημόνευσε· τίνα δὲ τὰ πολλὰ ἐκεῖνα, αὐτός τε τῇ ἀοριςίᾳ ἐκάλυψε, καὶ ἡμεῖς ἐσφραγισμένα καὶ συγκεκαλυμμένα παρελευσόμεθα· μὴ τῷ λόγῳ δημοσιεύσαντες, τὰ τῇ σιγῇ τιμηθέντα.

Τοῦ Μεταφράστου. Ἐπισημαίνεται τὸ ἀξίωμα ὁ εὐαγγελιςὴς, ἵνα πρὸς τὸν ἕτερον αὐτὸν Ἡρώ- p. 57. b.
δην εὐκρινῶς ἀντιδιαςείλῃ, ἐφ' οὗ Χριςὸς ἐγεννήθη· ἐκεῖνος γὰρ βασιλεὺς ἦν, οὗτος δὲ τετράρχης· ἐκείνου γὰρ οἰκείους ὧν εἰργάσατο δρεψαμένου καρποὺς, καὶ ὅλον τὸ σῶμα θεηλάτῳ πληγῇ βληθέντος, καὶ κακοῦ κακῶς ὀλωλότος, τετραχῶς αὐτοῦ ἡ βασιλεία διῃρέθη· Ἀρχελάου μὲν, Ἰουδαίας ἄρχοντος· τοῦ δὲ ὁμωνυμοῦντος αὐτῷ Ἡρώδου, καὶ Φιλίππου, καὶ Λυσανίου, τοῦ μὲν,

τῆς Γαλιλαίας· τοῦ δὲ, τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας· τοῦ τελευταίου δὲ, Ἀβιληνῆς τετραρχοῦντος· οὐ παρέλκουσα οὖν τῷ εὐαγγελιστῇ ἡ τοῦ τετράρχου προσθήκη· ὁ Ἡρώδης γάρ, φησιν, ὁ τετράρχης· ἀλλ᾽ ὥστε τοῦτον ἀντιδιαστεῖλαι πρὸς τὸν πατέρα αὐτοῦ, Ἡρώδην καὶ αὐτὸν ὁμωνύμως καλούμενον· οὗτος τοίνυν ὁ τετράρχης, καὶ ἐφοβεῖτο τὸν Ἰωάννην, καὶ ἡδέως αὐτοῦ ἤκουε· τὸ μὲν γάρ, ἀπὸ τῆς τοῦ συνειδότος εἶχε κατακρίσεως, διεφθαρμένος ὢν τὸν βίον, καὶ κομιδῇ πλημμελής· τὸ δὲ, ἀπὸ τῆς τοῦ λέγοντος ἀρετῆς· καὶ οὕτω μὲν, ἀρετὴ δυσωπεῖν οἶδε καὶ τοὺς παντάπασιν ἀλλοτρίους· ἀλλ᾽ ἰσχυρὸν οὕτως ἀκόλαστος ἐπιθυμία, καὶ ψυχὴν δουλῶσα, τῶν πάντων ἀνυσιμώτατον, ὥσπερ ἄρα καὶ τὸν Ἡρώδην ἀθλίως σφόδρα διέθηκε, καὶ ὡς ἀνδραπόδῳ τῷ βασιλεῖ, φεῦ ἐχρήσατο· ὃς ὑπεριδὼν τῆς κατὰ νόμους αὐτῷ γεγενημένης γυναικὸς, καὶ τὸ πρὸς αὐτὴν ἀτιμάσας φίλτρον, Ἀρέτα δὲ ἦν αὕτη τοῦ βασιλέως Ἀῤῥάβων θυγάτηρ, τοὺς πρὸς Ἡρωδιάδα κενοὺς ἔρωτας, τοῦ παντὸς ἠξίου· ταύτην γὰρ γυναῖκα οὖσαν τοῦ ἀδελφοῦ Φιλίππου, παρανόμως οὗτος ἠγάγετο, σπέρμα ἤδη τοῦ ἀδελφοῦ ἔχουσαν· ἐκείνοις γὰρ ἐφεῖτο μόνοις τοῦτο ποιεῖν, τοῖς παίδων ἄνευ ἀπολιποῦσι τὸν βίον· ἐφεῖτο δὲ κατὰ πρόνοιαν πάντως τοῦ ἀναστῆσαι σπέρμα τοῖς ἀδελφοῖς· τὴν δὲ Ἡρωδιάδα, καὶ ζῶντος ἔτι τοῦ ἀνδρὸς, ὡς Ἰώσηπος ἱστορεῖ, Ἡρώδης διαστήσας, πόλεμον αἱρεῖται πρὸς Ἀρέταν, ὡς ἂν ἠτιμασμένης αὐτῷ τῆς θυγατρὸς, ἐν ᾧ πολέμῳ πάντα φησὶ τὸν Ἡρώδου στρατὸν διαφθαρῆναι· καὶ ταῦτα πεπονθέναι τῆς ἐπιβουλῆς ἕνεκεν τῆς κατὰ τοῦ Ἰωάννου γεγενημένης· τέως μέν τοι ἐπὶ τούτοις ὁ Βαπτιστὴς τὸν Ἡρώδην ἐλέγχων, ᾄδειν πρὸς κωφῷ ἐῴκει, καὶ νεκρῷ πρὸς οὖς διαλέγεσθαι· καί τοι γε ἡδέως αὐτοῦ πρότερον εἰώθει ἀκούειν, πολύ γε εἰδὼς αὐτὸν ἔχειν τὸ δυσωπικὸν καὶ αἰδέσιμον· ἀλλ᾽ ὁ πρὸς Ἡρωδιάδα ἔρως ἰσχυρότερος αὐτῷ ἐμπεσὼν, τῶν Ἰωάννου λόγων ἀμελεῖν ἐποίει· καὶ τὸν μὲν, ἐδίδου τῇ φυλακῇ δέσμιον παραπεμφθέντα εἰς Μαχαιροῦντα τὸ φρούριον, Ἡρωδιάδος δὲ μᾶλλον ἡδέως παρεῖχεν ἀκούειν, καὶ τῶν αὐτῆς ἱμέρων ἐπιμελῶς γίνεσθαι· ὁ δ᾽ αὐτὸς Ἰώσηπος ἱστορεῖ καὶ τῆς βασιλείας διὰ τὴν αὐτὴν Ἡρωδιάδα τὸν Ἡρώδην ἐκπεπτωκέναι, μεθ᾽ ἧς αὐτὸν καὶ εἰς τὴν ὑπερορίαν ἀπεληλάσθαι, Βίενναν τῆς Γαλλίας πόλιν οἰκεῖν καταδικασθέντα.

p. 58. b. Ἁγίου Ἰγνατίου. Ἐγεννήθη καὶ ἐβαπτίσθη, ἵνα τὸ θνητὸν ἡμῶν καθαρισθῇ.

p. 62. b. Βασιλείου. Βέλτιον πλουτοῦντας ἡμᾶς ὑπὲρ τῆς φυλακῆς τῶν τιμίων ἀγωνιᾷν, ἢ μὴ δὲ ἔχειν τὴν ἀρχὴν, ὃ φυλάξομεν· οὐδεὶς φόβῳ τῶν στερήσεων, τὰ ἀγαθὰ ἀπωθεῖται· οὕτω γὰρ ἂν οὐδὲν τῶν ἀνθρωπίνων συνέστη, εἰ ἐφ᾽ ἑκάστῳ τῶν σπουδαζομένων τὰς ἀποτυχίας ἐλογιζόμεθα· παράκειται γὰρ τῇ γεωργίᾳ μὲν, ἡ ἀφορία· ταῖς ἐμπορίαις δὲ, τὰ ναυάγια· τοῖς γάμοις, αἱ χηρεῖαι· ταῖς παιδοτροφίαις, αἱ ἀτεκνώσεις· ἀλλ᾽ ὅμως, ἐγχειροῦμεν τοῖς ἔργοις· ταῖς χρηστοτέραις ἐλπίσιν ἐπερειδόμενοι· τὴν δὲ τῶν ἐλπισθέντων ἔκβασιν ἀνατιθέντες, τῷ τὰ ἡμέτερα οἰκονομοῦντι Θεῷ.

v. 36.
p. 69. a. Τοῦ αὐτοῦ. Ἔνιοι δὲ καὶ τὸ, ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτὰ θεωροῦντες, πρὸς τοιοῦτον ὥρμησαν λόγον, οὐκ ἀπᾴδοντα τοῦ ἐκκλησιαστικοῦ δόγματος, ὅτι ἀπὸ τοῦ Κάϊν ἕως τοῦ κατακλυσμοῦ ἑπτὰ παρεληλύθασι γενέαι, καὶ εὐθέως ἐπήχθη πάσῃ τῇ γῇ ἡ τιμωρία, διὰ τὸ πολλὴν γενέσθαι σύγχυσιν τῆς ἁμαρτίας· τὸ δὲ ἁμάρτημα τοῦ Λάμεχ, οὐ κατακλυσμοῦ ἐδεῖτο πρὸς θεραπείαν, ἀλλ᾽ αὐτοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀρίθμησον τοίνυν ἀπὸ τοῦ Ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ Χριστοῦ τὰς γε-

νεάς, καὶ εὑρήσεις κατὰ τὴν τοῦ Λουκᾶ γενεαλογίαν, τῇ ἑβδομηκοστῇ ἑβδόμῃ διαδοχῇ γε-
γεννημένον τὸν κύριον.

## C A P. IV.

Τοῦ αὐτοῦ. Φαίνεται οὖν ὁ κύριος τὰ μὲν φυσικὰ πάθη παραδεξάμενος, εἰς βεβαίω- v. 2. p. 73. a.
σιν τῆς ἀληθινῆς καὶ οὐ κατὰ φαντασίαν ἐναθρωπήσεως· τὰ δὲ ἀπὸ κακίας πάθη, ὅσα τὸ
καθαρὸν τῆς ζωῆς ἡμῶν ἐπιῤῥυπαίνει, ταῦτα ὡς ἀνάξια τῆς ἀχράντου θεότητος ἀπωσάμενος.

Νηστείᾳ τοίνυν τὴν σάρκα, ἣν ὑπὲρ ἡμῶν ἀνέλαβεν ὀχυρώσας, οὕτως ἐν αὐτῇ τοῦ δια-
βόλου τὰς προσβολὰς ὑπεδέξατο· ἡμᾶς τὲ παιδεύων νηστείαις ἀλείφειν, καὶ παιδοτρίβειν ἑαυ-
τοὺς πρὸς τοὺς ἐν τοῖς πειρασμοῖς ἀγῶνας, καὶ τῷ ἀντιπάλῳ διὰ τῆς ἐνδείας, οἷον λαβὸν
ἐνδιδοὺς· ἀπρόσιτος γὰρ ἦν αὐτῷ διὰ τὸ ὕψος τῆς θεότητος, εἰ μὴ διὰ τῆς ἐνδείας ὑπέβη
πρὸς τὸ ἀνθρώπινον.

Τοῦ αὐτοῦ. Ὅρα μή σε πλανήσῃ ὁ ἐχθρὸς τῇ τοῦ προπάτορος ἁμαρτίᾳ· καὶ τὸ τάχος σε p. 74. b.
ἐκβάλῃ τοῦ παραδείσου τῆς τρυφῆς· ὁ γὰρ τὸν Ἀδὰμ τῇ τῆς βρώσεως κλοπῇ ὑφελκύσας
τῆς ζωῆς, προσδοκήσας δὲ καὶ Ἰησοῦν ὑποσκελίζειν, οὐκ ἐντραπήσεται πολλῷ μᾶλλον καὶ σοὶ
κεράσαι τὸ πρῶτον αἴτιον τῶν κακῶν δηλητήριον τοῦτο γινώσκων· τὸ γὰρ τῆς γαστριμαργίας
πάθος, οὐκ ἐν πλήθει βρωμάτων τὴν οἰκείαν ἰσχὺν ἐπιδείκνυσθαι πέφυκεν, ἀλλ' ἐν ἐπιθυ-
μίᾳ βραχείας τινὸς γεύσεως· εἰ τοίνυν ἐπιθυμία βραχείας τινὸς γεύσεως ἰσχύσει σε ὑποβα-
λεῖν τῷ τῆς γαστριμαργίας πάθει, ἀκαμάτως σε τῷ θανάτῳ παραδώσει· καὶ ἵνα συνελὼν
εἴπω, εἰ κρατήσεις γαστρὸς, οἰκήσεις τὸν παράδεισον· εἰ δὲ κρατηθῇς, γέγονας θανάτου παρ-
ανάλωμα.

Τοῦ αὐτοῦ. Τί δὲ τὸ εὐαγγελίσασθαι πτωχοῖς; τὸ τοῖς ἀπὸ τῶν ἐθνῶν κηρύξαι τὰ v. 18. p. 78. b.
ἀγαθά· τί τὸ συντετριμμένους τὴν καρδίαν ἰάσασθαι; τὸ θεραπεῦσαι τοὺς συντριβέντας τὴν
ψυχὴν ὑπὸ τοῦ σατανᾶ, τοὺς κατὰ τὴν ἁμαρτίαν πορευομένους· διότι ταπεινωτικὴ μάλιστα
πάντων ἡ ἁμαρτία· ἄντικρυς δὲ καὶ Δαβὶδ προφητεύων περὶ τῆς ἐπιδημίας τοῦ κυρίου τῆς
ἐν σαρκὶ, καὶ ταύτην ἐγγίζουσαν ἤδη καὶ οὐ μακρὰν ἀφεστηκυῖαν προαγγέλλων ἔψαλλεν, ἐγ-
γὺς τοῖς συντετριμμένοις τὴν καρδίαν· ἐπειδὴ γὰρ ἰατρὸς ἀπεστέλλετο τῶν συντετριμμένων τὴν
καρδίαν, ἐγγύς φησι κύριος ἐστιν ὑμῖν, εὐθυμοποιῶν ὑμᾶς, καὶ εἰς μακροθυμίαν ἀνάγων, τῇ
χαρᾷ τῶν προσδοκωμένων.

Τοῦ αὐτοῦ. Καὶ φωνὴ ἀπὸ νηστεύοντος στόματος ἐξελθοῦσα, ἔκλεισε τῷ παρανομοῦντι v. 25. p. 78. b.
λαῷ τὸν οὐρανὸν τρία ἔτη καὶ μῆνας ἕξ· ἵνα γὰρ μαλάξῃ τὴν καρδίαν τῶν σκληροκαρδίων,
εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι· διὰ τοῦτο ἐπήγαγε παντὶ τῷ λαῷ νη-
στείαν διὰ τοῦ λιμοῦ, ὥστε τὴν ἐκ τῆς τρυφῆς καὶ τοῦ ἀνειμένου βίου κακίαν ἐπανορθώσα-
σθαι· ἐπειδὴ γὰρ εἶδε πολλὴν ἐκ τοῦ κόρου τικτομένην τὴν ὕβριν, ἀναγκαίως αὐτοῖς τὴν ἀκού-
σιον ἐκ τοῦ λιμοῦ νηστείαν ἐπήγαγε, δι' ἧς πρὸς τὸ ἄμετρον ἤδη χεομένην αὐτῶν τὴν ἁμαρ-
τίαν ἔστησεν, οἷον καυτῆρι τινὶ ἢ τομῇ τῇ νηστείᾳ τὴν εἰς τὸ πλέον πρόοδον τοῦ κακοῦ δια-
κόψας· καὶ τὸν μὲν, ὁ Κάρμηλος εἶχεν ὄρος ὑψηλὸν καὶ ἀοίκητον, ψυχὴ δὲ ἦν τῷ δικαίῳ
τὰ πάντα· καὶ τῆς ζωῆς ἐφόδιον, ἡ πρὸς θεὸν ἐλπίς· ζῶν δὲ οὕτως, λιμῷ τὴν ζωὴν οὐκ
ἀπήλλαξεν, ἀλλ' οἱ ἁρπακτικώτατοι καὶ μάλιστα γαστρίμαργοι τῶν ὀρνίθων, οὗτοι διεκόμιζον τὰ
σῖτα· καὶ τροφῆς ἐγίνοντο τῷ δικαίῳ διάκονοι, οἱ τὰς ἀλλοτρίας τροφὰς ἐκ συνηθείας ἁρπά-

ζοντες, καὶ τῷ δεσποτικῷ προςάγματι, τὴν φύσιν διήμειψαν· πιςοὶ φύλακες γενόμενοι τῶν ἄρτων καὶ τῶν κρεῶν· ταῦτα γὰρ τῷ ἀνδρὶ φέρειν τοὺς κόρακας παρὰ τῆς πνευματικῆς ἱςορίας ἐμάθομεν.

p. 79. a. Τοῦ αὐτοῦ. Καὶ πᾶσα δὲ ψυχὴ χηρεύουσά τε καὶ ἀρετῆς ἔρημος καὶ γνώσεως Θεοῦ, ἐπειδὰν τὸν θεῖον καὶ διαγνωςικὸν ὑποδέξηται λόγον, εἰς μνήμην ἐρχομένη τῶν αὐτῆς ἁμαρτημάτων, διδάσκεται ἀρετῶν ἄρτοις τρέφειν τὸν διατρέφοντα λόγον, καὶ ποτίζειν ἀληθείας δόγμασι τὴν πηγὴν τῆς ζωῆς· καὶ αὐτῆς τῆς φύσεως τὴν εἰς αὐτὸν προκρίνειν θεραπείαν, δι' ἧς ἥ τε ὑδρία σὰρξ, τὴν ἐπὶ ταῖς ἀρεταῖς πρακτικὴν συντονίαν χορηγήσει· καὶ ὁ καμψάκης νοῦς τὴν τὸ φῶς συντηροῦσαν τῆς γνώσεως θεωρίαν διηνεκῶς πηγάσειε· καὶ ὁ ἔμφυτος λογισμὸς, ὥσπερ ἐκεῖ τῆς χήρας ὁ υἱὸς τὴν ἐμπαθῆ πρότερον ἀποθέμενος ζωὴν, τῆς παρὰ τοῦ λόγου διδομένης θείας καὶ ἀπαθοῦς γενέσθαι μέτοχος ἀξιωθήσεται ζωῆς.

p. 79. b. Τοῦ αὐτοῦ. Καὶ μὴ ὀκνήσῃς ἐκ τοῦ ὀλίγου δοῦναι, ἀλλὰ κἂν εἷς ἕνα ἄρτον περιςῇ ἡ τροφὴ, ἐπιςῇ δὲ ταῖς θύραις ὁ ζητῶν, προκόμισον ἐκ τοῦ ταμιείου τὸν ἕνα, καὶ ἐπιθεὶς ταῖς χερσὶ, καὶ πρὸς οὐρανὸν ἀνατείνας, εἰπὲ λόγον ἐλεεινὸν ὁμοῦ καὶ εὐγνώμονα· εἷς ἄρτος ὃν ὁρᾷς κύριε, καὶ ὅτι κίνδυνος προφανής· ἀλλ' ἐγὼ τὴν σὴν ἐντολὴν ἐμοῦ προτίθημι· καὶ ἐκ τοῦ ὀλίγου δίδωμι τῷ λιμώττοντι ἀδελφῷ· δὸς δὴ καὶ σὺ τῷ κινδυνεύοντι δούλῳ· οἶδα σου τὴν ἀγαθότητα· θαῤῥῶ καὶ τῇ δυνάμει· οὐχ' ὑπερτίθεσαι εἰς χρόνον τὰς χάριτας, ἀλλὰ σκεδαννύεις ὅταν ἐθέλῃς τὰς δωρεάς· κἂν οὕτως εἴπῃς καὶ πράξῃς, ὃν δίδως ἐκ τῆς ςενώσεως ἄρτον, σπέρμα γίνεται γεωργίας, πολύχουν ἀπογεννᾷ τὸν καρπόν· εἰπὲ καὶ σὺ τῆς χήρας τῆς σιδωνίας ῥῆμα ἐν τοῖς ὁμοίοις· ζῇ κύριος, ὅτι τοῦτον ἔχω ἐν τῇ οἰκείᾳ μου μόνον, εἰς διατροφὴν ἐμοὶ καὶ τοῖς παιδίοις· κἂν δῷς ἐκ τοῦ λείποντος, ἕξεις καὶ σὺ τὸν καμψάκην τοῦ ἐλαίου τῇ χάριτι βρύοντα, τὴν ὑδρίαν τῶν ἀλεύρων ἀκένωτον· ἐπὶ γὰρ τῶν πιστῶν φιλοτίμως ἡ τοῦ Θεοῦ χάρις μιμεῖται τὰ φρέατα τὰ ἀεὶ κενούμενα καὶ μὴ ἐξαντλούμενα, τὸ διπλοῦν ἀντεισάγουσα.

v. 42. p. 82. b. Βίκτωρος. Ἀναχωρήσας οὖν εἰς ἔρημον, καθά φησιν ὁ Μάρκος, προσεύχεται· οὐκ αὐτὸς τούτου δεόμενος, αὐτὸς γὰρ ἦν ὁ τὰς παρὰ πάντων λιτὰς δεχόμενος, ἀλλ' οἰκονομικῶς τοῦτο ποιῶν, καὶ τύπος ἡμῖν πάσης γινόμενος πράξεως· εἰ δὲ Μάρκος μὲν λέγει τοὺς ἀποςόλους αὐτὸν καταλαβεῖν, καὶ λέγειν ὅτι πάντες σε ζητοῦσι, Λουκᾶς δὲ τοὺς ὄχλους, οὐκ ἐναντία φασὶν ἀλλήλοις· ἐνδέχεται γὰρ μετὰ τοὺς ἀποςόλους, καὶ τὸν ὄχλον κατὰ πόδας ἀκολουθήσαντα φθάσαι· ὁ δὲ κύριος, ἔχαιρε μὲν, κατεχόμενος· συνεβούλευε δὲ ἀφεῖναι, ἵνα καὶ οἱ ἄλλοι μετασχῶσι τῆς διδασκαλίας, ὡς τοῦ καιροῦ τῆς ἐπιδημίας μὴ πάνυ πολλοῦ γενησομένου· καὶ Μάρκος μὲν ἐπάγει· εἰς τοῦτο γὰρ ἐξελήλυθα· τῆς θεότητος αὐτοῦ τὴν αὐθεντίαν ὑποδηλῶν, καὶ τὸ ἑκούσιον τῆς κενώσεως· ὁ δὲ Λουκᾶς, εἰς τοῦτο φησὶν ἀπέςαλμαι, τὴν οἰκονομίαν παραδεικνὺς, καὶ τὴν εὐδοκίαν τοῦ πατρὸς ἀποςολὴν ὀνομάζων· καὶ ὁ μὲν, ἁπλῶς ἵνα κηρύξω φησὶ, ὁ δὲ τὴν βασιλείαν τοῦ Θεοῦ, ἥ τίς ἐςιν αὐτὸς ὁ Χριστός.

## CAP. V.

v. 5. Μακαρίου. Πρὸς δὲ ἦθος, εἰ οὐκέτι ῥᾳδίως εὑρεῖν τὸν ἐκ πειρασμῶν εὐαρεςήσαντα, εὐχαριςεῖν δεῖ τῷ θεῷ ἐπὶ πάσῃ συμβάσει· εἰ μὴ νυκτερινῆς ἄγρας ἀπέτυχεν ὁ Πέτρος, οὐκ ἂν

τῆς ἡμερινῆς ἐπέτυχεν· εἰ μὴ αἰσθητῶς ὁ Παῦλος ἐτυφλώθη, οὐκ ἂν πνευματικῶς ἀνέβλεψεν· εἰ μὴ ὁ βλάσφημος ἐσυκοφαντεῖτο Στέφανος, οὐκ ἂν τῶν οὐρανῶν αὐτῷ ἀνεωχθέντων, τὸν κύριον ἐθεάσατο.

Ἰουστίνου μάρτυρος. Ἐπειδὴ τοίνυν ἐχρῆν τοὺς ὑπὸ τῶν ἀποστόλων ἀγρευομένους ἀνθρώ- v. 10. p. 85. b.
πους τῇ σαγήνῃ τῆς βασιλείας ἀποθανεῖν, ἀπὸ τῆς προτέρας αὐτῶν ἐν ἁμαρτίᾳ ζωῆς, διὰ τοῦτο τῇ ἄγρᾳ τῶν ἰχθύων παρείκασεν ὁ κύριος τὴν ἄγραν τῶν ἀνθρώπων, καὶ τοὺς ἀποστόλους, ἁλιέας ποιεῖν ἀνθρώπων ἐπηγγείλατο· προσέθηκε δὲ τὸ, εἰς ζωήν· τὸ ἐλλεῖπον τοῦ δείγματος τῷ ἐπιδεικνυμένῳ προσθέμενος.

Τοῦ Μεταφράστου. Οὐ περιττὸν δὲ ἴσως εἰπεῖν καὶ ὅθεν τοῖς πρώτοις τῶν Χριστοῦ μαθη- v. 11.
τῶν ἡ πρὸς τὸν βίον εἴσοδος γέγονεν· οὗτοι τοίγαροῦν γένει μὲν ἦσαν ἑβραῖοι, χώραν δὲ τῆς Παλαιστίνης ᾤκουν, τὴν Γαλιλαίαν· πατρὶς δὲ τούτοις Βηθσαϊδὰ, μικρόν τι καὶ εὐτελὲς πολίχνιον· πατὴρ δὲ Ἰωνᾶς, οὐχ ὁ ἐκ τοῦ κήτους ἀναδοθεὶς, ἀλλ' ὁ δι' αὐτῶν ἐκ τοῦ νοητοῦ κήτους ἀνελκύσας πολλούς· λαβὼν δὲ τὴν θυγατέρα Πέτρος Ἀριστοβούλου ἀδελφοῦ Βαρνάβα τοῦ ἀποστόλου, ἔτεκεν ἐξ αὐτῆς υἱὸν ἕνα καὶ θυγατέρα μίαν· καὶ ὁ μὲν Ἀνδρέας τὸν ἀπράγμονα καὶ ἄζυγα μετιὼν βίον, τῷ προδρόμῳ Ἰωάννῃ μαθητεύεται, τὸ εἰς μετάνοιαν κηρύσσοντι βάπτισμα· παρ' οὗ τὸ, ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ἀκούσας, τὸν σωτῆρα Χριστὸν δακτυλοδεικτήσαντος, καταλιπὼν τὸν βαπτιστὴν Ἰωάννην, ἠκολούθησε τῷ Χριστῷ· ὁ δὲ μέγας Πέτρος θερμότατος ὑπάρχων καὶ ἐντρεχέστατος, τοῖς βιωτικοῖς μᾶλλον ἀνησχολεῖτο πράγμασιν· ἅτε καὶ συνοικῶν γυναικὶ, καὶ πατέρα γηροτροφῶν· εὑρὼν δὲ αὐτὸν ὁ Ἀνδρέας εὐσχολήσαντά ποτε, προσήνεγκε τῷ Χριστῷ· ὁ δὲ τοῦτον προσηκάμενος, Πέτρον ἐκάλεσε, τὸ στερρὸν τῆς αὐτοῦ γνώμης διὰ τοῦ ὀνόματος παραδηλῶν· καὶ αὕτη μὲν ἡ πρώτη κλῆσις, οὔπω βληθέντος τοῦ Βαπτιστοῦ γεγονυῖα εἰς τὴν φυλακήν· ἧς ὁ εὐαγγελιστὴς Ἰωάννης μέμνηται, καθ' ἣν ὁ Ἀνδρέας καλεῖ τὸν Πέτρον· ἐνταῦθα δὲ ἀμφοτέρους ὁ Ἰησοῦς μετὰ τὸ ἐμπεσεῖν τὸν Πρόδρομον εἰς τὸ δεσμωτήριον, ὅτε καὶ ψιλὸν ῥῆμα ἀκούσαντες, εὐθέως ἠκολούθησαν.

Ἰσαάκ. Πότε δὲ γνώσεταί τις, ὅτι ἔτυχε τῆς ἀφέσεως τῶν ἁμαρτιῶν ἑαυτοῦ; ἡνίκα ἂν v. 23. p. 87. a.
αἰσθηθῇ ἐν τῇ ψυχῇ αὐτοῦ, ὅτι τελείως αὐτὰς μνημίσηκεν ἐκ καρδίας· καὶ ὅταν ἐν τοῖς φανεροῖς αὐτοῦ ἐναντίως, οὗ ἦν, διοικῇ ἑαυτόν· ὁ τοιοῦτος πέποιθεν ὅτι τέτυχηκε τῆς τῶν πταισμάτων συγχωρήσεως παρὰ θεοῦ, ἐκ τῆς μαρτυρίας τῆς συνειδήσεως ἣν ἐν ἑαυτῷ ἐκτήσατο, κατὰ τὸ φάσκον ἱερὸν λόγιον· συνείδησις ἀκατάκριτος, αὐτὴ ἑαυτῆς μάρτυς· ἀλλὰ ταῦτα μὲν ἠθικώτερον εἰρήσθω.

Βασιλείου. Ὑψηλότερον δὲ· οἱ υἱοὶ τοῦ νυμφῶνος οὐ δύνανται νηστεύειν· τουτέστι τὴν ἐπι- v. 34. p. 90. a.
βάλλουσαν τῇ ψυχῇ τροφὴν μὴ προσίεσθαι, μὴ δὲ ζῆν ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

## CAP. VI.

Βίκτωρος. Ἐν δέ γε τῇ τοῦ Ματθαίου συγγραφῇ, καὶ ἑτέραις κεχρωμένον ἀπολογίαις τὸν v. 3. p. 92. a.
κύριον εὑρήσομεν· ἔφη γὰρ ὅτι ἐν τῷ ἱερῷ οἱ ἱερεῖς τὸ σάββατον βεβηλοῦσι, καὶ ἀναίτιοι εἰσί· καὶ ἰδοὺ τοῦ ἱεροῦ πλεῖόν ἐστιν ὧδε.

Τοῦ αὐτοῦ. Καὶ πρὸς τούτοις ἔτι· εἰ δὲ ἐγνώκειτε τί ἐστιν ἔλεον θέλω καὶ οὐ θυσίαν,

ἐπίγνωσιν Θεοῦ ἢ ὁλοκαυτώματα, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους· ἀλλὰ περὶ τούτων ἐν τοῖς κατὰ Ματθαῖον εἴρηται ὑπομνήμασιν.

p. 99. a. Βασιλείου. Γέλωτα δὲ λέγει, οὐ τὸν διὰ τῶν παρειῶν ἐκπίπτοντα ψόφον, ἀλλὰ τὴν ἄκρατον καὶ ἀμιγῆ παντὸς σκυθρωποῦ ἱλαρότητα· καὶ ὁ Δαβίδ· τὸ ἑσπέρας φησὶν αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις· ἑσπέραν, ὁ αἰὼν οὗτος λεγέται, ἐν ᾧ οἱ μακαρίως κλαύσαντες, τῆς πρωΐας ἐπελθούσης, παρεκλήθησαν· οἱ γὰρ τὰς ἡμέρας τοῦ αἰῶνος τούτου ἐπὶ συντελείᾳ ἤδη ὄντος, καὶ πρὸς τὰς ἑαυτοῦ δυσμὰς ἐκκλίνοντος, ἐν τῷ ἐπικλαίειν τὰς ἑαυτῶν ἁμαρτίας διάγοντες, οὗτοι τῆς ἀληθινῆς πρωΐας ἐπελθούσης, ἀγαλλιάσονται· ὅτι σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι· δηλαδὴ πρὸς τὰ μέλλοντα δικαίοις συσκιρτᾷν καὶ συναγάλλεσθαι ὁ θεῖος λόγος ἡμῖν ἐπιτρέπει· κλαίειν δὲ μετὰ κλαιόντων κελεύει· ὅταν οὖν ἴδῃς ἐπὶ μετανοίᾳ τῶν ἡμαρτημένων τὸν ἀδελφὸν ὀδυρόμενον, σύγκλαυσον τῷ τοιούτῳ καὶ συμπάθησον· οὕτω γάρ σοι ὑπάρξει ἐν ἀλλοτρίοις πάθεσι τὸ οἰκεῖον ἐπανορθοῦσθαι· ὁ γὰρ ὑπὲρ τῆς τοῦ πλησίον ἁμαρτίας θερμὸν ἐκχέας δάκρυον, ἑαυτὸν ἐξιάσατο, δι᾽ ὧν τὸν ἀδελφὸν ἀπωδύρατο· τοιοῦτος ἦν ὁ λέγων· ἀθυμία κατέσχε με ἐπὶ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου· ὑπὲρ ἁμαρτίας κλαῖε· αὕτη ἀῤῥωστία ψυχῆς· αὕτη θάνατός ἐστι τῆς ἀθανάτου· αὕτη πένθους ἀξία καὶ ὀδυρμῶν ἀσιγήτων· ἐπὶ ταύτῃ πᾶν δάκρυον ῥέοι, καὶ μὴ διαλείποι στεναγμὸς ἐκ μέσης καρδίας ἐκπεμπόμενος· ἔκλαιε Παῦλος τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ· Ἱερεμίας ἔκλαιεν ἐπὶ τοῖς ἀπολλυμένοις τοῦ λαοῦ, ᾧ γε ἐπειδὴ οὐκ ἤρκει τὸ ἐκ φύσεως δάκρυον, πηγὴν ἐζήτει δακρύων· τὸ τοιοῦτο δάκρυον καὶ τὸ τοιοῦτο πένθος ὁ λόγος μακαρίζει, οὐ τὸ πρὸς πᾶσαν λύπην εὐάγωγον, καὶ ἐκ πάσης προφάσεως, πρὸς τοὺς θρήνους.

v. 23 Τοῦ αὐτοῦ. Ἡ δὲ χαρὰ, οἷον σκίρτημά ἐστι τῆς ψυχῆς ἐπαγαλλομένης τοῖς κατὰ γνώμην.

p. 100. a Ὀλυμπιοδώρου. Ὥσπερ γὰρ ἐν τῷ σώματι ὁ ὑγιαίνων καὶ εὐσωματῶν, καὶ πρὸ τῆς τροφῆς αὐτῷ τούτῳ τρυφᾷ, συμπεπληρωμένην ἔχων τῇ ὑγείᾳ τὴν ἡδονὴν, καὶ οὔτε ἀέρων αὐτὸν ἀνωμαλίαι, οὔτε αὐχμὸς οὔτε κρυμὸς, οὔτε εὐτέλεια τραπέζης, οὐκ ἄλλο τι τῶν τοιούτων λυπῆσαι δύναιτ᾽ ἂν, ἀρκούσης τῆς ὑγιείας τὴν ἐκ τούτων διακρούσασθαι βλάβην, οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθε· διὰ τοῦτο καὶ Παῦλος μυρία πάσχων δεινὰ, ἔχαιρεν οὕτω λέγων· χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν οὐ μόνον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἣ ἔπαθλον κεῖται τῆς ἀρετῆς, ἀλλὰ καὶ ἐν αὐτῷ τῷ πάσχειν, ἐπεὶ καὶ τοῦτο μέγιστον ἔπαθλον, τὸ ὑπὲρ ἀληθείας τί παθεῖν· διὰ τοῦτο καὶ ὁ χορὸς τῶν ἀποστόλων ἐπανῄεσαν ἐκ τοῦ συνεδρίου τῶν ἰουδαίων χαίροντες, οὐ διὰ τὴν βασιλείαν μόνον τῶν οὐρανῶν ἀλλ᾽ ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος Ἰησοῦ ἀτιμασθῆναι· καὶ αὐτὸ γὰρ τοῦτο καὶ καθ᾽ ἑαυτὸ, μεγίστη τιμὴ καὶ στέφανος καὶ βραβεῖον καὶ ἡδονῆς ὑπόθεσις ἀμαράντου· οὐ μικρὸς ἆθλος, ἀλλὰ καὶ σφόδρα μέγας οὗτος ὁ τῆς συκοφαντίας ἐστί· διὸ καὶ Σολομῶν τὸ τραχὺ τοῦ ἀγῶνος παραστῆσαι βουλόμενος, εἶδον φησὶ τὰς συκοφαντίας τὰς γινομένας ὑπὸ τὸν ἥλιον, καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἦν αὐτοὺς ὁ παρακαλῶν· εἰ δὲ μέγας ὁ ἀγὼν, ὥσπερ οὖν μέγας, εὔδηλον ὅτι καὶ ὁ κείμενος ἐπὶ τούτῳ στέφανος, μείζων· διὰ τοῦτο καὶ ὁ Χριστὸς κελεύει χαίρειν καὶ σκιρτᾷν τοὺς τοῦτον ἀγωνιζομένους τὸν ἀγῶνα, μετὰ τῆς προσηκούσης ὑπομονῆς.

**Μάρκου μοναχοῦ.** Κἂν ζημιωθῇς, ἢ ὀνειδισθῇς ἢ διωχθῇς παρά τινος, μὴ λογίζου τὸ πα-

ρὸν, ἀλλὰ τὸ μέλλον ἐκδέχου· καὶ εὑρήσεις ὅτι πολλῶν σοι ἀγαθῶν γέγονε πρόξενος οὐ μόνον ἐν τῷ παρόντι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι αἰῶνι.

Τοῦ αὐτοῦ. Βλέπε μοι τὸν φιλόσοφον τοῦ εὐαγγελίου λόγον· προλαμβάνει τὸν μακαρισμὸν, ἵνα προτροπὴν ἐνδείξηται τῆς ἀρετῆς· καὶ ὁ μὲν νόμος ὁ μωσαϊκὸς, ἐπειδὴ πρὸς ἀπίςους διελέγετο, ἔλεγεν· ἐπικατάρατος ἄνθρωπος, ὃς τόδε καὶ τόδε ποιεῖ· ὁ δὲ σωτὴρ, ἀπαρχόμενος τῆς διδασκαλίας, μακρίζει· ἦλθε γὰρ οὐ κατακρῖναι, ἀλλὰ μακαρίους ἐργάσασθαι· μακαρίζει τοίνυν τοὺς πτωχοὺς, τοὺς πεινῶντας, τοὺς πενθοῦντας ἐπὶ ταῖς ἁμαρτίαις, καὶ λέγοντας μετὰ τοῦ Δαβὶδ, λούσω καθ' ἑκάςην νύκτα τὴν κλίνην μου· καὶ ἔτι κατὰ τὸν Ματθαῖον, τοὺς δεδιωγμένους ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν.

Τοῦ αὐτοῦ. Ὥςε οὐ πάντας αἰτιᾶται τοὺς πλουσίους, ἀλλὰ τοὺς πλεονεκτεῖν τρόπον ἔχον- v. 24. p. 100. b.
τας, καὶ ἔτι ἐν χρήμασιν, ἢ ἐν διαφόροις οἰκτιρμοῖς νοσφιζομένους τὰς τοῦ Θεοῦ δωρεάς.

Βασιλείου. Τοῦ οὐαὶ, θρηνῶδές ἐςιν ἐπίφθεγμα· θρήνου δὲ ἄξιοι, οἱ κακῶς τῷ πλούτῳ χρώμενοι, διότι βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι.

Τοῦ αὐτοῦ. Τοῦ γὰρ κυρίου τοὺς νῦν γελῶντας κατακρίνοντος, εὔδηλον ὅτι οὐδέποτε και- v. 25. p. 101. a.
ρὸς γέλωτός ἐστι τῷ πιστῷ, καὶ μάλιςα ἐν τοσούτῳ πλήθει τῶνδε τῆς παραβάσεως τοῦ νόμου τὸν Θεὸν ἀτιμαζόντων καὶ θανατουμένων ἐν τῇ ἁμαρτίᾳ· ὑπὲρ ὧν ἀθυμεῖν καὶ πενθεῖν χρή.

Τοῦ αὐτοῦ. Τοιοῦτόν τι καὶ τὸ ἐν Ἡσαΐᾳ· λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς· v. 26. p. 101. b.
καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσι· τὸ μὲν ὅτι ὁ μακαρίζων, κόλακος ποιῶν ἔργον, καταχαριζόμενος παρὰ τὸ προσῆκον, πλανᾷ βλάπτων οὐ μέτρια, τὴν ἐπὶ τοῖς ἁμαρτήμασιν αἴσθησιν ἀφαιρούμενος, τῶν δὲ ἀπατωμένων ἐπὶ τῷ παρ' ἀξίαν μακαρισμῷ, καὶ ἡ τρίβος τῶν ποδῶν συνταράσσεται· διότι αἱ μὲν θλίψεις ἐπὶ ταπείνωσιν προσκαλοῦνται· ὁ δὲ μακαρισμὸς, φυσίωσιν ἐμποιεῖ· τὸ δὲ, ὅτι πᾶς λαὸς καθὸ ἄθροισμά ἐςιν ἐκ διαφόρων ἐπιτηδευμάτων καὶ ἡλικιῶν καὶ βίων συνειλεγμένος, ὑφ' ἕνα πίπτειν μακαρισμὸν ὁμοτίμως οὐ δύναται· ἴδιαι γὰρ ἑκάςου συμφοραὶ κατατρύχουσι· καθ' ἃς τοῦ ἐλεεῖσθαι ἀξίους ταράσσουσι μᾶλλον, ἢ τοῦ μακαρίζεσθαι· πῶς οὖν οὐκ ἀπατηλός ἐςιν ὁ μακαρισμὸς ὁ λαῷ παντὶ προσαγόμενος; ὁ μέντοι κύριος, εἰ καὶ πλῆθος ἐμφαίνει διὰ τοῦ μακαρισμοῦ λέγων, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, καὶ οἱ πεινῶντες καὶ οἱ κλαίοντες· ἀλλὰ τῷ πρὸς παρόντας ἀποτείνεσθαι, δείκνυσι τὸ εὐαρίθμητον τῶν μακαριζομένων· δῆλον γὰρ ὅτι περὶ τῶν μαθητῶν ἐποιεῖτο τὸν λόγον, τῶν ἐπιδιδαγμένων τὴν ἐπαινετὴν ταπεινοφροσύνην· καὶ κατὰ τὴν πρὸς αὐτὸν ἐξομοίωσιν, τὸν δι' ἡμᾶς πτωχεύσαντα, τὴν ἐν τῷ φρονήματι πτωχείαν ἀνειληφότων· διὰ τοῦτο φησὶν ὅτι ὑμετέρα ἐςὶν ἡ βασιλεία τῶν οὐρανῶν· εἰ δὲ ςενὴ ἡ ὁδὸς, καὶ ὀλίγοι οἱ εὑρίσκοντες αὐτὴν, ποῦ δυνατὸν πολλοὺς εἶναι τοὺς μακαριζομένους; ἔςι δὲ ῥᾴδιον ἁλῶναι τῷ πάθει τῶν ἐπαίνων τοὺς μὴ προσέχοντας ὑπὸ φιλαυτίας, ἑκάςου ῥᾳδίως ταῖς ἐκ τῶν κολακειῶν ἀπάταις ὑπαγομένου· ἀνδρὸς δὲ ὠφελημένου, μή τε ταῖς κατηγορίαις τινῶν ὑποπίπτοντα ταπεινοῦσθαι καὶ συςέλλεσθαι περὶ τοῦτο, μή τε ὑπὸ ἐπαίνων ἀγνοίᾳ τῶν καθ' ἑαυτὸν ἐξοιδαίνειν ῥᾳδίως καὶ φυσιοῦσθαι.

Μακαρίου. Τουτέςιν, ὁπόταν θέλητε παρὰ ἀνθρώπων καλῶς ἀκούειν, καὶ τῆς δόξης καὶ τῶν ἐπαίνων αὐτῶν ἐξήρτησθε· ἄλλως τε καὶ ὁ κύριος, λαμψάτω λέγει τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ἀλλ' εἰς δόξαν Θεοῦ σπεύδετε τὸ ἀγαθὸν πράττειν, καὶ μὴ διὰ δόξαν ἰδίαν, μὴ δὲ ὡς τῶν ἀνθρωπίνων ἐπαίνων ἐρωτικῶς ἔχοντες· καὶ γὰρ καὶ ἀπίςους εἶ-

ναι τοὺς τοιούτους, ἀπέδειξεν, εἰπών· πῶς δύνασθε πιστεύειν, δόξαν πρὸς ἀλλήλων λαμβάνοντες;

v. 28. p. 103. a. Μάρκου μοναχοῦ. Ὁ μὲν οὖν ἀδίκων ἀνθρώπων ὑπερευχόμενος, καταῤῥάσσει τοὺς δαίμονας· ὁ δὲ τοῖς πρώτοις ἀντιτασσόμενος, ὑπὸ τῶν δευτέρων τιτρώσκεται.

p. 106. b. Τοῦ αὐτοῦ. Εἰ μὴ θέλεις κακοπαθεῖν, μηδὲ κακοποιεῖν θέλε· διότι τοῦτο ἐκείνῳ ἀπαραβάτως ἀκολουθεῖ· ὃ γὰρ σπείρῃ ἕκαστος, τοῦτο καὶ θερίσει· ἑκουσίως οὖν τὰ φαῦλα σπείροντες, καὶ ἀκουσίως θερίζοντες, τὴν δικαιοκρισίαν τοῦ θεοῦ θαυμάζειν ὀφείλομεν· ἀλλ' ἡμεῖς ἐπειδὴ καιρός τις ἀνὰ μέσον σπόρου καὶ θέρους διώρισαι, τούτου χάριν ἀπιστοῦμεν περὶ τὴν ἀνταπόδοσιν.

v. 32 p. 107. a. Νικήτου τοῦ καὶ Δαβίδ. Τὴν φιλίαν ἐκ τριῶν συνεστάναι τούτων, ἡδονῆς φημὶ, καὶ χρείας, καὶ ἀρετῆς, παῖδες σοφῶν ἀπεφήναντο· ἀλλὰ τὰς μὲν πρώτας δύο αἰτίας, εὐκινήτους εἶναι, οὐ μονίμους, οὐδὲ τὸ βέβαιον ἐν υἱοῖς ἀνθρώπων ἐχούσας· ὁμοῦ γὰρ τὸ ἥδυνον πέπαυται, καὶ ἡ χρεία παρελήλυθε, καὶ τούτοις συγκαταλέλυται τὸ φίλτρον· ὅθεν καὶ χρόνου καὶ τόπου διάστασις τοῖς οὕτω φιλοῦσι ἐπιβουλεύειν οἶδε, τὴν φιλίαν ὥσπερ ὀμίχλη παχεία καὶ ζόφῳ, τῇ λήθῃ συγκαλύπτουσα· οὐ μὴν καὶ ἡ κατὰ ἀρετὴν συνεστῶσα τὸν ἴσον τρόπον ἀμαυροῦται, ἀδιάπτωτος δὲ καὶ ἀνεπηρέαστος παντὶ χρόνου καὶ τόπου μένει διαστήματι, καὶ οὐδ' ἡτινιοῦν προφάσει διαπίπτει, μᾶλλον μὲν οὖν καὶ ἰσχυροτέρα καὶ λαμπροτέρα γίνεται πολεμουμένη· ὡς μηκέτι φιλίαν μόνον αὐτὴν, ἀλλὰ καὶ ἀγάπην κυριώτερον ὀνομάζεσθαι· ἥ τις κατὰ τὸν ἀπόστολον, οὐδέ ποτε ἐκπίπτει· εὔνοια μὲν γὰρ, φιλίας ἀρχὴ· ὡς ὄψις, ἐπιθυμίας· φιλία δὲ, ἀγάπης ἀρχὴ καὶ πηγὴ· ἀγάπη δὲ, τὸ κεφάλαιον νόμου καὶ προφητῶν· διὸ τὴν μὲν, καὶ ἄχρι χειλέων μόνον, καὶ ψιλοῖς συνίστασθαι λόγοις οἱ πολλοὶ νομίζουσιν, ἀγάπην δὲ τῷ ὄντι μὴ εἶναι, εἰ μὴ ἔργῳ καὶ ἀληθείᾳ μαρτυροῖτο· καθὼς ὁ τῆς ἀληθινῆς ἀγάπης παρεγγυᾷ μαθητὴς, μὴ ἀγαπᾷν λόγῳ καὶ γλώσσῃ παραγγέλλων, ἀλλ' ἔργῳ καὶ ἀληθείᾳ.

v. 37. p. 110. b. Μάρκου μοναχοῦ. Εἰ δὲ ἔξω τῆς φύσεως πράττειν λέγεις τὸν μὴ κρίνοντα, γνῶθι τίνα καταμέμφῃ· θεὸς γάρ ἐστιν ὁ ἐντειλάμενος, μὴ κρίνετε καὶ οὐ μὴ κριθῆτε· καὶ ὁ ἀπόστολος, μὴ πρὸ καιροῦ τί κρίνετε· καὶ πάλιν· σὺ τί κρίνεις ἀλλότριον οἰκέτην; τίς δὲ λοιπὸν ὁ τούτων δικαιοτέρους νόμους ὁρισάμενος, καὶ πρὸ καιροῦ κρῖναι θέλων τοὺς ἀδικοῦντας, ὡς ἀναμάρτητος, καὶ τοῖς τὸν τοῦ θεοῦ νόμον φυλάττειν πειρωμένοις, παρανομίαν ἐγκαλῶν, καὶ τὴν ἀνεξικακίαν; τί οὖν, φησιν; οἱ ἄρχοντες ἁμαρτάνουσι, τοὺς ἀδίκους ἀμυνόμενοι, καὶ τοῖς ἀδικουμένοις τὸ δίκαιον ἀποσώζοντες; οἱ δικασταὶ οὐχ' ἁμαρτάνουσι, ἀλλ' οἱ παραδιδόντες καὶ μὴ τῷ θεῷ ἀναδιδόντες· πρῶτον μὲν, ὅτι τὸ πᾶν τὸ ἐπελθὸν αὐτοῖς, τῶν ἰδίων κακῶν ἐπιφορὰ τυγχάνει, εἰς μετάνοιαν αὐτοὺς ἕλκον, καὶ οὐκ εἰς ἄμυναν· δεύτερον δὲ, εἰ καὶ ἀδίκως ἔπαθον τὸ τυχὸν πλημμέλημα, ἔδει ἀφεῖναι τῷ ἀδικήσαντι, ἀκούσαντες τοῦ κυρίου εἰρηκότος, ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν· καὶ μὴ διὰ τῆς ἀνθρωπίνης ἀνταποδόσεως, ἀσυγχώρητα ποιεῖν τὰ ἑαυτῶν κακά· οἱ δὲ ἄρχοντες, κατὰ τὸν ἀπόστολον, οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν, ἀλλὰ τῶν κακῶν· οὐ γὰρ τοὺς πιστοὺς καὶ εὐλαβεῖς ἀναγκάζουσι τῶν ἀδικούντων κατηγορεῖν, οὐδὲ τοῖς ἀνεξικάκοις ἐγκαλεῖν· διότι οὐ χρῶνται τοῖς δικαστηρίοις ἀδικούμενοι, ἀλλὰ τοῖς βουλομένοις παρέχουσι τὴν ἐκδίκησιν· τοὺς δὲ δὴ τὸν θεὸν μακροθυμοῦντας ὡς μᾶλλον εὖ φρονοῦντας, καὶ τιμῶσι καὶ ἐκδέχονται· ὥσπερ οὖν τοὺς μὴ βουλομένους ἐντυγχάνειν οὐκ ἐφέλκονται, οὕτω τοὺς κατηγοροῦντας ἐκδικοῦντες, οὐχ' ἁμαρτάνουσι.

Βασιλείου. Ἁπλῶς τοίνυν ᾧ μέτρῳ ἕκαςος ἡμῶν μεμέτρηκεν, ἤτοι ἐν τῷ κατορθοῦν, ἢ v. 38. p. 111. a.
ἐν τῷ ἁμαρτάνειν, ἐν τούτῳ ἢ τὰ τῆς ἀμοιβῆς ἢ τὰ τῆς κολάσεως ἀπολήψεται.

Φωτίου. Ἑαυτοὺς οὖν προτέρους διορθώσωμεν, καὶ τότε ἄλλοις ἐπιτιμῶμεν, ἀλλὰ φιλαν- p. 111. b.
θρώπως καὶ τότε· γίνονται γὰρ διαφοραὶ ἀπό τε τῆς κρίσεως αὐτῆς καὶ τῶν κρινόντων καὶ
τῶν κρινομένων προσώπων τοσαῦται· μία μὲν, ἂν ὁ κρίνων καὶ ἐπιπλήττων, φιλῶν καὶ ςερ-
γων, ἀλλὰ μὴ διασύρων τοῦτο ποιῇ καὶ μισῶν· δευτέρα δὲ, ἂν νόμῳ τοῦτο καὶ κοινῷ τῆς
πολιτείας δικαίῳ ποιῇ· τρίτη, ἂν κατὰ μηδὲν τούτων, μισῶν δὲ καὶ διακωδωνίζων τοῦτο ποιῇ,
ἢ καὶ μάτην, οὐδὲ τὸν κρινόμενον καλῶς ἐγνωκώς· ἢ ὅταν τῇ περὶ ἑτέρους ἀποτομίᾳ, τὰ
οἰκ εἰς αἴσχη ἐκκρύπτειν πειρᾶται, ὡς ὁ ἐπὶ τούτοις τραχέως ἐπιτιμῶν, οὐκ ἂν αὐτὸς νο-
μισθείη τοῖς ὁμοίοις ἑαλωκώς· ἕκτη δὲ διαφορὰ, ἂν αὐτοὶ τῶν κρινομένων ὄντες, κρίνειν ἄλ-
λους ἐπιχειρῶσιν· οὔτε γὰρ φιλίαν, οὔτε ςοργὴν οἱ τοιοῦτοι ἔχουσιν εἰς εὐλογίαν.

Βασιλείου. Μὴ παύσῃ τοίνυν διερευνώμενος σαυτὸν, εἴ σοι κατ᾽ ἐντολὴν ὁ βίος πρόεισιν·
ἀλλὰ μὴ τὰ ἔξω περισκόπει, εἴπου τινὸς μῶμον ἐξευρεῖν δυνηθείης, κατὰ τὸν φαρισαῖον ἐκεῖ-
νον τὸν βαρὺν καὶ ἀλαζόνα, ὃς εἱςήκει ἑαυτὸν δικαιῶν, καὶ τὸν τελώνην ἐξευτελίζων.

Φωτίου. Ἄν τε γὰρ μείζω, ἄν τὰ ὅμοια, ἄν τε ἔλαττονα ἡμαρτηκέναι κατακρίνῃ τὶς,
ἑαυτὸν κατακρίνει· ὁ μὲν γὰρ ἐλάττονα ἁμαρτόντα κατακρίνας, εὔδηλον ὅτι μᾶλλον ἑαυτὸν
κατέκρινε, μείζονα αὐτὸς ἡμαρτηκώς· ὅτι δέον ἐξαλεῖψαι τὰ οἰκεῖα, καὶ τὸν κοινὸν κριτὴν
ἐξιλεῶσαι συντριμμῷ καρδίας καὶ μεταμελείᾳ, ὁ δὲ φυσηθεὶς κατὰ τοῦ πλησίον, κριτοῦ ἀξίω-
μα ἀνέδυ, καὶ κρίνειν ἑτέρους ἐπήρθη, εἷς καὶ αὐτὸς τῶν κρινομένων τυγχάνων· ὡσαύτως δὲ
καὶ ὁ τὸν τὰ ὅμοια ἡμαρτηκότα κατακρίνων, κοινὴν ἐξάγει τὴν ψῆφον καθ᾽ ἑαυτοῦ τὲ καὶ
κρινομένου· μᾶλλον δὲ καὶ καθ᾽ ἑαυτοῦ· τῷ μὲν γὰρ, διὰ τῆς οἰκείας προπετείας καὶ τὰ
ἐνόντα ἐμετρίωσε πλημμελήματα, ἂν φιλοσόφως ἐκεῖνος ἐνέγκοι τὴν παροινίαν· ἑαυτῷ δὲ προσ-
θήκην εἰργάσατο τῶν κακῶν, τοῖς ἔμπροσθεν καὶ τὴν ἐπὶ τοῦ κατακρίνειν ἑτέρους τιμω-
ρίαν προσειληφώς.

Βασιλείου. Ὥσπερ μέντοι ἄκανθα ςαφυλὴν οὐ φέρει, οὕτως οὐδὲ κληματὶς ἀκάνθας· ἀλλ᾽ v. 44. p. 112. a.
ὅμως ἰουδαῖοι ἐποίησαν ἐπὶ ςαφυλῶν ἀκάνθας.

## C A P. VII.

Ἀςερίου. Ἐνταῦθα νουθετείσθωσαν οἱ μὲν δοῦλοι, εὐπειθῶς καὶ ἀδόλως ὑπηρετεῖν τοῖς p. 114. b.
δεσπόταις· οἱ δὲ δεσπόται, φιλανθρώπως καὶ ἡμέρως, καὶ ὡς ὁμοφύλοις καὶ ἀδελφοῖς, τοῖς
οἰκέταις προσιέναι· ὁ αὐτὸς γὰρ πηλὸς ἀμφοῖν, καὶ ἡ αὐτὴ τοῦ πλάςου χεὶρ, καὶ τὰ αὐτὰ
ἔργα τὲ φυσικὰ καὶ πάθη, καὶ τὸ τῆς κατασκευῆς σχῆμα καὶ ἡ μορφὴ θεωρεῖται· δι᾽ ἃ προσ-
ῆκεν, εἰ μήτε ἄλλο ἦν, μὴ δὲ νόμος θεῖος, μὴ δ᾽ ἔμφυτος πρὸς τὸ συγγενὲς ἔλεος καὶ
ἀγάπη ἀδελφικῶς αὐτοῖς καὶ πατρικῶς πορεύεσθαι.

Τοῦ Μεταφράςου. Ἐπειδὴ γὰρ μὴ κολακείας ἦν ἐπιθυμητὴς, μὴ δὲ δόξαν περιβαλέσθαι v. 19. p. 116. b.
παρὰ τὴν ἀλήθειαν ἀνεχόμενος, δύο τῶν ἰδίων μαθητῶν ἀπολεξάμενος, πέμπει πρὸς τὸν Ἰη-
σοῦν· καὶ τοῦτο ἔγνω ποιεῖν, οὐκ αὐτὸς μαθεῖν, ἀλλ᾽ ἐκείνους μᾶλλον διδαχθῆναι βουλόμε-
νος· πῶς γὰρ ἐδεῖτο μαθεῖν, ὃν καὶ νηδύος ἔγνω πρότερον ἢ προελθεῖν, καὶ ὃν ὑπὸ τοῦ πα-
τρὸς διδαχθεὶς, φανερῶς ἐκήρυττεν ἐπὶ πάντων; οἷς ἀφικομένοις, καὶ ταῦτα πρὸς Χριςὸν εἰ-
ποῦσιν, ἀπόκρισιν μὲν ἐκεῖνος τὴν διὰ γλώττης δίδωσιν οὐδὲ μίαν, ἔργοις δὲ μᾶλλον ἀπο-

λογούμενος, αὐτὸν εἶναι δείκνυσι τῇ τῶν σημείων μεγαλειότητι· ἐπεὶ καὶ πολλὰς αὐτῆς ὥρας ἐνεργήκει θεοσημείας· ἔπειτα καὶ τὴν διὰ λόγων προστίθησιν· φησὶ γοῦν ὁ εὐαγγελιστής· ἐν αὐτῇ δὲ τῇ ὥρᾳ ἐθεράπευσε κ. τ. λ.

v. 24. p. 117. a. Συμεῶνος. Ἐπειδὴ οἱ ἀποσταλέντες πρὸς τὸν Βαπτιστὴν ἐπανῄεσαν, βουληθεὶς ὁ Χριστὸς καὶ ἃ τὸν περιεστῶτα ὄχλον κατὰ νοῦν ἔθραττεν, ἰάσιμα θέσθαι, τὰ γὰρ τῶν μαθητῶν Ἰωάννου ἤδη καλῶς εἶχεν· εἰκὸς γὰρ καὶ ἀμφισβητῆσαι τούτους, μή ποτε καὶ Ἰωάννῃ ἐπιδιαάσαντι περὶ Χριστοῦ ταῦτα λέλεκται, τὸ εἴτε οὗτος ἐστὶν ὁ ἐρχόμενος, ἢ ἕτερον χρὴ προσδοκᾷν, ἢ ὡς δειλίαν ὑπὸ τοῦ δεσμωτηρίου ἐμπεπτωκότι, ἢ καὶ μεταμελῆσαν αὐτῷ τῶν πρότερον εἰρημένων· ταῦτα τοιγαροῦν ὁ Χριστὸς διορθούμενος, φησὶ τὰ εἰρημένα καὶ ταῦτα, μετὰ τὴν τῶν Ἰωάννου μαθητῶν ὑποστροφήν· οὐδὲ γὰρ παρόντων ἐβούλετο πλέκειν ἐπαίνους τῷ Βαπτιστῇ· ἐπεὶ κολακεύοντος μᾶλλον ἢ ἀληθεύοντος ἐνομίσθη τὰ λεγόμενα.

p. 117. b. Τοῦ αὐτοῦ. Εἰς τί γὰρ ἄλλο παρελήφθη τὸ τοῦ καλάμου παράδειγμα, τοῦ εὐχερῶς ἀνέμῳ σαλευομένου; ἢ ὥστε δηλῶσαι ἄνθρωπον εὐχερῆ, καὶ ῥᾴδιον ἀνέμου τὸ τοῦ λόγου πεδίον· γνώμην εὐάγωγόν τε καὶ μεταθετικὴν, καιροῖς δουλεύουσαν καὶ προχείρως ὑπ' αὐτῶν μεταφερομένην· ἀλλ' οὐκ ἂν τῆς προτέρας γνώμης καὶ δόξης μετέπιπτεν Ἰωάννης, ἐκ διαμέτρου πρὸς τὸ παράδειγμα διϊστάμενος· ἐπεὶ πάγιος ἐκεῖνος καὶ βεβηκὼς, καλάμου περιφορᾷ ῥᾳδίᾳ τὸ παράπαν ἀνόμοιος· τί δὲ τὸ ἐν μαλακοῖς ἱματίοις, ἢ τοὺς ἐν τρυφῇ ζῶντας αἰνιττομένου; εἰκὸς γὰρ ἦν ἐννοεῖν, ὅτι τέως μὲν στεῤῥὸς ἦν καὶ πόνοις συνειθισμένος, ἔπειτα τρυφῇ χρησάμενος, χαῦνον ἔβλεψε καὶ πρὸς μαλακίαν ἐσπείσατο· ὧν οὐδέτερον τῆς Ἰωάννου ψυχῆς καὶ τοῦ βίου μαρτύριον ἀψευδὲς, ἥ τε στολὴ καὶ τὸ δεσμωτήριον· οὐ γὰρ ἂν οἰκεῖν αὐτὸ κατεκρίνετο, εἰ καιροὺς ἐγίνωσκε θεραπεύειν, καὶ βασιλεῦσιν εἴκειν παρανομοῦσιν· ᾧπερ οὐχὶ τὸ πρὸς χάριν λέγειν ἀνάγκη, ἀλλὰ σιωπῆσαι μόνον ἐξήρκει, καὶ πάσης ἂν ἀπέλαυε θεραπείας.

v. 27. p. 118. a. Τοῦ αὐτοῦ. Ὅπερ οὐδὲν ἕτερον ἢ τὸ ἐγγυτάτω δηλοῖ· ἐγγὺς γὰρ ὤφθη τῆς πρὸς ἀνθρώπους ἐπιδημίας Χριστοῦ· καθὸ καὶ περισσότερον αὐτὸν εἶναι προφήτου ὑποληπτέον, ἐπεὶ καὶ οἱ τῶν βασιλέων ἐν ταῖς προόδοις ἐχόμενα προϊόντες, οὗτοι δηλαδὴ τῶν ἄλλων ἀξιωματικώτεροι καὶ οἰκειότεροι.

## C A P. VIII.

v. 5. p. 123. a. Νικήτου Παφλαγόνων. Ὅρα μήπως ἢ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τοῖς τοῦ ἀέρος φημὶ πνεύμασι, τὸ θεῖον σπέρμα διαρπαγῇ, εἴτουν ἐναποσβεσθῇ σου τῆς καρδίας ἡ θρυαλλὶς· ἢ ἡλιακῷ καύσωνι, εἴτουν ἐμπυρίοις πάθεσι καὶ ἐνδομυχοῦσι πειρασμοῖς ἡ ζωτικὴ ἐναποξηρανθῇ σοι ἰκμάς· ἢ μήπως ὡς ῥάμνοις τισὶ καὶ ἀκάνθαις ταῖς ποικίλαις μερίμναις καὶ φροντίσι τοῦ σώματος τὸ θεῖον σοι τοῦτο σπέρμα τοῦ φόβου κυρίου, καὶ τῆς πίστεως ἐναποπνιγὲν, ἄκαρπον καὶ ἀδόκιμον ἀπελέγξῃ τῷ γεωργῷ.

Νικήτου τοῦ καὶ Δαβίδ. Φυλαττώμεθα τοίνυν καὶ ἡμεῖς μηδεμιᾷ τούτων κινδυνεῦσαι τῶν ἀποπτώσεων, ἀλλ' ἀνακαθαίρωμεν πάσης ἐπηρείας τοιαύτης, τῆς διανοίας τὴν ἄρουραν· καὶ ὑετὸν πρώϊμον καὶ ὄψιμον τὴν ποικίλην τοῦ πνεύματος διδαχὴν ταῖς μελέταις ἐπισπώμενοι, καὶ τὴν ἀπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης σύμμετρον θέρμην ἀνακαλούμενοι δάκρυσιν, οἷα κα-

λὴ καὶ ἀγαθὴ γῆ, τῆς ἀπὸ τοῦ Θεοῦ εὐλογίας ἐπιτυγχάνοιμεν· εἰ καὶ μὴ ἐν ἑκατὸν, ἀλλ' ἐν ἑξήκοντα, ἤγουν ἐν τριάκοντα, τὸν καρπὸν ἀποδιδόντες τῶν ἀρετῶν.

Μακαρίου. Εἴπερ δὲ βούλοιο τὴν μεγάλην ταύτην καὶ εὐρύχωρον διαπλεῦσαι θάλασσαν, p. 126. b. προκύψας ἀπὸ γῆς ἤδη καλῶς, καὶ τῆς ὕλης ἀποσπάσας τὴν ναῦν, μὴ πάλιν εἰς γῆν ὁδηγοῦ, ζητῶν ἐπιστρέφειν· ἀλλὰ πρὸς οὐρανὸν ἀτενὲς ἔχε τὸ ὄμμα· εὑρήσεις γὰρ ἀστέρας ἐν αὐτῷ, ὧν τὰ ὀνόματα καὶ τὸν ἀριθμὸν ὁ οὐράνιος ἐπίσταται κυβερνήτης· εὑρήσεις ἐν αὐτῷ φωστῆρας ἀληθῶς ἀπλανεῖς, τοὺς ἁγίους τὴν ἀφεγγῆ τοῦ βίου νύκτα καταυγάζοντας· πρὸς οὓς ἀποβλέπων ἀσφαλῶς ὁδηγήσεις τὴν τῆς εὐσεβείας ναῦν ἐπὶ τὸν λιμένα τῆς ἀναπαύσεως, Ἱερουσαλὴμ τὴν ἐπουράνιον, τὴν πόλιν τῆς βασιλείας.

Ἀστερίου. Δυσάγωγον τὸ τῶν ἀνθρώπων γένος εἰς ἀρετὴν, καὶ μακρὰ φροντίζον τῆς ἐκ v. 41. p. 129. b. λόγων διδασκαλίας· διὰ τοῦτο καὶ ὁ σωτὴρ συγκαταβὰς τοῖς ἀνθρώποις μέχρι τῆς καὶ ἐπικήρου σαρκὸς, ὡς εἶδε τοὺς ἰουδαίους πρὸς τοὺς λόγους κωφεύοντας, μετέταξατο πρὸς τὰ πράγματα, καὶ θεραπείαν συνάπτει θεραπείᾳ, καὶ θαῦμα θαύματι, καὶ τὴν ἀπιστουμένην θεότητα τῇ πείρᾳ τῶν εὐεργεσιῶν ἐπεχείρει βεβαίαν παριστᾷν.

Τοῦ αὐτοῦ. Εἰς δεινὸν δὲ τῷ ἀνθρώπῳ περιειστήκει τὸ πρᾶγμα· θυγάτηρ καὶ μόνη, ἐτῶν γεγονυῖα δώδεκα, αὐτὸ τῆς οἰκίας ἔρεισμα, τοῦ γένους διαδοχὴ, μέλλουσα φέρεσθαι πρὸ τῶν θαλάμων εἰς ἐκφορὰς, πρὸ τῆς παστάδος εἰς τάφον· αὕτη τῆς προσόδου τῷ Ἰαείρῳ πρόφασις.

Τοῦ αὐτοῦ. Γυνή τις ἀσθενοῦσα χαλεπῶς διὰ φλεβῶν ἀταξίαν, καὶ πᾶσαν τὴν ζωτικὴν v. 43. p. 130. a. ὕλην κενώσασα, καὶ δαπανηθεῖσα λοιπὸν ἐκ μὲν τῆς τηκεδόνος τὸ σῶμα, τοῖς ἰατροῖς δὲ τὴν εὐπορίαν, μίαν εἶδεν ἐν ἀπόροις ἐλπίδα προσπεσεῖν τῷ κυρίῳ.

Βίκτωρος· Πρόσεισιν οὖν ἡ γυνὴ καλῶς οἰκείως, τὴν μόνην ἱκανὴν ἀφορμὴν εἰς τὸ ἰαθῆναι παρασκευάσασα τὴν πίστιν· ἥψατο γὰρ τοῦ κρασπέδου, πεπιστευκυῖα μεγάλως οὕτως ὡς καὶ διὰ τῆς ἐπαφῆς ἐλπίσαι τὴν ἴασιν.

Τοῦ αὐτοῦ. Αὐτίκα δὲ ἔστη ἡ ῥύσις τοῦ αἵματος· ὥσπερ γὰρ εἰ προσαγάγοι τὶς ὀφθαλμὸν φωτὶ λάμποντι, ἢ πυρὶ φλέγοντι τὴν πεφυκυῖαν ὕλην ἐξάπτεσθαι, ἅμα τὲ προσήγαγε, καὶ τὸ τῆς ἐνεργείας πεπλήρωται· ὀφθαλμὸς τὲ γὰρ ἅμα τῷ πρὸς φῶς ἀπιδεῖν, ἐφωτίσθη· καὶ τὸ πεφυκὸς ὑποδέχεσθαι πυρὸς ἐνέργειαν, ἅμα τῷ πλησιάσαι πυρὶ φλέγεται· οὕτως ἡ πιστῶς ἐφαψαμένη τοῦ κρασπέδου, εὐθὺς τῆς ἰάσεως ἔτυχεν.

Τοῦ αὐτοῦ. Γινώσκομεν ἄρα, ὅτι θεὸς ὁ Ἐμμανουὴλ· καὶ εἰς τὸ γινώσκειν τὰ πάντα, οὐκ ὀφθαλμῶν δεῖται θεωρούντων· οὐδ' αἰσθητικὴν ἔχει τὴν τῶν πραγμάτων ἐπίγνωσιν, ἀλλ' ὑπὲρ αἴσθησιν σωματικὴν, καὶ ἐν ἑαυτῷ τὴν ἁπάντων ἔχει γνῶσιν ὡς θεός· καὶ κύριος ὁ φθάνων εἰς τὸ γινώσκεσθαι παρ' αὐτῷ τὸν τοιοῦτον τρόπον, καὶ μὴ τὸν ἐναντίον τὸν διὰ τῆς ἀμεθεξίας καὶ τῆς ἀλλοτριότητος, ὃν δὴ καὶ ἄγνοιαν ἡ γραφὴ καλεῖ· κατὰ τὸ, οὐδέποτε ἔγνων ὑμᾶς· γινώσκεται γὰρ τὰ τοιαῦτα ἑτέρως παρὰ θεῷ· ὥσπερ εἰ σὺ τὸν μὴ παρόντα σοι γινώσκεις ὅτι μὴ πάρεστιν, οὕτω δὴ καὶ θεὸς τὸν ἀλλότριον αὐτῷ γινώσκει ὅτι ἐστὶν ἀλλότριος· τοῦτον δὲ μόνον λέγει γινώσκειν, ὃς οἰκεῖός ἐστιν, ὥσπερ καὶ ταύτην μόνην ἀψαμένην αὐτοῦ κατείληφεν ἐν ὄχλῳ τοσούτῳ, ὧν ἕκαστος οὐχ' ἥπτετο μόνον, ἀλλὰ καὶ συνεῖχε καὶ ἀπέθλιβεν αὐτόν· οὐκ ἦν δὲ τῷ κυρίῳ πλησιάσαι καὶ ἐφάψασθαι αὐτοῦ, σωματικῶς πλησιάζοντα καὶ ἐφαπτόμενον, εἰ μὴ πνευματικῶς τοῦτο ποιεῖ· ἔτυχε τοίνυν οὗπερ ἔχρηζεν ἡ γυ-

νῃ· διὸ καὶ ζητεῖται ὑπὸ τοῦ κυρίου, καὶ εἰς ὄψιν καλεῖται· τῶν μαθητῶν οὐκ εἰδότων τὸ ζητούμενον, ἀλλ' ἁπλῆν τινα τὴν ἐπαφὴν οἰομένων λέγειν τὸν κύριον, καὶ τοιαύτην, οἵαν οἱ λοιποὶ πάντες ἐφήπτοντο· διόπερ ὁ κύριος διαςέλλων, ἥψατό μου τίς φησιν· ὥσπερ καὶ ἔλεγεν, ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω, καί τοι πάντων τὴν σωματικὴν ταύτην ἐχόντων ἀκοὴν, καὶ μέχρι γε ψιλῆς τῆς τῶν λόγων ἀκροάσεως ἀκουόντων· ἀλλ' οὔτε ἀκούειν ἦν τὸ μὴ συνετῶς, οὔτε ἅπτεσθαι τὸ μὴ πιςῶς· τί οὖν εἰς ὄψιν, αὐτὸν καλεῖ, καὶ τοὺς ἱεροὺς ὀφθαλμοὺς ἐπαίρει, περισκοπῶν τὴν γυναῖκα; ὅτι θέας ἀξία παρὰ τῷ κυρίῳ· ἀξία δὲ καὶ τῆς εἰς τοὺς παρόντας ἐπιδείξεως, ὅτι παράδειγμα πίςεως πᾶσιν ἔμελλεν ἔσεσθαι, καὶ παράκλησις ἐπὶ πίςιν, διὰ τοῦ δοθησομένου αὐτῇ δικαίως ἐπαίνου.

p. 130. b. Ἀςερίου. Ἤκουσε τῶν ἀφώνων τῆς γυναικὸς λογισμῶν ὁ κύριος, καὶ σιωπῶν σιωπῶσαν ἰάσατο, ἐπειδὴ τοῦ κρασπέδου προσήψατο· αἵματος γὰρ ἔστησεν ὀχετοὺς, ἑκοντὶ τὴν ἴασιν συληθείς· καὶ ἡ μὲν ἐνόμιζε κεκλοφέναι τὴν δωρεὰν, ὁ δὲ ἐκλάπη τὴν χάριν· καὶ τέως μὲν, οὐκ ἐκλαλεῖ τὴν θεραπείαν· ὕςερον δὲ δημοσιεύει, οὐ φιλοδοξῶν ἄπαγε· ποῦ γὰρ θαυματουργία πρόεισι φιλοδοξίας; ἀλλὰ καὶ τῆς γυναικὸς τὴν τῆς πίςεως πᾶσιν ἐπιδεικνὺς εὐκαρπίαν, καὶ τῶν παρόντων τοὺς μὲν εἰς θεογνωσίαν ἐπιςρέφων, τῶν δὲ τὴν ἀπόνοιαν καὶ διὰ τῶν ἔργων καὶ διὰ τῶν λόγων ςηλιτεύων· εἶδον φησὶ τὴν ὄπισθεν ἁψαμένην· οὐ γάρ μοι μόνος ὁ ταῖς ὀφρύσιν ὀφθαλμὸς ὑποκαθήμενος, καὶ τοῖς βλεφάροις σκεπτόμενος, ἀλλὰ καὶ ἕτερος, ὁ γῆν ὁμοῦ καὶ θάλασσαν ἐποπτεύων, καὶ κτίσιν τὴν σύμπασαν· σιγῇ δὲ πρόσεισιν ἡ γυνὴ δι' εὐλάβειαν, καὶ οὐ λανθάνει· ἀναγινώσκει γὰρ ὁ θεὸς, καὶ σιγώντων ἡμῶν, τὸν ἑκάςου νοῦν, ὡς ἡμεῖς βιβλίον παρεχόμενον· διὸ καὶ τῆς Μωσέως σιωπώσης γλώσσης, τὸ τῆς καρδίας ἠκούετο βούλημα· εἰ τὴν χάριν ὁ δοὺς ἐσιώπησε, τάχα ἂν οὐδ' αὐτὴν τὴν χάριν ἡ λαβοῦσα ὠφελήθη, εἰς συντυχίαν τὸ δῶρον αἰχμαλωτίζουσα· τοῦτο τὸ θαῦμα εἶδον μὲν ἄπειρον πλῆθος· πνεῦμα δὲ τὸ ἅγιον πρὸ πολλῶν γενεῶν διὰ Μαλαχίου προεθέσπισεν· ἀνατελεῖ γὰρ ὑμῖν φησι τοῖς φοβουμένους τὸ ὄνομά μου, ἥλιος δικαιοσύνης, καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ· ἥλιον μὲν δικαιοσύνης, τὸν κύριον καλῶν· πτέρυγας δὲ, τὰ τοῦ ἱματίου κράσπεδα.

Βίκτωρος. Πρότερον μὲν οὖν οὐκ ἐτόλμα δι' εὐλάβειαν ἡ γυνὴ ἄντικρυς ἀπαντᾷν, καὶ περὶ θεραπείας ἀξιοῦν· ζητουμένη δὲ, ἀπαντᾷ πρεπόντως ἔμφοβός τε καὶ εὐλαβὴς, καὶ τὸ σέβας ἁρμόττον προσφέρουσα, καὶ τὴν ὁμολογίαν τῆς ἰάσεως· εἶτα ἐμφανὲς πᾶσι ποιεῖται, οὐ τῷ πάντα εἰδότι, ἀλλὰ τοῖς ἀγνοοῦσιν, αἰσθήσει τὴν ἴασιν ἐπεγνωκυῖα· λέγει γὰρ καὶ τοῦτο ὁ Μάρκος, ὅτι ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάςιγος.

p. 131. a. Ἀςερίου. Ἡμεῖς δὲ καταμάθωμεν τῆς ἰαθείσης γυναικὸς τὸ εὐχάριςον· τῆς γὰρ Πανεάδος οὖσα πολῖτις, πολίχνη δὲ αὕτη τῆς Παλαιςίνης, Φιλίππου νῦν λεγομένη Καισάρεια, ἀγάλματι χαλκῷ τὸν εὐεργέτην ἐτίμησε, τοῦτο γέρας οὐκ ἀνάξιον οἰηθεῖσα τῆς χάριτος· καὶ χρόνος πολὺς ἐτήρει τὸ ἄγαλμα, εἰς ἔλεγχον ἀκριβῆ τῶν τὸ ψεῦδος τολμώντων ἐπιφημίζειν τοῖς εὐαγγελιςαῖς· καὶ οὐδὲν ἐκώλυε σώζεσθαι τὸν ἀνδριάντα μέχρι νῦν· καὶ δεικνύειν ἀμφότερα, καὶ τοῦ θεοῦ τὸ θαυμάσιον, καὶ τῆς εὖ παθούσης τὸ χαριςήριον, εἰ μὴ Μαξιμῖνος ἐκεῖνος, ὁ πρὸ τοῦ Κωνςαντίνου τῆς ῥωμαίων ἄρξας βασιλείας, ἀνὴρ εἰδωλολάτρης καὶ δυσσεβὴς, ζηλοτυπῶν καὶ ἐν τῷ ἀγάλματι τὸν Χριστὸν, ἀνείλετο τῆς πολίχνης τὸν χαλκὸν, εἰ καὶ μὴ τὴν μνήμην τῶν γενομένων· ἰδοὺ γὰρ ὁ μὲν ἀνδριὰς οὐ φαίνεται, τὸ δὲ εὐαγγέλιον τὸ θαῦμα πανταχοῦ βοᾷ καὶ κηρύσσει· καὶ ἡ αἱμόῤῥους ἀπ' ἀνίσχοντος ἡλίου μέ-

χρι καὶ δυσμένου λαλεῖται· καὶ συνέβη μάταιος πόνος τῷ δυσσεβεῖ, ἡ τῆς αἰσθητῆς ὕλης κλοπή· ὁ μὲν γὰρ χαλκὸς καὶ ἑςὼς καὶ φαινόμενος ἐσιώπα, ἄψυχον τῶν θαυμασίων ὑπόμνημα· ἡ δὲ φήμη μετὰ τοῦ λόγου παραλαβοῦσα τὸ ἔργον, καθημέραν διατρέχει κώμας καὶ πόλεις, τὸν εὐεργέτην κηρύττουσα.

Τοῦ αὐτοῦ. Σαφέςερον ἡ αἱμοῤῥοοῦσα ἐςὶν, ἡ ἐξ ἐθνῶν ἐκκλησία· ὁ Χριςὸς, ἔνδυμα p. 132. a.
λέγεται· ἐνδύσασθε γάρ φησι τὸν κύριον Ἰησοῦν· τὸ δὲ κράσπεδον τοῦ Χριςοῦ τουτέςι τῆς σοφίας, ἡ ἀρχή ἐςι τῆς σοφίας· ἀρχὴ δὲ σοφίας, φόβος κυρίου· ἰᾶται οὖν ἡ ῥύσις τοῦ αἵματος τῆς ἀντιλαμβανομένης τοῦ φόβου τοῦ κυρίου ψυχῆς· τῷ γὰρ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

Μακαρίου. Καὶ ἁπλῶς πᾶσα ψυχὴ ἔχουσα τὸ ἀνίατον τραῦμα τῆς ἁμαρτίας τὴν πηγὴν τῶν ἀκαθάρτων διαλογισμῶν καὶ παθῶν· ξηραίνεται δὲ ἐκλείπουσα ἡ πηγὴ ἐκείνη, ἡ τοὺς ἀκαθάρτους λογισμοὺς βρύουσα, διὰ τῆς δυνάμεως Ἰησοῦ μόνου· οὐδεὶς γὰρ οὔτε δικαίων οὔτε πατέρων οὔτε προφητῶν οὔτε πατριαρχῶν ἴσχυσε θεραπεῦσαι· οὐχ ἡ κατὰ νόμον δικαιοσύνη, οὐδὲ τὰ ὁλοκαυτώματα, οὐ τὰ ἴδια ἐκ γῆς φάρμακα, τουτέςι τὰ ἑαυτῆς δικαιώματα· ἐγενήθη γὰρ πᾶσα ἡ δικαιοσύνη ἡμῶν, ὡς ῥάκος ἀποκαθημένης· Χριςὸς δὲ ἐγενήθη ἡμῖν δικαιοσύνη καὶ ἀπολύτρωσις· αὐτὸς γὰρ ἐλθὼν ἦρε τὴν ἁμαρτίαν τοῦ κόσμου, τουτέστι τὴν ἀκάθαρτον πηγὴν τῶν διαλογισμῶν τῆς πηγῆς ἐξήρανεν.

## CAP. IX.

Συμεῶνος. Καὶ μέχρι τέλους πρὸς τὴν ἁμαρτίαν ἀγωνισάμενος· οὐ φοβηθεὶς ἡμέρας τοῦ v. 9. p. 135. b.
θείου φάναι Δαβὶδ, οὐ βασιλέων δυσωπηθεὶς πρόσωπον, ἀλλὰ φανερῶς ἐλέγξας δούλους ἡδονῆς, τοὺς τῶν ἄλλων ἄρχειν, ὧ νόμοι καὶ δίκαια, βουλομένους· καὶ ὀρχήσεως καὶ ὅρκου γεγονὼς πάρεργον· τοιαῦτα γὰρ τὰ διαβολικὰ προσχήματα δῆθεν εὐλαβείας, τὰς παγῖδας τίθησιν.

## CAP. X.

Ἀνεπιγράφου. Νοήσεις δὲ καὶ οὕτως· οἱ σοφοὶ καὶ συνετοὶ, ἐνώπιον αὐτῶν ὄντες ἐπιςήμο- v. 21. p. 138. a.
νες φαρισαῖοι, ἀγνοοῦντες τὴν τοῦ θεοῦ δικαιοσύνην, τὴν δὲ ἑαυτῶν ζητοῦντες ςῆσαι, τῇ δικαιοσύνῃ τοῦ Χριςοῦ οὐχ ὑπετάγησαν· ἀλλ' οὐδὲ οἱ τῶν ἑλλήνων σοφοὶ, οὐδὲ γὰρ ἦσαν ἄξιοι διὰ τὸ φύσημα τῆς διανοίας· ἐπέγνωσαν δὲ τὸ μέγα τοῦτο καὶ ὑπερέχον ἀγαθὸν οἱ περὶ τὰ μικρὰ ἐκεῖνα βραχεῖς καὶ ἐλάττους τῶν σοφῶν, οἱ νήπιοι διὰ τὴν ἐν ἐκείνοις ἀπειρίαν· ὅτι τῇ μὲν δοκούσῃ γνώσει παρῆν ἡ φυσίωσις, τῇ δὲ νηπιότητι ταπεινοφροσύνη καὶ τὸ πρὸς τὴν εὐσέβειαν ἕτοιμον.

Βασιλείου. Νηπίους λέγων τοὺς μαθητευθέντας τῷ λόγῳ, καὶ διὰ τοῦ πνεύματος, τῆς ἀποκαλύψεως τῶν μυςηρίων ἀξιωθέντας.

Ἀνεπιγράφου. Ὁ αὐτὸς δὲ περὶ τοῦτο ἐγνῶσθαι τοῖς ἁγίοις προφήταις τὴν τοῦ κόσμου σω- v. 24. p. 140. b.
τηρίαν· ποθεῖν τε αὐτοὺς ταύτην ἰδεῖν φησί· διὸ καὶ ἠρεύνων εἰς τίνας ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς πνεῦμα Χριςοῦ, προμαρτυρόμενον τὰ εἰς Χριςὸν παθήματα καὶ τὰς

μετὰ ταῦτα δόξας· ὁ γὰρ πόθος ἐκίνει πρὸς τὴν ἐξήτησιν τῶν χρόνων, εἰ ἄρα καὶ θεάσασθαι δυνήσονται, ἢ μέχρι τοῦ γνῶναι καὶ εἰπεῖν ἡ χάρις περιώριστο· καὶ δῆλον μὲν ὅτι μὴ ἑωράκασι, μὴ δὲ ἐπέτυχον τῆς τοῦ κυρίου παρουσίας, εἰς τοὺς ὑστέρους χρόνους ὑπερκειμένης, καὶ εἰς συμπλήρωσιν τῶν κατὰ ἄνθρωπον πραγμάτων ἀφιξομένης· ἀπεκαλύφθη δὲ αὐτοῖς ὥς φησιν ὁ Πέτρος, ὅτι μὴ ἑαυτοῖς τὴν τοῦ σωτῆρος παρουσίαν προήγγελλον, ἀλλ' ἡμῖν· καλῶς δὲ καὶ διὰ τούτου πρὸς αἴσθησιν ἡμᾶς ἄγει τῆς μεγάλης εὐεργεσίας τῆς ὑπεραιρούσης ἅπαντα τὰ πρότερα, εἴ γε προφῆται μὲν ἐπεθύμησαν, ἡμεῖς δὲ τετυχήκαμεν· ὥστε συνιέντας τῆς μακαριότητος ἧς ἠξιώμεθα, πρῶτον μὲν τὴν διάθεσιν ἀξίαν αὐτῆς προσάγειν, καὶ μὴ ἀναισθήτως ἔχειν τῶν παρόντων ἡμῖν καλῶν· δεύτερον δὲ, καὶ τὴν σπουδὴν ἐπαξίαν ποιήσασθαι· καὶ μᾶλλον ἀγαπᾷν, ὅσῳ καὶ μᾶλλον ἠγαπήθημεν, καὶ λέγειν μετὰ τοῦ προφήτου· τί ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; καὶ μνημονεύειν τοῦ διὰ Σολομῶντος εἰρημένου, τοῦ ἐὰν δῷ ἄνθρωπος πάντα τὸν βίον αὐτοῦ, ἐπὶ ἀγάπῃ, ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν· τί γὰρ ἔχομεν ἀντιδοῦναι πρὸς ἀξίαν ὧν εἰλήφαμεν;

v. 26. p. 144. a. Ἀστερίου. Πρὸς ὃν καὶ φησὶν, ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; ὑπομιμνήσκων αὐτὸν τὴν πρὸς τὸν θεὸν, καὶ τὴν πρὸς τὸν πλησίον ἀγάπην, μονονουχὶ λέγων, ὡς εἰ μὲν θεὸς ἐγώ σοι δοκῶ, ὀφείλεις μοι τὴν ἀγάπην· εἰ δ' ἀπιστεῖς, καὶ ὅμοιόν σοι νομίζεις ἐμὲ ψιλὸν ἄνθρωπον, καὶ οὕτως τὸ ἀγαπᾷν χρεωστεῖς· κατὰ τὸν νόμον ἀδελφοὺς καλοῦμεν ἐκείνους, οἳ ἐξ ἑνὸς ἔφυσαν σπέρματος καὶ μιᾶς γαστρός· οἱ δὲ τὸν αὐτὸν ἔχοντες ποιητὴν καὶ μίαν μητέρα τὴν γῆν, ἀφ' ἧς ἐπλάσθημεν, καὶ ψυχῆς ἀξίωμα παραπλήσιον, εὐσεβείας δὲ καὶ πολιτείας ἕνα θεσμὸν, καὶ τὴν ἐλπίδα τοῦ μέλλοντος τὴν αὐτὴν, πῶς οὐ πάσης ἀδελφότητος καὶ συγγενείας ἐσμὲν ἀλλήλων ἐγγύτεροι; ὅταν ἄνθρωπον ἴδῃς, σαυτὸν ὁρᾷς ἐν ἐκείνῳ· δεῖ οὖν καὶ τὰ ἐκείνου θεωροῦντα πάθη, λιμὸν, δίψαν, γυμνότητα, τὴν ἄλλην ἔνδειαν, καὶ τὰς νόσους, καὶ τοὺς ἄλλους πειρασμοὺς, ὡς οἰκεῖα πάθη καὶ συμφορὰς οἰκτείρειν· πολλοὺς ἔγνωμεν, ἐπὶ μὲν τῶν λόγων ὁμολογήσαντας προκινδυνεύειν, ἐπὶ δὲ τῆς πείρας ψευσαμένους τὴν ἔννοιαν· ὁ μὲν σωτὴρ ἡμῶν οὕτως ἠγάπησε τὸ ἴδιον ποίημα, οὐχ' ὡς ἑαυτὸν, ἀλλ' ὑπὲρ ἑαυτόν· ἡμῖν δὲ τὸ ἔλαττον ἐγκελεύεται, ἀγαπᾷν τὸν πλησίον, ὡς ἑαυτὸν, τὴν ὑπερβολὴν ἀφελὼν, ἵνα μὴ βαρεῖαν ποιήσῃ καὶ δυσήνυτον τὴν ἐντολήν· ἵνα διὰ τῶν ἔργων σαφέστερον ἐπιδείξῃ τὸν τῆς ἀγάπης ὁ δεσπότης νόμον· πρᾶγμα μὲν ἐλέου, συμβὰν δὲ ἴσως κατὰ τὸν χρόνον ἐκεῖνον, ὑπ' ὄψιν ἄγει τῷ λόγῳ· ἐκπαιδεύων τὸν νομικὸν, ὅτι πλησίον ἡμῖν ἐκεῖνος ἦν, ὃς ἂν τὴν ἐμπαθῆ ταύτην περικείμενος σάρκα, χρήζῃ βοηθείας καὶ οἰκτιρμῶν· τὸ δὲ πάθος, ὁδοιπόρος ἐξ Ἱερουσαλὴμ κατέβαινεν εἰς Ἱεριχὼ καὶ λῃστῶν ἐπιδραμέντων, ἀφῃρέθη μὲν ἃ ἔφερεν, ἐγυμνώθη δὲ καὶ τῶν ἱματίων, καὶ τραύμασι τοῖς ἀπὸ τῶν λῃστῶν θανάτῳ προσομιλῶν ἥπλωτο κατὰ τὴν λεωφόρον ψυχοῤῥαγῶν, πρᾶγμα λίαν οἰκτρὸν ὀφθαλμοῖς ἔχουσιν ἔλεον· τί δὲ τὸ κατέβαινεν; ὁ κύριος τοῖς ἑβραίοις διαλεγόμενος, καὶ διδάσκων ὡς ἄφρονας· καὶ μάτην ἀναστρεφομένους ἐν ταύτῃ τῇ τοῦ κλαυθμῶνος κοιλάδι, οὕτω πως φησίν· ὑμεῖς ἐκ τῶν κάτω ἐστὲ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· ἐκ τῶν ὀνομάτων τοῦ ἄνω καὶ κάτω, τοῦ καλοῦ καὶ τοῦ χείρονος ποιούμενος τὴν διάκρισιν· καὶ νῦν δὲ καταβαίνοντα εἰπὼν, κατὰ τὴν αὐτὴν ἔννοιαν ἔφη.

v. 30. Τοῦ αὐτοῦ. Εἴη δ' ἂν ὁ καταβαίνων, ὁ Ἀδὰμ, ὁ ἀποκυλιόμενος τῆς μακαρίας ἐκείνης καὶ ὑψηλῆς διαγωγῆς, εἰς τὸν χαμαίζηλον τοῦτον βίον· τίς ἱερεύς; τίς ὁ λευΐτης; εἴπομεν

δ' ἂν κατὰ θεωρίαν, Μωϋσῆς καὶ Ἰωάννης, ἄμφω τῆς παραβολῆς ἔνδον κρυπτόμενοι, καὶ τὴν τῶν πολλῶν ὄψιν λαμβάνοντες· οὗτοι γὰρ καταλαβόντες τὸν ἄνθρωπον, τουτέστι τὸ γένος ἡμῶν ὅλον, γυμνὸν εὐσεβείας καὶ ἀρετῆς· καὶ τοῖς ἐναντίοις τετραυματισμένον, ἐθεάσαντο μὲν, οὐ μὴν ἐπήρκεσαν θεραπεῦσαι· ἀλλ' ὁ σαμάρειτης καταλαβὼν ἐν ὀνόματι καθυβρισμένῳ, θησαυρὸν ἀγαθῶν φέρων, παρέσχε τὴν ἴασιν, ὅς ἐςιν ἡμῶν ὁ σωτὴρ, τῇ δυσφήμῳ προσηγορίᾳ τοῦ σαμαρείτου καλυπτόμενος, καὶ τὰς τῆς σωτηρίας τῷ κειμένῳ πηγὰς ἀναβλύζων· σαμαρείτην δὲ, τὸν σωτῆρα ὁ λόγος ὀνομάζει· αἰσχύνων κἀνταῦθα τὴν τῶν οὕτως αὐτὸν καλούντων παροινίαν ἰουδαίων, ὅτι τὸν ὑπὲρ τοὺς λευΐτας καὶ ἱερέας σπλαγχνιζόμενον, καὶ θεραπεύοντα τὸν τετραυματισμένον σαμαρείτην ἐξύβριζον.

Τοῦ αὐτοῦ. Τί δὲ τυγχάνει τὸ κτῆνος, ἐφ' οὗ τὸν ψυχοῤῥαγοῦντα καταθέμενος εἰς τὸ v. 34.
πανδοχεῖον ἤγαγεν ὁ σωτήρ; ἢ δηλονότι ὄχημα τοῦ θεοῦ λόγου, καὶ ὡς ἄν τις εἴπῃ ὑποζύγιον, τὸ ὁμόφυλον ἡμῖν ὅπερ ἠμπίσχετο τυγχάνει σῶμα, ἐφ' οὗ καὶ δι' οὗ πάντας ἀνέχων καὶ διαβαςάζων, ἄγει πρὸς τὴν ἀπαλλαγὴν τῆς νόσου, καὶ τὴν ἐκκλησίαν· καὶ γὰρ τῶν τραυμάτων, αὕτη ἦν ἡ τελεία θεραπεία καὶ ἀπαλλαγή.

Μακαρίου. Πληγέντος τοῦ Ἀδὰμ καὶ ἀποθανόντος, ἔκλαυσεν ὁ ποιήσας αὐτὸν πατὴρ, ἄγ- p. 144. b.
γελοι, δυνάμεις πᾶσαι, καὶ πάντα τὰ κτίσματα συνεπάθησαν ἐπὶ τῇ πτώσει αὐτοῦ, τὸν γὰρ δοθέντα βασιλέα αὐτῶν, δοῦλον εἶδον γεγόνοτα ἐναντίας καὶ πονηρᾶς δυνάμεως· σκότος τε πονηρίας παθῶν τῇ ἑαυτοῦ ψυχῇ ἐνδυσάμενον, καὶ βασιλευθέντα ὑπὸ τοῦ ἄρχοντος τοῦ σκότους· οὗτος ἦν ὁ τραυματισθεὶς καὶ ἡμιθανὴς γεγονώς· τὸ δὲ ἡμιθανὴς δηλοῖ, ὅτι τὴν ἑαυτοῦ γνῶσιν εἶχε μόνον, ἀπομείνας γυμνός· ἤτοι ὅτι ἀπεζεύχθη τῷ πνεύματι τὸ ἥμισυ, τουτέςιν αὐτὸς μόνος ἀπομείνας, νεκρωθεὶς ἀπὸ θεοῦ· ἀλλὰ σὺ ἐπὰν ἀκούσῃς περὶ τοῦ τετραυματισμένου ὑπὸ τῶν λῃςῶν, μὴ ἀπέλθῃ ὁ νοῦς σου εἰς ὄρη, ὡς περὶ ἐκείνου μόνου ἐνθυμούμενου· ἀλλ' ἔνι δὲ καὶ ἔνδον ἐν τῇ σαυτοῦ ψυχῇ, ὅτι καὶ σὺ τὰ αὐτὰ φερεῖς τραύματα· ἐκείνου γὰρ πάντες τέκνα ἐσμὲν τοῦ τετραυματισμένου καὶ δυσώδους· ὃ γοῦν ἐκεῖνος πέπονθε, τοῦτο πάντες οἱ ἐκ τοῦ σπέρματος αὐτοῦ πεπόνθασιν· οὐκ ἔςι τραῦμα, οὐ μώλωψ, οὐ πληγὴ φλεγμαίνουσα, ἀλλ' οὕτως ἐτραυματίσθη ἡ φύσις, ὡς μόνῳ τῷ κυρίῳ δυνατὸν εἶναι θεραπεῦσαι· ἰδοὺ γάρ φησιν ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· διὰ τοῦτο δι' ἑαυτοῦ ἦλθεν ὁ κύριος, ὅτι μηδεὶς τῶν ἀρχαίων, οὔτε νόμος, οὔτε προφῆται ἠδυνήθησαν θεραπεῦσαι τὴν μεγάλην ταύτην πληγὴν, ἀλλ' αὐτὸς μόνος τὴν ἀνίατον ἐθεράπευσεν.

Εὐαγρίου. Ὁ μὲν Μωϋσῆς τὸν ἄνθρωπον ἐκ τῆς κατ' ἐνέργειαν ἁμαρτίας ἐξάγει· ὁ δὲ p. 145. a.
Ἰησοῦς διαδεχόμενος, ἐκ δευτέρου περιτέμνει, τουτέςι τὸ κατὰ διάνοιαν ἁμάρτημα· διὰ τοῦτο ἴσως ὁ μὲν ἱερεὺς, οὐκ ἐθεράπευσεν· ὁ δὲ σαμαρείτης τὸν ἡμιθνῆτα, ὃς οὐδὲ λέγει ὡς ὁ προφητικὸς λόγος, οὐκ ἔςι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους· ὅτι δὲ προνοίᾳ ἦλθε, δῆλον ἐκ τοῦ καταδέσμους ἔχειν οἶον ἔλαιον· διὰ πολλοὺς γὰρ τραυματίας ἐπήγετο ταῦτα· ζώντων μὲν οὖν λόγον ἐπέχουσι οἱ ἄγγελοι· νεκρῶν δὲ, οἱ δαίμονες· νοσούντων δὲ, οἱ ἄνθρωποι, πρὸς οὓς καὶ ὁ ἰατρὸς ἦλθε· πρὸς δὲ τὰ ὑποκείμενα πράγματα, ὀνομάζεται ὁ σωτήρ· ἐὰν γὰρ ἄῤῥωςον εἴπῃ τὴν λογικὴν φύσιν, ἰατρὸς λέγεται· ἐὰν πρόβατον, ποιμήν· ἀνθρώπων δὲ, βασιλεύς· τριά γε μὴν εἰσὶ πράγματα, ὁ ἰατρὸς, τὰ φάρμακα, ὁ πάσχων· ὁ οὖν λαβὼν τὸ φάρμακον καὶ μὴ ἰαθεὶς, ἤτοι παρὰ τὴν τοῦ ἰατροῦ πρόσταξιν, ἢ παρὰ τὴν τῶν φαρμάκων ἀσυμφορίαν, ἢ παρὰ τὴν ἰδίαν οὐκ ἰάθη ἀταξίαν· ὁ δὲ τῶν ψυχῶν ἰατρὸς κατ-

ἀλλήλως προστάσσει, καὶ τοῖς πάθεσιν αἱ ἐντολαὶ αὐτοῦ κατάλληλαι· παρ' ἰδίαν τεσσάρων ἀταξίαν ὁ ἄῤῥωστος οὐχ' ὑγιαίνει· ἕκαστον τῶν μελῶν ἔγραψαν οἱ ἰατροὶ πῶς δεῖ θεραπεύεσθαι· ὁ δὲ σωτὴρ σύντομον φάρμακον τὸ, ἀγαπήσεις τὸν πλησίον σου εἶπε· καὶ πρότερόν γε τὸ, ἀγαπήσεις κύριον τὸν Θεόν σου· δι' οὗ δυνατὸν καὶ τὰς ἄλλας τηρεῖν ἐντολάς· καὶ εἴη ἂν τὰ δύο δηνάρια, ἡ ἀρετὴ καὶ ἡ θεολογικὴ θεωρία, ἤγουν πίστις, καὶ ἔργα, ἀγάπη Θεοῦ, καὶ ἀγάπη τοῦ πλησίον· καὶ χρὴ εἰδέναι ὅτι ὅσα προστάττει ἡμῖν ὁ νόμος, ταῦτα δεῖ κατὰ ἀγάπην φυλάσσειν· φόρου γὰρ λόγον ἐπέχει, ὡς ἡ ἀγάπη· διὸ εἴρηται μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾶν· ὅσα δὲ ἐκ προαιρέσεως, οἷον παρθενία, ἀναχώρησις, δῶρα εἰσὶ, καὶ ξενίου λόγον ἐπέχει· ξένιον δὲ οὐ προσφέρεται κατὰ ἀγάπην· εἰ δὲ μὴ, οὐκ ἔστι ξένιον· ὁ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν.

Βίκτωρος. Οὐκ' ἀγνοῶ δ' ὥς τινες τὴν προκειμένην παραβολὴν, οὕτως ἐθεώρησαν· ἄνθρωπον τὸν Ἀδὰμ, ἢ τὸν καθόλου ἄνθρωπον ἀποκαλοῦντες· ὅθεν καὶ ἀορίστως ἔφη ἄνθρωπος κατέβαινε· τῆς ἡμετέρας προαιρέσεως τὴν ἐπὶ τὰ χείρω ῥοπὴν, κατάβασιν ὀνομάζων· Ἱερουσαλὴμ τὴν ὑψηλὴν καὶ ἐπουράνιον πολιτείαν· Ἱεριχὼ δὲ, τὴν κοσμικωτέραν καὶ ἐμπαθῆ διαγωγήν· οὗτος λησταῖς περιέπεσεν, ἵνα εἴπη τοῖς ἀκαθάρτοις πνεύμασιν· οἱ καὶ ἐκδύσαντες αὐτὸν τοῦ χιτῶνος τῶν ἀρετῶν, καὶ τοῦ ἐνδύματος τῆς ἀφθαρσίας, ἀπῆλθον ἀφέντες ἡμιθανῆ· τῷ ὄντι δὲ κατάβασις ἦν καὶ τῷ ἱερεῖ· καὶ ἁμαρτία, τὸ μὴ ἐλεῆσαι τὸν κείμενον· ὁμοίως δὲ, καὶ τῷ λευΐτῃ· σαμαρείτης δέ τις οὐ καταβαίνων, ἀλλ' ὁδεύων, ἦλθε κατ' αὐτὸν, οὗτος δὲ ἦν πρὸς ὃν ἔλεγον ἰουδαῖοι· σαμαρείτης εἶ σύ· οὐδὲ γὰρ ἱερεὺς ἢ λευΐτης ἐπαμῦναι τῷ χαμαὶ κειμένῳ ἠβουλήθησαν, ἢ τοι ἠδυνήθησαν· ἅπαντες γὰρ ἦσαν ὑφ' ἁμαρτίαν· μόνος δὲ ὁ κύριος, κατὰ πάντα ἡμῖν ὁμοιωθεὶς, χωρὶς ἁμαρτίας, τὴν ἡμετέραν ὁδεύσας ὁδὸν, καὶ μετὰ ἀνόμων λογισθεὶς, ὁ ἀληθῶς σαμαρείτης, ὃς ἑρμήνευται φύλαξ· οὗτος δέ ἐστιν ὁ μὴ νυστάζων μηδὲ ὑπνῶν ἐν τῷ φυλάσσειν τὴν Ἱερουσαλήμ· ἐπὶ τὸ ἴδιον κτῆνος ἀνεβίβασεν, ἐπὶ τῶν ὤμων ἀναλαβὼν τὸν κείμενον καὶ πεπληγότα· ἰδὼν γὰρ αὐτὸν, ἐσπλαγχνίσθη· καὶ προσελθὼν, κατέδησε τὰ τραύματα αὐτοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν· ᾧ καὶ ἐτηρεῖτο ὡς ἰσχυροτέρῳ νόμου καὶ προφητῶν ὑπὸ τῆς προνοίας ἡμιθανὴς οὗτος· καὶ ἐπέχεεν αὐτῷ ἔλαιον, τὴν χαλαστικὴν καὶ παρηγορικὴν διδασκαλίαν· ἵνα λύσῃ τῶν τραυμάτων τὰς φλεγμονὰς, ἀλλὰ καὶ οἶνον, τὴν στύφουσαν καὶ ἐπιτιμητικὴν ἀγωγήν· καὶ ἤγαγεν αὐτὸν εἰς τὴν ἐκκλησίαν, τὴν πάντας τοὺς πιστοὺς ὑποδεχομένην· ἐκεῖ αὐτοῦ ἐπεμελήθη, διὰ τῶν ἀποστόλων καὶ εὐαγγελιστῶν, καὶ τῶν ἐκείνους διαδεξαμένων διδασκάλων τῆς ἐκκλησίας· καὶ ἐπὶ τὴν αὔριον, τουτέστι μετὰ τὴν ἀνάστασιν, ἐκβαλὼν δύο δηνάρια, τὴν παλαιὰν διαθήκην καὶ νέαν, τὸν αὐτὸν ἐχούσας τοῦ βασιλέως τῶν ὅλων χαρακτῆρα, ἑνὸς γὰρ καὶ τοῦ αὐτοῦ Θεοῦ αὕτη τε κἀκείνη, δέδωκε τῷ πανδοχεῖ, τοῦτο δὲ τὸ ὄνομα τοῖς ἱερεῦσι καὶ διδασκάλοις προσήκει· προσαναλίσκει δέ τις ἀπὸ μὲν τῶν δηναρίων λαμβάνων τῆς διδασκαλίας τὰς ἀφορμὰς, σαφηνίζων δὲ καὶ πλατύνων τοῖς παρ' ἑαυτοῦ λόγοις, καὶ μηδὲν παραλιμπάνων ἀλλ' αἰχμαλωτίζων πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ· δίδωσι δὲ τῷ πανδοχεῖ τὸν μισθὸν ἐν τῷ ἐπανέρχεσθαι, τουτέστιν, ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ, ὅτε μέλλει ἑκάστῳ ἀποδιδόναι κατὰ τὰ ἔργα αὐτοῦ· εἰ δὲ βούλει, καὶ ὧδε ἡ ἀνθρωπίνη φύσις ἐκ τῆς ὑψηλῆς ζωῆς τῆς ἐν παραδείσῳ, εἰς τὴν ἐμπαθῆ καταβᾶσα, δαίμοσι περιέπεσε· καὶ τὸ ἔνδυμα τῆς ἀθανασίας ἐκδυθεῖσα, τὰς βιωτικὰς ὀδύ-

νας ἐδέξατο, τὸ ἐν ἱδρῶτι ζῆν, τὰς ἀκάνθας, τὰς τριβόλους· καὶ ἡμιθανὴς ἦν, τῷ μὴ τελείως θεὸν ἀρνήσασθαι· καὶ νόμος μὲν αὐτὴν οὐδὲν ὠφέλησεν, ὡς ἀσθενής, Χριστὸς δὲ σάρκα φορέσας καθ' ἡμᾶς ἦλθε· τρισὶ τούτοις τὰ τῆς ψυχῆς ἐθεράπευσε πάθη, ταῖς παραγγελίαις, τῷ χρίσματι τῷ ἁγίῳ, τῷ μυστηρίῳ τῆς πίστεως, καὶ ἐπὶ τὸ οἰκεῖον ἀνήγαγε σῶμα· καὶ δι' ἑαυτοῦ ἐπεμελήθη, εἶτα τοῖς ἀποστόλοις παρέδωκε καὶ τοῖς ἐφεξῆς διδασκάλοις· οἷς καὶ ἐκδοῦναι τὸν τῆς δικαιοσύνης στέφανον, ἐπηγγείλατο· ἑαυτοῦ τοίνυν ἡμᾶς βούλεται γίνεσθαι μιμητάς, καὶ τὸν αὐτὸν ἔλεον περὶ τὸν ὁμόφυλον ἐπιδείκνυσθαι· καὶ διδάσκει ὅτι ἕκαστον δεῖ ἑαυτὸν ποιεῖν τοῦ δεομένου βοηθείας, πλησίον· τοῦτο γάρ ἐστι τὸ ἐπιλεγόμενον τῇ παραβολῇ.

Βασιλείου. Εἶτα Μάρθα μὲν τὸν κύριον ὑποδέχεται, καθέζεται δὲ πρὸς τοὺς πόδας αὐ- p. 146. a
τοῦ Μαρία· ἐν δυσὶν ἀδελφαῖς, καλὴ προθυμία· διάστησον μέντοι τὰ πράγματα· ἡ μὲν γὰρ Μάρθα, διηκόνει, παρασκευάζουσα τὰ πρὸς δεξίωσιν τῆς σωματικῆς χρείας· ἡ δὲ Μαρία καθημένη πρὸς τοὺς πόδας αὐτοῦ, ἤκουε τῶν λόγων αὐτοῦ· ἡ μὲν οὖν, ἀνέπαυε τῷ φαινομένῳ· ἡ δέ, ἐδούλευε τῷ ἀοράτῳ· ἦν γὰρ ἀληθῶς, καὶ ἄνθρωπος καὶ θεός, ὁ παρών· ὁ αὐτὸς δεσπότης, ἀμφοτέρων τῶν γυναικῶν τὴν προθυμίαν ἀπεδέχετο· ἀλλ' ἡ Μάρθα καμάτῳ πιεζομένη, μεσίτην γενέσθαι παρεκάλει τὸν κύριον, ἵνα προσλάβῃ βοηθὸν τὴν ἰδίαν ἀδελφήν, τῆς διακονίας· καὶ εἰπέ φησιν αὐτῇ, ἵνα ἀναστᾶσα, συνδιακονῇ μοι· ἡ μὲν οὖν μερίζεσθαι τὴν ἐπ' αὐτῷ δὴ τούτῳ φροντίδα παρεκάλει· οὐκ εἴα γε μὴν ὁ Χριστός, λέγων πρὸς αὐτήν· θορυβάζῃ περὶ πολλά, ὀλίγων δέ ἐστι χρεία ἢ ἑνός· ὀλίγων μέν, δηλονότι τῶν πρὸς παρασκευήν· ἑνὸς δέ, τοῦ σκοποῦ, ὥστε τὴν χρείαν ἐκπληρωθῆ· οὐδὲ γὰρ διὰ τοῦτο πάρεσμεν, ἵνα ἐπὶ στιβάσιν ἀναπέσωμεν καὶ τὴν κοιλίαν θρέψωμεν· ἀλλὰ πάρεσμεν, ἵνα ὑμᾶς θρέψωμεν λόγῳ ἀληθείας καὶ θεωρίᾳ μυστηρίων.

Τοῦ αὐτοῦ. Τὴν μὲν οὖν, οὐκ ἀπέστρεψεν ἀφ' ὧν ἐποίει· τὴν δέ, ἀπεδέξατο ἐφ' οἷς προσ- v. 36. p. 146. b.
εῖχεν· ὅρα μοι τοίνυν τὰς δύο μερίδας διὰ τῶν δύο γυναικῶν εἰσαγομένας, τὴν μὲν μίαν ἐλάττω, τὴν δὲ ἄλλην κρείττω καὶ ἀναβεβηκυῖαν· τὴν μὲν σωματικωτέραν διακονίαν, ἐλάττω· χρησιμωτάτη γὰρ καὶ αὕτη· τὴν δὲ ἀναβεβηκυῖαν τῇ θεωρίᾳ τῶν μυστηρίων, κρείττονα καὶ πνευματικωτέραν· ταῦτα σὺ ὁ ἀκροατής, πνευματικῶς προσλάμβανε, καὶ ὃ θέλεις ἔκλεξαι· εἰ μὲν βούλει, διακόνει τῷ σώματι τοῦ Χριστοῦ· αὐτὸς γὰρ εἶπεν· ἐφ' ὅσον ἑνὶ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε· κἂν γὰρ ξένους δέχῃ· κἂν πτωχοὺς ἀναπαύῃς, κἂν ἀῤῥώστοις ὑπηρετῇς, πάντα εἰς ἑαυτὸν ὁ Χριστὸς ἀναδέχεται· εἰ θέλεις διακονεῖν τοῖς πτωχοῖς, θεραπεύειν νοσοῦντας, διὰ Μάρθας τὸν κανόνα λάβε· ὃ γὰρ ἂν ποιήσῃς εἰς δοῦλον Χριστοῦ, εἰς Χριστὸν ἀνατρέχει τὸ γινόμενον· εἰ δὲ θέλεις τὴν Μαρίαν ζηλῶσαι, καταλελοιπυῖαν τὴν τοῦ σώματος διακονίαν, ἀναβᾶσαν δὲ εἰς θεωρίαν τῶν πνευματικῶν μαθημάτων, γνησίως μέτελθε τὸ πρᾶγμα· κατάλιπε τὸ σῶμα· ἔασον γεωργίαν, ὀψοποιΐαν τε καὶ παρασκευήν· κάθισον δὲ παρὰ τοὺς πόδας τοῦ κυρίου· καὶ ἄκουσον αὐτοῦ τῶν λόγων, ἵνα κοινωνὸς γένῃ τῶν τῆς θεότητος μυστηρίων· ἡ γὰρ θεωρία τῶν Ἰησοῦ μαθημάτων, ὑπερανεβέβηκε τοῦ σώματος τὴν διακονίαν· ἔλαβες τὰ ὑποδείγματα, ζήλωσον ὃ θέλεις· ἢ διάκονος ἔσο πτωχῶν, ἢ ἐραστὴς μαθημάτων Χριστοῦ· εἰ δὲ δύνασαι ἀμφότερα ζηλῶσαι, ἑκατέρωθεν ἀποφέρῃ τὸν καρπὸν τῆς σωτηρίας· πρῶτος μέν τοι ἐστὶν ὁ πνευματικὸς λόγος· τὰ δὲ λοιπὰ πάντη, δεύτερα· Μαρία γάρ, φησι, τὴν ἀγαθὴν μερίδα ἐξελέξατο· ἂν τοίνυν καὶ σὺ θέλῃς μύστης εἶναι κυρίου, παρακαθέζῃ αὐτοῦ τοῖς ποσὶ· δέχῃ δὲ αὐτοῦ τὸ εὐαγγέλιον, καταλείψεις ὅλον τὸν βίον καὶ ἀμερίμνως διοίσεις· ἐπι-

λησθήσῃ δὲ καὶ τοῦ ἰδίου σώματος· καὶ οὕτως δυνήσῃ προσδιαλέγεσθαι αὐτοῦ τοῖς θεωρήμασι· ἵνα ζηλώσῃς Μαρίαν, καὶ τὴν ἀνωτάτω καρπώσῃ δόξαν· εἰ δὲ μὴ, τό γε δεύτερον, διακόνει τοῖς δεομένοις· ἴδοις γὰρ ἂν καὶ τοὺς ἀποςόλους μετὰ τὴν ἀνάληψιν τοῦ σωτῆρος, διακονοῦντας ταῖς τραπέζαις τῶν χηρῶν· ἐπειδὴ δὲ ἐνεποδίζοντο πρὸς τὸν λόγον, συναγαγόντες τὸ πλῆθος, λέγουσιν, οὐκ ἀρεςόν ἐςιν ἡμᾶς καταλιπόντας τὸν λόγον, διακονεῖν τραπέζαις· ἐπισκέψασθε δὴ ἄνδρας μαρτυρουμένους ἑπτὰ, πλήρεις πνεύματος καὶ σοφίας, οὓς καταςήσομεν ἐπὶ τῆς χρείας ταύτης· ἡμεῖς δὲ τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν· καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους· ἐπεδήμησε τις τῶν ξένων; λαβέτω τύπον καὶ ὑπογραμμὸν τῆς ἐν τροφαῖς αὐταρκείας· μὴ δὲ διὰ τοὺς τρυφῶντας, τὴν τράπεζαν ἡμῶν μετασκευασώμεθα· μονότροπος ὁ τοῦ χριςιανοῦ βίος, ἵνα σκοπὸν ἔχων τὴν δύναμιν τοῦ θεοῦ· πολύτροπος δὲ καὶ ποικίλος, ὁ τῶν ἔξω βίος, ἄλλοτε ἄλλως πρὸς τὴν ἀρέσκειας τῶν ἐντυγχανόντων μεταπλασσόμενος· ὥςε καὶ σὺ πλήθει βρωμάτων, καὶ περιεργίᾳ πρὸς ἡδονὴν μετασκευάζων τοῦ ἀδελφοῦ σου τὴν τράπεζαν, κατηγορεῖς αὐτοῦ φιληδονίαν, καὶ καταχέεις αὐτοῦ γαστριμαργίας ὀνείδη· δι' ὧν παρασκευάζεις, ἐλέγχων αὐτοῦ τὴν περὶ ταῦτα ἡδυπάθειαν· οὐκ ἐπῄνεσε τὴν Μάρθαν ὁ κύριος, εἰς πολλὴν περισπωμένην διακονίαν· αὐτὸς δὲ ὁποίαν παρέθηκε τοῖς πεντακισχιλίοις τροφὴν, οὐκ ἀγνοεῖς· ὁ ὀρθὸς λόγος τῆς τῶν βρωμάτων χρήσεως, τὴν ἐπεισαγωγὴν τοῦ κενωθέντος πρὸς τὴν τοῦ ζώου σύςασιν ὑπαγορεύει· ὅπερ οὖν μέλλει ἀπεριεργότερον ἡμᾶς ἀπαλλάσσειν τῆς χρείας, τοῦτο προσενεκτέον· δηλοῖ δὲ τοῦτο καὶ ὁ κύριος, ἐν οἷς ἐδεξιοῦτο τὰ κεκμηκότα πλήθη πρὸς τὸ μὴ ἐκλυθῆναι ἐν τῇ ὁδῷ, ὡς γέγραπται· δυνάμενος γὰρ ἐπιτεῖναι τὸ θαῦμα ἐν τῇ ἐρήμῳ, τῇ ἐπινοίᾳ τῆς πολυτελείας, οὕτω λιτὴν καὶ ἀπέριττον τὴν τροφὴν αὐτοῖς παρεσκεύασεν, ὥςε ἄρτους μὲν κατὰ τὸν Ἰωάννην κριθίνους εἶναι, καὶ ἰχθύας μέρος ἐπὶ τῷ ἄρτῳ· περὶ δὲ ποτοῦ, οὐδὲ ἐμνημόνευσεν, ὡς αὐτοφυοῦς πᾶσι καὶ ἀρκοῦντος ταῖς χρείαις τοῦ ὕδατος προκειμένου· πλὴν εἰ μή τινι δι' ἀῤῥωςίαν βλαβερὸν εἴη τὸ τοιοῦτον ποτὸν, ὃ παραιτητέον, κατὰ τὴν συμβουλὴν Παύλου τὴν πρὸς Τιμόθεον· καὶ πάντα δὲ ὅσα προφανῆ τὴν βλάβην ἔχει, παραιτητέον· ἀνακόλουθον γὰρ, διὰ μὲν τὴν σύςασιν τοῦ σώματος τὰς τροφὰς αἱρεῖσθαι· δι' αὐτῶν δὲ πάλιν τῶν τροφῶν, προσπολεμεῖν τῷ σώματι, καὶ ἐμποδίζειν αὐτῷ πρὸς τὴν τῶν ἐντολῶν ὑπηρεσίαν.

## CAP. XI.

v. 1. p. 148. b. Μάρκου μοναχοῦ. Ἡ προσευχὴ, ἀρετὴ λέγεται· καὶ μήτηρ ἀρετῶν ἐςιν· ἀπογεννᾷ γὰρ αὐτὰς, διὰ τῆς εἰς Χριστὸν συναφείας· καὶ ὃ ἂν πράξωμεν χωρὶς προσευχῆς, ἀτελές ἐςι· καὶ προσευχὴ μὲν ἀρέμβαςος, φιλοθεΐας σημεῖον τῷ παραμένοντι· ἀμέλεια δὲ αὐτῆς καὶ ῥεμβασμὸς, φιληδονίας τεκμήριον.

v. 2. p. 149. b. Βασιλείου. Σὺ δὲ πρότερον εἰπὲ πατέρ· εἶτα αἴτησον τὰ ἐφεξῆς· δοκίμασον δὲ σεαυτὸν, ἐκ ποταποῦ βίου ἀπήντηκας, εἰ ἄξιος εἶ τὸν ἅγιον θεὸν, πατέρα σεαυτοῦ ὀνομάζειν· δι' ἁγιασμοῦ ἐςιν ἡμῖν ἡ πρὸς τὸν ἅγιον οἰκείωσις· εἰ βούλοιο οὖν υἱὸς τοῦ ἁγίου εἶναι, ἁγιασμός σε υἱοθετείτω.

p. 150. a. Μακαρίου. Γενηθήτω οὖν τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς· ἵνα ὃν τρόπον οἱ ἐν οὐρανοῖς ἄγγελοι σύνεισιν ἀλλήλοις, ἐν ὁμονοίᾳ πολλῇ, ἐν ἀγάπῃ ἐν εἰρήνῃ διά-

γοντες· καὶ οὐκ ἔστιν ἐκεῖ ἔπαρσις ἢ φθόνος, ἀλλ' ἐν ἀγάπῃ καὶ εἰλικρινείᾳ μετὰ ἀλλήλων εἰσίν· οὕτως ἵνα καὶ ἡμεῖς ὦμεν μετ' ἀλλήλων· καὶ ὥσπερ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα, ἕν ἐστι σῶμα, καὶ βοηθοῦσιν ἀλλήλοις, καὶ ἕκαστον ἴδιον ἔργον ἐκτελεῖ ὑπὲρ ὅλου τοῦ σώματος, οὕτω καὶ ἡμεῖς συγκροτῶμεν ἀλλήλους.

Μάρκου μοναχοῦ. Πλὴν ἀλλὰ καὶ τὸ, τὰ ζωαρκῆ παρὰ Θεοῦ δέχεσθαι θέλειν, μῶμον v. 3. p. 151. a.
ἂν ἔχοι παντελῶς οὐδένα· εἰδὼς γὰρ ὁ κύριος ἀπαραίτητον οὖσαν τὴν ἐφήμερον τῆς σαρκὸς ἐπιμέλειαν, οὐ περιέκοψε τὴν καθημερινὴν φροντίδα· ἀλλὰ παραχωρήσας ἡμῖν τῆς σήμερον, περὶ τῆς αὔριον μὴ μεριμνᾷν παρακελεύεται, πάνυ φιλανθρώπως· οὐκ ἔστι γὰρ δυνατὸν σάρκα φοροῦντας, τὴν σωματικὴν ζωὴν παραλογίσασθαι· συσταλῆναι μὲν γὰρ τὰ πολλὰ εἰς ὀλίγα διὰ προσευχῆς καὶ ἐγκρατείας ἐνδέχεται· παντελῶς δὲ παρορασθῆναι, ἀδύνατον.

Βασιλείου. Ἅτε τὸν ἐπιούσιον ἄρτον, τουτέστι τὸν πρὸς τὴν ἐφήμερον ζωὴν τῇ οὐσίᾳ ἡμῶν χρησιμεύοντα, οὐκ ἑαυτῷ ἐπιτρέποντα, ἀλλὰ τῷ Θεῷ περὶ τούτου ἐντυγχάνοντα, καὶ τὴν ἀνάγκην τῆς φύσεως αὐτῷ ἐπιδεικνύοντα· ὥστε τὸ μὲν δι' ἑαυτὸν μεριμνᾷν τινὰ περὶ τῆς αὔριον, καὶ τὰ πρὸς τὴν χρείαν προαποτίθεσθαι, φιλαυτίας ἐστὶν ἔγκλημα· τὸ δὲ διὰ τὴν ἐντολὴν καὶ μεριμνᾷν καὶ ἐργάζεσθαι πρὸς τὸ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων, φιλοχρίστου καὶ φιλαδέλφου διαθέσεως ἐστὶ γνώρισμα· οὐ μὴν, οὐδὲ τὸ ἡδὺ, τέλος ποιεῖσθαι βρώσεως χρὴ, ἀλλὰ τὴν πρὸς τὸ ζῆν χρείαν, παραιτουμένους τῆς ἡδονῆς τὸ ἀκόλαστον· τὸ γὰρ δουλεύειν ταῖς ἡδοναῖς, οὐδὲν ἕτερόν ἐστιν ἢ θεὸν ἑαυτοῦ τὴν κοιλίαν εἰπεῖν· ἐπεὶ γὰρ τὸ σῶμα ἡμῶν ἀεὶ κενούμενον καὶ ἀποῤῥέον, τῆς πληρώσεως ἐπιδεῖται, διὸ καὶ φυσικαί εἰσιν αἱ τῆς τροφῆς ὀρέξεις, ὁ λόγος ὑπαγορεύει τὴν τοῦ κενωθέντος ἐπεισαγωγὴν, εἴτε ὑγρᾶς τροφῆς εἴτε ξηρᾶς ἡ ἔνδεια γένηται· ἀναγκαίως μέντοι κἀκεῖνο προσδιωρίσθω, ὅτι πρὸς μὲν τὸν ὑπωπιασμὸν τοῦ σώματος, ἀπαραίτητος ἡ ἐγκράτεια, πρὸς δὲ τὸ μὴ συνεμπίπτειν τοῖς ἐχθροῖς τοῦ Θεοῦ τοῖς κεκαυστηριασμένοις τὴν ἰδίαν συνείδησιν, καὶ διὰ τοῦτο ἀπεχομένοις βρωμάτων, ἅπτεσθαι μὲν ἑκάστου χρὴ καιροῦ ποτε συνεμπεσόντος· ὅσον ἐνδείκνυσθαι τοῖς ὁρῶσιν, ὅτι οὐδὲν ἀπόβλητον· φυλάττειν δὲ καὶ οὕτως τὸν τῆς ἐγκρατείας σκοπὸν· τοῖς μὲν εὐτελεστέροις καὶ ἀναγκαίοις πρὸς τὸ ζῆν, μέχρι τῆς χρείας προσδιατρίβοντα· καὶ ἐν τούτοις τοῦ κόρου τὸ βλαβερὸν ἐκκλίνοντα· τῶν δὲ πρὸς ἡδονὴν, καθόλου ἀπεχόμενον· οὕτω γὰρ καὶ τῶν φιληδόνων τὸ πάθος ἐκκόψομεν, καὶ τοὺς κεκαυστηριασμένους τὴν ἰδίαν συνείδησιν, τό γε ἐφ' ἡμῖν, θεραπεύσομεν· καὶ ἑαυτοὺς δὲ, τῆς ἐν ἑκατέρῳ ὑπονοίας ἐλευθερώσομεν.

Συνεσίου. Ἀφιέναι δὲ φησὶ δεῖν ὁ Θεὸς τὰ ὀφειλήματα· ὀφείλει δὲ ὁ μέν τις δάνεισμα p. 152. b.
χρυσίου, ὁ δὲ τοῦ δοῦναι δίκην· καὶ ὁ τοῦ λαβεῖν οὖν δίκην ὑπεριδὼν, ὑπήκουσε τοῦ Θεοῦ.

Μάρκου μοναχοῦ. Φεῦγε πειρασμὸν δι' ὑπομονῆς καὶ δεήσεως· εἰ δὲ ἐκτὸς τούτων ἀντιτάσσῃ, περισσοτέρως ἐπέρχεται· πειρασμοῦ ἐπελθόντος, μὴ ζήτει διὰ τί, ἢ διὰ τίνος ἐλήλυθεν, ἀλλ' ὅπως ἂν εὐχαρίστως αὐτὸν καὶ ἀμνησικάκως ὑπομείνῃς· ὥσπερ ἡ κατὰ Θεὸν ἐργασία ἀρετὴ λέγεται, οὕτως ἡ παρὰ προσδοκίαν θλίψις, πειρασμὸς ὀνομάζεται· ὁ Θεὸς τὸν Ἀβραὰμ ἐπείραζε, τουτέστι πρὸς τὸ συμφέρον ἔθλιβεν· οὐχ ἵνα μάθῃ ποῖος ἐστὶν, ᾔδει γὰρ αὐτὸν ὁ εἰδὼς τὰ πάντα, πρὶν γενέσεως αὐτῶν· ἀλλ' ὅπως ἀφορμὰς αὐτῷ παράσχῃ τῆς τελείας θλίψεως· πᾶσα θλίψις ἐλέγχει τὴν ῥοπὴν τοῦ θελήματος, εἴτε εἰς δεξιὰ ῥέπει εἴτε εἰς ἀριστερά· διὰ τοῦτο ἡ συμβατικὴ θλίψις, πειρασμὸς ὀνομάζεται· πανηγύρει δὲ προσέοικε πᾶσα σύμβασις· ὁ εἰδὼς πραγματεύσασθαι κερδαίνει πολλά· ὁ δὲ μὴ εἰδὼς, ζημίας ὑπο-

φέρει· εἰδέναι γε μὴν ὀφείλομεν, ὅτι πᾶν τὸ ἐπελθὸν ἡμῖν ἀκουσίως, ἢ δι' ἀγάπην ἢ διὰ κακίαν· καὶ διὰ τοῦτο ὑπομένειν χρὴ καὶ μὴ ἀπωθεῖσθαι αὐτὸ, ἵνα μὴ προσθῶμεν ἁμαρτίας ἐφ' ἁμαρτίαις ἡμῶν· δύο γάρ εἰσι τρόποι ἀναδοχῆς, καὶ ἔστιν ἀπὸ κακίας ἀναδοχὴ ἑκούσιος· πᾶς γὰρ ὁ ἀδικῶν, τοῦ ἀδικουμένου κατὰ ἀναλογίαν ἀναδέχεται τοὺς πειρασμοὺς, καὶ μαρτυρεῖ ἡ γραφὴ, λέγουσα· δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής· καὶ πάλιν· ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν· καὶ ὁ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει· καὶ εἰς κόλπον ἐπέρχεται πάντα τοῖς ἀδίκοις· ἔστι δὲ καὶ ἐξ ἀγάπης ἀναδοχὴ, ἣν ὁ κύριος ἡμῖν παρέδωκεν, πρῶτον ἰασάμενος ἡμῶν τὰς ἀσθενείας τῆς ψυχῆς· εἶτα θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν, αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· διὸ καὶ τοὺς ὑπὲρ ἡμῶν πειρασμοὺς ἀναδέχεται καὶ τὰ πάθη· ταύτην τὴν ἀναδοχὴν ἐμφαίνων, ἔλεγε· μὴ φοβεῖσθε, ἐγὼ νενίκηκα τον κόσμον· καὶ πάλιν· ἐγὼ ὑπὲρ αὐτῶν ἁγιάζω ἐμαυτὸν, ἵνα καὶ αὐτοὶ ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ· καὶ πάλιν· μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνά τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ· ὃν καὶ Παῦλος μιμούμενος, ἔλεγε· νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν· εἰ οὖν ἔγνωμεν τοὺς δύο τρόπους τῆς εἰς ἀλλήλους κοινωνίας, καὶ τὴν ἐξ ἀνάγκης ἀκολουθοῦσαν ἀναδοχὴν, καὶ τοὺς κατὰ ἀναλογίαν συμβαίνοντας πειρασμοὺς, μὴ περιεργαζώμεθα τὸ πῶς ἢ πότε, ἢ διὰ τίνος ἐπέρχονται· ἀλλὰ πιστεύωμεν τῇ τοῦ θεοῦ δικαιοσύνῃ· τὸ γὰρ ἑκάστῳ προσφυὲς, μόνου τοῦ θεοῦ ἐστὶν εἰδέναι.

v. 9. p. 154. b. Μακαρίου. Ἡ γὰρ τοῦ θεοῦ σοφία ποικίλως τὰς οἰκονομίας τῆς χάριτος εἰς τὸ γένος τῆς ἀνθρωπότητος ἐξεργάζεται· οἷς μὲν γὰρ προαπαντῶσι τὰ χαρίσματα, ἄνευ καμάτων· καὶ τοῦτο οὐκ ἀργῶς, ἀλλ' εἰς τὸ δοκιμασθῆναι τὴν προαίρεσιν τῶν ταχέως ἐπιτυχόντων τῆς θείας χάριτος, εἰ ᾔσθοντο τῆς εὐεργεσίας· ἧς καταξιωθέντες, ὀφείλουσι καὶ τὸν ἐκ θελήματος ἀγάπης καρπὸν ἐπιδείξασθαι, ὅλους ἑαυτοὺς διδόντες εἰς τὴν τοῦ κυρίου ἀγάπην· οἷς δὲ οὐκ εὐθέως δίδωσιν ὁ θεὸς τὴν χάριν, τὴν δωρεὰν ἐπέχων οὐχ ὡς ἔτυχεν, ἀλλ' εἰς δοκιμασίαν τοῦ αὐτεξουσίου θελήματος, τοῦ ἰδεῖν εἰ πιστὸν ἥγηται τὸν θεὸν τὸν ἐπαγγειλάμενον τοῖς αἰτοῦσι διδόναι, καὶ τοῖς κρούουσιν ἀνοίγειν θύραν ζωῆς· τοῦ ἰδεῖν εἰ μὴ περικακήσαντες ἀποστραφῶσιν· ὁ γὰρ μὴ τάχιον λαμβάνων, διὰ τῆς ἀναβολῆς τοῦ θεοῦ, πλέον ἐκκαίεται· καὶ ὅσῳ μακροθυμεῖ ὁ θεὸς δοκιμάζων τὸν πόθον, αὐτὸς ὀφείλει ἐμπόνως ζητεῖν τὴν δωρεὰν τοῦ θεοῦ.

v. 29. p. 160. b. Μεθοδίου Πατάρων. Περιέχει δὲ καὶ μέγα μυστήριον ἡ κατὰ τὸν Ἰωνᾶν ἱστορία· ἔοικε γὰρ τὸ μὲν κῆτος, νοεῖσθαι ὁ χρόνος, ἅτε μηδέποτε ἑστὼς, ἀλλὰ πορευόμενος ἀεὶ καὶ καταδαπανῶν τὰ γεννώμενα μακροῖς τὲ καὶ βραχυτέροις διαστήμασιν· ὁ δὲ φεύγων Ἰωνᾶς ἀπὸ προσώπου τοῦ θεοῦ, αὐτὸς ἐκεῖνος ὁ πρῶτος ἄνθρωπος, ἀθετήσας τὴν ἐντολὴν ἔφυγεν ἀφθαρσίας ὀφθῆναι γυμνὸς, τὴν πρὸς τὸ θεῖον ὑπὸ τῆς ἁμαρτίας παῤῥησίαν ἀφῃρημένος· τὸ δὲ πλοῖον εἰς ὃ ἐπιβὰς ἐχειμάζετο, ἡ κατὰ τὸν παρόντα καιρὸν βραχύβιος ἐστὶν αὕτη καὶ δυσάρεστος ζωή· οἷον τραπέντων ἡμῶν καὶ μετανάστευσάντων ἀπὸ τῆς μακαριότητος ἐκείνης καὶ ἀκινδύνου ζωῆς, εἰς τὸν πολυχειμαστότατον τοῦτον βίον καὶ ἀκατάστατον, καθάπερ ἀπὸ γῆς εἰς πλοῖον· ὃ γὰρ πλοῖον πρὸς γῆν, τοῦτο ὁ παρὼν βίος πρὸς τὸν ἀθάνατον· ὁ δὲ χειμὼν καὶ αἱ ἐπισυνιστάμεναι καθ' ἡμῶν λαίλαπες, εἰσὶν οἱ ἐνταῦθα πειρασμοί· ὥσπερ ἐν κλύδωνι τῷ κόσμῳ, ἀλύπως εὐθυδρομῆσαι τὸν βίον ἡμᾶς ἐν γαλήνῃ καὶ νηνεμίᾳ κακῶν μὴ

ἐπιτρέποντες· ἡ δὲ ἀπὸ τοῦ πλοίου εἰς τὴν θάλασσαν ἔκριψις τοῦ Ἰωνᾶ γεγενημένη, τὴν ἀπὸ τοῦ ζῆν εἰς τὸ τελευτῆσαι τοῦ πρωτοπλάστου δηλοῖ μετάπτωσιν, ἀποφάσεως τυχόντος ἀνθ' ὧν ἁμαρτήσας ἀπέδρα τῆς δικαιοσύνης, τὸ, γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ· τὸ δὲ καταποθῆναι αὐτὸν ὑπὸ τοῦ κήτους, τὴν ὑπὸ τοῦ χρόνου γεγενημένην ἀπαραίτητον ἡμῶν δηλοῖ ἀναίρεσιν· ἡ γὰρ κοιλία ὑφ' ἧς ἐκαλύφθη καταποθεὶς ὁ Ἰωνᾶς, ἡ πανδοχεὺς ἐστὶ γῆ, τὰ ὑπὸ τοῦ χρόνου δαπανώμενα δεχομένη· καθάπερ οὖν Ἰωνᾶς, ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας ἐνδιατρίψας, καὶ νύκτας τοσαύτας, αὖθις ὑγιὴς ἀπεδόθη, οὕτω δὴ καὶ πάντες τὰς τρεῖς τοῦ παρόντος αἰῶνος διαστάσεις ποιήσαντες ἐν τῇ γῇ, ἀρχὴν λέγω, καὶ μεσότητα, καὶ τέλος, ἐξ ὧν σύγκειται πᾶς οὗτος ὁ παρὼν χρόνος, ἀναστησόμεθα· τρία γὰρ καθολικὰ χρόνου διαστήματα, παρωχηκὼς, καὶ μέλλων, καὶ παρών· καὶ διὰ τοῦτο καὶ ὁ κύριος τοσαύτας ἡμέρας συμβολικῶς ποιήσας ἐν τῇ γῇ, ἐδίδαξε σαφῶς, ὅτι πληρωθέντων τῶν προειρημένων τοῦ χρόνου διαστημάτων, ἔσται ἡμῶν ἡ ἀνάστασις· τοῦ μέλλοντος μὲν ἀρχὴ αἰῶνος ὑπάρχουσα, τούτου δὲ τέλος· ἐν αἰῶνι γὰρ οὔτε παρῴχηκέ τι, οὔτε μέλλει, ἀλλὰ μόνον ὑφέστηκεν· ἔτι ὁ Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας ποιήσας, οὐ κατεφθάρη, συντηκομένων αὐτῷ τῶν σαρκῶν κατὰ τὴν ἐν τῇ κοιλίᾳ γινομένην φυσικὴν σῆψιν τῶν εἰσφερομένων βρωμάτων, διὰ τὴν πλείονα ἐν τοῖς ἐνύδροις θερμότητα, ἵνα δειχθῇ ὅτι δύναται εἶναι ἡμῶν τὰ σώματα ταῦτα ἀνώλεθρα· νόει γάρ μοι τὸν θεὸν, τὰς μὲν ὡς ἀπὸ χρυσοῦ κατεσκευασμένας ἔχειν εἰκόνας ἑαυτοῦ ἀπὸ τῆς πνευματικῆς καθαρωτέρας οὐσίας, οἷον τοὺς ἀγγέλους· τὰς δὲ ὥσπερ ἀπὸ γύψου ἢ χαλκοῦ, οἷον ἡμᾶς· τῷ γηΐνῳ γὰρ τὴν ψυχὴν ἥνωσε τὴν κατ' εἰκόνα θεοῦ γεγενημένην· ὡς οὖν πάσας ἐνταῦθα τοῦ βασιλέως τὰς εἰκόνας τιμᾶσθαι χρὴ διὰ τὴν ἐν αὐταῖς μορφὴν, οὕτω δὴ καὶ ἡμᾶς ἀνένδεκτόν ἐστι θεοῦ εἰκόνας ὑπάρχοντας, πρὸς ἀπώλειαν ὡς ἠτιμωμένους χωρῆσαι παντελῆ· ὅθεν καὶ κατῆλθεν εἰς τὴν καθ' ἡμᾶς οἰκουμένην ὁ λόγος· καὶ ἐσαρκώθη ἐκ τοῦ σώματος ἡμῶν, ὅπως εἰς τὸ θεοπρεπέστερον τὴν εἰκόνα ἐπισκευάσας καθάπερ ὑπὸ χρόνου διαλελυμένην, ἀναστήσῃ ἀνώλεθρον· καὶ γοῦν τὴν ἐπὶ τοῦ προφήτου μυστηριωδῶς πεπραγματευμένην οἰκονομίαν δηλοῦντες, ἅπαντα εἰς τοῦτο ἀναφανδὸν συντείνοντα εὕρομεν τὸν λόγον.

Ἀνεπιγράφου. Λύχνον ἔχοντες ἐν ἑαυτοῖς οἱ ἄνθρωποι τὴν νοερὰν δύναμιν, οὐκ εἰς τὸ v. 34. p. 161. b.
ἐμφανὲς ἄγουσι ταύτην, ἀλλ' εἰς τὸ ἀφανὲς κρύπτουσι, τῷ μὴ ζητεῖν τὴν ἔκλαμψιν τοῦ νοῦ, ἀλλὰ τὴν ἔξωθεν καὶ ματαίαν λαμπρότητα· αὕτη γὰρ γίνεται περὶ τὸν νοῦν σκότος, εἰς πονηρίαν αὐτὸν ἐκκαλουμένη· οἷα δὴ καὶ περὶ τοὺς φαρισαίους δόξα παρὰ τῷ πλήθει, φθονερῶς καὶ κακοήθως κατὰ τοῦ τιμωμένου παρασκευάζουσα προάγειν διὰ στόματος λόγους ἀσεβεῖς καὶ συκοφαντικούς· οὕτω γὰρ ἔνδοθεν καὶ ἀπὸ καρδίας ἀρχόμενον τὸ σκότος, ὅλον τὸ σῶμα πληροῖ· οὐ μόνον τὸ στόμα λόγων ἐμπιπλῶσα τῶν μὴ δικαίων, ἀλλὰ καὶ χεῖρας ἐπὶ μιαιφονίαν ἐγείρουσα· ὃ δὴ καὶ πράττουσι μικρὸν ὕστερον, ἐκ τοῦ φθόνου πρὸς τὸν φόνον ἐγειρόμενοι· ἐξὸν οὖν ὑμῖν, φησὶ, καθαρὸν κατασκευάζειν τὸν νοῦν, καὶ διὰ τοῦτο καταλαμπρύνειν ἑαυτῶν τούς τε λόγους καὶ τὰς πράξεις, ὑμεῖς τοὐναντίον, ὅθεν χρὴ προάγειν φῶς, προάγετε σκότος.

Μακαρίου. Ὥσπερ γὰρ τοῦ σώματος οἱ ὀφθαλμοὶ, φῶς εἰσι· καὶ ἐπὰν ὑγιεῖς ὦσιν, ὅλον p. 162. a.
τὸ σῶμα πεφώτισται· ἐπὰν δέ τι παρεμπέσῃ καὶ σκοτισθῶσιν, ὅλον τὸ σῶμα σκοτεινόν ἐστιν· οὕτως οἱ ἀπόστολοι, ὀφθαλμοὶ καὶ φῶς ὅλου τοῦ κόσμου ἐτέθησαν· ἔλεγεν οὖν αὐτοῖς παραγ-

γέλλων ὁ κύριος· ἐὰν ὑμεῖς στῆτε καὶ μὴ περιπατῆτε, φῶς ὄντες τοῦ σώματος, ἰδοὺ ὅλον τὸ σῶμα πεφώτισται τοῦ κόσμου· εἰ δὲ ὑμεῖς οἱ ὄντες φῶς σκοτισθῆτε, τὸ σκότος πόσον; ὅ ἐστιν ὁ κόσμος.

v. 42. p. 163. b. Βασιλείου. Λέγων δὲ οὐαὶ ὑμῖν, τὴν ἐπὶ τοῖς δυσυπομονήτοις πόνοις ἐκπεμπομένην ταύτην φωνὴν ἁρμόζειν λέγει τοῖς μικρὸν ὕστερον ἐν βασάνῳ δυσφορωτάτῃ γενησομένοις.

v. 52. p. 164. b. Τοῦ Γεωμέτρου. Ἄλλοι δὲ ἑτέραν αἰτίαν τῆς τοῦ Ζαχαρίου ἀναιρέσεως λέγουσιν· ὅτε γὰρ τὸ ἄχρονον φῶς τῷ χρονικῷ ἐμίγη, καὶ θεία τίς δύναμις ἐν εἴδει ἀστέρος, καθάπερ φωνῇ τῇ ὁρμῇ εἰς Βηθλεὲμ τοὺς μάγους ὡδήγει· πρὸς ὀλίγον δὲ ἀπεκρύβη καὶ τοῦτο σοφῶς, ἵνα καὶ τοῖς κατὰ τὴν Ἱερουσαλὴμ δῆλον γένηται τὸ μυστήριον, τῶν μάγων πυνθανομένων ποῦ ἐστὶν ὁ τεχθεὶς βασιλεὺς τῶν ἰουδαίων; τότε Ἡρώδης οὐ φαύλως διεταράχθη, σφόδρα φίλαρχος ὤν· καὶ παρὰ τῶν γραμματέων διαπυνθάνεται, ποῦ ὁ Χριστὸς γεννᾶται· οἱ δὲ λίαν κακούργως, τὸ μὲν ὁμολογοῦσι, τὸ δὲ κρύπτουσι· τὸ μὲν γὰρ ἐκ Βηθλεὲμ τὸν Χριστὸν ἔρχεσθαι, καὶ πάνυ σαφῶς παρὰ τοῦ προφήτου διερμηνεύουσι· τὸ δὲ καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς αἰῶνες, οὐ προστιθοῦσι, θεὸν αὐτὸν λέγειν μὴ ἀνεχόμενοι· Ἡρώδην δὲ ἄνοια καὶ απόνοια, δύο κακὰ περιπετῆ τοῖς ἑαυτοῦ πεποιήκασι λογισμοῖς· καλεῖ μὲν γὰρ κρύφα τοὺς μάγους, καὶ πολυπραγμονεῖ περὶ τοῦ παιδὸς, ὡς ἐπιβουλεύσων· ὅπερ εἰ καὶ μαγικὸν, ἀλλ' ἀληθὲς ἦν· ὑπισχνεῖται δὲ καὶ προσκυνήσειν, ὡς βασιλέα· ὅπερ οὐ ψευδὲς μόνον, ἀλλὰ καὶ εὐφώρατον ἦν· εἰ μὲν γὰρ ἐπιβουλεύεις, τί προσκυνεῖν ζητεῖς; εἰ δὲ προσκυνεῖν ζητεῖς, τί κρύφα πολυπραγμονεῖς, καὶ λανθάνειν ἐθέλεις; ἐπεὶ δὲ ἐνεπαίχθη, ὁ μὲν ἐθυμομάχει· ἐν ἔσῳ δὲ κακὰ ῥάπτων ἦν, πόλεμος ἔνδοθεν αὐτῷ παρὰ τῶν οἰκείων ἀναῤῥιπίζεται, παρά τε τῆς γυναικὸς καὶ τῶν παίδων· ἔνθεν καὶ τῶν καιριωτέρων γενόμενος, τὴν μὲν γυναῖκα παραυτίκα διαχειρίζεται· τῶν δὲ παίδων, ἐπεὶ μὴ ἐξῆν αὐτῷ χωρὶς Καίσαρος, φείδεται μὲν ἐπ' ὀλίγον· τῆς δὲ κατ' αὐτῶν ὁρμῆς ὅλος ὤν, ἐπὶ Ῥώμην ἀνέπλει, τὴν ἐκεῖθεν ψῆφον ληψόμενος, ὃ δὴ καὶ γέγονε· καὶ τὴν αὐθεντίαν ἐκεῖθεν λαβὼν, ἀποπνίγει καὶ τοὺς υἱοὺς· οὕτω τούτων ἐμφορηθεὶς, ἐπὶ τοὺς οὐδὲν ἠδικηκότας παῖδας ἀφίησι τὴν ὀργήν· τῷ γὰρ κοινῷ πάντως, καὶ τὸν ἕνα που συμπεριλαβεῖν· καὶ πέμψας, ἀποθερίζει πᾶσαν οἶμαι τὴν ἐν Βηθλεὲμ ἄωρον ἡλικίαν· τοιαῦτα δράσας, εἰς βρέφη κομιδῇ μικρά τε καὶ νεογνὰ, ἃ κἂν εἰς ἄλογα, κἂν εἰς ἄψυχα, καὶ ἔρνη νεαρὰ καὶ καλὰ, καὶ ἐλάττω πολλῷ δράσαί τις κατηλέησεν, ὅ γε φιλοσυμπαθὴς καὶ φιλόκαλος, ἀλλ' οὐκ ἐκεῖνος· πῶς γὰρ ὅ γε μὴ δὲ τῶν οἰκείων υἱῶν ἤδη καὶ βασιλέων διὰ τὴν βασιλείαν φεισάμενος; τότε τοίνυν Ἰησοῦς μὲν εἰς Αἴγυπτον φεύγει· Ἰωάννης δὲ ὁ μέγας ἔμελλεν ἄρα κἀνταῦθα καὶ προτυθῆναι καὶ προδραμεῖν τοῦ καινοῦ καὶ πρώτου καὶ μεγάλου θύματος, μετὰ τῶν ἡλικιωτῶν· θεὸς δὲ ἦν πάντως καὶ τούτου φύλαξ, αὐτὸς ὁ ζητούμενος καὶ φυγαδευόμενος· οὗτος γὰρ τὴν Ἐλισάβετ καὶ τὸν υἱὸν, ἐκ μέσων ἁρπάζει τῶν φόνων· ἔνθεν καὶ διωκομένη, πρὸς τὴν ἔρημον ἔξεισι· καὶ τὸν υἱὸν ὑπεκτίθεται· τὰ δ' ἐντεῦθεν, ἄῤῥητα τοῦ μεγάλου καὶ ἀκατάληπτα· καθάπερ τῷ ἡλίῳ καὶ βασιλεῖ, καὶ νυμφίῳ ἡ σύλληψις καὶ ἡ ἀναγέννησις, οὕτω καὶ τῷ τούτου λύχνῳ καὶ φίλῳ καὶ στρατιώτῃ, ἡ ἀνατροφὴ καὶ ἡ δίαιτα· διὸ τῆς Ἐλισάβετ καὶ τοῦ παιδὸς ἀποτυχόντες οἱ δήμιοι, κατὰ τοῦ Ζαχαρίου τὸν θυμὸν ἀφιᾶσιν, ὡς λόγος, καὶ πρὸς αὐτῷ τῷ θυσιαστηρίῳ λειτουργοῦντα καὶ θύοντα τῷ θεῷ, θύουσι, καὶ ἀναμιγνύουσι τὸ αἷμα τῷ αἵματι.

## CAP. XII.

Βασιλείου. Διὸ καὶ ὁ κύριος τὴν μὲν εἰς αὐτὸν βλασφημίαν, δι' ἀγαθότητα συνεχώρη- v. 10.
σε· τὴν δὲ εἰς τὸ πνεῦμα τὸ ἅγιον, ἀναπόδραστον εἶναι τοῖς τολμήσασιν ἀπεφήνατο. p. 170. a.

Τοῦ αὐτοῦ. Καὶ τίνα φησὶν ἀδικῶ, συνέχων τὰ ἐμαυτοῦ; ποῖα εἰπέ μοι σαυτοῦ; πόθεν v. 18.
λαβὼν εἰς τὸν βίον εἰσήνεγκας; ὥσπερ ἂν εἴ τις ἐν θεάτρῳ θέαν καταλαβὼν, εἶτα ἐξείργοι p. 172. b.
τοὺς ἐπεισιόντας, ἴδιον ἑαυτοῦ κρίνων τὸ κοινῶς πᾶσι κατὰ τὴν χρῆσιν προκείμενον· τοιοῦτοι εἰσὶ καὶ οἱ πλούσιοι· τὰ γὰρ κοινὰ προκατέχοντες, ἴδια ποιοῦνται διὰ τὴν πρόληψιν· ἐπεὶ εἰ τὸ πρὸς παραμυθίαν τῆς ἑαυτοῦ χρείας ἕκαστος κομιζόμενος, τὸ περιττὸν ἠφίει τῷ δεομένῳ, οὐδεὶς μὲν ἂν ἦν πλούσιος, οὐδεὶς δὲ ἐνδεής· οὐχὶ γυμνὸς ἐξέπεσες τῆς γαστρός; οὐ γυμνὸς πάλιν εἰς τὴν γῆν ὑποστρέψεις; τὰ δὲ παρόντα σοι πόθεν; εἰ μὲν ἀπ' αὐτομάτου λέγεις, ἄθεος εἶ· μὴ γνωρίζων τὸν κτίσαντα, μὴ δὲ χάριν ἔχων τῷ δεδωκότι· εἰ δὲ ὁμολογεῖς εἶναι παρὰ θεοῦ, εἰπὲ τὸν λόγον ἡμῖν δι' ὃν ἔλαβες· μὴ ἄδικος ὁ θεὸς ὁ ἀνίσως ἡμῖν διαιρῶν τὰ τοῦ βίου; διὰ τί σὺ μὲν πλουτεῖς, ἐκεῖνος δὲ πένεται; ἢ πάντως, ἵνα καὶ σὺ χρηστότητος καὶ πιστῆς οἰκονομίας μισθὸν ὑποδέξῃ, κἀκεῖνος τοῖς μεγάλοις ἄθλοις τῆς ὑπομονῆς τιμηθῇ; σὺ δὲ πάντα τοῖς ἀπληρώτοις τῆς πλεονεξίας κόλποις περιλαβὼν, οὐδένα οἴει ἀδικεῖν, τοσούτους ἀποστερῶν· τίς ἐστιν ὁ πλεονέκτης; ὁ μὴ ἐμμένων τῇ αὐταρκείᾳ; τίς δὲ ὁ ἀποστερητής; ὁ ἀφαιρούμενος τὰ ἑκάστου· σὺ δὲ οὐ πλεονέκτης, οὐκ ἀποστερητὴς, ἃ πρὸς οἰκονομίαν ἐδέξω, ταῦτα ἴδια σεαυτοῦ ποιούμενος; ἢ ὁ μὲν ἐνδεδυμένον ἀπογυμνῶν, λωποδύτης ὀνομάζεται, ὁ δὲ τὸν γυμνὸν μὴ ἐνδύων, δυνάμενος τοῦτο ποιεῖν, ἄλλης τινός ἐστι προσηγορίας ἄξιος; τοῦ πεινῶντός ἐστιν ὁ ἄρτος, ὃν σὺ κατέχεις· τοῦ γυμνιτεύοντος τὸ ἱμάτιον, ὃ σὺ φυλάσσεις ἐν ἀποθήκαις· τοῦ ἀνυποδέτου τὸ ὑπόδημα, ὃ παρὰ σοὶ κατασήπεται· τοῦ χρῄζοντος, τὸ ἀργύριον ὃ κατορύξας ἔχεις· ὥστε τοσούτους ἀδικεῖς, ὅσοις παρέχειν ἠδύνασο· πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίᾳ· σὺ δὲ κατέχεις τὸν παραῤῥέοντα, καὶ περιφράσσεις τὰς διεξόδους· εἶτα κατεχόμενος καὶ ἐλλιμνάζων οἷα ποιεῖ σοι; ῥήγνυσι τὰ κωλύματα ἀμέλει· καὶ νῦν βιαίως ἐναποληφθεὶς καὶ πλημμυρῶν, καθαιρεῖ τοῦ πλουσίου τὰς ἀποθήκας, ἐδαφίζει αὐτοῦ τὰ ταμιεῖα· ὥσπερ πολέμιός τις ἐπεισελθών· ἀλλὰ μείζονας οἰκοδομήσει· ἄδηλον εἰ μὴ καθῃρημένας παραδώσει τῷ μετ' αὐτόν· ὀξύτερον γὰρ ἂν αὐτὸς ἀπέλθοι ἀνασπασθεὶς, ἢ ἐκεῖνα κατὰ τὴν πλεονεκτικὴν ἐπίνοιαν ἐγερθείη.

Τοῦ αὐτοῦ. Ἀλλ' ὁ πλούσιος μετ' ὀλίγον μέλλων ἀνάρπαστος ἄγεσθαι, οἷα βούλεται; p. 174. a.
τίνα δέ ἐστι καὶ ἃ λέγει; καθελῶ μου τὰς ἀποθήκας, μείζονας οἰκοδομήσω, καὶ συνάξω ἐκεῖ τὰ γενήματά μου· καὶ ἐρῶ τῇ ψυχῇ μου, ψυχὴ ἔχεις πολλὰ ἀγαθά· ὢ τῆς ἀλογίας· εἰ δὲ χοιρείαν εἶχες ψυχὴν, τί ἂν ἄλλο ἢ τοῦτο, αὐτὴν εὐηγγελίσω; οὕτω κτηνώδης εἶ; οὕτως ἀσύνετος τῶν τῆς ψυχῆς ἀγαθῶν, τοῖς τῆς σαρκὸς βρώμασι δεξιούμενος; καὶ ὅσα ὁ ἀφεδρὼν ὑποδέχεται, ταῦτα τῇ ψυχῇ παραπέμπεις; εἰ μὲν ἀρετὴν ἔχει, εἰ πλήρης ἐστὶν ἀγαθῶν ἔργων, εἰ θεῷ προσῳκείωται, ἔχει πολλὰ ἀγαθὰ, καὶ εὐφραινέσθω τὴν καλὴν τῆς ψυχῆς εὐφροσύνην· ἐπεὶ δὲ τὰ ἐπίγεια φρονεῖς, καὶ θεὸν ἔχεις τὴν κοιλίαν, καὶ ὅλος σάρκινος εἶ, δεδουλωμένος τοῖς πάθεσιν, ὄντως ἀπὸ κοιλίας φωνεῖς, οὐ μὴν ἀπὸ ψυχῆς.

Τοῦ αὐτοῦ. Παρέστησαν οἱ τὴν ψυχὴν ἀπαιτοῦντες· κἀκεῖνος περὶ βρωμάτων τῇ ψυχῇ v. 20.
p. 174. b.

διελέγετο· αὐτῇ τῇ νυκτὶ παρελαμβάνετο, καὶ εἰς ἔτη πολλὰ τὴν ἀπόλαυσιν ἐφαντάζετο· συνεχωρήθη πάντα βουλεύσασθαι, καὶ φανερὰν ἑαυτοῦ ποιῆσαι τὴν γνώμην· ἵν' ἀξίαν τῆς προαιρέσεως δέξηται τὴν ἀπόφασιν, καὶ σὺ μὲν ἐν τῷ κρυπτῷ λαλεῖς· τὰ δὲ ῥήματά σου, ἐν οὐρανῷ δοκιμάζεται· διὰ τοῦτο ἐκεῖθέν σοι αἱ ἀποκρίσεις ἔρχονται· ἄκουε δὲ τῆς σοὶ πρεπούσης προσηγορίας, ἣν οὐδεὶς ἀνθρώπων ἔθετό σοι, ἀλλ' αὐτὸς ὁ κύριος, ἄφρον· μείζων τῆς αἰωνίου κολάσεως ὁ γέλως τῆς ἀβουλίας· ὁ γὰρ μετ' ὀλίγον μέλλων ἀνάρπαστος ἄγεσθαι, οἷα βουλεύεται; ἀποθήκας τὰς μὲν καθαιρεῖν, τὰς δὲ οἰκοδομεῖν, καὶ συνάγειν ἐκεῖ τοὺς καρπούς.

p. 175. a. Ἀνεπιγράφου. Ὁ μὲν οὖν δίκαιος, τὴν ψυχὴν χαίρων τῷ Θεῷ παρατίθεται· καὶ οὐ δυσφορεῖ περὶ τὴν ἀπόθεσιν, ἀλλ' ὡς ἐκ φυλακῆς ἐξιέναι δοκεῖ· ὁ δέ γε ἁμαρτωλὸς καὶ κατασαρκώσας τὴν ψυχὴν, καὶ γῆν ποιήσας αὐτόχρημα, βαρέως φέρει τὴν ἀπόθεσιν· διὸ καὶ ἀπαιτεῖσθαι τὴν ψυχὴν λέγεται· ὥσπέρ τις χρεώστης ἀγνώμων πράκτορσιν ὠμοῖς παραδιδόμενος· ὥσπερ οὖν ὁ πλούσιος, καθάπερ ὑπὸ φορολόγων τῶν φοβερῶν ἀγγέλων τὴν ψυχὴν ἀπαιτεῖται καὶ ἄκων, οἷα διὰ φιλοζωΐαν ἀντιποιούμενος τῶν ἐνταῦθα, καὶ δυσαποσπάστως ἔχων τῆς φιλοσάρκου καὶ φιληδόνου διαγωγῆς, ὃς καὶ ἄφρων ὀνομάζεται, τά τε ἄλλα, καὶ ὡς μὴ γνοὺς ὅτι ζωῆς ὅρος παρὰ μόνῳ τῷ Θεῷ, καὶ οὐκ αὐτός τις ἑαυτῷ τῆς ζωῆς ὁριστής· καὶ ὅτι ὁ πεποιθὼς ἐπὶ τῷ πλούτῳ αὐτοῦ, οὗτος πεσεῖται· σκόπει δὲ ὅτι τὸ μὲν μὴ παραμένειν πάντως τῷ κτησαμένῳ τὰ κτήματα, παρέλιπεν ὁ σωτήρ· μικρὸν ἔτι καὶ τοῦτο εἰδὼς, τὸ ταύτης ἕνεκα τῆς αἰτίας παραινεῖν καταφρονεῖν κτημάτων, διότι μὴ μόνιμα πάντως ἀνθρώποις ἐστίν· ἔρχεται δὲ ἐπὶ τὸ μεῖζον καὶ μᾶλλον αὐτῷ πρέπον, ὅτι οὐδὲ εἰ τὸν ἅπαντα χρόνον παραμένοι τὰ χρήματα, σεμνόν τι καὶ σπουδῆς ἄξιον ἐπάγεται· οὐ γὰρ δὴ καὶ ὁ κτώμενος αὐτοῖς συμπαραμενεῖ, καὶ ἀθάνατος εἰς τὴν ἀπόλαυσιν αὐτῶν διαφυλαχθήσεται· ὅθεν οὐκ ἔφη, ἄφρον· τὰ κτήματα φθαρτά ἐστιν, οὐδὲ διαρκοῦσιν οἱ καρποὶ ἐπὶ πολὺ, ἀλλὰ σήπονται· ἀλλ' ὅτι οὐ ἀπέρχῃ· ὡς φοβερὰ ἡ ἀπόφασις· παρὰ πόδας ἡ ποινὴ, ἀνυπέρθετος ἡ ἀπειλή· οὐκ εἶπε δὲ ταύτῃ ἡμέρᾳ ἀλλὰ ταύτῃ τῇ νυκτὶ, τουτέστιν ἐν τούτοις τοῖς νυκτὸς ἀξίοις βουλεύμασιν ἀναρπασθήσῃ· ἐνδείκνυται δὲ ὁ λόγος, ὅτι ἐν νυκτὶ τὰ τοιαῦτα ὁ πλούσιος ἐμελέτα καὶ διεσκέπτετο.

p. 175. b. Τοῦ αὐτοῦ. Τοῦτο κἀνταῦθα αἰνίττεται λέγων· ἃ δὲ συνῆξας, τίνι ἡτοιμάσω; εἰ μὲν σεαυτῷ, τοὺς ἀπαιτοῦντας θέασαι, οὐκ ἐῶντας ἀπολαῦσαι· εἰ δὲ ἑτέρῳ, τίνι πάντως ἄδηλον· τοῦτο γὰρ δηλοῖ τὸ τίνι ἔσται· εἰ γὰρ τῶν μισούντων ἔσται τίς, καὶ καταγελάσεται· εἰ δὲ τῶν πλησίον καὶ τῶν γειτόνων, ἐπιμέμψεται τῆς ἀσυνδυάστου θηριωδίας· ταύτην τὴν ἀφροσύνην καὶ ματαιότητα καὶ ὁ ψαλμῳδὸς δηλῶν, ἔλεγε· πλὴν μάτην πᾶς ἄνθρωπος, καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά.

Τοῦ αὐτοῦ. Εἰς Θεὸν πλουτεῖ, ὁ πλοῦτον ἔχων τὸν Θεόν· καὶ πιστεύων ὅτι κἂν πάντα κενώσω, ταμιεῖον μοι ἐστὶν ὁ Θεός· ἀνοίγω καὶ αἴρω τὰ χρειώδη, καὶ οὐδέν μοι ἐπιλείψει.

Ταῦτα λέγων ἐφώνει· ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. Τοῦ αὐτοῦ. Ὦτα ἐνταῦθα, οὐ τὰ σωματικά φησι· ταῦτα γὰρ πάντες ἔχομεν, ὧν ἴδιον τὸ ἀκροθιγῶς τῶν λόγων ἀκούειν· καὶ ἁπλαῖς ὅ φασιν ἐπιβολαῖς, ἀλλὰ τὰ ψυχικὰ, ὧν τὸ μετὰ συνέσεως ἀκροᾶσθαι καὶ τῇ καρδίᾳ ἐντιθέναι, καὶ μὴ τῷ ἀέρι ἐᾷν φέρεσθαι· ὡς ὅ γε ἀπειθῶν ἢ καταφρονῶν οὐκ ἀκούει.

Βασιλείου. Ἀλλ' ὁ μὲν πλούσιος, ἔχει τῶν κακῶν βουλευμάτων τὸ τέλος ἀκόλουθον·

ὑμεῖς δὲ ἂν ἐμοὶ πείσθησθε, πάσας θύρας ταμιείων ἀναπετάσαντες, ἀφθόνους παρέξετε τὰς διεξόδους τῷ πλούτῳ· ὥσπερ ποταμῷ μεγάλῳ πολύκαρπον γῆν δι' ὀχετῶν μυρίων ἐπερχομένῳ, οὕτως αὐτοὶ τῷ πλούτῳ διδόντες διὰ ποικίλων ὁδῶν, εἰς τὰς τῶν πενήτων οἰκίας κατασχίζεσθαι· τὰ φρέατα ἐξαντλούμενα, εὐρεώτερα γίνεται, ἐναφιέμενα δὲ κατασήπεται· καὶ πλούτου τὸ μὲν στάσιμον, ἄχρηστον· τὸ δὲ κινούμενον καὶ μεταβαῖνον, κοινωφελὲς καὶ ἔγκαρπον, πανταχοῦ ἡμῖν τὸ ὑπόδειγμα τοῦ κατηγορουμένου τούτου πλουσίου προαπαντάτω· εἰ δέ τις ἁρπάζειν βούλοιτο τὰ ἐλαττούμενα, ἀναμιμνησκέσθω τῆς τροφῆς τοῦ μάννα· καὶ φοβείσθω τὸ παράδειγμα τῆς κολάσεως· ὅπερ γὰρ ἐπὶ τοῦ μάννα συνέβαινε, τοῦτο καὶ ἐπὶ τῶν πλεονέκτων νῦν ἐκβαῖνον ἐστὶν ἰδεῖν· τί δὲ τότε συνέβαινε; σκώληκες ἔβρυον ἐπὶ τῆς πλεονεξίας· τοῦτο καὶ νῦν γίνεται ἐπὶ τούτων, τὸ μὲν γὰρ μέτρον τῆς τροφῆς, τὸ αὐτὸ ἅπασι· μίαν γὰρ πληροῦμεν γαστέρα· ἡ δὲ κόπρος παρὰ τῷ τρυφῶντι, πλείων· καὶ καθάπερ ἐκεῖ ἐν ταῖς οἰκίαις οἱ τὸ πλέον τοῦ νενομισμένου συλλέγοντες, οὐ μάννα συνῆγον, ἀλλὰ σκώληκας πλείους καὶ σηπεδόνα, οὕτω δὴ καὶ ἐν τῇ τρυφῇ καὶ ἐν τῇ πλεονεξίᾳ, οὐ τρυφὴν πλείονα ἀλλὰ φθορὰν πλείονα συνάγουσιν οἱ γαστριζόμενοι καὶ μεθύοντες· τίνι γὰρ διαφέρει ὁ πλούσιος, τοῦ πένητος; οὐχ' ἓν σῶμα περιβάλλει; οὐ μίαν τρέφει γαστέρα; τίνι οὖν πλεονεκτεῖ; ταῖς φροντίσι τῷ δαπανᾶσθαι, τῷ παρακούειν θεοῦ, τῷ διαφθείρειν τὴν σάρκα, τῷ λυμαίνεσθαι τὴν ψυχήν· ταῦτα ἐστὶν οἷς πλεονεκτεῖ τὸν πένητα· ὡς εἴ γε πολλὰς ἐπλήρου γαστέρας, τάχα τι καὶ λέγειν εἶχον οἶον, ὅτι πλείων ἡ χρεία καὶ μείζων ἡ τῆς δαπάνης ἀνάγκη· ἀλλὰ καὶ νῦν ἔχουσι φησὶν εἰπεῖν, ὅτι πολλὰς πληροῦσι, τὰς τῶν οἰκετῶν, τὰς τῶν θεραπαινίδων· ἀλλ' οὐ χρείας ἕνεκεν οὐδὲ φιλανθρωπίας τοῦτο γίνεται, ἀλλὰ τύφου μόνον· ὅθεν οὐδ' ἂν ἀνάσχοιτό τις τῆς ἀπολογίας αὐτῶν· εἰ γὰρ φιλανθρωπίας ἕνεκεν πολλοὺς συνάγεις, ἀλλ' οὐ θρυπτόμενος τοῦτο ποιεῖς, μηδένα εἰς διακονίαν ἀπασχολήσῃς τὴν σήν· ἀλλ' ἀγοράσας καὶ τέχνας διδάξας, ὥστε ἀρκεῖν ἑαυτοῖς, ἄφες ἐλευθέρους· ὅταν δὲ μαστίζῃς, ὅταν δεσμεύῃς, οὐκέτι φιλανθρωπίας τὸ ἔργον, οὐ κηδεμονίας, ἀλλὰ βλακείας καὶ θλίψεως.

Τοῦ αὐτοῦ. Τῇ ματαιότητι τοῦ νοὸς ἑαυτοὺς ὑπεραίροντες· καὶ ἵνα μοι νοήσῃς τὸν ἀκριβῆ μετέωρον, ἀνάμνησον σεαυτὸν ἐν τῇ ματαιότητι τῆς νεότητός σου· εἴ ποτε κατὰ σαυτὸν γενόμενος, ἔλαβες ἔννοιαν τοῦ βίου καὶ τῶν ἐπιτηδευμάτων· πῶς εὐκόλως κατὰ φαντασίαν τοῦ v. 29. p. 178. b.
νοῦ ἐπέδραμες ἀρχὰς ἐξ ἀρχῶν, δυναστείας ἐκ δυναστειῶν, πλούτου περιεβάλου, οἰκίας ᾠκοδόμησας, χρυσὸν καὶ ἄργυρον ἀπέθου, κτήσεις συνήγαγες, οἰκέτας ἔσχες μυρίους, τέχνας παντοδαπὰς, τὰς ἐκ τούτων προσόδους, ἀγέλας ἵππων, ποίμνια, βουκόλια, τὰ ἐκ τούτων χρήματα, γυναῖκα καὶ παῖδας, καὶ τούτων τὰ ἔκγονα· φίλους εὐηργέτησας· ἐχθροὺς ἠμύνω, ἦρξας πόλεων, εἶτα ἐθνῶν, τελευταῖον καὶ ἐβασίλευσας· ὁρᾷς πῶς ὑπὸ κουφότητος ὁ τοιοῦτος νοῦς μετέωρός ἐστι, καὶ οὐδαμοῦ ἐστήρικται; ἁμαρτία δέ ἐστι καὶ ὁ μετεωρισμός· διὸ φησὶ, καὶ μὴ μετεωρίζεσθε· μετεώρους δὲ ἀπὸ τῆς ἀληθείας ἀλαζονεία καὶ τρυφὴ ποιεῖ· καὶ ἡ εἰς τὰ περιττὰ ἀπασχολοῦσα ἡδυπάθεια ἀπάγει τῆς ἀληθείας· διὸ καὶ φησὶ παγκάλως· ταῦτα γὰρ πάντα, τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ· οἱ ἄτακτοι καὶ ἀνόητοι, τὰ ἔθνη εἰσί· τίνα δὲ λέγει ταῦτα; τὴν τρυφὴν, τὴν ἡδυπάθειαν, τὴν καρυκείαν, τὴν ὀψοφαγίαν, τὴν λαιμαργίαν· ταῦτα ἐστὶ τὸ τί· περὶ δὲ ψιλῆς τῆς τροφῆς, τῆς τε ξηρᾶς καὶ τῆς ὑγρᾶς, ὡς ἀναγκαίων οὐσῶν· οἶδε φησὶν ὁ πατὴρ ὑμῶν, ὅτι χρῄζετε· εἰ δὲ ὅλως ζητητικοὶ γεγόναμεν, μὴ εἰς τρυφὴν τὸ ζητητικὸν ἀπολύωμεν, ἀλλ' εἰς τὴν εὕρεσιν τῆς ἀληθείας ἀναζωπυρήσωμεν· ζητεῖτε γάρ φησι τὴν

βασιλείαν τοῦ Θεοῦ, καὶ τὰ τῆς τροφῆς ὑμῖν προστεθήσεται· οὔτε οὖν ἐσθῆτος ἀντιποιητέον πολυτελοῦς, οὔτε τροφῆς ποικίλης· αὐτὸς γοῦν ὁ κύριος διαιρῶν τὰς ὑποθήκας, εἴς τε ψυχὴν καὶ σῶμα, καὶ τρίτον τὰ ἐκτὸς· διὰ μὲν τὸ σῶμα, τὰ ἐκτὸς πορίζεσθαι συμβουλεύει· διοικεῖ δὲ τὸ σῶμα τῇ ψυχῇ· παιδαγωγεῖ δὲ τὴν ψυχὴν, μὴ μεριμνᾶτε λέγων τῇ ψυχῇ ὑμῶν τί φάγητε, μὴ δὲ τῷ σώματι ὑμῶν τί ἐνδύσεσθε· ἡ γὰρ ψυχὴ, πλείων ἐςὶ τῆς τροφῆς· καὶ τὸ σῶμα, τοῦ ἐνδύματος· καὶ τῆς διδασκαλίας ἐναργὲς ὑπόδειγμα ἐπιφέρει· κατανοήσατε τοὺς κόρακας, οἷς οὐκ ἔςι ταμιεῖον, καὶ ὁ Θεὸς τρέφει αὐτοὺς· οὐχ ὑμεῖς διαφέρετε τῶν πτηνῶν; καὶ ταῦτα μὲν περὶ τροφῆς· ὁμοίως δὲ καὶ περὶ ἐσθῆτος παρεγγυᾷ, ἣ τις τῶν τριῶν μετείληφε τῶν ἐκτὸς, κατανοήσατε λέγων τὰ κρίνα, πῶς οὔτε νήθει, οὔτε ὑφαίνει· καὶ οὐδὲ Σολομῶν, σφόδρα δὲ ἐπὶ πλούτῳ ἐκόμα οὗτος ὁ βασιλεὺς, περιεβάλετο ὡς ἓν τούτων· τί οὖν ὡραιότερον καὶ εὐανθέστερον ἀνθέων; τί δὲ ἐπιτερπέστερον κρίνων ἢ ῥόδων; εἰ δὲ τὸν χόρτον σήμερον ἐν ἀγρῷ ὄντα, καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς ὀλιγόπιστοι; εἰ τοίνυν ἐσθῆτος καὶ τροφῆς, καὶ τῶν περιττῶν ἁπαξαπλῶς, ὡς οὐκ ἀναγκαίαν ἀφαιρεῖται τὴν μέριμναν, τί χρὴ νοεῖν ἐρεῖν αὐτὸν περὶ φιλοκοσμίας, καὶ λίθων περιεργίας, καὶ χρυσίου ἐξεργασίας, καὶ τῶν περὶ τὰς ἀπάτας ταύτας κακοτεχνιῶν; φημὶ τοίνυν οὐκ ἄλλου τινὸς ἕνεκα δεηθῆναι ὑφασμάτων τὸν ἄνθρωπον, ἢ σκέπης σώματος, πρὸς ἀπαλέξησιν κρυμμῶν τε ὑπερβολῆς, καὶ καυμάτων ἐπιτάσεως, μή τι ἡμᾶς παραλυπῶη τοῦ περιέχοντος ἡ ἀμετρία· εἰ δὴ οὗτος ἐστὶ τῆς ἐσθῆτος ὁ σκοπὸς, τὰ περιττὰ καὶ διαφανῆ, ἔλεγχός ἐςι διανοίας οὐκ ἐῤῥωμένης ὀλίγῳ παραπετάσματι τὴν αἰσχύνην τοῦ σώματος προαγωγεύοντα· οὐ γὰρ ἔτι σκέπη ἡ ἁβροδίαιος ἐςὶν ἐσθὴς, τὸ σχῆμα τῆς γυμνότητος κρύπτειν μὴ δυναμένη.

v. 30. p. 179. a. Νείλου περὶ φιλοσοφίας. Καὶ ἵνα συλλαβὼν εἴπω, τελείας μὲν ψυχῆς ἐςι τὸ ἀμέριμνον· ἀσεβοῦς δὲ, τὸ ταῖς φροντίσι κατατρίβεσθαι· περὶ μὲν γὰρ τῆς τελείας ψυχῆς, εἴρηται, ὅτι κρίνον ἐςὶν ἐν μέσῳ τῶν ἀκανθῶν· τοῦτο δὲ, τὴν μετὰ τῶν πολυφροντίδων ἀμερίμνως διάγουσαν δηλοῖ· τὸ γὰρ κρίνον καὶ ἐν τῷ εὐαγγελίῳ, τὴν ἀμέριμνον σημαίνει ψυχὴν· οὐ κοπιᾷ γὰρ, οὐδὲ νήθει· καὶ μείζονα τοῦ Σολομῶντος περιβέβληται δόξαν· περὶ δὲ τῶν φροντίδα πολλὴν ἐχόντων εἰς τὰ σωματικὰ, φησί· πᾶς ὁ βίος ἀσεβοῦς ἐν φροντίδι· καὶ γὰρ ὄντως ἐςὶν ἀσεβὲς παντὶ τῷ βίῳ συμπαρεκτείνειν τὴν τῶν σωματικῶν φροντίδα, καὶ μηδὲ μίαν περὶ τῶν μελλόντων ἐπιδείκνυσθαι σπουδήν· καὶ τῷ μὲν σώματι, καίτοι μὴ πολλῆς δεομένῳ σχολῆς, πάντα προαναλίσκειν τὸν χρόνον, τῇ δὲ ψυχῇ τοσοῦτον ἐχούσῃ προκοπῆς μῆκος, ὡς μὴ φθάνειν πάντα τὸν βίον, πρὸς τὴν ταύτης τελείωσιν· ἢ μὴ δὲ τὸν τυχόντα καιρὸν ἀπονέμειν· εἰ καὶ εἴ τινα δόξομεν ἀπονέμειν, ἐκλελυμένως τοῦτο καὶ ῥαθύμως ποιεῖν, ὑπὸ τῆς τῶν ὁρωμένων περιφανείας δελεαζομένους· καὶ ταυτὸν πάσχοντας τοῖς ὑπὸ τῶν εἰδεχθεστάτων ἑταιρίδων ἀγκιστρευομένοις, αἳ γνησίου κάλλους ἀπορίᾳ, νόθον ἐπ' ἐνέδρᾳ τῶν θεωμένων δημιουργοῦσι, ταῖς ἐπινοίαις τῶν ἐπιτριμμάτων, τὴν δυσμορφίαν ἐπιδιορθούμεναι· ἅπαξ γὰρ τῇ ματαιότητι τῶν παρόντων ἡττηθέντες, τὸ αἶσχος τῆς ὕλης ἰδεῖν ἀδυνατοῦμεν, ὑπὸ τῆς προσπαθείας φενακιζόμενοι· καὶ τούτου χάριν, ἐπὶ τῆς ἀναγκαίας οὐχ' ἱςάμεθα χρείας· κόρον δὲ ὑβριστὴν τοῦ βίου προστησάμενοι, παντοίαις κτήσεσιν ἀποδυόμεθα· οὐχ' ὁρῶντες ὅτι μέτρον κτήσεώς ἐςιν ἡ χρεία τοῦ σώματος, τὸ δὲ ταύτην ὑπερβαῖνον, ἀκοσμία λοιπὸν, καὶ οὐκέτι χρεία ἐςίν· ὡς γὰρ ὁ συμμεμετρημένος τῷ σώματι χιτὼν, καὶ χρεία καὶ κόσμος

ἐςὶν· ὁ δὲ πάντοθεν περιῤῥέων καὶ τοῖς ποσὶν ἐμπλεκόμενος καὶ ἐπισυρόμενος τῇ γῇ, μετὰ τοῦ ἀπρεποῦς ἐμπόδιον πρὸς πᾶσαν ἐργασίαν γίνεται, οὕτως ἡ ὑπερβαίνουσα τὴν τοῦ σώματος χρείαν κτῆσις, καὶ πρὸς ἀρετὴν ἐςιν ἐμπόδιον, καὶ πολλὴν ἔχει κατάγνωσιν παρὰ τοῖς τὴν φύσιν τῶν πραγμάτων ἐρευνᾷν δυναμένοις· οὐ γὰρ τοῖς ἠπατημένοις ὑπὸ τῶν αἰσθητῶν προσεκτέον· οὐδὲ τοῖς, διὰ τὸ μὴ προσεσχηκέναι τοῖς νοητοῖς, προσεσχηκόσι τοῖς γηΐνοις, ἀκολουθητέον ἀκρίτως· ταυτὸν γάρ ἐςι χρωμάτων κριταῖς χρῆσθαι τυφλοῖς, ἢ κωφοῖς τῶν κατὰ μουσικὴν φθόγγων, ἐςερημένοις τῶν πρὸς τὰ δικαζόμενα κριτηρίων, καὶ τούτοις πιςεύειν ὡς κατὰ λόγον ἑλομένοις τὴν τῶν παρόντων ἀπόλαυσιν· τυφλοὶ γάρ εἰσι τὸ ἀναγκαιότατον τῶν κριτηρίων τὸν λογισμὸν πεπηρωμένοι, ᾧ κρίνεσθαι τὰ σπουδαῖα καὶ τὰ ἀδιάφορα, πέφυκε· ναί φησιν, ἀλλ' οἷς ἔδειξεν ὁ θεὸς, διὰ τί μὴ χρησόμεθα; πάρεςί μοι· διὰ τί μὴ τρυφήσω; καὶ τίσι ταῦτα γέγονεν εἰ μὴ ἡμῖν; τελέως ἠγνοηκότων τὸ θέλημα τοῦ θεοῦ, αἱ τοιαῦται φωναί· πρῶτον μὲν γὰρ τὰ ἀναγκαῖα καθάπερ τὸ ὕδωρ καὶ τὸν ἀέρα, προφανῆ πᾶσι χορηγεῖται· τὰ δὲ ὅσα μὴ ἀναγκαῖα, γῇ τὲ καὶ ὕδατι ἔκρυψεν· ὑμεῖς δὲ περίεργοι εἰς ἃ μὴ δεῖ· ἰδοὺ ὅλος οὐρανὸς ἀνάπτεται, καὶ οὐ ζητεῖτε τὸν θεόν· τὸ δὲ κεκρυμμένον χρυσίον καὶ τοὺς λίθους, οἱ τὴν ἐπὶ θανάτῳ κεκριμένοι, γεωρυχοῦσι παρ' ὑμῖν· ἀλλὰ καὶ τῇ γραφῇ ἀντᾴδετε βοώσῃ διαῤῥήδην· ζητεῖτε πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν· ἔπειτα δὲ εἰ καὶ πάντα ὑμῖν δεδώρηται, καὶ εἰ πάντα ὑμῖν συγκεχώρηται, καὶ εἰ πάντα ὑμῖν ἔξεςι, φησὶν ὁ ἀπόςολος, ἀλλ' οὐ πάντα συμφέρει· παρήγαγε δὲ τὸ γένος ἡμῶν ἐπὶ κοινωνίᾳ ὁ θεὸς αὐτὸς τῶν ἑαυτοῦ πρότερον μεταδοὺς καὶ πάντα ποιήσας ὑπὲρ πάντων· τὸ οὖν πάρεςί μοι, καὶ πλεονάζει μοι, διὰ τί μὴ τρυφήσω, οὐκ ἀνθρώποις ἔνεςιν, οὐδὲ κοινωνικόν· ἐκεῖνο δὲ μᾶλλον ἀγαπητικὸν, πάρεςί μοι, διὰ τί μὴ μεταδῶ τοῖς δεομένοις; ὁ γὰρ τοιοῦτος, τέλειος· ὁ τὸ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτὸν, πληρώσας· δέδωκεν ὁ θεὸς οἶδ' ὅτι τῆς χρήσεως ἡμῖν τὴν ἐξουσίαν· ἀλλὰ μέχρι τοῦ ἀναγκαίου· καὶ τὴν χρῆσιν κοινὴν εἶναι βεβούλευται· ἄτοπον δὲ, ἕνα τρυφᾷν πενομένων πλειόνων· λείπεται τοίνυν κἀκεῖνο ἐπιλῦσαι τὸ ἐπιφερόμενον· τίσιν οὖν τὰ πολυτελέστερα, ἂν πάντες αἱρῶνται τὰ εὐτελέςερα; τοῖς ἀνθρώποις φήσαιμ' ἂν, ἐὰν χωρὶς προσπαθείας καὶ διαφορᾶς χρώμεθα αὐτοῖς· εἰ δὲ ἀμήχανον πάντας σωφρονεῖν, ἀλλὰ διὰ τὴν τῶν ἀναγκαίων χρείαν, τὰ ἀπόριςα μεταδιωκτέον, μακρὰ τοῖς περιττοῖς τούτοις χαίρειν φράσασι· χρὴ γὰρ τὸν ἀπογεγραμμένον Χριςῷ αὐτάρκη καὶ αὐτοδιάκονον, καὶ προσέτι ἐφήμερον ἐπαναιρεῖσθαι βίον, καὶ αὐτὸν αὐτοῦ ἕκαςον εἶναι ταμιεῖον, μὴ μεριμνῶντα περὶ τῆς αὔριον· οὕτω γὰρ ἂν καὶ ὑγιεινότερος ὁ τῶν ἀνθρώπων βίος γένοιτο, πρὸς αὐτάρκειαν καὶ ἀπεριττότητα, καὶ εὔζωνον ὁδοιπορικὴν ἑτοιμότητα παρασκευαζόμενος.

Μάρκου μοναχοῦ. Καὶ εἰς μείζονα πίςιν διὰ τούτων ἡμᾶς προσκαλούμενος· τίς γὰρ τὴν v. 31. p. 179. b.
ὑπὲρ τῶν προσκαίρων μέριμναν ἀποβαλὼν, καὶ ἀνενδεὴς γενόμενος, οὐ πιςεύσει λοιπὸν αὐτῷ καὶ περὶ τῶν αἰωνίων ἀγαθῶν;

Τοῦ αὐτοῦ. Καλὸν γὰρ τὴν κεφαλαιωδεστέραν κρατεῖν ἐντολὴν, καὶ μηδὲν κατ' εἶδος με- p. 180. b.
ριμνᾷν, μή τε κατ' εἶδος προσεύχεσθαι· ἀλλὰ μόνον ζητεῖν τὴν βασιλείαν, κατὰ τὸν λόγον τοῦ κυρίου· εἰ δὲ περὶ ἑκάςης ἔτι χρείας φροντίζομεν, ὀφείλομεν καὶ περὶ ἑκάςης προσεύχεσθαι· ὁ γὰρ ἐκτὸς προσευχῆς τί ποιῶν ἢ φροντίζων, οὐκ εὐοδοῦται ἐπὶ τῷ τέλει τοῦ πράγματος· καὶ τοῦτό ἐςιν ὃ εἶπεν ὁ κύριος· οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν.

v. 32. Ἀνεπιγράφου. Ἐροῖ δ' ἄν τις μικρὸν ποίμνιον, τοὺς ἁγίους· ἐπειδὴ πρόκειται μικρότης ἐν κόσμῳ τοῖς ἑκουσίως ἀκτήμοσι καὶ ἀχρημάτοις· τούτοις γὰρ εὐδόκησεν ὁ πατὴρ δοῦναι τὴν βασιλείαν· ὅθεν ἐδίδαξεν εὐθὺς ἐπειπών· πωλήσατε τὰ ὑπάρχοντα, καὶ δότε ἐλεημοσύνην· καὶ τὰ ἑξῆς.

v. 35. p. 181. b. Βασιλείου. Ἔτι ἡ ὀσφῦς πολλαχοῦ, ἀντὶ τῶν γεννητικῶν λαμβάνεται· οἷον τὸ ἔτι ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς αὐτοῦ ἦν· τοιοῦτον καὶ τὸ περιεζῶσθαι τὰς ὀσφύας· νοοῦμεν γὰρ ὅτι αἰνίσσεται συςεῖλαι τὰς εἰς γένεσιν ὑπουργούσας ὀρέξεις.

v. 45. p. 184. b. Μάρκου μοναχοῦ. Μὴ τοίνυν λέγε οὐκ ἐπίςαμαι τὸ δέον, καὶ ἀναίτιός εἰμι· εἰ γὰρ ἐποίεις καλὰ ὅσα ἐπίςασαι, καὶ τὰ λοιπά σοι ἀκολούθως ἀπεκαλύπτετο· ἓν δι' ἑνὸς κατανοούμενα· πολλαὶ συμβουλίαι τοῦ πέλας πρὸς τὸ ἑκάςῳ δὲ συμφέρον, τῆς ἰδίας γνώμης οὐδὲν ἁρμοδιώτερον· ζητῶν θεραπείαν, ἐπιμέλησαι τῆς συνειδήσεως· καὶ ὅσα λέγει, ποίησον· καὶ εὑρήσεις τὴν ὠφέλειαν· ὁ δέ γε τὴν πρᾶξιν ἀφεὶς, καὶ γυμνῇ τῇ γνώσει ἐπερειδόμενος, ἀντὶ διςόμου μαχαίρας καλαμίνην ῥάβδον κατέχει.

v. 49. p. 185. a. Μακαρίου. Ἔςι μέν τοι πύρωσις τοῦ πνεύματος, ἡ ἀναζωπυροῦσα τὰς καρδίας· διότι τὸ ἄϋλον καὶ θεῖον πῦρ, φωτίζειν ψυχὰς καὶ δοκιμάζειν εἴωθεν, ὥσπερ ἄδολον χρυσὸν ἐν καμίνῳ· κακίαν δὲ ἀναλίσκειν, ὥσπερ ἀκάνθας καὶ καλάμην· ὁ γὰρ θεὸς ἡμῶν, πῦρ καταναλίσκον ἐστί· διδοὺς ἐκδίκησιν τοῖς μὴ εἰδόσιν αὐτὸν ἐν φλογὶ πυρὸς, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ αὐτοῦ· τοῦτο τὸ πῦρ ἐνήργησεν ἐν τοῖς ἀποστόλοις, ἡνίκα ἐλάλουν γλώσσαις πυρίναις· τοῦτο τὸ πῦρ διὰ τῆς φωνῆς Παῦλον περιλάμψαν, τὴν μὲν διάνοιαν αὐτοῦ ἐφώτισε, τὴν δὲ αἴσθησιν τῆς ὄψεως αὐτοῦ ἠμαύρωσεν· οὐ γὰρ χωρὶς σαρκὸς εἶδεν ἐκείνου τοῦ φωτὸς τὴν δύναμιν· τοῦτο τὸ πῦρ ὤφθη Μωϋσῇ ἐν τῇ βάτῳ· τοῦτο τὸ πῦρ ἐν εἴδει ὀχήματος τὸν Ἠλίαν ἐκ τῆς γῆς ἥρπασε· τούτου τοῦ πυρὸς τὴν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαβὶδ ἔλεγε, δοκίμασόν με κύριε, καὶ πύρωσόν με· πύρωσον τοὺς νεφροὺς μου καὶ τὴν καρδίαν μου· τοῦτο τὸ πῦρ τὴν καρδίαν Κλεόπα καὶ τῶν σὺν αὐτῷ, ἐθέρμανε, λαλοῦντος τοῦ σωτῆρος μετὰ τὴν ἀνάςασιν· ὅθεν καὶ οἱ ἄγγελοι, καὶ τὰ λειτουργικὰ πνεύματα, τούτου τοῦ πυρετοῦ τῆς λαμπρότητος μετέχουσι, κατὰ τὸ εἰρημένον· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον· τοῦτο τὸ πῦρ τὴν ἐν τῷ ἔνδον ὀφθαλμῶν δοκὸν κατακαῖον, καθαρὸν τὸν νοῦν ἀποκαθίςησιν, ἵνα ἀπολαβὼν τὸ κατὰ φύσιν διορατικὸν, ὁρᾷ εἰς τὸ διηνεκὲς τὰ τοῦ θεοῦ θαυμάσια, κατὰ τὸν λέγοντα, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου· τοῦτο δαιμόνων φυγαδευτήριον, ἁμαρτίας ἀναιρετικὸν, ψυχῆς φωτισμός· τοῦτο εὐξώμεθα φθάσαι καὶ εἰς ἡμᾶς, ἵνα ἐν φωτὶ περιπατοῦντες, μὴ προσκόψωμεν· ἀλλ' ὡς φωςῆρες ἐν κόσμῳ φαινόμενοι, λόγον ζωῆς ἀϊδίου ἐπέχωμεν· ὥσπερ γὰρ ὁ φλεγόμενος πυρετῷ, ὅπερ ἂν προσενέγκῃς αὐτῷ βρῶμα ἢ πόμα ἥδιςον, βδελύσσεται καὶ ἀποβάλλει, οὕτως οἱ φλεγόμενοι τῷ ἐπουρανίῳ τοῦ πνεύματος πόθῳ, καὶ τῷ ἔρωτι τῆς ἀγάπης τοῦ θεοῦ τὴν ψυχὴν τρωθέντες, καὶ τῷ θείῳ καὶ ἐπουρανίῳ πυρὶ, ὃ ὁ κύριος ἐν τῇ γῇ ἦλθε βαλεῖν, σφοδρῶς ἐνεργούμενοι, πάντα τὰ τοῦ αἰῶνος τούτου ἔνδοξα καὶ τίμια ἀπόβλητα λογίζονται, διὰ τὸ τῆς ἀγάπης τοῦ Χριστοῦ πῦρ, τὸ ἐκκαῖον αὐτοὺς τῇ πρὸς τὸν θεὸν διαθέσει· ἐξ ἧς ἀγάπης, οὐδὲν αὐτοὺς χωρίσαι δυνήσεται.

v. 58. p. 188. a. Εὐαγρίου. Εὐνοεῖ δέ τις καὶ τῷ ἀντιδίκῳ, τὰ ἐναντία ὧν ὑποβάλλει κακῶν ὁ διάβολος, πράσσων.

**Μακαρίου.** Ἀντίδικος δὲ τοῦ ἀνθρώπου ῥηθείη ἄν, καὶ ἡ ἐκ τοῦ συνειδότος ὑπόμνησις·
ἡ γὰρ συνείδησις, οὐ συγκρύπτει τοὺς ὑπακούοντας τῇ ἁμαρτίᾳ λογισμοὺς, ἀλλ' εὐθὺς ἐλέγ-
χει· οὐ ψεύδεται γάρ· ἐπεὶ τί εἴπῃ ἐνώπιον τοῦ θεοῦ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως; μαρτύρε-
ται ὡς πάντοτε ἐλέγχουσα· οὐκοῦν ἡνίκα ἂν ἁμάρτῃς ἐν τῇ ὁδῷ τοῦ βίου, ἢ ἁμαρτῆσαι προ-
έλῃ, προσδέχου τοὺς ἐκ τοῦ συνειδότος ἐλέγχους, καὶ μὴ παραλογίζου τὴν αὐτοῦ ὑπόμνη-
σιν· εἰ δὲ παραλογίσῃ καὶ παραδράμῃς τὸν βίον, αὐτὸ συνειδὸς ἀντιδίκου τάξιν ἐπέχον, ἐπὶ
τοῦ κριτοῦ κατηγορήσει, καὶ ὑπὸ τὴν ψῆφον ποιήσει σε τοῦ δικάζοντος, καὶ παραδοθήσῃ ταῖς
ἀνηκέςοις κολάσεσιν· ὅπερ οὐκ ἂν ἔπαθες, εἴγε κατὰ τὴν ὁδὸν τοὺς ἐκ τοῦ συνειδότος ἐλέγ-
χους, ὡς μετ' εὐνοίας προσφερομένους κατεδέχου· ὡς γὰρ ὁ εὐαγγελιςὴς Ἰωάννης ἐπιςέλλων,
φησὶν, ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ, παῤῥησίαν ἔχομεν πρὸς τὸν θεόν.

## CAP. XIII.

Ἀνεπιγράφου. Ἔχει μὲν δὴ ὁ λόγος καὶ τὸ κοινὸν· εἰρηκότος τοῦ Παύλου πρὸς τὸν ἀμετάςρο- v. 6. p. 189. a.
φον· ὅτι τὸ χρηςὸν τοῦ θεοῦ, εἰς μετάνοιάν σε ἄγει, κατὰ δὲ τὴν σκληρότητά σου καὶ ἀμετα-
νόητον καρδίας, θησαυρίζεις σεαυτῷ ὀργὴν· σημαίνειν δὲ ἰδίως φαίνεται τὴν Ἱερουσαλὴμ καὶ τὸν
λαὸν τῶν ἰουδαίων, ὅτι φυτοῦ γλυκέος τρόπον ἐν κόσμῳ πεφύτευται· μείναντος δὲ τοῦ θεοῦ
ἐφ' ᾧ καρπὸν γλυκὺν ἐνεγκεῖν, οὐκ ἤνεγκε τὸν καρπὸν· ἐπὶ ἔτη δὲ τρία λέγει τὴν ἀπαίτη-
σιν γεγενῆσθαι· εἶεν δ' ἂν οἱ διάφοροι χρόνοι τρεῖς, εἷς μὲν, ὁ πρὸ τῶν παθημάτων, ἐν ᾧ
διεμαρτύραντο προφῆται, ἀπὸ Ἠλιοῦ ἀρξάμενοι, μέχρι τῶν περὶ Ἡσαΐαν· ἕτερος δὲ, ὁ ἐν
τοῖς παθήμασιν αὐτοῖς, ὃς δὴ ἐςι τῶν περὶ Ἱερεμίαν, καὶ Ἰεζεκιὴλ· τρίτος δὲ, ὁ μετὰ τὰ πα-
θήματα, Ἀγγαίου τὲ ὢν καὶ Ζαχαρίου, τῶν ὑπὸ τὴν ἀνανέωσιν τῆς Ἱερουσαλὴμ προφητευ-
σάντων· μεθ' οὓς τρεῖς καιροὺς τέταρτος ἦν, ὁ τῆς τοῦ κυρίου παρουσίας· ἐν ᾧ τὴν ἀποβο-
λὴν ἔμελλεν ὑπομένειν Ἱερουσαλὴμ καὶ ὁ λαὸς, ὡς ἂν μή τε ἀπειλῇ κακῶν σωφρονισθεὶς, μή
τε παρουσίᾳ κακῶν, μή τε τῇ τούτων ἰάσει· διὸ καὶ εἰκότως ὁ δεσπότης λέγει πρὸς τὸν οἰ-
κονόμον ἄγγελον, ὃν ἀμπελουργὸν καλεῖ, ὅτι ἐκτομῆς ἀξία ἡ συκῆ· ἵν' ἕτερον ἀντ' αὐτῆς
φυτεύεται δένδρον, τουτέστιν ἡ νέα ἐκκλησία· τὸ γὰρ δίκαιον, οὕτως εἶχεν· ἀξίωσις δὲ τοῦ
ἀγγέλου γίνεται κηδομένου τῆς πιςευθείσης αὐτῷ μερίδος, ὥςε μὴ ἐπὶ τῆς παρουσίας ταύ-
της, ἐπαχθῆναι παντελῆ τὴν κρίσιν αὐτῇ· ἀλλ' ἔτι συγχωρηθῆναι μετασχεῖν βοηθείας τινὸς·
δι' ἣν καὶ μένει τὸ λείψανον ἔτι, καί τοι τοῦ τόπου μεταςὰν, καὶ τῆς λατρείας ἐκβληθὲν·
εἰ δὲ μὴ ἐπιςρέψει, φησὶ, κατὰ τὸν Ἠλιοῦ τοῦ θεσβίτου προσδοκώμενον καιρὸν, τότε φησὶν
αὐτὴν εἰς τὸ μέλλον ἐκκόψεις· τουτέςιν ἐν τῇ δευτέρᾳ σου παρουσίᾳ· καὶ ταῦτα συμπαθῆ μὲν
ἔχει τὴν τοῦ ἀγγέλου πρεσβείαν, καθὸ συμπάσχει πᾶσι τοῖς ἐγκεχειρισμένοις ὁ ἀγαθὸς ἐπι-
στάτης· φιλάνθρωπον δ' ἔλαβε περὶ τοῦ δεσπότου τὴν ἀνοχὴν, καθὸ φιλάνθρωπός ἐστιν
εἰς συγχώρησιν, εἰ καὶ ἀπαραίτητος ἐν κρίσει.

Τοῦ αὐτοῦ. Ποικίλως καὶ πολυτρόπως τὸν Ἰσραὴλ ἄνωθεν ὁ θεὸς διεξῆγε, καὶ τὴν v. 11. p. 190. a.
αὐτοῦ σωτηρίαν ἐπραγματεύετο, εὐεργετῶν, ἀπειλῶν, ἐξαισίοις τέρασι νουθετῶν· καὶ γὰρ τῆς
ἐν Αἰγύπτῳ δουλείας ἀπήλλαξεν, ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρὼν· τὴν Αἴγυπτον ὑπὲρ αὐτῶν
ἐμάςιξε, ςύλῳ πυρὸς καὶ νεφέλης αὐτοὺς νυκτὸς καὶ ἡμέρας ὡδήγησε θάλασσαν ἔτεμε Φα-
ραὼ ἐβάπτισεν, Ἀμαλὴκ ἐκτάσει χειρῶν ἐτρέψατο, ἄρτον ὤμβρησεν, ὄρνιθας ἔβλυσεν, ὕδωρ

τὸ μὲν ῥάβδῳ ἐγλύκανε, τὸ δὲ ἐκ πέτρας ἐπήγασε, ποταμὸν ἀνέκοψεν, ἥλιον ἔστησεν, ἥτταις ἐφόβησεν ἁμαρτάνοντας, νίκαις ἐδόξασεν ἐπιστρέφοντας, ἐτιμώρει προσκρούοντας, εὐηργέτει προσπίπτοντας, δίκην μητρὸς περιέπων καὶ τιθηνούμενος· καὶ πάντα ποιῶν, ὥστε τῆς αἰγυπτιακῆς ἀπιστίας ἀπαγαγεῖν, καὶ πρὸς ἑαυτὸν ὁδηγῆσαι· νόμον ἔδωκεν εἰς βοήθειαν, προφήτας ἀπέστειλε· καὶ τέλος τὸν μονογενῆ, ὃς οὐ διέλιπε καὶ λόγοις διδάσκων καὶ ἔργοις παιδεύων καὶ μεγαλουργίαις, τῆς κακοηθείας ἀπάγων· ἀλλ' οὗτοι ἐθελοκακοῦντες, καὶ τὰς κόρας μύοντες, καὶ βύοντες τὰς ἀκοὰς, οὐ μόνον οὐκ ἐθαύμαζον τὰ παράδοξα, τοὐναντίον δὲ καὶ διέσυρον, καὶ ἀνελεῖν αὐτὸν ἐπεχείρουν, ὅτι τοὺς ἀσθενοῦντας ἰᾶτο· καὶ πάντας κακῶς πάσχειν μᾶλλον ἐβούλοντο, ἢ δοξασθῆναι τὸν κύριον· ἐγγὺς δὲ ὁ ἔλεγχος καὶ ἀπόδειξις· ὁ μὲν γὰρ ἐν σαββάτῳ θαυματουργεῖ, οἱ δὲ διαπρίονται, τῷ μὲν δοκεῖν, διὰ τὸ σάββατον, τῇ δὲ ἀληθείᾳ, ὅτι τῇ δόξῃ Χριστοῦ βασκαίνουσιν.

v. 14. p. 191. a. Μακαρίου. Ἐν τῇ σκιᾷ τοῦ νόμου προσέταξεν ὁ θεὸς τῷ σαββάτῳ ἕκαστον ἀναπαύεσθαι καὶ μηδὲν ποιεῖν· τοῦτο δὲ τύπος ἦν τοῦ ἀληθινοῦ σαββάτου, τοῦ διδομένου τῇ ψυχῇ ἀπὸ τοῦ κυρίου, οὗ ἡ καταξιωθεῖσα ψυχὴ ἀληθινὴν ἀνάπαυσιν ἀναπαύεται, ἀργοῦσα ἐπὶ πάντων τῶν σκοτεινῶν ἔργων, καὶ τῶν διαλογισμῶν τοῦ σατανᾶ· καὶ ὡς ἐκεῖ σαββάτῳ ἐκέλευσε τὸν βοῦν μὴ ὑπὸ ζυγὸν ἀνάγκης ἕλκεσθαι, καὶ τὸν ὄνον μὴ ἐπιφορτίζειν, οὕτως ὁ κύριος τὸ αἰώνιον σάββατον δοὺς, ἀνέπαυσε τὴν βεβαρημένην ψυχὴν φορτίοις ἀνομίας ἀκαθάρτων διαλογισμῶν, καὶ ἐργαζομένην ἀδικίας ἔργα μετὰ ἀνάγκης, ὡς ὑπὸ δεσπότας πικροὺς δεδουλωμένην· καὶ ἐκούφισεν αὐτὴν ἀπὸ τῶν δυσβαστάκτων φορτίων ματαίων καὶ ῥυπαρῶν διαλογισμῶν· καὶ ἦρε τὸν ζυγὸν τὸν πικρὸν τῶν ἔργων τῆς ἀδικίας, καὶ ἀνέπαυσεν αὐτὴν κοπιῶσαν ἐν τοῖς διαλογισμοῖς τῆς ἀκαθαρσίας· καὶ ὅσοι πείθονται αὐτῷ λέγοντι, δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, σαββατίζουσι σάββατον τρυφερὸν, ἀληθινὸν, ἅγιον· παρακαλέσωμεν οὖν καὶ ἡμεῖς τὸν θεὸν, εἰσελθεῖν εἰς τὴν κατάπαυσιν ταύτην, τοῦ ἀργεῖν ἡμᾶς ἐπὶ τῶν αἰσχρῶν διαλογισμῶν· ἵν' οὕτως δυνηθῶμεν λατρεῦσαι τῷ θεῷ ἐκ καθαρᾶς καρδίας, καὶ ἑορτάσαι ἑορτὴν πνεύματος ἁγίου.

Ἰσαάκ. Ἐν τούτῳ τῷ αἰῶνι οὐκ ἔστιν ὀγδόη, οὐδὲ σάββατον ἀληθῶς· ὁ γὰρ εἰπὼν κατέπαυσεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, τὴν κατάπαυσιν τοῦ δρόμου τῆς ζωῆς ταύτης ἐδήλωσεν, ὅτε ὁ κύριος ἐν τῷ σταυρῷ ἀφύπνωσε· διότι ὁ τάφος, σῶμα ἐστὶ, καὶ ἐκ τοῦ κόσμου ἐστί· ἓξ ἡμέραι ἐν τῇ γεωργίᾳ τῆς ζωῆς διὰ τῆς φυλακῆς τῶν ἐντολῶν τελειοῦνται, καὶ ἑβδόμην ἐν τῷ τάφῳ ὁλοκληροῦται, καὶ τὸ ὄγδοον ἐν τῇ ἐκ τοῦ τάφου ἐξόδῳ· ὥσπερ δὲ τὰ μυστήρια τῆς κυριακῆς ἐν παραβολῇ δέχονται ἐνταῦθα οἱ ἀξιούμενοι, καὶ οὐκ αὐτὴν τὴν ἡμέραν σωματικῶς, οὕτω καὶ τὰ μυστήρια τοῦ σαββάτου, ἐν παραβολῇ δέχονται οἱ ἀγωνισταί· καὶ οὐκ αὐτὸ τὸ σάββατον ἐν ἀληθείᾳ· ὅπερ ἐστιν κατάπαυσις ἐπὶ παντὸς λυπηροῦ, καὶ ἀνάπαυσις τελεία τῶν ὀχληρῶν· μυστήριον ἡμῖν δέδωκεν ὁ θεὸς, καὶ οὐχὶ ἐνέργειαν ἀληθινὴν πολιτεύεσθαι ἐνθάδε· τὸ σάββατον τὸ ἀληθινὸν καὶ ἀσύγκριτον, τὸ μνῆμα ἐστί, τὸ ὑπεμφαῖνον καὶ σημαῖνον τελείαν κατάπαυσιν, ἀπὸ τῶν θλίψεων τῶν παθῶν, καὶ τῆς γεωργίας τῆς ἐναντιουμένης αὐτοῖς· πᾶσα ἡ ἀνθρωπότης ἐκεῖ σαββατίζει· ἐν ἓξ ἡμέραις ἔταξεν ὁ θεὸς τὴν σύστασιν τοῦ κόσμου· καὶ οὐ μὴ παύσωνται τοῦ δρόμου τὰ στοιχεῖα, πρὸ τῆς ἀναλύσεως, ἐξ ὧν τὰ ἡμέτερα σώματα συνεστήσατο· καὶ οὔτε τοῖς στοιχείοις δέδωκε κατάπαυσιν τῆς κινήσεως αὐτῶν, οὔτε τοῖς ἡμετέροις σώμασιν τοῖς ἐξ αὐτῶν γεγεννημένοις, τοῦ

καταπαύειν τῆς γεωργίας· ὅρον δὲ τῆς καταπαύσεως αὐτοῖς ἔθηκεν, ἕως ἂν ἀκολουθήσωσι τῇ
ἰδίᾳ συγγενείᾳ τῇ πρώτῃ, ἥ τις ἐςὶ κατάλυσις ἀπὸ τῆς ζωῆς· οὕτω καὶ τῷ Ἀδὰμ εἶπεν·
ἐν ἱδρῶτι τοῦ προσώπου σου, φαγῇ τὸν ἄρτον σου· καὶ μέχρι τίνος; ἕως ἂν ςραφῇς εἰς τὴν
γῆν ἣν ἐργῇ· ἥ τις ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι ἅτινά ἐςι μυςήρια τῆς γεωργίας
τοῦδε τοῦ βίου, ἐν ὅσῳ τὶς ζῇ· ἐὰν γὰρ καταπαύσωμεν τοῦ ἱδρῶσαι ἐν τῇ γεωργίᾳ τῆς δι-
καιοσύνης, ἐξ ἀνάγκης ἀκάνθας θερισοῦμεν τὰ πάθη, ἃ ἐκ τοῦ ἐν τῷ σώματι σπόρου εἰς ἡμᾶς
ἀνατέλλουσιν· ἐν ὅσῳ γὰρ τὴν εἰκόνα τοῦ Ἀδὰμ φέρομεν, ἀνάγκη καὶ τὰ πάθη αὐτοῦ ἔχειν·
ἀδύνατον τῇ γῇ ἀργεῖν τοῦ βλαςάνειν κατὰ τὴν ἰδίαν φύσιν· ἔκγονον δὲ τῆς φύσεως αὐτῆς
ἐςιν ἡ γῆ τῶν σωμάτων ἡμῶν, ὡς ἡ μαρτυρία τοῦ θεοῦ, ἡ γῆ γάρ φησιν ἐξ ἧς ἐλήφθης,
ἐκείνη ἀκάνθας ἀνατελεῖ· αὕτη δὲ ἡ λογικὴ, πάθη· εἰ οὖν ὁ κύριος ἐν πᾶσι τύπος ἡμῖν
ἐςιν, αὐτὸς δὲ ἕως ἐννάτης ὥρας τῆς παρασκευῆς οὐ κατέπαυσεν ἐπὶ τοῦ ἔργου καὶ τοῦ μόχ-
θου, ὅπερ ἐςὶ μυςήριον τῆς δι' ὅλης τῆς ζωῆς ἡμῶν γεωργίας, τῷ δὲ σαββάτῳ ἐν τῷ τά-
φῳ κατέπαυσε, ποῦ εἰσιν οἱ λέγοντες ὅτι ἐν τῷ βίῳ σάββατον, ἤγουν κατάπαυσις ἐςὶ τῶν
παθῶν; τὸ σάββατον ἡμῶν ἐςιν, ἡ ἡμέρα τῆς ταφῆς, ἐκεῖ ἐν ἀληθείᾳ σαββατίζει ἡ φύσις
ἡμῶν· λοιπὸν καθημέραν ἀνάγκη ἡμῖν ἐπίκειται, ἐκτίλλειν ἐξ αὐτῆς τὰς ἀκάνθας, ἕως οὗ
αὕτη ἡ γῆ καθίσταται, καὶ διὰ τὸ ἐπίμονον ἡμῶν ἐν τῇ γεωργίᾳ ὑςεροῦσιν αἱ ἄκανθαι· οὐ γὰρ
ὁλοτελῶς κεκαθάρισται ἐκ τούτων καὶ εἰ τοῦτο οὕτως ἔχει, ὅτι ἐν τῇ πρὸς καιρὸν ῥαθυμίᾳ
ἢ τῇ ἀμελείᾳ τῇ μικρᾷ πληθύνονται αἱ ἄκανθαι, καὶ τὸν σπόρον συμπνίγουσι, καὶ τὸν κόπον
σου ποιοῦσιν ὡς μὴ ὄντα, λοιπὸν δέον ἐςὶ καθημέραν αὐτὴν καθαρίζειν· ἡ γὰρ ἐκ τούτου
κατάπαυσις, πλῆθος ἀκανθῶν αὐξάνει, ὧν καθαρισθείημεν χάριτι τοῦ μονογενοῦς· ἀλλὰ ταῦ-
τα μὲν μυςικώτερον εἴρηται.

Ἀνεπιγράφου. Ἦν ποτὲ καὶ ἡ τῶν ἐθνῶν ἐκκλησία· τῷ ἄχθει τῶν ἁμαρτημάτων συγ- p. 193. a.
κύπτουσα, καὶ μὴ δυναμένη ὀρθοποδεῖν, ἀλλὰ καὶ προσκυνοῦσα τὰ εἴδωλα· κατὰ τὸ ἐν Ἡσαΐᾳ
σχετλιαςικῶς εἰρημένον· ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ.

Τοῦ αὐτοῦ. Δίκην κτηνῶν τετραπόδων, κάτω ἔκυπτεν· ὄχημα γέγονε τῷ σατανᾷ, πνε-
ῦμα εἶχεν ἀσθενείας, μὴ συγχωροῦν ἀνανεύειν πρὸς τὰ οὐράνια, ἢ τὴν τοῖς λογικοῖς οἰκει-
οτάτην πορείαν ἐργάζεσθαι· δέκα καὶ ὀκτὼ ἔτη συνέκυπτε, περί τε γὰρ τὴν τήρησιν τῶν
δέκα ἐντολῶν ἠσθένει, καὶ περὶ τὴν ἐλπίδα τοῦ ὀγδόου αἰῶνος καὶ μέλλοντος, ἀλλὰ θερα-
πεύεται ὑπὸ Χριστοῦ, καὶ τοῦ πρὸς τὰ γήϊνα ἐπτοῆσθαι παύεται, καὶ ὀρθοποδεῖν μανθά-
νει, τοῦ Χριςοῦ τὰς χεῖρας ἐπιθέντος, ἤγουν συνεργοῦντος· ὁ δὲ τὸν νόμον περιέπων ἀγα-
νακτεῖ· βούλεται γὰρ κατὰ τὸ γράμμα καὶ τοὺς ἐξ ἐθνῶν βιοῦν, ἀλλὰ μὴ κατὰ τὸ εὐαγ-
γέλιον πολιτεύεσθαι· ἀλλ' ἐπιςομίζεται ἀκούσας ὅτι καὶ αὐτὸς, ὡς βοῦν μὲν τὸν ἰουδαῖον,
ὡς ὄνον δὲ τὸν προσήλυτον ἐν σαββάτῳ τοῖς μωσαϊκοῖς ἐπότιζε παραγγέλμασιν· ἃ καὶ ὕδωρ
λέγοι τ' ἂν, ὡς πρὸς σύγκρισιν τοῦ εὐαγγελίου, οἴνου ὄντος καρδίαν εὐφραίνοντος· ἄλλως
δὲ ἐν συναγωγῇ ἰουδαϊκῇ τουτέςιν ἐν ἐξομολογήσει· οὕτω γὰρ Ἰούδας ἑρμηνεύεται, καὶ ἐν
σαββάτῳ καὶ ἀργίᾳ κακῶν πᾶς θεραπεύεται· ἀγανακτεῖ δὲ ὁ τῆς κακίας ἄρχων, ἀλλ' ἐπι-
ςομίζει αὐτὸν ὁ κύριος, λέγων· εἰ σὺ πόλις εἰς βοῦν μοι τινὰ χρηματίσαντα, γεωργοῦντα τὸν
θεῖον σπόρον, ἢ εἰς ὄνον, ὡς ἐμὸν γεγονότα ὄχημα, ἀπάγεις πόῤῥω τῆς ἐμῆς τραπέζης, καὶ
ποτίζεις ὕδωρ, τὴν διαῤῥέουσαν καὶ ἄςατον ἡδονὴν, πόσῳ μᾶλλον ἐμὲ χρὴ τὸν εἰς ἐμὲ πι-

σεύοντα, καὶ διὰ τοῦτο τέκνον τοῦ Ἀβραὰμ ὀνομαζόμενον, λῦσαι τῶν δεσμῶν τῆς κακίας, τῶν ἐξ ἐπηρείας σῆς ἐπιτεθέντων αὐτῷ;

p. 193. b. Εἰρηναίου. Ἴδε τοίνυν κόκκον συνάπεως διὰ παραβολῆς δεικνύμενον· καὶ λόγον ἐπουράνιον σπέρματος δίκην ἐν κόσμῳ ὡς ἐν ἀγρῷ σπειρόμενον, ἔχοντος ἐν ἑαυτῷ τὸ πυῤῥακὲς, καὶ τὸ αὐστηρὸν τῆς δυνάμεως, κριτὴς γὰρ τοῦ παντὸς κόσμου ἐκηρύσσετο οὗτος ἐν καρδίᾳ τῆς γῆς· ἐν χώματι κρυβεὶς, καὶ τριημέρῳ μέγιστον δένδρον γεννηθεὶς, ἐξέτεινε τοὺς ἑαυτοῦ κλάδους εἰς τὰ πέρατα τῆς γῆς· ἐκ τούτου προκύψαντες οἱ δώδεκα ἀπόστολοι, κλάδοι ὡραῖοι καὶ εὐθαλεῖς γενόμενοι, σκέπη τοῖς ἔθνεσιν ἐγενήθησαν ὡς πετεινοῖς οὐρανοῦ· ὑφ' ὧν κλάδων σκεπασθέντες οἱ πάντες, ὡς ὄρνεα ὑπὸ καλιὰν συνελθόντα, μετέλαβον τῆς ἐξ αὐτῶν προερχομένης ἐδωδίμου καὶ ἐπουρανίου τροφῆς.

p. 196. a. Μακαρίου. Ὥσπερ γὰρ ὁ χρυσὸς ἀπὸ πολλῆς ἄμμου πλυνόμενος εὑρίσκεται, καὶ ταῦτα ἐλάχιστα ὡς κεγχρίδες, οὕτως καὶ ἀπὸ πολλῶν, ὀλίγοι εἰσὶ δόκιμοι.

Βασιλείου. Καὶ εὔχου τῶν ὀλίγων γενέσθαι, σπάνιον γὰρ τὸ ἀγαθόν· διὸ καὶ ὀλίγοι οἱ εἰσερχόμενοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

Βίκτωρος Ἱερουσαλὴμ δὲ ὀνομάζει τὸ πᾶν τῶν ἰουδαίων γένος, διὰ τῆς μητροπόλεως πάντας σημαίνων.

## CAP. XIV.

p. 201. b. Μακαρίου. Αἵ γε μὴν ἐνδεεῖαι ψυχαὶ καὶ πάντων καταφρονοῦσαι, τά τε ἄλλα καὶ πρὸς πόλεμον εὔθετοι, καθὼς καὶ Μωϋσῆς, περὶ τοῦ κρυπτοῦ τῶν πονηρῶν πνευμάτων πρὸς τὴν ψυχὴν πολέμου αἰνιττόμενος· καὶ οἷαι ψυχαὶ πρὸς τοῦτον εἰσὶν ἐπιτήδειοι δεικνὺς, ἔφησεν· εἴ τις ἡρμόσατο γυναῖκα, μὴ ἐξέλθῃ εἰς πόλεμον· καὶ εἴ τις ἐφύτευσεν ἀμπελῶνα, μὴ ἐξέλθῃ· ταῦτα δὲ περὶ δεσμῶν ὑλικῶν λέγει, μήπως τὶς πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἀθλῶν, ἔν τισι πράγμασι δέδηται· ἐὰν γὰρ διὰ τὴν πρὸς τὰς ἡδονὰς καὶ τὰ κτήματα προσπάθειαν μὴ ἀθλήσῃ, ἀπόβλητος τῆς οὐρανίου εὐφροσύνης γίνεται, ὡς περὶ τῶν εἰς δεῖπνον κληθέντων καὶ παραιτησαμένων φησὶν ὁ κύριος, συμφώνως τῷ Μωϋσῇ λέγων, ὅτι ὁ τοῖς ὑλικοῖς προσδεδεμένος, οὐ δύναται ἐλθεῖν εἰς μετουσίαν τῶν νοητῶν ἀγαθῶν· ὥσπερ δὲ βασιλεὺς γράψας ἐπιστολὰς, οἷς βούλεται δωρεὰς ἰδίας χαρίσασθαι, σημαίνει πᾶσιν ὅτι ταχέως σπουδάσατε ἐλθεῖν πρός με ἵνα λάβητε παρ' ἐμοῦ δωρεὰς βασιλικάς· καὶ εἰ μὴ ἔλθωσιν, οὐδὲν ὠφελήθησαν ἀναγνόντες τὰς ἐπιστολὰς, μᾶλλον δὲ καὶ θανάτου εἰσὶν ἔνοχοι διὰ τὸ καταφρονῆσαι, οὕτω καὶ τὰς θείας γραφὰς ἀπέστειλεν ὁ θεὸς, ἵνα γενώμεθα θείας κοινωνοὶ φύσεως· ἃς ἀναγνόντες, οὐκ ὠφεληθησόμεθα, μὴ θελήσαντες λαβεῖν ζωῆς δωρεάς· ἧς ἄνευ, ἀδύνατον ζωῆς ἀθανάτου τυχεῖν, ἥ τις ἐστὶν ὁ Χριστός.

p. 202. b. Ἀνεπιγράφου. Ἄλλως δὲ, ὅτε μὲν τὴν τιμωρητικὴν αὐτοῦ δύναμιν ὁ θεὸς αἰνίξασθαι βούλεται, πάνθηρ, καὶ ἄρκος, καὶ πάρδαλις, καὶ λέων, καὶ τὰ τοιαῦτα ὀνομάζεται· ὅταν δὲ φιλανθρωπίαν ὑπεμφαίνειν μέλλοι, ἄνθρωπος λέγεται, ὥσπερ οὖν νῦν· ἄνθρωπος γάρ, φησιν, ἐποίησε δεῖπνον μέγα· καὶ δεῖπνον, μὲν ἀλλ' οὐκ ἄριστον· ὅτι ἐπὶ δυσμαῖς τοῦ καθ' ἡμᾶς αἰῶνος ἡ κατὰ Χριστὸν οἰκονομία γέγονε· μέγα δὲ, ἤ τοι ὅτι μέγα καὶ ἄῤῥητον τὸ τῆς εὐσεβείας μυστήριον, ἢ ὅτι οὐκέτι γνωστὸς ἔμελλεν ἐν τῇ Ἰουδαίᾳ μόνῃ ὁ θεὸς εἶναι, οὐδὲ ἐν

τῷ Ἰσραὴλ μέγα αὐτοῦ τὸ ὄνομα, ἀλλ' ἡ σύμπασα πληρωθῆναι τοῦ γνῶναι τὸν κύριον· ὁ μὲν γὰρ νόμος ἑνὶ ἔθνει ἐδέδοτο τῷ τῶν ἰουδαίων, τὸ δὲ εὐαγγέλιον παντὶ τῷ κόσμῳ κεκήρυκται· ἐκάλεσε δὲ πολλοὺς, τοὺς ἰουδαίους δηλαδή· οὗτοι γὰρ προηγουμένως καὶ οὐ προσφάτως, ἀλλὰ πάλαι διὰ νόμου καὶ προφητῶν ἐκλήθησαν· εἶτα ὁ μονογενὴς υἱὸς μορφὴν δούλου λαβὼν, καὶ διὰ τοῦτο δοῦλος κληθεὶς, ἀπεστάλη παρὰ τοῦ πατρὸς, τῷ ὡραίῳ καὶ εὐθέτῳ καιρῷ, ὃς καὶ ὥρα τοῦ δείπνου καὶ τῆς οἰκονομίας λέγεται.

Τοῦ αὐτοῦ. Εἰ βούλει δὲ, ἀγρὸν ἀγοράζει, ὁ διὰ τὴν τοῦ κόσμου σοφίαν· ἀγρὸς γὰρ ὁ p. 203. a
κόσμος, μὴ παραδεχόμενος τὸ ὑπὲρ φύσιν μυστήριον· ψυχικὸς γὰρ ἄνθρωπος, οὐ δέχεται τὰ τοῦ πνεύματος· ζεύγη δὲ ἀγοράζει πέντε, ὁ τὰς πέντε τῆς ψυχῆς δυνάμεις ταῖς πέντε σωματικαῖς κακῶς συζεύξας δυνάμεσι, καὶ ταύταις ἐμπαθῶς καταχρώμενος, τῶν παθῶν τεμνούσαις τὰς αὔλακας· ὁ οὖν τὴν σωτηρίαν ἑαυτοῦ ἀποδοὺς, καὶ ταῦτα τὰ ζεύγη κτησάμενος, τοῦ νοητοῦ δείπνου οὐκ ἐπιθυμεῖ· ἀλλ' ἔστι παρῃτημένος ἀπὸ τοῦ θεοῦ· ὁ δὲ γήμας, ὁ τῇ συζύγῳ τῆς ψυχῆς σαρκὶ προστετηκὼς, ἢ τῇ κατὰ τὸν νόμον πολιτείᾳ, καὶ αὐτὸς δὲ τοῦ ἀληθῶς καλοῦ ἐστὶν ἀνόρεκτος.

Βίκτωρος. Ὄχλοι αὐτῷ συνεπορεύοντο, καὶ οὔπω μαθηταί· τῇ μὲν τοῦ ὀνόματος ἀγόμε- v. 25. p. 204. a.
νοι δόξῃ, καὶ τὴν τοῦ σωτῆρος θαυμάζοντες δύναμιν· τῇ δὲ πρὸς αὐτὸν οὐ προσιόντες οἰκειότητι, ἣν μεγάλην τε εἶναι δεῖ, καὶ πρὸς ἄκρον ἥκειν ἀγάπης· ἀγάπη δὲ ἡ μεγάλη καὶ ἄκρα οὐδένα χωρισμὸν φέρει τοῦ ἀγαπωμένου· χωρίζει δὲ δρόμου τοῦ πρὸς οὐρανὸν ἅπαντα τὰ φίλτρα τῶν ἐπὶ γῆς· καὶ εἰ πατέρα τὶς ἀγαπῴη, καὶ εἰ μητέρα, μὴ κατὰ πνευματικὴν ἀγάπην, ἀλλὰ κατὰ τὴν σαρκικὴν ταύτην καὶ ἀνθρωπίνην, ὡς τοῖς ἐκείνων δεδουλῶσθαι βουλήμασιν, ἢ τοῖς Χριστοῦ προστάγμασι· καὶ εἰ γυναικὸς ἐπιθυμίαις ὑπουργοίη, καὶ εἰ παίδων αὐτὸν δουλείᾳ κατεδουλώσατο καὶ ἀδελφῶν, ὡς περὶ τὰ ἐκείνοις ἡδέα μᾶλλον, ἢ τὰ Χριστῷ φίλα σπουδάζειν· καὶ εἰ αὐτὴν ἀγαπήσειε τὴν ψυχὴν, ὥστε αὐτὴν ἐν κόσμῳ σώζειν ἐθέλειν μᾶλλον, ἢ παρὰ Χριστῷ ζωοποιεῖν· τότε γὰρ τὸ οἰκεῖον ἀληθῶς, ὅτε μὴ μαχομένην πρὸς Χριστὸν ἀπαιτοίη τὴν οἰκείωσιν, μὴ δ' ἀνθέλκουσαν ἀπὸ τῆς πρὸς αὐτὸν σπουδῆς· εἰ δὲ Χριστὸς μὲν καλοίη πρὸς οὐρανὸν, καὶ κελεύει μὴ μεριμνᾷν τὰ περὶ γῆν, μὴ δὲ ἀπάταις πλούτου καὶ ἡδοναῖς βίου συμπνίγεσθαι, γονεῖς δὲ γυναῖκες καὶ τέκνα καὶ ἀδελφοὶ πρὸς ταῦτα ἀντιπαρακαλοῖεν, τότε χωρὶς ὄντα Χριστοῦ, χωρὶς εἶναι δεῖ καὶ τοῦ μαθητοῦ· ὁπότε καὶ ἡ ψυχὴ τὰ ἑαυτῆς ἐπιζητοῦσα, καὶ μὴ τὰ Χριστοῦ, μισεῖσθαι προστέτακται· τοιοῦτοι δὲ οἱ πλείους, περὶ ὧν ὁ Παῦλός φησιν· οἱ πάντες γὰρ τὰ ἑαυτῶν ἐπιζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ.

Μακαρίου. Μὴ δὲ γὰρ ὡς ὀφείλων ἑαυτὸν ἐν ξύλῳ κρεμάσαι καὶ ἀκολουθεῖν τῷ κυρίῳ, p. 204. b.
οὕτως νόει· ἀλλὰ σταυρώσεις σεαυτὸν ἐκ τῶν κοσμικῶν πραγμάτων, τοῦ μὴ ἅψασθαι αὐτῶν.

Μάρκου μοναχοῦ. Ὥστε ὁ κακουχίαν καὶ ἀτιμίαν ὑπὲρ ἀληθείας αἱρούμενος, ἀποστολικὴν ὁδὸν πορεύεται· τὸν σταυρὸν ἄρας, καὶ τὴν ἅλυσιν περικείμενος.

Ἀνεπιγράφου. Ἐπὶ μὲν οὖν τῶν ἄλλων ἁπασῶν ἐγχειρήσεων, ὅσαι κατ' ἀνθρώπους εἰσὶ, v. 28. p. 205. b.
κάλλιον τὸ μὴ ἅπτεσθαι τοῦ πράγματος, ἢ τὰ μεταχειρίζεσθαι τὰ ἀνέφικτα καὶ ἀκατόρθωτα, οἷον οἰκοδομίαν πύργου τὴν μὴ συμπληρωθησομένην, καὶ πολέμου πρόθεσιν τοῦ μὴ κατορθουμένου· τὸ δὲ ἀκολουθεῖν Χριστῷ, σωτήριον μὲν, σπουδασθὲν δὲ οὐδὲ μίαν καταλείπει σωτηρίαν· διόπερ οὐκ εἶπε πᾶς ἐξ ὑμῶν, ὃς οὐκ ἀποτάσσεται πᾶσι τοῖς ἑαυτοῦ ὑπάρχουσιν,

ἐμοὶ ἀκολουθείτω· οὐ γὰρ λέγει τὸ ὀλέθριον ὁ σωτὴρ, οὐδὲ εἰσηγεῖται τὸ ἐπιβλαβὲς ὁ τὴν ὠφέλειαν μόνην ἐπιδεικνὺς, οὐδὲ ὥσπερ ὁ μὴ δυνάμενος πολεμεῖν τῷ διπλασίους στρατιώτας παρεσκευασμένῳ πέμψας ἐρωτᾷ τὰ πρὸς εἰρήνην· οὐχ' οὕτως ὁ μὴ δυνάμενος ἀκολουθεῖν τῷ καλοῦντι πρὸς οὐρανὸν, αἱρεῖσθαι κελεύεται τὰ κατὰ γῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, φησὶ, μέλλετε ἀποθνήσκειν· καὶ τῶν τὰ ἐπίγεια φρονούντων, φησὶ, τὸ τέλος ἀπώλεια· οὕτω καὶ ἐπὶ τῶν ἄλλων· οὐδεὶς γὰρ ὄλεθρον ἀντὶ σωτηρίας ἐργάζεται· πάντας μὲν οὖν τοὺς ἀκολουθοῦντας Χριστῷ, προσῆκον ἂν εἴη κατὰ τὸ ῥῆμα τὸ θεῖον, ἀποτετάχθαι πᾶσι τοῖς ὑπάρχουσιν αὐτοῦ· καὶ οὗτος ὁ τῶν ἀποστόλων τρόπος καὶ τῶν ἰσουμένων ἐκείνοις· δεύτερος δὲ ὁ τῶν πολλῶν ὑπολείπεται τρόπος, ὁ πρᾶξιν μὲν ἔχων τὴν ἐν χρήμασι, σπουδὴν δὲ καὶ διάθεσιν τὴν περὶ τὸ καλὸν, καὶ τὴν χρημάτων περιουσίαν τρέπων εἰς τοῦτο.

Τοῦ αὐτοῦ. Ἁπλῶς δὲ διὰ τῆς τοῦ πύργου παραβολῆς διδάσκει ἡμᾶς ὁ κύριος, ἅπαξ ἀκολουθεῖν αὐτῷ ἑλομένους, φυλάξαι τὴν αὐτὴν προαίρεσιν· καὶ μὴ θεμέλιον μὲν καταβαλέσθαι ἤ τοι ἀρχὴν ἀκολουθήσεως, εἶτα τέλος μὴ ἐπιθεῖναι, ὡς μὴ ἔχοντας ἀρκοῦσαν παρασκευὴν τῆς προθυμίας· καὶ πᾶς δὲ ὁ μὴ τῇ πράξει τὴν γνῶσιν ἐπιθεὶς, ἀτελῶς κτίζει· καὶ ὁ τῇ πίστει δὲ μὴ ἐποικοδομῶν τὰ ἔργα, ἐμπαίζεται· καὶ ἡ ἐφεξῆς δὲ παραβολὴ, παιδεύει μὴ διψύχους εἶναι, μὴ δὲ σαρκὶ καὶ θεῷ προσηλοῦσθαι, ἀλλὰ τὸν νοῦν ὡς βασιλέα ἀνθιστᾷν τῇ ἁμαρτίᾳ, καὶ τῷ ταύτης εὑρετῇ· καὶ ἄσπονδον μῖσος ἔχειν, καὶ μηδέ ποτε εἰρηνεύειν, ὅπερ ἐστι δουλωθῆναι τοῖς πάθεσιν.

v. 34. p. 206. a. Τοῦ αὐτοῦ. Καλὸν τὸ ἅλας, τὸ τηροῦν τὴν ἰδίαν ἀρετήν· μωρανθὲν δὲ τῇ ἀμελείᾳ, τὴν φρόνιμον ἀπόλλυσιν ἄρτυσιν· ἅλας πάντες οἱ διδάσκαλοι, οἱ μὲν πρώτως, οἱ δὲ δευτέρως· πρώτως μὲν γὰρ οἱ ἀπόστολοι, ἅλες παντὶ τῷ κόσμῳ γεγόνασι· καὶ ὅσοι μετ' ἐκείνους, τοιοῦτοι, ἀρτύοντες εἰς σωτηρίαν ἀνθρώπους· δευτέρως δὲ οἱ τὰς ἐκκλησίας πληροῦντες λαοὶ, χρήσιμοι πρὸς ὠφέλειαν τοῖς πλησιάζουσι καθιστάμενοι· χρησίμους τοίνυν ὑμᾶς φησὶν ὁ παρ' ἐμοῦ λόγος, ἅπασιν ἀνθρώποις κατασκευάζει, καὶ πᾶσιν ἐπὶ σωτηρίᾳ παραμίγνυσι, τοιούτους ἀποδεικνὺς, οἵους προείρηκα· εἰ δὲ παραφθείρει τίς τὴν προσήκουσαν διάνοιαν, οὔτε ἀφ' ἡμῶν ὄφελος οὐδενὶ, οὔτε ὑμῖν ἑτέρωθεν ὑπολείπεται· ὅθεν, οὔτε εἰς κοπρίαν εὔθετοι ἔσεσθε· γῆ μὲν γὰρ τὸ ὠφελούμενον, κόπρος δὲ τὸ ὠφελοῦν· ὑμεῖς οὖν πρὸς τὸ ὠφελεῖν κόσμον ἅπαντα κείμενοι, εἰ μήτε ὠφέλιμοι μένοιτε, μήτε ὠφελεῖσθαι δύνασθε, ἀπόβλητοι καὶ εἰς οὐδὲν ἔσεσθε χρήσιμοι· ἐπεὶ μέν τοι παραβολικὸς καὶ σκοτεινὸς ὁ λόγος ἦν, διεγείρων τοὺς ἀκούοντας ὁ κύριος, εἰς τὸ μὴ ἁπλῶς καὶ κατὰ τὸ πρόχειρον παραδέξασθαι τὸν περὶ τοῦ ἅλατος λόγον, ἐπήγαγεν· ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω, τουτέστιν ὁ ἔχων σύνεσιν συνιέτω· ὁ δυνάμενος νοεῖν, νοείτω λόγον συμβολικὸν καὶ αἰνιγματώδη· ὦτα γὰρ ἐνταῦθα τὴν αἰσθητικὴν τῆς ψυχῆς δύναμιν, καὶ τὴν πρὸς τὸ συνιέναι ἐπιτηδειότητα νοητέον· ἔστι δὲ καὶ ἡμῶν τῶν πιστῶν ἕκαστος ἅλας· ἐκ τῶν θείων λόγων καὶ τῆς ἄνωθεν χάριτος τὴν νοσίζουσαν ποιότητα δεδεγμένος· εἰ οὖν μὴ ποιούμεθα ἐξ αὐτῆς, ἀσύνετοι γινόμεθα, καὶ ὄντως τὸ ἅλας ἐμωράνθη, μὴ ἔχον τὴν τῆς ἄνωθεν χάριτος ποιότητα.

v. 35. Μακαρίου. Γῆν καλῶν, τὰς ψυχὰς τῶν ἀνθρώπων· αἷς διηκόνησαν οἱ ἀπόστολοι τὸ ἐπουράνιον ἅλας τοῦ πνεύματος, καὶ ἀσήπτους εἰργάσαντο, ὡς μὴ σκώληκας ἐν αὐταῖς ἐμπεριπατεῖν τὰ τῆς πονηρίας πνεύματα.

## CAP. XV.

Τοῦ αὐτοῦ. Ὥσπερ οἱ ἰσραηλῖται ἔβαλον τὰ χρυσᾶ σκεύη εἰς τὸ πῦρ, καὶ ἐγένετο εἴδω- v. 8. p. 208. a.
λον, οὕτω καὶ νῦν τοὺς καθαροὺς λογισμοὺς ἐπέδωκε τῇ κακίᾳ ὁ ἄνθρωπος· καὶ κατεχώσθησαν εἰς τὸν βόρβορον τῆς ἁμαρτίας, καὶ ἐγένετο εἴδωλον· καὶ χρείαν ἔχει λύχνου θεϊκοῦ ἡ ψυχὴ, πνεύματος ἁγίου τοῦ κοσμοῦντος τὸν ἐσκοτισμένον οἶκον· τοῦ φωτεινοῦ ἡλίου τῆς δικαιοσύνης· καὶ γὰρ ἐκείνη ἡ χήρα ἡ ἀπολέσασα τὴν δραχμὴν, πρῶτον ἧψε τὸν λύχνον, εἶτα ἐκόσμησε τὸν οἶκον, καὶ οὕτως εὑρέθη ἡ δραχμὴ ἐν τῇ κόπρῳ καὶ ἐν τῇ ἀκαθαρσίᾳ καὶ ἐν τῇ γῇ, κεχωσμένη· καὶ νῦν ἡ ψυχὴ οὐ δύναται ἀφ' ἑαυτῆς εὑρεῖν τοὺς ἰδίους αὐτῆς διαλογισμοὺς καὶ χωρίσαι, ἀλλ' ὅταν ἀφθῇ ὁ λύχνος ὁ θεϊκὸς, ἅπτει εἰς τὸν ἐσκοτισμένον οἶκον, καὶ τότε βλέπει τοὺς λογισμοὺς αὐτῆς, πῶς εἰσὶ κεχωσμένοι εἰς τὴν ἀκαθαρσίαν τῆς ἁμαρτίας· ἀνατέλλει ὁ ἥλιος, καὶ τότε βλέπει ἡ ψυχὴ τὴν ἀπώλειαν αὐτῆς, καὶ ἄρχεται ἀνακαλεῖσθαι τοὺς ἐν τῇ κόπρῳ ἀναμεμιγμένους λογισμούς· ἀπώλεσε γὰρ τὴν εἰκόνα αὐτῆς ἡ ψυχὴ παραβᾶσα τὴν ἐντολήν.

Τοῦ αὐτοῦ. Καὶ ὥσπερ οὐκ ἦν ἐν τῇ παραβολῇ θέλημα τοῦ πατρὸς, τὸν υἱὸν ἀπολέ- v. 11. p. 209. a.
σθαι· καὶ θελήσαντος αὐτοῦ, καὶ εἰπόντος, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, οὐκ ἐκώλυσεν, οὕτως καὶ ὁ θεὸς οὐκ ἠθέλησεν ἀπολέσθαι τὸν Ἀδὰμ, καὶ θελήσαντος αὐτοῦ παραβῆναι τὴν ἐντολὴν, καὶ τὸ ἴδιον μέρος λαβεῖν· τουτέστι τὸν ἑαυτοῦ νοῦν καὶ τὸ θέλημα οὐκ ἐκώλυσε, διὰ τὸ ἴδιον αὐτὸν ἔχειν θέλημα, καὶ ἰδίαν ἐξουσίαν, καὶ ἰδίαν γνώμην· αὐτεξούσιον γὰρ αὐτὸν ἐξ ἀρχῆς (ἔκτισεν) ὁ θεὸς, ποιεῖν πᾶν ὃ βούλεται.

Ἀστερίου. Ἀλλ' ἐγκύψωμεν καὶ αὖθις τῷ εὐαγγελίῳ, καὶ τὰ ἐν αὐτῷ μυστήρια θεωρήσωμεν· πατέρα μὲν οὖν ἡ παραβολὴ τὸν θεὸν καὶ ποιητὴν τοῦδε τοῦ παντὸς, ὀνομάζει· τὸν δὲ πρεσβύτερον υἱὸν καὶ νεώτερον, ἀνθρώπους δύο· τὸν μὲν παραμείναντα τῇ δοθείσῃ χάριτι καὶ τῷ τῆς κληρονομίας, καὶ οὐδαμοῦ τῆς ἐκκλησίας, οὐδὲ τῆς τῶν ἀχράντων μυστηρίων κοινωνίας, διὰ τῆς τοῦ βίου ἀσωτίας, ἀφηνιάσαντα· τὸν δὲ κατὰ πάντων τῶν εἰρημένων νεωτερίσαντα, καὶ διὰ τοῦτο καὶ ἀληθινοῦ χωρισθέντα πατρὸς, καὶ σπαθήσαντα, καὶ διαφθείραντα τὰς παρ' αὐτοῦ δοθείσας δωρεὰς, ὡς εἰώθεσαν πράττειν οἱ ἄσωτοι· ἔστιν οὖν τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας, ὃ παρὰ τοῦ πατρὸς ὁ νεώτερος υἱὸς ἐπιζητεῖ, τάχα μὲν τὸ αὐτεξούσιον, τάχα δὲ τὸ βάπτισμα, καὶ ἡ μετοχὴ τοῦ ἀχράντου σώματος· καὶ γὰρ πολλοὶ καὶ τῶν νεωτέρων, καὶ ζητοῦσι ταῦτα καὶ λαμβάνουσιν· ἀλλ' οἱ πρεσβυτικὸν ἔχοντες φρόνημα, ἐκεῖνοι καὶ τὸ δῶρον ἐν ἀκριβείᾳ φυλάττουσιν· ἴσον μὲν οὖν ἐστι τὸ ἐπιβάλλον ἑκάστῳ· ἡ δὲ τῶν λαμβανόντων, κατὰ τὴν σπουδὴν ἑκάστου διαφορὰ, ἐκείνη καὶ μεῖζον καὶ ἔλαττον αὐτὸ ποιεῖ· ἢ καὶ ὅλως ἐκδαπανᾷ ὥσπερ ὁ ἄσωτος· τὸ μὲν οὖν ἐπιβάλλον, τοῦτ' ἂν αἰνίττοιτο ἡ παραβολὴ, τὸ λογικὸν καὶ τὸ αὐτεξούσιον, καὶ πάντα ὅσα δέδωκεν ἡμῖν ὁ θεὸς, οἷον τὴν κτίσιν, τὸν νόμον, τοὺς προφήτας· τὸ δὲ μακρὰν ἀποδημίαν στείλασθαι, τὸ μακρυνθῆναι καὶ τῶν δωρεῶν καὶ τῶν ἐντολῶν τοῦ θεοῦ· οὕτω καὶ ὁ Ἀδὰμ ἐσπάθησε τὴν οὐσίαν, καὶ πάσης τῆς πατρικῆς εὐπορίας ἐξέπεσε· καὶ ὑπερωρίσθη χωρίου, ἀφθονίαν βρύοντος ἀγαθῶν· χαλεπὸν μὲν υἱῷ νεωτέρῳ χωρισθῆναι πατρὸς, δαπάνην γὰρ ἄσωτον, καὶ ἀκολασίαν, καὶ ὁμιλίας ἤθη φθειρούσας, ὁ τοῦ πατρὸς ἐλαύνει καὶ ἀποδιώκει ὀφθαλμός· ὅταν

δὲ ἐφ' ἑαυτῆς γένηται νεότης, καὶ μήτε φόβος παρῇ, μήτε αἰδὼς, δύο φύλακες ἰσχυροὶ ταραττομένης νεότητος, τότε δὴ τότε οἴχεται πάντα καὶ ἀνατέτραπται.

v. 15. p. 210. b. Τοῦ αὐτοῦ. Ὁ πολίτης τῆς μακρὰν ἀπῳκισμένης θεοῦ χώρας, ὁ διάβολός ἐστι· καὶ γὰρ τῆς ἁμαρτίας ἡ πόλις πρῶτον πολίτην ἔχει καὶ πολιστὴν τὸν διάβολον, τὸν αὐτῆς εὑρετὴν, πανταχόθεν πάντας συνάγοντα τοὺς ἀσώτους· καὶ συμπολίτας ποιούμενον, καὶ εἰς ἀτίμους καὶ συώδεις παραπέμποντα πράξεις· καὶ γὰρ χοιροβίων ἐστὶν ἀγελάρχης, ἀλλ' οὐχὶ ποιμὴν λογικῶν προβάτων, ὥσπερ ὁ δεσπότης ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τοῦ ποιμνίου αὐτοῦ· ἀποστέλλει οὖν ὁ ἀρχισυβώτης τὸν ἄθλιον νεανίσκον βόσκειν χοίρους.

v. 16. Τοῦ αὐτοῦ. Ἦν ὁ ποτὲ εὐδαίμων, ὁμοδίαιτος τῶν χοίρων· ἐσθίων κεράτια, τοιοῦτον γὰρ ἡ ἁμαρτία, πρὸς ὀλίγον μὲν ἡδεῖα, οὐδὲν δὲ τρόφιμον οὐδὲ χρήσιμον φέρουσα, καὶ ἡδύνουσα μὲν πρόσκαιρα, κολάζουσα δὲ ἀΐδια· ἐπιθυμεῖ δὲ κορεσθῆναι τῆς ἁμαρτίας ὁ ἐλεεινὸς, καὶ οὐ δύναται λαβεῖν κόρον· οὐδὲ γὰρ μένει ἡ ἡδονὴ, ἀλλ' ἅμα γίνεται καὶ ἀπογίνεται, καὶ κενὸς εὑρίσκεται πάλιν ὁ ἄνθρωπος.

v. 17. Τοῦ αὐτοῦ. Κάλλιστα εἴρηται τὸ εἰς ἑαυτὸν ἐλθὼν, καὶ γὰρ οὐκ ἦν ἑαυτοῦ, ἔκδοτος γεγονὼς, καὶ πεπραμένος τοῖς πάθεσι, καὶ τῶν ἐμφύτων φρενῶν ἐξεστηκώς.

v. 19. p. 211. a. Τοῦ αὐτοῦ. Μισθωτὸν δὲ μετὰ τὴν ἐπιστροφὴν καὶ μετάνοιαν ὁ ἄσωτος ἑαυτὸν ὀνομάζει, καὶ πάντα τὰ τῆς ἀτιμίας ὀνόματα· ἵν' ἡμῖν ὑπογράψῃ ὁ λόγος, ὅπως χρὴ μετανοοῦντας ταπεινοῦσθαι τὴν καρδίαν, καὶ διὰ τῶν ῥημάτων συντρίβεσθαι· διδάσκει δὲ ἡ παραβολὴ, καὶ ὅτι τὸν μετανοοῦντα καὶ ἐξιλεούμενον τὸν θεὸν, οὐδὲ ἀτενὲς βλέπειν εἰς οὐρανὸν δεῖ· ἀλλὰ τῷ ἐρυθριῶντι βλέμματι τὸ τῆς ψυχῆς κατηφὲς ἀπαῤῥησίαστον μηνύει.

v. 20. p. 212. a. Τοῦ αὐτοῦ. Ὅρα δὲ πῶς διαγράφει τὴν τοῦ θεοῦ ἀγαθότητα· ἐρχόμενον γὰρ τὸν ἄσωτον, οὐ μόνον οὐκ ἀποπέμπεται, οὐδὲ παρορᾷ ἀλλὰ καὶ προσυπαντᾷ χαίρων, ἵνα θᾶττον ἀπολάβῃ τὸν πλανηθέντα, καὶ περιχεῖται τῷ τραχήλῳ.

v. 22. p. 212. b. Τοῦ αὐτοῦ. Καὶ εἴη ἂν στολὴ ἡ πρώτη, οὐκ αὐτὸ τὸ βάπτισμα· οὐ γὰρ οἷόν τε τυχεῖν δευτέρου βαπτίσματος, ἀλλ' ἡ πρώτη χάρις· ἣν ἀπ' ἀρχῆς ἕκαστος τῶν πιστῶν ἐνδύεται διὰ τοῦ βαπτίσματος· ἀντὶ γὰρ τῆς διὰ τοῦ λουτροῦ παλιγγενεσίας ἡμῖν, παρὰ θεοῦ ἐχαρίσθη ἀναγέννησις, ἥ τις τὰ μολύσματα ἡμῶν τῷ δακρύῳ πλύνουσα, πάλιν καθαροὺς ἀποφαίνει.

Μακαρίου. Τῆς ψυχῆς γὰρ τὴν πτῶσιν ὁ κύριος διηγούμενος, τὴν περὶ τοῦ νέου υἱοῦ παραβολὴν ἔφερεν, ὃς ἔζη ἀσώτως, τὰ πάθη τῶν τῆς πονηρίας πνευμάτων ἐσθίων καὶ πίνων, καὶ ἐν αὐτοῖς ζῶν· ὁ λιμὸς δὲ ἐκείνῳ εἰς συμφέρον γέγονε, τοῦ μνησθῆναι καὶ ἐπιστραφῆναι πρὸς τὸν ἑαυτοῦ πατέρα τὸν οὐράνιον, ὃς ἀποδέχεται ψυχὴν ὁρῶν ἐπιστρέφουσαν καὶ μετανοοῦσαν καὶ ἐν ἀληθείᾳ προσερχομένην αὐτῷ, καὶ δίδωσιν αὐτῇ στολὴν τοῦ φωτὸς τοῦ Χριστοῦ, καὶ δακτύλιον τῆς σφραγῖδος τοῦ ἁγίου πνεύματος· δι' ἣν ἐτύθη καὶ ὁ καλὸς σιτευτὸς μόσχος, ὁ κύριος ἐν σαρκὶ παθών· ἥ τις ἕως οὗ ζῇ ἀσώτως μετὰ τῶν πνευμάτων τῆς πονηρίας ἀναστρεφομένη, καὶ μετ' αὐτῶν διὰ τῆς ἐνεργείας τῶν παθῶν πορνεύουσα, καὶ σὺν τῇ ἁμαρτίᾳ διάγουσα, νεκρὰ καὶ ἀπολωλυῖα τυγχάνει τῷ ἐπουρανίῳ καὶ ἀγαθῷ πατρί· ἐπὰν δὲ μνησθῇ καὶ ἐπιστραφῇ πρὸς αὐτὸν, χαρὰ γίνεται ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ, λαμβάνει στολὴν δόξης φωτὸς Χριστοῦ, καὶ τῷ ἐπουρανίῳ σφραγίζεται πνεύματι· καὶ οὕτω ζῇ πάλιν ζωὴν πνευματικὴν, πρὸς τὸν ἐπουράνιον πατέρα· ὃς φόβῳ καὶ ἀγάπῃ, καὶ αἰσχύνῃ ἐπιστραφεῖσαν αὐτὴν προσδέχεται καὶ ἀπολαμβάνει, μὴ λογιζόμενος τὰ πρότερα τῆς ἁμαρτίας αὐτῆς κακά.

Ἀστερίου. Δίδοται τῷ ἀσώτῳ μετὰ τὴν στολὴν, καὶ δακτύλιος, σύμβολον τῆς νοητῆς
σφραγῖδος τοῦ πνεύματος· ὡς γὰρ ἐν τῇ διὰ τοῦ βαπτίσματος παλιγγενεσίᾳ, καὶ στολὴ καὶ
σφραγὶς δωρεᾶς πνεύματος ἁγίου, οὕτως καὶ ἐν τῇ διὰ τῆς μετανοίας ἀναγεννήσει.

Τοῦ αὐτοῦ. Προσφέρεται γὰρ τὰ ὑποδήματα, ἵνα θαῤῥεῖν ἔχῃ τὴν τοῦ ὄφεως καταπα-
τεῖν κεφαλήν· σὺ γάρ φησι τηρήσεις αὐτοῦ κεφαλὴν, κἀκεῖνος τηρήσει σου πτέρναν· πρὸς
ἑκάτερον οὖν, χρήσιμον τὰ ὑποδήματα, καὶ εἰς τὸ καταπατεῖν τὴν τοῦ ὄφεως κεφαλὴν, καὶ
εἰς τὸ τὴν ἐκεῖθεν βλάβην τὴν πτέρναν διαφυγεῖν.

Μακαρίου. Ὁ Ἀδὰμ τὴν ἐντολὴν παραβὰς, κατὰ δύο τρόπους ἀπώλετο, ἕνα μὲν ὅτι p. 213. a.
ἀπώλεσε τὸ κτίσμα τὸ καθαρὸν τῆς φύσεως αὐτοῦ, τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ θεοῦ·
ἕτερον δὲ ὅτι ἀπώλεσεν αὐτὴν τὴν εἰκόνα, ἐν ᾗ ἀπέκειτο αὐτῷ κατ' ἐπαγγελίαν πᾶσα ἡ
οὐράνιος κληρονομία· ὥσπερ ἐὰν ᾖ νόμισμα τὴν εἰκόνα τοῦ βασιλέως ἔχον, καὶ τοῦτο παρα-
χαραγῇ, ὁ χρυσός τε ἀπώλετο, καὶ ἡ εἰκὼν οὐ χρησιμεύει, τοιοῦτον ἔπαθε καὶ ὁ Ἀδάμ· μέ-
γας γὰρ πλοῦτος, καὶ μεγάλη κληρονομία ηὐτρέπιστο αὐτῷ· ὥσπερ ἐὰν ᾖ χωρίον μέγα, καὶ
ἔχῃ προσόδους πολλάς· ἐκεῖ ἄμπελος εὐθηνοῦσα, χῶραι εὐφοροῦσαι, ἀγέλαι, χρυσὸς, ἄργυρος·
οὕτως ἦν τὸ χωρίον τίμιον πρὸ τῆς παρακοῆς, αὐτὸ τὸ σκεῦος τοῦ Ἀδάμ· ἀλλ' ἐπειδὴ κακὰ
ἔσχε διανοήματα καὶ λογισμοὺς, ἀπώλετο ἀπὸ τοῦ θεοῦ· οὐ λέγομεν δὲ ὅτι ἀπώλετο τὸ ὅλον
καὶ ἠφανίσθαι καὶ ἀπέθανεν, ἀπὸ τοῦ θεοῦ γὰρ ἀπέθανεν, τῇ δὲ ἰδίᾳ φύσει ζῇ· ἰδοὺ γὰρ
ὅλος ὁ κόσμος περιπατεῖ ἐν τῇ γῇ καὶ πραγματεύεται, ἀλλ' ὁ ὀφθαλμὸς τοῦ θεοῦ βλέπει
αὐτῶν τὸν νοῦν καὶ τὰς ἐνθυμήσεις· καὶ ὡσπερεὶ βλέπει καὶ οὐ παραβλέπει, καὶ οὐ ποιεῖ ἐν
αὐτοῖς κοινωνίαν· ἐπειδὴ οὐδὲν εὐάρεστον τῷ θεῷ λογίζονται, ὥσπερ ἐὰν ὦσι πανδοχεῖα, καὶ
πορνεῖα, καὶ τόποι ὅπου ἀταξίαι γίνονται καὶ ἀσωτίαι, λοιπὸν οἱ θεοσεβεῖς παρερχόμενοι,
βδελύσσονται, καὶ βλέποντες οὐ βλέπουσιν, ὡς νεκρὰ γὰρ αὐτοῖς ἐστίν· οὕτως καὶ ὁ θεὸς ἐπὶ
τοὺς ἀποστατήσαντας ἀπὸ τοῦ λόγου αὐτοῦ καὶ ἀπὸ τῆς ἐντολῆς· ἐπιβλέπει δὲ αὐτοὺς, καὶ
οὐ ποιεῖ ἐκεῖ κοινωνίαν, οὔτε ἐπαναπαύεται εἰς τοὺς λογισμοὺς αὐτῶν· ἀλλὰ νεκροὶ παρ' αὐτῷ
εἰσὶ καὶ ἀπολωλότες· ἀνανήψαντες δὲ, πάλιν ζῶσι τὴν πρὸς αὐτὸν ζωήν.

Ἀνεπιγράφου. Λυθήσεται δὲ καὶ ἑτέρως τὸ ἄπορον, εἴ τις τὴν παραβολὴν ἐλογίσαιτο v. 28.
διὰ τί συνετέθη· ἐπειδὴ γὰρ ἐγόγγυζον οἱ φαρισαῖοι, δίκαιοι ὄντες ὑπὲρ τοὺς τελώνας ὡς
ᾤοντο· προσδεχομένου τοῦ κυρίου αὐτοὺς, διὰ τοῦτο εἴληπται τὸ πρόσωπον τοῦ δοκοῦντος γογ-
γύζειν υἱοῦ, εἰς πάντας τοὺς σκανδαλιζομένους ἐπὶ τῇ ἀθρόᾳ εὐπραγίᾳ καὶ σωτηρίᾳ τῶν ἁμαρ-
τωλῶν· τοῦτο δὲ οὐκ ἔστι φθόνου ἐμφαντικὸν, ἀλλ' ὑπερχύσεως θεοῦ φιλανθρωπίας· ὃ δὲ
βούλεται, τοῦτό ἐστιν· ἔστω, ὦ φαρισαῖοι, ὑμεῖς δίκαιοι ἐστὲ καθαροί· παρακαλῶ ὑμᾶς μὴ
γογγύζειν ἐπὶ τῇ εὐφροσύνῃ ἣν ποιούμεθα διὰ τὴν τοῦ ἁμαρτωλοῦ σωτηρίαν, καὶ γὰρ καὶ οὗ-
τος, υἱός· οὐ τοίνυν φθόνος ἐντεῦθεν ἐμφαίνεται, ἀλλὰ τὴν τῶν φαρισαίων γνώμην παι-
δεύει ὁ κύριος· εἰ καὶ δίκαιοι εἶεν, μὴ δυσχεραίνειν ἐπὶ τῇ παραδοχῇ τῶν ἁμαρτωλῶν.

Ἀστερίου. Μὴ λυπείτω σε ἡ τοῦ πατρὸς ἀγαθότης, εἰ περιέχεται τοῦ δυσπραγήσαντος v. 29.
παιδός· ὁ ἐλεῶν, οὐ δικάζει μετὰ ἀκριβείας, ἀλλὰ φιλανθρώπως χαρίζεται· καὶ ταῦτα ὅταν p. 213. b.
ὑπάρχῃ πατὴρ, ὥσπέρ τινι βίᾳ πρὸς τὸν οἶκτον ἑλκόμενος· ἀλλὰ ταῦτα μὲν πρὸς τοὺς τρα-
χυτέρους τὴν γνώμην, καὶ τὴν ἀποτομίαν πρὸ τῆς συμπαθείας ἀσκοῦντας.

Ἀνεπιγράφου. Ἴδωμεν δὲ λοιπὸν καὶ κατὰ μέρος ὡς ἐν ἐπιτομῇ τὰ ἑξῆς τῆς παραβολῆς·
ὡς ἐν ἀγρῷ τῷ κόσμῳ τούτῳ τὴν σάρκα ὡς γῆν ὁ σώφρων υἱὸς εἰργάζετο, ἵνα θερίσῃ ἐν

ἀγαλλιάσει, καὶ ἐμπλησθῇ ἄρτων· μαθὼν δὲ τὰ πραχθέντα, οὐκ ἤθελεν εἰς τὴν κοινὴν χαρὰν εἰσελθεῖν· ὁ δὲ πατὴρ ἀναδιδάσκει αὐτὸν τὴν τῆς εὐφροσύνης αἰτίαν, ὅτι νεκροῦ ἐστιν ἀναζώωσις· ἐπειδὴ δὲ ὁ ἔριφος ἐσφάζετο μὲν κατὰ τὸν νόμον ὑπὲρ ἁμαρτίας, τάττεται δὲ καὶ ἐπὶ τῆς ἀριστερᾶς μερίδος καὶ τῶν ἁμαρτωλῶν, τί ποτε νοεῖ τὸ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ὑπὸ τοῦ εὐδοκίμου παιδὸς λεγόμενον; τάχα μὲν τοῦτο, ὅτι ἀεί με ἐν κόποις ὄντα παρεῖδες· οὐδὲ ἁμαρτωλὸν γοῦν τὸν θλίβοντα σφαγῇ παραδοὺς, ἵνα μικρὸν ἀνεθῶ, νῦν δὲ ἀπόνως σώζεις τὸν ἄσωτον.

## C A P. XVI.

v. 1.
p. 215. a. Ἀνεπιγράφου. Εἴληπται δὲ ἡ τοῦ οἰκονόμου παραβολὴ, οὐχ ὡς παντελῶς ἴσον ἔχουσα τὸ παράδειγμα τῶν δηλουμένων, ἀλλ' ὡς ἐξ ἐλάττονος τὸ μεῖζον ὑποδεικνύουσα· ὁ μὲν γὰρ τῆς οὐσίας τοῦ δεσπότου πολλὰ καταχαρισάμενος τοῖς ὀφείλουσιν, ἵν' ἀντιλάβῃ παρ' αὐτῶν τὴν ὕστερον τιμὴν, ἐπειδὰν ἐκβληθῇ τῆς οἰκονομίας, ἐξ ἀδικίας τοῦ δεσπότου παρασκευάζει τὴν παραμυθίαν ἑαυτῷ, φρονίμως τῷ καιρῷ τῆς ἐξουσίας χρώμενος, εἰς τὸν προσδοκώμενον καιρὸν τῆς μεταβολῆς· καὶ ἕως ἔτι πάρεστι τὰ χρήματα, χρώμενος αὐτοῖς εἰς τὸ ὅτε μὴ πάρεστιν ὠφέλειαν· θεὸν δὲ ἀδικήσει μὲν οὐδείς· χρώμενος δὲ εἰς εὐεργεσίαν ἑτέρων τοῖς ἐμπιστευθεῖσιν αὐτῷ χρήμασι, τουτέστιν εἰς λειτουργίαν τῶν ἁγίων καὶ παρὰ θεῷ μεγάλων, φίλους ἑαυτῷ κατεσκεύασεν εἰς τὸ μέλλον, καὶ εὐεργέτας ἐν τοῖς μείζοσι τοὺς διὰ τῶν ἐλαττόνων εὐηργετημένους· εἰ δὲ καὶ ὁ ἠδικημένος δεσπότης ἐπῄνεσε τὸν οὕτως ἑαυτῷ βεβοηθηκότα οἰκονόμον, πολλῷ μᾶλλον ὁ μὴ ἀδικούμενος θεὸς ἀποδέξεται τὸν ἐν ὁμοιώσει τούτου δηλούμενον.

p. 215. b. Τοῦ αὐτοῦ. Δεῖ τοίνυν τοσοῦτον ἡμᾶς ἀπὸ τῆς παραβολῆς ὠφεληθῆναι· ὅτι βούλεται ἡμᾶς ὁ δεσπότης τοῖς παρ' αὐτοῦ δοθεῖσι εἰς τὰς τῶν ὁμοδούλων δαπανᾶν χρείας· ἐὰν δὲ εἰς οἰκείας σπατάλας αὐτοῖς ἀποχρώμεθα, διαβεβλημένοι ἐσμὲν οἰκονόμοι· μέλλοντες τοίνυν τῆς οἰκονομίας τῶν χρημάτων, ἢ τοι τοῦ βίου τούτου μεθίστασθαι, καὶ διδόναι λόγους, ἐὰν φρόνιμοι ὦμεν ἑαυτοῖς τῆς ἀδικίας χρημάτων· τουτέστιν ὁ μὲν κύριος διὰ τοὺς ἀδελφοὺς ἔδωκεν, ἡμεῖς δὲ ταῦτα παρακατέσχομεν· καὶ γνόντες ὅτι ἐκεῖ οὔτε σκάπτειν δυνάμεθα· οὐ γάρ ἐστι καιρὸς ἐργασίας τότε· οὔτε ἀπαιτεῖν εὐπρεπὲς, μωραὶ γὰρ αἱ παρθένοι αἱ ἀπαιτήσασαι ὀνομάζονται, συμμερίστὰς τοὺς ἀδελφοὺς παραλαμβάνομεν, ἵν' ὅταν ἐντεῦθεν ἀναχωρῶμεν, δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

v. 5. Τοῦ αὐτοῦ. Οὗτοι δὲ καὶ οἱ χρεῶσται κατὰ τὸ, ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος· ὁ ἐλεῶν πτωχὸν, δανείζει θεῷ· ἔδει μὲν οὖν μάλιστα πάντα τοῖς καλοῖς χρεωφειλέταις τούτοις δοθῆναι· πλὴν ἐπεὶ οἰκονόμοι τῆς ἀδικίας εὑρισκόμεθα, ἀδίκως παρακατέχοντες ἃ ἄλλοις ἀφώρισαι, μεταδοτέον αὐτοῖς ὧν ἐλάβομεν· υἱοὺς μέν τοι τοῦ αἰῶνος τούτου χρὴ νοεῖν τοὺς ἐπινοουμένους πάντα τὰ ἐν τῇ γῇ αὐτοῦ λυσιτελοῦντα· υἱοὺς δὲ φωτὸς τοὺς ὀφείλοντας τὸν πατρικὸν πλοῦτον θεοφιλῶς μεταχειρίζεσθαι· ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὅτι οἱ ἄνθρωποι οἰκονόμοι μὲν ἀνθρωπίνων διοικήσεων καθιστάμενοι, πραγματεύονται ὅπως μετὰ τὸ μετασταθῆναι τῆς οἰκονομίας, ἔχοιέν τινα παρηγορίαν· υἱοὶ δὲ φωτὸς ταττόμενοι, τουτέστι πνευματικὴν διοίκησιν χρημάτων πιστευόμενοι, οὐκ ἐπινοοῦνταί τι πρὸς τὸ μετὰ ταῦτα ὠφεληθῆναι· υἱοὶ οὖν τοῦ αἰῶνος τούτου οἱ ἀνθρωπίνας διοικήσεις πεπιστευμένοι, καὶ ἐν τῇ γενεᾷ ἑαυτῶν

τουτέςιν ἐν τῷ βίῳ τούτῳ φρονίμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες· υἱοὶ δὲ φωτὸς οἱ χρήμα-
τα λαβόντες ὥστε διοικεῖν αὐτὰ καλῶς· ἄφρονες καλούμενοι, διὰ τὸ μὴ φρονεῖν τὰ μετὰ ταῦ-
τα λυσιτελήσοντα.

Μάρκου μοναχοῦ. Τινὲς μὲν οὖν φρονίμως λέγουσι τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγ- v. 8.
μάτων· φρόνιμοι δέ εἰσιν οἱ ἐπικρατοῦντες τῶν ἰδίων θελημάτων.

Τοῦ αὐτοῦ. Βίαν δὲ ἐκάλεσε τὴν τοῦ σώματος καταπόνησιν· ἣν ἑκουσίως ὑπομένουσιν v. 16. p. 218. a.
οἱ τοῦ Χριστοῦ μαθηταὶ, ἐν τῇ ἀρνήσει τῶν οἰκείων θελημάτων καὶ τῆς κατὰ τὸ σῶμα
ἀναπαύσεως· ὥςε εἴ τις βούλοιτο ἁρπάσαι τὴν βασιλείαν τοῦ θεοῦ, γενέσθω βιαστὴς καθ'
ἕκαςον πρᾶγμα.

'Ανεπιγράφου. Ὅρα πῶς διὰ μικρᾶς φωνῆς, μεγάλην ἐδήλωσε τὴν ἀπ' ἀλλήλων διάςα- v. 23. p. 224. a.
σιν· καὶ ὅτι ὁ μὲν ἐν ὕψει ἦν καὶ ἐν φωτὶ, ὁ δὲ ἐν χάει βαθεῖ καὶ ἐν σκότει· διὰ ταῦτα ὡς
μὲν ἐν βάθει ὢν, ἀνακλᾷ τὴν κεφαλὴν· καὶ ἐπαίρει τοὺς ὀφθαλμοὺς εἰς τὸ ὕψος, καὶ οὕτως
ὁρᾷ τὸν Λάζαρον· ὡς δὲ ἐν σκότει τυγχάνων, ὁρᾷ τὸν ἐν φωτὶ ὄντα οὐχ ὁρῶντα αὐτόν.

Βασιλείου. Ἔνδον ἔχων τὴν αἰτίαν καταφρύσσουσαν αὐτὸν τῷ δίψει, ὡς οἱ ἐμπαθῶς v. 24. p. 224. b.
ζῶντες οἰκεῖον ἔχουσι τὸ τῶν παθῶν πῦρ.

Φωτίου. Οὐκ εἶδε σύνοδον ἀλλήλων πλεονεξία καὶ φιλανθρωπία· μακρὰν ἀπέχει ἀνὴρ v. 31. p. 228. b.
ἐλεήμων τῆς τῶν πολυτούντων μισαδελφίας· διὰ τοῦτο, καὶ μέγα χάσμα ἐςήρικται μεταξὺ
γεέννης καὶ βασιλείας.

'Ανεπιγράφου. Νῦν δὲ ἀνακεφαλαιωσώμεθα τὰ ῥηθέντα· τοῦ μὲν δὴ πλουσίου τὴν ὑπερ- v. 26. p. 229. a.
ηφανίαν αὐτὸς ὁ λόγος ἀπέδειξε, καὶ τὸ πρᾶγμα κατηγόρησε, καὶ οὐδὲν δεῖται ζητήσεως·
τὸ δὲ τοῦ πτωχοῦ, ὅτι καλός τε ὢν καὶ ἀγαθὸς ἔπασχε ταῦτα, οὐκ αὐτόθεν δῆλον, ἀλλ'
ἐκ τῶν ὕςερον ἐπηκολουθηκότων, ὅτι παρακλήσεως ἐτύγχανεν, ἐν κόλποις Ἀβραὰμ ἀναπαυ-
όμενος, ὅπερ οὐ δυνατὸν ἐπὶ φαύλου καὶ ἀλλοτρίου τῶν Ἀβραὰμ τρόπων γενέσθαι· τὸ γὰρ
ὅμοιον συνάγεται πρὸς τὸ ὅμοιον· οὐδ' ἂν ὑπεδέξατο κόλπος Ἀβραὰμ τοῦ πιςοῦ καὶ δι-
καίου τὸν ἄπιςον καὶ ἄδικον, οὐδὲ εἰ μυριάκις πτωχὸς ἦν· καὶ ἔτι τῶν περὶ Λαζάρου εἰρημέ-
νων ἔπασχε χαλεπώτερα· μακροθυμεῖ δὲ ὁ θεὸς ἐφ' ἑκατέροις· τῷ μὲν, ὑπερτρυφῶντι· τῷ δὲ,
ὑπεροδυνωμένῳ· καὶ οὔτε τῷ πλουσίῳ τὴν κατ' ἀξίαν δίκην αὐτόθεν ἐπετίθει, οὔτε τῷ πέ-
νητι τὴν ἀμοιβὴν· ἀλλ' εἰς ὑςέρας ἀνταποδόσεις, ἐφύλαττε τὰ πράγματα· τούτῳ δὲ χρὴ
καὶ παραδείγματι χρωμένους, θαῤῥεῖν· ἐπειδὰν καὶ ἄδικος ἐντρυφᾷ· καὶ κακοπαθῇ δίκαιος,
μή τε ἀπεῖναι νομίζειν τὸν ἐπόπτην θεὸν, καὶ μή τε ἀμελῶς ἔχειν περὶ τὰ πραττόμενα· οἷα δὴ
πολλῶν δυσσεβῶν ἔννοιαι καὶ μὴ πρέποντα περὶ θεοῦ διανοουμένων· οὐ γὰρ μικροψύχως τὰ
θεοῦ ζητητέον· οὐδὲ ὀξείας καὶ κατεσπευσμένας τὰς ἀνταποδόσεις ἀπαιτητέον, ἐπεὶ μὴ βρα-
χείας μόνον ζωῆς τῆς ἡμετέρας βασιλεύει θεὸς, ἀλλὰ τοῦ σύμπαντος αἰῶνος, καὶ ἐν ἀπεί-
ρῳ τῷ μέλλοντι τὰ κατ' ἀξίαν ἀντιμετρήσει· καὶ ταῦτα μὲν ταύτῃ.

Τοῦ αὐτοῦ. Τὴν μέν τοι παραβολὴν θεωροῦντες, ὅσον μὲν κάρπιμον ἐκ τοῦ λόγου καὶ
ὠφέλιμον, δρεψώμεθα· ὅσα δὲ βαρύτερα, τούτων μὴ σφόδρα ἐξέτασιν ποιώμεθα· πολλὰ γὰρ
ἄν τις ἀγνοήσειε περὶ πραγμάτων ἀοράτων, ἀκούσας τοῦ κυρίου λέγοντος, ὧν ἡμῖν δύσκο-
λος ἡ κατάληψις, καὶ μάλιςα εἰ πρὸς ἀκρίβειαν ἐξετάζοιμεν· οἷον φέρε εἰπεῖν, τίς ἰδέα
ψυχῆς, ὅτι καὶ δάκτυλος αὐτῆς λέγεται καὶ γλῶσσα; τί δὲ ὕδωρ, ὅπερ ἂν ψυχῆς καταψύ-
ξειε γλῶσσαν; τίς δὲ ἡ πρὸ κρίσεως βάσανος; δῆλον γὰρ ὅτι πρὸ κρίσεως ἦν τὰ πράγμα-

τα (1), ὁπότε ὁ πλούσιος ἱκετεύει τὸν Ἀβραὰμ ἵνα πέμψῃ Λάζαρον πρὸς τοὺς ἀδελφούς· κἀκεῖνος, φησὶν, ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ὡς δηλαδὴ κόσμου συνεςῶτος ἔτι, καὶ Μωσέως ἀναγινωσκομένου καὶ προφητῶν· ταῦτα δὴ πεφεισμένην ἐχέτω τὴν ζήτησιν, διὰ τὸ δυσέφικτον· καὶ τοσοῦτον εἰρήσθω περὶ αὐτῶν, ἵνα μὴ παντάπασιν ἀποσιωπῶμεν· ἀλλὰ τὰ καταφανέςερα λέγωμεν, ὡς μέλη μὲν οὐκ ἔςι ψυχῆς σωματικὰ, ἀλλὰ δυνάμεις αἱ τούτοις ἀνάλογον ἔχουσαι, ὥσπερ καὶ ἐπὶ ζῶντος ἀνθρώπου, ὀφθαλμὸς ἐντολῇ Θεοῦ φωτιζόμενος, τουτέςι τὸ γνωςικὸν τῆς ψυχῆς, εἰς ὅπερ ὁ διὰ τοῦ λόγου φθάνει φωτισμός· ὕδωρ δὲ ψυχὴν φλεγομένην τὸ καταψύχον, ἡ τῆς πολλῆς ὀδύνης ἄνεσις· ὅπερ ὁ ἀναίσθητος πλούσιος ἐζήτει παρὰ τοῦ μὴ ἐλεηθέντος ὑπ' αὐτοῦ πένητος, οὐδὲν ὀφείλοντος αὐτῷ· διόπερ οὐδὲ δοῦναι οἷός τε ἦν, οὐδὲ εἰ μάλιςα ἐβούλετο· ἔνθα γὰρ ἡ τῶν κατ' ἀξίαν ἀντίδοσις, οὐδὲν ἀπὸ χάριτος γίνεται· ἔςι δὲ χάρις μὲν ἐπὶ τῆς παρούσης ζωῆς· κρίσις δὲ, μετὰ ταύτην· τὸ δὲ περὶ τῆς κρίσεως ζήτημα, πῶς ἂν πρὸ ταύτης ὁ πλούσιος ἐν βασάνοις εἴη, διδάσκειν ἔοικε τὴν τῶν ἐν κόσμῳ τερπνῶν ἀποςέρησιν, ἱκανὴν αὐτόθεν ἤδη κολάσαι τὴν ἐν τούτοις πρότερον ὑπερτρυφῶσαν ψυχὴν, ἧς μειζόνως ἔτι ψυχήν τε καὶ σῶμα ὀδυνήσει, ἡ τῶν μελλόντων μεγάλων ἀγαθῶν ςέρησις· περὶ ἧς ὁ κύριος εἴρηκεν, ἐκεῖ ἔςαι ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ὅταν ὄψεσθε τοὺς πατριάρχας καὶ προφήτας ἐν τῇ βασιλείᾳ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω· ἱκανὸν γὰρ καὶ αὐτόθεν ἤδη βασανίσαι καὶ συμφλέξαι ψυχὴν, τὸ μή τε τῶν ἰδίων ἀπολαύειν τερπνῶν τῶν κάτω τούτων καὶ περὶ γῆν, μή τε τῶν κρειττόνων εὐπορεῖν· ἀλλ' οἷς μὲν ἐπεςήρικται, ταῦτα ὑφαιρεῖσθαι καθάπερ ὑποβάθραν τινὰ, ὡς μηκέτ' ἔχειν ἐπερείδεσθαι· οἷς δ' ἐπαναπαύεσθαι καιρὸς ἦν, ταῦτα αὐτῷ μὴ παρεῖναι, ἀλλὰ καὶ γινωσκομένων καὶ ὁρωμένων αὐτῶν ἀποςερεῖσθαι· ἑώρα γοῦν τὸν Λάζαρον οὗτος, ἑώρα δὲ καὶ τὸν Ἀβραὰμ, εἰ καὶ μακρόθεν, χάσματος μεταξὺ διείργοντος, καὶ τούτῳ κωλυομένης τῆς ἐπιμιξίας.

## CAP. XVII.

v. 10. p. 232. a. *Μάρκου μοναχοῦ.* Μᾶλλον δὲ πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων ὁ κύριος, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι τοῖς ἀνθρώποις δεδομένην, φησὶν, ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν· τὸ γὰρ ὀφειλόμενον, ἐποιήσαμεν· διὰ τοῦτο οὐκ ἔςι μισθὸς ἔργων ἡ βασιλεία οὐρανῶν, ἀλλὰ χάρις δεσπότου, πιςοῖς δούλοις ἡτοιμασμένη· οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

p. 232. b. *Ἀνεπιγράφου.* Δἰῆγε καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις ἔξω τῆς τῶν οὐρανῶν πόλεως, διὰ τὴν παρὰ φύσιν ἁμαρτίαν, καὶ πόῤῥω Θεοῦ διὰ ταύτην ἵστατο· ὁ δὲ κύριος πᾶσαν ἐθεράπευσεν, εἰ καὶ ἰουδαῖοι μὴ ἐπίςευσαν δι' ἀγνωμοσύνην, εἰ μὴ μόνος ὁ ἀλλογενὴς λαὸς τῶν ἐθνῶν.

v. 26. p. 234. b. *Μακαρίου.* Ἀλλ' ἐμφιλοχωρητέον ἔτι τῇ κατὰ τὸν Νῶε ἱςορίᾳ· εἶπε τῷ Νῶε ὁ Θεὸς, ποιῆσαι κιβωτόν· οὗτος πιςεύσας, ἐποίησεν· ἐνέςη ἡ ἡμέρα τοῦ κατακλυσμοῦ· ἤνοιξεν οὗτος τὰς θύρας τῆς κιβωτοῦ καὶ ἔςη συσχεθεὶς πάντοθεν· δεόμενος τοῦ Θεοῦ, οὔτε γὰρ τῇ ἰδίᾳ φύ-

(1) Immo hinc argumentum contrarium iure sumitur; nempe quod mortem statim subsequatur animae iudicium.

σοι τὰ πετόμενα εἰς τὰ ὕψη ὄρνεα συναγαγεῖν ἠδύνατο, οὔτε τὰ θηρία, οὔτε τὰ ἑρπετά· ἀλλ' ὅτε προσέσχεν ἄνω, καὶ τὸν νοῦν ἔπεμψε πρὸς τὸν θεὸν, τότε ὁ κύριος ὑπήκουσεν αὐτοῦ, λέγων ὃ σὺ οὐκ ἠδύνασο τῇ φύσει ποιῆσαι, ἐγὼ ποιῶ· μόνον ὅτι προσέσχες μοι, καὶ τὸν νοῦν σου ἐνεπίστευσάς μοι, ἰδοὺ ὄψει δεξιὰν θεοῦ· καὶ εὐθέως ἀγέλαι τῶν ζώων πάντων ὡς ποίμνια πρὸς τὸν δίκαιον ἤρχοντο, καὶ κατεφίλουν αὐτὸν λοιπὸν, καὶ ἤθελον ὅλα εἰσελθεῖν, ἀλλ' οὐκ ἐπετράπησαν, εἰ μὴ δύο, δύο· καὶ ἑπτὰ, ἑπτά· οὕτως καὶ ἐν τῇ συντελείᾳ λυομένου τοῦ οὐρανοῦ, καὶ τῆς γῆς παρερχομένης, πᾶσα ἡ ἀνθρωπότης καὶ ὅλος ὁ Ἀδὰμ συνάγεται κατενώπιον τοῦ βήματος τοῦ Χριστοῦ· ἀλλὰ οἱ δίκαιοι διακεκριμένοι εἰσὶν ἀπὸ τῶν ἁμαρτωλῶν· οὗτοι κάλλη ἐπουράνια, καὶ ἐνδύματα ἔνδοξα εἰσὶν ἠμφιεσμένοι, καὶ ἀνοιγομένων τῶν θυρῶν, εἰσέρχονται εἰς τὸν νυμφῶνα· καὶ οἱ ἁμαρτωλοὶ θέλουσι συνεισελθεῖν καὶ συνευφρανθῆναι τῷ κυρίῳ· ἀλλ' οἱ ἄγγελοι ἀποκλείουσιν αὐτοῖς τὰς θύρας τοῦ μὴ εἰσελθεῖν· καὶ ἀπέρχονται εἰς γέενναν πυρός· μακάριοι οὖν, ὅσοις ἀπὸ τοῦ νῦν ἠνοίγησαν αἱ θύραι τῆς καρδίας, καὶ εἰσέρχονται εἰς θύρας οὐρανοῦ, ὅτι ἐκεῖ οὐκέτι τίς δύναται ἀποκλεῖσαι ὅπου θεὸς ἤνοιξεν.

## CAP. XVIII.

Ἀστερίου. Τὸν περὶ τῆς προσευχῆς λόγον ἐν δυσὶ παραβολαῖς κατέκλεισε· τὸ μὲν εὐτόνως v. 10. p. 236. b.
προσεύχεσθαι, διὰ τοῦ κριτοῦ καὶ τῆς χήρας διδάξας ἡμᾶς· τὸ δὲ μετ' εὐλαβοῦς γνώμης, διὰ τοῦ φαρισαίου καὶ τοῦ τελώνου.

Ἀνεπιγράφου. Πολλὰ μὲν οὖν τὰ τῆς φιλαυτίας βλαστήματα, οἴησις, ἀλαζονεία, κενοδο- p. 238. a.
ξία, ὀλεθριώτερον δὲ πάντων ἡ ὑπερηφανία, ἀθέτησις οὖσα θεῷ· ὅταν γάρ τις οὐ θεῷ, ἀλλ' ἑαυτῷ ἐπιγράφηται τὰ κατορθώματα, ἀντίθεος ἢ ἀρνησίθεος· τοῦτο τοίνυν τὸ πάθος, ᾧ ὁ κύριος ἀντιτάσσεται ὡς ἐχθρὸς ἐχθρῷ, θεραπεύειν διὰ τῆς παραβολῆς ἐπαγγέλλεται· καὶ δείκνυσιν ὅτι ἡ δικαιοσύνη τἄλλα θαυμαστή τις οὖσα, καὶ πλησίον θεοῦ ἱστῶσα τὸν ἄνθρωπον, ὅταν τὴν ὑπερηφανίαν προσλάβηται, εἰς τὰ κατώτατα αὐτὸν ἀπορρίπτει, καὶ δαίμονα ποιεῖ τὸν τέως ἰσόθεον· ἔοικεν οὖν τὰ ῥήματα τοῦ φαρισαίου ἐξ ἀρχῆς μὲν εὐγνώμονός τινος ἀνθρώπου λόγοις· ὁ θεὸς γάρ φησιν εὐχαριστῶ σοι· τὰ δὲ ἐφεξῆς, ἀπονενοημένου· τῇ γὰρ ἰσχύϊ προσάπτει τὰ κατορθώματα· τὸ δὲ καὶ τοὺς ἄλλους κατακρίνειν, πῶς ἐστιν ἀνθρώπου εἰδότος ὡς παρὰ θεοῦ ἔχει; εἰ γὰρ λαβών φησιν ἔχεις, τί καυχᾶσαι ὡς μὴ λαβών; εἰ χάριτι ἔχεις τὰ ἀλλότρια, τί τοὺς ἄλλους ἐξουθενεῖς; καὶ οὐ λογίζῃ ὅτι καὶ σὺ ὅσον ἐπὶ τῇ οἰκείᾳ δυνάμει γυμνὸς εἶ; ἐπισημαίνεται δὲ ὁ κύριος καὶ διὰ τοῦ, σταθεὶς, τὸ τοῦ φαρισαίου ἀταπείνωτον· τοῦ μὲν γὰρ ταπεινόφρονος, καὶ τὸ ὁρώμενον, ταπεινόν· οὗτος δὲ καὶ τῷ σχήματι καὶ τῇ στάσει, τὴν ἔπαρσιν ἐπεσήμαινεν· ἀκολούθως δὲ πρότερον ἀπαριθμεῖται, ἃ οὐκ ἔστι· καὶ τότε καταλέγει, ἅ ἐστιν· ἡ γὰρ ἄρσις τῆς κακίας, θέσις ἐστὶ τῆς ἀρετῆς· εἰπὼν τοίνυν οὐκ εἰμὶ ὡς οἱ λοιποὶ· καὶ τὴν ἔκκλισιν τοῦ κακοῦ παραστήσας, τότε τὴν ποίησιν τοῦ καλοῦ εἰσάγει· φήσας, νηστεύω δὶς τῆς ἑβδομάδος, ἤγουν δευτέραν καὶ πέμπτην· οὕτω γὰρ οἱ φαρισαῖοι ἐνήστευον, καὶ ἀποδεκατῶ τὰ ὄντα· ὅρα δὲ, οὐκ εἶπεν, οὐκ εἰμὶ ὡς οἱ πολλοὶ, ἅρπαξ, μοιχὸς, οὐδὲ γὰρ ἄχρι ῥήματος ἠνέσχετο διαβεβλημένον ὄνομα τῷ ἑαυτοῦ προσώπῳ μοναδικῶς προσάψαι, ἀλλὰ πληθυντικῶς τοῖς ἄλλοις ταῦτα προσέρριψεν, εἰρηκὼς, ἅρπαγες, μοιχοί· πρὸς μὲν οὖν τὸ τῆς μοιχείας πάθος, καταλλήλως τὴν νηστείαν ἀντιλαζονεύσατο· κό-

ρος γὰρ, πατὴρ ὕβρεως· καὶ ἡ λαγνεία, ἐν πλησμονῇ· πρὸς δὲ τὸ, ἅρπαγες καὶ ἄδικοι, τὸ ἀποδεκατῶ ὅσα κτῶμαι, προσφυῶς ἀντέταξε· τοσοῦτον γάρ φησιν ἀπέχω τοῦ ἀδικεῖν, ὥστε καὶ τὰ ἐμαυτοῦ προσδίδωμι· ἡ δὴ δεκάτωσις, δοκεῖ μὲν ἅπαξ παρὰ τοῦ νόμου διαγορεύεσθαι· τοῖς μέν τοι βαθέως τῷ δευτερονομίῳ ἐγκύπτουσι, τρεῖς δεκατώσεις εἰσήγηνται.

p. 238. b. Κασσιανοῦ. Λοιμός ἐστιν ἡ ὑπερηφανία, οὐ μέρος τῆς ψυχῆς ἀλλὰ πᾶσαν αὐτὴν διαφθείρουσα, καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαστον τὴν ἀντικειμένην αὐτῷ ἀρετὴν νικῆσαι φιλονεικεῖ· καὶ ἐκ μέρους ἐπισκοτεῖ τῇ ψυχῇ· τὸ δὲ τῆς ὑπερηφανίας πάθος αὐτὴν ταράσσει· σκόπει γὰρ ἡ γαστριμαργία τὴν ἐγκράτειαν διαφθείρει, ἡ πορνεία τὴν σωφροσύνην, ὁ θυμὸς τὴν πραότητα, τὰ ἄλλα πάθη τὰς ἀντιζύγους ἀρετάς· ἡ δὲ τῆς ὑπερηφανίας κακία ὅλην τὴν ψυχὴν καταστρέφει, ἐπὰν κατάσχῃ αὐτήν· καὶ μάρτυς τούτου ὁ ἄγγελος ἐκεῖνος, ὁ ἐκ τοῦ οὐρανοῦ διὰ ταύτην πεσὼν, ἡμεῖς δὲ ταύτην φευξόμεθα· ἐπιλέγοντες ἑαυτοῖς τὸ τοῦ ἀποστόλου, ὅταν τι κατορθώσωμεν, τὸ οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί· καὶ τὸ ὑπὸ τοῦ κυρίου εἰρημένον, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· καὶ τὸ ὑπὸ τοῦ προφήτου, ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον· καὶ πάλιν, οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος· καὶ τί ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβὼν, ἀλλ' ὡς ἐπὶ ἰδίοις ἐπαιρόμενος; οὗ γὰρ ἡ φύσις ἑτέρωθεν τὸ εἶναι ἔχει, ἀναγκαίως καὶ τὰ φυσικὰ πλεονεκτήματα ἐκεῖθεν ἐπάγεται· πᾶν τὸ μὴ ἀγένητον, οὐκ αὔταρκες· τὸ δὲ μὴ αὔταρκες, χρῄζον ἐστὶ τῆς τοῦ ἀγενήτου καὶ αὐτάρκους βοηθείας· ἓν δὲ τῶν γενητῶν ἐστι καὶ ὁ ἀνθρώπινος νοῦς· οὐκ ἄρα αὐτάρκης, ὅθεν καὶ ἐπιδεής ἐστι τῆς τοῦ θεοῦ βοηθείας· ἧς ἄνευ ἐνεργῆσαί τι τῶν κρειττόνων, οὐχ οἷος τέ ἐστι· διὸ χρὴ τὸν εὖ πράττοντα, τῷ τῆς ἰσχύος χορηγῷ ἀνατιθέντα τὸ κατόρθωμα, λέγειν· οὐκ ἐγὼ τάδε ἔπραξα, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί· τῷ γε μὴν ἑαυτῷ ἐπιγράφοντι τῶν κατορθωμάτων τὴν αἰτίαν, καὶ κατεπαιρομένῳ τῶν ἀδελφῶν ὡς ἀμελῶν, διὰ τοῦ Παύλου ὀνειδίζων ὁ Χριστὸς ἐπιφθέγγεται· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; ἀλλ' ἐν τούτοις μὲν ὁ φίλαυτος φαρισαῖος, καὶ ταῦτα ἐφ' ἑαυτῷ σοβαρευόμενος, ηὔχετο· ὁ δὲ τελώνης, ἐν τίσιν; ἄκουε πάλιν τοῦ εὐαγγελιστοῦ λέγοντος· καὶ ὁ τελώνης μακρόθεν ἑστὼς κ. τ. λ.

v. 23. p. 247. b. Ἀνεπιγράφου. Ἐπεὶ δὲ ἤκουσεν ὡς χρὴ ἀποθέσθαι τὰ χρήματα, ἐλυπήθη· ἐτάθη γὰρ τὸν νοῦν ὑπὲρ δύναμιν· καὶ ὡς κάλως ἐῤῥάγη, ὅτι ἀτονωτέρα ἦν ἡ προαίρεσις, καὶ ἀσθενέστερον διέκειτο. λέγει δὲ τὸ ἐπιτακτικὸν ῥῆμα ὁ εὐαγγελιστὴς, ὅτι ἦν σφόδρα πλούσιος· ἵνα δείξῃ τὴν αἰτίαν τῆς λύπης· μὴ ἀνασχόμενος γὰρ ἀποθέσθαι τὴν πολλὴν ἐκείνην περιουσίαν, ἀπῆλθε λελυπημένος.

v. 24. p. 249. a. Τοῦ αὐτοῦ. Τοιοῦτον καὶ τὸ κυρίου· δυσκόλως γάρ, φησιν, οἱ τὰ χρήματα ἔχοντες, εἰς τὴν βασίλειαν εἰσελεύσονται, ἐπειδὴ οὐ δύνανται ὡς μὴ ἔχοντες εἶναι· ἀλλὰ πεποίθασιν ἐφ' οἷς ἔχουσι, οἱ οὐδὲ δύνανται ἀποθέσθαι ταῦτα· διὸ καὶ ἄβατος αὐτοῖς ἡ βασιλεία· τάχα δὲ δύο εἰσάγει τάγματα ὁ κύριος· καὶ τοῖς μὲν ἔχουσι τὰ χρήματα, τὸ δυσχερὲς τοῦ κατορθώματος ἔδωκε· τοῖς δὲ ἠλπικόσιν ἐπὶ πλούτῳ, τὸ ἀδύνατον.

p. 250. a. Νικήτου τοῦ παφλάγωνος. Καρδιακῇ γὰρ διαθέσει τῷ ἀργυρίῳ προσπεπερονημένης αὐτῷ τῆς ψυχῆς, καὶ τινα τρόπον προσκεκολλημένης, καὶ ἓν γενομένης ἐπὶ αὐτῷ, οὐκ ἐβούλετο εὐχερῶς τοῦ φιλουμένου διασπᾶσθαι, εἰ μὴ μετὰ μείζονος πόνου· ὥσπερ καὶ μελῶν σώματος βιαίως ἀφαίρεσις γίνεται διαιρουμένης συμφυΐας.

Ἀςερίου. Ἕτερος οὗτος ἐςὶν ὁ τυφλὸς, παρὰ τὸν ἐκ γενετῆς, οὗ Ἰωάννης μέμνηται (1)· ἐκεῖ- v. 35. p. 251. a.
νον θεασάμενος ὁ σωτὴρ, ἔςη, καὶ πρὸς τὴν θεραπείαν ἕτοιμος ἦν, θεραπείαν ἀνθρωπίνης σοφίας καὶ τέχνης κρείττονα· ἰατρικὴ μὲν γὰρ καὶ ὁ κατ' αὐτὴν λόγος, ἐκείνοις τῶν νοσημάτων ἐπιβάλλει τὴν θεωρίαν, ὅσα τῆς φύσεως ἀπαρτισάσης τὸ ζῶον· καὶ εἰς φῶς προαγαγούσης χρόνοις ὕςερον κατά τινας περιστάσεις ἐπισυμβαίνει· τῆς δὲ συντεχθείσης τῷ σώματι λώβης οὐκ ἐπαγγέλλεται θεραπείαν· ἀλλ' οὐδὲ πάντων παθῶν τῶν εἰς ὕςερον συμβαινόντων· οὔτε γὰρ ἠκρωτηριασμένοις μέλη ἀνεσώσατο, οὔτ' ἄλλό τι παραπλήσιον θεραπεύειν ἀναδέχεται· διόπερ οἱ μαθηταὶ τότε τὸ πάθος κατελεήσαντες, καὶ βλέποντες ἄνθρωπον τῆς καλλίςης ἡδονῆς τοῦ φωτὸς μὴ γευσάμενον, τὴν αἰτίαν ἐπυνθάνοντο· ἀλλ' οὐκ ἐπιστημόνως προσῆγον τὴν ἐρώτησιν· οὔτε γὰρ ἂν ὑπὲρ τῶν πατέρων οὐδενὸς ὢν ἔνοχος ὁ παῖς κατεγνώσθη, οὔτε μὴν ἰδίων πλημμελημάτων, ὁ μήπω προελθὼν εἰς τὸν βίον ἀπέτισε δίκας· ὁ δὲ Χριςὸς τὸ πάθος φησὶ τοῦ τυφλοῦ, οὐχ' ἁμαρτημάτων ἐςὶν ἀντίδοσις, ἀλλ' ἑτοιμασία μελλούσης οἰκονομίας, ἄλλά τε διαπραττούσης, καὶ ὅπως ὁ κτίςης τῶν ὅλων μετὰ τὴν πρώτην ποίησιν εὕρῃ καὶ νῦν τοῦ δημιουργεῖν ἀφορμὰς, ἐκ δὲ τῶν μερικῶν, καὶ τὸ καθόλου πιστώσηται· ἀνθρώπου γὰρ μέρος καὶ μέρος τὸ κάλλιςον, οὐκ ἂν ἐποίησεν ἄλλος, εἰ μήγε ὁ τῆς πρώτης ἀρχῆς τοῦ γένους τὴν δημιουργίαν ἐπιδεδειγμένος· αὐτουργεῖ γοῦν τὴν θεραπείαν ὁ κύριος· οὐ λόγῳ μόνον ὥσπερ πολλαχοῦ, ἀλλὰ καὶ ςόματι, καὶ χειρὶ, καὶ ἄλλῃ προνοίᾳ, ἵνα διὰ πολλῶν πραγμάτων τὴν πίςιν τοῖς ἀπίςοις ἐνεργάσηται· πτύει δὲ, καὶ πηλὸν ποιεῖ· τῇ μὲν γῇ συγχρώμενος, ἵν' ὅθεν τὸ ὅλον κατ' ἀρχὰς ἐπλάσθη ζῶον, καὶ τὸ μέρος δείξῃ πλαττόμενον· σιάλῳ δὲ παριςῶν, ὡς τῇ δυνάμει τοῦ στόματος αὐτοῦ ὁ λόγος πάντα κατώρθωσεν· εἰ δὲ καὶ τοῦτο συνιδεῖν ἐθέλοις, ἵν' εὐλαβεῖσθαι παρασκευάσῃ τοὺς μέλλοντας μικρὸν ὕςερον τοῖς πτύσμασιν ὑβρίζειν αὐτὸν, εἰ καὶ τὸ τῶν μαινομένων θράσος μεῖζον ἦν καὶ προνοίας πάσης καὶ διορθώσεως· ὁ δὲ Σιλωὰμ, τὴν δι' ὕδατος σωτηρίαν ἡμῖν προοιμιάζεται ἣν πᾶσιν ὁ ἀπεςαλμένος ἡμῖν ἐχαρίσατο Σιλωάμ· τότε γὰρ ὡς ἀληθῶς βλέπομεν, ὅταν τῷ μυςικῷ καθαρθώμεθα ὕδατι· τότε μὲν οὖν ὀφθαλμοὶ ἐκτίσθησαν αὐτοσχέδιοι, ἵνα τὰς μικροπρεπεῖς ἐννοίας, τὰς ἐκ τῆς σαρκὸς ἐγγινομένας ἡμῖν περὶ τοῦ μονογενοῦς, ἀποθώμεθα· καὶ τῇ μεγαλουργίᾳ τῶν γινομένων, τῆς ψυχῆς ἐκβαλόντες πᾶσαν ταπεινὴν ὑπόληψιν καὶ χαμαίζηλον, γνωρίσωμεν ὅτι τὸ μακάριον φῶς καὶ κάλλος τῆς θεότητος, ὀςράκινον σκεῦος ἐδέξατο, διακονοῦν ἡμῖν κατὰ τοὺς λύχνους τὴν λαμπηδόνα· οὐδὲν δὲ τοὺς ἀγνώμονας καὶ ἀχαρίςους ἰουδαίους ἦγεν εἰς συναίσθησιν, οὐ λόγος, οὐ πρᾶξις, οὐ θαυματουργήματα, ἀλλὰ καὶ αὐτὰ ταῦτα πρὸς σωτηρίαν παρακαλοῦντα αὐτοὺς, πᾶσι τρόποις ἀφανίζειν ἐπεχείρουν, εἰ καὶ πρὸς τὸ ἐναντίον αὐτοῖς ἡ κακουργία περιετρέπετο· ὅσῳ γὰρ ἠπίςουν, καὶ προσερωτῶντες ἀνατρέπειν ἐσπούδαζον, τοσούτῳ πλέον ἐβεβαιοῦτο ἡ ἀλήθεια· πρώτη αὐτοῖς πολυπραγμοσύνη, εἰ αὐτὸς οὗτος ἐστὶν ὁ τυφλός· δευτέρα εἰ ἐκ γενετῆς ἦν τυφλός· καὶ ὁ ἰαθεὶς, τὸν σώσαντα ἐβόα· καὶ τῇ ὁμολογίᾳ τὴν χάριν ἀντεδίδου τῆς ἰάσεως· ἀπίςων πατέρων ὅμοιοι παῖδες· καὶ γὰρ καὶ οἱ τεκόντες ἐκ πολέμων παρ' ἐλπίδας ἐσώζοντο· καὶ τὸ διδόντι τὴν σωτηρίαν ἠπίςουν· ἐτρέφοντο τροφαῖς ὑπερβαινούσαις τὴν φύσιν, καὶ τῶν λιμωττόντων

(1) De caeco nato confer sis homiliam Asterii nostri apud Combefisium Auctar. T. I. Etenim eius aliquot loci infra recitantur.

πλέον ἦσαν ἀχάριστοι· ὄντως κληρονόμοι καὶ αὐτοὶ τῆς τῶν πατέρων ἀγνωμοσύνης· οὐ ῥάβδου καρυΐνης εἰς ἐπιστασίαν, ἀλλὰ σιδηρᾶς χρῄζοντες.

Τοῦ αὐτοῦ. Ἀλλὰ τούτων μὲν ἅλις· ὅτι δὲ ὁ τυφλὸς οὗτος, ἕτερος παρὰ τὸν ἐκ γενετῆς, δῆλον μὲν καὶ ἑτέρωθεν, μάλιστα δὲ ἐντεῦθεν· ἐκεῖνον μὲν γὰρ ἐξιὼν ἐκ τοῦ ἱεροῦ, ἐθεράπευσε· τοῦτον δὲ, ἐγγίζων εἰς Ἱεριχὼ· κἀκεῖνον μὲν, οὐ παρακληθεὶς τῷ ἐκπτύσματος πηλῷ καὶ τῷ τοῦ Σιλωὰμ ὕδατι, ὠμμάτωσε· τούτῳ δὲ ἱκετεύσαντι, τὸν λύχνον τοῦ σώματος ἐσβεσμένον ἀνῆψε, λόγῳ μόνῳ χρησάμενος· ἐν δὴ τῷ ὀφθαλμῷ μικρᾷ μορίου καὶ μέλους περιγραφῇ, τὴν παντοδύναμον καὶ ποικίλην τοῦ Θεοῦ σοφίαν ἔστι κατόψεσθαι, τοσαύτην ἐπιδειξαμένου τὴν φιλοτιμίαν τῆς τέχνης· πρῶτον μὲν γὰρ αὐτῷ χάρις τὶς ἐπικέχυται· καὶ ἔστιν ἁπαλώτατός τε καὶ ἄσαρκος, ὡς ἂν εἴποι τις, ἐν τῷ τρυφερῷ τὸ στερεὸν ἔχων, καὶ ἐν τῷ μαλακῷ τὸ διατεταμένον· καὶ ποικίλως διήνθισται ταῖς χρόαις· τὸ γοῦν μέσον αὐτοῦ, τὴν περιγραφὴν ἔχει τοῦ μέλανος· καὶ ταύτην οὐδ᾽ ὅλου μονοειδῆ, ἀλλὰ ποικίλοις τισὶ κύκλοις συνδεδεμένην· τοῦ κέντρου μὲν αὐτοῦ καὶ μέσου τὸ βαθύτερον ἔχοντος· τῆς δὲ ἔξω περιφερείας, πρὸς τὴν ξανθοτέραν κατὰ μέρος ἀποληγούσης βαφήν· ταύτην ἔξωθεν τὸ λευκὸν περιβλέβληται στιλβὸν καὶ διαυγές· οὐκ ἄκρατον ἔχον τὴν λευκότητα ἀλλ᾽ ἐν κρυσταλλοειδεῖ τινὶ καὶ διαυγαζούσῃ πεποιημένον τῇ μορφῇ· τὸ ἐρυθρὸν κεῖται περὶ τὴν κόρην, ἵνα τῷ λευκῷ καὶ τῷ μέλανι κεράσῃ τὴν χάριν· ἐπὶ τούτοις οὕτως ἐστὶ διαυγὴς καὶ λεῖος ἐν τῇ πυκνότητι, ὥστε καὶ τὰς τῶν ἐγγιζόντων εἰδωλοποιεῖν μορφάς· καὶ οἷον εἰς κάτοπτρον ἀκριβὲς ἐντυποῦσθαι τοὺς χαρακτῆρας· καὶ τὸ μέσον τοῦ κύκλου διὰ τοῦτο προσηγόρευται κόρη, ὡς ἀεὶ τὴν μορφὴν τῷ καταντικρὺ βλέποντι παραδεικνύον ἀνθρωπίνην· εἰς ἀλλήλους γ᾽ οἱ ἄνθρωποι βλέποντες, ἀλλήλων γίνονται κάτοπτρα· θαύματος οὖν ἄξιος ἐν τοῖς κτίσμασιν ὁ ὀφθαλμός· οὗτος καὶ Θεόν μοι διερμηνεύει, πᾶσαν καταμανθάνων τὴν κτίσιν, καὶ δι᾽ αὐτῆς τὸν τεχνίτην ἐπιδεικνὺς, καὶ ἐκ τῶν ὁρωμένων ἑρμηνεύων τῇ ψυχῇ τὰ ἀόρατα· διὰ τοῦτον ἄλλα τὲ τῆς κτίσεως ἔμαθον, καὶ χρωμάτων ποικίλην βαφὴν, σκότους τὲ κατήφειαν, καὶ φωτὸς λαμπηδόνα· ὡς εἴγε ὀφθαλμὸς μὴ ὑπῆρχεν, ἀμάρτυρος ἂν ἡ κτίσις ἐγήρασεν, οὐδενὸς καθορῶντος τὴν ἐν αὐτῇ σωζομένην τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν· διὰ ταύτην τοίνυν τὴν θαυμαστὴν τῶν ὄψεων κατασκευὴν, ὀφθαλμοὶ καὶ νῦν τῷ τυφλῷ ἀνοίγονται.

## CAP. XIX.

v. 1. Ἀνεπιγράφου. Τὸ μὲν οὖν τυφλότητος ἴασιν γεγονέναι κατὰ τὴν ὁδὸν, συμφώνως παρὰ
p. 252. a. τοῖς τρισὶν εὐαγγελισταῖς εἴρηται· ἕνα δὲ τυφλὸν Λουκᾶς τὲ φησὶ καὶ Μάρκος· δύο δὲ ὁ Ματθαῖος· τοῦτο δὲ, οὐδὲν πρὸς διαφωνίαν τῆς ἱστορίας· ἐνδέχεται γὰρ ὅτι τοῦ ἐπιφανεστέρου μέμνηνται οἱ λοιποί· τουτέστι Βαρτιμαίου, τοῦ υἱοῦ Τιμαίου, κατὰ Μάρκον· δήλη μέν τοι καὶ ἡ τιμὴ τοῦ πλήθους, ἣν εἶχον πρὸς τὸν Ἰησοῦν, οὐκ ἐπιτρέποντες τῷ τυφλῷ βοᾷν, ὥσπερ ἐπὶ βασιλέως παρόντος· ὥστε οὐδ᾽ ἂν συνήρατο πρὸς τὴν χριστοκτονίαν ὁ λαὸς, εἰ μὴ ὑπὸ τῶν ἀρχόντων παρήχθη· βλάπτει γὰρ λαὸν ἐξουσία πονηρά.

Ἀστερίου. Ἱεριχὼ πόλις ἦν τῶν Χαναναίων μητρόπολις, ἣν ποτὲ μὲν Ἰησοῦς ὁ τοῦ Ναυῆ πολεμῶν καὶ ὀλοθρεύων κατέλαβε, νῦν δὲ ὁ ἀληθινὸς Ἰησοῦς θεραπεῦσαι παραγεγονὼς κατηξίωσε· καὶ ὁ μὲν τυφλὸς ἐφωτίσθη, ὁ δὲ δῆμος ἐπιστώθη· πᾶσα δὲ γλῶσσα τὸν Ἰη-

σοῦν ἐλάλει· καὶ τὸν τυφλὸν ἅπας ὀφθαλμὸς εἶχεν ἀναβλέψαντα, τοῦ θαύματος καὶ τῆς
σωτηρίας διδάσκαλον αὐτοσχέδιον, οὐ λόγοις ἀλλ' ἔργοις ἐκπαιδεύοντα τοὺς μαθητὰς τὴν
ἀλήθειαν· πᾶσα μὲν ἀδικία, κακὸν καὶ μίσους ἄξιον· ὁ δὲ τελώνης, ἀνυπέρβλητον, οὐδὲ πρό-
φασιν ἔχει τῆς ἁμαρτίας εἰς πρόσωπον· ἐπὶ μὲν γὰρ τῶν ἄλλων, εὑρίσκεταί τις ἀνάγκη τοῦ
κακοῦ καὶ ῥίζα· ἐξ ὧν φύεται τὸ ἀδίκημα· ὁ δὲ τελώνης, θηρίον ἐςὶν ἀπροφάσιςον, λοιμὸς
ταῖς λεωφόροις ἐπικαθήμενος, πεπαῤῥησιασμένη βία, ἀνεπιτίμητος ἁρπαγὴ, ἀναίσχυντος πλεο-
νεξίας τρόπος, πραγματεία λόγον οὐκ ἔχουσα, ἀναιδὴς ἐμπορία, ἔσχατος ὅρος κακίας· ὅπερ
οὖν καὶ ὁ Χριςὸς παραδηλῶν, εἰς παράδειγμα τῶν ἐσχάτων κακῶν, τὰς πόρνας καὶ τοὺς
τελώνας ἄγει συνεχῶς· ἐνόσει ταύτην καὶ ὁ Ζακχαῖος τὴν νόσον, πρὶν ἐγγὺς ἔλθῃ τοῦ Ἰη-
σοῦ, μακρῷ τῆς ἀῤῥωςίας τοῦ ἱεριχουντίου τυφλοῦ ὑπάρχουσαν χείρονα· εἴ γε ὁ μὲν, σώμα-
τος· ὁ δὲ, ψυχῆς αὐτῆς ἐνόσει τὴν πήρωσιν.

Τοῦ αὐτοῦ. Μὴ δῷς ἄλλοις τὰ ἀλλότρια, ἀλλὰ τοῖς ἠδικημένοις τὰ οἰκεῖα ἀποκατά- v. 8. p. 253. a.
ςησον· οὐ γὰρ προσδέχεται θεὸς ἐλεημοσύνην ἐξ ἁρπαγῆς· καλὸς ὁ τελώνης τῶν καθ' ἑαυ-
τὸν κριτὴς καὶ οἰκονόμος, εἴ τινός τι, φησὶν, ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν, οὐκ ἄλλοις
ἄμισθον γὰρ τοῦτο καὶ ἀπρόσδεκτον θεῷ, ἀλλ' αὐτοῖς τοῖς συκοφαντηθεῖσιν.

Τοῦ αὐτοῦ. Πῶς οὖν ἐκ τοῦ Ἀβραὰμ ὁ ἐξ Ἱεριχὼ τῆς Χαναανίτιδος; τί κοινὸν Ἀβραὰμ v. 9. p. 254. a.
εἰς γένος καὶ χαναναίοις; ἢ δῆλον, ὡς εἰ καὶ μὴ τῇ σαρκὶ ἦν υἱὸς Ἀβραὰμ, ἀλλὰ τοῖς
ἤθεσιν καὶ τοῖς ἔργοις ἅμα τῷ Χριςῷ, τῶν ἐκ σπλάγχνων προελθόντων τοῦ πατριάρχου μα-
κρῷ γνησιώτερος παῖς καὶ γέγονε καὶ ἐπεγνώσθη· οὕτω καὶ ὁ ἀπόςολος, υἱὸν ἐκάλεσε τὸν Ἐλύ-
μαν διαβόλου· καὶ ὁ κύριος, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐςὲ, τοῖς ἰουδαίοις εἶπε·
καὶ ὁ Ζακχαῖος οὖν, ἐπειδὴ τὴν Ἀβραὰμ ἐμιμήσατο πίςιν, ὡς γὰρ ἐκεῖνος κληθεὶς ἀφῆκε τὴν
πατρίδα, οὕτως καὶ οὗτος τὸ τελώνιον καὶ τὸν ἐκεῖθεν κατέλιπε πλοῦτον, εἰκότως υἱὸς Ἀ-
βραὰμ ἀνακεκήρυκται, διά τε τὴν πίςιν καὶ τὸ περὶ τὰ χρήματα μεγαλόψυχον, καὶ ἁπλῶς,
τὴν τοῦ τρόπου ὁμοιότητα.

Μακαρίου. Καὶ ἐπὶ τὰ ὀλίγα ταῦτα φησὶ τὰ πρόσκαιρα πιςὸν φανέντα, ἐπὶ πολλῶν v. 17. p. 258. b.
σε καταςήσει ὁ δεσπότης, τουτέςιν ἐπὶ τῶν μελλόντων ἀγαθῶν.

Ἐφραίμ. Ἐπειδὴ δὲ γέγραπται τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δο- v. 26.
κεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ, τί ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο· ἄκουε
παραβολὴν περὶ τούτου· οἰκοδεσπότης ἦν ἐν χώρᾳ τινὶ, καὶ εἶχε δύο δούλους, καὶ τρία ζεύ-
γη βοῶν· καὶ ἔδωκεν ᾧ μὲν, τὰ δύο ζεύγη· ᾧ δὲ, τὸ ἓν· καὶ εἶπε πρὸς αὐτούς· πορευθέν-
τες, ἐργάσασθε ἕως ἔλθω πρὸς ὑμᾶς· καὶ πορευθεὶς ὁ τὰ δύο ζεύγη εἰληφὼς, εἰργάσατο
ἐν τοῖς βουσὶ, καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα, καὶ τοὺς βόας καλῶς ἔθρεψεν· ὁ δὲ ἕτε-
ρος πορευθεὶς, ἔδησε τοὺς βόας ἐν τῇ φάτνῃ, μηδὲν παραθεὶς αὐτοῖς· καὶ ἀνακλίνας αὐτὸν,
ἐκοιμήθη· εἶτα ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, θεάσασθαι αὐτῶν τὰ ἔργα, καὶ ἰδὼν
τὴν ἐργασίαν, καὶ τὰ κέρδη τοῦ τὰ δύο ζεύγη εἰληφότος, εὐλόγησεν αὐτόν· μετὰ ταῦτα,
παραγίνεται καὶ πρὸς τὸν ἕτερον δοῦλον, καὶ εὑρίσκει αὐτὸν μὲν καθεύδοντα, τοὺς δὲ βόας
δεδεμένους ἐπὶ φάτνῃ· καὶ ἐκλείποντας λιμῷ καὶ δίψει εἶπεν οὖν ἐν ἑαυτῷ· ἐὰν ἀφήσω
τοὺς βόας μου ἐπὶ τῷ ὀκνηρῷ δούλῳ τούτῳ, ἀπόλλυσιν αὐτούς· ἀφελῶ οὖν τοὺς βόας μου
ἀπ' αὐτοῦ, καὶ δώσω τῷ ἐργασαμένῳ καλῶς, καὶ ἐπιμελοῦντι τὸ ἔργον αὐτοῦ· τῷ γὰρ ἔχον-
τι, δοθήσεται· καὶ πάλιν ὁ κύριος· ἐγὼ μὲν ἀγαθὸς ὢν, ἐκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐ-

τῷ, ἵνα ἐργασάμενος τὸ ἀγαθὸν, κτήσηται τὴν αἰώνιον ζωήν· αὐτὸς δὲ ἐξουθένωσέ με, καὶ ἀτιμασθήσεται· καὶ ἐν τιμῇ ὤν, οὐδὲ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι· μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο.

v. 28. p. 259. a. Βασιλείου. Πλὴν τόπον ἐκ τόπου μεταμείβων ἀόκνως ὁ κύριος διὰ τὴν ἡμετέραν σωτηρίαν, διετέλει· ἅπαξ δὲ ὑποζυγίῳ, καὶ τοῦτο μόνον ἐπ' ὀλίγον, χρησάμενος φαίνεται· οὐχ ἵνα τὸ σῶμα διαναπαύσῃ, ἀλλ' ἵνα τοῖς ἔργοις τὴν προφητείαν σφραγίσῃ.

v. 29. p. 259. b. Ἀναστασίου. Βηθφαγὴ, οἶκος σιαγόνων ἑρμηνεύεται· αἱ σιαγόνες δὲ, εἰς τύπον τοῦ λόγου τῆς διδασκαλίας λαμβάνονται, αἳ τοῖς ἱερεῦσι κατὰ τὸν νόμον ἐδίδοντο· Βηθανία δὲ, οἶκος ὑπακοῆς· Ἱερουσαλὴμ δὲ, ὅρασις εἰρήνης· οἱ δὲ πεμπόμενοι, ἀπόστολοι καὶ προφῆται, ἢ καὶ ἄγγελοι ὑπηρετοῦντες τῷ Χριστῷ πρὸς ἡμετέραν λύτρωσιν· τὸ εἶναι δύο τοὺς ἀποστελλομένους, δηλοῖ τὰς δύο διαθήκας· ἡ δὲ ἀνθρωπώνυμος κώμη, τὸν κόσμον τοῦτον αἰνίττεται, ὃς ἀπέναντι ἐστὶ τῶν ἀποστελλομένων· ἀντίκειται γὰρ ἀληθῶς τοῖς ἀκολουθεῖν καὶ μαθητεύειν θέλουσι τῷ κυρίῳ ἡ τοῦ κόσμου τούτου φιλία, κατὰ τὸ γεγραμμένον, ὅτι ἡ τοῦ κόσμου τούτου φιλία, ἔχθρα τοῦ θεοῦ ἐστιν· ἡ ὄνος δὲ ἡ δεδεμένη καὶ ὁ πῶλος, τὴν καθόλου τῶν ἀνθρώπων φύσιν αἰνίττεται, ἥ τις καὶ εἰς δύο λαοὺς γνωμικῶς διῃρέθη· τουτέστιν εἰς ἰουδαίους καὶ τὸν νέον τῶν ἐθνῶν λαὸν, οὓς ὁ κύριος βούλεται διὰ τῆς τῶν προφητικῶν καὶ εὐαγγελικῶν ῥημάτων διδασκαλίας, ἢ δι' ἀποστόλων καὶ εὐαγγελιστῶν λυθῆναι τῆς τοῦ κόσμου ματαιότητος καὶ φαντασίας, καὶ πρὸς αὐτὸν ἄγεσθαι.

v. 36. p. 260. a. Τοῦ αὐτοῦ. Τὸ μὲν οὖν στρωννύειν τὰ ἑαυτῶν ἱμάτια, τὴν ἠθικὴν δηλοῖ παίδευσιν· τὸ δὲ καὶ κλάδους κόπτειν καὶ ὑποστρωννύειν, τὸ ἐξ ἀπιστίας ὥσπερ ἐξ ἀγριελαίου ἐκκόπτειν, καὶ διὰ πίστεως ὀρθῆς ὑποτάσσειν τῷ κυρίῳ· τὸ βαΐα φοινίκων βαστάζειν, χαρακτηρίζει τὴν νίκην ἣν ὑπὲρ ἡμῶν νενίκηκε· σύμβολον γὰρ νίκης τὰ βαΐα· τὸ δὲ ὡσαννὰ, ἑρμηνεύεται χάρις καὶ δόξα τῷ υἱῷ Δαβὶδ, ἀμέλει ὁ θεῖος Λουκᾶς, ἐπὶ τούτου, δόξα ἐν ὑψίστοις εἶπε· τὸ δὲ τὸ αὐτὸ λέγειν τούς τε προάγοντας καὶ τοὺς ὄπισθεν ὄχλους, τὴν ὁμοφωνίαν σημαίνει καὶ ὁμολογίαν τῆς εἰς αὐτὸν ὀρθῆς πίστεως τῶν πρὸ τῆς ἐνσάρκου αὐτοῦ πραγματείας, καὶ τῶν μετὰ ταύτην εἰς αὐτὸν ὀρθῶς πιστευσάντων, καὶ διὰ πίστεως καὶ πράξεως καὶ γνώσεως αὐτῷ εὐαρεστησάντων.

v. 42. p. 263. b. Μακαρίου. Ὅτε δὲ ἀνεπλήρωσαν τὸν ὅρον τῶν ἁμαρτιῶν ἰουδαῖοι, καὶ ὑπερεπλεόνασαν, τὸ δεσποτικὸν ἀξίωμα τὰς χεῖρας ἐπιβάλλοντες, τότε εἰς τέλος ὑπὸ τοῦ θεοῦ κατελείφθησαν, καὶ ἤρθη ἀπ' αὐτῶν ἡ προφητεία καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία, καὶ ἐδόθη τοῖς πιστεύσασιν ἔθνεσιν, ὥς φησιν ὁ κύριος· ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

## CAP. XX.

v. 34. p. 266. a. Ἀνεπιγράφου. Σαθρὰν τοίνυν κρηπῖδα ἑαυτοῖς ὑποστήσαντες οἱ σαδδουκαῖοι, τὴν ἐν τῇ ἀναστάσει σωματικὴν διαγωγὴν, περὶ τὸ δόγμα τῆς ἀναστάσεως ἐσφάλλοντο· τῆς κρηπῖδος δὲ διασεισθείσης, συγκατεσπάσθη καὶ τὸ δόγμα· καὶ ἠλέγχθησαν τὸν νοῦν τῶν γραφῶν παρεκδεχόμενοι· οἱ μὲν γὰρ ἐν τῷ κόσμῳ τούτῳ εἰς γάμους ἐκδίδονται, διὰ τὸ, βοήθειαν τοῦ

θνητοῦ ἐπινενοῆσθαι τὸν γάμον· ἐκεῖ δὲ τοῦ θανάτου καταργηθέντος, οὐδὲν σωματικὸν ὁρᾶται, ὅτι μὴ δὲ χρεία πληρωθῆναι τὸ λεῖπον.

## C A P. XXII.

Μακαρίου. Ἔτι τὰ κατὰ τὸν ἀμνὸν, μυστήριόν ἐστι ψυχῆς τῆς ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ v. 7. p. 278. b.
λυτρωθείσης ἀπὸ τῆς δουλείας τοῦ σκότους, ἀπὸ τῶν αἰγυπτίων, ἀπὸ τοῦ ἀληθινοῦ Φαραὼ ὃς ἐπέστησε τῷ ἀνθρώπῳ τοὺς ἐργοεπιστάτας, τὰ πνεύματα τῆς πονηρίας, ἀναγκάζοντα αὐτὸν, ἑκόντα καὶ ἄκοντα, ποιεῖν τὰ πονηρὰ αὐτοῦ ἔργα, καὶ τὴν σύνταξιν ἐκπληροῦν τοῦ πηλοῦ καὶ τῆς πλινθείας· οἳ καὶ χωρίσαντες αὐτὸν τοῦ οὐρανίου φρονήματος, κατήγαγον ἐπὶ τὰ ὑλικὰ καὶ γήϊνα καὶ πηλώδη ἔργα· ἐκπεσοῦσα γὰρ τοῦ ἰδίου ὕψους ἡ ψυχὴ, εὗρε βασιλείαν μισάνθρωπον, καὶ ἄρχοντας πικροὺς, τοὺς καταναγκάζοντας αὐτὴν οἰκοδομεῖν αὐτοῖς τὰς τῆς κακίας πόλεις· ἐὰν δὲ στενάξῃ, τότε τῆς ἀπολυτρώσεως τὴν ἀρχὴν λαμβάνει διὰ τοῦ πνευματικοῦ Μωσέως· καὶ αὐτὴ ἐν τῷ μηνὶ τῶν νέων ἀνθῶν λυτρουμένη κατὰ τὸν καιρὸν τοῦ ἔαρος, ἡνίκα ἡ γῆ τῆς ψυχῆς ἐξανθεῖν δύναται τοὺς καλοὺς καὶ ἀνθηροὺς κλάδους τῆς δικαιοσύνης, τῶν πικρῶν χειμώνων διελθόντων τῆς ἀγνοίας, τοῦ σκότους, καὶ τῆς πολλῆς πωρώσεως τῆς ἐκ τῶν αἰσχρῶν πράξεων· κελεύει δὲ τότε ἐξ ἑκάστης οἰκίας, πᾶσαν ζύμην παλαιὰν, τὰς πράξεις καὶ τὰ φρονήματα τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου· σφαγῆναι δὲ τὸ ἀρνίον καὶ τυθῆναι, καὶ τὸ αἷμα αὐτοῦ χρισθῆναι ἐπὶ τῶν θυρῶν· Χριστὸς γὰρ τὸ ἀληθινὸν καὶ ἄμωμον ἀρνίον ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐχρίσθη ἐπὶ τῶν φλιῶν τῆς καρδίας, ὅπως γένηται τὸ ἐκχυθὲν αἷμα ἐπὶ τοῦ σταυροῦ, τῇ μὲν ψυχῇ εἰς ζωὴν καὶ ἀπολύτρωσιν, τοῖς δὲ αἰγυπτίοις δαίμοσιν εἰς πένθος καὶ θάνατον· εἶτα μετὰ τὸ χρίσμα, κελεύει πρὸς ἑσπέραν φαγεῖν τὸ ἀρνίον, καὶ τὰ ἄζυμα μετὰ πικρίδων, περιεζωσμένους τὰς ζώνας, καὶ ὑποδεδεμένους τὰ ὑποδήματα, καὶ ἔχοντας τὰς βακτηρίας ἐν ταῖς χερσίν· ἐὰν γὰρ μὴ πρότερον γένηται ἡ ψυχὴ παρεσκευασμένη πανταχόθεν δι' ἔργων ἀγαθῶν ὅσον ἐστὶν ἐν αὐτῇ, οὐ δίδοται αὐτῇ φαγεῖν ἀπὸ τοῦ ἀρνίου· εἰ δὲ καὶ τὸ ἀρνίον ἡδὺ, καὶ τὰ ἄζυμα καλὰ, ἀλλ' αἱ πικρίδες πικραὶ καὶ τραχεῖαι· μετὰ θλίψεως γὰρ πολλῆς καὶ πικρίας, ἐσθίει ἡ ψυχὴ ἀπὸ τοῦ ἀρνίου καὶ τῶν χρηστῶν ἀζύμων, θλιβούσης αὐτὴν τῆς συνούσης αὐτῇ ἁμαρτίας· καὶ πρὸς ἑσπέραν φησὶν ἔδεσθε αὐτό· ἡ δὲ πρὸς ἑσπέραν ὥρα, μέση φωτὸς καὶ σκότους ἐστίν· οὕτω καὶ ἡ ψυχὴ πρὸς ταύτῃ οὖσα τῇ ἀπολυτρώσει, μέση γίνεται φωτὸς καὶ σκότους, ἑστώσης τῆς δυνάμεως τοῦ θεοῦ, καὶ μὴ ἐώσης τὸ σκότος ἐπελθεῖν τῇ ψυχῇ καὶ καταπιεῖν αὐτήν· ἀπολαμβάνει γε μὴν τοῦ σκότους ἀξιοῦσα ἡ ψυχὴ τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, ἤγουν τοὺς ἰδίους ἀγαθοὺς πεπυρωμένους ἑπταπλασίως· εἰς οὓς διακονεῖται καὶ ἐπαναπαύεται ὁ θεός· ἐσκόρπισαν γὰρ οἱ γειτονεύσαντες αὐτῇ δαίμονες, καὶ κατέσχον, καὶ διεσκέδασαν τοὺς λογισμοὺς αὐτῆς· ἀπαίρουσιν οἱ υἱοὶ Ἰσραὴλ, τὸ πάσχα ποιήσαντες· προκόπτει καὶ ψυχὴ, λαβοῦσα ζωὴν πνεύματος ἁγίου· καὶ ἀπογευσαμένη τοῦ ἀρνίου, καὶ χρισθεῖσα τῷ αἵματι αὐτοῦ, καὶ φαγοῦσα τὸν ἀληθινὸν ἄρτον τὸν ζῶντα λόγον· στύλος πυρὸς καὶ νεφέλης ἐκείνων προηγεῖτο, φυλάττον τὸ πνεῦμα τὸ ἅγιον, ὑποστηρίζει τούτους, θάλπον καὶ ὁδηγοῦν ἐν αἰσθήσει τὴν ψυχήν· ὅτε γὰρ πρῶτον ἡ ψυχὴ τοὺς αἰγυπτίους ἀποφύγῃ, προσελθοῦσα ἡ τοῦ θεοῦ δύναμις βοηθεῖ, ὁδηγοῦσα αὐτὴν ἐπὶ τὴν ἀλήθειαν· γνοὺς δὲ ὁ βασιλεὺς τοῦ σκότους τῆς

ἀγαλλιάσει, καὶ ἐμπλησθῇ ἄρτων· μαθὼν δὲ τὰ πραχθέντα, οὐκ ἤθελεν εἰς τὴν κοινὴν χαρὰν εἰσελθεῖν· ὁ δὲ πατὴρ ἀναδιδάσκει αὐτὸν τὴν τῆς εὐφροσύνης αἰτίαν, ὅτι νεκροῦ ἐστὶν ἀναζώωσις· ἐπειδὴ δὲ ἡ ἔριφος ἐσφάζετο μὲν κατὰ τὸν νόμον ὑπὲρ ἁμαρτίας, τάττεται δὲ καὶ ἐπὶ τῆς ἀριστερᾶς μερίδος καὶ τῶν ἁμαρτωλῶν, τί ποτε νοεῖ τὸ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ὑπὸ τοῦ εὐδοκίμου παιδὸς λεγομένον; τάχα μὲν τοῦτο, ὅτι ἀεί με ἐν κόποις ὄντα παρεῖδες· οὐδὲ ἁμαρτωλὸν γοῦν τὸν θλίβοντα σφαγῇ παραδοὺς, ἵνα μικρὸν ἀνεθῶ, νῦν δὲ ἀπόνως σώζεις τὸν ἄσωτον.

## CAP. XVI.

v. 1. p. 215. a. Ἀνεπιγράφου. Εἴληπται δὲ ἡ τοῦ οἰκονόμου παραβολὴ, οὐχ᾽ ὡς παντελῶς ἴσον ἔχουσα τὸ παράδειγμα τῶν δηλουμένων, ἀλλ᾽ ὡς ἐξ ἐλάττονος τὸ μεῖζον ὑποδεικνύουσα· ὁ μὲν γὰρ τῆς οὐσίας τοῦ δεσπότου πολλὰ καταχαρισάμενος τοῖς ὀφείλουσιν, ἵν᾽ ἀντιλάβῃ παρ᾽ αὐτῶν τὴν ὕστερον τιμὴν, ἐπειδὰν ἐκβληθῇ τῆς οἰκονομίας, ἐξ ἀδικίας τοῦ δεσπότου παρασκευάζει τὴν παραμυθίαν ἑαυτῷ, φρονίμως τῷ καιρῷ τῆς ἐξουσίας χρώμενος, εἰς τὸν προσδοκώμενον καιρὸν τῆς μεταβολῆς· καὶ ἕως ἔτι πάρεστι τὰ χρήματα, χρώμενος αὐτοῖς εἰς τὸ ὅτε μὴ πάρεστιν ὠφέλεια· θεὸν δὲ ἀδικήσει μὲν οὐδεὶς· χρώμενος δὲ εἰς εὐεργεσίαν ἑτέρων τοῖς ἐμπιστευθεῖσιν αὐτῷ χρήμασι, τουτέστιν εἰς λειτουργίαν τῶν ἁγίων καὶ παρὰ θεῷ μεγάλων, φίλους ἑαυτῷ κατεσκεύασεν εἰς τὸ μέλλον, καὶ εὐεργέτας ἐν τοῖς μείζοσι τοὺς διὰ τῶν ἐλαττόνων εὐηργετημένους· εἰ δὲ καὶ ὁ ἠδικημένος δεσπότης ἐπῄνεσε τὸν οὕτως ἑαυτῷ βεβοηθηκότα οἰκονόμον, πολλῷ μᾶλλον ὁ μὴ ἀδικούμενος θεὸς ἀποδέξεται τὸν ἐν ὁμοιώσει τούτου δηλούμενον.

p. 215. b. Τοῦ αὐτοῦ. Δεῖ τοίνυν τοσοῦτον ἡμᾶς ἀπὸ τῆς παραβολῆς ὠφεληθῆναι· ἔτι βούλεται ἡμᾶς ὁ δεσπότης τοῖς παρ᾽ αὐτοῦ δοθεῖσι εἰς τὰς τῶν ὁμοδούλων δαπανᾷν χρείας· ἐὰν δὲ εἰς οἰκείας σπατάλας αὐτοῖς ἀποχρώμεθα, διαβεβλημένοι ἐσμὲν οἰκονόμοι· μέλλοντες τοίνυν τῆς οἰκονομίας τῶν χρημάτων, ἢ τοι τοῦ βίου τούτου μεθίστασθαι, καὶ διδόναι λόγους, ἐὰν φρόνιμοι ὦμεν ἑαυτοῖς τῆς ἀδικίας χρημάτων· τουτέστιν ὁ μὲν κύριος διὰ τοὺς ἀδελφοὺς ἔδωκεν, ἡμεῖς δὲ ταῦτα παρακατέσχομεν· καὶ γνόντες ὅτι ἐκεῖ οὔτε σκάπτειν δυνάμεθα· οὐ γάρ ἐστι καιρὸς ἐργασίας τότε· οὔτε ἀπαῖτειν εὐπρεπὲς, μωραὶ γὰρ αἱ παρθένοι αἱ ἀπαιτήσασαι ὀνομάζονται, συμμεριστὰς τοὺς ἀδελφοὺς παραλαμβάνομεν, ἵν᾽ ὅταν ἐντεῦθεν ἀναχωρῶμεν, δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς.

v. 5. Τοῦ αὐτοῦ. Οὗτοι δὲ καὶ οἱ χρεῶσται κατὰ τὸ, ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος· ὁ ἐλεῶν πτωχὸν, δανείζει θεῷ· ἔδει μὲν οὖν μάλιστα πάντα τοῖς καλοῖς χρεωφειλέταις τούτοις δοθῆναι· πλὴν ἐπεὶ οἰκονόμοι τῆς ἀδικίας εὑρισκόμεθα, ἀδίκως παρακατέχοντες ἃ ἄλλοις ἀφώρισται, μεταδοτέον αὐτοῖς ὧν ἐλάβομεν· υἱοὺς μέν τοι τοῦ αἰῶνος τούτου χρὴ νοεῖν τοὺς ἐπινοουμένους πάντα τὰ ἐν τῇ γῇ αὐτοῦ λυσιτελοῦντα· υἱοὺς δὲ φωτὸς τοὺς ὀφείλοντας τὸν πατρικὸν πλοῦτον θεοφιλῶς μεταχειρίζεσθαι· ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὅτι οἱ ἄνθρωποι οἰκονόμοι μὲν ἀνθρωπίνων διοικήσεων καθιστάμενοι, πραγματεύονται ὅπως μετὰ τὸ μεταστῆναι τῆς οἰκονομίας, ἔχοιέν τινα παρηγορίαν· υἱοὶ δὲ φωτὸς ταττόμενοι, τουτέστι πνευματικὴν διοίκησιν χρημάτων πιστευόμενοι, οὐκ ἐπινοοῦνταί τι πρὸς τὸ μετὰ ταῦτα ὠφεληθῆναι· υἱοὶ οὖν τοῦ αἰῶνος τούτου οἱ ἀνθρωπίνας διοικήσεις πεπιστευμένοι, καὶ ἐν τῇ γενεᾷ ἑαυτῶν

τουτέστιν ἐν τῷ βίῳ τούτῳ φρονίμως τὰ καθ' ἑαυτοὺς διοικοῦντες· υἱοὶ δὲ φωτὸς οἱ χρήμα-
τα λαβόντες ὥστε διοικεῖν αὐτὰ καλῶς· ἄφρονες καλούμενοι, διὰ τὸ μὴ φρονεῖν τὰ μετὰ ταῦ-
τα λυσιτελήσοντα.

Μάρκου μοναχοῦ. Τινὲς μὲν οὖν φρονίμως λέγουσι τοὺς διακριτικοὺς τῶν αἰσθητῶν πραγ- v. 8.
μάτων· φρόνιμοι δέ εἰσιν οἱ ἐπικρατοῦντες τῶν ἰδίων θελημάτων.

Τοῦ αὐτοῦ. Βίαν δὲ ἐκάλεσε τὴν τοῦ σώματος καταπόνησιν· ἣν ἑκουσίως ὑπομένουσιν v. 16. p. 218. a.
οἱ τοῦ Χριστοῦ μαθηταὶ, ἐν τῇ ἀρνήσει τῶν οἰκείων θελημάτων καὶ τῆς κατὰ τὸ σῶμα
ἀναπαύσεως· ὥστε εἴ τις βούλοιτο ἁρπάσαι τὴν βασιλείαν τοῦ θεοῦ, γενέσθω βιαστὴς καθ'
ἕκαστον πρᾶγμα.

Ἀνεπιγράφου. Ὅρα πῶς διὰ μικρᾶς φωνῆς, μεγάλην ἐδήλωσε τὴν ἀπ' ἀλλήλων διάστα- v. 23. p. 224. a.
σιν· καὶ ὅτι ὁ μὲν ἐν ὕψει ἦν καὶ ἐν φωτὶ, ὁ δὲ ἐν χάει βαθεῖ καὶ ἐν σκότει· διὰ ταῦτα ὡς
μὲν ἐν βάθει ὢν, ἀνακλᾷ τὴν κεφαλὴν· καὶ ἐπαίρει τοὺς ὀφθαλμοὺς εἰς τὸ ὕψος, καὶ οὕτως
ὁρᾷ τὸν Λάζαρον· ὡς δὲ ἐν σκότει τυγχάνων, ὁρᾷ τὸν ἐν φωτὶ ὄντα οὐχ ὁρῶντα αὐτόν.

Βασιλείου. Ἔνδον ἔχων τὴν αἰτίαν καταφρύσσουσαν αὐτὸν τῷ δίψει, ὡς οἱ ἐμπαθῶς v. 24. p. 224. b.
ζῶντες οἰκεῖον ἔχουσι τὸ τῶν παθῶν πῦρ.

Φωτίου. Οὐκ οἶδε σύνοδον ἀλλήλων πλεονεξία καὶ φιλανθρωπία· μακρὰν ἀπέχει ἀνὴρ v. 31. p. 228. b.
ἐλεήμων τῆς τῶν πολυτούντων μισαδελφίας· διὰ τοῦτο, καὶ μέγα χάσμα ἐστήρικται μεταξὺ
γεέννης καὶ βασιλείας.

Ἀνεπιγράφου. Νῦν δὲ ἀνακεφαλαιωσώμεθα τὰ ῥηθέντα· τοῦ μὲν δὴ πλουσίου τὴν ὑπερ- v. 26. p. 229. a.
ηφανίαν αὐτὸς ὁ λόγος ἀπέδειξε, καὶ τὸ πρᾶγμα κατηγόρησε, καὶ οὐδὲν δεῖται ζητήσεως·
τὸ δὲ τοῦ πτωχοῦ, ὅτι καλός τε ὢν καὶ ἀγαθὸς ἔπασχε ταῦτα, οὐκ αὐτόθεν δῆλον, ἀλλ'
ἐκ τῶν ὕστερον ἐπηκολουθηκότων, ὅτι παρακλήσεως ἐτύγχανεν, ἐν κόλποις Ἀβραὰμ ἀναπαυ-
όμενος, ὅπερ οὐ δυνατὸν ἐπὶ φαύλου καὶ ἀλλοτρίου τῶν Ἀβραὰμ τρόπων γενέσθαι· τὸ γὰρ
ὅμοιον συνάγεται πρὸς τὸ ὅμοιον· οὐδ' ἂν ὑπεδέξατο κόλπος Ἀβραὰμ τοῦ πιστοῦ καὶ δι-
καίου τὸν ἄπιστον καὶ ἄδικον, οὐδὲ εἰ μυριάκις πτωχὸς ἦν· καὶ ἔτι τῶν περὶ Λαζάρου εἰρημέ-
νων ἔπασχε χαλεπώτερα· μακροθυμεῖ δὲ ὁ θεὸς ἐφ' ἑκατέροις· τῷ μὲν, ὑπερτρυφῶντι· τῷ δὲ,
ὑπεροδυνωμένῳ· καὶ οὔτε τῷ πλουσίῳ τὴν κατ' ἀξίαν δίκην αὐτόθεν ἐπετίθει, οὔτε τῷ πέ-
νητι τὴν ἀμοιβὴν· ἀλλ' εἰς ὑστέρας ἀνταποδόσεις, ἐφύλαττε τὰ πράγματα· τούτῳ δὲ χρὴ
καὶ παραδείγματι χρωμένους, θαῤῥεῖν· ἐπειδὰν καὶ ἄδικος ἐντρυφᾷ· καὶ κακοπαθῇ δίκαιος,
μή τε ἀπεῖναι νομίζειν τὸν ἐπόπτην θεὸν, καὶ μή τε ἀμελῶς ἔχειν περὶ τὰ πραττόμενα· οἷα δὴ
πολλῶν δυσσεβῶν ἔννοιαι καὶ μὴ πρέποντα περὶ θεοῦ διανοουμένων· οὐ γὰρ μικροψύχως τὰ
θεοῦ ζητητέον· οὐδὲ ὀξείας καὶ κατεσπευσμένας τὰς ἀνταποδόσεις ἀπαιτητέον, ἐπεὶ μὴ βρα-
χείας μόνον ζωῆς τῆς ἡμετέρας βασιλεύει θεὸς, ἀλλὰ τοῦ σύμπαντος αἰῶνος, καὶ ἐν ἀπεί-
ρῳ τῷ μέλλοντι τὰ κατ' ἀξίαν ἀντιμετρήσει· καὶ ταῦτα μὲν ταύτῃ.

Τοῦ αὐτοῦ. Τὴν μέν τοι παραβολὴν θεωροῦντες, ὅσον μὲν κάρπιμον ἐκ τοῦ λόγου καὶ
ὠφέλιμον, δρεψώμεθα· ὅσα δὲ βαρύτερα, τούτων μὴ σφόδρα ἐξέτασιν ποιώμεθα· πολλὰ γὰρ
ἄν τις ἀγνοήσειε περὶ πραγμάτων ἀοράτων, ἀκούσας τοῦ κυρίου λέγοντος, ὧν ἡμῖν δύσκο-
λος ἡ κατάληψις, καὶ μάλιστα εἰ πρὸς ἀκρίβειαν ἐξετάζοιμεν· οἷον φέρε εἰπεῖν, τίς ἰδέα
ψυχῆς, ὅτι καὶ δάκτυλος αὐτῆς λέγεται καὶ γλῶσσα; τί δὲ ὕδωρ, ὅπερ ἂν ψυχῆς καταψύ-
ξειε γλῶσσαν; τίς δὲ ἡ πρὸ κρίσεως βάσανος; δῆλον γὰρ ὅτι πρὸ κρίσεως ἦν τὰ πράγμα-

τα (1), ὁπότε ὁ πλούσιος ἱκετεύει τὸν Ἀβραὰμ ἵνα πέμψῃ Λάζαρον πρὸς τοὺς ἀδελφούς· κἀκεῖνος, φησὶν, ἔχουσι Μωσέα καὶ τοὺς προφήτας, ὡς δηλαδὴ κόσμου συνεστῶτος ἔτι, καὶ Μωσέως ἀναγινωσκομένου καὶ προφητῶν· ταῦτα δὴ πεφεισμένην ἐχέτω τὴν ζήτησιν, διὰ τὸ δυσέφικτον· καὶ τοσοῦτον εἰρήσθω περὶ αὐτων, ἵνα μὴ παντάπασιν ἀποσιωπῶμεν· ἀλλὰ τὰ καταφανέστερα λέγωμεν, ὡς μέλη μὲν οὐκ ἔστι ψυχῆς σωματικὰ, ἀλλὰ δυνάμεις αἱ τούτοις ἀνάλογον ἔχουσαι, ὥσπερ καὶ ἐπὶ ζῶντος ἀνθρώπου, ὀφθαλμὸς ἐντολῇ Θεοῦ φωτιζόμενος, τουτέστι τὸ γνωστικὸν τῆς ψυχῆς, εἰς ὅπερ ὁ διὰ τοῦ λόγου φθάνει φωτισμός· ὕδωρ δὲ ψυχὴν φλεγομένην τὸ καταψύχον, ἡ τῆς πολλῆς ὀδύνης ἄνεσις· ὅπερ ὁ ἀναίσθητος πλούσιος ἐζήτει παρὰ τοῦ μὴ ἐλεηθέντος ὑπ' αὐτοῦ πένητος, οὐδὲν ὀφείλοντος αὐτῷ· διόπερ οὐδὲ δοῦναι οἷός τε ἦν, οὐδὲ εἰ μάλιστα ἐβούλετο· ἔνθα γὰρ ἡ τῶν κατ' ἀξίαν ἀντίδοσις, οὐδὲν ἀπὸ χάριτος γίνεται· ἔστι δὲ χάρις μὲν ἐπὶ τῆς παρούσης ζωῆς· κρίσις δὲ, μετὰ ταύτην· τὸ δὲ περὶ τῆς κρίσεως ζήτημα, πῶς ἂν πρὸ ταύτης ὁ πλούσιος ἐν βασάνοις εἴη, διδάσκειν ἔοικε τὴν τῶν ἐν κόσμῳ τερπνῶν ἀποστέρησιν, ἱκανὴν αὐτόθεν ἤδη κολάσαι τὴν ἐν τούτοις πρότερον ὑπερτρυφῶσαν ψυχὴν, ἣς μειζόνως ἔτι ψυχήν τε καὶ σῶμα ὀδυνήσει, ἡ τῶν μελλόντων μεγάλων ἀγαθῶν στέρησις· περὶ ἧς ὁ κύριος εἴρηκεν, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων· ὅταν ὄψεσθε τοὺς πατριάρχας καὶ προφήτας ἐν τῇ βασιλείᾳ, ὑμᾶς δὲ ἐκβαλλομένους ἔξω· ἱκανὸν γὰρ καὶ αὐτόθεν ἤδη βασανίσαι καὶ συμφλέξαι ψυχὴν, τὸ μή τε τῶν ἰδίων ἀπολαύειν τερπνῶν τῶν κάτω τούτων καὶ περὶ γῆν, μή τε τῶν καλλιόνων εὐπορεῖν· ἀλλ' οἷς μὲν ἐπεστήρικται, ταῦτα ὑφαιρεῖσθαι καθάπερ ὑποβάθραν τινὰ, ὡς μηκέτ' ἔχειν ἐπερείδεσθαι· οἷς δ' ἐπαναπαύεσθαι καιρὸς ἦν, ταῦτα αὐτῷ μὴ παρεῖναι, ἀλλὰ καὶ γινωσκομένων καὶ ὁρωμένων αὐτῶν ἀποστερεῖσθαι· ἑώρα γοῦν τὸν Λάζαρον οὗτος, ἑώρα δὲ καὶ τὸν Ἀβραὰμ, εἰ καὶ μακρόθεν, χάσματος μεταξὺ διείργοντος, καὶ τούτῳ κωλυομένης τῆς ἐπιμιξίας.

## CAP. XVII.

v. 10. p. 232. a. Μάρκου μοναχοῦ. Μᾶλλον δὲ πᾶσαν ἐντολὴν ὀφειλομένην δεῖξαι θέλων ὁ κύριος, τὴν δὲ υἱοθεσίαν ἰδίῳ αἵματι τοῖς ἀνθρώποις δεδομένην, φησὶν, ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοι ἐσμέν· τὸ γὰρ ὀφειλόμενον, ἐποιήσαμεν· διὰ τοῦτο οὐκ ἔστι μισθὸς ἔργων ἡ βασιλεία οὐρανῶν, ἀλλὰ χάρις δεσπότου, πιστοῖς δούλοις ἡτοιμασμένη· οὐκ ἀπαιτεῖ δοῦλος ὡς μισθὸν τὴν ἐλευθερίαν, ἀλλ' εὐαρεστεῖ ὡς ὀφειλέτης, καὶ κατὰ χάριν ἐκδέχεται.

p. 232. b. Ἀνεπιγράφου. Διῆγε καὶ πᾶσα ἡ τῶν ἀνθρώπων φύσις ἔξω τῆς τῶν οὐρανῶν πόλεως, διὰ τὴν παρὰ φύσιν ἁμαρτίαν, καὶ πόῤῥω Θεοῦ διὰ ταύτην ἵστατο· ὁ δὲ κύριος πᾶσαν ἐθεράπευσεν, εἰ καὶ ἰουδαῖοι μὴ ἐπίστευσαν δι' ἀγνωμοσύνην, εἰ μὴ μόνος ὁ ἀλλογενὴς λαὸς τῶν ἐθνῶν.

v. 26. p. 234. b. Μακαρίου. Ἀλλ' ἐμφιλοχωρητέον ἔτι τῇ κατὰ τὸν Νῶε ἱστορίᾳ· εἶπε τῷ Νῶε ὁ Θεὸς, ποιῆσαι κιβωτόν· οὗτος πιστεύσας, ἐποίησεν· ἐνέστη ἡ ἡμέρα τοῦ κατακλυσμοῦ· ἤνοιξεν οὗτος τὰς θύρας τῆς κιβωτοῦ· καὶ ἔστη συσχεθεὶς πάντοθεν· δεόμενος τοῦ Θεοῦ, οὔτε γὰρ τῇ ἰδίᾳ φύ-

(1) Immo hinc argumentum contrarium iure sumitur; nempe quod mortem statim subsequatur animae iudicium.

σοι τὰ πετόμενα εἰς τὰ ὕψη ὄρνεα συναγαγεῖν ἠδύνατο, οὔτε τὰ θηρία, οὔτε τὰ ἑρπετά· ἀλλ' ὅτε προσέσχεν ἄνω, καὶ τὸν νοῦν ἔπεμψε πρὸς τὸν θεὸν, τότε ὁ κύριος ὑπήκουσεν αὐτοῦ, λέγων ὃ σὺ οὐκ ἠδύνασο τῇ φύσει ποιῆσαι, ἐγὼ ποιῶ· μόνον ὅτι προσέσχες μοι, καὶ τὸν νοῦν σου ἐνεπίστευσάς μοι, ἰδοὺ ὄψει δεξιὰν θεοῦ· καὶ εὐθέως ἀγέλαι τῶν ζώων πάντων ὡς ποίμνια πρὸς τὸν δίκαιον ἤρχοντο, καὶ κατεφίλουν αὐτὸν λοιπὸν, καὶ ἤθελον ὅλα εἰσελθεῖν, ἀλλ' οὐκ ἐπετράπησαν, εἰ μὴ δύο, δύο· καὶ ἑπτὰ, ἑπτά· οὕτως καὶ ἐν τῇ συντελείᾳ λυομένου τοῦ οὐρανοῦ, καὶ τῆς γῆς παρερχομένης, πᾶσα ἡ ἀνθρωπότης καὶ ὅλος ὁ Ἀδὰμ συνάγεται κατενώπιον τοῦ βήματος τοῦ Χριστοῦ· ἀλλὰ οἱ δίκαιοι διακεκριμένοι εἰσὶν ἀπὸ τῶν ἁμαρτωλῶν· οὗτοι κάλλη ἐπουράνια, καὶ ἐνδύματα ἔνδοξα εἰσὶν ἠμφιεσμένοι, καὶ ἀνεῳγμένων τῶν θυρῶν, εἰσέρχονται εἰς τὸν νυμφῶνα· καὶ οἱ ἁμαρτωλοὶ θέλουσι συνεισελθεῖν καὶ συνευφρανθῆναι τῷ κυρίῳ· ἀλλ' οἱ ἄγγελοι ἀποκλείουσιν αὐτοῖς τὰς θύρας τοῦ μὴ εἰσελθεῖν· καὶ ἀπέρχονται εἰς γέενναν πυρός· μακάριοι οὖν, ὅσοις ἀπὸ τοῦ νῦν ἠνοίγησαν αἱ θύραι τῆς καρδίας, καὶ εἰσέρχονται εἰς θύρας οὐρανοῦ, ὅτι ἐκεῖ οὐκέτι τίς δύναται ἀποκλεῖσαι ὅπου θεὸς ἤνοιξεν.

## C A P. XVIII.

Ἀστερίου. Τὸν περὶ τῆς προσευχῆς λόγον ἐν δυσὶ παραβολαῖς κατέκλεισε· τὸ μὲν εὐτόνως v. 10. p. 256. b. προσεύχεσθαι, διὰ τοῦ κριτοῦ καὶ τῆς χήρας διδάξας ἡμᾶς· τὸ δὲ μετ' εὐλαβοῦς γνώμης, διὰ τοῦ φαρισαίου καὶ τοῦ τελώνου.

Ἀνεπιγράφου. Πολλὰ μὲν οὖν τὰ τῆς φιλαυτίας βλαστήματα, οἴησις, ἀλαζονεία, κενοδο- p. 258. a. ξία, ὀλεθριώτερον δὲ πάντων ἡ ὑπερηφανία, ἀθέτησις οὖσα θεῷ· ὅταν γάρ τις οὐ θεῷ, ἀλλ' ἑαυτῷ ἐπιγράφηται τὰ κατορθώματα, ἀντίθεος ἢ ἀρνησίθεος· τοῦτο τοίνυν τὸ πάθος, ᾧ ὁ κύριος ἀντιτάσσεται ὡς ἐχθρὸς ἐχθρῷ, θεραπεύειν διὰ τῆς παραβολῆς ἐπαγγέλλεται· καὶ δείκνυσιν ὅτι ἡ δικαιοσύνη τἆλλα θαυμαστή τις οὖσα, καὶ πλησίον θεοῦ ἱστῶσα τὸν ἄνθρωπον, ὅταν τὴν ὑπερηφανίαν προσλάβηται, εἰς τὰ κατώτατα αὐτὸν ἀπορρίπτει, καὶ δαίμονα ποιεῖ τὸν τέως ἰσόθεον· ἔοικεν οὖν τὰ ῥήματα τοῦ φαρισαίου ἐξ ἀρχῆς μὲν εὐγνώμονός τινος ἀνθρώπου λόγοις· ὁ θεὸς γάρ φησιν εὐχαριστῶ σοι· τὰ δὲ ἐφεξῆς, ἀπονενοημένου· τῇ γὰρ ἰσχύϊ προσάπτει τὰ κατορθώματα· τὸ δὲ καὶ τοὺς ἄλλους κατακρίνειν, πῶς ἐστιν ἀνθρώπου εἰδότος ὡς παρὰ θεοῦ ἔχει; εἰ γὰρ λαβών φησιν ἔχεις, τί καυχᾶσαι ὡς μὴ λαβών; εἰ χάριτι ἔχεις τὰ ἀλλότρια, τί τοὺς ἄλλους ἐξουθενεῖς; καὶ οὐ λογίζῃ ὅτι καὶ σὺ ὅσον ἐπὶ τῇ οἰκείᾳ δυνάμει γυμνὸς εἶ; ἐπισημαίνεται δὲ ὁ κύριος καὶ διὰ τοῦ, σταθεὶς, τὸ τοῦ φαρισαίου ἀταπείνωτον· τοῦ μὲν γὰρ ταπεινόφρονος, καὶ τὸ ὁρώμενον, ταπεινόν· οὗτος δὲ καὶ τῷ σχήματι καὶ τῇ στάσει, τὴν ἔπαρσιν ἐπεσήμαινεν· ἀκολούθως δὲ πρότερον ἀπαριθμεῖται, ἃ οὐκ ἔστι· καί τότε καταλέγει, ἅ ἐστιν· ἡ γὰρ ἄρσις τῆς κακίας, θέσις ἐστὶ τῆς ἀρετῆς· εἰπὼν τοίνυν οὐκ εἰμὶ ὡς οἱ λοιποί· καὶ τὴν ἔκκλισιν τοῦ κακοῦ παραστήσας, τότε τὴν ποίησιν τοῦ καλοῦ εἰσάγει· φήσας, νηστεύω δὶς τῆς ἑβδομάδος, ἤγουν δευτέραν καὶ πέμπτην· οὕτω γὰρ οἱ φαρισαῖοι ἐνήστευον, καὶ ἀποδεκατῶ τὰ ὄντα· ὅρα δὲ, οὐκ εἶπεν, οὐκ εἰμὶ ὡς οἱ πολλοὶ, ἅρπαξ, μοιχὸς, οὐδὲ γὰρ ἄχρι ῥήματος ἠνέσχετο διαβεβλημένον ὄνομα τῷ ἑαυτοῦ προσώπῳ μοναδικῶς προσάψαι, ἀλλὰ πληθυντικῶς τοῖς ἄλλοις ταῦτα προσέρριψεν, εἰρηκὼς, ἅρπαγες, μοιχοί· πρὸς μὲν οὖν τὸ τῆς μοιχείας πάθος, καταλλήλως τὴν νηστείαν ἀντιλαζονεύσατο· κό-

ρος γὰρ, πατὴρ ὕβρεως· καὶ ἡ λαγνεία, ἐν πλησμονῇ· πρὸς δὲ τὸ, ἅρπαγες καὶ ἄδικοι,
τὸ ἀποδεκατῶ ὅσα κτῶμαι, προσφυῶς ἀντέταξε· τοσοῦτον γάρ φησιν ἀπέχω τοῦ ἀδικεῖν, ὥςε
καὶ τὰ ἐμαυτοῦ προσδίδωμι· ἡ δὴ δεκάτωσις, δοκεῖ μὲν ἅπαξ παρὰ τοῦ νόμου διαγορεύεσθαι·
τοῖς μέν τοι βαθέως τῷ δευτερονομίῳ ἐγκύπτουσι, τρεῖς δεκατώσεις εἰσήγηνται.

p. 238. b. Κασσιανοῦ. Λοιμός ἐςιν ἡ ὑπερηφανία, οὐ μέρος τῆς ψυχῆς ἀλλὰ πᾶσαν αὐτὴν διαφθεί-
ρουσα, καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαςον τὴν ἀντικειμένην αὐτῷ ἀρετὴν νικῆσαι φιλονεικεῖ·
καὶ ἐκ μέρους ἐπισκοτεῖ τῇ ψυχῇ· τὸ δὲ τῆς ὑπερηφανίας πάθος αὐτὴν ταράσσει· σκόπει γὰρ
ἡ γαςριμαργία τὴν ἐγκράτειαν διαφθείρει, ἡ πορνεία τὴν σωφροσύνην, ὁ θυμὸς τὴν πραό-
τητα, τὰ ἄλλα πάθη τὰς ἀντιζύγους ἀρετάς· ἡ δὲ τῆς ὑπερηφανίας κακία ὅλην τὴν ψυ-
χὴν καταστρέφει, ἐπὰν κατάσχῃ αὐτήν· καὶ μάρτυς τούτου ὁ ἄγγελος ἐκεῖνος, ὁ ἐκ τοῦ
οὐρανοῦ διὰ ταύτην πεσὼν, ἡμεῖς δὲ ταύτην φευξόμεθα· ἐπιλέγοντες ἑαυτοῖς τὸ τοῦ ἀποςό-
λου, ὅταν τι κατορθώσωμεν, τὸ οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί· καὶ τὸ ὑπὸ
τοῦ κυρίου εἰρημένον, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν· καὶ τὸ ὑπὸ τοῦ προφήτου,
ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον. καὶ πάλιν, οὐ τοῦ θέλοντος οὐδὲ τοῦ τρέχοντος· καὶ τί ἔχεις
ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβὼν, ἀλλ' ὡς ἐπὶ ἰδίοις ἐπαιρόμε-
νος; οὐ γὰρ ἡ φύσις ἑτέρωθεν τὸ εἶναι ἔχει, ἀναγκαίως καὶ τὰ φυσικὰ πλεονεκτήματα ἐκεῖθεν
ἐπάγεται· πᾶν τὸ μὴ ἀγένητον, οὐκ αὔταρκες· τὸ δὲ μὴ αὔταρκες, χρῇζον ἐςὶ τῆς τοῦ ἀγε-
νήτου καὶ αὐτάρκους βοηθείας· ἓν δὲ τῶν γενητῶν ἐςι καὶ ὁ ἀνθρώπινος νοῦς· οὐκ ἄρα αὐ-
τάρκης, ὅθεν καὶ ἐπιδεής ἐςι τῆς τοῦ θεοῦ βοηθείας· ἧς ἄνευ ἐνεργῆσαί τι τῶν κρειττόνων,
οὐχ' οἷος τέ ἐςι· διὸ χρὴ τὸν εὖ πράττοντα, τῷ τῆς ἰσχύος χορηγῷ ἀνατιθέντα τὸ κατόρθωμα,
λέγειν· οὐκ ἐγὼ τάδε ἔπραξα, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί· τῷ γε μὴν ἑαυτῷ ἐπιγρά-
φοντι τῶν κατορθωμάτων τὴν αἰτίαν, καὶ κατεπαιρομένῳ τῶν ἀδελφῶν ὡς ἀμελῶν, διὰ τοῦ
Παύλου ὀνειδίζων ὁ Χριστὸς ἐπιφθέγγεται· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλα-
βες, τί καυχᾶσαι ὡς μὴ λαβών; ἀλλ' ἐν τούτοις μὲν ὁ φίλαυτος φαρισαῖος, καὶ ταῦτα
ἐφ' ἑαυτῷ σοβαρευόμενος, ηὔχετο· ὁ δὲ τελώνης, ἐν τίσιν; ἄκουε πάλιν τοῦ εὐαγγελιστοῦ
λέγοντος· καὶ ὁ τελώνης μακρόθεν ἑστὼς κ. τ. λ.

v. 23. p. 247. b. Ἀνεπιγράφου. Ἐπεὶ δὲ ἤκουσεν ὡς χρὴ ἀποθέσθαι τὰ χρήματα, ἐλυπήθη· ἐτάθη γὰρ
τὸν νοῦν ὑπὲρ δύναμιν· καὶ ὡς κάλως ἐῤῥάγη, ὅτι ἀτονωτέρα ἦν ἡ προαίρεσις, καὶ ἀσθενέ-
στερον διέκειτο. λέγει δὲ τὸ ἐπιτακτικὸν ῥῆμα ὁ εὐαγγελιςὴς, ὅτι ἦν σφόδρα πλούσιος· ἵνα
δείξῃ τὴν αἰτίαν τῆς λύπης· μὴ ἀνασχόμενος γὰρ ἀποθέσθαι τὴν πολλὴν ἐκείνην περιουσίαν,
ἀπῆλθε λελυπημένος.

v. 24. p. 249. a. Τοῦ αὐτοῦ. Τοιοῦτον καὶ τὸ κυρίου· δυσκόλως γάρ, φησιν, οἱ τὰ χρήματα ἔχοντες, εἰς
τὴν βασίλειαν εἰσελεύσονται, ἐπειδὴ οὐ δύνανται ὡς μὴ ἔχοντες εἶναι· ἀλλὰ πεποίθασιν ἐφ'
οἷς ἔχουσι, οἳ οὐδὲ δύνανται ἀποθέσθαι ταῦτα· διὸ καὶ ἄβατος αὐτοῖς ἡ βασιλεία· τάχα δὲ
δύο εἰσάγει τάγματα ὁ κύριος· καὶ τοῖς μὲν ἔχουσι τὰ χρήματα, τὸ δυσχερὲς τοῦ κατορ-
θώματος ἔδωκε· τοῖς δὲ ἠλπικόσιν ἐπὶ πλούτῳ, τὸ ἀδύνατον.

p. 250. a. Νικήτου τοῦ παφλάγωνος. Καρδιακῇ γὰρ διαθέσει τῷ ἀργυρίῳ προσπεπερονημένης αὐτῷ
τῆς ψυχῆς, καί τινα τρόπον προσκεκολλημένης, καὶ ἓν γενομένης ἐπὶ αὐτῷ, οὐκ ἐβούλετο
εὐχερῶς τοῦ φιλουμένου διασπᾶσθαι, εἰ μὴ μετὰ μείζονος πόνου· ὥσπερ καὶ μελῶν σώματος
βιαίως ἀφαίρεσις γίνεται διαιρουμένης συμφυΐας.

Ἀστερίου. Ἕτερος οὗτος ἐστὶν ὁ τυφλὸς, παρὰ τὸν ἐκ γενετῆς, οὗ Ἰωάννης μέμνηται (1)· ἐκεῖ- v. 35. p. 251. a.
νον θεασάμενος ὁ σωτὴρ, ἔστη, καὶ πρὸς τὴν θεραπείαν ἕτοιμος ἦν, θεραπείαν ἀνθρωπίνης σοφίας καὶ τέχνης κρείττονα· ἰατρικὴ μὲν γὰρ καὶ ὁ κατ' αὐτὴν λόγος, ἐκείνοις τῶν νοσημάτων ἐπιβάλλει τὴν θεωρίαν, ὅσα τῆς φύσεως ἀπαρτισάσης τὸ ζῶον· καὶ εἰς φῶς προαγαγούσης χρόνοις ὕστερον κατά τινας περιστάσεις ἐπισυμβαίνει· τῆς δὲ συντεχθείσης τῷ σώματι λώβης οὐκ ἐπαγγέλλεται θεραπείαν· ἀλλ' οὐδὲ πάντων παθῶν τῶν εἰς ὕστερον συμβαινόντων· οὔτε γὰρ ἠκρωτηριασμένοις μέλη ἀνεσώσατο, οὔτ' ἄλλό τι παραπλήσιον θεραπεύειν ἀναδέχεται· διόπερ οἱ μαθηταὶ τότε τὸ πάθος κατελεήσαντες, καὶ βλέποντες ἄνθρωπον τῆς καλλίστης ἡδονῆς τοῦ φωτὸς μὴ γευσάμενον, τὴν αἰτίαν ἐπυνθάνοντο· ἀλλ' οὐκ ἐπιστημόνως προσῆγον τὴν ἐρώτησιν· οὔτε γὰρ ἂν ὑπὲρ τῶν πατέρων οὐδενὸς ὢν ἔνοχος ὁ παῖς κατεγνώσθη, οὔτε μὴν ἰδίων πλημμελημάτων, ὁ μήπω προελθὼν εἰς τὸν βίον ἀπέτισε δίκας· ὁ δὲ Χριστὸς τὸ πάθος φησὶ τοῦ τυφλοῦ, οὐχ' ἁμαρτημάτων ἐστὶν ἀντίδοσις, ἀλλ' ἑτοιμασία μελλούσης οἰκονομίας, ἄλλά τε διαπραττούσης, καὶ ὅπως ὁ κτίστης τῶν ὅλων μετὰ τὴν πρώτην ποίησιν εὕρῃ καὶ νῦν τοῦ δημιουργεῖν ἀφορμὰς, ἐκ δὲ τῶν μερικῶν, καὶ τὸ καθόλου πιστώσηται· ἀνθρώπου γὰρ μέρος καὶ μέρος τὸ κάλλιστον, οὐκ ἂν ἐποίησεν ἄλλος, εἰ μήγε ὁ τῆς πρώτης ἀρχῆς τοῦ γένους τὴν δημιουργίαν ἐπιδεδειγμένος· αὐτουργεῖ γοῦν τὴν θεραπείαν ὁ κύριος· οὐ λόγῳ μόνον ὥσπερ πολλαχοῦ, ἀλλὰ καὶ στόματι, καὶ χειρὶ, καὶ ἄλλῃ προνοίᾳ, ἵνα διὰ πολλῶν πραγμάτων τὴν πίστιν τοῖς ἀπίστοις ἐνεργάσηται· πτύει δὲ, καὶ πηλὸν ποιεῖ· τῇ μὲν γῇ συγχρώμενος, ἵν' ὅθεν τὸ ὅλον κατ' ἀρχὰς ἐπλάσθη ζῶον, καὶ τὸ μέρος δείξῃ πλαττόμενον· σιάλῳ δὲ παριστῶν, ὡς τῇ δυνάμει τοῦ στόματος αὐτοῦ ὁ λόγος πάντα κατώρθωσεν· εἰ δὲ καὶ τοῦτο συνιδεῖν ἐθέλοις, ἵν' εὐλαβεῖσθαι παρασκευάσῃ τοὺς μέλλοντας μικρὸν ὕστερον τοῖς πτύσμασιν ὑβρίζειν αὐτὸν, εἰ καὶ τὸ τῶν μαινομένων θράσος μεῖζον ἦν καὶ προνοίας πάσης καὶ διορθώσεως· ὁ δὲ Σιλωὰμ, τὴν δι' ὕδατος σωτηρίαν ἡμῖν προοιμιάζεται ἣν πᾶσιν ὁ ἀπεσταλμένος ἡμῖν ἐχαρίσατο Σιλωάμ· τότε γὰρ ὡς ἀληθῶς βλέπομεν, ὅταν τῷ μυστικῷ καθαρθώμεθα ὕδατι· τότε μὲν οὖν ὀφθαλμοὶ ἐκτίσθησαν αὐτοσχέδιοι, ἵνα τὰς μικροπρεπεῖς ἐννοίας, τὰς ἐκ τῆς σαρκὸς ἐγγινομένας ἡμῖν περὶ τοῦ μονογενοῦς, ἀποθώμεθα· καὶ τῇ μεγαλουργίᾳ τῶν γινομένων, τῆς ψυχῆς ἐκβαλόντες πᾶσαν ταπεινὴν ὑπόληψιν καὶ χαμαίζηλον, γνωρίσωμεν ὅτι τὸ μακάριον φῶς καὶ κάλλος τῆς θεότητος, ὀστράκινον σκεῦος ἐδέξατο, διακονοῦν ἡμῖν κατὰ τοὺς λύχνους τὴν λαμπηδόνα· οὐδὲν δὲ τοὺς ἀγνώμονας καὶ ἀχαρίστους ἰουδαίους ἦγεν εἰς συναίσθησιν, οὐ λόγος, οὐ πρᾶξις, οὐ θαυματουργήματα, ἀλλὰ καὶ αὐτὰ ταῦτα πρὸς σωτηρίαν παρακαλοῦντα αὐτοὺς, πᾶσι τρόποις ἀφανίζειν ἐπεχείρουν, εἰ καὶ πρὸς τὸ ἐναντίον αὐτοῖς ἡ κακουργία περιετρέπετο· ὅσῳ γὰρ ἠπίστουν, καὶ προσερωτῶντες ἀνατρέπειν ἐσπούδαζον, τοσούτῳ πλέον ἐβεβαιοῦτο ἡ ἀλήθεια· πρώτη αὐτοῖς πολυπραγμοσύνη, εἰ αὐτὸς οὗτος ἐστὶν ὁ τυφλός· δευτέρα εἰ ἐκ γενετῆς ἦν τυφλὸς· καὶ ὁ ἰαθεὶς, τὸν σώσαντα ἐβόα· καὶ τῇ ὁμολογίᾳ τὴν χάριν ἀντεδίδου τῆς ἰάσεως· ἀπίστων πατέρων ὅμοιοι παῖδες· καὶ γὰρ καὶ οἱ τεκόντες ἐκ πολέμων παρ' ἐλπίδας ἐσώζοντο· καὶ τὸ διδόντι τὴν σωτηρίαν ἠπίστουν· ἐτρέφοντο τροφαῖς ὑπερβαινούσαις τὴν φύσιν, καὶ τῶν λιμωττόντων

(1) De caeco nato confer sis homiliam Asterii nostri apud Combefisium Auctar. T. I. Etenim eius aliquot loci infra recitantur.

πάλιν ἦσαν ἀχάριστοι· ὄντως κληρονόμοι καὶ αὐτοὶ τῆς τῶν πατέρων ἀγνωμοσύνης· οὐ ῥάβδου καρύϊνης εἰς ἐπιστασίαν, ἀλλὰ σιδηρᾶς χρῄζοντες.

Τοῦ αὐτοῦ. Ἀλλὰ τούτων μὲν ἅλις· ὅτι δὲ ὁ τυφλὸς οὗτος, ἕτερος παρὰ τὸν ἐκ γενετῆς, δῆλον μὲν καὶ ἑτέρωθεν, μάλιστα δὲ ἐντεῦθεν· ἐκεῖνον μὲν γὰρ ἐξιὼν ἐκ τοῦ ἱεροῦ, ἐθεράπευσε· τοῦτον δὲ, ἐγγίζων εἰς Ἱεριχώ· κἀκεῖνον μὲν, οὐ παρακληθεὶς τῷ ἐκπτύσματος πηλῷ καὶ τῷ τοῦ Σιλωὰμ ὕδατι, ὠμμάτωσε· τούτῳ δὲ ἱκετεύσαντι, τὸν λύχνον τοῦ σώματος ἐσβεσμένον ἀνῆψε, λόγῳ μόνῳ χρησάμενος· ἐν δὴ τῷ ὀφθαλμῷ μικρᾷ μορίου καὶ μέλους περιγραφῇ, τὴν παντοδύναμον καὶ ποικίλην τοῦ Θεοῦ σοφίαν ἔςι κατόψεσθαι, τοσαύτην ἐπιδειξαμένου τὴν φιλοτιμίαν τῆς τέχνης· πρῶτον μὲν γὰρ αὐτῷ χάρις τὶς ἐπικέχυται· καὶ ἔςιν ἁπαλώτατός τε καὶ ἄσαρκος, ὡς ἂν εἴποι τις, ἐν τῷ τρυφερῷ τὸ στερεὸν ἔχων, καὶ ἐν τῷ μαλακῷ τὸ διατεταμένον· καὶ ποικίλως διήνθισται ταῖς χρόαις· τὸ γοῦν μέσον αὐτοῦ, τὴν περιγραφὴν ἔχει τοῦ μέλανος· καὶ ταύτην οὐδ' ὅλου μονοειδῆ, ἀλλὰ ποικίλοις τισὶ κύκλοις συνδεδεμένην· τοῦ κέντρου μὲν αὐτοῦ καὶ μέσου τὸ βαθύτερον ἔχοντος· τῆς δὲ ἔξω περιφερείας, πρὸς τὴν ξανθοτέραν κατὰ μέρος ἀπολληγούσης βαφήν· ταύτην ἔξωθεν τὸ λευκὸν περιβέβληται ςιλβὸν καὶ διαυγές· οὐκ ἄκρατον ἔχον τὴν λευκότητα ἀλλ' ἐν κρυςαλλοειδεῖ τινὶ καὶ διαυγαζούσῃ πεποιημένον τῇ μορφῇ· τὸ ἐρυθρὸν κεῖται περὶ τὴν κόρην, ἵνα τῷ λευκῷ καὶ τῷ μέλανι κεράσῃ τὴν χάριν· ἐπὶ τούτοις οὕτως ἐςὶ διαυγὴς καὶ λεῖος ἐν τῇ πυκνότητι, ὥστε καὶ τὰς τῶν ἐγγιζόντων εἰδωλοποιεῖν μορφάς· καὶ οἷον εἰς κάτοπτρον ἀκριβὲς ἐντυποῦσθαι τοὺς χαρακτῆρας· καὶ τὸ μέσον τοῦ κύκλου διὰ τοῦτο προσηγόρευται κόρη, ὡς ἀεὶ τὴν μορφὴν τῷ καταντικρὺ βλέποντι παραδεικνύον ἀνθρωπίνην· εἰς ἀλλήλους γ' οἱ ἄνθρωποι βλέποντες, ἀλλήλων γίνονται κάτοπτρα· θαύματος οὖν ἄξιος ἐν τοῖς κτίσμασιν ὁ ὀφθαλμός· οὗτος καὶ Θεόν μοι διερμηνεύει, πᾶσαν καταμανθάνων τὴν κτίσιν, καὶ δι' αὐτῆς τὸν τεχνίτην ἐπιδεικνὺς, καὶ ἐκ τῶν ὁρωμένων ἑρμηνεύων τῇ ψυχῇ τὰ ἀόρατα· διὰ τοῦτον ἄλλα τὲ τῆς κτίσεως ἔμαθον, καὶ χρωμάτων ποικίλην βαφὴν, σκότους τὲ κατήφειαν, καὶ φωτὸς λαμπηδόνα· ὡς εἴγε ὀφθαλμὸς μὴ ὑπῆρχεν, ἀμάρτυρος ἂν ἡ κτίσις ἐγήρασεν, οὐδενὸς καθορῶντος τὴν ἐν αὐτῇ σωζομένην τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν· διὰ ταῦτην τοίνυν τὴν θαυμαςὴν τῶν ὄψεων κατασκευὴν, ὀφθαλμοὶ καὶ νῦν τῷ τυφλῷ ἀνοίγονται.

## C A P. XIX.

v. 1. p. 252. a. Ἀνεπιγράφου. Τὸ μὲν οὖν τυφλότητος ἴασιν γεγονέναι κατὰ τὴν ὁδὸν, συμφώνως παρὰ τοῖς τρισὶν εὐαγγελισταῖς εἴρηται· ἕνα δὲ τυφλὸν Λουκᾶς τὲ φησὶ καὶ Μάρκος· δύο δὲ ὁ Ματθαῖος· τοῦτο δὲ, οὐδὲν πρὸς διαφωνίαν τῆς ἱςορίας· ἐνδέχεται γὰρ ὅτι τοῦ ἐπιφανεςέρου μέμνηνται οἱ λοιποί· τουτέςι Βαρτιμαίου, τοῦ υἱοῦ Τιμαίου, κατὰ Μάρκον· δήλη μέν τοι καὶ ἡ τιμὴ τοῦ πλήθους, ἣν εἶχον πρὸς τὸν Ἰησοῦν, οὐκ ἐπιτρέποντες τῷ τυφλῷ βοᾷν, ὥσπερ ἐπὶ βασιλέως παρόντος· ὥςε οὐδ' ἂν συνήρατο πρὸς τὴν χριςοκτονίαν ὁ λαὸς, εἰ μὴ ὑπὸ τῶν ἀρχόντων παρήχθη· βλάπτει γὰρ λαὸν ἐξουσία πονηρά.

Ἀςερίου. Ἱεριχὼ πόλις ἦν τῶν Χαναναίων μετρόπολις, ἣν ποτὲ μὲν Ἰησοῦς ὁ τοῦ Ναυῆ πολεμῶν καὶ ὀλοθρεύων κατέλαβε, νῦν δὲ ὁ ἀληθινὸς Ἰησοῦς θεραπεῦσαι παραγεγονὼς κατηξίωσε· καὶ ὁ μὲν τυφλὸς ἐφωτίσθη, ὁ δὲ δῆμος ἐπιστώθη· πᾶσα δὲ γλῶσσα τὸν Ἰη-

τοῦν ἐλάλει· καὶ τὸν τυφλὸν ἅπας ὀφθαλμὸς εἶχεν ἀναβλέψαντα, τοῦ θαύματος καὶ τῆς σωτηρίας διδάσκαλον αὐτοσχέδιον, οὐ λόγοις ἀλλ' ἔργοις ἐκπαιδεύοντα τοὺς μαθητὰς τὴν ἀλήθειαν· πᾶσα μὲν ἀδικία, κακὸν καὶ μίσους ἄξιον· ὁ δὲ τελώνης, ἀνυπέρβλητον, οὐδὲ πρόφασιν ἔχει τῆς ἁμαρτίας εἰς πρόσωπον· ἐπὶ μὲν γὰρ τῶν ἄλλων, εὑρίσκεταί τις ἀνάγκη τοῦ κακοῦ καὶ ῥίζα· ἐξ ὧν φύεται τὸ ἀδίκημα· ὁ δὲ τελώνης, θηρίον ἐςὶν ἀπροφάσιςον, λοιμὸς ταῖς λεωφόροις ἐπικαθήμενος, πεπαῤῥησιασμένη βία, ἀνεπιτίμητος ἁρπαγὴ, ἀναίσχυντος πλεονεξίας τρόπος, πραγματεία λόγον οὐκ ἔχουσα, ἀναιδὴς ἐμπορία, ἔσχατος ὅρος κακίας· ὅπερ οὖν καὶ ὁ Χριςὸς παραδηλῶν, εἰς παράδειγμα τῶν ἐσχάτων κακῶν, τὰς πόρνας καὶ τοὺς τελώνας ἄγει συνεχῶς· ἐνόσει ταύτην καὶ ὁ Ζακχαῖος τὴν νόσον, πρὶν ἐγγὺς ἔλθῃ τοῦ Ἰησοῦ, μακρῷ τῆς ἀῤῥωςίας τοῦ ἱεριχουντίου τυφλοῦ ὑπάρχουσαν χείρονα· εἴ γε ὁ μὲν, σώματος· ὁ δὲ, ψυχῆς αὐτῆς ἐνόσει τὴν πήρωσιν.

Τοῦ αὐτοῦ. Μὴ δῷς ἄλλοις τὰ ἀλλότρια, ἀλλὰ τοῖς ἠδικημένοις τὰ οἰκεῖα ἀποκατά- v. 8. p. 253. a.
ςησον· οὐ γὰρ προσδέχεται Θεὸς ἐλεημοσύνην ἐξ ἁρπαγῆς· καλὸς ὁ τελώνης τῶν καθ' ἑαυτὸν κριτὴς καὶ οἰκονόμος, εἴ τινός τι, φησὶν, ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν, οὐκ ἄλλοις ἄμισθον γὰρ τοῦτο καὶ ἀπρόσδεκτον Θεῷ, ἀλλ' αὐτοῖς τοῖς συκοφαντηθεῖσιν.

Τοῦ αὐτοῦ. Πῶς οὖν ἐκ τοῦ Ἀβραὰμ ὁ ἐξ Ἱεριχὼ τῆς Χανανίτιδος; τί κοινὸν Ἀβραὰμ v. 9. p. 254. a.
εἰς γένος καὶ χαναναίοις; ἢ δῆλον, ὡς εἰ καὶ μὴ τῇ σαρκὶ ἦν υἱὸς Ἀβραὰμ, ἀλλὰ τοῖς ἤθεσιν καὶ τοῖς ἔργοις ἅμα τῷ Χριςῷ, τῶν ἐκ σπλάγχνων προελθόντων τοῦ πατριάρχου μακρῷ γνησιώτερος παῖς καὶ γέγονε καὶ ἐπεγνώσθη· οὕτω καὶ ὁ ἀπόςολος, υἱὸν ἐκάλεσε τὸν Ἐλύμαν διαβόλου· καὶ ὁ κύριος, ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐςὲ, τοῖς ἰουδαίοις εἶπε· καὶ ὁ Ζακχαῖος οὖν, ἐπειδὴ τὴν Ἀβραὰμ ἐμιμήσατο πίςιν, ὡς γὰρ ἐκεῖνος κληθεὶς ἀφῆκε τὴν πατρίδα, οὕτως καὶ οὗτος τὸ τελώνειον καὶ τὸν ἐκεῖθεν κατέλιπε πλοῦτον, εἰκότως υἱὸς Ἀβραὰμ ἀνακεκήρυκται, διά τε τὴν πίςιν καὶ τὸ περὶ τὰ χρήματα μεγαλόψυχον, καὶ ἁπλῶς, τὴν τοῦ τρόπου ὁμοιότητα.

Μακαρίου. Καὶ ἐπὶ τὰ ὀλίγα ταῦτα φησὶ τὰ πρόσκαιρα πιςὸν φανέντα, ἐπὶ πολλῶν v. 17. p. 258. b.
σε καταςήσει ὁ δεσπότης, τουτέςιν ἐπὶ τῶν μελλόντων ἀγαθῶν.

Ἐφραίμ. Ἐπειδὴ δὲ γέγραπται τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δο- v. 26.
κεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ, τί ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; μὴ γένοιτο· ἄκουε παραβολὴν περὶ τούτου· οἰκοδεσπότης ἦν ἐν χώρᾳ τινὶ, καὶ εἶχε δύο δούλους, καὶ τρία ζεύγη βοῶν· καὶ ἔδωκεν ᾧ μὲν, τὰ δύο ζεύγη· ᾧ δὲ, τὸ ἓν· καὶ εἶπε πρὸς αὐτοὺς· πορευθέντες, ἐργάσασθε ἕως ἔλθω πρὸς ὑμᾶς· καὶ πορευθεὶς ὁ τὰ δύο ζεύγη εἰληφὼς, εἰργάσατο ἐν ταῖς βουσὶ, καὶ ἐπλούτησεν ὁ ἄνθρωπος σφόδρα, καὶ τοὺς βόας καλῶς ἔθρεψεν· ὁ δὲ ἕτερος πορευθεὶς, ἔδησε τοὺς βόας ἐν τῇ φάτνῃ, μηδὲν παραθεὶς αὐτοῖς· καὶ ἀνακλίνας αὐτὸν, ἐκοιμήθη· εἶτα ἔρχεται ὁ κύριος τῶν δούλων ἐκείνων, θεάσασθαι αὐτῶν τὰ ἔργα, καὶ ἰδὼν τὴν ἐργασίαν, καὶ τὰ κέρδη τοῦ τὰ δύο ζεύγη εἰληφότος, εὐλόγησεν αὐτόν· μετὰ ταῦτα, παραγίνεται καὶ πρὸς τὸν ἕτερον δοῦλον, καὶ εὑρίσκει αὐτὸν μὲν καθεύδοντα, τοὺς δὲ βόας δεδεμένους ἐπὶ φάτνῃ· καὶ ἐκλείποντας λιμῷ καὶ δίψει εἶπεν οὖν ἐν ἑαυτῷ· ἐὰν ἀφήσω τοὺς βόας μου ἐπὶ τῷ ὀκνηρῷ δούλῳ τούτῳ, ἀπόλλυσιν αὐτούς· ἀφελῶ οὖν τοὺς βόας μου ἀπ' αὐτοῦ, καὶ δώσω τῷ ἐργασαμένῳ καλῶς, καὶ τημελοῦντι τὸ ἔργον αὐτοῦ· τῷ γὰρ ἔχοντι, δοθήσεται· καὶ πάλιν ὁ κύριος· ἐγὼ μὲν ἀγαθὸς ὢν, ἐκάλεσα αὐτὸν, καὶ ἔδωκα αὐ-

τῷ, ἵνα ἐργασάμενος τὸ ἀγαθὸν, κτήσηται τὴν αἰώνιον ζωήν· αὐτὸς δὲ ἐξουθένωσέ με, καὶ ἀτιμασθήσεται· καὶ ἐν τιμῇ ὢν, οὐδὲ ἐβουλήθη συνιέναι τοῦ ἀγαθῦναι· μὴ ἀδικία παρὰ τῷ θεῷ; μὴ γένοιτο.

v. 28. p. 259. a. Βασιλείου. Πλὴν τόπον ἐκ τόπου μεταμείβων ἀόκνως ὁ κύριος διὰ τὴν ἡμετέραν σωτηρίαν, διετέλει· ἅπαξ δὲ ὑποζυγίῳ, καὶ τοῦτο μόνον ἐπ' ὀλίγον, χρησάμενος φαίνεται· οὐχ' ἵνα τὸ σῶμα διαναπαύσῃ, ἀλλ' ἵνα τοῖς ἔργοις τὴν προφητείαν σφραγίσῃ.

v. 29. p. 259. b. Ἀναστασίου. Βηθφαγὴ, οἶκος σιαγόνων ἑρμηνεύεται· αἱ σιαγόνες δὲ, εἰς τύπον τοῦ λόγου τῆς διδασκαλίας λαμβάνονται, αἳ τοῖς ἱερεῦσι κατὰ τὸν νόμον ἐδίδοντο· Βηθανία δὲ, οἶκος ὑπακοῆς· Ἱερουσαλὴμ δὲ, ὅρασις εἰρήνης· οἱ δὲ πεμπόμενοι, ἀπόστολοι καὶ προφῆται, ἢ καὶ ἄγγελοι ὑπηρετοῦντες τῷ Χριστῷ πρὸς ἡμετέραν λύτρωσιν· τὸ εἶναι δύο τοὺς ἀποστελλομένους, δηλοῖ τὰς δύο διαθήκας· ἡ δὲ ἀνθρωπώνυμος κώμη, τὸν κόσμον τοῦτον αἰνίττεται, ὃς ἀπέναντι ἐστὶ τῶν ἀποστελλομένων· ἀντίκειται γὰρ ἀληθῶς τοῖς ἀκολουθεῖν καὶ μαθητεύειν θέλουσι τῷ κυρίῳ ἡ τοῦ κόσμου τούτου φιλία, κατὰ τὸ γεγραμμένον, ὅτι ἡ τοῦ κόσμου τούτου φιλία, ἔχθρα τοῦ θεοῦ ἐστιν· ἡ ὄνος δὲ ἡ δεδεμένη καὶ ὁ πῶλος, τὴν καθόλου τῶν ἀνθρώπων φύσιν αἰνίττεται, ἥ τις καὶ εἰς δύο λαοὺς γνωμικῶς διῃρέθη· τουτέστιν εἰς ἰουδαίους καὶ τὸ νέον τῶν ἐθνῶν λαὸν, οὓς ὁ κύριος βούλεται διὰ τῆς τῶν προφητικῶν καὶ εὐαγγελικῶν ῥημάτων διδασκαλίας, ἢ δι' ἀποστόλων καὶ εὐαγγελιστῶν λυθῆναι τῆς τοῦ κόσμου ματαιότητος καὶ φαντασίας, καὶ πρὸς αὐτὸν ἄγεσθαι.

v. 36. p. 260. a. Τοῦ αὐτοῦ. Τὸ μὲν οὖν στρωννύειν τὰ ἑαυτῶν ἱμάτια, τὴν ἠθικὴν δηλοῖ παίδευσιν· τὸ δὲ καὶ κλάδους κόπτειν καὶ ὑποστρωννύειν, τὸ ἐξ ἀπιστίας ὥσπερ ἐξ ἀγριελαίου ἐκκόπτειν, καὶ διὰ πίστεως ὀρθῆς ὑποτάσσειν τῷ κυρίῳ· τὸ βαΐα φοινίκων βαστάζειν, χαρακτηρίζει τὴν νίκην ἣν ὑπὲρ ἡμῶν νενίκηκε· σύμβολον γὰρ νίκης τὰ βαΐα· τὸ δὲ ὡσαννὰ, ἑρμηνεύεται χάρις καὶ δόξα τῷ υἱῷ Δαβὶδ, ἀμέλει ὁ θεῖος Λουκᾶς, ἐπὶ τούτου, δόξα ἐν ὑψίστοις εἶπε· τὸ δὲ τὸ αὐτὸ λέγειν τούς τε προάγοντας καὶ τοὺς ὄπισθεν ὄχλους, τὴν ὁμοφωνίαν σημαίνει καὶ ὁμολογίαν τῆς εἰς αὐτὸν ὀρθῆς πίστεως τῶν πρὸ τῆς ἐνσάρκου αὐτοῦ πραγματείας, καὶ τῶν μετὰ ταύτην εἰς αὐτὸν ὀρθῶς πιστευσάντων, καὶ διὰ πίστεως καὶ πράξεως καὶ γνώσεως αὐτῷ εὐαρεστησάντων.

v. 42. p. 263. b. Μακαρίου. Ὅτε δὲ ἀνεπλήρωσαν τὸν ὅρον τῶν ἁμαρτιῶν ἰουδαῖοι, καὶ ὑπερεπλεόνασαν, τὸ δεσποτικὸν ἀξίωμα τὰς χεῖρας ἐπιβάλλοντες, τότε εἰς τέλος ὑπὸ τοῦ θεοῦ κατελείφθησαν, καὶ ἤρθη ἀπ' αὐτῶν ἡ προφητεία καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία, καὶ ἐδόθη τοῖς πιστεύσασιν ἔθνεσιν, ὥς φησιν ὁ κύριος· ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.

## C A P. XX.

v. 34. p. 266. a. Ἀνεπιγράφου. Σαθρὰν τοίνυν κρηπῖδα ἑαυτοῖς ὑποστήσαντες οἱ σαδδουκαῖοι, τὴν ἐν τῇ ἀναστάσει σωματικὴν διαγωγὴν, περὶ τὸ δόγμα τῆς ἀναστάσεως ἐσφάλλοντο· τῆς κρηπῖδος δὲ διασεισθείσης, συγκατεσπάσθη καὶ τὸ δόγμα· καὶ ἠλέγχθησαν τὸν νοῦν τῶν γραφῶν παρεκδεχόμενοι· οἱ μὲν γὰρ ἐν τῷ κόσμῳ τούτῳ εἰς γάμους ἐκδίδονται, διὰ τὸ, βοήθειαν τοῦ

θνητοῦ ἐπινενοῆσθαι τὸν γάμον· ἐκεῖ δὲ τοῦ θανάτου καταργηθέντος, οὐδὲν σωματικὸν ὁρᾶται, ὅτι μὴ δὲ χρεία πληρωθῆναι τὸ λεῖπον.

## CAP. XXII.

Μακαρίου. Ἔτι τὰ κατὰ τὸν ἀμνὸν, μυςήριόν ἐςι ψυχῆς τῆς ἐν τῇ παρουσίᾳ τοῦ Χριςοῦ v. 7. p. 278. b.
λυτρωθείσης ἀπὸ τῆς δουλείας τοῦ σκότους, ἀπὸ τῶν αἰγυπτίων, ἀπὸ τοῦ ἀληθινοῦ Φαραὼ ὃς ἐπέςησε τῷ ἀνθρώπῳ τοὺς ἐργοεπιςάτας, τὰ πνεύματα τῆς πονηρίας, ἀναγκάζοντα αὐτὸν, ἑκόντα καὶ ἄκοντα, ποιεῖν τὰ πονηρὰ αὐτοῦ ἔργα, καὶ τὴν σύνταξιν ἐκπληροῦν τοῦ πηλοῦ καὶ τῆς πλινθείας· οἳ καὶ χωρίσαντες αὐτὸν τοῦ οὐρανίου φρονήματος, κατήγαγον ἐπὶ τὰ ὑλικὰ καὶ γήϊνα καὶ πηλώδη ἔργα· ἐκπεσοῦσα γὰρ τοῦ ἰδίου ὕψους ἡ ψυχὴ, εὗρε βασιλείαν μισάνθρωπον, καὶ ἄρχοντας πικροὺς, τοὺς καταναγκάζοντας αὐτὴν οἰκοδομεῖν αὐτοῖς τὰς τῆς κακίας πόλεις· ἐὰν δὲ ςενάξῃ, τότε τῆς ἀπολυτρώσεως τὴν ἀρχὴν λαμβάνει διὰ τοῦ πνευματικοῦ Μωσέως· καὶ αὐτὴ ἐν τῷ μηνὶ τῶν νέων ἀνθῶν λυτρουμένη κατὰ τὸν καιρὸν τοῦ ἔαρος, ἡνίκα ἡ γῆ τῆς ψυχῆς ἐξανθεῖν δύναται τοὺς καλοὺς καὶ ἀνθηροὺς κλάδους τῆς δικαιοσύνης, τῶν πικρῶν χειμώνων διελθόντων τῆς ἀγνοίας, τοῦ σκότους, καὶ τῆς πολλῆς πωρώσεως τῆς ἐκ τῶν αἰσχρῶν πράξεων· κελεύει δὲ τότε ἐξ ἑκάςης οἰκίας, πᾶσαν ζύμην παλαιὰν, τὰς πράξεις καὶ τὰ φρονήματα τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου· σφαγῆναι δὲ τὸ ἀρνίον καὶ τυθῆναι, καὶ τὸ αἷμα αὐτοῦ χρισθῆναι ἐπὶ τῶν θυρῶν· Χριςὸς γὰρ τὸ ἀληθινὸν καὶ ἄμωμον ἀρνίον ἐσφάγη, καὶ τὸ αἷμα αὐτοῦ ἐχρίσθη ἐπὶ τῶν φλιῶν τῆς καρδίας, ὅπως γένηται τὸ ἐκχυθὲν αἷμα ἐπὶ τοῦ ςαυροῦ, τῇ μὲν ψυχῇ εἰς ζωὴν καὶ ἀπολύτρωσιν, τοῖς δὲ αἰγυπτίοις δαίμοσιν εἰς πένθος καὶ θάνατον· εἶτα μετὰ τὸ χρίσμα, κελεύει πρὸς ἑσπέραν φαγεῖν τὸ ἀρνίον, καὶ τὰ ἄζυμα μετὰ πικρίδων, περιεζωσμένους τὰς ζώνας, καὶ ὑποδεδεμένους τὰ ὑποδήματα, καὶ ἔχοντας τὰς βακτηρίας ἐν ταῖς χερσίν· ἐὰν γὰρ μὴ πρότερον γένηται ἡ ψυχὴ παρεσκευασμένη πανταχόθεν δι' ἔργων ἀγαθῶν ὅσον ἐστὶν ἐν αὐτῇ, οὐ δίδοται αὐτῇ φαγεῖν ἀπὸ τοῦ ἀρνίου· εἰ δὲ καὶ τὸ ἀρνίον ἡδὺ, καὶ τὰ ἄζυμα καλὰ, ἀλλ' αἱ πικρίδες πικραὶ καὶ τραχεῖαι· μετὰ θλίψεως γὰρ πολλῆς καὶ πικρίας, ἐσθίει ἡ ψυχὴ ἀπὸ τοῦ ἀρνίου καὶ τῶν χρηςῶν ἀζύμων, θλιβούσης αὐτὴν τῆς συνούσης αὐτῇ ἁμαρτίας· καὶ πρὸς ἑσπέραν φησὶν ἔδεσθε αὐτό· ἡ δὲ πρὸς ἑσπέραν ὥρα, μέση φωτὸς καὶ σκότους ἐστίν· οὕτω καὶ ἡ ψυχὴ πρὸς ταύτῃ οὖσα τῇ ἀπολυτρώσει, μέση γίνεται φωτὸς καὶ σκότους, ἑςώσης τῆς δυνάμεως τοῦ θεοῦ, καὶ μὴ ἐώσης τὸ σκότος ἐπελθεῖν τῇ ψυχῇ καὶ καταπιεῖν αὐτήν· ἀπολαμβάνει γε μὴν τοῦ σκότους ἀξιοῦσα ἡ ψυχὴ τὰ ἀργυρᾶ καὶ χρυσᾶ σκεύη, ἤγουν τοὺς ἰδίους ἀγαθοὺς πεπυρωμένους ἑπταπλασίως· οἷς διακονεῖται καὶ ἐπαναπαύεται ὁ θεός· ἐσκόρπισαν γὰρ οἱ γειτονεύσαντες αὐτῇ δαίμονες, καὶ κατέσχον, καὶ διεσκέδασαν τοὺς λογισμοὺς αὐτῆς· ἀπαίρουσιν οἱ υἱοὶ Ἰσραὴλ, τὸ πάσχα ποιήσαντες· προκόπτει καὶ ψυχὴ, λαβοῦσα ζωὴν πνεύματος ἁγίου· καὶ ἀπογευσαμένη τοῦ ἀρνίου, καὶ χρισθεῖσα τῷ αἵματι αὐτοῦ, καὶ φαγοῦσα τὸν ἀληθινὸν ἄρτον τὸν ζῶντα λόγον· στύλος πυρὸς καὶ νεφέλης ἐκείνων προηγεῖτο, φυλάττον τὸ πνεῦμα τὸ ἅγιον, ὑποςηρίζει τούτους, θάλπον καὶ ὁδηγοῦν ἐν αἰσθήσει τὴν ψυχήν· ὅτι γὰρ πρῶτον ἡ ψυχὴ τοὺς αἰγυπτίους ἀποφύγῃ, προσελθοῦσα ἡ τοῦ θεοῦ δύναμις βοηθεῖ, ὁδηγοῦσα αὐτὴν ἐπὶ τὴν ἀλήθειαν· γνοὺς δὲ ὁ βασιλεὺς τοῦ σκότους τῆς

ἁμαρτίας, ὅτι ἀφίσταται τῆς βασιλείας αὐτοῦ ἡ ψυχὴ, λαβοῦσα τοὺς λογισμοὺς πάλαι κατεχομένους ταῦτα γὰρ αὐτοῦ τὰ ὑπάρχοντα, ἤλπισεν ὁ δεινὸς πάλιν αὐτὴν ἐπανιέναι πρὸς αὐτόν· μαθὼν δὲ ὅτι παντάπασι φεύγει τὴν καταδυναστείαν αὐτοῦ ἡ ψυχὴ, διὰ τῆς σφαγῆς τῶν πρωτοτόκων καὶ κλοπῆς τῶν λογισμῶν, ἀναιδέστερον προσέδραμε· φοβηθεὶς μήποτε τῆς ψυχῆς ἐκφυγούσης παντελῶς, οὐδεὶς εὑρεθῇ ὁ τὸ θέλημα αὐτοῦ καὶ τὸ ἔργον ἐκπληρῶν· καταδιώκει οὖν αὐτὴν διὰ θλίψεων, καὶ πειρασμῶν, καὶ πολέμων ἀοράτων· ἐνταῦθα δοκιμάζεται ἡ πρὸς τὸν ἐξάγοντα αὐτὴν ἐξ Αἰγύπτου ἀγάπη· παραδίδοται γὰρ πειρασθῆναι παντοδαπῶς· θεωρεῖ γὰρ τὴν δύναμιν τοῦ ἐχθροῦ, βουλομένην ἐπελθεῖν καὶ θανατῶσαι, καὶ μὴ ἰσχύουσαν· μέσος γὰρ αὐτῆς καὶ τῶν αἰγυπτίων πνευμάτων, ἕστηκεν ὁ κύριος· θεωρεῖ δὲ καὶ ἔμπροσθεν θάλασσαν πικρίας καὶ θλίψεως ἢ ἀπογνώσεως· καὶ οὔτε εἰς τὰ ὀπίσω ἀνῦσαι ἔτι ἰσχύει, ὁρῶσα ἑτοίμους τοὺς ἐχθροὺς, οὔτε εἰς τὰ ἔμπροσθεν χωρῆσαι· δειλία γὰρ θανάτου καὶ θλίψεις ποικίλαι περιέχουσαι, θάνατον ὁρᾷν ποιοῦσιν· ἀπευδοκεῖ οὖν ἑαυτὴν, τὸ ἀπόκριμα τοῦ θανάτου ἐν ἑαυτῇ ἔχουσα· ἐπειδὰν δὲ ἴδῃ αὐτὴν ὁ θεὸς δειλίᾳ θανάτου περιπεσοῦσαν, τότε δίδωσι βοήθειαν, δοκιμάζων αὐτὴν εἰ τῇ πίστει ἕστηκε· τοιαύτην γὰρ ἔθετο τὴν ὁδὸν τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν, μετὰ θλίψεως εἶναι καὶ στενοχωρίας πειρασμῶν· ὅταν οὖν ἀπαγορεύσῃ ἑαυτὴν ἡ ψυχὴ, τότε χειρὶ κραταιᾷ διὰ τοῦ ἁγίου πνεύματος τῆς ἐπιλάμψεως, ῥήσσει τὴν δύναμιν τοῦ σκότους, καὶ διέρχεται ἡ ψυχὴ τοὺς φοβεροὺς τόπους, διαπεράσασα τὴν θάλασσαν τοῦ σκότους καὶ τοῦ παμφάγου πυρός· ταῦτα μυστήριά ἐστι ψυχῆς, ἀληθῶς γινόμενα ἐν ἀνθρώπῳ σπουδάζοντι ἐλθεῖν πρὸς τὴν ἐπαγγελίαν τῆς ζωῆς, καὶ λυτρουμένῳ ἐκ τῆς βασιλείας τοῦ θανάτου, καὶ λαμβάνοντι ἀῤῥαβῶνα παρὰ θεοῦ, καὶ πνεύματος ἁγίου μετέχοντι· εἶτα ῥυσθεῖσα ἡ ψυχὴ, καὶ τὴν πικρὰν θάλασσαν διελθοῦσα, καὶ ὁρῶσα τοὺς πολεμίους ἀπολλυμένους, οἷς τὸ πρὶν ἐδούλευεν, ἀγαλλιᾶται· καὶ ᾄδει καινὸν ᾆσμα τῷ θεῷ, διὰ τοῦ τυμπάνου ἤγουν τοῦ σώματος, καὶ τῶν τῆς κιθάρας ἢ τοι ψυχῆς λογικῶν χορδῶν, καὶ λεπτοτάτων λογισμῶν, καὶ τοῦ πλήκτρου τῆς θείας χάριτος, καὶ ἀναπέμπει αἴνους τῷ ζωοποιῷ Χριστῷ· ὡς γὰρ δι' αὐλοῦ τὸ πνεῦμα διερχόμενον λαλεῖ, οὕτω διὰ τῶν ἁγίων καὶ πνευματοφόρων ἀνθρώπων τὸ πνεῦμα τὸ ἅγιον ἐστὶν ὑμνοῦν καὶ ψάλλον, προσευχόμενον τῷ θεῷ ἐν καθαρᾷ καρδίᾳ· δόξα τῷ ῥυσαμένῳ τὴν ψυχὴν ἐκ τῆς δουλείας Φαραὼ, καὶ εἰσαγαγόντι αὐτὴν εἰς βασιλείαν ζωῆς αἰωνίου· τοσαῦτα περὶ τοῦ πάσχα διαλαβόντες, ἐπὶ τὰ ἑξῆς πρoΐωμεν.

p. 279. b· Ἀνεπιγράφου. Ἀλλὰ φάγωμεν καὶ ἡμεῖς τὸ πάσχα, νοητῶς ὑπερβαίνοντες τὰ πάθη, ὡς ἐν ἡμέρᾳ ἀζύμων, τῇ ἐν φωτὶ διαγωγῇ, μηδὲν ἐχούσῃ τῆς παλαιᾶς καὶ ἐξώλους κακίας, ὑπὸ δυοῖν ἡτοιμασμένον, πράξεως καὶ θεωρίας, ζήλου θερμοτάτου, καὶ εἰρηνικῆς πρᾳότητος· βίου ἀγαθοῦ, καὶ δογμάτων ὀρθῶν, εἰς συνάντησιν ἄνθρωπος, ἡ ὄντως ἀνθρώπινη κατάστασις, τῷ πρὸς συντριβὴν εὐκόλῳ τῆς καρδίας, τὴν τοῦ πνεύματος χάριν δεχομένη· ᾗ ἀκολουθοῦντες, εἰς τὴν τοῦ νοῦ ἑστίαν ἡξόμεθα· ἧς ὁ οἰκοδεσπότης νοῦς, τὴν ὑψηλὴν ἡμῖν ὑποδείξει χώρησιν ἐστρωμένην, τουτέστιν οὐδὲν τραχὺ οὐδὲ σκολιὸν ἔχουσαν· ἐν ᾗ ὁ Ἰησοῦς μετὰ τῶν μαθητῶν αὐτοῦ, οἵ τινές εἰσιν οἱ λόγοι τῶν γεγονότων, τελεῖ τὰ μυστήρια· ὅταν γὰρ ἐν ἡμῖν ἐνεργῇ ὁ λόγος τὴν τοῦ πάσχα μετάληψιν, συνήσομεν εἴτουν συνεστιαθησόμεθα καὶ τοὺς λόγους τῶν γεγονότων· δυοῖν μέν τοι δοκεῖ ποτηρίων ὁ Λουκᾶς μνημονεύειν· καὶ ἓν μὲν, φησι, λάβετε καὶ διαμερίσατε ἑαυτοῖς, ὃ τύπος ἐστὶ τῆς παλαιᾶς διαθήκης τάχα· ἕτερον

δὲ μετὰ τὸ κλάσαι τὸν ἄρτον καὶ διανείμασθαι, αὐτὸς διανέμει τοῖς μαθηταῖς, ὃ καὶ τῆς καινῆς καλεῖ διαθήκης· πρῶτον δὲ ὁ ἄρτος, εἶτα τὸ ποτήριον· πρότερον γὰρ ἐπίπονος πρᾶξις καὶ δυσκατέργαστος· εἶτα μετὰ τὸν πόνον, ἡ εὐφροσύνη τῆς τοῦ θεοῦ ἕπεται χάριτος· ἴσως δὲ ἐπεὶ ἐν τῇ κοινῇ τροφῇ ὄχημα τῆς ξηρᾶς τροφῆς ἡ ὑγρὰ τροφὴ γίνεται, ταύτην τὴν συνήθειαν καὶ ἐν τῇ μυστικῇ τροφῇ ἐτήρησεν.

Μακαρίου. Τοῦτο εὑρίσκομεν ὅτι καὶ ἐπὶ τῆς γῆς ἐγένετο· ἔπεμψε γὰρ τὸ πνεῦμα εἰς v. 30. p. 283. b.
τοὺς ἀποστόλους, καὶ τὴν ἁγίαν δύναμιν, ἡ ἐλθοῦσα ἀνεκάθισεν εἰς τοὺς θρόνους τῶν νοημάτων αὐτῶν· καὶ οἱ παρεστηκότες εἶπον, γλεύκους εἰσὶ μεμεστωμένοι· Πέτρος οὖν ἤρξατο κρίνειν αὐτοὺς, λέγων περὶ τοῦ Ἰησοῦ, ὅτι ἄνδρα δυνατὸν ἐν λόγῳ καὶ σημείοις ὑμεῖς ἐσταυρώσατε· ὁρᾷς πῶς ἐφάνη ἀρχὴ κρίσεως; ὧδε γὰρ ἐδόθη αὐτοῖς ἐξουσία καθεσθῆναι ἐν τῷ κόσμῳ τούτῳ καὶ κρίναι· καίτοι μελλόντων αὐτῶν καθέζεσθαι καὶ ποιεῖν κρίσιν, ἐπὶ τῆς παρουσίας τοῦ κυρίου ἐν τῇ ἀναστάσει νεκρῶν.

Τοῦ αὐτοῦ. Τά γε μὴν τέκνα τοῦ αἰῶνος τούτου, ἐοίκασι τῷ βεβλημένῳ ἐν τῷ σινείῳ· v. 31. p. 284. a.
σινιαζόμενοι ἐν ἀστάτοις λογισμοῖς τοῦ κόσμου, καὶ σάλῳ ἀπαύστῳ γηΐνων ἐπιθυμιῶν τὰς ψυχὰς, κλυδωνίζοντος τοῦ σατανᾶ καὶ ταράσσοντος πᾶν τὸ ἁμαρτωλὸν γένος ἐπὶ τῆς τοῦ Ἀδὰμ ἐκπτώσεως παραβάντος τὴν ἐντολὴν, καὶ ὑπὸ τὸν ἄρχοντα τῆς πονηρίας γεγονότος, καὶ παραδόντος αὐτῷ τὴν ἐξουσίαν· διὰ τοῦτο, καὶ ἄρχων τοῦ αἰῶνος τούτου ὠνομάσθη, καὶ λοιπὸν ἀπαύστοις λογισμοῖς ἀπάτης συνιάζει ὁ πονηρὸς πάντας τοὺς υἱοὺς τοῦ αἰῶνος τούτου· καὶ ὥσπερ ἄλλο ἐστὶν ὁ σῖτος, καὶ ἄλλο τὸ σινεῖον, καὶ ἄλλος ὁ σινιάζων, οὕτως διὰ τῶν γηΐνων πραγμάτων καὶ τῶν ὑλικῶν ἐπιθυμιῶν, πάντας ἀνθρώπους ὁ τῆς πονηρίας ἄρχων κατέχει, σαλεύων καὶ κινῶν, καὶ προσκόπτειν ποιῶν, καὶ αἰχμαλωτίζων πᾶν τὸ ἁμαρτωλὸν γένος, καθὼς ὁ κύριος τοῖς ἀποστόλοις τὴν τοῦ πονηροῦ κατ' αὐτῶν ἐπανάστασιν ἔσεσθαι προέλεγεν· ἐξῃτήσατο γάρ φησιν ὑμᾶς ὁ σατανᾶς σινιάσαι ὡς τὸν σῖτον.

Μάρκου μοναχοῦ. Καὶ ὅτι χρὴ ἀσφαλίζεσθαι λόγον ἀπὸ καυχήσεως, καὶ λογισμὸν ἀπὸ v. 33. p. 284. b.
οἰήσεως· ἵνα μὴ παραχωρηθέντες, πράξωμεν τὰ ἐναντία· οὐ γὰρ ἐξ ἀνθρώπου μόνου τελεσιουργεῖται τὸ ἀγαθὸν, ἀλλὰ μᾶλλον ἐκ τοῦ παντεπόπτου θεοῦ.

Ἀνεπιγράφου. Σαφέστερον δὲ εἰπεῖν, τὸ ἀνεξίκακον πρὸς τοὺς ἀδικοῦντας, ἔργῳ παιδεύων v. 36. p. 286. b.
τοὺς μαθητὰς, καὶ ὡς πάλαι μὲν ἦν ἀνειμένη μάχαιρα πρὸς τιμωρίαν, νυνὶ δὲ ἤδη κωλύεται, συγχωρεῖ μὲν μάχαιραν λαμβάνειν, ἐπιόντων εἰς θάνατον ἕλκειν αὐτὴν βουλομένων· χρησαμένους δὲ τῇ μαχαίρᾳ, διακωλύει, καὶ τὸν πληγέντα ἰᾶται· ἔργῳ διδάξας, ὅτι μηδένα ἄνθρωπον βλάπτειν προσήκει· δείκνυσι μὲν γὰρ ἐκ τῶν προλαβόντων, ὅτι ῥᾴδιον αὐτῷ καὶ εἰρήνην παρέχειν τοῖς ἑαυτοῦ, καὶ πᾶσαν πορείαν ἐππήλατον ἀνιέναι· καὶ τὴν πανταχοῦ καταγωγὴν, οἰκίαν παρέχειν· ὡς ἀνενδεεῖς εἶναι, μηδὲν ἐφόδιον ἐπαγομένους ἐν ἀποδημίαις· δείκνυσι δὲ, ὅτι καὶ πολέμους ἐπιτρέπει κατ' αὐτῶν γίνεσθαι· καὶ ἐν τοῖς πολέμοις, οὐκέτι τὰ τῆς εἰρήνης ἀνειμένα δύναται· ἀλλὰ καὶ ἐφοδίων δεῖ καὶ μαχαίρας κατὰ τὸ σύνηθες πρός γε λῃστὰς καὶ τοὺς ἐπιόντας· οἷον δὴ καὶ τὸ, μικρὸν ὕστερον γενησόμενον κατ' ἐμοῦ· πρὸς ἅπερ εἰπόντων τῶν μαθητῶν, ὅτι πάρεισιν αὐτοῖς μάχαιραι δύο, ἱκανὸν εἶναι ἔφησε· τοῦτο δηλῶν ὡς ἐνδείξεως ἕνεκα τοῦ μὴ χρῆναι πολεμεῖν διὰ ξίφους, ἄχρι δύο μαχαιρῶν ἐξαρκεῖν ἔφησεν, ἅπερ οὐκ ἐξήρκουν πρὸς τοσοῦτον πλῆθος, εἴπερ πολεμεῖν καὶ ἀμύνεσθαι κατὰ κράτος ἐχρῆν· καὶ δόξει μὲν καθόλου συγχωρεῖν τὸ χρῆσθαι μαχαίρᾳ, διὰ τοῦ λέγειν· ὁ

μὴ ἔχων, πωλήσει τὸ ἱμάτιον αὐτοῦ, καὶ ἀγοράσει μάχαιραν· μικρὸν δ' ὕστερον ἐπέδειξεν, ὡς οὐ καθόλου τὸ τοιοῦτον λέγει, ἀλλὰ μέχρι τῆς τότε τῶν ἰουδαίων ἐπαναστάσεως, τὴν παραχρῆμα χρῆσιν ἐπέτρεψεν εἰς τὴν καθόλου κώλυσιν· ὡς γὰρ προσῆλθεν ὁ προδότης, καὶ τῷ φιλήματι τὸν κύριον ἐμήνυσεν· ἰδόντες, φησὶν, οἱ περὶ τὸν κύριον τὸ ἐσόμενον, εἶπον αὐτῷ, κύριε εἰ πατάξομεν ἐν μαχαίρᾳ· καὶ πατάξαντος ἑνὸς, εἶπεν ἕως τούτου· αὕτη τοῦ σωτῆρος ἡ φωνὴ, τὴν νομικὴν ἀπέπαυσε μάχαιραν· τοῦτο τὸ ῥῆμα τὸ, ἕως τούτου, φέρειν ἀδικουμένους καὶ ἄχρι θανάτου, διδάσκει· μεταβάλλει γὰρ τὴν ἀρχαίαν συνήθειαν, νόμῳ καινῷ.

Ὑπατίου. Ἴσως δὲ πνευματικὴν χρὴ νοῆσαι τὴν μάχαιραν, ἀλλ' οὐκ αἰσθητήν· πρῶτον μὲν γὰρ εἰ μὴ ἐβούλετο, οὐκ ἂν ἑάλω· παρ' αὐτὸ γοῦν τὸ πάθος, ὡς ἠρώτησε μόνον τοὺς ἐπιόντας τίνα ζητεῖτε, ὦσεν αὐτοὺς ὀπίσω· ἔπειτα τῷ Πέτρῳ παίσαντι τὸν δοῦλον τοῦ ἀρχιερέως, ἐπετίμησε, κἀκείνῳ τὸ ὠτίον ἀποκατέστησε· καὶ τοῖς μαθηταῖς δὲ αἰσθητῶς νοήσασι τὸ περὶ τῆς μαχαίρας, ἱκανόν ἐστιν ἔφη· οὐχ' ὡς τῶν δύο μαχαιρῶν ἀρκουσῶν, ἀλλ' ὡς εἰ ἔλεγεν· ἱκανούσθω ὑμῖν τὸ οὕτως αἰσθητῶς νοεῖν τὰ παρ' ἐμοῦ πνευματικῶς λεγόμενα.

v. 40. p. 287. b. Τοῦ αὐτοῦ. Ἔστι δὲ λογικῆς τε καὶ νοερᾶς ψυχῆς ἴδιον, τὸ τὰ μέλλοντα δείματα προορᾷν, καὶ ὑπὲρ τούτων λυπεῖσθαι καὶ ἀδημονεῖν· εἰ καὶ ἄλλοθεν ἔξεστι τὰς τῆς τοιαύτης ἀληθοῦς ὁμολογίας ἀποδείξεις ποιήσασθαι.

v. 41. p. 288. a. Τοῦ αὐτοῦ. Ὡς ἄνθρωπος οὖν καὶ ὁ Χριστὸς θεὶς τὰ γόνατα, προσεύχεται τῷ πατρὶ, τὰ καθ' ἡμᾶς μέτρα τῆς ἐνανθρωπήσεως ἑαυτοῦ φυλάττων, ἅπερ ἑκουσίως αὐτὸς εἵλετο· καὶ ἡμεῖς δὲ γόνυ κλίνοντες, ἔργῳ δείκνυμεν, ὅτι διὰ τῆς ἁμαρτίας εἰς γῆν κατεῤῥύημεν, καὶ ἀνιστάμενοι πάλιν, ὅτι διὰ τῆς θείας φιλανθρωπίας εἰς οὐρανὸν ἀνεκλήθημεν· οὔτε δὲ ἐν κυριακῇ οὔτε ἀπὸ τοῦ πάσχα ἕως τῆς πεντηκοστῆς, γόνυ κλίνομεν· ἐπειδὴ ἡ ἀναστάσιμος ἡμέρα, εἰκών ἐστι τοῦ μέλλοντος αἰῶνος· καὶ πάλιν ἡ πεντηκοστὴ ὀγδόη οὖσα κυριακὴ, τὴν αὐτὴν αἰτίαν ἔχει· καὶ γὰρ καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κυριακὴ ἡμέρα, καὶ πρώτη καὶ ὀγδόη λέγεται· καὶ τοῦτον τὸν τύπον ὁ ψαλμῳδὸς φυλάττων ἐν πολλοῖς τῆς ὀγδόης ἐμνήσθη· καὶ πάσας δὲ τὰς ἕως τῆς πεντηκοστῆς ἡμέρας ἐν ὀκτὼ κυριακαῖς οὔσας εἰς τὴν αὐτὴν συνάγουσιν αἰτίαν· οἱ δὲ τὴν ἀνάστασιν τοῦ Χριστοῦ, τῇ παρουσίᾳ τοῦ παρακλήτου ἐπισυνάπτουσι· καὶ ἁπλῶς τὴν ὅλην πεντηκοστὴν, ἀναστάσιμον φασί· ἀναστάσεως οὖν εἰκὼν ὑπογραφομένη καὶ αἰῶνος ἀτελευτήτου, κελεύει ἡμᾶς ἑστῶτας προσεύχεσθαι, τὴν ἄπαυστον ἐκείνην καὶ ὄντως ἑστῶσαν ζωὴν καὶ ἀνέσπερον καὶ ἀδιάπτωτον καὶ ἀκατάληπτον σημαίνουσα· ἔχει δέ τινα καὶ θεωρίαν, ὡς τῶν συναναστάντων τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος, τὰ ἄνω ζητεῖν ὀφειλόντων, καὶ οἱονεὶ τὸν νοῦν ἀπὸ τῶν παρόντων εἰς τὰ μέλλοντα μετοικίζειν.

p. 290. a. Ἀμφιλοχίου. Διάκρινόν μοι λοιπὸν τὰς φύσεις, τήν τε τοῦ θεοῦ τήν τε τοῦ ἀνθρώπου· οὔτε γὰρ κατ' ἔκπτωσιν ἐκ θεοῦ γέγονεν ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου θεός· θεὸν γὰρ καὶ ἄνθρωπον λέγω· ὅταν δὲ τὰ παθήματα σαρκὶ, καὶ τὰ θαύματα τῷ θεῷ δῷς, ἀνάγκῃ καὶ μὴ θέλων δίδως τοὺς μὲν ταπεινοὺς λόγους τῷ ἐκ Μαρίας ἀνθρώπῳ, τοὺς δὲ ἀνηγμένους καὶ θεοπρεπεῖς τῷ ἐν ἀρχῇ ὄντι λόγῳ· διὰ μὲν γὰρ τῶν ὑψηλῶν, τοῦ ἐνοικοῦντος λόγου δείκνυται ἡ εὐγένεια· διὰ δὲ τῶν ταπεινῶν, τῆς ταπεινῆς σαρκὸς γνωρίζεται ἡ ἀσθένεια· ταῦτα γὰρ ἐκ τῆς σαρκὸς ἀλλ' οὐκ ἐκ προσώπου λέγεται τῆς θεότητος.

v. 63. p. 295. b. Βασιλείου. Μακροθυμίας τοίνυν καὶ ἀνεξικακίας Χριστὸς παρέσχεν ὑπόδειγμα, τὸ φέρειν

τὰς τῶν ἰουδαίων ἐπιβουλὰς, ἀεὶ ταῖς ἑξῆς ὑπερβολαῖς τὰ πρότερα πονηρεύματα καλυπτούσας·
καὶ διελέγχει μὲν αὐτὰς ἠρέμα, ὅσον στῆσαι τῆς πονηρίας, ἀμύνασθαι δὲ καὶ ἐπεξιέναι,
οὐδὲ κατὰ μικρόν· ἀλλὰ φιλονεικεῖν ταῖς εὐεργεσίαις πρὸς τὴν ἐκείνων ἀπανθρωπίαν, καὶ νι-
κᾷν ταῖς τῶν ἀγαθῶν χορηγίαις τὴν τῆς πονηρίας ἔνστασιν· καὶ τὸ τελευταῖον, σταυρὸν ὑπὲρ
τῶν σταυρούντων αὐτὸν ἀναδέχεσθαι.

## CAP. XXIII.

Βασιλείου. Προσήγαγον Πιλάτῳ τὸν Ἰησοῦν· παρεδόθησαν καὶ αὐτοὶ ταῖς ῥωμαίων στρα- v. 1. p. 296. a.
τιαῖς· διὰ τοῦτο καὶ ὁ Ἡσαΐας ἀποθρηνῶν αὐτοὺς, φησίν· οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι ἐβου-
λεύσαντο βουλὴν πονηρὰν καθ' ἑαυτῶν, λέγοντες, δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν
ἐστιν· αἱ κατὰ τῶν δικαίων βουλαὶ ἐπιστρέφουσιν ἐπὶ τὰς κεφαλὰς τῶν βουλευομένων, ὥσπερ
ἀπὸ στεῤῥῶν καὶ ἀντιτύπων σωμάτων τὰ προσπεσόντα βέλη πρὸς τοὺς ἀφέντας ἐπάνεισι· διὰ
τοῦτο, φησὶν, ἐβουλεύσαντο βουλὴν καθ' ἑαυτῶν εἰπόντες, δήσωμεν τὸν δίκαιον· ταῦτα δὲ
ἐποίουν ἰουδαῖοι ἐν τῇ ἐπιδημίᾳ τοῦ κυρίου· δήσαντες γὰρ αὐτὸν, ἀπήγαγον πρὸς Καϊάφαν,
εἶτα πρὸς Πιλάτον· ἐδέσμουν τὰς χεῖρας τὰς εὐεργετούσας, οὐ φέροντες τῆς δικαιοσύνης τὴν
ἐπιδημίαν, διότι πονηρίας ὑπῆρχεν ἀφανιστική· δύσχρηστος γὰρ τοῖς ἀδικοῦσιν ἡ δικαιοσύνη,
ὥσπερ ὀφθαλμιῶσιν ὁ ἥλιος· διὸ φησὶν ὁ προφήτης· τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγον-
ται· ταῦτα δὲ ἐκεῖνα τῶν ἔργων τὰ γεννήματα, ἡ αἰχμαλωσία, ἡ διασπορὰ, ἡ καταστρο-
φὴ τοῦ ναοῦ, ἡ ἀπὸ τῆς δόξης κατάπτωσις, ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν οὐκ ἐῶσα αὐ-
τοὺς πρὸς θεὸν ἀναβλέπειν· διὰ τὴν εἰς τὸν μονογενῆ ἁμαρτίαν, ἀπώλεσαν τὴν προτέραν
παῤῥησίαν· μή τε προφήτας μή τε λατρείαν ἔχοντες· δήσαντες δὲ τὸν λόγον, δήσαντες τὴν
ἀλήθειαν, δήσαντες τὸ φῶς, δήσαντες τὴν δικαιοσύνην, δήσαντες τὸν ἰατρὸν, δήσαντες τὸν
ἐλευθερωτήν· ἅπερ πάντα ἐστὶ, κατὰ ποικίλην τὴν περὶ αὐτοῦ ἐπίνοιαν, ὁ Χριστὸς, ἐστέρην-
ται λόγου, ἐστέρηνται ἀληθείας, ἀδικίᾳ συζῶσιν, ἀνίατοι νοσοῦσι· ταῦτα ἐστὶ τὰ γεννήματα
τῶν ἔργων, ἃ ἐσθίουσιν οἱ τάλανες ἰουδαῖοι· τί δὲ δὴ καὶ Πιλάτῳ φασὶ, τὰς κατὰ τοῦ πάν-
των σωτῆρος συντιθέντες συκοφαντίας; ἤρξαντο δὲ κατηγορεῖν κ. τ. λ.

Ἀνεπιγράφου. Κατηγορεῖτο ὑπὸ τῶν γραμματέων, καὶ ἦν ἄπιστος ἡ κατηγορία, τοῦ πράγ- v. 2.
ματος ἐναντίαν φωνὴν τοῖς κατηγόροις ἀφιέντος· τίς γὰρ ἡ τῆς βασιλείας ἐγχείρησις παρὰ
Χριστοῦ; ὃς καὶ ἐπιόντων αὐτῷ τῶν ὄχλων, ὡς βασιλέα καταστῆσαι, καταλιπὼν καὶ ἀναχω-
ρῶν εἰς ὄρος φαίνεται· ποία δὲ στρατιωτῶν παρασκευή; τί δὲ ἀλαζονικὸν, οἷον τὸ τῶν βασι-
λευόντων, ὃς ὁδοιπορῶν καὶ κώμας καὶ πόλεις ἐκποδὼν διιὼν· ἀπίθανος ἡ κατηγορία καὶ ἕω-
λος ὤφθη καὶ αὐτῷ τῷ Πιλάτῳ οὐκ εἰδότι πῶς ἐστι βασιλεὺς ὁ Χριστός.

Τοῦ αὐτοῦ. Οἱονεὶ διαχλευάζων τοὺς κατηγοροῦντας, ἐρωτᾷ ὁ Πιλάτος, σὺ εἶ ὁ βασι- v. 3.
λεὺς τῶν ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ, ἔφη· σὺ λέγεις· τὸ ὄντως γὰρ εἶναι βασιλεὺς,
οὐκ ἀρνεῖται· ἀλλ' ὡς ὁ Ἰωάννης, φησὶ, διεῖλε τὸ τῆς βασιλείας εἶδος· οὐκ ἐκ τοῦ κόσμου
τούτου τὴν βασιλείαν ἑαυτοῦ εἶναι λέγων, εἶτα τὴν ἀπόδειξιν παρεχόμενος, ὅτι εἰ ἡ βα-
σιλεία ἡ ἐμὴ ἦν ἐκ τοῦ κόσμου τούτου, οἱ ὑπηρέται ἂν οἱ ἐμοὶ ἠγωνίζοντο, ἵνα μὴ πα-
ραδοθῶ τοῖς ἰουδαίοις.

Τοῦ αὐτοῦ. Καὶ ὁ μὲν κύριος τῇ τοῦ Πιλάτου φωνῇ τεκμηρίῳ κέχρηται, πρὸς συναίσθη- p. 296. b.

σεν ἄγων αὐτὸν τῆς ἀποκεκρυμμένης βασιλείας αὐτοῦ· σὺ γὰρ λέγεις, φησὶν, ὅτι βασιλεύς εἰμι· πόθεν γὰρ καὶ ἐλέγετο περὶ τούτου, μὴ πλῆθος ἑαυτῷ δορυφόρων συγκεκροτηκότος, μὴ δυνάμεις ὅπλων; πόθεν ἂν περὶ τούτου δυνατὸν ἦν λέγεσθαι ὅτι βασιλεὺς εἴη, εἰ μή τι μέγα καὶ τῆς ὄντως βασιλείας σύμβολον ἑωρᾶτο ἐν αὐτῷ; ἐντεῦθεν δὲ τὸ μάταιον τῆς τῶν ἰουδαίων κατηγορίας ὁ ἡγεμὼν συνορῶν, εἶπε πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ· οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι ἀνασείει τὸν ὄχλον, καὶ τὴν μὲν ἐπανάστασιν τὴν κατὰ τοῦ Καίσαρος, οὐδαμῶς ἐπιδεῖξαι δύνανται παρὰ Χριστῷ· τὴν δὲ τοῦ πλήθους κίνησιν περὶ αὐτὸν, ἤδη λέγουσιν· ἐφ' ᾗ καὶ ἀλγοῦσιν οἱ βάσκανοι, τὸ ἑαυτῶν ὁμολογοῦντες κακὸν, οὐκ ἀδικίαν ἐλέγχοντες τοῦ κατηγορουμένου· προσγίνεται δὲ καὶ Ἡρώδης ἐνταῦθα πρὸς χλεύην τῆς ἰουδαίων συκοφαντίας καὶ αὐτὸς συντελῶν, καὶ τῷ ἔργῳ διελέγχων, ὅτι μηδὲν ἄξιον μέμψεως ἐστὶν, ἐν οἷς κατὰ τοῦ κυρίου λέγουσιν.

v. 11. Τοῦ αὐτοῦ. Χλευάζει μὲν τὸ σεμνὸν καὶ τίμιον ὁ Ἡρώδης, μαρτυρεῖ δὲ δι' ὧν χλευάζει, ὅτι μηδὲν ἀδικεῖ· οὐδὲ γὰρ ἐσθῆτος ἔδει λαμπρᾶς, ἐπὶ τοῦ κακόν τι δεδρακότος ἢ εἰρηκότος· ὅθεν ἰουδαῖοι καὶ οὕτω κατασχύνονται, ἐκ τοῦ δικαστηρίου καὶ τῆς κατηγορίας αὐτῶν ἀπιόντος τοῦ κατηγορουμένου μετὰ λαμπρᾶς ἐσθῆτος· εἰ καὶ παιδιᾷ τοῦτο ἐποίει Ἡρώδης, οὐκ ἂν παιδιᾷ χρησάμενος, εἴπερ ἦν ὀργῆς καιρὸς· πλὴν μαρτυρεῖ Πιλάτος, ὅτι ψῆφος ἦν αὕτη Ἡρώδου, μηδὲν ἠδικηκέναι τὸν κύριον.

v. 13. p. 297. a. Τοῦ αὐτοῦ. Τοιαῦτα μὲν πρὸ τοῦ πάθους ὁ κύριος ἤνεγκεν, ἀγόμενος, κατηγορούμενος, ἐν οὐδενὶ τούτων κινούμενος, οὐδὲ μὴν ἐξυβρίζων, ἢ καταφρόνησιν ἐνδεικνύμενος· οὐδ' ἐκ πολλοῦ τοῦ περιόντος, καὶ πολλῆς τῆς πρὸς θάνατον ἀφοβίας διαγελῶν, ἢ διαπαίζειν αὐτοὺς ἀξιῶν, καί τοι γε ὑπ' ἐκείνων διαγελώμενος· τοιοῦτον ἡ ἀλήθεια, καὶ τοιοῦτον τὸ ἀληθὲς ἀγαθὸν, ἐν τοῖς παθήμασιν οὐκ ἔλαττον, ἢ ἐν τοῖς ἔργοις θαυμάσιον. ἑξῆς δὲ, ἰουδαίων ἐστὶν ὁ μέγιστος ἔλεγχος, λῃστὴν καὶ φονέα ἑλομένων μᾶλλον, ἢ τὸν Χριστόν· τοσοῦτον αὐτοῖς ἔμελε τοῦ δικαίου, καὶ οὕτως διὰ τὴν ὁσιότητα κατηγόρουν Χριστοῦ· ἀμέλει, τοῦ κρίνειν λαχόντος ἐλευθεροῦντος αὐτὸν, θανάτου ψῆφον ὑποστῆναι παρακαλοῦσι τὸν πάσης εὐσεβείας καθηγητὴν καὶ διδάσκαλον· αἰτοῦνται δὲ ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς, ἵνα τῆς ἐκείνου μερίδος ἔσονται κοινωνοί· ὃ δὴ καὶ συνέβη παθεῖν αὐτούς· δέδονται γὰρ εἰς ὄλεθρον καὶ σφαγήν.

v. 33. p. 298. b. Φωτίου. Ἧλοι τὰς δεσποτικὰς διαπερονῶσι παλάμας, καὶ τοὺς τῆς κακίας ἡμῶν τοῖς μέλεσι παρεμφύντας ὄζους, ὑφ' ὧν ἐξερημοῦτο καὶ ἐκακύνετο τὸ ἀνθρώπινον, αὐταῖς ἀνασπῶσι ῥίζαις· στέφανος ἐξ ἀκανθῶν τῇ κεφαλῇ περισφίγγεται, καὶ ὁ πολυώδυνος τῆς παλαιᾶς κατάρας κλοιὸς ἀπαυχενίζεται· λόγχῃ πλευρὰ διορύσσεται· καὶ ἡ τῆς σωτηρίας ἡμῶν ἀναστομοῦται πηγή.

p. 299. a. Ἀμφιλοχίου. Ἡ ληφθεῖσα πάσχει φύσις· ἡ δὲ λαβοῦσα, ἀπαθὴς μένει· οἰκειοῦται δὲ ὁ θεὸς λόγος ἀπαθῶς, τὰ τοῦ ἰδίου ναοῦ ἀνθρώπινα πάθη, σταυρὸν φημὶ καὶ θάνατον, καὶ τὰ ἄλλα ὅσα περὶ αὐτὸν οἰκονομικῶς θεωρεῖται, οἰκειοῦται αὐτὸς πάσχων οὐδέν.

Ἱππολύτου. Διὰ τοῦτο πυλωροὶ ᾅδου ἰδόντες αὐτὸν, ἔπτηξαν· καὶ πύλαι χαλκαῖ, καὶ μοχλοὶ σιδηροὶ συνετρίβησαν· ἰδοὺ γὰρ ὁ μονογενὴς εἰσῆλθεν ὡς ψυχὴ μετὰ ψυχῶν, θεὸς λόγος ἔμψυχος· τὸ γὰρ σῶμα ἔκειτο ἐν μνημείῳ, οὐχὶ κενωθὲν τῆς θεότητος, ἀλλ' ὥσπερ ἐν τῷ ᾅδῃ ὤν, τῇ οὐσίᾳ ἦν πρὸς τὸν πατέρα, οὕτως ἦν ἐν τῷ σώματι καὶ ἐν τῷ ᾅδῃ· ἀχώρητος

γάρ ἐστι καὶ ὁ υἱὸς, ὡς ὁ πατὴρ, καὶ πάντα περιέχει· ἀλλὰ θέλων ἐχωρήθη ἐν σώματι ἐμψύχῳ, ἵνα μετὰ τῆς ἰδίας ψυχῆς πορευθῇ εἰς τὸν ᾅδην, καὶ μὴ γυμνῇ τῇ θεότητι.

Ἀμφιλοχίου πρὸς Σέλευκον. Πάσχει ὁ Χριστὸς, οὐ θεότητι, ἀλλ' ἀνθρωπότητι· τουτέστιν p. 299. b.
ὁ Χριστὸς ἔπαθε σαρκὶ, ἀλλ' οὐχ ἡ θεότης σαρκί· ἄπαγε τὸ βλάσφημον.

Παύλου Ἐμέσης. Καὶ συνὼν τῷ πάσχοντι, τὰ μὲν πάθη ᾠκειοῦτο, αὐτὸς δὲ ἀπαθὴς ἔμενεν.

Φωστηρίου. Πάσχει δὲ ὁ τῆς δόξης κύριος, οὐ τῇ θεότητι, ἀλλὰ τῇ ἀδιαιρέτως συναφθείσῃ αὐτῷ ἰδίᾳ σαρκὶ ἐμψυχωμένῃ· καὶ ἀποθνήσκει, τῆς ψυχῆς δηλονότι χωρισθείσης τοῦ σώματος· ἡ γὰρ θεότης ἀδιαίρετος, καὶ τῇ ψυχῇ ἡνωμένη ἦν καὶ τῷ σώματι· κατῆλθεν οὖν ὁ υἱὸς τοῦ θεοῦ τῇ ἰδίᾳ ψυχῇ πρὸς τὰς τῶν ἁγίων ψυχὰς, καὶ πάλιν ἀνέστη τῆς ψυχῆς ἑνωθείσης τῷ σώματι.

Εὐαγρίου. Ἧκε τοίνυν ἐπὶ τὸν θάνατον, ὃν καταλῦσαι προὔθετο, ἵν' ἐκ τῶν δεσμῶν αὐ- p. 300. b.
τοῦ τοὺς προκαταληφθέντας ἀπολύσῃ· καὶ ἑαυτὸν ἐκδέδωκεν ὑπὲρ πάντων· ἀμνὸς γενόμενος τοῦ θεοῦ· αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου τῇ ἰδίᾳ σφαγῇ ἣν ἑκουσίως ἀνεδέξατο· καὶ αὕτη μὲν ἦν αὐτῷ πρόθεσις, ἐπὶ καταλύσει τῶν πονηρῶν δαιμόνων δοῦναι τὸ αἷμα· ἵνα κατακοιμίσῃ τούτους, κάρον αὐτοῖς ἐνεργαζόμενος· τὸ γὰρ σωτήριον αἷμα, ἀσθένειαν, αὐτοῖς μᾶλλον δὲ νέκρωσιν ἐπήγαγεν· ἔδοξαν δὲ οἱ ἐπιβουλεύειν αὐτῷ προελόμενοι, ἀπὸ φθονεροῦ πάθους, μᾶλλον δ' ἐνεργείας σατανικῆς, ἐπὶ προδοσίαν αὐτοῦ ὡρμῆσθαι· ἐπειδὴ γὰρ ἐθεῶντο τὰς ψυχὰς ὁσημέραι ἀφισαμένας τῆς πολλῆς κακίας, καὶ τῆς ἄλλης ἀπάτης ἀναχωρούσας, διὰ τὸν θεῖον τῆς διδασκαλίας αὐτοῦ λόγον, καὶ τὴν ἄχραντον αὐτοῦ πολιτείαν, ἣν ἄνθρωπος ὢν ἀνεδέξατο, προθεὶς ἑαυτὸν ὑπογραμμὸν τοῖς σπουδὴν ἔχουσι βιοῦν ἀνεπιλήπτως, ἐνόμισαν ἐμποδίζειν τὴν τῶν ἀνθρώπων σωτηρίαν, διὰ τοῦ ὑποβαλεῖν τὸν διδάσκαλον καὶ ὠφελητὴν αὐτῶν θανάτῳ· ἀλλ' ἐσφάλησαν οἱ ἠλίθιοι· καθ' ἑαυτῶν γὰρ δι' ὧν ἔπραττον, μᾶλλον δὲ τῶν ἐνεργούντων αὐτοὺς ἐμηχανῶντο τὰς πανουργίας, ἃς δῆθεν κατὰ Ἰησοῦ συνετίθεσαν· ἐθελούσιος γὰρ αὐτοκελεύστῳ προθυμίᾳ ὁρμῆσαι πρὸς τὸν θάνατον ἐδικαίωσε· καὶ δυνάμενος τῷ λεγομένῳ ἰδίῳ τέλει χρήσασθαι, ἢ τοι νόσῳ διαφθαρείσης αὐτῷ μετὰ σαρκὸς ζωῆς, ἢ ἄλλως ἀποβαλεῖν τὸ σῶμα, τοῦτο γενέσθαι οὐκ ἀσφαλὲς ἔκρινεν· εἰ γὰρ τοιουτοτρόπως ἦν τὸν θάνατον εἰσδεξάμενος, εἶτα αὖθις ἀναβιώσας κατὰ τὰς ἀψευδεῖς αὐτοῦ περὶ τῆς προηρημένου ἀναστάσεως φωνὰς, πρόφασιν ἐλάμβανον ἀπιστίας οἱ ἐθελόκακοι καὶ κακολογεῖν αὐτοῦ τὴν ἀνάστασιν βουλόμενοι, λέγοντες μηδόλως αὐτὸν τεθνάναι, ἀλλὰ κεκλοφέναι ἑαυτὸν, καὶ κεκρυφέναι ἀπὸ τῶν ἀνθρωπίνων ὄψεων, εἶτ' αὖθις εἰς μέσον ἥκοντα, λέγειν ἐκ νεκρῶν ἐγηγέρθαι καὶ ἐκ τοῦ καταχθονίου χώρου ἀνεληλυθέναι· ὅπως οὖν μὴ δὲ μία τοῦ ἀπιστεῖν εἰς τὴν ἀνάστασιν αὐτοῦ πιθανότης χώραν ἔχῃ, δικαστῇ παραδοθῆναι ὑπέμεινε, καὶ ὑπ' ἐκείνου πολλῶν ὁρώντων κατακριθῆναι· καί τοι βουλομένου τοῦ δικαστοῦ ἀφεῖναι αὐτὸν, διὰ τὸ μὴ δὲ μίαν εὑρίσκειν ἐν αὐτῷ αἰτίαν θανάτου, τῶν ἰουδαίων λῃστὴν αὐτοῖς ἀντ' αὐτοῦ ἀπολυθῆναι ἀξιούντων· Ἰησοῦς ἐπὶ τοῦ βήματος ἑστηκὼς, σιωπὴν ἄγειν ἐδικαίωσεν· εἰ γὰρ ἦν ἀπολογησάμενος περὶ ἑαυτοῦ, ἐξέφυγεν ἂν τὴν ψῆφον τοῦ θανάτου· οὐκ ἔχοντος τοῦ δικάζοντος οὐδὲ μίαν πρόφασιν, κόλασιν ὁρίσαι κατ' αὐτοῦ· σκοπὸν γὰρ εἶχεν, ὡς προεῖπον, συντόνῳ σπουδῇ ὁρμῆσαι ἐπὶ τὴν χώραν, ἔνθα αἱ σωμάτων ἀπολυθεῖσαι ψυχαὶ κατέχονται· ἵνα κἀκείνων αὐτῶν τὰς προσιεμένας αὐτοῦ τὴν ἐκεῖσε παρουσίαν τῆς κατεχούσης κακοπραγίας τε καὶ δεινῆς ἀνάγκης

ἀφῇ· καὶ δὴ τοῦθ' ὅπερ ἠβούλετο, γεγένηται· καὶ ἀναρτηθεὶς ἐπὶ τὸ ἰκρίον τοῦ σταυροῦ, φανερὸν τὸν ἀοίδιμον θάνατον αὐτοῦ παρέςησε, καὶ δι' αὐτοῦ πιςοποίησιν ἐργαζόμενος τοῖς μὴ σφόδρα τὴν διάνοιαν βλαβεῖσιν.

v. 34. p. 301. a. Ὑπατίου. Ναί φησιν· ἀλλ' εἰ μὲν ἀφείθη ἰουδαίοις, μάτην εἴρηται τῷ Ἠσαΐᾳ, ὅτι ἐδόθησαν ἀντὶ τῆς ταφῆς αὐτοῦ· εἰ δὲ οὐκ ἀφείθη, ἢ σπουδαίως εὐξάμενος ὁ Χριστὸς, οὐκ ἔτυχε τῆς εὐχῆς, ἢ οὐκ ηὔξατο γνησίως· ἅπερ ἄντικρυς ἀλλότρια μονογενοῦς υἱοῦ τοῦ θεοῦ· τὸ μὲν ὅλως εὔχεσθαι τῆς ἀνθρωπότητος μέτρων ἦν, ἅπερ ἑκουσίως ἀνεδέξατο διὰ τὴν ἡμετέραν σωτηρίαν· ὅτι δὲ καὶ τὰ τῆς εὐχῆς ἀληθῆ, καὶ εἰς ἔργον ἀγόμενα ἦν, καὶ τοῖς ἰουδαίοις ἡ παντελὴς ἀπώλεια, διὰ τὴν εἰς Χριςὸν παροινίαν ἐπήχθη, ταύτῃ μαθησόμεθα· μετὰ γὰρ τὴν εἰς οὐρανοὺς τοῦ σωτῆρος ἀνάληψιν, πολλοὶ τῶν ἰουδαίων ἐπίςευσαν, ὡς ἱςοροῦσι τῶν ἀποστόλων αἱ πράξεις· καὶ τούτοις ἀφείθη· τοῖς δὲ ἀμεταβλήτως ἐπιμείνασι τῇ ἀληθείᾳ, καὶ πληρώσασιν εὐαγγελικῶς εἰπεῖν τὸ μέτρον τῶν πατέρων αὐτῶν, καὶ οὐ μόνον εἰς αὐτὸν τὸν κύριον ἀσεβήσασιν, ἀλλὰ καὶ μετὰ τὸν σταυρὸν, καὶ τὴν τῆς τοιαύτης ἀρχῆς ἐπιείκειαν, ἀγαθότητά τε καὶ φιλανθρωπίαν κακούργως ἀσφαλισαμένοις τὸν τάφον, καὶ πλάνον αὐτὸν ἀποκαλέσασι, καὶ τὴν ἀνάςασιν συκοφαντήσασι, καὶ τοὺς ἀποςόλους ἐκ διώξασί τε καὶ ἀνελοῦσι, καὶ μέχρι παντὸς ἀνιάτοις μείνασιν, ἐπήχθη κατὰ τὸν προφήτην ἡ κοινὴ τοῦ ἔθνους ἀπώλεια, χωρισθέντων πρότερον τῆς Ἱερουσαλὴμ, καὶ ἀναχωρησάντων οὐ μόνον τῶν ἀποςόλων, ἀλλὰ καὶ πάντων τῶν πιςῶν, καὶ μόνων τῶν ἀπίςων καὶ ἀσεβῶν ἀπομεινάντων· καὶ γὰρ καὶ μόνοις τοῖς μετανοοῦσιν, ἐδωρήθη τὰ τῆς εὐχῆς· καὶ ἑρμηνεὺς ἡμῖν παρίτω τοῦ διδασκάλου, μὴ ὁ τυχὼν, ἀλλ' ὁ κορυφαῖος τῶν μαθητῶν· ἐν γὰρ ταῖς ἀποςολικαῖς πράξεσι γέγραπται λέγων πρὸς ἰουδαίους, πρὸ τοῦ γενέσθαι τὴν παντελῆ τῆς Ἱερουσαλὴμ ἅλωσιν, ὅτι τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ἠτήσασθε ἄνδρα φονέα χαρισθῆναι ὑμῖν· καὶ νῦν οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν· μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ κυρίου ἡμῶν Ἰησοῦ, ὅπέρ ἐςιν ἄφεσις ἁμαρτιῶν· καὶ τὰ ἐφεξῆς· ὥστε τοῦ, πάτερ ἄφες αὐτοῖς, οὐ γὰρ οἴδασι τί ποιοῦσι, τὸ οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καὶ μετανοήσατε καὶ βαπτίσθητε, ἑρμηνευτικόν ἐςι, καὶ διδασκαλία τοῦ τρόπου τῆς ἀφέσεως τῆς ὑπὸ τῆς εὐχῆς τοῦ κυρίου δεδωρημένης· τινὲς δὲ τοῖς κατὰ ἄγνοιαν ἁμαρτήσασι μόνους φασὶ τὰ τῆς εὐχῆς δεδωρῆσθαι· καὶ εἴτις καὶ τοῦτο δοίη πάλιν, ὁ τῆς μετανοίας τρόπος ἐςὶν ὁ καὶ τούτων σωτηριώδης· σαφῶς γὰρ ὁ Πέτρος φησὶν· οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε· μετανοήσατε οὖν καὶ βαπτίσθητε· ὥστε τὰ τῆς εὐχῆς, καὶ τοῖς κατὰ ἄγνοιαν ἡμαρτηκόσι, διὰ μόνης τῆς μετανοίας δεδώρηται· καὶ οὔτε ψευδὴς ἢ ἄκυρος ἡ προσευχὴ τοῦ σωτῆρος ἐπὶ τῶν μετανοησάντων ἐπὶ τούτῳ γὰρ καὶ γέγονε, καὶ τὰ τοῦ προφήτου ἀληθῆ λέγοντος, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ τὰ ἑξῆς· καὶ προσεπάγοντος, ὅτι καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ· εἰ γάρ τις ἀκριβῶς κατανοήσει, καὶ αὐτὸν εὑρήσει τὸν προφήτην, μὴ κατὰ πάντων τῶν ἡμαρτηκότων ἐκφέροντα τὴν ψῆφον, ἀλλὰ κατὰ τῶν πονηρῶν καὶ ἐν γνώσει ἁμαρτανόντων, καὶ ἐπιμεινάντων τῇ κατὰ Χριςοῦ πονηρίᾳ καὶ μετὰ τὴν τοιαύτην ὡς εἴρηται φιλανθρωπίαν καὶ προσευχήν.

v. 36. p. 303. b. Ἀνεπιγράφου. Πλὴν οὔτε ὁ εἰπὼν ὄξος μετὰ ὑσώπου προσενεχθῆναι τῷ Ἰησοῦ ἐψεύσατο, οὔτε ἐναντιοῦται τῷ λέγοντι ἐσμυρνισμένον οἶνον· οὔτε τῷ ἁπλῶς εἰπόντι ὄξος· ὁ μὲν γὰρ, πρὸ τοῦ σταυροῦ λέγει· ὁ δὲ, ἐν τῷ σταυρῷ προσενεχθῆναι· οὐ τὸ αὐτὸ λέγοντες, καὶ

τὸ λαβεῖν δὲ καὶ γευσάμενον ἀποδοῦναι; καὶ τὸ μὴ δὲ γεύσασθαι τὴν ἀρχὴν, διάφορον· τὸν
γὰρ οἶνον μετὰ τῆς χολῆς ἔφη Ματθαῖος γευσάμενον, μὴ θελῆσαι πιεῖν· μὴ γεύσασθαι
δὲ τὴν ἀρχὴν τὸν ἐσμυρνιμένον, ὁ Μάρκος· Ἰωάννης δὲ, ὄξος μετὰ ὑσώπου ἔφη διδόσθαι,
οὐδενὶ τούτων ἐναντιούμενος τῶν μὴ δὲ μνησθέντων· πολλῶν γὰρ γινομένων εἰς αὐτὸν, εἶτα
ἐν τοσαύτῃ ἀταξίᾳ πλήθους παροινοῦντος, ἄλλος ἄλλο προσέφερεν· ἔγραψε δὲ ὁ μὲν τοῦτο,
ὁ δὲ ἐκεῖνο· πολλὰ δὲ καὶ παρεῖται· πάντα δὲ ἀληθῆ εἴρηται· ὑπὸ γὰρ μάρτυσι τοῖς ἐπι-
σταμένοις αὐτὰ, ἔγραφον· οὐκ εἰκῆ οὐδὲ ὡς ἔτυχε τὰ παρατυχόντα καὶ ἐπὶ τῶν τυχόντων·
ἀλλ᾽ ἐπὶ τῶν ἐλέγξαι δυναμένων, εἴ τι παρὰ τὰ γενόμενα γράφειν ἐτόλμησαν.

Τοῦ αὐτοῦ. Τί ἐδήλου ἡ ἐπιγραφὴ αὕτη τρισὶ διαλέκτοις γεγραμμένη; ὅτι τὴν τοῦ παν- v. 38.
τὸς βασιλείαν ἐν τοῖς ἑτέροις εὐαγγελισταῖς ἐξήτασαι.

Εὐαγρίου. Ἐξ αὐτοῦ γοῦν τοῦ σκόλοπος, τὰς τεραστίους ἐπιτελῶν δυνάμεις, ἀληθῶς v. 47. p. 306. a.
υἱὸς εἶναι θεοῦ ὡμολόγητο· κλόνον γοῦν ὑπέμεινεν ἡ γῆ, κρεμάμενον αὐτὸν ὁρῶσα· ἀλλὰ καὶ
αἱ ἀῤῥαγεῖς πέτραι, ῥῆξιν ὑπέστησαν, αὐτοῦ ἐπὶ τοῦ σταυροῦ ὄντος· τὸ καταπέτασμά τε τοῦ
ναοῦ ἀπάνωθεν κάτω ἄφνω ἐῤῥήγνυτο· ναὶ μὴν, καὶ τὰ μνήματα τῶν νεκρῶν ἐξαπίνης ἀνοι-
γόμενα, τοὺς πάλαι κειμένους ἐξέπεμπε νεκροὺς, ζωτικῆς δυνάμεως μεταποιουμένους· ἀλλὰ καὶ
ὁ ἥλιος ὁ φωστὴρ ὁ μέγας, ὁ εἰς ἀρχὸς τεταγμένος τῆς ἡμέρας ὑπὸ τοῦ δημιουργοῦ καὶ
σμηνοποιοῦ πάσης κτίσεως, ἡμέρας μεσούσης, ἀνθρώποις τὸ φῶς οὐκ ἔδωκε· σκότος γοῦν γέ-
γονεν ἀπὸ ἕκτης ἕως ἐνάτης ὥρας, οὐ τῆς κατὰ συνήθειαν ἐκλείψεως γεγενημένης τότε,
ὡς οἱ διαβάλλειν τὸ εὐαγγέλιον σπουδάζοντες, πειρῶνται λέγειν· ὑπὸ γὰρ τῆς προσούσης αὐ-
τοῖς ἀπεχθείας, καὶ τοῖς ὑπ᾽ αὐτῶν ὁμολογουμένοις ἀντιδοξοῦσι· περὶ γὰρ τῆς ἐκλείψεως τῆς
ἐξ ἔθους γινομένης τοῦ ἡλίου, νομοθετοῦσι τοιαῦτα· ὡς ἄρα ἑτέρῳ καιρῷ οὐ γίνεται αὕτη,
ἢ ὅτε ἡ σελήνη συνοδεύει τῷ ἡλίῳ· ὅταν γάρ φασιν ὑποτρέχουσα τὸν ἥλιον ἡ σελήνη, ὑπ᾽
αὐτὸν κατὰ κάθετον γένηται, ἐπιπροσθεῖ ταῖς αὐγαῖς τοῦ ἡλίου, μὴ ἐπιτρέπουσα αὐτὰς εἰς
τὸν περὶ γῆν χῶρον γενέσθαι· ἔλαθε δὲ αὐτοὺς θέλοντας, ὅτι οὐκ ἦν καιρὸς συνόδου ὅτε
Ἰησοῦς τὸν σταυρὸν ἀνεδέξατο· ὡμολόγηται δὲ παρὰ πᾶσιν ἐν αὐτῷ τῷ πάσχα τῷ ἰουδαϊ-
κῷ πεπονθέναι αὐτὸν, ἐν ᾗ ὥρᾳ οὐδαμῶς ὑποτρέχει τὸν ἥλιον ἡ σελήνη, ἀντιπροσώπως πρὸς
αὐτὸν ἔχουσα, διὰ τὸ πλησιφαὴς εἶναι, ἤδη τεσσαρεσκαιδεκάτην ἡμέραν ἀπὸ τῆς συνόδου
ἔχουσα· ἐξ ὧν φανερὸν, ὅτι οὐχ᾽ ἡ κατὰ περίοδον ἐνιαυτῶν τινῶν ἔκλειψις γέγενηται, ἀλ-
λὰ δυνάμει τοῦ παραδοξοποιοῦντος ἀπὸ τοῦ σταυροῦ· ἢ τάχα καὶ αὐτοῦ τοῦ ἡλίου μὴ ὑπο-
μένοντος τὸ ἴδιον ἀποτελεῖν ἔργον, τὸν κοινὸν δεσπότην πρὸς εὐτελῶν ἀνθρώπων ὁρῶντος ὑβρι-
ζόμενον· καὶ αὗται δὲ αἱ παραδοξοποιΐαι, γεγένηνται ἕνεκα τοῦ φανῆναι τίς ἦν ὁ τὸν θά-
νατον ἀναδεξάμενος, ὅτι ἡνίοχος καὶ ταξιάρχης πάσης ὑπάρχει τῆς κτίσεως· τάχα δὲ καὶ
ἕκαστον τῶν γεγενημένον, σημεῖον καὶ σύμβολον ἦν τῶν μελλόντων κατορθοῦσθαι· ὁ γὰρ σεισ-
μὸς τῆς γῆς, ἐδήλου τὴν μετάθεσιν τῶν πανταχοῦ τῆς γῆς πατρίων ἐθῶν, καὶ τὴν ἀναχώ-
ρησιν τῶν ἀνθρώπων ἀπὸ τῆς πολυθέου πλάνης· ἀμέλει τὰ πανταχοῦ γῆς χρηστήρια, καὶ
οἱ τούτων προϊστάμενοι μαντικοὶ δαίμονες πάλαι τοὺς ἀνθρώπους θέλγοντες λόγοις ἀπατηλοῖς,
σιωπὴν ἔλαβον, ὡς μὴ δὲ δοκεῖν γεγονέναι ποτέ· ἔρημοι γοῦν καθεστήκασιν αἱ μαντικαὶ πη-
γαὶ, τῶν ἐν αὐταῖς δαιμόνων πεφυγαδευμένων, φόβῳ τῆς τοῦ παθόντος δυνάμεως· ἀλλὰ καὶ
νόμοι οἱ παρ᾽ ἑκάστοις, σχολάζουσι λοιπὸν, μόνου τοῦ εὐαγγελικοῦ νόμου πολιτευομένου καὶ κρα-
τοῦντος τοῦ τῶν ἀνθρώπων γένους· ἡ σχίσις δὲ τῶν πετρῶν αἰνίττεται καὶ αὐτὴ σημεῖον οὖσα,

τὴν κατάνυξιν τῶν ἠλιθίων καὶ σκληροτάτων ψυχῶν· ἡ ῥῆξις δὲ τοῦ καταπετάσματος, ἐμφαίνει ἀναχώρησιν γεγονέναι ἀπὸ τοῦ ἰουδαϊκοῦ ναοῦ τῆς ἁγιστείας καὶ πάσης τῆς παραδόξου ἐπιφανείας, πάλαι μὲν ἐκεῖσε τυγχανούσης, νῦν δ' εἰς πάντα τὰ ἔθνη διηκούσης· τέλος λαμβανούσης τῆς προφητείας ἐκείνης τῆς φασκούσης· ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ διακρινεῖ ἀναμέσον ἐθνῶν πολλῶν.

v. 45. p. 306. b. Φωτίου. Μᾶλλον δὲ ῥήγνυται καταπέτασμα τοῦ ναοῦ, ξύλῳ τοῦ δεσπότου κρεμαμένου, διὰ πολλὰς οἶμαι τὰς αἰτίας· τὸ μὲν γὰρ τὴν γῆν κλόνῳ μικροῦ δεῖν συγκατενεχθῆναι, δυνατόν ἐστι τῆς ἀγνωμονοῦσι καὶ εἰς τὰ κατὰ φύσιν ἀνάγειν τῶν στοιχείων πάθη· τὸ δὲ ῥαγῆναι τὸ καταπέτασμα, μηδενὸς μάλιστα διασπῶντος, ἀπὸ ἄνωθεν ἕως κάτω, θεομηνίαν τὸ τέρας δείκνυσιν. ἦν δὲ καὶ σύμβολον καὶ πρόμηνυμα τῆς ἀεὶ καταστροφῆς τε καὶ ἐξερημώσεως τοῦ τε περιωνύμου ναοῦ ἰουδαϊκῶν τελετῶν· καὶ τρίτον, ὡς οὐκέτι μέρει τινὶ τῆς οἰκουμένης ἡ εὐσέβεια συγκλεισθήσεται· ἀλλ' ἅπαντα τὰ πέρατα, τῶν ἀποῤῥήτων ἐν ἀπολαύσει γενήσεται· ἔτι ἡ κιβωτὸς καὶ τὰ ἐν αὐτῇ, κατὰ τὸν τύπον γέγονε τοῦ ἀνθρώπου καὶ τῶν ὑπὸ τὸν οὐρανὸν, αὕτη δὲ διείργετο τῷ καταπετάσματι, καὶ ἀπεκρύπτετο· ἐδήλου δὲ τὴν εἰς οὐρανοὺς εἴσοδον, ἀνθρώποις ἄβατον συντετηρῆσθαι τέως· ῥήγνυται οὖν τὸ καταπέτασμα Χριστοῦ σταυρουμένου, τὴν εἰς οὐρανὸν εἴσοδον πᾶσιν ἡμῖν ὑποσαλπίζον καὶ εὐαγγελιζόμενον.

Εὐαγρίου. Καὶ ἡ τῶν μνημείων δὲ ἄνοιξις, νοεῖν ὑπέβαλλε τὴν ἐλευθερίαν τῶν κατεχομένων ἐν ᾅδῃ ψυχῶν, καὶ τὴν ἀνάστασιν τῶν νεκρῶν, ἧς πρωτότοκος καὶ ἀπαρχὴ, αὐτὸς ὁ παθὼν Ἰησοῦς γέγενηται· καὶ ἡ τοῦ ἡλίου δὲ σκότωσις, ὑπέφαινε τὴν τοῦ ἀληθινοῦ φωτὸς τοῦ ἡλίου τῆς δικαιοσύνης ἀπὸ ἰουδαίων ἀναχώρησιν, τῆς ἡμέρας μεσούσης· ἔτι γὰρ ἐνέστηκεν ὁ αἰὼν οὗτος, ἡμέρα πολλαχοῦ τῶν γραφῶν ἀλληγορικῶς ὀνομαζόμενος· πληρουμένων ἅμα καὶ τῶν προφητειῶν τῶν οὕτως ἐχουσῶν, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· καὶ πάλιν· ἐπέδυ ὁ ἥλιος αὐτοῖς, ἔτι μεσούσης τῆς ἡμέρας.

v. 48. p. 309. b. Ὑπατίου. Ἴδιον μέντοι ἐστὶ τῶν ἐπὶ τοῖς ἰδίοις ἢ τοῖς ἀλλοτρίοις ἁμαρτήμασι κατανισσομένων, τὸ τύπτειν τὸ στῆθος· ἱστορεῖται γοῦν ὁ τελώνης τοῦτο ποιῶν, κἀνταῦθα οἱ ὄχλοι.

Πρόκλου. Εἶδεν ἥλιος ἐπὶ ξύλου στηλιτευθέντα διάβολον· σταυρὸς ἀπὸ κατάρας φύσιν ἠγόρασε· τριάκοντα ἀργυρίων κοσμικὸν λύτρον ἐπράθη· πάθος ἀναμάρτητον, ἁμαρτίας γέγονε χωνευτήριον· μνῆμα θανάτου πορθητὸν ἐδέξατο· οὐρανὸς ἐν ἡμέρᾳ μέσῃ σκότος ἐνεδύσατο, ἵνα μὴ ἴδῃ δρᾶμα κατὰ θεοῦ μὲν τολμώμενον, σαρκὸς δὲ ἁπτόμενον· ᾅδης ἔφριξεν ὃν κατέπιε· θάνατος ἤμεσεν ὃν ἀγνοῶν κατέπιεν· ἀλλὰ γὰρ εἰ καὶ νόμου παρακούεις, ὦ ἰουδαῖε, καὶ προφήτας παραλογίζεις, ἐρωτήσωμεν τὰ στοιχεῖα, καὶ ἴδωμεν τί ὁμολογεῖ τὸν σαρκὶ παθόντα· εἰπὲ οὖν ἡμῖν ἥλιε, τί συνέστειλας τὰς ἀκτῖνας σταυρουμένου Χριστοῦ; ὅτι ψιλὸς ἄνθρωπος ὁ σταυρούμενος; οὐκοῦν, ὤφειλες τοῦτο ποιῆσαι καὶ ἐπὶ τοῦ Ἄβελ ἀναιρουμένου· σὺ δὲ οὐρανὲ, διὰ τί σκότος ἐνεδύσω ἐν σταθηρᾷ μεσημβρίᾳ; διὰ τί οὐκ ἐθρήνησας καὶ ἐπὶ Ναβουθαί; διὰ τί ἀλλὰ καὶ ἡ γῆ ἐτρόμασας, ὅτε οἱ θεομάχοι ἐτόλμων ταῦτα; πῶς οὖν οὐκ ἐπὶ τοῦ Ἡσαΐου; ὢ ναὲ διὰ τί ἔσχισας τὸ καταπέτασμα; πῶς οὐ περιεσχίσω, ὅτε τὸ αἷμα Ζαχαρίου ἐν μέσῳ σου ἐξεχεῖτο; ἀποκρίνεται ἄνευ φωνῆς, πᾶσα ἡ κτίσις ἐκηρύξαμεν τῷ πένθει τὸν δεσπότην· οὐχ ὁμοδούλου πάθος ἐθρηνήσαμεν, ἀλλὰ δεσπότου ὕβριν ἐφρίξαμεν.

v. 50. p. 310. a. Φωτίου. Ἦν ποτε κρύφιος φίλος ὁ Ἰωσὴφ, καὶ νυκτερινὸς Χριστοῦ μαθητής· ἀλλ' ὕστερον

τοὺς δεσμοὺς ἀποῤῥίψας τῆς δειλίας, τῶν εἰς τὸ φανερὸν φιλούντων θερμότερός τε καὶ θαῤῥαλεώτερος γέγονε· καὶ τὸ δεσποτικὸν ἐν ὕβρει κρεμάμενον σῶμα τοῦ ξύλου καθελὼν, τῆς δυνατῆς θεραπείας οὐκ ἠμέλησε, ῥημάτων μετριότητι, τὸν πολυτελῆ μαργαρίτην ἐμπορευόμενος, καὶ κρύπτων τούτων τὸ σπουδαζόμενον· οὐδὲ γὰρ ὡς δή τι μέγα φρονῶν ἢ φθεγγόμενος, οὕτως τὸ σῶμα ἐπιζητεῖ, ἀλλ' ὡς ἂν ἐλαίῳ καὶ φιλανθρωπίᾳ διδοὺς, εἰς ταφὴν αἰτεῖται τὸν νεκρόν· καὶ πρόσεισι μὲν τῷ Πιλάτῳ, ὄκνον ἅπαντα καὶ φόβον ἀποῤῥιψάμενος, εἶτα δὲ βουλῆς κοινωνῶν, κατενεχθῆναι τὸ σῶμα τοῦ τεθνηκότος συμβουλεύει, ἤδη γὰρ τῆς παρασκευῆς ταῖς τοῦ ἡλίου δυσμαῖς συνυποληγούσης, καὶ ὁ τοῦ σαββάτου νόμος τῇ ἐπιούσῃ συνανεφαίνετο· καὶ πιθανώτερος ἐδόκει, καὶ τὸν νόμον ἴσως ὑποφαίνων, δι' ὃν οὐκ ἐχρῆν μετέωρα μένειν ἔτι τὰ σώματα τῶν ἀνῃρημένων· τὰ μὲν γὰρ ἄλλα τῶν ἰουδαίων ἐκθέσμως πραττόντων, καὶ ἀπερικαλύπτῳ τῇ κεφαλῇ τῶν πατρίων ἐκδιαιτωμένων, ἐν οἷς οὐδὲν ἀντίπαλον τοῦ θελήματος ἀπήντα, καὶ ῥᾷστον ἦν ἐκτελέσαι, ἡ περὶ τοὺς νόμους εὐλάβεια κατεσπούδαστο· καὶ δός μοι, φησὶν ὁ Ἰωσὴφ, εἰ βούλει, θάψαι τὸν νεκρὸν τοῦ Ἰησοῦ. *Et reliqua usque ad* τῆς συνήθους ἀξιοῖ φροντίδος, *quae nos iamdiu edidimus in praefatione voluminis primi, ubi Photii scriptorum notitiam exhibuimus.*

Τοῦ αὐτοῦ. Σμύρνης οὖν ἐπιπλάσσων καὶ ἀλόης τὸ σῶμα τὸ δεσποτικὸν, ὃ τοῖς τελευτῶσι παρά γε τοῖς ἰουδαίοις τιμὴ τελευταία, καὶ τοῖς νεκροστολίοις περιελίσσων ὀθονίοις, πρὸς τῷ καινῷ κατατίθησι μνημείῳ· καινὸν δὲ τὸ μνημεῖον παρεσκεύαστο, αὐτῷ τε τῷ δεσπότῃ τὸν δυνατὸν τρόπον τοῦ Ἰωσὴφ τιμὴν ἐξευρίσκοντος· τάφος γὰρ καινὸς καὶ ἴδιος, ἀλλὰ μὴ κοινὸς καὶ πολλοῖς ἐκλελυμασμένος σώμασι, τὴν ὡς ἐν νεκροῖς τῷ θαπτομένῳ προσνέμει σεμνότητα· καὶ διπλῆς ἄλλης οἰκονομουμένης αἰτίας ἕνεκα, μιᾶς μὲν, ἵνα μὴ τοῦ τῆς ἀναστάσεως ἐπιτελουμένου θαύματος τοῖς πάντα τολμῶσι καὶ ἀναισχυντοῦσιν ἰουδαίοις, ἄλλος τις τῶν συντεθαμμένων ἐπιφημισθῇ, οὐχ' ὁ παρ' αὐτῶν τῷ σταυρῷ καταδεδικασμένος, τῶν νεκρῶν ἀναστάμενος, ἀλλ' ἵνα αὐτοῖς πανταχόθεν ἡ πᾶσα ψευδολογίας καὶ θεομαχίας περικεκομμένη πρόφασις· ἑτέρας δὲ, τοῦ μὴ δόξαι τισιν ἐκεῖνα μόνα τῶν σωμάτων ἐξαναστῆναι τοῦ τάφου, οἷς τὸ δεσποτικὸν ἐπεχωρίαζε σῶμα καὶ ἐπλησίαζεν· ὃν καί τινες τῶν ἁγίων πάλαι καὶ ζῶντος ἔτι διεπέπρακτο, καὶ αὖ τελευτήσαντος· ἀλλὰ ἵν' ὥσπερ ὑπὲρ πάντων εἴη τὸ κατὰ τοῦ ᾅδου κράτος ὁ δεσπότης ἀναδεδεγμένος, οὕτω καὶ τῶν πανταχοῦ γῆς καὶ θαλάσσης διεῤῥιμμένων σωμάτων, καὶ πυρὶ καὶ ἀέρι διεσκεδασμένων, λαμπρῶς ἐπιγνωσθῇ τῷ οἰκείῳ πάθει διαπεπραγμένος τὴν ἀνάστασιν· οἷς γὰρ τινῶν μὲν οὐ συνετέθαπτο σώμασι, πολλοὶ δὲ τῶν ἁγίων ἀναστάντες, ἀλλοθί που καὶ ἄλλοθι καὶ σποράδην καὶ οὐ κατὰ τὸ δεσποτικὸν μνῆμα κείμενοι, πολλοῖς ἦλθον εἰς ἐμφάνειαν· διὰ τούτων μᾶλλον τρανῶς ἐπιδείκνυται, μὴ τῶν μὲν, τῶν δὲ μὴ, ἀλλ' ὑπὲρ πάντων τῷ δεσπότῃ ὅ τε θάνατος γεγενημένος καὶ ἡ ἀνάστασις· διὰ ταῦτα γὰρ οὖν καὶ τοιαῦτα, καινὸς ὁ δεσποτικὸς τάφος τῷ Ἰωσὴφ ἐλάξευτο· ἐκείνου μὲν μὴ συνορῶντος ἴσως ἅπαντα, ἀλλὰ πρὸς ἕν γε, τὴν τιμὴν, ἀποβλέποντος· τῆς θείας δὲ καὶ ταῦτα προκαταρτιζούσης καὶ συνοικονομούσης προγνώσεως.

## CAP. XXIV.

v. 2. p. 314. a. Ἀνεπιγράφου. Μηδεὶς οὖν οἰέσθω διαφωνεῖν τοὺς εὐαγγελιστὰς, τῷ τὸν μὲν εἰπεῖν ἐλθούσας τὰς γυναῖκας εὑρεῖν τὸν λίθον ἀποκεκυλισμένον, τὸν δὲ, σεισμὸν πρῶτον γενέσθαι, εἶτ᾽ ἄγγελον ἐξ οὐρανοῦ καταβῆναι καὶ τὸν λίθον ἀποκυλίσαι· οὐ γὰρ ἐν τῷ αὐτῷ χρόνῳ κατὰ ταυτὸν γενέσθαι ἀμφότερα λέγουσιν, ἀλλ᾽ ἐν ἄλλῳ καὶ ἄλλῳ· πόθεν δὲ τοῦτο, εἰσόμεθα, ἐὰν οὕτως πῶς ἐξετάσομεν, ἐπὶ ποίων καὶ ποσῶν γυναικῶν· Ματθαῖος ἔφη ὀψίας, ἐπὶ Μαρίας τῆς Μαγδαληνῆς καὶ τῆς ἄλλης· ἐπὶ ποίων δέ; Μάρκος λίαν πρωῒ ἀνατείλαντος τοῦ Ἡλίου, εὑρεῖν τὸν λίθον ἀποκυλισμένον ἀπὸ τοῦ μνημείου, ἐπὶ τριῶν Μαρίας τῆς Μαγδαληνῆς, Μαρίας τῆς Ἰακώβου, καὶ Σαλώμης· ὥστε διαφόρων πραγμάτων ἐστὶ τὰ παρ᾽ αὐτοῖς ἐξήγησις· τότε δ᾽ ἂν ἦν ἐναντία, εἰ κατὰ τὴν αὐτὴν ὥραν ταῖς αὐταῖς μὴ τὰ αὐτὰ φανῆναι ἢ ῥηθῆναι ἔλεγον· νῦν δὲ, ὁ μὲν τὰ ἐν ἑσπέρᾳ λέγει συμβεβηκότα· ὁ δὲ, τὰ περὶ βαθὺν ὄρθρον· ὁ δὲ, τὰ μετὰ τὴν τοῦ ἡλίου ἀνατολήν· καὶ ὁ μὲν, περὶ ἑνὸς ἀγγέλου τοῦ τότε ὀφθέντος· ὁ δὲ, περὶ δύο, καθ᾽ ἕτερον ὀφθέντων καιρόν· καὶ ὁ μὲν δυσὶν, ὁ δὲ τρισὶν, ὁ δὲ πλείοσιν, ὁ δὲ μιᾷ Μαρίᾳ τῇ Μαγδαληνῇ, ἥτις καὶ καθ᾽ ἑαυτὴν καὶ μετὰ τῶν ἄλλων κατὰ μίαν ἢ καὶ πλείονας, συμπαρεγένετο, οἷα θερμοτέρα καὶ πλέον δακνομένη ἐπὶ τῷ πάθει τοῦ Ἰησοῦ, καὶ τὰς ἄλλας ἐπιθαῤῥύνουσα· ἢ καὶ ἀπιστοῦσα ἔτι περὶ ὧν ἐθεάσατο, καὶ ταῖς ἄλλαις μὴ ἀναγγέλλουσα, ἀκριβέστερον διὰ τῶν ἄλλων θέλουσα πεισθῆναι, μὴ φάσμα εἴη τὸ φανέν· καὶ διὰ τοῦτο αὐτὴν συναριθμοῦσι πάντες ταῖς ἄλλαις γυναιξὶν, ἢ τὰς ἄλλας ταύτῃ μεθ᾽ ἧς παρεγένοντο· ἑκάστου ἓν τούτων ἀπαγγέλλοντος, οὐ τὸ αὐτὸ ἀλλ᾽ ἕτερον καὶ ἕτερον· εἰ γὰρ ἔλεγέ τις μόνην θεάσασθαι καὶ μηδένα ἕτερον, τοῖς λέγουσι μεθ᾽ ἑτέρων αὐτὴν θεάσασθαι καὶ ἀκοῦσαι, προδήλως διαφωνῶν ἦν· καὶ εἰ ὁ μὲν, ἕνα ὀφθῆναι μόνον ἄγγελον, μηδένα δὲ ἕτερος, τῷ λέγοντι δύο ἀγγέλους θεάσασθαι, ἐναντίως ἔλεγεν· ὁμοίως ἐπὶ τῆς φανερώσεως καὶ θέας αὐτῆς τοῦ Ἰησοῦ· εἰ μὲν γὰρ Μάρκος καὶ Ἰωάννης ἔλεγον μόνῃ πεφανερῶσθαι τῇ Μαγδαληνῇ, καὶ μὴ ἁπλῶς καὶ ἀδιορίστως τῇ Μαγδαληνῇ, τῷ Ματθαίῳ λέγοντι καὶ τῇ ἄλλῃ ὀφθῆναι Μαρίᾳ, ἐναντίως ἔλεγον ὁμολογουμένως· ὁμοίως καὶ ὁ δυσὶ λέγων τῶν μαθητῶν φανερωθῆναι τὸν Ἰησοῦν περιπατοῦσιν ἔξω τῆς πόλεως, πρὸς τὸν Ματθαῖον οὐ διαφέρεται, λέγοντα εἰς τὴν Γαλιλαίαν ὀφθῆναι· οὐ γὰρ τῶν ἕνδεκα ἦσαν οἷς ὤφθη, ἀλλὰ τῶν ἑβδομήκοντα μαθητῶν, οἱ περὶ Κλεόπαν· καὶ Ματθαῖος δὲ ἁπλῶς οὕτως ἔφη, ὅτι οἱ ἕνδεκα ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, κἀκεῖσε, εἶδον τὸν Χριστόν· οὐ μέντοι ἐν τῇ Γαλιλαίᾳ μόνον, μηκέτι δὲ ἐν Ἱεροσολύμοις· οὔτε πάλιν ὁ Λουκᾶς ἐν Ἱερουσαλὴμ λέγων ὀφθῆναι ἀπιστοῦσι τοῖς μαθηταῖς τὸν Ἰησοῦν, τὸ μόνον προσέθηκεν· ὅτι μὲν γὰρ ἐν τῇ Γαλιλαίᾳ προσεκύνησαν, καὶ ὅτι ἐδίστασαν, Ματθαῖος λέγει· τὸ δὲ πῶς ἐπείσθησαν διστάσαντες, καὶ ποῦ, οὐ προστίθησιν ὅτι ἐν Ἱεροσολύμοις, ἀλλ᾽ ἐπὶ τὴν τελευτὴν ἀμέσως ἔρχεται τοῦ, πορευθέντες, μαθητεύσατε πάντα τὰ ἔθνη, μεθ᾽ ἣν ἡ ἀνάληψις γέγονε· τὰ δὲ ἐν μέσῳ τῆς ἐν Γαλιλαίᾳ πορείας τῶν μαθητῶν καὶ θέας καὶ ἀπιστίας καὶ τῆς ἀναλήψεως, ὁ Λοῦκας γράφει.

v. 13. Τοῦ αὐτοῦ. Δύο τῶν μαθητῶν βαδίζοντες εἰς κώμην Ἐμμαοὺς, διαλέγονται πρὸς ἀλλήλους, ὡς οὐ ζῶντα προσδοκῶντες ἔτι Χριστὸν, ἀλλ᾽ ὡς ἀνῃρημένου τοῦ σωτῆρος, ἀνιώμενοι·

ὅτε γοῦν προσελθὼν αὐτοῖς ὁ Χριστὸς ἐπηρώτησε, τί ποτέ ἐστιν αὐτοῖς τὸ τῆς σκυθρωπότη-
τος αἴτιον; ἀπεκρίθη ὁ Κλεόπας, ὅτι τὸ παραδοθῆναι Ἰησοῦν, καὶ παθεῖν· εἶτα ἐπάγει,
ἡμεῖς δὲ ἠλπίζομεν· ἀπηλπικότων ἡ φωνή· ἠλπίζομεν γάρ φησιν, οὐκ ἐλπίζομεν· ὅμοιον ἡγού-
μενοι τὸν τοῦ κυρίου θάνατον οἷον τὸν τῶν ἀθρώπων· ἔπειτα τὴν φήμην τῆς ἀναστάσεως
τὴν διὰ τῶν γυναικῶν, καὶ τὴν διὰ τοῦ Πέτρου, λέγουσι μὲν, οὐ μὴν ὡς πιστεύοντες· διὸ
φασὶν ὅτι ἐξέστησαν ἡμᾶς αἱ γυναῖκες· οὐ γὰρ ἡγοῦντο πιστὸν τὸ λεγόμενον· οὐδὲ εὐαγγελισ-
μὸν ἀληθείας καὶ φωτισμὸν, ἀλλά τι ταραχῆς καὶ ἐκστάσεως αἴτιον· καὶ τήν γε τοῦ Πέ-
τρου μαρτυρίαν τὰ ὀθόνια μόνον ἐπὶ τοῦ μνήματος ἑωρακότος, οὐ πιστὴν εἶναι ἐνόμιζον τοῦ
πάντως ἀναστῆναι τὸν κύριον, ὅτι μὴ αὐτὸν ἰδὼν ἔλεγεν, ἀλλ' ἐκ τοῦ μὴ κεῖσθαι, τὸ ἀνα-
στῆναι τεκμαιρόμενος.

Τοῦ αὐτοῦ. Τοῖς τε τῆς ἀτιμίας, τοῖς τε τῆς δόξης, ἐξεγείρει ὁ κύριος ἐνταῦθα τὸ βρα- v. 25. p. 314. b.
δὺ καὶ νωχελὲς τῶν ἀνθρώπων· καὶ μεγάλα φρονεῖν καὶ πιστεύειν διδάσκει, κατὰ βραχὺ τὴν
τῆς ἀναστάσεως ἐπίγνωσιν αὐτοῖς ἐνδιδούς· πρῶτον μὲν ἐξ ἀκοῆς τῆς ἐκ γυναικῶν, ἔπειτα
ἐξ ὄψεως τοῦ μνημείου κενοῦ καταλελειμμένου, τελευταῖον δὲ ἐξ αὐτοψίας ἤδη τῆς ἑαυτοῦ,
καὶ λόγων ἐπιστρεπτικῶν· ἔφη γάρ· ὦ ἀνόητοι, καὶ τὰ ἑξῆς· ἀναγκαίως δὲ ἐν τούτοις δείκ-
νυσιν ὁ κύριος τὴν τοῦ νόμου πρόοδον, καὶ τὴν τῶν προφητῶν λειτουργίαν, πίστιν ἐπὶ τῷ
παραδόξῳ πράγματι προεισαγόντων, ἵν' ἐπιστάσης τῆς ἀναστάσεως, οἱ θορυβούμενοι τῷ μεγέθει
τοῦ πράγματος, ἀναμνήσει τῶν παλαιῶν προῤῥήσεων, εἰς τὸ πιστεύειν ἐπιστρέφοιντο· διὸ παράγει
μάρτυρας ἐν μέσῳ, Μωσέα καὶ προφήτας· τὸ ἐπικεκρυμμένον ἑρμηνεύων, καὶ τὸ πρὸς τοὺς
ἀναξίους ἀσαφὲς, τοῖς ἀξίοις σαφηνίζων, ἀρχαίαν τὲ καὶ πάτριον τὴν πίστιν αὐτοῖς ἐντιθεὶς
ἐξ ὧν κατεῖχον γραμμάτων ἱερῶν· οὐδὲν γὰρ τῶν παρὰ θεοῦ μάταιον, ἀλλὰ τάξις ἁπάν-
των, καὶ χρεία τῶν καθέκαστον ἀναγκαία· ἐν τάξει προαπεστέλλοντο δοῦλοι, καὶ προοικονόμουν
τῇ τοῦ δεσπότου παρουσίᾳ, ἀναγκαίαν τὴν προφητείαν εἰς τὴν πίστιν ἀνθρώποις προεισά-
γοντες· ἵν' ὥσπερ ἐν θησαυρῷ βασιλέως, ἐν καιρῷ προβληθείη τὰ προειρημένα, ἐξ ἀποκρύφου
τῆς προτέρας ἀσαφείας, εἰς τὸ ἐμφανὲς διὰ τῆς σαφηνείας ἀποκαλυπτόμενα.

Τοῦ αὐτοῦ. Ἐνταῦθα ἐμφανέστερον ἑαυτὸν καθίστησι τοῖς ἀξιοῦσιν αὐτὸν εἰς τὴν κώ- p. 315. b.
μην αὐτοῖς συνελθεῖν, οἷς καὶ διηνοίχθησαν οἱ ὀφθαλμοί· ὅτε λαβὼν τὸν ἄρτον, εὐλογήσας
καὶ κλάσας ἐπεδίδου· τέως γὰρ προείρηκεν ὁ εὐαγγελιστὴς ἐκρατοῦντο οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ
μὴ ἐπιγνῶναι, ἕως οὗ ὁ λόγος εἰσέλθοι κινεῖν τὴν διάνοιαν εἰς τὴν πίστιν· ἔπειτα οὕτω και-
ρίαν τὴν ὄψιν ἐπὶ τῇ ἀκοῇ παραστήσει τὸ προακουσθὲν καὶ πιστωθὲν ἐμφανὴς καθιστάς· οὐ μὴν
συμπαραμένει γε γε αὐτοῖς, ἀλλ' ἀφίπταται· οὐκέτι γὰρ μετὰ τὴν ἀνάστασιν τοιαῦτα τὰ τοῦ
κυρίου πρὸς ἀνθρώπους, οἷα τὰ πρότερον· ὅτι καὶ αὐτοῖς ἀνακαινώσεως ἔδει καὶ δευτέρας
ζωῆς τῆς κατὰ Χριστὸν, ἵνα καινοὶ καινῷ συνεῖεν, καὶ ἄφθαρτοι πλησιάζοιεν ἀφθάρτῳ· διὸ
καὶ τὴν Μαρίαν ἐκώλυσεν ἐφάψασθαι αὐτοῦ, καθά φησιν ὁ Ἰωάννης, ἕως ἂν ἀπελθὼν πά-
λιν ἀφικνεῖται.

Φωτίου. Οὐ μὴν ὑποληπτέον ὅτι ἡ παράβασις τοὺς ὀφθαλμοὺς ἐκείνων διήνοιξεν, ἄπαγε· v. 31. p. 316. a.
οὐδὲ γὰρ οὐδ' ἐν αὐτῇ παραβάσει γέγραπται τοὺς ὀφθαλμοὺς αὐτῶν διενοῖχθαι, ἀλλὰ μετὰ
τὴν παράβασιν· ὅπερ τοιοῦτόν ἐστι μετὰ τὴν ἁμαρτίαν ὡς τὰ πολλὰ ἐπίγνωσις τοῦ ἁμαρτή-
ματος γίνεται, καὶ τὸ μέγεθος τοῦ τολμήματος τότε μᾶλλον ἐπιγινώσκεται· τοῦ γὰρ ἐπι-
προσθοῦντος πάθους καὶ κινοῦντος οἴστρου πρὸς τὴν ἁμαρτίαν, μετὰ τὴν ἔκθεσμον πρᾶξιν

πεπαυμένου, τότε ὥσπερ διακύψας τῆς πολλῆς ἐκείνης ἀχλύος ὁ λογισμὸς καὶ ἀνανήψας ἐφορᾷ τὰ πεπραγμένα καὶ εἰς οἵαν κατάστασιν ἐξ οἵας μετηνέχθη, μᾶλλον λαμβάνει τὴν συναίσθησιν, καὶ τὸ συνειδὸς τιτρώσκον αὐτὸν καὶ διεγεῖρον ἔχον, διαβλέπει τρανῶς ἃ τοῦ πάθους ἐπιπροσθοῦντος, οὐχ ὁμοίως ἔβλεπεν· ἄλλως δὲ πρὸς τὴν ἁμαρτίαν ἕκαστος χωρῶν, οἷς ὁ πονηρὸς διαγαργαλίζων τε καὶ ὑποθέλγων ἡμᾶς ἐκθηλύνει, καὶ γνόφου πληροῖ, κεκαρωμένους ὥσπερ φέρει τοὺς λογισμοὺς, καὶ πεπηρωμένον τὸ ὀπτικὸν τῆς διακρίσεως· μετὰ δὲ τὴν πρᾶξιν, ὑπ' ὄψιν ἄγει τὸ τολμηθὲν, καὶ ἀνακαλύπτει πικρῶς, ὃ πρότερον πολλαῖς μηχαναῖς συνεκάλυπτεν· εἶτα, δι' ὧν κατάφωρον τὸν ὄγκον ἀποτελεῖ τοῦ τολμήματος, πρὸς ἀπόγνωσιν ὠθεῖν πειρᾶται τὸν ἁμαρτήσαντα· τὸ γοῦν διηνοίχθησαν αὐτῶν οἱ ὀφθαλμοὶ, οὐ πρὸς τὸν ἔμπροσθεν χρόνον, οὐδὲ πρὶν ἢ τῆς ἐντολῆς αὐτοὺς ἐκπεσεῖν, παραληπτέον· τότε γὰρ ἠνεωγμένους εἶχον μᾶλλον, μήπω τοῦ ὄφεως τοῖς ψυθυρισμοῖς ὑπολαπέντες, καὶ συνορᾷν τὸ πρακτέον, ἐγρήγορον ἔφερον τὴν διάνοιαν· οὐκοῦν τὸ βλέπειν οὐκ ἔχοντες, ἐπὶ τῆς ἁμαρτίας ἀνέλαβον· τοὐναντίον δὲ τὴν ἁμαρτίαν ἐν τῷ πράττειν τυφλώττοντες, πεπαυμένης τὴν ὅρασιν ἀνεκτήσαντο· ἐνταῦθα μέν τοι τὸ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, ἀντὶ τοῦ τὸ βλέμμα αὐτῶν ὠξύνθη πρὸς ἐπίγνωσιν· ᾠκονόμει γὰρ τέως ὁ κύριος τὸ μὴ γνωσθῆναι αὐτοῖς, μέχρι τῆς τοῦ ἄρτου κλάσεως.

v. 36. p. 317. a. Τοῦ αὐτοῦ. Συντέμνει τὴν ὑπόσχεσιν, διὰ τὴν ὀλιγοψυχίαν τῶν μαθητῶν· καὶ διὰ τοῦτο πρὸ τῆς Γαλιλαίας ἐν αὐτοῖς Ἱεροσολύμοις, αὐτοῖς ἐμφανίζεται, καὶ οὐδήπου τοῦτο τῆς ἐπαγγελίας παράβασις· ταχεῖα δὲ μᾶλλον ἐκ πολλῆς φιλανθρωπίας ἐκπλήρωσις· ὤφθη δὲ μετὰ ταῦτα καὶ ἐν τῇ Γαλιλαίᾳ, ὅτι ἀπῆλθον ἐκεῖ· ἀπελθόντες γὰρ, φησιν, ὄψεσθέ με.

v. 44. p. 319. b. Ἀνεπιγράφου. Ἀναμιμνήσκει πάλιν τῶν προειρημένων, ἔργα σύμφωνα λόγοις ἀποδιδοὺς, καὶ λόγους δι' ἔργων πεπληρωμένους ἀποδεικνύς· εἴρητο ἐν τῷ νόμῳ, ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν, καὶ οὐ πιστεύσετε· τοῦτο πεπόνθασιν οἱ τάλανες ἰουδαῖοι· ὁρῶντες γὰρ Χριστὸν ἐπὶ ξύλου ἀπῃωρημένον, οὐ μόνον οὐκ ἐπίστευον, ἀλλὰ καὶ διεμυκτήριζον, καὶ ταῦτα θεὸν τηνικάδε ὑπὸ πάσης τῆς κτίσεως μαρτυρούμενον· γέγραπται ἐν τοῖς προφήταις, ἐν μὲν τῷ Ἱερεμίᾳ· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ· ἐν δὲ τῷ Ἡσαΐᾳ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ τὰ ἑξῆς· καὶ πάλιν, οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευται πονηρὰν βουλὴν· λέγοντες, δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν· ὁ δὲ Ἰσαὰκ τὰ ξύλα φέρων τῆς ὁλοκαρπώσεως, ἄντικρυς εἰκονίζει τὸν κύριον, τὸν σταυρὸν ἑαυτοῦ βαστάζοντα· Ἰωνᾶς δὲ καταπινόμενος ὑπὸ τοῦ κήτους, καὶ τριήμερος ἀπαθὴς ἐξεμούμενος, ὁμοῦ τὸν θάνατον ζωγραφεῖ τοῦ κυρίου, καὶ τὴν ἀνάστασιν· ὁ δὲ Δαβὶδ ψάλλων, ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ· καὶ οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου, τὸν τρόπον τοῦ θανάτου, καὶ τὴν ταφὴν, καὶ τὴν ἐξ ᾅδου προεμήνυσεν ἄνοδον· καὶ πολλὰ ἄν τις εἰπεῖν ἔχοι.

# ΕΥΑΓΡΙΟΥ

## ΑΛΛΑ ΤΙΝΑ.

### Luc. XIX. 4.

Η συκαμίνη τὴν μετάνοιαν σημαίνει, ὁ δὲ ὄχλος τὰ πάθη· ὁ τοίνυν ταῦτα διασχὼν, καὶ p. 254. b.
διὰ μετάνοιαν ὑψωθεὶς, ὁρᾷ τὸν Ἰησοῦν, καὶ ὁρᾶται ὑπ' αὐτοῦ, καὶ ὑποδέχεται αὐτὸν παρ' αὐτῷ σκηνούμενον, καὶ λαμβάνει τὴν σωτηρίαν, καὶ υἱὸς Ἀβραὰμ γίνεται.

### Luc. XIX.

Ἐπειδὴ δὲ μισθόν τινες τῶν ἰδίων κατορθωμάτων παρὰ τοῦ σωτῆρος ἔσχον, ἐξουσιά- p. 256. b.
σαι δέκα πόλεων ἢ πέντε, ἄρχοντες τούτων τῶν πόλεων ἀναδειχθησόμενοι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, περὶ ταύτης δὲ τῆς ἐπαγγελίας χαμαιζήλως τινὲς διανοηθέντες, νομίζουσιν σατραπείας καὶ δυναστείας ἐγχειρισθήσεσθαι, διὰ τὸ εὖ βεβιωκέναι καὶ κατὰ Χριστὸν πεπολιτεῦσθαι· καὶ οὗτοι γὰρ ὥσπερ οἱ τροφὴν σωματικὴν ὑπολαβόντες τὰ ἆθλα τῆς ἀρετῆς εἶναι ἐν τῇ κάτω Ἱερουσαλὴμ, ἐκ λίθων τιμίων ἀνοικοδομουμένῃ, ἄρξειν καὶ δυναστεύσειν ἡγοῦνται· ἐπεὶ γὰρ καὶ τούτους ἔρως εἶχε τοῦ ἄρχειν καὶ ἐξουσιάζειν, ἐνταῦθα ἔτι διατρίβοντας, καὶ διὰ τοῦτο ἀτυφίᾳ καὶ τῷ ὑποτάττεσθαι τοῖς πέλας ἐπιδεδώκασι σφᾶς, διὰ τὸν Χριστοῦ λόγον, λέγοντα· πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται, τὸ φίλαρχον καὶ φιλόδοξον πάθος τῆς ψυχῆς οὐκ ἀποβαλόντες, ποθοῦσι μετὰ τὴν ἀνάστασιν σατράπαι ἢ ἡγεμόνες καὶ στρατηγοὶ ἀναφανῆναι· χρὴ καὶ τούτους ἀπαγαγεῖν τῆς χαμαιπετοῦς ὑπολήψεως, καὶ ζητῆσαι τίνες αἱ πόλεις, καὶ πῶς ἔχουσαι, καὶ ποῦ οὖσαι τυγχάνουσιν, ὧν τὴν ἐξουσίαν ὁ βασιλεὺς σωτὴρ ὀρέγει τοῖς τὰς ἐγχειρίσεις αὐτοῦ εἰς πέρας ἀγαγοῦσιν· νομίζομεν τοίνυν παραπλησίους εἶναι τὰς πόλεις ταύτας τῇ ἐπουρανίῳ Ἱερουσαλὴμ οὔσῃ πόλει θεοῦ ζῶντος, περὶ ἧς λέγεται ἐν ψαλμοῖς ὑπὸ τῶν ἐπ' αὐτὴν φθασάντων· καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν, ἐν πόλει κυρίου τῶν δυνάμεων· οἱ γὰρ ἔτι ἐν τῇ ἀνθρωπίνῃ ζωῇ ὄντες, ἀκηκοότες περὶ τῆς ἄνω πόλεως, καὶ τῆς ἐν αὐτῇ ἀγωγῆς, καὶ ὅσα ἐπ' αὐτῆς θεοπρεπῶς καὶ ἁγίως ἐπιτελεῖται, ἐπ' αὐτὴν φθάσαντες, καὶ ταῦτα εὑρόντες ἔργοις βεβαιούμενα, ὧν τοὺς λόγους ἐνταῦθα ἐπαιδεύοντο, συμβαλόντες οἷς ἀκηκόασι τὰ εὑρεθέντα πράγματα, φασίν· ἃ ἠκούσαμεν, ταῦτα καὶ εὕρομεν· ἀληθῶς γὰρ πόλις ἐστὶ τοῦ παμβασιλέως υἱοῦ τοῦ θεοῦ, κυρίου ὄντος τῶν, ἵν' οὕτως εἴπω, στρατιωτικῶν δυνάμεων· αὕτη δὲ ἡ πόλις, οὐχ ὑπὸ τοῦ τυχόντος ἵδρυται, ἢ ὑπὸ τοῦ, πάντα τὰ γενητὰ εἰς οὐσίαν ἀγαγόντος· διὸ εἴρηται· ὁ θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα· συνῳδὰ δὲ τούτοις περὶ τῆς ἐλπίδος τῶν ἁγίων γράφει ὁ φάσκων· ἐξεδέχοντο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς, ὁ θεός· τοιούτων δηλαδὴ καὶ ἑτέρων πόλεων πεφηνυιῶν, οἷα ἐστὶν ἡ ἐπουράνιος Ἱερουσαλὴμ, ἀκόλουθον καὶ αὐτὰς ἐπουρανίους εἶναι· ἐὰν οὖν τούτων τῶν πόλεων, τοῖς ἀνδραγαθήσασιν ἐφ' οἷς ἐπιστεύθησαν χρήμασι λογικοῖς δούλοις ἑαυτοῦ, ὁ σωτὴρ ἐξουσίαν νέμῃ, οὐ δεῖ οἴεσθαι σατραπείας καὶ δυναστείας ἀνθρωπίνας ἐν τῇ ἐπιγείῳ Ἱερουσαλὴμ δίδοσθαι, ἀλλὰ τοὺς ἐξου-

σίαν εἰληφότας ἡγήσασθαι τῶν προκειμένων πόλεων, παραπλησίως ἄρξειν τοῖς ἡγουμένοις τῶν ἀγγέλων ἀρχαγγέλοις· τῶν ἱερῶν τούτων πόλεων τάχα συμπληρουμένων ἐξ οἰκητόρων, ἤτοι ψυχῶν ἱερῶν καὶ πνευμάτων δικαίων· ταύτης δὲ τῆς ἐπαγγελίας τεύξονται, οἱ ἀπεντεῦθεν ἄρξαντες τοῦ ἰδίου σώματος, καὶ τῶν ἀλόγων τῆς ψυχῆς παθῶν, καὶ τῶν ὁμοφύλων· ὑπωπιάσαντες γὰρ τὸ σῶμα, καὶ δουλαγωγήσαντες, νεκρώσαντές τε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ἐν εἰσαγωγῇ τοῦ ἄρχειν γεγένηνται· εἶτα μετὰ τὸ ἑαυτοὺς ὠφελῆσαι, ἄξιοι κριθέντες καὶ ἑτέρους εἰς παίδευσιν παραλαβεῖν ὧν αὐτοὶ κατώρθωσαν, διδάσκαλοι ἔργῳ καὶ λόγῳ τούτων ἀποδειχθέντες· τοῦτο γὰρ ἦν τὸ τὰ λογικὰ ὑπάρχοντα τοῦ δεσπότου ὄντα θεῖα παιδεύματα· κατὰ τὰ λόγια κυρίου, τὰ λόγια ἁγνὰ, ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ, τοκίζειν καὶ διαπραγματεύεσθαι, κερδήσαντες τὴν τῶν πεπαιδευμένων ὑπὸ σφῶν ὠφέλειαν, ἐπὶ τὸ καὶ τὰ μείζονα πιστευθῆναι εἰκότως ἤχθησαν· πόλεων γοῦν ἐπουρανίων ἄρχοντες ἀπεδείχθησαν παρ' αὐτοῦ τοῦ παμβασιλέως θεοῦ λόγου τὴν ἡγεμονίαν ἐπιτραπέντες· καὶ ὥσπερ παρ' ἡμῖν ὁ δι' ἠθικῆς παιδεύσεως ἄρχειν ἑαυτοῦ μαθὼν, ἐπὶ οἰκονομίαν ἄγεται, τέλος δὲ τῷ οἰκονομίαν ἐπιτραπέντι πρόκειται, τὸ εὖ τὴν οἰκονομίαν διαθέσθαι, ἐφ' ᾧ κατορθώματι μισθὸν λήψεται τὸ καὶ πόλεως ἡγήσασθαι· τούτου δὲ σύμβολον, ὁ τοῦ Ἰωσὴφ βίος φέρει· ἑαυτοῦ γὰρ ἄρχειν μαθὼν παρὰ τῷ πατρὶ τοὺς θείους πεπαιδευμένος νόμους, ὡς πασῶν ἡδονῶν καὶ τῶν ἄλλων παθῶν, διὰ σωφροσύνης καὶ τῆς λοιπῆς ἀρετῆς ἀνωτέρω χωρήσας, τὴν τῆς οἰκίας οἰκονομίαν, ὑπὸ τοῦ πριαμένου ἐγχειρίζεται· καὶ τὴν ἐπιμέλειαν τοῦ δεσμωτηρίου ὑπὸ τοῦ εἱρκτοφύλακος παραλαμβάνει· καὶ τούτοις ἄριστος κηδεμὼν ἀποδειχθεὶς, τῆς πάσης Αἰγύπτου τὴν προστασίαν δέχεται, ὕπαρχος μετὰ τὸν βασιλέα χειροτονηθεὶς· κατὰ τὸ ἀκόλουθον οὖν καὶ οἱ τῆς θεοσεβείας ἄνθρωποι, πρότερον αὐτῶν δι' ἐγκρατείας ἄρξαντες, καὶ τῶν ἰδίων οἴκων ἐπιμεληθέντες, ἐκκλησίας ἡγεῖσθαι χειροτονοῦνται· ᾗ φησι Παῦλος· εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; μετὰ τὸ τοίνυν ἑαυτὸν, καὶ τέκνων, καὶ οἴκου, εἶτα ἐκκλησίας ὃν δεῖ τρόπον ἐπιμέλεσθαι, τούτων αὐτῶν τῶν κατορθωμάτων ἆθλον ἕξουσι τὴν ἐπὶ τῶν προειρημένων πόλεων ἐξουσίαν· τούτων δὲ τῶν πόλεων σύμβολα δυνατὸν εἶναι, τὰς τῆς κάτω Ἰουδαίας πόλεις· ὡς γὰρ ἡ ἐπίγειος Ἱερουσαλὴμ εἰκόνα περιέχει τῆς ἐπουρανίου, οὕτω νομίζω καὶ τὰς ὑπὸ ταύτῃ τῇ Ἰουδαίᾳ πόλεις· ὡς γὰρ ἡ ἐπίγειος Ἱερουσαλὴμ μίμημα καὶ τύπον φέρει τῶν ὑπὸ τὴν ἄνω Ἱερουσαλὴμ πόλεων· ὥσπερ οὖν πόλις ἦν τοῦ βασιλέως, ἡ ἐπίγειος Ἱερουσαλὴμ, τῶν δ' ἄλλων πόλεων ἄρχειν ἐδοκιμάζοντο ὑπὸ τοῦ βασιλέως οἱ πρὸς τοῦτο ἐπιτηδείως ἔχοντες, οὕτω τῆς ἐπουρανίου Ἱερουσαλὴμ τῆς πόλεως τοῦ ζῶντος θεοῦ, βασιλεὺς μέγας ἐστὶν ὁ κύριος· τῶν δὲ λοιπῶν ἐπουρανίων πόλεων ἄρχοντες γενήσονται, οἱ ὑπὸ τοῦ σωτῆρος λαβόντες ἐπαγγελίαν ἐξουσίαν ἔχειν ἐπάνω δέκα πόλεων, ἢ γίνεσθαι ἐπάνω πέντε πόλεων.

## PATRES IN COLLECTIONE HERMENEUTICA AD LUCAM LAUDATI.



P. 659 mendum est Ἀνδρέου pro ἀνδριάντων, qui est Chrysostomi locus ex homiliis de statuis.

Praeter supradictos, alii erant in sylloge Patres, quorum Cyrillum quidem et quosdam alios separatim edidimus in decimo classicorum Auctorum tomo. Reliquorum nomina haec sunt.

Ambrosius
Apollinaris
Athanasius
Clemens alex.
Cyprianus
Cyrillus
Dorotheus
Dionysius areop.
Dionysius alex.
Eusebius (a nobis editus tomo I. scriptorum veterum)
Epiphanius
Eutychius
Gregorius theologus
Gregorius nyssenus
Ioh. Chrysostomus
Ioh. Climacus
Ioh. Damascenus
Iosephus iudaeus
Isidorus pelusiota
Iulius Africanus
Leo papa ad Flavianum
Maximus
Nilus
Origenes
Philo iudaeus
Silvester (a nobis editus T. VIII. Scriptorum veterum part. 2. p. 26.)
Theodoretus
Theodorus mopsuestenus
Titus bostrensis
Severus

In altero codice, unde Cyrilli supplementa sumpsimus, hi erant Auctores, qui in primo desiderabantur.

Ammonius
Arsenius
Athanasius corinthius
Caesarius frater Gregorii naz.
Eulogius alexandrinus
Gregorius thaumaturgus
Iobius monachus
Modestus hierosol.

# ΣΕΥΗΡΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ

### ΑΠΟΣΠΑΣΜΑΤΙΑ ΔΙΑΦΟΡΑ. (1)

Ἀπὸ λόγου μη΄. Περὶ τῶν διδασκόντων ἀδόκιμα, καὶ ἐπιμιγνύντων ταῖς θείαις ἐντολαῖς τὰ ἀνθρώπινα καὶ πρὸς τὴν βιωτικὴν διάχυσιν ἄγοντα. Cod. p. 65. b.

Ἀπὸ λόγου ϟ΄. Μή πως ὅλη θέα προσλαβόντα τῷ ὑπερβάλλοντι, καὶ μὴ ἐνεγκόντα, p. 72. b. καὶ τὸ μέτριον ἀπολέσῃ τῆς εἰς αὐτὰ κατιούσης ἐλλάμψεως, ἧς τοσοῦτον αὐτοῖς ἐστι θεατὸν, ὅσον ἂν ἰδεῖν δυνηθείη πρόσωπον κατακαλυπτόμενον πτέρυξιν· τοῦτο δὲ κέντρον τι φωτὸς, μικρὸν ὑποφαίνει καὶ ἀμυδρότατον.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὥσπερ τὸ δέος καὶ τὴν ἀγωνίαν δηλοῖ· τεκμήριον γὰρ φόβου τὸ εἰς ἑαυτὸν τινὰ συννεύειν, καὶ ἔσω συστέλλεσθαι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τρισσῇ γὰρ καὶ ὁμοτίμῳ φωνῇ, τὰς τρεῖς ὑποστάσεις πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος διακρίνασα, καὶ τὸ ἀσύγχυτον αὐτῶν κατὰ τοῦτο τρανώσασα, τῷ εἰπεῖν ἅγιος ἅγιος ἅγιος· οὕτω τὰς τρεῖς μίαν συνήγαγεν κυριότητα καὶ θεότητα, τῷ ἐπενεγκεῖν, κύριος σαβαώθ· μία γὰρ κυριότης καὶ θεότης τῶν τριῶν ὑποστάσεων.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Σαβαὼθ δὲ στρατιὰν δηλοῖ, τουτέστι τῶν ἐπουρανίων τάξεών p. 73. a. τε καὶ δυνάμεων· ἐπεὶ καὶ ὁ κύριος ἐστι καὶ θεὸς οὐ μόνον τῆς ὁρατῆς, ἀλλὰ καὶ τῆς ἀοράτου κτίσεως, ὁ ἐν μονάδι καὶ τριάδι καὶ τριάδια νοούμενος, ὡς δημιοῦργος καὶ κτίστης καὶ ποιητής.

Ἀπὸ τοῦ λόγου μη΄. Οἶδεν ὁ προφήτης τὸν Ἐμμανουὴλ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καθήμενον, καὶ ὡς κύριον μὲν σαβαὼθ ὑπὸ τῶν σεραφὶμ ἀνυμνούμενον, ὡς ἄνθρακα p. 73. a. δὲ τὸν αὐτὸν ἐπὶ θυσιαστηρίου προκείμενον· καὶ μάλα εἰκότως ἄνθραξ προετύπου τὸν ἀτρέπτως δι' ἡμᾶς σαρκωθέντα καὶ ἐνανθρωπήσαντα λόγον· τοῦτο γὰρ ὁ Ἐμμανουήλ· καθάπερ γὰρ τὸ ξύλον συμπλακὲν πυρὶ καὶ διαθαλφθὲν ἐπιμελῶς καὶ κατὰ βάθους τὴν φλόγα δεξάμενον, πῦρ ὅλον νομίζεται, καὶ ταῦτα μὴ ἐκστὰν τοῦ εἶναι ξύλον, μηδὲ τὴν οἰκείαν φύσιν ἀποβάλλον, ἀλλ' ἀχωρίστως ἐνυπάρχειν πεπιστευμένον, καὶ ἄνθραξ ὀνομαζόμενον ἀδιαίρετον πρᾶγμα καὶ ὄνομα, καὶ τὰ τοῦ πυρὸς ἐνεργοῦν ἴδια, καὶ φωτίζον, καὶ καῖον· τὸν αὐτὸν τρόπον ἑνωθεὶς ὁ τοῦ θεοῦ λόγος τῇ ἐκ πνεύματος ἁγίου καὶ ἐκ Μαρίας σαρκὶ, τὴν ψυχὴν ἐχούσῃ τὴν νοερὰν· ἑνωθεὶς δὲ οὐχ ἁπλῶς, ἀλλ' ἑνώσει τῇ καθ' ὑπόστασιν, ὡς αὐτὸν νοεῖσθαι κατ' ἀλήθειαν σεσαρκῶσθαι καὶ ἐνανθρωπηκέναι· τετήρηκε μὲν τὴν σάρκα, τοῦτο οὖ-

(1) Fragmenta haec operum deperditorum Severi antiocheni ex catena vaticana veterum interpretum vaticiniorum Isaiae et Ezechielis sumimus; eaque addenda sunt aliis multis Severi fragmentis a nobis sparsim in septimo volumine editis.

σαν, ὅπερ ἐστι· καὶ οὐκ εἰς τὴν αὐτοῦ ταύτην μετέστησε φύσιν· οὔτε μὲν αὐτὸς εἰς τὴν ἐκείνης μετέπεσεν· ἑνωμένος δὲ ἅπαξ, ἀδιαιρέτως ἐνεῖναι λελόγισται πρὸς αὐτὴν, καὶ ἅπαν αὐτῇ τὸ ἴδιον ἐνεποίησεν, ὥςε καὶ ἰᾶσθαι, καὶ δημιουργεῖν καὶ ζωοποιεῖν· ἐπείπερ ἴδιον τοῦ δημιουργοῦ καὶ ζωοποιοῦ λόγου γέγονε σῶμα, καὶ ἄνθραξ ἔστι θεῖος καὶ νοητός.

Ἀπὸ τοῦ λόγου ϥ. Τὸν δὲ ἄνθρακα τύπον ἐπέχειν τοῦ Ἐμμανουὴλ, παντὶ τῷ σαφὲς, ὃς ἐπὶ τοῦ ὑψηλοῦ καὶ ἐπηρμένου θρόνου τοῦ ὑπὸ τῶν σεραφὶμ κυκλουμένου, τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι συνκαθήμενος, ὡς ἡ τρισάγιος δοξολογία δεδήλωκεν· καὶ οὐδὲ θεάληπτος ὢν καὶ ταῖς ἄνω δυνάμεσιν, ἐθελουσίως καταβέβηκε πρὸς ἡμᾶς, καὶ ἀναλλοιώτως γέγονεν ἄνθρωπος· τοῦτο γὰρ κατάβασις· ἐπεὶ μηδὲ ἀπὸ τόπου μεταβέβηκεν εἰς τόπον, ὅπερ ἀμήχανον· ἀλλ᾿ ὅλος ὢν ἐν πᾶσι, καὶ ὑπὲρ τὸ πᾶν ἀπεριγράπτως, ὅλος καὶ ἐν σώματι γέγονεν, ψυχὴν ἐχούσῃ νοερὰν· οὐχ ὡς ἐν μετοχῇ τινὶ καὶ ἐνεργείᾳ μόνῃ, τῇ ὑποστάσει δὲ αὐτῇ, καὶ ἑνώσει τῇ φυσικῇ.

Σευήρου. Προτύπου μὲν Ἐμμανουὴλ τὸν ἐκ θεότητος τοῦ νοητοῦ πυρὸς, καὶ ἐξ ἀνθρωπότητος τελείως ἐχούσης ἕνα καὶ ἀδιάτμητον καὶ ἄμερον.

p. 75. b. Τοῦ αὐτοῦ. Τοῦτο δὲ οὕτως ὑποςίζοντας ἀναγινώσκειν προσήκει· καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμυσαν, μήποτε ἴδωσιν· καὶ γὰρ τῆς ἄκρας αὐτῶν παχύτητος τῆς καρδίας καὶ τῆς τυφλώσεως τῶν τῆς διανοίας ὀφθαλμῶν, κατηγορίαν ἔχει μεγίστην· οὕτω γὰρ, φησιν, τὴν καρδίαν ἐπάχυναν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμυσαν, τάχα που καὶ δεδιότες μήποτε εἴδωσι τοῖς ὀφθαλμοῖς· καὶ οὐχ ὡς ἐκ θεοῦ σπουδάζοντος τοῦ μὴ ἰδεῖν αὐτοὺς τοῦτο λέγεται, τοῦ βουλομένου πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὥσπερ φθονοῦντος μὴ ἄρα που ἀκούσωσιν. Καὶ πάλιν. Τὸ δὲ εἰρημένον, οὐ θεὸν εἰσάγει τετυφλωκότα τοὺς ὀφθαλμοὺς, καὶ πεπηρωκότα τὴν καρδίαν, ἀλλὰ τὸ τέλος τῆς ἐκείνων παντελοῦς ἀπωλείας παρίστησι, δι᾿ ἧς μὴ βουλόμενοι βλέπειν τὰ φανερὰ καὶ δηλὰ, τὸ τέλειον σκότος τῆς ἀγνοίας κατεδικάσθησαν.

p. 76. a. Ἀπὸ λόγου ρα΄. Καὶ καινὸν μὲν τόμον μάλα εἰκότως τὸ εὐαγγέλιον προσηγόρευσεν, ὑπὸ τῶν προφητῶν ἐναργῶς προγραφὲν καὶ προαναφωνηθὲν, τὸ ἀεὶ νεάζον καὶ μηδέποτε γηράσκον, κατὰ τὸ ἐν πλαξὶ νομικὸν γράμμα παλαιωθέν· μέγαν δὲ ἔφη τὸν τόμον· πῶς γὰρ οὐ μέγα, πρᾶγμα τοσοῦτον εὐαγγελιζόμενον; καὶ μέγα καὶ ἀξιάγαστον· ἐπείπερ κατὰ Παῦλον ὁμολογουμένως μέγα ἐστι τὸ τῆς εὐσεβείας μυστήριον· καὶ ἄλλως δὲ μέγας ὁ τὰ τέλεια κομίζων, οὐχ ὡς ἔτι παισὶν, ἀλλ᾿ ὡς μεγάλοις τὴν νοητὴν ἡλικίαν μαθήματα.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὴν αἰτίαν ἐν προοιμίοις ἀποκαλύπτει τῆς θείας ἐνανθρωπήσεως.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἀλλ᾿ ὁ μὲν τὸν οὕτω μέγαν τόμον γραφίδι ἀνθρώπου γράφειν τῷ προφήτῃ προσέταττεν, μονονουχὶ λέγων, μηδὲν δείσῃς, ὦ οὗτος, μηδὲ πρὸς τὸ θεῖον καὶ ἄφραστον τοῦ μυστηρίου βλέπων καὶ σπεύδων ἐφικέσθαι τῆς ἀξίας τοῦ πράγματος· καὶ ὡς περὶ θεοῦ μέλλων ἀπαγγέλλειν, καὶ ἐπιζητῶν θεῖα τινὰ ῥήματα καὶ νοήματα καὶ μὴ εὑρίσκων, ἀναγκαίως ὀκνήσας γράψαι· γράμμασιν καὶ ῥήμασιν ἀνθρωπίνοις σοὶ γράφειν παρακελεύεται· λίαν ἀκολούθως καὶ φιλανθρώπως καὶ τοῦτο οἰκονομῶν· εἰ γὰρ ὁ τοῦ θεοῦ λόγος καταβέβηκεν εἰς τὸ γενέσθαι ἄνθρωπος, μὴ ἀποβάλλων τὸ εἶναι θεὸς, πῶς ἀνθρωπίνοις γράμμασιν ἀπηξίωσεν τὰ περὶ ἑαυτοῦ γράφεσθαι τὲ καὶ διαγγέλλεσθαι; ὃν γὰρ ἡ ἐνανθρώπησις οὐκ ἔτρεψεν οὔτε ἠλλοίωσεν οὔτε ἐμείωσεν, πῶς ἔμελλεν ἐλαττοῦν φωνῆς ἀνθρώπου γραφή τε καὶ προφορὰ, τὸ σωτήριον ἡμῖν τοῦ εὐαγγελίου φέρουσα κήρυγμα; Καὶ μετ᾿ ὀλίγα. Διὰ τί

δὲ μὴ βίβλον εἶπεν, ἀλλὰ νόμον; ἐπείπερ οὔτε προφητῶν χορὸς οὔτε εὐαγγελιστῶν ἢ ἀποστόλων κατάλογος ἤρκησε τὸ πᾶν τῆς θεοπρεπεστάτης ὑπεροχῆς, ἢ τοὺς τῆς ἐνανθρωπήσεως λόγους ἐννοήσασθαι καὶ εἰπεῖν, ἀλλὰ τὸ πολλοστὸν, καὶ ὅσον ἄκροις ἐπιψαῦσαι δακτύλοις καὶ βραχεῖ τόμῳ περιλαβεῖν.

Ἀπὸ λόγου ρα΄. Προνομὴν ποιῆσαι τουτέστι διανομήν· λαβὼν γὰρ ἡμᾶς ἀπὸ τοῦ διαβόλου καὶ τῶν δαιμόνων, τοῖς ἀποστόλοις διένειμεν, εἰς πᾶσαν τὴν οἰκουμένην καταμερίσας αὐτοὺς, καὶ καταδιελών· ὥσπερ κληρωτοὺς γὰρ καὶ ἀγγέλους ταῖς ἐκκλησίαις ἐπιστήσας καὶ ἑκάστῳ τῶν πιστῶν, καὶ ἀφορίσας πρὸς φυλακὴν, κατὰ τὸ εἰρημένον, ὁρᾶτε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ταῦτα κατήπειγε τὸν Ἡσαΐαν γράφειν μετὰ τάχους πολλοῦ λέγων, πάρεστι γὰρ, τουτέστιν αὐτὸ τὸ ἔργον ἐφέστηκε καὶ ἐπὶ θύραις ἐστίν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Δεῖξαι προείρηται τὸ εὐαγγέλιον, τὸ ἐν τῷ καινῷ τόμῳ γραφόμενον, ὑπὸ νόμου καὶ προφητῶν μαρτυρούμενον. Οὐρίας μὲν γὰρ τὴν κατὰ νόμον ἱερώμενος, τὸν τοῦ νόμου τύπον ἐπλήρου. Ζαχαρίας δὲ προφήτης ὑπάρχων τί ἄλλο ἢ τοὺς προφήτας ὑπέγραφε; καὶ τῶν πραγμάτων αὐτῶν ἔνδειξις γίνεται· εἰ γὰρ Οὐρίας μὲν φωτισμὸς θεοῦ, Ζαχαρίας δὲ μνήμη θεοῦ, φαίνεται σαφῶς ὡς ἐκ τῶν ἀπομνημονευμάτων τῶν προφητικῶν καὶ νομικῶν τὸ φῶς τὸ θεῖον τῆς κατὰ εὐαγγέλιον ἀληθείας ἐξέλαμψεν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Βαραχίου δὲ υἱὸς ὢν Ζαχαρίας τοῦ ἐπωνύμου τῆς εὐλογίας τῆς τοῦ θεοῦ, δηλοῖ πλῆρες εὐλογίας εἶναι τὸ κήρυγμα τὸ εὐαγγελικὸν τοῖς πιστεύουσιν.

Ἀπὸ λόγου ιδ΄. Τίς δὲ ἱστόρηται προφῆτις ἐν τοῖς θείοις λογίοις υἱὸν τεκοῦσα καλούμενον, ταχέως σκύλευσον, ὀξέως προνόμευσον, καὶ ἅμα τῷ τεχθῆναι, καὶ πρὶν ἢ γνῶναι καλεῖν πατέρα ἢ μητέρα, τοὺς πολεμίους σκυλεύοντα καὶ προνομεύοντα, ἢ μὴ ἡ θεοτόκος παρθένος, τὸν Ἐμμανουὴλ τεκοῦσα, παρ' αὐτὰς τὰς ἀρχὰς τῆς γεννήσεως, τὸν διάβολον τροπωσάμενον, διὰ τοῦ λαβεῖν τὴν δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας κομίσασθαι; ταῦτα δὲ τροπικῶς τὴν εἰδωλολατρείαν ὑποσήμανε. Δαμασκὸς μὲν γὰρ ἡ αἱματώδης διερμηνεύεται· Σαμαρεία δὲ ἔστιν ἡ τὰς χρυσᾶς δαμάλεις χαλκεύσασα, καὶ ἐπ' αὐτὰς μεταθεῖσα τὴν τοῦ μόνου θεοῦ λατρείαν τε καὶ προσκύνησιν.

Ἀπὸ τοῦ λόγου ρα΄. Προφῆτιν μὴν τὴν θεοτόκον παρθένον καλεῖ, ἐν τῷ ἀσπάζεσθαι τὴν Ἐλισάβετ προφητεύσασαν ἐξ ἐπιπνοίας θείας, τὸ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαὶ, καὶ τὰ τούτοις ἑπόμενα.

Ἀπὸ λόγου ιδ΄. Βασιλέα Ἀσσυρίων τὸν διάβολον ἡ προφητεία καλεῖ· πολλαχοῦ γὰρ καὶ p. 76. a.
σχεδὸν ἁπανταχοῦ παρὰ τοῖς προφήταις ἐστὶν αὐτὸν εὑρεῖν οὕτως ὀνομαζόμενον· τοιοῦτον ἡμῖν ἡ προφῆτις Μαρία παιδίον ἐκύησεν ἐκ βρέφους, καὶ παρ' αὐτὸν τὸν τόκον τῆς τυραννίδος τοῦ διαβόλου καθελὼν ἀκρόπολιν· καὶ μὴ θαυμάσῃς, φησὶν Ἡσαΐας· ἦν γὰρ τὸ παιδίον θεὸς ἰσχυρὸς, ἄγγελος τῆς μεγάλης βουλῆς.

Ἀπὸ λόγου π΄. Τουτέστι καὶ τὴν στολὴν τῆς ἀξίας, ἣν ὕβρισαν ἀτίμως ἀποδυόμενοι· p. 78. a.
καὶ λόγον ἀποτιννῦντες τοῦ χάριν τῆς ἀληθείας ἀντικατηλλάξαντο τὴν ὑπόκρισιν.

Ἀπὸ τοῦ λόγου πγ΄. Ἡμῖν γὰρ ἐγεννήθη, καὶ ἀντίλυτρον τῆς ἁπάντων ζωῆς τὸ ἴδιον p. 78. b
σῶμα προσμιῶν εἰς κοσμὴν εὐωδίας τῷ θεῷ καὶ πατρί.

p. 78. b. Ἀπὸ τοῦ λόγου ιθ΄. Ὡς διαγγέλλων καὶ χαρακτηρίζων, οἷα δὴ λόγος ζῶν ἐν ἑαυτῷ τὸν πατέρα τὸν πάντων ἐπέκεινα νοῦν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὡς συνδημιουργήσας τῷ πατρὶ τὴν νοητὴν κτίσιν καὶ τόνδε τὸν ὁρώμενον κόσμον, καὶ ἀκούων ὡς σύμβουλος καὶ ὁμότιμος, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὡς δύναμις ὢν τοῦ ἀοράτου πατρός· Χριστὸς γὰρ Θεοῦ δύναμις καὶ Θεοῦ σοφία· καὶ πάλιν εἰκότως ἀκούων, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὡς συνάψας τὰ ἐπίγεια πρὸς τὰ οὐράνια, καὶ εἰρηνοποιήσας τὰ πάντα διὰ τοῦ αἵματος τοῦ σωτηρίου αὐτοῦ, καθὰ Παῦλος φησίν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὡς ἀρχηγὸς καὶ τὸ σπέρμα καταβαλλόμενος τῆς μελλούσης ζωῆς καὶ τῶν αἰωνίων καὶ ἀπεράντων ἐλπίδων, αἵ τινες εἰσὶν ἡ βασιλεία τῶν οὐρανῶν ἣν ἐκήρυσσεν.

p. 79. a. Ἀπὸ τοῦ κατὰ τοῦ γραμματικοῦ. Τίς γὰρ δὴ καὶ καταπολεμήσει τὴν νοητὴν Ἱερουσαλὴμ, τὴν ὁρῶσαν εἰρήνην, καὶ ἀπὸ τῆς εἰρήνης ὁρωμένην, ἥτις ἔστι Χριστός; αὐτὸς γάρ ἐστιν εἰρήνη ἡμῶν, Παῦλος Ἐφεσίοις ἐπιστέλλων φησὶν, Ἱερουσαλὴμ δὲ ὅρασις εἰρήνης ἑρμηνεύεται· μανίας οὖν τὸ κατὰ τῆς οὕτως ἐχούσης ἀντιπάλως πυργοποιεῖν.

p. 81. a. Ἀπὸ τοῦ λόγου λγ΄. Συντετμημένος ἐστιν, ὁ ἐν βραχυλογίᾳ πολλῶν ἐννοιῶν περιεκτικὸς, ὃς καὶ ἐπεστόμισε τὴν πολυλογίαν τῶν ἔξω σοφῶν καὶ σιωπῆσαι πεπείηκεν, τῷ πάντας σχεδὸν ἀμάχῳ τινὶ δυνάμει πεῖσαι καὶ ἀμεταθέτως ἑλκύσαι πρὸς ἑαυτόν.

p. 81. b. Ἀπὸ τοῦ κατὰ Φηλικισσίμου λόγου δ΄, κεφαλαίου ζ΄. Ἱστορικῶς μὲν ταῦτα κατὰ Ἱερουσαλὴμ προφητεύεται, τῷ Λιβάνῳ τῷ ὄρει παρεικαζομένης, διὰ τὸ ἐπηρμένον τῇ ἀνθρωπίνῃ δόξῃ καὶ ὑπερήφανον καὶ ἀντιτεῖνον Θεῷ καὶ ὑψηλὸν καὶ ὑπέροφρυ, ἥτις μετὰ τὴν κατὰ τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τόλμαν, καὶ τὸ ἑκούσιον αὐτοῦ πάθος τὸ ἐπὶ τοῦ σωτηρίου σταυροῦ, τῇ Ῥωμαίων παρεδόθη χειρὶ, καὶ ἑάλω καὶ κατέπεσε σὺν τοῖς ὑψηλοῖς αὐτῆς ἄρχουσιν, ἔργον γενομένη ξίφους τὲ καὶ πυρός· καὶ οὕτως οἱ ἔνδοξοι αὐτῆς συνεταράχθησαν, ἀρχιερεῖς τε καὶ φαρισαῖοι καὶ γραμματεῖς τῇ τῶν ἀντιπάλων ἰσχύει μείζονι, καὶ συνετρίβησαν καὶ ἐταπεινώθησαν οἱ τῇ ἀλαζονίᾳ καὶ τῇ ὕβρει μετέωροι καὶ ἰσχυροὶ τῇ μαχαίρᾳ τῇ πολεμίᾳ κατέπεσον· κατὰ δὲ ἀναγωγὴν καὶ τὴν κρείττω καὶ θεοπρεπεστέραν διάνοιαν, ἐπὶ τὸν διάβολον καὶ τοὺς δαίμονας τὰ τῆς προφητείας ἐκβέβηκεν, οἵ τινες ἐνεργήσαντες καὶ παραθήξαντες τὴν ἰουδαϊκὴν πονηρίαν, τὸν διὰ σταυροῦ θάνατον ἐξαρτύσαι τῷ κυρίῳ καὶ Θεῷ καὶ σωτῆρι Χριστῷ, τῇ δυνάμει τοῦ σταυρωθέντος, αὐτοβουλήτως καὶ θεοπρεπῶς ἀναστάντος συνεταράχθησαν· οἱ ὡς θεοὶ δοξαζόμενοι, καὶ οἱ κατὰ τοῦ γένους τῶν ἀνθρώπων ὑψηλοὶ τῇ ὕβρει καὶ ὑπερήφανοι, καὶ τυραννικῶς τῶν τοῖς πάθεσι τῆς ἀτιμίας δουλωθέντων δεσπόσαντες, συνετρίβησαν καὶ ἐταπεινώθησαν καὶ τῇ μαχαίρᾳ τοῦ πνεύματος ἔπεσον, ἥτις ἐστὶ ῥῆμα Θεοῦ διὰ τοῦ στόματος προφερόμενον τῶν προσκυνούντων τὸν σταυρωθέντα, καὶ πανταχόθεν ἐλαύνον αὐτοὺς, ὡς καὶ τὸν Λίβανον πεσεῖν, δηλαδὴ τὴν εἰδωλολατρείαν τὴν ἐν αὐτῷ τῷ ὄρει δεισιδαιμόνως ἀνθήσασαν, καὶ πανταχοῦ γῆς ὑπεραρθεῖσαν, καὶ ὑψωθεῖσαν ὑπὲρ τὰς τῶν μεγίστων κατὰ τὸν Λίβανον ὀρῶν κορυφάς.

Ἀπὸ τοῦ αὐτοῦ λόγου καὶ κεφαλαίου. Ἡ δὲ ῥάβδος ἡ ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ Δαβὶδ ἀσπόρως βλαστήσασα, Χριστός ἐστιν ὁ ἐκ τῆς ἁγίας παρθένου τῆς ἐξ Ἰεσσαὶ καὶ Δα-

βίῳ καταγομένης τεχθεὶς παραδόξως, καὶ δίκην ῥάβδου βλαστανούσης ἐκ ῥίζης, χωρὶς συν-
ουσίας ἀνδρὸς, τῇ ἐπελεύσει τῇ θεοπρεπεστάτῃ τοῦ πνεύματος ἐκ τῆς μητρὸς ἀναφὺς, καὶ
τὸ ἄνθος τῆς εὐαγγελικῆς ἡμῖν πολιτείας ἐνεγκών.

Ἀπὸ τοῦ πρὸς Ἰουλιανὸν συγγράμματος. Τούτῳ τῷ τρόπῳ καὶ ὁ διάβολος τεθανατῶ- p. 86. a.
σθαι καὶ νενεκρῶσθαι λέγεται, καὶ αἱ συναποστάσασαι δυνάμεις αὐτῷ στερηθεῖσαι θεοῦ τῆς
ἀληθεστάτης ζωῆς· ὅθεν καὶ ἐκπεσὼν ἤκουε παρὰ τοῦ θεοῦ λέγοντος πρὸς αὐτὸν, σὺ δὲ ῥα-
φήσει ἐν τοῖς ὄρεσι, καὶ τὰ ἑξῆς.

Ἐκ τῆς πρὸς Ἡρακλειανὴν ἐπιστολῆς. Προορατικοῖς ὀφθαλμοῖς προβλέπων ὁ προφήτης p. 90 a.
τὸ ἅγιον τάγμα τῶν μοναζόντων, τῶν τὰς ἑκουσίας θλίψεις αἱρουμένων διὰ τὸν τοῦ θεοῦ
νόμον, ἀντὶ θυσίας καὶ δώρων ἔλεγε τῷ θεῷ τὴν αὐτῶν κακοπάθειαν προσφέρεσθαι· τὸ δὲ
τετιμημένου τὴν ὑπερβολὴν τῶν θλίψεων καὶ τῆς ὀδύνης ἐνδείκνυνται.

Ἀπὸ λόγου ρζ. Χώραν δὲ φαμὲν εἴτε τὴν τοπικῶς ὁρωμένην, εἴτε τὴν νοητῶς θεω- p. 91. b.
ρουμένην, ἥ τις ἐστὶν ἡ εὔφορος πολιτεία, καὶ ταῖς γραφαῖς ἐμφερομένη γνῶσις πατριαρ-
χῶν τε καὶ προφητῶν, ἣν ἔδει φοβεῖσθαι τὲ καὶ ζηλοῦν· γλῶτταν δὲ ἀργὴν καὶ ἀρνησαμέ-
νην Χριστὸν ἀποστρέφεσθαι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ταύτας δὲ τὰς πέντε πόλεις, οὐδὲν ἄλλο νοητέον ἢ τὰς αἰ-
σθήσεις ἡμῶν εἶναι τὰς πέντε, ὅρασιν, ἀκοὴν, ὄσφρησιν, γεῦσιν, ἀφὴν, αἵ τινες πόλεις
εἰσὶν, ἅτε κατὰ τοὺς τοῦ θεοῦ νόμους κινοῦνται καὶ ἐνεργοῦσι τὰ νενομισμένα· πόλεως γὰρ
ἴδιον τὸ εὐνομεῖσθαι· καὶ γὰρ ἐκ τῆς πολιτείας καὶ ἐκ τῆς τῶν ἐνοικούντων ἐννομωτάτης ἀνα-
στροφῆς εἴρηται πόλις· ἀμέλει παρανόμου τινὸς ἐν αὐτῇ γινομένου, σύνηθες λέγειν ἡμῖν,
αὕτη οὐκ ἔστι πόλις· πολιτεύεται γοῦν ἡ ὅρασις κατὰ νόμον, καὶ λαλεῖ τῇ γλώσσῃ τῇ χα-
νανίτιδι, τουτέστι τῇ τῆς μερίδος τοῦ θεοῦ· μερὶς γὰρ ἡ γῆ τῆς ἐπαγγελίας θεοῦ, καθὰ
λέγει τὰ θεόπνευστα γράμματα, καὶ μάλιστα διὰ τὸ ἐν αὐτῇ τελεσθῆναι τὸ τῆς ἐνανθρω-
πήσεως τοῦ θεοῦ λόγου μυστήριον· ἡνίκα μὴ ὁρᾷ γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἀλλ'
ἀκολουθεῖ τῷ ἡγεμονικῷ χαλιναγωγοῦντι τὸ βλέμμα, καὶ ἅπερ ὁρᾶν χρὴ καλῶς ἐκπαιδεύοντι·
βλέπουσα δὲ ἀκολάστως καὶ λιχνῶς καὶ φιληδόνως ἐπιβοσκομένη τοῖς φθειρομένοις καὶ ῥέουσι
κάλλεσι, τῇ αἰγυπτίᾳ καὶ οὐ τῇ χαναανίτιδι γλώττῃ λαλεῖ. Καὶ ἀκοὴ δὲ ὡσαύτως πειθαρ-
χοῦσα ταῖς ἐντολαῖς καὶ λέγουσα κατὰ τὸν Σαμουὴλ πρὸς θεόν· λάλει κύριε, ὅτι ἀκούει ὁ
δοῦλος σου, πόλις ἐστὶ θεοῦ, καὶ λαλεῖ τῇ γλώττῃ τῇ χανανίτιδι· παραβαίνουσα δὲ τὴν τοῦ
νόμου διάταξιν τὴν παρακελευομένην καὶ λέγουσαν, οὐ παραδέξῃ ἀκοὴν ματαίαν, βαρβαρίζει
κατὰ αἰγυπτίους καὶ φθέγγεται βαρύ τι καὶ ἀπηχές. Καὶ ὄσφρησις δὲ μὴ μαλακιζομένη καὶ
πάσης ὀσμῆς ἀποστρεφομένη διάχυσιν, καὶ τὸ ἀνδρεῖον καὶ εὔτονον συνάγουσα πάντοθεν· καὶ
τοὐναντίον δυναμένη διὰ τοῦτο λέγειν θεῷ· κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν
σου, χανανίτις ἐστιν· αἰγυπτιάζει δὲ πάλιν τὰ πρῶτα μύρα χριομένη, καθά που φησὶν ὁ
προφήτης Ἀμώς. Καὶ γεῦσις δὲ ὁμοίως διδαχθεῖσα λέγειν παρὰ τοῦ Παύλου καλῶς, ἔμαθον
ἐν οἷς εἰμὶ αὐτάρκης εἶναι· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι καὶ πεινᾷν,
καὶ ὑστερεῖσθαι καὶ περισσεύειν ἔννομα· καὶ τὰ τῆς χανανίτιδος γλώττης φθέγγεσθαι· λέγου-
σα δὲ κατὰ τοὺς τῇ γαστρὶ δεδουλωμένους, τοὺς Αἰγύπτου μὲν ἐξελθόντας, ἐν Αἰγύπτῳ δὲ
ὄντας τῇ διανοίᾳ, καὶ μὴ ἀπολειπόντας αὐτήν· τίς ἡμᾶς ψωμίσει κρέα; ἐμνήσθημεν γὰρ
τοὺς ἰχθύας οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεὰν, καὶ τοὺς σικυοὺς, καὶ τοὺς πέπονας, καὶ

τὰ πράσα, καὶ τὰ κρόμυα, καὶ τὰ σκόροδα, τὰ αἰγυπτίων οὐ διαλεγομένη μᾶλλον ἀλλ' ἐρευγομένη· πρόδηλος ἔστιν ἡ τοιαύτη γεῦσις, αὐτόθεν ἔχουσα τὸ δυσῶδες καὶ οὐκ εὐφράδες οὐδὲ εὔσημον, καὶ τὴν κοιλίαν ὁριζομένη θεόν. Καὶ ἀφὴ δὲ καὶ αὐτὸ τὸ νενομισμένον μὴ ὑπερβᾶσα, λέγω δὲ τὸν τίμιον γάμον καὶ τὴν ἀμίαντον κοίτην, καὶ πληροῦσαν τὴν ὑψηλὴν ἐκείνην τοῦ ἀποστόλου παραίνεσιν λέγουσαν, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· κυρίως καὶ αὐτόχρημα τῇ γλώττῃ τῇ χανανίτιδι φθέγγεται· καὶ ὡς ἄν τις ἀττικῶς λαλοίη, καλῶς δὲ πεπαιδευμένος τῇ ἑλλάδι γλώττῃ διαλεγόμενος· ἡ δὲ ἁπτομένη παρανόμου μίξεως καὶ ἀφῆς, καὶ αἴρουσα τὰ τοῦ Χριστοῦ μέλη, καὶ ποιοῦσα πόρνης μέλη, καὶ ἓν σῶμα ἀπεργαζομένη τῇ συναφείᾳ τὰ δύο, τὰ αἰγυπτίων πυρέττουσα τε καὶ παραπαίουσα, τὰ ἐκεῖθεν παραπληρεῖ, καὶ οὐ τὰ καθεστηκότα λαλεῖ τῆς χανανίτιδος γλώττης, ἀμύητος οὖσα παντάπασιν. Ἀλλὰ ταύτας τὰς αἰσθήσεις τὰς πέντε τὸν τοῦ Χριστοῦ καδεξάμενοι ζυγὸν οἱ αἰγύπτιοι διὰ τῶν τῆς ἀσκήσεως πόνων, εὐαγγελικῶς καὶ νενομισμένως καὶ εὐτάκτως καὶ σωφρόνως ἐνεργεῖν ἐξεπαίδευσαν, καὶ πόλεις εὐνομουμένας ἀπέφηναν, λαλούσας καὶ πολιτευομένας τῇ γλώττῃ τῇ χανανίτιδι· καὶ οἱ μὲν πλείους τῶν αἰγυπτίων, ἐκ γὰρ τοῦ πλείονος ἡ προφητεία, τὰς τοῦ σώματος αἰσθήσεις, τοῖς τῆς ἀρετῆς ἱδρῶσι παιδοτριβήσαντες, πόλεις αὐτὰς κατὰ τὸν εἰρημένον τρόπον ἐποίησαν· τινὲς δὲ σπάνιοι καὶ οἱ κατὰ τὸν μέγαν ἐκεῖνον Ἀντώνιον, ὑψηλότερον πολιτευσάμενοι, ταύτας ἐδιπλασίασαν, θέντες τεῖχος καὶ περίτειχος, ᾗ φησιν Ἡσαΐας ἑτέρωθι. Καὶ μετ' ὀλίγα. Ταύτας τὰς πέντε πόλεις οἱ διπλασιάζοντες, καὶ κατὰ τὸν ἔξω καὶ ἔνδον ἄνθρωπον, νενομισμένως ὁρῶντες καὶ ὀσφραινόμενοι καὶ γευόμενοι καὶ ἁπτόμενοι, ψάλλουσιν ἐν ψαλτηρίῳ δεκαχόρδῳ τῷ θεῷ, καθὰ φησὶν ὁ προφήτης Δαβίδ· καὶ τῆς φωνῆς ἐκείνης ἕκαστος ἀκούσει κατὰ τὴν ἡμέραν τῆς κρίσεως, ἣν προεῖπεν ἐν εὐαγγελίοις κύριος· ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων· ὡσανεὶ ἔλεγε· σὺ τὰς δὶς πέντε τῶν αἰσθήσεων πόλεις, τὴν εὐνομίαν τῶν τοῦ πνεύματος ἐντολῶν, καὶ λαλεῖν διδάξας τῇ γλώττῃ τῇ χανανίτιδι, τῆς ἁρμοδίας ἀπόλαυε τιμῆς, ὡς δέκα πόλεων ἄρξας, καὶ δέκα πόλεων ἐξουσίαν ἔχε· τουτέστι τιμὴ καὶ ἀξίωμα.

p. 92. a. Ἀπὸ τοῦ αὐτοῦ λόγου. Δηλοῖ μὲν καὶ τὴν ἐπιπόλαιον ἔννοιαν, τὴν ἐπὶ τὴν ἀληθῆ θεοσέβειαν, ἐκ τῆς δεισιδαίμονος πλάνης μετάθεσιν· ὡς καὶ ἔνορκον ποιεῖσθαι τὸ σέβας· ὑποφαίνει δὲ ἀληθέστερον τὴν παγείαν καὶ ἀμεταμέλητον καὶ ἀκίνητον κρίσιν τῶν μεταμαθόντων τὸ αἰγυπτιάζειν, τῷ τῇ χανανίτιδι διαλέγεσθαι γλώττῃ κατὰ τὸν ψάλλοντα προφήτην· καὶ μώμου καθαρὰν ὑπογράφοντα πολιτείαν, καὶ λέγοντα· ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Πόλις Ἀσεδὲκ κληθήσεται ἡ μία πόλις· ὥστε τοιοῦτόν τινα νοῦν ὑποφαίνεσθαι· ὡς αἱ πέντε πόλεις, ἤγουν αἰσθήσεις, τοῖς αὐτοῖς νόμοις πολιτευόμεναι συμφανῶς μίαν πόλιν δικαιοσύνης ἀποτελέσουσι, τὴν ταύταις φρουρουμένην ψυχήν· ὡς τὰς πέντε διῃρημένως περιληπτικῶς μίαν νομίζεσθαι· καὶ τὸ μὴ εἰπεῖν δὲ μία πόλις, τῇ μακρᾷ προσθήκῃ τοῦ ἄρθρου πολλὴν ἔμφασιν τῆς ἐννοίας ταύτης παρίστησιν· ἐπεὶ καὶ τῶν ἄλλων αἰσθήσεων ἐνεργουσῶν τὰ δίκαια καὶ νενομισμένα, τίνα λόγον ἔχει τὸ μὴ καὶ ἑκάστην ἀλλὰ τὴν μίαν αὐτῶν μόνον πόλιν δικαιοσύνης προσαγορεύεσθαι· δικαιοσύνην δὲ οὐ τὴν ἀντιδιαστελλομένην τῇ ἀδικίᾳ καὶ πλεονεξίᾳ, νοητέον ἐπὶ τοῦ παρόντος, ἀλλὰ τὴν γενικὴν καὶ παντελῆ καὶ πάσης περιεκτικὴν ἀρετῆς.

(Εὐσεβίου, quod puto mendosum, pro Σευήρου) ἀπὸ λόγου ἐξηκοστοῦ β΄. Προσ- p. 92. b.
ετάττετο δὲ γυμνὸς περιπατῆσαι καὶ ἀνυπόδητος, ἵνα τὴν τινῶν γύμνωσιν καὶ ἀνυποδησίαν καὶ πικρὰν αἰχμαλωσίαν ἐνδείξηται· ταῦτα δὲ δι' οὐδὲν ἕτερον ἐπράττετο ἢ διὰ τὸ τοὺς ἀκούοντας παχεῖς ὄντας τὴν διάνοιαν καὶ νηπιώδεις καὶ λόγῳ μὴ νουθετουμένους τῇ θέᾳ τῶν πραγμάτων ἐντρέπεσθαι καὶ φόβῳ καὶ ἀγωνίᾳ συνέχεσθαι.

Σευήρου ἀντιοχέως. Ὁ γὰρ τῶν οὐρανίων νοημάτων ἀφιστάμενος, καὶ γηΐνοις τισὶ λογι- p. 96. a.
σμοῖς ἐπιχειρῶν, σοφίζεσθαι κατὰ τῆς ἀληθείας, ἐνοίκει κυρίως οὗτος ἐπὶ τῆς γῆς προσκεκολλημένος καθάπερ τῷ ἐδάφει τοῖς ἀνθρωπίνοις διανοήμασι, καὶ πρὸς τὸ ὕψος βλέπειν ἀδυνατεῖ.

Ἀπὸ λόγου λβ΄. Οὕτω γὰρ ἡ στεῖρα μὲν καὶ ἐξ ἐθνῶν ἐκκλησία τέτοκεν ἑπτά· ἠσθέ- p. 98. a.
νησεν δὲ ἡ πολλὴ πρώην ἐν τέκνοις συναγωγή· καὶ γέγονε πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης ἄνδρα.

Ἀπὸ λόγου ργ΄. Τὸν ταῖς κεφαλαῖς πολὺν, τὸν πρῶτον νοήσαντα τὸ ποικίλον τῆς πο- p. 98. b.
νηρίας καὶ πατέρα πάσης σχολιότητος· μάχαιραν δὲ φησὶ τὴν τοῦ ἁγίου πνεύματος δύναμιν, ἣν κατήγαγεν Ἰησοῦς ἐπὶ τὸ ὕδωρ, τὰς τοῦ δράκοντος συντρίβουσαν κεφαλὰς, ἧς ἔτι καὶ νῦν οἱ ἱερεῖς τὴν ἐνέργειαν τῇ αὐτοῦ φιλανθρωπίᾳ κατάγουσι, διὰ λόγου θεοῦ καὶ ἐντεύξεως· καὶ μαρτυρεῖ τούτῳ Παῦλος λέγων· καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ· ταύτην δὲ καὶ δεδιὼς ὁ δράκων οὐχ ὑπομένει τὴν τομὴν, ἀλλὰ καὶ δραπέτης γίνεται καὶ φυγάς.

Ἀπὸ λόγου ις΄. Πληγὴ δὲ, ἣν ὑπὸ τῆς ἁμαρτίας ἐπλήγημεν, ἔστιν ὁ θάνατος· ἴαμα δὲ p. 103. b.
ταύτης τί ἕτερον ἄν τις, ἢ τὴν ἀνάστασιν εἶναι λογίσαιτο, δι' ἣν καὶ ἥλιος καὶ σελήνη, καὶ ἡ λοιπὴ τῶν στοιχείων κτίσις λαμπροτέρα καὶ ἀκμάζουσα ἔσται διηνεκῶς; καὶ μάλα εἰκότως· ὥσπερ οἰκέτης κακῶς μὲν πράττοντος τοῦ δεσπότου, μετέχει τῆς κακοπραγίας· ἐπὶ τὸ ἄμεινον δὲ μεταβάλλοντος, εὖ διάκειται καὶ αὐτός· οὕτω καὶ ἡ κτίσις ταχθεῖσα δουλεύειν ἡμῖν, ἐκοινώνησε τὸ πρὶν τῆς φθορᾶς· εἰς ἀφθαρσίαν δὲ ἐπανελθοῦσι, συμμεθέξει πάλιν τῆς ἐντεῦθεν τιμῆς.

Ἀπὸ λόγου ιθ΄. Καὶ αἰσθητῶς νοούμενον ἐπὶ τῆς τῶν παίδων γενῆς· καὶ ὑψηλῶς ἐν p. 104. b.
ταυτῷ θεωρούμενον, ἐπὶ τοῦ τῆς ἀρετῆς καὶ τοῦ τῆς πνευματικῆς διδασκαλίας σπέρματος, ἐξ οὗ πολλὰ θεὸν ἐπιγινώσκοντα γίνεται τέκνα.

Ἀπὸ λόγου ο΄. Ποῦ γάρ τις εἶδεν, ἢ ἤκουσεν ἔνδοξον ποταμὸν, εἰ μὴ τὸν πνευματικὸν τοῦτον, τὸν ἐν τῇ Σιὼν ἀναφανέντα, καὶ κατὰ πάσης σχεδὸν τῆς ὑφ' ἡλίῳ χυθέντα, τὸν τῇ θείᾳ δόξῃ καὶ τοῖς οὐρανίοις κομῶντα χαρίσμασιν;

Ἀπὸ τῆς πρὸς Καισαρίαν ἐπιστολῆς. Περὶ τῶν ἀποστόλων προφητεία ἔτι σαφής· καθ- p. 105. b.
αρὸν μὲν γὰρ ζῶον ὁ βοῦς, καὶ εἰς βρῶσιν καὶ εἰς θυσίαν ἱερὰν ἐπιτήδειον· ὁ δὲ ὄνος ἀκάθαρτον καὶ ἄθυτον καὶ ἀπόβλητον· καὶ τύπον μὲν ὁ βοῦς ἐπέχει τοῦ κατὰ σάρκα Ἰσραὴλ καὶ τοῦ γένους τοῦ ἰουδαϊκοῦ· τόπον δὲ ὄνος πληροῖ τῶν ἄλλων ἐθνῶν, τῶν τῇ δεισιδαιμονίᾳ κατεχομένων, καὶ μήτε νόμῳ προκαθαρθέντων, μήτε μυσταγωγίαις προφητικαῖς· ἐπεὶ οὖν οἱ ἀπόστολοι καὶ ἰουδαίοις καὶ τοῖς λοιποῖς ἔθνεσιν ἐκήρυξαν ὁμοτίμως τὸ εὐαγγέλιον, καὶ τὸν λόγον αὐτοῖς τῆς εὐσεβείας ἔσπειραν, μακαρίζει τούτους ὁ προφητικὸς λόγος, ἐπὶ πᾶν ὕδωρ σπείραντας, ὅπερ ἐστὶν ἡ τοῦ κόσμου διάχυσις, καὶ πᾶσαν ἀκοὴν προσαγομένους, καὶ ὑποζεύξαντας τῷ τοῦ εὐαγγελίου ζυγῷ βοῦν τε καὶ ὄνον, τουτέστιν ἰουδαῖον τε καὶ ἕλληνα· δη-

λεῖ δὲ καὶ τὰ ἑξῆς ῥητὰ, περὶ τῶν ἀποστόλων εἰρῆσθαι ταῦτα σαφῶς. Καὶ μετ' ὀλίγα. Ὃ δὴ καὶ ἡ προφητεία προμηνύουσα διεξέρχεται πανηγυρικῶς οὕτως πρὸς τοὺς ἀποστόλους ἀποτείνουσα τὸν λόγον· οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς· ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους, καὶ τὰ ἑξῆς· ταύτην δὲ προφητείαν ἁρμόζειν εἴποι τις ἂν καὶ ἐπὶ τοὺς τοῖς ἀσκητικοῖς πόνοις ἐναθλοῦντας, καὶ φιλοσόφους ἄνδρας, καὶ κατὰ τῶν τῆς σαρκὸς παθῶν ἀριστεύσαντας.

p. 107. b. Ἀπὸ λόγου ριζ'. Τοιγαροῦν ἡ ἔρημος, αὕτη δὲ ἦν ψυχὴ σχεδὸν πᾶσα τῶν ἐπὶ γῆς ἐθνῶν, ἐρημίαν παντελεῖ νοσοῦσα θεοῦ πέπαυται τῆς ψυχῆς· οὐκ ἐποτίσθη γὰρ μόνον, ἀλλ' εὐφράνθη καὶ ἐνεπλήσθη, καὶ ἐνοικοῦν μᾶλλον δὲ ἀναβλύζουσαν ἐξ αὐτῆς ἔσχε, διὰ τῶν τοῦ Ἰορδάνου ῥευμάτων, αὐτὴν τὴν πηγὴν τῆς ζωῆς, ὅς ἐστι Χριστός· ἀκούει γὰρ Παύλου λέγοντος, εἰς τὸν ἔσω αὐτῆς ἄνθρωπον κατοικεῖν τὸν Χριστὸν, δυνάμει κραταιωθείσης διὰ τοῦ πνεύματος· γέγονε δὲ καὶ θεοῦ ναὸς ἡ ἀοίκητος, καὶ πνεύματος ἁγίου κατάλυμα· φησὶ γὰρ ὁ αὐτὸς ἀπόστολος πρὸς αὐτήν· οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα αὐτοῦ οἰκεῖ ἐν ἡμῖν; πῶς γὰρ οὐκ ἔμελλε τούτου τυχεῖν, ἡ ὡς κρίνον ἀνθήσασα, καὶ τὸ μὲν ἄγαν λευκὸν καὶ λαμπρὸν τοῦ κρίνου κτησαμένη, καὶ λευκανθεῖσα διὰ τῶν τοῦ Ἰορδάνου ναμάτων; τὸ δὲ τῆς ὀσμῆς εὐῶδες, διὰ τοῦ ποιεῖν τὰς εὐαγγελικὰς ἐντολάς· καὶ πάλιν μετὰ Παύλου βοᾶν, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ θεῷ· καὶ οὐκ ἀνθήσει μόνον, εἶπεν ὁ προφήτης, ὡς τὸ ἄνθος μαρασμὸν διαδέξασθαι· ἀλλὰ μετὰ τοῦτο αὖθις ἐπήγαγεν, καὶ ἐξανθήσει, καὶ ὑλοκαρήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, τουτέστιν ἄνθος ἐπ' ἄνθει προσίσει, ἐν τῇ προόδῳ τῶν ἀρετῶν, καὶ τῇ πυκνότητι καὶ συνεχείᾳ, καὶ τῷ ὕψει τὰ ἐν ταῖς ὕλαις δένδρα μιμήσεται· ἵνα μᾶλλον ἀνηγμένως τὸ ὑλοχαρήσει νομίσωμεν, καὶ τὰ τῆς ὕλης χαρήσεται, χρημάτων, κτημάτων περιφρονοῦσαι τῷ χαίρειν τῷ πνεύματι, καὶ τῶν ἄλλων ῥεόντων πραγμάτων, δι' ὧν ὁ βίος οὗτος ἐξάγεται, καὶ πρὸς ἀσώματον τινὰ καὶ ἄϋλον ἀναδράμηται ζωήν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ γὰρ ἀρδεύσας αὐτὰ τῷ φωτεινῷ ῥείθρῳ καὶ ἀποτελέσας ἔγκαρπα, δικαίως ἑαυτοῦ καλεῖσθαι πεποίηκε ταῦτα, ἡ ξηρὰ καὶ διψῶσα πάλαι μὲν βεβλάστηκε.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὸν δὲ Λίβανον ὄρος εἶναι τῆς Φοινίκων γῆς, οὐδεὶς ἀγνοεῖ, καθ' ὃ τὸ τῶν δαιμονίων σέβας ὑπῆρχε πολὺ, καὶ δαψιλὴς ἡ τῶν νόθων δόξα θεῶν· ὁ δὲ Κάρμηλος, ὄρος ἐστὶ καὶ αὐτὸς τῆς πρὸς τῇ θαλάττῃ Φοινίκης, ἐπὶ τὴν Γαλιλαίαν διῆκον, ἐν ᾧ τὸν θεσβίτην Ἠλίαν θεόπνευστος ἔφη γραφὴ τὰς ἀμείνους καὶ ἡσυχίους ποιεῖσθαι διατριβὰς, καὶ θεῷ μόνῳ ζῆν τε καὶ ὁμιλεῖν· ἐπεὶ οὖν ἡ πρώην ἐκκλησία καὶ ἐξ ἰουδαίων, καὶ ἐκ τῶν δεισιδαιμονεστάτων ἐθνῶν πιστεύσαντας ἔσχε, καὶ ἐξ ἀμφοτέρων ἠθροίσθη, μεταθεμένων τῆς προτέρας δόξης, ἀκολούθως ὁ προφήτης φησὶν, ἐπὶ τὴν ἔρημον τὴν ἐκείνων τιμὴν καὶ δόξαν μετατεθήσεσθαι, καὶ τοσοῦτον, ὡς καὶ ὑπερβαλέσθαι τῇ ὄψει.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ποῖον ὕψος τοῦ θεοῦ; τὸν Ἐμμανουὴλ, διὰ τὸ τῆς ἐνανθρωπήσεως ὑφειμένον μέτρον, ἐπὶ τὸ ὕδωρ καταβάντα, καὶ καθήραντι τοῦτο τελείως, καὶ λουτρὸν ἀποτελέσαντα τῆς οἰκουμένης ὅλης καθάρσιον.

p. 108. a. Ἀπὸ λόγου ξθ'. Τίς δὲ ἔστιν ἡ τὸ πρόσωπον ἔρημος καὶ ἄνυδρος γῆ, ὕστερον δὲ τῇ τοῦ ζῶντος πιανθεῖσα πηγῇ; ἡ ἐκκλησία, ἡ πάλαι μὲν ἄβατος θεῷ, καὶ ἔρημος τῆς γνώσεως, καὶ τῇ δίψῃ τῇ ἐκ τῆς δεισιδαιμονίας κατεψυγμένη· καὶ μήτε νομικῷ, μήτε προφητικῷ νάματι ποτιζομένη· νῦν δὲ τῇ πηγῇ τοῦ τῆς παλιγγενεσίας λουτροῦ πελαγίζουσα, καὶ

πάσας εἰς ἑαυτὴν εἰσδεξαμένη, καθάπερ μεγάλη θάλασσα, τὰς μερικὰς ἀποῤῥύας τοῦ Ἰσραὴλ, τὰς Μωϋσέως λέγω καὶ τῶν προφητῶν προαγορεύσεις περὶ Χριστοῦ· αἷς καὶ τὸ τοῦ Δαβὶδ λόγιον ἐπὶ καιροῦ προσαρμοστέον, οὑτωσεί πως ἔχον· ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραὴλ, ἐν ᾗ συνδρομὴ γέγονεν ὀρνέων τῶν ἀναπτάντων ἐκ τῶν γηΐνων πραγμάτων, διὰ τῆς εὐαγγελικῆς πολιτείας εἰς οὐρανόν· καὶ πάλαι μὲν ἀφώνων, ὕστερον δὲ καθάπερ σιρήνων τὰ θεῖα λόγια μελῳδούντων· οἷοι ὤφθησαν οἱ δόκιμοι ταύτης διδάσκαλοι· σιρῆνες γάρ ἐστι τι γένος ὀρνίθων ἡδυφώνων καὶ λαλιστάτων, ταῖς ἐρημίαις ὅλως ἐμφιλοχωροῦν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Διὰ τοῦτο ἔλεσιν ἤνθησε, τοῖς ἰώμασι τοῦ παραδείσου στεφανουμένη ἡ ἐκκλησία βίων διαφόρων ἄνθεσι δὴ • • καρπόν· ἢ ἕνεκα τὸν μέτροις ἢ ἑξήκοντα ἢ τριάκοντα φέρουσιν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἐβλάστησε δὲ καὶ καλάμους, τὰς ᾠδὰς καὶ τὰς θείας ἀποκαλύψεις· ἐμπνέεσθαι δυναμένου τοῦ πνεύματος, καὶ θέλγειν τοὺς ἀπηγριωμένους τοῖς ἤθεσι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἡ ἐπὶ ταύτην ὁδὸς ἁγία καὶ καθαρὰ, καὶ τοῖς λέουσι καὶ θηριώδεσι καὶ ἀκαθάρτοις ἀπόρευτος· τοιοῦτοι γάρ εἰσιν οἱ τῷ ἁγίῳ καθαρθέντες καὶ λαμπρυνθέντες βαπτίσματι, οἱ πάλαι μὲν ἐν τοῖς ἔθνεσιν διεσπαρμένοι, καὶ διαφόροις νόμοις καὶ ἤθεσιν ἐντρεφόμενοι, νυνὶ δὲ συναχθέντες διὰ τῆς χάριτος, καὶ εἰς ἓν σῶμα τελοῦντες Χριστοῦ.

Ἀπὸ λόγου μδ΄. Ὦ βαρβαρικῆς ἀπονοίας, οἷς οὔπω προσέβαλεν, τούτοις ὡς δορυαλώ- p. 108. b.
τοις προσδιελέγετο, τῇ μὲν τῆς στρατειᾶς, τῇ δὲ τῆς ἵππου τὸ πλῆθος παραδεικνὺς, καὶ καταπλῆξαι τῷ δέει βουλόμενος.

Σευήρου ἀντιοχέως. Καὶ ἐπήκουσεν ὁ πρὶν ἐπιβληθῆναι παρών. p. 109. b.

Σευήρου ἀντιοχέως. Τοσοῦτον ἴσχυσεν μία προσευχὴ διανοίας θεοφιλοῦς ἐκβλαστήσασα, p. 110. a.
καὶ δάκρυσιν ἀρδομένη, κατεργάσασθαι φόνον.

Ἀπὸ λόγου ργ΄. Πᾶν μὲν γὰρ εἴ τι μετέωρον καὶ ὑπέροφρυ, καὶ βουνῷ καὶ ὄρει παρ- p. 111. b.
εικαζόμενον φρόνημα, τὸ εὐαγγελικὸν ἐξωμάλισε, μέτρια παιδεῦσαν φρονεῖν· πᾶν δὲ κοῖλον καὶ εἰς βάθος τυγχάνον ἀγνοίας θεοῦ, καὶ φάραγγι προσεοικὸς, ἄνω πεπλήρωται διὰ τῆς ἐπὶ πάντα ἴσης κλήσεως καὶ διδασκαλίας καὶ ἐπιγνώσεως.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Σημαίνει τὴν συμφωνίαν ἁπάντων, καὶ τὴν ἀνωμαλίαν τῶν ἠθῶν, εἰς ἓν φρόνημα κιρναμένην, καὶ ἀποτιθεμένην τὴν σκολιότητα, καὶ ὑποκλίνουσαν τὴν ἀκοὴν τῷ τοῦ εὐαγγελίου κηρύγματι, καὶ καταδεχομένην πᾶσαν σάρκα, τουτέστιν ἄνθρωπον τὸ σωτήριον τοῦ θεοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἀλλὰ μὴν καὶ τὰ σκολιὰ ἐγένετο εἰς εὐθεῖαν, πάντων τῶν προσκεκλημένων ὀνθελομένων τῆς σκολιότητος τὸ τῆς ἀληθείας εὐθύ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὰς γὰρ ἀβάτους τῶν ἐθνῶν ψυχὰς, καὶ τραχυνθείσας ἐκ τῆς δεισιδαιμονίας, ὁ ἀποστολικὸς διώδευσε λόγος, καὶ λείας εἰργάσατο· καὶ τοῦτο οὐκ ἐκ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἐπειδὴ πᾶσα σὰρξ εἶδεν τὸ σωτήριον τοῦ θεοῦ, τουτέστι θεὸν ἐμφανῶς ἐλθόντα, καὶ δείξαντα δι' αὐτῶν τῶν ἔργων ὡς ἔστι σωτήρ.

Ἀπὸ λόγου π΄. Νήσους τὰς ἐκκλησίας προσαγορεύει, διὰ τὸ ἐκ τῆς ἁλμυρᾶς καὶ πι- p. 113. a.
κρᾶς δεισιδαιμονίας καθάπερ ἐκ θαλάττης ἐκ μέσων τῶν ἐθνῶν ἀναδῦναι καὶ ἀναλάμψαι, καὶ λιμένας εὐδίους τῆς θεοσεβείας προτεῖναι τοῖς ἐπινηχομένοις τῇ ἀπιστίᾳ τῆς πλάνης· νῆσοι δὲ εἰκότως ἂν νοηθεῖεν, καὶ διὰ τὸ πανταχόθεν περικλύζεσθαι ταῖς τρικυμίαις τῶν πει-

ρασμῶν, καὶ τῇ ὑπομονῇ καὶ προσβολῇ καὶ ἐλπίδι τῆς πέτρας, εἰς ἀφρὸν αὐτὰς διαλύειν, ἥ τις ἐστι Χριστὸς, ὁ βραχίων τοῦ ὑψίστου πατρός· καὶ τοῦτο πάλιν αὐτὸς συνίστησιν, ὁ ἐν Ἡσαΐᾳ λαλῶν οὑτωσεί· ἐμὲ νῆσοι ὑπομένουσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν.

p. 114. b. Ἀπὸ λόγου ϟή. Ὅτι μὲν τὸ ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα, τουτέστι προειλόμην, ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς πρὸς τὸν υἱὸν εἰρημένον, καὶ τὸ εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου, καὶ τὸ θήσω τὸ πνεῦμά μου ἐπ' αὐτον, τῇ οἰκονομίᾳ πρέποντα ῥήματα, καὶ τοῖς τῆς ἐνανθρωπήσεως ὑφειμένοις μέτροις, ἅπερ ἑκουσίως ὁ μονογενὴς λόγος προσήκατο, παντὸς τοῦ τῶν ἀθρώπων γένους ἀπαρχὴ γεγονὼς, καθὰ καὶ ἁμαρτίας ἴχνος οὐκ ἔχουσα, καὶ δι' ἡμᾶς τοὺς ἀποβληθέντας καὶ ἀπαρέσαντας ἐρεθεὶς, καὶ διὰ τοὺς μισηθέντας εὐδοκηθεὶς, καὶ διὰ τοὺς ἐρήμους πνεύματος τὸ πνεῦμα λαβὼν ἀνθρωπίνως, ὅπερ εἶχεν οὐσιωδῶς ὡς θεὸς πρόδηλον.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Μὴ νόμιζε περὶ τῆς ἐννόμου καὶ διδασκαλικῆς, ἀλλὰ περὶ κραυγῆς τῆς κατηγορουμένης, ἥ τις ἐστὶ πικρίας καὶ ἔριδος ἔκγονον καὶ ξένον πάσης πρᾳότητος.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὥσπερ οὖν κραυγὴν τὴν κατηγορουμένην οὐκ ἔκραξαν, οὕτως οὐδὲ ἐν πλατείαις καὶ ἀμφόδοις ἐδίδαξεν, τὴν κενὴν δόξαν θηρώμενος, ἀλλ' ἐν τῷ ἱερῷ καὶ ἐν ταῖς συναγωγαῖς, ἔνθα τῆς διδασκαλίας ὁ τρόπος· τὰ πλείω δὲ ἐν ἐρημίαις, καὶ ἐπὶ τοῦ ὄρους· καὶ πρὸς τῷ αἰγιαλῷ τῆς θαλάσσης, οὐδαμοῦ δὲ ἐπ' ἀγορᾶς. Καὶ μετ' ὀλίγα. Ὥστε τὸ μὲν οὐκ ἐρίσει, καὶ οὐ κραυγάσει, σημαίνει τὸ πρᾷον καὶ ἥμερον· τὸ δὲ οὐκ ἀκούσει τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ, τὸ ἀφιλότιμον καὶ κενῆς δόξης ἐλεύθερον. Καὶ μετ' ὀλίγα. Ἔχει δὲ καὶ ἑτέραν ἀνηγμένην ἔννοιαν τὸ μὴ ἐν ταῖς πλατείαις ἀκουσθῆναι τὴν φωνὴν αὐτοῦ, διὰ τὸ ἐν παραβολαῖς αὐτὸν ἠρέμα πως ἐπικεκρυμμένον, οἷα δὴ τίμιον, τὸν τῆς διδασκαλίας λόγον προφέρειν· ὡς μὴ διδόσθαι τὰ ἅγια τοῖς κυσὶν, μὴ δὲ ῥίπτεσθαι τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· οὗτοι γὰρ οἱ ἐν ταῖς πλατείαις ἀναστρεφόμενοι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Δύναται δέ τις καὶ κατὰ τὴν πρόχειρον ἔννοιαν ἐκλαβεῖν τὸ, κάλαμον συντετριμμένον οὐ κατεάξει· καὶ τὸ, οὐκ ἀκούσει τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κατὰ γὰρ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, κάλαμον ὁ σωτὴρ παρὰ τῶν ἐμπαιζόντων ἠπίως ἐδέξατο, καὶ οὐχ ὡς δυσανασχετῶν ἐπὶ τῇ αἰσχύνῃ, τοῦτον ἐπερεισάμενος ἔκλασε· καὶ ὁ Πιλάτος δὲ, κατὰ τὸν Ἰωάννην, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, ἑβραϊστὶ δὲ γαβαθὰ, τοῦτο δὲ τὸ λιθόστρωτον πλατεία πάντως ἐστί· καὶ ἐκεῖ κατὰ τὴν προφητείαν, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· καὶ ἀναγκαίως οὐκ ἤκουσε τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ λίνον τυφόμενον, ἤ τοι καπνιζόμενον οὐ σβέσει· τὸν ἐκείνων θυμὸν ἀναφανέντα μὲν ἐπ' αὐτὸν, ἀτονήσαντα δὲ καὶ αὐτομάτως συναφανισθέντα τῷ ὑπεκκάματι· τοιοῦτο γὰρ τὸ λίνον ἅμα τὸ ἀναφθῆναι καὶ δαπανώμενον, καὶ τροφὴ καπνοῦ μᾶλλον ὑπάρχον, καὶ οὐ πυρὸς· τὸν γοῦν τοιοῦτον θυμὸν, τὸν τοῦ σβεννύντος οὐ δεόμενον, οὐκ ἔσβεσεν ὁ σωτήρ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἵνα τὴν προθυμίαν αὐτοῦ παραστήσειεν, ὅτι σοφῶς καὶ οἰκονομικῶς κούφῳ ποδὶ τὰ οὕτω τραχέα παρατρέπει, μὴ παραδεικνὺς τὸ μέγεθος τῆς οἰκείας θεότητος.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τί δὲ τοῦτο ἐςίν; ἴδιον τοῦ λινοῦ τὸ ἀνάπτεσθαι, καὶ ὡς ἐν
ἀκαρὶ λάμπειν ἅμα καὶ θραύεσθαι· τὸν δε θυμὸν ἰουδαίων οὔτε ἔσβεσεν ὁ Χριστὸς, ἀλλὰ
καὶ ἀνάψαντα καὶ φλεχθέντα ἐπ' αὐτὸν, πολλάκις θραυσθῆναι οὐ συνεχώρησεν, ἕως οὗ τοῦ
σταυροῦ παγέντος, ὃν ὑπέμεινεν ἑκουσίως σαρκὶ, καὶ τῆς ἀναστάσεως ἀκολουθησάσης, ἐξέ-
βαλε, τουτέστιν διεξήγαγε, καὶ καταλῆξαι πεποίηκεν εἰς νίκην τὴν κρίσιν αὐτοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἣν πρὸς ἰουδαίους ἐκρίθη, Πιλάτου δικάζοντος, καὶ ἣν ἔκρινε
τὸν διάβολον, καὶ ἐπὶ τὸ πάθος πρὸς σωτηρίαν ἡμῶν ἐρχόμενος, καὶ λέγων· ὁ ἄρχων τοῦ
κόσμου τούτου κέκριται· καὶ πάλιν, νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, καὶ τὰ ἑξῆς.

Ἐκ τῆς πρὸς Ἀνδρόνικον κοινοβιάρχην ἐπιστολῆς. Νήσους τὰς ἐκκλησίας φίλον τῷ προ- p. 115. b.
φήτῃ καλεῖν, μέσας κειμένας τῆς βιωτικῆς θαλάσσης, καὶ τοῖς διαπλέουσι τὴν ἐν κόσμῳ
ζωὴν προτεινούσας λιμένα σωτήριον, καὶ μὴν καὶ τοῖς πειρασμοῖς περικλυζωμένας τῶν τε κατὰ
καιροὺς διωξάντων αὐτὰς ἑλλήνων, καὶ μέχρι καὶ νῦν αὐταῖς ἐπανισταμένων αἱρετικῶν.

Ἀπὸ λόγου ρκγ΄. Καλῶς δὲ ἄγαν καὶ τὸ ἕνεκεν ἐμοῦ· βουλόμενος γὰρ εἰπεῖν, ἕνεκεν p. 117. a.
ὑμῶν, ἀπορεῖ καὶ ἀναπληροῖ καὶ τὸ ἡμέτερον ἐνδεὲς λέγων, ἕνεκεν ἐμοῦ, τὴν ἐμὴν φησὶν
χάριν, αἰτίαν ποιοῦμαι τῆς δωρεᾶς· διὰ τοῦτο γὰρ χάριτι τῇ πρεπούσῃ θεῷ, ὑπὲρ παντὸς
ἐγευσάμην θανάτου, καὶ ἀνέστην ἵνα τοιαῦτα δωρήσωμαι.

Σευήρου ἀντιοχέως. Τὰς νοερὰς καὶ ἀγγελικὰς καὶ ἐπουρανίους δυνάμεις λέγει. p. 118. b

Ἀπὸ λόγου ϖβ΄. Βουλόμενος ἐνδείξασθαι τῶν ἑαυτοῦ λόγων τὸ ἀπαράβατον, καὶ εἰς p. 120. a.
φόβον ἐμβαλεῖν τοὺς ἀκούοντας, τῷ σχήματι τῶν ὅρκων ἀνθρωποπρεπῶς δι' ἡμᾶς κέχρηται. p. 122. a.

Ἐκ τῆς πρὸς Φαρέτριον ἐπιςολῆς. Σκέπη δὲ χειρὸς, νεότερος· ἡ αὐτὸς πάλιν νοηθείη
δεξιὰ χεὶρ καὶ βραχίων ὑπὸ τῶν τοῦ θεοῦ καὶ πατρὸς· καὶ αὐτὸς ἑαυτὸν ἐπικρύπτων, μέ-
χρι τοῦ συμπεράναι τὴν κατὰ τὴν ἐνανθρώπησιν οἰκονομίαν, καὶ ὑπαναχωρῶν τῶν φόνων τῶν
ἰουδαίων· καὶ πὴ μὲν ὡς βέλος ἐκλεκτὸν κατατιτρώσκων διὰ τῶν ἐλέγχων τὰς ἀπειθεῖς καρ-
δίας αὐτῶν· πὴ δὲ αὖ πάλιν ἐνδιδοὺς, καὶ οὐ τὴν ἀξίαν αὐτοῖς ἐπάγων πληγὴν, ἀλλ' ὡς
ἐν φαρέτρᾳ τῇ φιλανθρωπίᾳ σκέπων, καὶ ἀναπαύων τὴν τοῦ βέλους ὀξύτητα.

Ἐκ τοῦ κατὰ τῶν κωδικιλίων Ἀλεξάνδρου συγγράμματος. Οὐ παντελῆ λέγων ἀπώλειαν· p. 125. a.
οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι, τοιαύτην ὑποςήσονται, ἀλλὰ τὴν πρόσκαιρον· καὶ
δι' αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται, ὥσπερ οὖν καὶ ἡ κτίσις· ἅπερ ἅπαντα διὰ
τοῦτο εἶπεν ὥσπερ ταῦτα παρεδήλωσεν.

Σευήρου ἀντιοχέως. Εἰς οἰκεῖον πρόσωπον τὰ ἡμῶν ἐγκλήματα προσγραψάμενος, καὶ τὰς
ἀσθενείας πάντων βαστάσαι μόνος ὢν ἱκανώτατος· θεὸς γὰρ ἦν ἀληθῶς καὶ ἀναλλοιώτως σε-
σαρκωμένος, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς.

Ἀπὸ λόγου ρκβ΄. Οἰκειούμενος ὁ προφήτης τὴν τοῦ ἰδίου ἔθνους εἰς τὸν σωτῆρα καὶ p. 126. b.
θεὸν Ἰησοῦν ἐσομένην τόλμαν καὶ παροινίαν, καὶ συναριθμῶν ἑαυτὸν τοῖς ἀγνώμοσιν, ἡμεῖς
φησὶν οἱ ἐχθροὶ καὶ πολέμιοι, οἱ πλήξαντες, οἱ τρώσαντες, οἱ κακώσαντες ταῖς μαλακίαις
ταῖς πληγαῖς τοῖς τραύμασι τοῦ μαλακισθέντος, τοῦ τρωθέντος, τοῦ κακωθέντος, ἰάθημεν
ὥστε πρὸς τηλικαύτῃ σωτήριᾳ, καὶ παίδευσιν ἡμῖν εἰρήνης γίνεσθαι τὰ ἐκείνου.

Ἀπὸ λόγου ρκβ. Ἐπ' αὐτὸν ὡς ἐπὶ στήλην, φησὶν, τὸ τῆς εἰρήνης ἡμῶν ἐπιγέγρα-
πται μάθημα.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὸ δὲ ἡμεῖς, ἔμφασιν ἔχει πολλὴν, οἱ σταυρώσαντες, οἱ διὰ p. 127. a.

πάσης ὁδοῦ πολεμήσαντες, οἱ ἐμπαροινήσαντες ἀφειδῶς· ὅθεν καὶ αὐτὸς ἐν εὐαγγελίοις ἐβόα, τὸ οἰκεῖον προτιθεὶς εἰς παιδείαν παράδειγμα· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ᾧ καὶ Παῦλος συνῳδὰ λέγων γέγραφε, αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν.

Ἀπὸ λόγου μς'. Ἦν γὰρ ὁ αὐτὸς καὶ ἀγενεαλόγητος ὡς Θεὸς, καὶ κατὰ σάρκα γένος ἐπιγραφόμενος.

Ἐκ τοῦ πρὸς Ἰουλιανὸν συγγράμματος. Τοῦ γὰρ εἰς θάνατον ἑκουσίως καταβεβηκότος, ἤρθη ἀπὸ τῆς γῆς ἡ ζωὴ, καὶ μετεωρίσθη, καὶ ὑπερανέβη τοὺς οὐρανοὺς· ὅτι βασιλεὺς ὑπῆρχε τῆς δόξης, καὶ ἡ αὐτοῦ κατὰ φύσιν ζωὴ, καὶ κύριος τῶν δυνάμεων, καὶ θρόνον ἔχων τὸν ἀνωτάτω, καθὰ καὶ αἱ δυνάμεις αἱ ἐν οὐρανοῖς ἐπέγνωσαν καὶ ὡμολόγησαν· εἰ καὶ διὰ τὴν περὶ ἡμᾶς οἰκονομίαν, καὶ τὴν ἑκούσιον κένωσιν τῆς κατὰ τὸ πάθος ἐπὶ τῆς ἀτιμίας καὶ ἀδοξίας ἠνέσχετο· τοῦτο δηλούσης εὐλόγως αὐτῷ τῆς καθ' ὑπόστασιν αὐτῷ καὶ ἀδιαιρέτως ἑνωμένης σαρκὸς, περὶ ἣν τὸ πάθος καὶ ἡ ἐντεῦθεν ἀτιμία συνέβαινε· κατὰ Θεοῦ μὲν τολμωμένη τοῦ καὶ σεσαρκωμένου, ψαῦσαι δὲ μὴ δυναμένη τοῦ πάθους, ὅπερ ἀμήχανον.

Ἐκ τῆς πρὸς Ἀναστασίαν διάκονον ἐπιστολῆς. Τὸν ἅγιον καὶ ἐν ἁγίοις ἀναπαυόμενον ὑπὲρ τῆς τοῦ κόσμου παντὸς ἁμαρτίας, εὐδόκησεν ὁ Θεὸς καὶ πατὴρ γενέσθαι θῦμα καὶ προσφορὰν ἐπὶ τῷ δικαιωθῆναι τοὺς διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἀποβληθέντας ἡμᾶς, καὶ ἀθέους καὶ ἐλπίδα μὴ ἔχοντας, ὥς που φησὶν ὁ ἀπόστολος.

Σευήρου ἀντιοχέως. Ὅπερ δηλοῖ σαφῶς, οἷα δὲ Θεῷ καὶ ἐνηνθρωπηκότι φυσικῶς, καὶ οὐσιωδῶς ἐνεῖναι τὸ ἀγαθὸν, καὶ τὴν τῆς ἁμαρτίας ἀλλοτρίωσιν.

Ἐκ τοῦ φιλαληθοῦς. Ἀλλ' ἡμᾶς ἐν ἑαυτῷ φέρων, καὶ πᾶσαν ὥσπερ φορέσας τὴν ἀνθρωπότητα, τὸ ἡμέτερον ἀτελὲς ᾠκειώσατο· ἵν' ἐν αὐτῷ πρώτῳ δι' ἡμᾶς ἀτρέπτως καθ' ἡμᾶς γεγονότι, καὶ ὄντι τελείῳ, παυσώμεθα τῆς ἀτελοῦς καταστάσεως.

p. 128. b. Ἅγιον ὕδωρ μὲν προσαγορεύει τὴν δι' ὕδατος καὶ πνεύματος ἄφεσιν, καὶ τὴν τοῦ θείου βαπτίσματος χάριν· οἶνον δὲ, τὸν διδασκαλικὸν ὀνομάζει λόγον· ἄμφω γὰρ προῖκα χαρίζεται· καὶ πῶς ἄν τις εἴποι, τὴν ἄνευ ἀργυρίου χάριν ἀγοράζειν προτρέπεται; φάσκων, πορευθέντες ἀγοράσατε καὶ πίετε· ἄνευ γὰρ ἀργυρίου καὶ τιμῆς οἶνον· τὸ γὰρ ἀγοράζειν, ἐναντίον τῷ κατὰ χάριν λαμβάνειν· ἀλλ' ἡ θεία χάρις πρᾶσις ἐστι· πίστιν γὰρ ἀντὶ τῆς τιμῆς ἀπαιτεῖ τὸν λαμβάνοντα.

Διὰ τοῦτο ἡ ἐκκλησία χρυσίον καὶ ἀργύριον οὐ προσήνεγκεν, ἀλλὰ πίστει καὶ πόνοι; τὰ ἄδυτα ταμεῖα τῶν θησαυρῶν τῆς σοφίας ἠγόρασεν· ὁ γὰρ πολλῶν μεγαλοπρεπῶς ἀγοράζειν χωρὶς ἀργυρίου διεκελεύσατο.

p. 133. b. Ἀπὸ λόγου νς'. Σαφῶς διὰ τῶν ῥημάτων τούτων δηλῶν, ὡς τὸ τῆς κενώσεως ὑφειμένον καὶ ὑποβεβηκὸς, καὶ τὸ Χριστὸς ὄνομα τε καὶ πρᾶγμα, δι' ἡμᾶς κατεδέξατο· τὸ γὰρ πνεῦμα φησὶν, ὅπερ ἐστι φυσικῶς ἐν ἐμοὶ διὰ τὸ ταυτὸν τῆς οὐσίας καὶ τῆς θεότητος, τοῦτο ἐπ' ἐμὲ παραγέγονε καὶ ἔξωθεν, ὥσπερ καὶ ἐν τοῖς τοῦ Ἰορδάνου ῥεέθροις ἐν εἴδει περιστερᾶς ἐπεφοίτησεν, οὐχ' ὡς μὴ ὑπάρχον ἐν ἐμοὶ, ἀλλ' οὗ ἔχρισεν ἔχρισε με· τίνος δὲ ἕνεκεν χρισθῆναι προείλετο; ἢ ἡμῶν τῶν ἐρήμων γενομένων τοῦ πνεύματος, διὰ τὴν ἀρχαίαν ἐκείνην ἀπόφασιν τοῦ Θεοῦ φήσαντος· οὐ μὴ καταμείνει τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

Ἀπὸ λόγου πδʹ. Πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέν με κύριος· ταῦτα διὰ τοῦ
προφήτου Χριστὸς, ὁ δι' ἡμᾶς σαρκωθεὶς καὶ ἐνανθρωπήσας τοῦ Θεοῦ λόγος φησίν· ὅς τις
Θεὸς ὢν ἀληθινὸς, ἐξ ἀληθινοῦ Θεοῦ τοῦ πατρὸς, καὶ οὐκ ἀπολισθήσας οὗ ἦν, καὶ ἀτρέ-
πτως καὶ ἀληθῶς ἄνθρωπος γεγονὼς, μεθ' ἡμῶν κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως· τοῦ
πνεύματος αὐτῷ παρὰ τὸν Ἰορδάνην ἐπιφοιτήσαντος, ἐν εἴδει περιστερᾶς· πάλαι μὲν ἐλαίῳ
συμβολικῶς ἐχρίοντο βασιλεῖς τε καὶ ἱερεῖς, ἁγιασμοῦ τινὰ μετοχὴν ἐκ τούτου κερδαίνοντες·
ὁ δὲ δι' ἡμᾶς ἐνανθρωπήσας, τῷ νοητῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ, καὶ αὐτῇ τῇ ἐπιφοιτήσει
τοῦ πνεύματος ἐχρίσθη· τοῦτο ἡμῖν λαμβάνων οὐχ' ἑαυτῷ· καὶ γὰρ ἀποπτάντος τοῦ πνεύ-
ματος καὶ μὴ καταμείναντος ἐν ἡμῖν, διὰ τὸ εἶναι ἡμᾶς σάρκας, πένθους ἦν πλήρης ἡ γῆ·
πῶς γὰρ οὐκ ἤμελλεν, ἐστερημένη μετουσίας Θεοῦ;

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· τοῖς γὰρ τὴν τοῦ Θεοῦ
γνῶσιν πτωχεύουσι, καὶ πλουτοῦσιν ἐν ἁμαρτίαις ἐκήρυττε λέγων· μετανοεῖτε, ἤγγικε γὰρ ἡ
βασιλεία τῶν οὐρανῶν· ταύτῃ καὶ τοὺς συντετριμμένους τὴν καρδίαν ἰάσατο.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ τυφλοῖς ἀνάβλεψιν ἐχαρίσατο, τοῖς ἐν σκότει τῆς ἀγνοίας
καὶ σκιᾷ θανάτου ἐπιφανείς· καὶ ἁπλῶς εἰπεῖν, ἐκάλεσεν ἐνιαυτὸν κυρίου δεκτὸν, ὅπερ ἅπαν-
τα συλλήβδην ἔχει τὰ ἀγαθὰ καὶ χρηστά.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἐκήρυξε δὲ καὶ αἰχμαλώτοις ἄφεσιν ἣν καὶ ἐνήργησεν, δήσας
τὸν ἰσχυρὸν, τὸν τυραννικῶς τοῦ τῶν ἀνθρώπων γένους καταδυναστεύσαντα σατανᾶν, καὶ
τὰ σκεύη αὐτοῦ διαρπάσας ἡμᾶς.

Σευήρου ἀντιοχέως (1). Αὐτὸς μὲν γὰρ ἦν ὁ ἰσχυρὸς ὡς Θεός· ἡμᾶς δὲ βιαίως κατεχο- p. 135. a.
μένους ἐξήρπασεν ὑπὸ τοῦ τῆς τοῦ τυράννου διαβόλου χειρός· ὅθεν ὡραῖον αὐτῷ τὸ ὑπὲρ ἡμῶν
παθεῖν κατεφαίνετο· καὶ τὸ αὐτὸ καὶ ταῖς ἀσωμάτοις ἐδόκει δυνάμεσι.

Σευήρου ἀντιοχέως. Φωνὴ κραυγῆς ἐξάκουστον ἔσται, φησὶν, ὁ μέλλων προφητεύειν· καὶ p. 137. b.
παραπλήσιον κραυγῇ πόλεως, ὑπερεχούσῃ τῶν ἀκουόντων τὴν ἀκοήν· ἀλλ' εἰ καὶ ἐπεξάκουστον,
πλὴν ὅμως ἀπόρρητον, φωνὴ γάρ ἐστιν ναοῦ· τὰ δὲ ἐκ τοῦ ναοῦ καὶ ἐκ τῶν ἀδύτων, καὶ
τοῦ ἁγίου τῶν ἁγίων, ὡς φησὶν ἡ θεία γραφὴ, φερόμενα ἢ χρησμῳδούμενα, μυστηριώδη τινά
ἐστιν, καὶ ταῖς τῶν ἀνθρώπων διανοίαις ἀπρόσιτα· ἢ δυσπρόσιτα, καὶ ἑρμηνείαις οὐ βάσιμα.

Ὃς πάντως ταῖς τικτούσαις κατὰ φύσιν παρέπεται, καὶ ἄλγους δίχα τεκεῖν, τὰς ἐν p. 138. a.
λύπαις τίκτειν καταδεδικασμένας οὐκ ἔνεστιν· ἀλλ' ἡ θεοτόκος παρθένος ἀνώδυνον ἔσχεν ὠδῖ-
να καὶ τόκον, καὶ ἔξω γεγένηται καὶ κατὰ τούτων τῶν ὅρων τῆς φύσεως, καθάπερ καὶ κατὰ
τὸ χωρὶς σπορᾶς κυῆσαι, καὶ μετὰ τόκον ἔχειν τὸν τῆς παρθενίας δεσμὸν ἀδιάλυτον.

Ἀπὸ τοῦ λόγου ρηʹ. Τὸ δὲ ἐξέφυγε βοᾷ τὸ παράδοξον, ὅτι διὰ τῆς φύσεως ἐλθὼν ἔξω
γέγονε τῶν ὅρων τῆς φύσεως, ὑπὲρ νοῦν καὶ λόγον τῶν παρθενικῶν ἐκδραμὼν, καὶ ἐξολισθή-
σας δεσμῶν· καὶ ταῦτα ἐκ τῆς παρθένου σαρκωθεὶς, καὶ ὅλον τὸν τῆς κυήσεως χρόνον πλη-
ρώσας· καὶ ἀτρέπτως κατὰ σάρκα γενόμενος ἡμῖν ὁμοούσιος, καὶ ὢν τῷ πατρὶ καθὸ Θεὸς
ὁμοούσιος· καὶ μόνος ὡς ἀληθῶς μετὰ τὴν τοῦ Ἀδὰμ παράβασιν ἄῤῥεν τεχθείς.

Ἀπὸ λόγου ιϛʹ. Καὶ ὀφθαλμοὺς πολλοὺς ὅλα καὶ οὐκ ἐξ ἡμίσεως, καθάπερ ἄστροις φα- p. 192. b.
νοτάτοις πεποικιλμένα· καὶ τοῦτο τὸ ἐγρηγορέναι καὶ πεφωτίσθαι δεικνύοντα.

Ἀπὸ λόγου ηʹ. Πλείοσι προσώποις ὑπογραφόμενα, καὶ διὰ τούτων ἐμφαίνοντα τῆς θεω-
ρίας τὸ πλούσιον.

(1) Scribo Severi nomen, ubi ex incerto eiusdem libro profertur auctoritas.

*ψ. κεφ. 9? Ἀπὸ λόγου ψκθ΄. * Καὶ πλήθει πτερύγων μετεωριζόμενα, κἀντεῦθεν τὸ ὀξὺ δηλοῦντα καὶ ἐλαφρὸν καὶ ἀνωφερὲς καὶ εὐκίνητον· διὰ γὰρ τῶν σωματικῶν τούτων ὄψεων ἢ ἐμφάσεων, ὡς δι' αἰνιγμάτων δρεπόμεθα κατανόησιν, καὶ οὕτως ἔχοντα φύσεώς τε καὶ τάξεως.

p. 193. a. Ἀπὸ λόγου η΄. Καὶ τὰ πρόσωπα συγκαλύπτοντα, μή πως ὅλη θέᾳ προσλαβόντα τῷ ὑπερβάλλοντι καὶ μὴ ἐνεγκόντα, καὶ τὸ μέτριον ἀπολέσει τῆς εἰς αὐτὰ κατιούσης ἐλλάμψεως· εἰς τοσοῦτον αὐτῶν ἐστὶ θεατὸν, ὅσον ἂν ἰδεῖν δυνηθείη πρόσωπον κατακαλυπτόμενον πτέρυξιν· τοῦτο δὲ κέντρον τί φωτὸς μικρὸν ὑποφαίνει καὶ ἀμυδρώτατον.

Ἀπὸ λόγου ψ. Γνῶσιν ἤγουν φαντασίαν εἷλκεν εἰς ἑαυτὰ, καὶ ταύτης τῆς μετουσίας μόλις ἀπήλαυε, καὶ οὐκ αὐτῆς δόξης, ἀλλ' ὁμοιώματος δόξης κυρίου, μήτι γε οὐσίας θεοῦ ποθὲν, πολλοῦ γε καὶ δεῖ.

p. 194. a. Ἀπὸ λόγου ρα΄. Τόπον δὲ κυρίου νοητέον ἐπὶ τοῦ προκειμένου, τὰς ἐγγιζούσας αὐλους οὐσίας, παρὰ τὰς ἄλλας δυνάμεις αὐτῷ, καὶ πλέον τῆς θείας μετουσίας καὶ θεωρίας ἀπολαυούσας, καὶ τοῦ ἐκεῖθεν νοεροῦ καὶ ἀποῤῥήτου φωτός· τούτου γὰρ ἕνεκα καὶ θρόνος αὐτοῦ καὶ καθέδρα καλεῖται τὰ χερουβὶμ· ὡς διὰ τῆς μείζονος καὶ τελειοτέρας ἐλλάμψεως κατὰ τὸ δυνατὸν, οἱονεὶ ἐγκαθεζομένου καὶ ἐναναπαυομένου καὶ ἐμφιλοχωροῦντος αὐτοῖς.

p. 196. a. Σευήρου ἀντιοχέως. Πρὸς τὴν ἅλωσιν καὶ τὸν ἐμπρησμὸν παραστῆσαι τῆς Ἱερουσαλὴμ, καὶ τῶν ἐνοικούντων τὸν φόνον, καὶ τὸ διασπαρῆναι καὶ λικμηθῆναι τοὺς περιληφθέντας πανταχοῦ σχεδὸν τῶν περάτων τῆς γῆς.

p. 199. b. Ἀπὸ λόγου λα΄. Τὸ σημεῖον τοῦ σταυροῦ ὁ προφήτης ὡς ἐν τύπῳ τεθέαται δυνάμεως ὅλον ὑπάρχων καὶ φυλακῆς σφραγῖδα τοῖς φοβουμένοις τὸν κύριον.

p. 200. a. Σευήρου ἀντιοχέως. Τοῦτο παρίστησιν ὅτι τινὲς ἦσαν κατοφρυούμενοι λίαν ἐπὶ τῷ τῆς ἀρχιερωσύνης προσχήματι, καὶ ἐπὶ τῷ τόπῳ τοῦ ναοῦ καὶ τοῦ ἁγιάσματος μέγα φυσῶντες, κενοὶ δὲ ἀγαθῶν ἔργων, καὶ τῶν ἐναντίων ἐργάται· καὶ διὰ τοῦτό φησι τοῖς τιμωροῖς ἀγγέλοις, ἀπ' αὐτῶν ποιήσασθαι τὴν ἀρχὴν, οὓς ἐχρὴν οὕτω βιοῦν, ὡς καὶ ὑπὲρ ἄλλων ἁμαρτανόντων δύνασθαι χεῖρας ἐκτείνειν πρὸς θεὸν, καὶ ἀνέχειν τὴν ἐπεωρισμένην τιμωρίαν καὶ ἀπειλήν.

p. 202. b. Ἀπὸ λόγου ος΄. Τοιαῦτα γάρ ἐστι τὰ τῆς κακίας ἐπιτηδεύματα καὶ οἱ τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος ἕνεκα τὸ λυσιτελὲς παρατρέχοντες ἐκ τοῦ τέλους φωρῶνται καὶ διελέγχονται, καὶ τῆς ὀργῆς ἐπελθούσης λοιπὸν μεταμελεῖ τοῖς ἀπατηθεῖσι τῆς ἡδονῆς, καὶ τὸν πρὸς τὸ ἡδὺ χαρισάμενον, ὡς λυμεῶνα βδελύττονται.

p. 203. a. Ἐκ τῆς πρὸς Βερονικιανὸν ἐπιστολῆς. Δηλοῦντες τοῦ λόγου τὴν συγχώρησιν, τοῦ θεοῦ παραδεδωκότος τῇ ἀπάτῃ τὸν ἠγαπηκότα τὸ ψεῦδος, καὶ παραπικραίνοντα αὐτὸν οἶκον τοῦ Ἰσραήλ.

p. 203. a. Σευήρου ἀντιοχέως. Ὁ μὲν τὸ σχόλιον τῷ ῥητῷ παραθέμενος, ἔγραψεν ὡς ἐνόησεν· ἐγὼ δὲ τὸ ἀποτροπιάζεσθαι νοῶ τὸ διάγειν τὰ τέκνα τοὺς πατέρας ἐν πυρὶ, ὅπερ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν ἱστόρηται, καὶ Ἄχαζ καὶ Μανασσῆς δεισιδαιμόνως πεποιηκέναι· καὶ περὶ παντὸς δὲ τοῦ Ἰσραὴλ ὁμοίως γέγραπται· καὶ διῆγον τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρὶ, καὶ ἐμαντεύοντο· καὶ ἀμφότερα γὰρ ἐνεκαλοῦντο, καὶ τὸ θύειν τὰ τέκνα αὐτῶν τοῖς δαιμονίοις, καὶ τὸ διάγειν διὰ πυρὸς τὰ ζῶντα, καὶ περικαθαίρειν εἰς ἀποτροπὴν δῆθεν πάσης βλάβης· διὸ καὶ ὁ προφήτης συνῆψεν ἀμφότερα, καὶ τὸ σφάζειν τέκνα, καὶ τὸ ἀποτροπιάζεσθαι.

Τοῦτο δὲ ψυχρόν· τίνι γὰρ τῷ λόγῳ κατά σε; νεωτέραν καλεῖ τὴν τοῦ Ῥουβὴν τοῦ p. 206. a.
πρωτοτόκου φυλὴν τῆς Ἰούδα φυλῆς· δυνατὸν δὲ ἴσως αὐτὸ πρὸς τὴν τοῦ Γὰδ καὶ τὴν τοῦ
Μανασσῆ φυλὴν ἐκλαβεῖν· οὗτοι γὰρ νεώτεροι τοῦ Ἰούδα, ἵν' ἐκ τοῦ πλείονος τὸ ὅλον νοῆ-
ται, συμπεριλαμβανομένης καὶ τῆς φυλῆς τοῦ Ῥουβήν.

Ἀπὸ λόγου ρκ'. Ψυχὰς δὲ ἀνθρώπων οὐκ ἄν τις εἴποι καθὰ δὴ δαίμονας μαγγανίαις p. 208. a.
γοήτων ἀκολουθεῖν· ἀληθεύει γὰρ ὁ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου λαλῶν· πᾶσαι αἱ ψυχαὶ ἐμαί
εἰσι· τὰς δὲ οὔσας Θεοῦ, πῶς ἂν ἄνθρωπος ἑλκύσειεν ἀσεβής; δαίμοσι γὰρ μόνοις φίλον
ὑπακούειν κακοῖς.

Ἀπὸ λόγου να'. Τουτέστι τῶν μὴ τοὺς πόνους ἐργαζομένων τῆς ἀρετῆς, οἱ μηροὶ μο- p. 211. b
λύνονται ταῖς ὑγραῖς ἡδοναῖς.

Σευήρου ἀντιοχέως. Πρὸς μὲν τὸν ἄρχοντα Τύρου, ἀλήθειαν λέγει· παριστᾶς, ὅς τις p. 218. b.
τὲ ἦν, καὶ ὅπως ἀπεβλήθη τραπείς.

Ὅρος δὲ ἅγιον εἰ προεῖπεν, τὴν τῶν ἄνω δυνάμεων ὑψηλοτάτων, τὰ πρὸ τῆς ἐκτροπῆς
τῶν δυνάμεων τούτων διηγεῖται.

Ἐκ τῆς πρὸς ἐπίσκοπον ἐπιστολῆς. Σταφυλὴ δὲ καὶ καρπὸς τῶν ὀρῶν τοῦ Ἰσραὴλ, p. 226. a.
ἡ τῶν ὑγιῶν δογμάτων ὑμῶν τῶν ποιμένων διδασκαλία καθέστηκε, τῶν εἰς ὄρη λελογισμένων
τοῦ Ἰσραήλ.

Ἐκ τῶν κατὰ Ἀλεξάνδρου. Τί δ' ἄν τις εἴποι καὶ περὶ τοῦ Ἰεζεκιὴλ, ἐναργῶς τὴν ἀνά- p. 227. a.
στασιν τῶν σωμάτων ἐμψύχων ἡμῖν ὑπογράφοντος; τοῦτο γὰρ ἄνθρωπος· καὶ ἄγοντος ὥσπερ
ὑπ' ὄψιν τὸ παράδοξον τοῦ μυστηρίου λέγοντος, τάδε λέγει ἀδωναΐ κύριος τοῖς ὀστέοις τού-
τοις, ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ' ὑμᾶς
σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου ἐφ' ὑμᾶς καὶ ζήσεσθε· κατα-
νοῆσαι χρὴ πῶς πρότερον εἰπὼν φέρω, ἤγουν εἰσάγω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς, ἵνα δηλώσῃ
τὴν ψυχὴν, μᾶλλον δὲ τὴν ἐπανάληψιν τοῦ ἰδίου σώματος τῆς ψυχῆς· οὕτω γὰρ καὶ ἐπὶ
τῆς πρώτης πλάσεως ἐμφυσηθείσης πνοὴν ζωῆς, ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, καὶ
προσθεὶς ὡς δώσω νεῦρα καὶ ἀνάξω σάρκας, καὶ ἐκτενῶ δέρμα, καὶ κατὰ μέρος τὴν ἀνά-
πλασιν ζωγραφήσας, πάλιν ἐπήγαγεν, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς· ἵνα παραστήσῃ σα-
φῶς τὴν τοῦ ἁγίου πνεύματος χάριν τὴν μέλλουσαν τοῖς τῶν δικαίων σώμασιν ἐπανθεῖν,
ἔν τε ἀθανασίᾳ καὶ ἀφθαρσίᾳ καὶ δόξῃ φωτεινοτάτῃ λαμπρότητι· ὡς μὴ οὐσίας ἐναλλαγὴν
τὴν ἀνάστασιν ὑπάρχειν, ἀλλὰ χάριν ἐπαμφιεννυμένην εἰς ἀναίρεσιν θανάτου τὲ καὶ φθορᾶς
καὶ εἰς τὴν εἰς ἀεὶ διαμονὴν, καὶ θείας μετοχῆς δωρεάν· ὥστε τὸ αὐτὸ σῶμα τὸ σπαρὲν
φθαρτὸν, τουτέστι τὸ ταφὲν, σπορὰν γὰρ τὴν ταφὴν ὁ Παῦλος ἐκάλεσεν διὰ τὴν ἐλπίδα
τῆς ἀναστάσεως, ἐγείρεσθαι ἐν ἀφθαρσίᾳ· τὸ σπαρὲν ἐν ἀτιμίᾳ, ἐγείρεσθαι ἐν δόξῃ, καὶ
τὰ ἑξῆς· εἰ μὴ γὰρ αὐτὸ τὸ σπαρὲν αὐτὸ καὶ ἐγείρετο, ἀλλ' ἕτερον ἀνθ' ἑτέρου καὶ ἐξηλ-
λαγμένον κατὰ τὴν οὐσίαν ἐδίδοτο τῇ ψυχῇ, ποῦ τὸ θαῦμα τῆς ἀναστάσεως; ποία δὲ ἀνά-
στασις κυρίως, εἰ μὴ τὸ πεσὸν ἀνιστᾶσα, καὶ τὸ διαλυθὲν ἐγείρουσα, καὶ ἀνανεοῦσα τὸ
παλαιόν;

Ἀπὸ τῶν αὐτῶν. Ταῦτα καὶ ὁ Χριστὸς βεβαιῶν, μᾶλλον δὲ διὰ τῶν αὐτῶν λόγων ἐρ- p. 227. b.
χόμενος, αὐτὸς γάρ ἐστι καὶ ὁ τὰ εἰρημένα διὰ τοῦ προφήτου φθεγξάμενος, ἔλεγεν ὅτι ἔρ-
χεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου,

τὰ πράσα, καὶ τὰ κρόμυα, καὶ τὰ σκόροδα, τὰ αἰγυπτίων οὐ διαλεγομένη μᾶλλον ἀλλ' ἐρευγομένη· πρόδηλος ἐστιν ἡ τοιαύτη γεῦσις, αὐτόθεν ἔχουσα τὸ δυσῶδες καὶ οὐκ εὐφράδες οὐδὲ εὔσημον, καὶ τὴν κοιλίαν ὁριζομένη θεόν. Καὶ ἀφὴ δὲ καὶ αὐτὸ τὸ νενομισμένον μὴ ὑπερβᾶσα, λέγω δὲ τὸν τίμιον γάμον καὶ τὴν ἀμίαντον κοίτην, καὶ πληροῦσαν τὴν ὑψηλὴν ἐκείνην τοῦ ἀποστόλου παραίνεσιν λέγουσαν, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι· κυρίως καὶ αὐτόχρημα τῇ γλώττῃ τῇ χανανίτιδι φθέγγεται· καὶ ὡς ἄν τις ἀττικῶς λαλοίη, καλῶς δὲ πεπαιδευμένος τῇ ἑλλάδι γλώττῃ διαλεγόμενος· ἡ δὲ ἁπτομένη παρανόμου μίξεως καὶ ἀφῆς, καὶ αἴρουσα τὰ τοῦ Χριστοῦ μέλη, καὶ ποιοῦσα πόρνης μέλη, καὶ ἓν σῶμα ἀπεργαζομένη τῇ συναφείᾳ τὰ δύο, τὰ αἰγυπτίων πυρέττουσα τε καὶ παραπαίουσα, τὰ ἐκεῖθεν παραπληρεῖ, καὶ οὐ τὰ καθεστηκότα λαλεῖ τῆς χανανίτιδος γλώττης, ἀμύητος οὖσα παντάπασιν. Ἀλλὰ ταύτας τὰς αἰσθήσεις τὰς πέντε τὸν τοῦ Χριστοῦ καδεξάμενοι ζυγὸν οἱ αἰγύπτιοι διὰ τῶν τῆς ἀσκήσεως πόνων, εὐαγγελικῶς καὶ νενομισμένως καὶ εὐτάκτως καὶ σωφρόνως ἐνεργεῖν ἐξεπαίδευσαν, καὶ πόλεις εὐνομουμένας ἀπέφηναν, λαλούσας καὶ πολιτευομένας τῇ γλώττῃ τῇ χανανίτιδι· καὶ οἱ μὲν πλείους τῶν αἰγυπτίων, ἐκ γὰρ τοῦ πλείονος ἡ προφητεία, τὰς τοῦ σώματος αἰσθήσεις, τοῖς τῆς ἀρετῆς ἱδρῶσι παιδοτριβήσαντες, πόλεις αὐτὰς κατὰ τὸν εἰρημένον τρόπον ἐποίησαν· τινὲς δὲ σπάνιοι καὶ οἱ κατὰ τὸν μέγαν ἐκεῖνον Ἀντώνιον, ὑψηλότερον πολιτευσάμενοι, ταύτας ἐδιπλασίασαν, θέντες τεῖχος καὶ περίτειχος, ᾗ φησιν Ἡσαΐας ἑτέρωθι. Καὶ μετ' ὀλίγα. Ταύτας τὰς πέντε πόλεις οἱ διπλασιάζοντες, καὶ κατὰ τὸν ἔξω καὶ ἔνδον ἄνθρωπον, νενομισμένως ὁρῶντες καὶ ὀσφραινόμενοι καὶ γευόμενοι καὶ ἁπτόμενοι, ψάλλουσιν ἐν ψαλτηρίῳ δεκαχόρδῳ τῷ θεῷ, καθὰ φησὶν ὁ προφήτης Δαβίδ· καὶ τῆς φωνῆς ἐκείνης ἕκαστος ἀκούσει κατὰ τὴν ἡμέραν τῆς κρίσεως, ἣν προεῖπεν ἐν εὐαγγελίοις κύριος· ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων· ὡσανεὶ ἔλεγε· σὺ τὰς δὶς πέντε τῶν αἰσθήσεων πόλεις, τὴν εὐνομίαν τῶν τοῦ πνεύματος ἐντολῶν, καὶ λαλεῖν διδάξας τῇ γλώττῃ τῇ χανανίτιδι, τῆς ἁρμοδίας ἀπόλαυε τιμῆς, ὡς δέκα πόλεων ἄρξας, καὶ δέκα πόλεων ἐξουσίαν ἔχε· τουτέστι τιμὴ καὶ ἀξίωμα.

p. 92. a. Ἀπὸ τοῦ αὐτοῦ λόγου. Δηλοῖ μὲν καὶ τὴν ἐπιπόλαιον ἔννοιαν, τὴν ἐπὶ τὴν ἀληθῆ θεοσέβειαν, ἐκ τῆς δεισιδαίμονος πλάνης μετάθεσιν· ὡς καὶ ἔνορκον ποιεῖσθαι τὸ σέβας· ὑποφαίνει δὲ ἀληθέστερον τὴν παγίαν καὶ ἀμεταμέλητον καὶ ἀκίνητον κρίσιν τῶν μεταμαθόντων τὸ αἰγυπτιάζειν, τῷ τῇ χανανίτιδι διαλέγεσθαι γλώττῃ κατὰ τὸν ψάλλοντα προφήτην· καὶ μώμου καθαρὰν ὑπογράφοντα πολιτείαν, καὶ λέγοντα· ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Πόλις Ἀσεδὲκ κληθήσεται ἡ μία πόλις· ὥςε τοιοῦτόν τινα νοῦν ὑποφαίνεσθαι· ὡς αἱ πέντε πόλεις, ἤγουν αἰσθήσεις, τοῖς αὐτοῖς νόμοις πολιτευόμεναι συμφανῶς μίαν πόλιν δικαιοσύνης ἀποτελέσουσι, τὴν ταύταις φρουρουμένην ψυχήν· ὡς τὰς πέντε διῃρημένως περιληπτικῶς μίαν νομίζεσθαι· καὶ τὸ μὴ εἰπεῖν δὲ μία πόλις, τῇ μικρᾷ προσθήκῃ τοῦ ἄρθρου πολλὴν ἔμφασιν τῆς ἐννοίας ταύτης παρίστησιν· ἐπεὶ καὶ τῶν ἄλλων αἰσθήσεων ἐνεργουσῶν τὰ δίκαια καὶ νενομισμένα, τίνα λόγον ἔχει τὸ μὴ καὶ ἑκάστην ἀλλὰ τὴν μίαν αὐτῶν μόνον πόλιν δικαιοσύνης προσαγορεύεσθαι· δικαιοσύνην δὲ οὐ τὴν ἀντιδιαστελλομένην τῇ ἀδικίᾳ καὶ πλεονεξίᾳ, νοητέον ἐπὶ τοῦ παρόντος, ἀλλὰ τὴν γενικὴν καὶ παντελῆ καὶ πάσης περιεκτικὴν ἀρετῆς.

(Εὐσεβίου, quod puto mendosum, pro Σευήρου) ἀπὸ λόγου ἑξηκοστοῦ β'. Προσ- p. 92. b.
ετάττετο δὲ γυμνὸς περιπατῆσαι καὶ ἀνυπόδητος, ἵνα τὴν τινῶν γύμνωσιν καὶ ἀνυποδησίαν καὶ πικρὰν αἰχμαλωσίαν ἐνδείξηται· ταῦτα δὲ δι' οὐδὲν ἕτερον ἐπράττετο ἢ διὰ τὸ τοὺς ἀκούοντας παχεῖς ὄντας τὴν διάνοιαν καὶ νηπιώδεις καὶ λόγῳ μὴ νουθετουμένους τῇ θέᾳ τῶν πραγμάτων ἐντρέπεσθαι καὶ φόβῳ καὶ ἀγωνίᾳ συνέχεσθαι.

Σευήρου ἀντιοχέως. Ὁ γὰρ τῶν οὐρανίων νοημάτων ἀφιστάμενος, καὶ χθόνιος τισὶ λογι- p. 96. a.
σμοῖς ἐπιχειρῶν, σοφίζεσθαι κατὰ τῆς ἀληθείας, ἐνοίκει κυρίως οὗτος ἐπὶ τῆς γῆς προσκεκολλημένος καθάπερ τῷ ἐδάφει τοῖς ἀνθρωπίνοις διανοήμασι, καὶ πρὸς τὸ ὕψος βλέπειν ἀδυνατεῖ.

Ἀπὸ λόγου λβ'. Οὕτω γὰρ ἡ στεῖρα μὲν καὶ ἐξ ἐθνῶν ἐκκλησία τέτοκεν ἑπτά· ἠσθέ- p. 98. a.
νησεν δὲ ἡ πολλὴ πρώην ἐν τέκνοις συναγωγή· καὶ γέγονε πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης ἄνδρα.

Ἀπὸ λόγου ργ'. Τὸν ταῖς κεφαλαῖς πολὺν, τὸν πρῶτον νοήσαντα τὸ ποικίλον τῆς πο- p. 98. b.
νηρίας καὶ πατέρα πάσης σχολιότητος· μάχαιραν δὲ φησὶ τὴν τοῦ ἁγίου πνεύματος δύναμιν, ἣν κατήγαγεν Ἰησοῦς ἐπὶ τὸ ὕδωρ, τὰς τοῦ δράκοντος συντρίβουσαν κεφαλὰς, ἧς ἔτι καὶ νῦν οἱ ἱερεῖς τὴν ἐνέργειαν τῇ αὐτοῦ φιλανθρωπίᾳ κατάγουσι, διὰ λόγου θεοῦ καὶ ἐντεύξεως· καὶ μαρτυρεῖ τούτῳ Παῦλος λέγων· καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ· ταύτην δὲ καὶ δεδειὼς ὁ δράκων οὐχ ὑπομένει τὴν τομὴν, ἀλλὰ καὶ δραπέτης γίνεται καὶ φυγάς.

Ἀπὸ λόγου ις'. Πληγὴ δὲ, ἣν ὑπὸ τῆς ἁμαρτίας ἐπλήγημεν, ἐστιν ὁ θάνατος· ἴαμα δὲ p. 103. b.
ταύτης τί ἕτερον ἄν τις, ἢ τὴν ἀνάστασιν εἶναι λογίσαιτο, δι' ἣν καὶ ἥλιος καὶ σελήνη, καὶ ἡ λοιπὴ τῶν στοιχείων κτίσις λαμπροτέρα καὶ ἀκμάζουσα ἔσται διηνεκῶς; καὶ μάλα εἰκότως· ὥσπερ οἰκέτης κακῶς μὲν πράττοντος τοῦ δεσπότου, μετέχει τῆς κακοπραγίας· ἐπὶ τὸ ἄμεινον δὲ μεταβάλλοντος, εὖ διάκειται καὶ αὐτός· οὕτω καὶ ἡ κτίσις ταχθεῖσα δουλεύειν ἡμῖν, ἐκοινώνησε τὸ πρὶν τῆς φθορᾶς· εἰς ἀφθαρσίαν δὲ ἐπανελθοῦσι, συμμεθέξει πάλιν τῆς ἐντεῦθεν τιμῆς.

Ἀπὸ λόγου ιθ'. Καὶ αἰσθητῶς νοούμενον ἐπὶ τῆς τῶν παίδων γονῆς· καὶ ὑψηλῶς ἐν p. 104. b.
ταυτῷ θεωρούμενον, ἐπὶ τοῦ τῆς ἀρετῆς καὶ τοῦ τῆς πνευματικῆς διδασκαλίας σπέρματος, ἐξ οὗ πολλὰ θεὸν ἐπιγινώσκοντα γίνεται τέκνα.

Ἀπὸ λόγου ο'. Ποῦ γάρ τις εἶδεν, ἢ ἤκουσεν ἔνδοξον ποταμὸν, εἰ μὴ τὸν πνευματικὸν τοῦτον, τὸν ἐν τῇ Σιὼν ἀναφανέντα, καὶ κατὰ πάσης σχεδὸν τῆς ὑφ' ἡλίῳ χυθέντα, τὸν τῇ θείᾳ δόξῃ καὶ τοῖς οὐρανίοις κομῶντα χαρίσμασιν;

Ἀπὸ τῆς πρὸς Καισαρίαν ἐπιστολῆς. Περὶ τῶν ἀποστόλων προφητεία ἔτι σαφής· καθ- p. 105. b.
αρὸν μὲν γὰρ ζῶον ὁ βοῦς, καὶ εἰς βρῶσιν καὶ εἰς θυσίαν ἱερὰν ἐπιτήδειον· ὁ δὲ ὄνος ἀκάθαρτον καὶ ἄθυτον καὶ ἀπόβλητον· καὶ τύπον μὲν ὁ βοῦς ἐπέχει τοῦ κατὰ σάρκα Ἰσραὴλ καὶ τοῦ γένους τοῦ ἰουδαϊκοῦ· τόπον δὲ ὄνος πληροῖ τῶν ἄλλων ἐθνῶν, τῶν τῇ δεισιδαιμονίᾳ κατεχομένων, καὶ μήτε νόμῳ προκαθαρθέντων, μήτε μυσταγωγίαις προφητικαῖς· ἐπεὶ οὖν οἱ ἀπόστολοι καὶ ἰουδαίοις καὶ τοῖς λοιποῖς ἔθνεσιν ἐκήρυξαν ὁμοτίμως τὸ εὐαγγέλιον, καὶ τὸν λόγον αὐτοῖς τῆς εὐσεβείας ἔσπειραν, μακαρίζει τούτους ὁ προφητικὸς λόγος, ἐπὶ πᾶν ὕδωρ σπείραντας, ὅπερ ἐστιν ἡ τοῦ κόσμου διάχυσις, καὶ πᾶσαν ἀκοὴν προσαγομένους, καὶ ὑποζεύξαντας τῷ τοῦ εὐαγγελίου ζυγῷ βοῦν τε καὶ ὄνον, τουτέστιν ἰουδαῖον τὲ καὶ ἕλληνας δη-

λοῖ δὲ καὶ τὰ ἑξῆς ῥητὰ, περὶ τῶν ἀποστόλων εἰρῆσθαι ταῦτα σαφῶς. Καὶ μετ' ὀλίγα. Ὃ δὴ καὶ ἡ προφητεία προμηνύουσα διεξέρχεται πανηγυρικῶς οὕτως πρὸς τοὺς ἀποστόλους ἀποτείνουσα τὸν λόγον· οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς· ὑμᾶς δὲ οὐδεὶς ποιεῖ ταλαιπώρους, καὶ τὰ ἑξῆς· ταύτην δὲ προφητείαν ἁρμόζειν εἴποι τις ἂν καὶ ἐπὶ τοὺς τοῖς ἀσκητικοῖς πόνοις ἐναθλοῦντας, καὶ φιλοσόφους ἄνδρας, καὶ κατὰ τῶν τῆς σαρκὸς παθῶν ἀριστεύσαντας.

p. 107. b. Ἀπὸ λόγου μζ΄. Τετγαροῦν ἡ ἔρημος, αὕτη δὲ ἦν ψυχὴ σχεδὸν πᾶσα τῶν ἐπὶ γῆς ἐθνῶν, ἐρημίαν παντελεῖ νοσοῦσα Θεοῦ πέπαυται τῆς ψυχῆς· οὐκ ἐποτίσθη γὰρ μόνον, ἀλλ' εὐφράνθη καὶ ἐνεπλήσθη, καὶ ἐνοικοῦν μᾶλλον δὲ ἀναβλύζουσαν ἐξ αὐτῆς ἔσχε, διὰ τῶν τοῦ Ἰορδάνου ῥευμάτων, αὐτὴν τὴν πηγὴν τῆς ζωῆς, ὅς ἐστι Χριστός· ἀκούει γὰρ Παύλου λέγοντος, εἰς τὸν ἔσω αὐτῆς ἄνθρωπον κατοικεῖν τὸν Χριστὸν, δυνάμει κραταιωθείσης διὰ τοῦ πνεύματος· γέγονε δὲ καὶ Θεοῦ ναὸς ἡ ἀοίκητος, καὶ πνεύματος ἁγίου κατάλυμα· φησὶ γὰρ ὁ αὐτὸς ἀπόστολος πρὸς αὐτήν· οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα αὐτοῦ οἰκεῖ ἐν ἡμῖν; πῶς γὰρ οὐκ ἔμελλε τούτου τυχεῖν, ἡ ὡς κρίνον ἀνθήσασα, καὶ τὸ μὲν ἄγαν λευκὸν καὶ λαμπρὸν τοῦ κρίνου κτησαμένη, καὶ λευκανθεῖσα διὰ τῶν τοῦ Ἰορδάνου ναμάτων; τὸ δὲ τῆς ὀσμῆς εὐῶδες, διὰ τοῦ ποιεῖν τὰς εὐαγγελικὰς ἐντολάς· καὶ πάλιν μετὰ Παύλου βοᾷν, ὅτι Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ· καὶ οὐκ ἀνθήσει μόνον, εἶπεν ὁ προφήτης, ὡς τὸ ἄνθος μαρασμὸν διαδέξασθαι· ἀλλὰ μετὰ τοῦτο αὖθις ἐπήγαγεν, καὶ ἐξανθήσει, καὶ ὑλοκαρήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, τουτέστιν ἄνθος ἐπ' ἄνθει προσίσει, ἐν τῇ προόδῳ τῶν ἀρετῶν, καὶ τῇ πυκνότητι καὶ συνεχείᾳ, καὶ τῷ ὕψει τὰ ἐν ταῖς ὕλαις δένδρα μιμήσεται· ἵνα μᾶλλον ἀνηγμένως τὸ ὑλοχαρήσει νομίσωμεν, καὶ τὰ τῆς ὕλης χαρήσεται, χρημάτων, κτημάτων περιφρονοῦσαι τῷ χαίρειν τῷ πνεύματι, καὶ τῶν ἄλλων ῥεόντων πραγμάτων, δι' ὧν ὁ βίος οὗτος ἐξάγεται, καὶ πρὸς ἀσώματον τινὰ καὶ ἄϋλον ἀναδράμηται ζωήν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ γὰρ ἀρδεύσας αὐτὰ τῷ φωτεινῷ ῥείθρῳ καὶ ἀποτελέσας ἔγκαρπα, δικαίως ἑαυτοῦ καλεῖσθαι πεποίηκε ταῦτα, ἡ ξηρὸ καὶ διψῶσα πάλαι μὲν βεβλάστηκε.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὸν δὲ Λίβανον ὄρος εἶναι τῆς Φοινίκων γῆς, οὐδεὶς ἀγνοεῖ, καθ' ὃ τὸ τῶν δαιμονίων σέβας ὑπῆρχε πολὺ, καὶ δαψιλὴς ἡ τῶν νόθων δόξα θεῶν· ὁ δὲ Κάρμηλος, ὄρος ἐστὶ καὶ αὐτὸς τῆς πρὸς τῇ θαλάττῃ Φοινίκης, ἐπὶ τὴν Γαλιλαίαν διῆκον, ἐν ᾧ τὸν Θεσβίτην Ἠλίαν θεόπνευστος ἔφη γραφὴ τὰς ἀμείνους καὶ ἡσυχίους ποιεῖσθαι διατριβὰς, καὶ Θεῷ μόνῳ ζῆν τε καὶ ὁμιλεῖν· ἐπεὶ οὖν ἡ πρώην ἐκκλησία καὶ ἐξ ἰουδαίων, καὶ ἐκ τῶν δεισιδαιμονεστάτων ἐθνῶν πιστεύσαντας ἔσχε, καὶ ἐξ ἀμφοτέρων ἠθροίσθη, μεταθεμένων τῆς προτέρας δόξης, ἀκολούθως ὁ προφήτης φησὶν, ἐπὶ τὴν ἔρημον τὴν ἐκείνων τιμὴν καὶ δόξαν μετατεθήσεσθαι, καὶ τοσοῦτον, ὡς καὶ ὑπερβαλέσθαι τῇ ὄψει.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ποῖον ὕψος τοῦ Θεοῦ; τὸν Ἐμμανουὴλ, διὰ τὸ τῆς ἐνανθρωπήσεως ὑφειμένον μέτρον, ἐπὶ τὸ ὕδωρ καταβάντα, καὶ καθήραντι τοῦτο τελείως, καὶ λουτρὸν ἀποτελέσαντα τῆς οἰκουμένης ὅλης καθάρσιον.

p. 108. a. Ἀπὸ λόγου ξθ΄. Τίς δὲ ἔστιν ἡ τὸ πρόσωπον ἔρημος καὶ ἄνυδρος γῆ, ὕστερον δὲ τῇ τοῦ ζῶντος πιανθεῖσα πηγῇ; ἡ ἐκκλησία, ἡ πάλαι μὲν ἄβατος Θεῷ, καὶ ἔρημος τῆς γνώσεως, καὶ τῇ δίψῃ τῇ ἐκ τῆς δεισιδαιμονίας κατεψυγμένη· καὶ μήτε νομικῷ, μήτε προφητικῷ νάματι ποτιζομένη· νῦν δὲ τῇ πηγῇ τοῦ τῆς παλιγγενεσίας λουτροῦ πελαγίζουσα, καὶ

πάσας εἰς ἑαυτὴν εἰσδεξαμένη, καθάπερ μεγάλη θάλασσα, τὰς μερικὰς ἀπεῤῥύας τοῦ Ἰσραὴλ, τὰς Μωϋσέως λέγω καὶ τῶν προφητῶν προαγορεύσεις περὶ Χριστοῦ· αἷς καὶ τὸ τοῦ Δαβὶδ λόγιον ἐπὶ καιροῦ προσαρμοστέον, οὑτωσεί πως ἔχον· ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν θεὸν κύριον ἐκ πηγῶν Ἰσραὴλ, ἐν ᾗ συνδρομὴ γέγονεν ὀρνέων τῶν ἀναπτάντων ἐκ τῶν γηΐνων πραγμάτων, διὰ τῆς εὐαγγελικῆς πολιτείας εἰς οὐρανόν· καὶ πάλαι μὲν ἀφώνων, ὕστερον δὲ καθάπερ σιρήνων τὰ θεῖα λόγια μελῳδούντων· οἷοι ὤφθησαν οἱ δόκιμοι ταύτης διδάσκαλοι· σιρῆνες γάρ ἐστι τι γένος ὀρνίθων ἡδυφώνων καὶ λαλιστάτων, ταῖς ἐρημίαις ὅλως ἐμφιλοχωροῦν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Διὰ τοῦτο ἔλεσιν ἤνθησε, τοῖς ἰάμασι τοῦ παραδείσου στεφανουμένη ἡ ἐκκλησία βίων διαφόρων ἄνθεσι δή · · καρπὸν· ἣ ἕνεκα τὸν μέτροις ἡ ἑξήκοντα ἢ τριάκοντα φέρουσιν.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἐβλάστησε δὲ καὶ καλάμους, τὰς ᾠδὰς καὶ τὰς θείας ἀποκαλύψεις· ἐμπνέεσθαι δυναμένου τοῦ πνεύματος, καὶ θέλγειν τοὺς ἀπηγριωμένους τοῖς ἤθεσι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἡ ἐπὶ ταύτην ὁδὸς ἁγία καὶ καθαρὰ, καὶ τοῖς λέουσι καὶ θηριώδεσι καὶ ἀκαθάρτοις ἀπόρευτος· τοιοῦτοι γάρ εἰσιν οἱ τῷ ἁγίῳ καθαρθέντες καὶ λαμπρυνθέντες βαπτίσματι, οἱ πάλαι μὲν ἐν τοῖς ἔθνεσιν διεσπαρμένοι, καὶ διαφόροις νόμοις καὶ ἤθεσιν ἐντρεφόμενοι, νυνὶ δὲ συναχθέντες διὰ τῆς χάριτος, καὶ εἰς ἓν σῶμα τελοῦντες Χριστοῦ.

Ἀπὸ λόγου μδʹ. Ὦ βαρβαρικῆς ἀπονοίας, οἷς οὔπω προσέβαλεν, τούτοις ὡς δορυαλώ- p. 108. b.
τοις προσδιελέγετο, τῇ μὲν τῆς στρατειᾶς, τῇ δὲ τῆς ἵππου τὸ πλῆθος παραδεικνὺς, καὶ
καταπλῆξαι τῷ δέει βουλόμενος.

Σευήρου ἀντιοχέως. Καὶ ἐπήκουσεν ὁ πρὶν ἐπιβληθῆναι παρών. p. 109. b.

Σευήρου ἀντιοχέως. Τοσοῦτον ἴσχυσεν μία προσευχὴ διανοίας θεοφιλοῦς ἐκβλαστήσασα, p. 110. a.
καὶ δάκρυσιν ἀρδομένη, κατεργάσασθαι φόνον.

Ἀπὸ λόγου ργʹ. Πᾶν μὲν γὰρ εἴ τι μετέωρον καὶ ὑπέροφρυ, καὶ βουνῷ καὶ ὄρει παρ- p. 111. b.
εικαζόμενον φρόνημα, τὸ εὐαγγελικὸν ἐξωμάλισε, μέτρια παιδεῦσαν φρονεῖν· πᾶν δὲ κοῖλον καὶ
εἰς βάθος τυγχάνον ἀγνοίας θεοῦ, καὶ φάραγγι προσεοικὸς, ἄνω πεπλήρωται διὰ τῆς ἐπὶ πάν-
τα ἴσης κλήσεως καὶ διδασκαλίας καὶ ἐπιγνώσεως.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Σημαίνει τὴν συμφωνίαν ἁπάντων, καὶ τὴν ἀνωμαλίαν τῶν ἠθῶν, εἰς ἓν φρόνημα κιρναμένην, καὶ ἀποτιθεμένην τὴν σκολιότητα, καὶ ὑποκλίνουσαν τὴν ἀκοὴν τῷ τοῦ εὐαγγελίου κηρύγματι, καὶ καταδεχομένην πᾶσαν σάρκα, τουτέστιν ἄνθρωπον τὸ σωτήριον τοῦ θεοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἀλλὰ μὴν καὶ τὰ σκολιὰ ἐγένετο εἰς εὐθεῖαν, πάντων τῶν προσκεκλημένων ἀνθελομένων τῆς σκολιότητος τὸ τῆς ἀληθείας εὐθύ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὰς γὰρ ἀβάτους τῶν ἐθνῶν ψυχὰς, καὶ τραχυνθείσας ἐκ τῆς δεισιδαιμονίας, ὁ ἀποστολικὸς διώδευσε λόγος, καὶ λείας εἰργάσατο· καὶ τοῦτο οὐκ ἐκ τῆς οἰκείας δυνάμεως, ἀλλ' ἐπειδὴ πᾶσα σὰρξ εἶδεν τὸ σωτήριον τοῦ θεοῦ, τουτέστι θεὸν ἐμφανῶς ἐλθόντα, καὶ δείξαντα δι' αὐτῶν τῶν ἔργων ὡς ἔστι σωτήρ.

Ἀπὸ λόγου πʹ. Νήσους τὰς ἐκκλησίας προσαγορεύει, διὰ τὸ ἐκ τῆς ἁλμυρᾶς καὶ πι- p. 113. a.
κρᾶς δεισιδαιμονίας καθάπερ ἐκ θαλάττης ἐκ μέσων τῶν ἐθνῶν ἀναδῦναι καὶ ἀναλάμψαι,
καὶ λιμένας εὐδίους τῆς θεοσεβείας προτεῖναι τοῖς ἐπινηχομένοις τῇ ἀπιστίᾳ τῆς πλάνης· νή-
σοι δὲ εἰκότως ἂν νοηθεῖεν, καὶ διὰ τὸ πανταχόθεν περικλύζεσθαι ταῖς τρικυμίαις τῶν πει-

ρασμῶν, καὶ τῇ ὑπομονῇ καὶ προσβολῇ καὶ ἐλπίδι τῆς πέτρας, εἰς ἀφρὸν αὐτὰς διαλύειν, ἥ τις ἐστὶ Χριστὸς, ὁ βραχίων τοῦ ὑψίστου πατρός· καὶ τοῦτο πάλιν αὐτὸς συνίστησιν, ὁ ἐν Ἠσαΐᾳ λαλῶν οὑτωσεί· ἐμὲ νῆσοι ὑπομένουσι, καὶ εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν.

p. 114. b. Ἀπὸ λόγου νή. Ὅτι μὲν τὸ ἰδοὺ ὁ παῖς μου ὃν ἡρέτισα, τουτέστι προειλόμην, ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς πρὸς τὸν υἱὸν εἰρημένον, καὶ τὸ εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου, καὶ τὸ θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν, τῇ οἰκονομίᾳ πρέποντα ῥήματα, καὶ τοῖς τῆς ἐνανθρωπήσεως ὑφειμένοις μέτροις, ἅπερ ἑκουσίως ὁ μονογενὴς λόγος προσήκατο, παντὸς τοῦ τῶν ἀθρώπων γένους ἀπαρχὴ γεγονὼς, καθὰ καὶ ἁμαρτίας ἴχνος οὐκ ἔχουσα, καὶ δι' ἡμᾶς τοὺς ἀποβληθέντας καὶ ἀπαρέσαντας ἐρεθεὶς, καὶ διὰ τοὺς μισηθέντας εὐδοκηθεὶς, καὶ διὰ τοὺς ἐρήμους πνεύματος τὸ πνεῦμα λαβὼν ἀνθρωπίνως, ὅπερ εἶχεν οὐσιωδῶς ὡς θεὸς πρόδηλον.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Μὴ νόμιζε περὶ τῆς ἐννόμου καὶ διδασκαλικῆς, ἀλλὰ περὶ κραυγῆς τῆς κατηγορουμένης, ἥ τις ἐστὶ πικρίας καὶ ἔριδος ἔκγονον καὶ ξένον πάσης πρᾳότητος.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ὥσπερ οὖν κραυγὴν τὴν κατηγορουμένην οὐκ ἔκραξαν, οὕτως οὐδὲ ἐν πλατείαις καὶ ἀμφόδοις ἐδίδαξεν, τὴν κενὴν δόξαν θηρώμενος, ἀλλ' ἐν τῷ ἱερῷ καὶ ἐν ταῖς συναγωγαῖς, ἔνθα τῆς διδασκαλίας ὁ τρόπος· τὰ πλείω δὲ ἐν ἐρημίαις, καὶ ἐπὶ τοῦ ὄρους· καὶ πρὸς τῷ αἰγιαλῷ τῆς θαλάσσης, οὐδαμοῦ δὲ ἐπ' ἀγορᾶς. Καὶ μετ' ὀλίγα. Ὥστε τὸ μὲν οὐκ ἐρίσει, καὶ οὐ κραυγάσει, σημαίνει τὸ πρᾶον καὶ ἥμερον· τὸ δὲ οὐκ ἀκούσει τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ, τὸ ἀφιλότιμον καὶ κενῆς δόξης ἐλεύθερον. Καὶ μετ' ὀλίγα. Ἔχει δὲ καὶ ἑτέραν ἀνηγμένην ἔννοιαν τὸ μὴ ἐν ταῖς πλατείαις ἀκουσθῆναι τὴν φωνὴν αὐτοῦ, διὰ τὸ ἐν παραβολαῖς αὐτὸν ἠρέμα πως ἐπικεκρυμμένον, οἷα δὴ τίμιον, τὸν τῆς διδασκαλίας λόγον προφέρειν· ὡς μὴ διδόσθαι τὰ ἅγια τοῖς κυσὶν, μὴ δὲ ῥίπτεσθαι τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων· οὗτοι γὰρ οἱ ἐν ταῖς πλατείαις ἀναστρεφόμενοι.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Δύναται δέ τις καὶ κατὰ τὴν πρόχειρον ἔννοιαν ἐκλαβεῖν τὸ, κάλαμον συντετριμμένον οὐ κατεάξει· καὶ τὸ, οὐκ ἀκούσει τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κατὰ γὰρ τὸν καιρὸν τοῦ σωτηρίου πάθους, κάλαμον ὁ σωτὴρ παρὰ τῶν ἐμπαιζόντων ἠπίως ἐδέξατο, καὶ οὐχ ὡς δυσανασχετῶν ἐπὶ τῇ αἰσχύνῃ, τοῦτον ἐπερεισάμενος ἔκλασε· καὶ ὁ Πιλάτος δὲ, κατὰ τὸν Ἰωάννην, ἤγαγεν ἔξω τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ βήματος εἰς τόπον λεγόμενον λιθόστρωτον, ἑβραϊστὶ δὲ γαβαθὰ, τοῦτο δὲ τὸ λιθόστρωτον πλατεία πάντως ἐστί· καὶ ἐκεῖ κατὰ τὴν προφητείαν, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· καὶ ἀναγκαίως οὐκ ἤκουσε τίς ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ λίνον τυφόμενον, ἤ τοι καπνιζόμενον οὐ σβέσει· τὸν ἐκείνων θυμὸν ἀναφανέντα μὲν ἐπ' αὐτὸν, ἀτονήσαντα δὲ καὶ αὐτομάτως συναφανισθέντα τῷ ὑπεκκάυματι· τοιοῦτο γὰρ τὸ λίνον ἅμα τὸ ἀναφθῆναι καὶ δαπανώμενον, καὶ τροφὴ καπνοῦ μᾶλλον ὑπάρχον, καὶ οὐ πυρός· τὸν γοῦν τοιοῦτον θυμὸν, τὸν τοῦ σβεννύντος οὐ δεόμενον, οὐκ ἔσβεσεν ὁ σωτήρ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἵνα τὴν προθυμίαν αὐτοῦ παραστήσειεν, ὅτι σοφῶς καὶ οἰκονομικῶς κούφῳ ποδὶ τὰ οὕτω τραχέα παρατρέπει, μὴ παραδεικνὺς τὸ μέγεθος τῆς οἰκείας θεότητος.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τί δὲ τοῦτο ἐστιν; ἴδιον τοῦ λινοῦ τὸ ἀνάπτεσθαι, καὶ ὡς ἐν ἀκαρὶ λάμπειν ἅμα καὶ θραύεσθαι· τὸν δε θυμὸν ἰουδαίων οὔτε ἔσβεσεν ὁ Χριστὸς, ἀλλὰ καὶ ἀνάψαντα καὶ φλεχθέντα ἐπ' αὐτὸν, πολλάκις θραυσθῆναι οὐ συνεχώρησεν, ἕως οὗ τοῦ σταυροῦ παγέντος, ὃν ὑπέμεινεν ἑκουσίως σαρκὶ, καὶ τῆς ἀναστάσεως ἀκολουθησάσης, ἐξέβαλε, τουτέστιν διεξήγαγε, καὶ καταλῆξαι πεποίηκεν εἰς νῖκην τὴν κρίσιν αὐτοῦ.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἣν πρὸς ἰουδαίους ἐκρίθη, Πιλάτου δικάζοντος, καὶ ἣν ἔκρινε τὸν διάβολον, καὶ ἐπὶ τὸ πάθος πρὸς σωτηρίαν ἡμῶν ἐρχόμενος, καὶ λέγων· ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται· καὶ πάλιν, νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, καὶ τὰ ἑξῆς.

Ἐκ τῆς πρὸς Ἀνδρόνικον κοινοβιάρχην ἐπιστολῆς. Νήσους τὰς ἐκκλησίας φίλον τῷ προ- p. 115. b.
φήτῃ καλεῖν, μέσας κειμένας τῆς βιωτικῆς θαλάσσης, καὶ τοῖς διαπλέουσι τὴν ἐν κόσμῳ ζωὴν προτεινούσας λιμένα σωτήριον, καὶ μὴν καὶ τοῖς πειρασμοῖς περικλυζωμένας τῶν τε κατὰ καιροὺς διωξάντων αὐτὰς ἑλλήνων, καὶ μέχρι καὶ νῦν αὐταῖς ἐπανισταμένων αἱρετικῶν.

Ἀπὸ λόγου ρκγ'. Καλῶς δὲ ἄγαν καὶ τὸ ἕνεκεν ἐμοῦ· βουλόμενος γὰρ εἰπεῖν, ἕνεκεν p. 117. a.
ὑμῶν, ἀπορεῖ καὶ ἀναπληροῖ καὶ τὸ ἡμέτερον ἐνδεὲς λέγων, ἕνεκεν ἐμοῦ, τὴν ἐμὴν φησὶν χάριν, αἰτίαν ποιοῦμαι τῆς δωρεᾶς· διὰ τοῦτο γὰρ χάριτι τῇ πρεπούσῃ θεῷ, ὑπὲρ παντὸς ἐγευσάμην θανάτου, καὶ ἀνέστην ἵνα τοιαῦτα δωρήσωμαι.

Σευήρου ἀντιοχέως. Τὰς νοερὰς καὶ ἀγγελικὰς καὶ ἐπουρανίους δυνάμεις λέγει. p. 118. b

Ἀπὸ λόγου πβ'. Βουλόμενος ἐνδείξασθαι τῶν ἑαυτοῦ λόγων τὸ ἀπαράβατον, καὶ εἰς p. 120. a.
φόβον ἐμβαλεῖν τοὺς ἀκούοντας, τῷ σχήματι τῶν ὅρκων ἀνθρωποπρεπῶς δι' ἡμᾶς κέχρηται. p. 122. a.

Ἐκ τῆς πρὸς Φαρέτριον ἐπιστολῆς. Σκέπη δὲ χειρὸς, νοούτερος· ἡ αὐτὸς πάλιν νοηθείη δεξιὰ χεὶρ καὶ βραχίων ὑπὸ τῶν τοῦ θεοῦ καὶ πατρὸς· καὶ αὐτὸς ἑαυτὸν ἐπικρύπτων, μέχρι τοῦ συμπεράναι τὴν κατὰ τὴν ἐνανθρώπησιν οἰκονομίαν, καὶ ὑποαναχωρῶν τῶν φόνων τῶν ἰουδαίων· καὶ πὴ μὲν ὡς βέλος ἐκλεκτὸν κατατιτρώσκων διὰ τῶν ἐλέγχων τὰς ἀπειθεῖς καρδίας αὐτῶν· πὴ δὲ αὖ πάλιν ἐνδιδοὺς, καὶ οὐ τὴν ἀξίαν αὐτοῖς ἐπάγων πληγὴν, ἀλλ' ὡς ἐν φαρέτρᾳ τῇ φιλανθρωπίᾳ σκέπων, καὶ ἀναπαύων τὴν τοῦ βέλους ὀξύτητα.

Ἐκ τοῦ κατὰ τῶν κωδικιλίων Ἀλεξάνδρου συγγράμματος. Οὐ παντελῆ λέγων ἀπώλειαν· p. 125. a.
οὐδὲ γὰρ οἱ κατοικοῦντες αὐτὴν ἄνθρωποι, τοιαύτην ὑποστήσονται, ἀλλὰ τὴν πρόσκαιρον· καὶ δι' αὐτῆς ἐπὶ τὴν ἀφθαρσίαν μεταστήσονται, ὥσπερ οὖν καὶ ἡ κτίσις· ἅπερ ἅπαντα διὰ τοῦτο εἶπεν ὥσπερ ταῦτα παρεδήλωσεν.

Σευήρου ἀντιοχέως. Εἰς οἰκεῖον πρόσωπον τὰ ἡμῶν ἐγκλήματα προσγραψάμενος, καὶ τὰς ἀσθενείας πάντων βαστάσαι μόνος ὢν ἱκανώτατος· θεὸς γὰρ ἦν ἀληθῶς καὶ ἀναλλοιώτως σεσαρκωμένος, καὶ ἐν εἴδει τῷ καθ' ἡμᾶς.

Ἀπὸ λόγου ρκβ'. Οἰκειούμενος ὁ προφήτης τὴν τοῦ ἰδίου ἔθνους εἰς τὸν σωτῆρα καὶ p. 126. b.
θεὸν Ἰησοῦν ἐσομένην τόλμαν καὶ παροινίαν, καὶ συναριθμῶν ἑαυτὸν τοῖς ἀγνώμοσιν, ἡμεῖς φησὶν οἱ ἐχθροὶ καὶ πολέμιοι, οἱ πλήξαντες, οἱ τρώσαντες, οἱ κακώσαντες ταῖς μαλακίαις ταῖς πληγαῖς τοῖς τραύμασι τοῦ μαλακισθέντος, τοῦ τρωθέντος, τοῦ κακωθέντος, ἰάθημεν ὥστε πρὸς τηλικαύτῃ σωτηρίᾳ, καὶ παίδευσιν ἡμῖν εἰρήνης γίνεσθαι τὰ ἐκείνου.

Ἀπὸ λόγου ρκβ. Ἐπ' αὐτὸν ὡς ἐπὶ στήλην, φησὶν, τὸ τῆς εἰρήνης ἡμῶν ἐπιγέγραπται μάθημα.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Τὸ δὲ ἡμεῖς, ἔμφασιν ἔχει πολλὴν, οἱ σταυρώσαντες, οἱ διὰ p. 127. a.

πάσης ὁδοῦ πολεμήσαντες, οἱ ἐμπαροινήσαντες ἀφειδῶς· ὅθεν καὶ αὐτὸς ἐν εὐαγγελίοις ἐβόα, τὸ οἰκεῖον προτιθεὶς εἰς παιδείαν παράδειγμα· μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶος εἰμὶ καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ᾧ καὶ Παῦλος συνῳδὰ λέγων γέγραφε, αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν.

Ἀπὸ λόγου μϛ΄. Ἦν γὰρ ὁ αὐτὸς καὶ ἀγενεαλόγητος ὡς Θεὸς, καὶ κατὰ σάρκα γένος ἐπιγραφόμενος.

Ἐκ τοῦ πρὸς Ἰουλιανὸν συγγράμματος. Τοῦ γὰρ εἰς θάνατον ἑκουσίως καταβεβηκότος, ἤρθη ἀπὸ τῆς γῆς ἡ ζωὴ, καὶ μετεωρίσθη, καὶ ὑπερανέβη τοὺς οὐρανοὺς· ὅτι βασιλεὺς ὑπῆρχε τῆς δόξης, καὶ ἡ αὐτοῦ κατὰ φύσιν ζωὴ, καὶ κύριος τῶν δυνάμεων, καὶ θρόνον ἔχων τὸν ἀνωτάτω, καθὰ καὶ αἱ δυνάμεις αἱ ἐν οὐρανοῖς ἐπέγνωσαν καὶ ὡμολόγησαν· εἰ καὶ διὰ τὴν περὶ ἡμᾶς οἰκονομίαν, καὶ τὴν ἑκούσιον κένωσιν τῆς κατὰ τὸ πάθος ἐπὶ τῆς ἀτιμίας καὶ ἀδοξίας ἠνέσχετο· τοῦτο δηλούσης εὐλόγως αὐτῷ τῆς καθ᾽ ὑπόστασιν αὐτῷ καὶ ἀδιαιρέτως ἑνωμένης σαρκὸς, περὶ ἣν τὸ πάθος καὶ ἡ ἐντεῦθεν ἀτιμία συνέβαινε· κατὰ Θεοῦ μὲν τολμωμένη τοῦ καὶ σεσαρκωμένου, ψαῦσαι δὲ μὴ δυναμένη τοῦ πάθους, ὅπερ ἀμήχανον.

Ἐκ τῆς πρὸς Ἀναστασίαν διάκονον ἐπιστολῆς. Τὸν ἅγιον καὶ ἐν ἁγίοις ἀναπαυόμενον ὑπὲρ τῆς τοῦ κόσμου παντὸς ἁμαρτίας, εὐδόκησεν ὁ Θεὸς καὶ πατὴρ γενέσθαι θῦμα καὶ προσφορὰν ἐπὶ τῷ δικαιωθῆναι τοὺς διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν ἀποβληθέντας ἡμᾶς, καὶ ἀθέους καὶ ἐλπίδα μὴ ἔχοντας, ὥς που φησὶν ὁ ἀπόστολος.

Σευήρου ἀντιοχέως. Ὅπερ δηλοῖ σαφῶς, οἷα δὲ Θεῷ καὶ ἐνηνθρωπηκότι φυσικῶς, καὶ οὐσιωδῶς ἐνεῖναι τὸ ἀγαθὸν, καὶ τὴν τῆς ἁμαρτίας ἀλλοτρίωσιν.

Ἐκ τοῦ φιλαληθοῦς. Ἀλλ᾽ ἡμᾶς ἐν ἑαυτῷ φέρων, καὶ πᾶσαν ὥσπερ φορέσας τὴν ἀνθρωπότητα, τὸ ἡμέτερον ἀτελὲς ᾠκειώσατο· ἵν᾽ ἐν αὐτῷ πρώτῳ δι᾽ ἡμᾶς ἀτρέπτως καθ᾽ ἡμᾶς γεγονότι, καὶ ὄντι τελείῳ, παυσώμεθα τῆς ἀτελοῦς καταστάσεως.

p. 128. b. Ἅγιον ὕδωρ μὲν προσαγορεύει τὴν δι᾽ ὕδατος καὶ πνεύματος ἄφεσιν, καὶ τὴν τοῦ θείου βαπτίσματος χάριν· οἶνον δὲ, τὸν διδασκαλικὸν ὀνομάζει λόγον· ἄμφω γὰρ προῖκα χαρίζεται· καὶ πῶς ἄν τις εἴποι, τὴν ἄνευ ἀργυρίου χάριν ἀγοράζειν προτρέπεται; φάσκων, πορευθέντες ἀγοράσατε καὶ πίετε· ἄνευ γὰρ ἀργυρίου καὶ τιμῆς οἶνον· τὸ γὰρ ἀγοράζειν, ἐναντίον τῷ κατὰ χάριν λαμβάνειν· ἀλλ᾽ ἡ θεία χάρις πρᾶσις ἐστι· πίστιν γὰρ ἀντὶ τῆς τιμῆς ἀπαιτεῖ τὸν λαμβάνοντα.

Διὰ τοῦτο ἡ ἐκκλησία χρυσίον καὶ ἀργύριον οὐ προσήνεγκεν, ἀλλὰ πίστει καὶ πόνοις τὰ ἄδυτα ταμεῖα τῶν θησαυρῶν τῆς σοφίας ἠγόρασεν· ὁ γὰρ πολλῶν μεγαλοπρεπῶς ἀγοράζειν χωρὶς ἀργυρίου διεκελεύσατο.

p. 133. b. Ἀπὸ λόγου νϛ΄. Σαφῶς διὰ τῶν ῥημάτων τούτων δηλῶν, ὡς τὸ τῆς κενώσεως ὑφειμένον καὶ ὑποβεβηκὸς, καὶ τὸ Χριςὸς ὄνομα τε καὶ πρᾶγμα, δι᾽ ἡμᾶς κατεδέξατο· τὸ γὰρ πνεῦμα φησὶν, ὅπερ ἐςι φυσικῶς ἐν ἐμοὶ διὰ τὸ ταυτὸν τῆς οὐσίας καὶ τῆς θεότητος, τοῦτο ἐπ᾽ ἐμὲ παραγέγονε καὶ ἔξωθεν, ὥσπερ καὶ ἐν τοῖς τοῦ Ἰορδάνου ῥεῖθροις ἐν εἴδει περιστερᾶς ἐπεφοίτησεν, οὐχ᾽ ὡς μὴ ὑπάρχον ἐν ἐμοὶ, ἀλλ᾽ οὗ ἔχρισεν ἔχρισε με· τίνος δὲ ἕνεκεν χρισθῆναι προείλετο; ἢ ἡμῶν τῶν ἐρήμων γενομένων τοῦ πνεύματος, διὰ τὴν ἀρχαίαν ἐκείνην ἀπόφασιν τοῦ Θεοῦ φήσαντος· οὐ μὴ καταμείνει τὸ πνεῦμα μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.

Ἀπὸ λόγου πδ΄. Πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέν με κύριος· ταῦτα διὰ τοῦ προφήτου Χριστὸς, ὁ δι' ἡμᾶς σαρκωθεὶς καὶ ἐνανθρωπήσας τοῦ θεοῦ λόγος φησίν· ὅς τις θεὸς ὢν ἀληθινὸς, ἐξ ἀληθινοῦ θεοῦ τοῦ πατρὸς, καὶ οὐκ ἀπολισθήσας οὗ ἦν, καὶ ἀτρέπτως καὶ ἀληθῶς ἄνθρωπος γεγονὼς, μεθ' ἡμῶν κέχρισται τῷ ἐλαίῳ τῆς ἀγαλλιάσεως· τοῦ πνεύματος αὐτῷ παρὰ τὸν Ἰορδάνην ἐπιφοιτήσαντος, ἐν εἴδει περιστερᾶς· πάλαι μὲν ἐλαίῳ συμβολικῶς ἐχρίοντο βασιλεῖς τε καὶ ἱερεῖς, ἁγιασμοῦ τινὰ μετοχὴν ἐκ τούτου κερδαίνοντες· ὁ δὲ δι' ἡμᾶς ἐνανθρωπήσας, τῷ νοητῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ, καὶ αὐτῇ τῇ ἐπιφοιτήσει τοῦ πνεύματος ἐχρίσθη· τοῦτο ἡμῖν λαμβάνων οὐχ' ἑαυτῷ· καὶ γὰρ ἀποπτάντος τοῦ πνεύματος καὶ μὴ καταμείναντος ἐν ἡμῖν, διὰ τὸ εἶναι ἡμᾶς σάρκας, πένθους ἦν πλήρης ἡ γῆ· πῶς γὰρ οὐκ ἤμελλεν, ἐστερημένη μετουσίας θεοῦ;

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· τοῖς γὰρ τὴν τοῦ θεοῦ γνῶσιν πτωχεύουσι, καὶ πλουτοῦσιν ἐν ἁμαρτίαις ἐκήρυττε λέγων· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν· ταύτῃ καὶ τοὺς συντετριμμένους τὴν καρδίαν ἰάσατο.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Καὶ τυφλοῖς ἀνάβλεψιν ἐχαρίσατο, τοῖς ἐν σκότει τῆς ἀγνοίας καὶ σκιᾷ θανάτου ἐπιφανείς· καὶ ἁπλῶς εἰπεῖν, ἐκάλεσεν ἐνιαυτὸν κυρίου δεκτὸν, ὅπερ ἅπαντα συλλήβδην ἔχει τὰ ἀγαθὰ καὶ χρηστά.

Ἀπὸ τοῦ αὐτοῦ λόγου. Ἐκήρυξε δὲ καὶ αἰχμαλώτοις ἄφεσιν ἣν καὶ ἐνήργησεν, δήσας τὸν ἰσχυρὸν, τὸν τυραννικῶς τοῦ τῶν ἀνθρώπων γένους καταδυναστεύσαντα σατανᾶν, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσας ἡμᾶς.

Σευήρου Ἀντιοχέως (1). Αὐτὸς μὲν γὰρ ἦν ὁ ἰσχυρὸς ὡς θεός· ἡμᾶς δὲ βιαίως κατεχο- p. 155. a.
μένους ἐξήρπασεν ὑπὸ τοῦ τῆς τοῦ τυράννου διαβόλου χειρός· ὅθεν ὡραῖον αὐτῷ τὸ ὑπὲρ ἡμῶν παθεῖν κατεφαίνετο· καὶ τὸ αὐτὸ καὶ ταῖς ἀσωμάτοις ἐδόκει δυνάμεσι.

Σευήρου Ἀντιοχέως. Φωνὴ κραυγῆς ἐξάκουστον ἔσται, φησὶν, ὁ μέλλων προφητεύειν· καὶ p. 157. b.
παραπλήσιον κραυγῇ πόλεως, ὑπερεχούσῃ τῶν ἀκουόντων τὴν ἀκοήν· ἀλλ' εἰ καὶ ἐπεξάκουστον, πλὴν ὅμως ἀπόῤῥητον, φωνὴ γάρ ἐστιν ναοῦ· τὰ δὲ ἐκ τοῦ ναοῦ καὶ ἐκ τῶν ἀδύτων, καὶ τοῦ ἁγίου τῶν ἁγίων, ὥς φησιν ἡ θεία γραφὴ, φερόμενα ἢ χρησμῳδούμενα, μυστηριώδη τινά ἐστιν, καὶ ταῖς τῶν ἀνθρώπων διανοίαις ἀπρόσιτα· ἢ δυσπρόσιτα, καὶ ἑρμηνείαις οὐ βάσιμα.

Ὃς πάντως ταῖς τικτούσαις κατὰ φύσιν παρέπεται, καὶ ἄλγους δίχα τεκεῖν, τὰς ἐν p. 138. a.
λύπαις τίκτειν καταδεδικασμένας οὐκ ἔνεστιν· ἀλλ' ἡ θεοτόκος παρθένος ἀνώδυνον ἔσχεν ὠδῖνα καὶ τόκον, καὶ ἔξω γεγένηται καὶ κατὰ τούτων τῶν ὅρων τῆς φύσεως, καθάπερ καὶ κατὰ τὸ χωρὶς σπορᾶς κυῆσαι, καὶ μετὰ τόκον ἔχειν τὸν τῆς παρθενίας δεσμὸν ἀδιάλυτον.

Ἀπὸ τοῦ λόγου ρη΄. Τὸ δὲ ἐξέφυγε βοᾷ τὸ παράδοξον, ὅτι διὰ τῆς φύσεως ἐλθὼν ἔξω γέγονε τῶν ὅρων τῆς φύσεως, ὑπὲρ νοῦν καὶ λόγον τῶν παρθενικῶν ἐκδραμὼν, καὶ ἐξολισθήσας δεσμῶν· καὶ ταῦτα ἐκ τῆς παρθένου σαρκωθεὶς, καὶ ὅλον τὸν τῆς κυήσεως χρόνον πληρώσας· καὶ ἀτρέπτως κατὰ σάρκα γενόμενος ἡμῖν ὁμοούσιος, καὶ ὢν τῷ πατρὶ καθὸ θεὸς ὁμοούσιος· καὶ μόνος ὡς ἀληθῶς μετὰ τὴν τοῦ Ἀδὰμ παράβασιν ἄῤῥεν τεχθείς.

Ἀπὸ λόγου ϟ΄. Καὶ ὀφθαλμοῖς πολλοῖς ὅλα καὶ οὐκ ἐξ ἡμίσεως, καθάπερ ἀστέρας φα- p. 192. b.
νοτάτοις περικυκλούμενα· καὶ τοῦτο τὸ ἐγρηγορέναι καὶ πεφωτίσθαι δεικνύοντα.

Ἀπὸ λόγου η΄. Πλείοσι προσώποις ὑπογραφόμενα, καὶ διὰ τούτων ἐμφαίνοντα τῆς θεωρίας τὸ πλούσιον.

(1) Scribo Severi nomen, ubi ex incerto eiusdem libro profertur auctoritas.

*ψ. κεφ. 9? Ἀπὸ λόγου ψκθ'. * Καὶ πλήθει πτερύγων μετεωριζόμενα, κἀντεῦθεν τὸ ὀξὺ δηλοῦντα καὶ ἐλαφρὸν καὶ ἀνωφερὲς καὶ εὐκίνητον· διὰ γὰρ τῶν σωματικῶν τούτων ὄψεων ἢ ἐμφάσεων, ὡς δι' αἰνιγμάτων δρεπόμεθα κατανόησιν, καὶ οὕτως ἔχοντα φύσεώς τε καὶ τάξεως.

p. 193. a. Ἀπὸ λόγου η'. Καὶ τὰ πρόσωπα συγκαλύπτοντα, μή πως ὅλη θέᾳ προσλαβόντα τῷ ὑπερβάλλοντι καὶ μὴ ἐνεγκόντα, καὶ τὸ μέτριον ἀπολέσει τῆς εἰς αὐτὰ κατιούσης ἐλλάμψεως· εἰς τοσοῦτον αὐτῶν ἐστὶ θεατὸν, ὅσον ἂν ἰδεῖν δυνηθείη πρόσωπον κατακαλυπτόμενον πτέρυξιν· τοῦτο δὲ κέντρον τί φωτὸς μικρὸν ὑποφαίνει καὶ ἀμυδρώτατον.

Ἀπὸ λόγου ϙ'. Γνῶσιν ἤγουν φαντασίαν εἷλκεν εἰς ἑαυτὰ, καὶ ταύτης τῆς μετουσίας μόλις ἀπήλαυε, καὶ οὐκ αὐτῆς δόξης, ἀλλ' ὁμοιώματος δόξης κυρίου, μήτι γε οὐσίας θεοῦ ποθὲν, πολλοῦ γε καὶ δεῖ.

p. 194. a. Ἀπὸ λόγου ρα'. Τόπον δὲ κυρίου νοητέον ἐπὶ τοῦ προκειμένου, τὰς ἐγγιζούσας ἀΰλους οὐσίας, παρὰ τὰς ἄλλας δυνάμεις αὐτῷ, καὶ πλέον τῆς θείας μετουσίας καὶ θεωρίας ἀπολαυούσας, καὶ τοῦ ἐκεῖθεν νοεροῦ καὶ ἀποῤῥήτου φωτός· τούτου γὰρ ἕνεκα καὶ θρόνος αὐτοῦ καὶ καθέδρα καλεῖται τὰ χερουβὶμ· ὡς διὰ τῆς μείζονος καὶ τελειοτέρας ἐλλάμψεως κατὰ τὸ δυνατὸν, οἱονεὶ ἐγκαθεζομένου καὶ ἐναναπαυομένου καὶ ἐμφιλοχωροῦντος αὐτοῖς.

p. 196. a. Σευήρου ἀντιοχεως. Πρὸς τὴν ἅλωσιν καὶ τὸν ἐμπρεσμὸν παραστῆσαι τῆς Ἱερουσαλὴμ, καὶ τῶν ἐνοικούντων τὸν φόνον, καὶ τὸ διασπαρῆναι καὶ λικμηθῆναι τοὺς περιληφθέντας πανταχοῦ σχεδὸν τῶν περάτων τῆς γῆς.

p. 199 b. Ἀπὸ λόγου λα'. Τὸ σημεῖον τοῦ σταυροῦ ὁ προφήτης ὡς ἐν τύπῳ τεθέαται δυνάμεως ὅλον ὑπάρχων καὶ φυλακῆς σφραγῖδα τοῖς φοβουμένοις τὸν κύριον.

p. 200. a. Σευήρου ἀντιοχέως. Τοῦτο παρίστησιν ὅτι τινὲς ἦσαν κατοφρυώμενοι λίαν ἐπὶ τῷ τῆς ἀρχιερωσύνης προσχήματι, καὶ ἐπὶ τῷ τόπῳ τοῦ ναοῦ καὶ τοῦ ἁγιάσματος μέγα φυσῶντες, κενοὶ δὲ ἀγαθῶν ἔργων, καὶ τῶν ἐναντίων ἐργάται· καὶ διὰ τοῦτό φησι τοῖς τιμωροῖς ἀγγέλοις, ἀπ' αὐτῶν ποιήσασθαι τὴν ἀρχὴν, οὓς ἐχρῆν οὕτω βιοῦν, ὡς καὶ ὑπὲρ ἄλλων ἁμαρτανόντων δύνασθαι χεῖρας ἐκτείνειν πρὸς θεὸν, καὶ ἀνέχειν τὴν ἐπεωρισμένην τιμωρίαν καὶ ἀπειλήν.

p. 202. b. Ἀπὸ λόγου ος'. Τοιαῦτα γάρ ἐστι τὰ τῆς κακίας ἐπιτηδεύματα καὶ οἱ τῆς παραυτίκα ἡδονῆς καὶ χάριτος ἕνεκα τὸ λυσιτελὲς παρατρέχοντες ἐκ τοῦ τέλους φωρῶνται καὶ διελέγχονται, καὶ τῆς ὀργῆς ἐπελθούσης λοιπὸν μεταμελεῖ τοῖς ἀπατηθεῖσι τῆς ἡδονῆς, καὶ τὸν πρὸς τὸ ἡδὺ χαρισάμενον, ὡς λυμεῶνα βδελύττονται.

p. 203. a. Ἐκ τῆς πρὸς Βερονικιανὸν ἐπιστολῆς. Δηλοῦντος τοῦ λόγου τὴν συγχώρησιν, τοῦ θεοῦ παραδεδωκότος τῇ ἀπάτῃ τὸν ἠγαπηκότα τὸ ψεῦδος, καὶ παραπικραίνοντα αὐτὸν οἶκον τοῦ Ἰσραήλ.

p. 203. a. Σευήρου ἀντιοχέως. Ὁ μὲν τὸ σχόλιον τῷ ῥητῷ παραθέμενος, ἔγραψεν ὡς ἐνόησεν· ἐγὼ δὲ τὸ ἀποτροπιάζεσθαι νοῶ τὸ διάγειν τὰ τέκνα τοὺς πατέρας ἐν πυρὶ, ὅπερ ἐν τῇ τετάρτῃ τῶν βασιλειῶν ἱστόρηται, καὶ Ἄχαζ καὶ Μανασσῆς δεισιδαιμόνως πεποιηκέναι· καὶ περὶ παντὸς δὲ τοῦ Ἰσραὴλ ὁμοίως γέγραπται· καὶ διῆγον τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρὶ, καὶ ἐμαντεύοντο· καὶ ἀμφότερα γὰρ ἐνεκαλοῦντο, καὶ τὸ θύειν τὰ τέκνα αὐτῶν τοῖς δαιμονίοις, καὶ τὸ διάγειν διὰ πυρὸς τὰ ζῶντα, καὶ περικαθαίρειν εἰς ἀποτροπὴν δῆθεν πάσης βλάβης· διὸ καὶ ὁ προφήτης συνῆψεν ἀμφότερα, καὶ τὸ σφάζειν τέκνα, καὶ τὸ ἀποτροπιάζεσθαι.

Τοῦτο δὲ ψυχρόν· τίνι γὰρ τῷ λόγῳ κατά σε; νεωτέραν καλεῖ τὴν τοῦ Ῥουβὴν τοῦ p. 206. a.
πρωτοτόκου φυλὴν τῆς Ἰούδα φυλῆς· δυνατὸν δὲ ἴσως αὐτὸ πρὸς τὴν τοῦ Γὰδ καὶ τὴν τοῦ
Μανασσῆ φυλὴν ἐκλαβεῖν· οὗτοι γὰρ νεώτεροι τοῦ Ἰούδα, ἵν' ἐκ τοῦ πλείονος τὸ ὅλον νοῆ-
ται, συμπεριλαμβανομένης καὶ τῆς φυλῆς τοῦ Ῥουβήν.

Ἀπὸ λόγου ρκ'. Ψυχὰς δὲ ἀνθρώπων οὐκ ἄν τις εἴποι καθὰ δὴ δαίμονας μαγγανείαις p. 208. a.
γοήτων ἀκολουθεῖν· ἀληθεύει γὰρ ὁ διὰ Ἰεζεκιὴλ τοῦ προφήτου λαλῶν· πᾶσαι αἱ ψυχαὶ ἐμαί
εἰσι· τὰς δὲ οὔσας θεοῦ, πῶς ἂν ἄνθρωπος ἑλκύσειεν ἀσεβής; δαίμοσι γὰρ μόνοις φίλον
ὑπακούειν κακοῖς.

Ἀπὸ λόγου να'. Τουτέστι τῶν μὴ τοὺς πόνους ἐργαζομένων τῆς ἀρετῆς, οἱ μηροὶ μο- p. 211. b
λύνονται ταῖς ὑγραῖς ἡδοναῖς.

Σευήρου ἀντιοχέως. Πρὸς μὲν τὸν ἄρχοντα Τύρου, ἀλήθειαν λέγει· παριστᾶς, ὅς τις p. 218. b.
τὲ ἦν, καὶ ὅπως ἀπεβλήθη τραπείς.

Ὄρος δὲ ἅγιον εἰ προεῖπεν, τὴν τῶν ἄνω δυνάμεων ὑψηλοτάτων, τὰ πρὸ τῆς ἐκτροπῆς
τῶν δυνάμεων τούτων διηγεῖται.

Ἐκ τῆς πρὸς ἐπίσκοπον ἐπιστολῆς. Σταφυλὴ δὲ καὶ καρπὸς τῶν ὀρῶν τοῦ Ἰσραὴλ, p. 226. a.
ἡ τῶν ὑγιῶν δογμάτων ὑμῶν τῶν ποιμένων διδασκαλία καθέστηκε, τῶν εἰς ὄρη λελογισμένων
τοῦ Ἰσραήλ.

Ἐκ τῶν κατὰ Ἀλεξάνδρου. Τί δ' ἂν τις εἴποι καὶ περὶ τοῦ Ἰεζεκιὴλ, ἐναργῶς τὴν ἀνά- p. 227. a.
στασιν τῶν σωμάτων ἐμψύχων ἡμῖν ὑπογράφοντος; τοῦτο γὰρ ἄνθρωπος· καὶ ἄγοντος ὥσπερ
ὑπ' ὄψιν τὸ παράδοξον τοῦ μυστηρίου λέγοντος, τάδε λέγει ἀδωναὶ κύριος τοῖς ὀστέοις τού-
τοις, ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω ἐφ' ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ' ὑμᾶς
σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμα μου ἐφ' ὑμᾶς καὶ ζήσεσθε· κατα-
νοῆσαι χρὴ πῶς πρότερον εἰπὼν φέρω, ἤγουν εἰσάγω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς, ἵνα δηλώσῃ
τὴν ψυχὴν, μᾶλλον δὲ τὴν ἐπανάληψιν τοῦ ἰδίου σώματος τῆς ψυχῆς· οὕτω γὰρ καὶ ἐπὶ
τῆς πρώτης πλάσεως ἐμφυσηθείσης πνοὴν ζωῆς, ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, καὶ
προσθεὶς ὡς δώσω νεῦρα καὶ ἀνάξω σάρκας, καὶ ἐκτενῶ δέρμα, καὶ κατὰ μέρος τὴν ἀνά-
πλασιν ζωγραφήσας, πάλιν ἐπήγαγεν, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς· ἵνα παραστήσῃ σα-
φῶς τὴν τοῦ ἁγίου πνεύματος χάριν τὴν μέλλουσαν τοῖς τῶν δικαίων σώμασιν ἐπανθεῖν,
ἔν τε ἀθανασίᾳ καὶ ἀφθαρσίᾳ καὶ δόξῃ φωτεινοτάτῃ λαμπρότητι· ὡς μὴ οὐσίας ἐναλλαγὴν
τὴν ἀνάστασιν ὑπάρχειν, ἀλλὰ χάριν ἐπαμφιεννυμένην εἰς ἀναίρεσιν θανάτου τὲ καὶ φθορᾶς
καὶ εἰς τὴν εἰς ἀεὶ διαμονὴν, καὶ θείας μετοχῆς δωρεάν· ὥστε τὸ αὐτὸ σῶμα τὸ σπαρὲν
φθαρτὸν, τουτέστι τὸ ταφὲν, σπορὰν γὰρ τὴν ταφὴν ὁ Παῦλος ἐκάλεσεν διὰ τὴν ἐλπίδα
τῆς ἀναστάσεως, ἐγείρεσθαι ἐν ἀφθαρσίᾳ· τὸ σπαρὲν ἐν ἀτιμίᾳ, ἐγείρεσθαι ἐν δόξῃ, καὶ
τὰ ἑξῆς· εἰ μὴ γὰρ αὐτὸ τὸ σπαρὲν αὐτὸ καὶ ἐγείρετο, ἀλλ' ἑτέρου ἀνθ' ἑτέρου καὶ ἐξηλ-
λαγμένον κατὰ τὴν οὐσίαν ἐδίδοτο τῇ ψυχῇ, ποῦ τὸ θαῦμα τῆς ἀναστάσεως; ποία δὲ ἀνά-
στασις κυρίως, εἰ μὴ τὸ πεσὸν ἀνιστᾶσα, καὶ τὸ διαλυθὲν ἐγείρουσα, καὶ ἀνανεοῦσα τὸ
παλαιόν;

Ἀπὸ τῶν αὐτῶν. Ταῦτα καὶ ὁ Χριστὸς βεβαιῶν, μᾶλλον δὲ διὰ τῶν αὐτῶν λόγων ἐρ- p. 227. b.
χόμενος, αὐτὸς γάρ ἐστι καὶ ὁ τὰ εἰρημένα διὰ τοῦ προφήτου φθεγξάμενος, ἔλεγεν ὅτι ἔρ-
χεται ὥρα ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου,

καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως.

p. 231. a. Ἀπὸ λόγου λα΄. Τί δ᾽ ἂν ἄλλο τις ὑπολάβοι τὸ θυσιαστήριον εἶναι τὸ ξύλινον, ἢ τὸν σταυρὸν; ἐφ᾽ οὗ τὸ νοητὸν σφάγιον ἑαυτὸν προσήνεγκεν ὁ Χριστὸς τοῦ θεοῦ λόγος, ὁ δι᾽ ἡμᾶς σαρκωθείς· δι᾽ οὗ πρὸς τὸ ὕψος ἀνεβιβάσθημεν τῆς γνώσεως τῆς ἁγίας τριάδος· τοῦτο γὰρ σημαίνει τὸ τριῶν πηχέων εἶναι τὸ ὕψος αὐτοῦ.

Ἐκ τοῦ αὐτοῦ λόγου. Τὸ δὲ δύο μὲν πηχέων εἶναι τὸ μῆκος, δύο δὲ τὸ εὖρος, δηλοῖ σαφῶς τὸν ἐφαπλωθέντα τῷ σταυρῷ, καὶ παθόντα σαρκὶ, τῶν τεττάρων περάτων εἶναι τῆς οἰκουμένης δεσπότην καὶ κτίστην καὶ δημιουργὸν, καὶ διήκοντα μέχρι παντὸς, καὶ ἐν ἑαυτῷ συνέχοντα τόδε τὸ πᾶν.

p. 232. b. Ἐκ τοῦ κατὰ τῶν προσθηκῶν Ἰουλιανοῦ λόγου. Καὶ τὸν ἐκ τῆς πύλης ταύτης τύπον τῆς διαγραφομένης μυστικῶς κατὰ τὸν θεῖον ἐκεῖνον ναὸν τὸν ὁρώμενον προφητικοῖς ὀφθαλμοῖς, προαναγγέλλειν ἡμῖν· καὶ προδιαχαράττειν ὡς ἐν σκιαγραφίᾳ τὴν ἐκ παρθένου τοῦ Ἐμμανουὴλ θεοπρεπεστάτην γέννησιν, τῆς παρθενικῆς πύλης τὸ κλεῖθρον καὶ μετὰ τόκον οὐ διαλύσασαν.

p. 233. a. Ἀπὸ λόγου μς΄. Τοὺς γὰρ ἱερεῖς χρὴ προβεβιᾶσθαι τὰς τῶν ἡδονῶν ἀκαθέκτους ὁρμὰς, καὶ προενιδρωκέναι τῶν πόνων· καὶ τὴν ζωὴν ἔχειν οὐκέτι βιαζομένην, ἀλλ᾽ ἀσφαλιζομένην τε καὶ φυλάττουσαν, καὶ τῆς σωφροσύνης ὑπομιμνήσκουσαν.

Ἀπὸ λόγου μβ΄. Ταῦτα δέ φησιν οὐ τοῦ ἁγιασμοῦ φθονῶν· τίς γὰρ ἂν γένοιτο καὶ βασκανίας λόγος παρὰ θεῷ; ὃς διὰ τὴν ὑπερβάλλουσαν ἀγαθότητα, καὶ τὸ εἶναι ἡμῖν, καὶ εὖ εἶναι δέδωκεν· ἀλλ᾽ ἵνα μὴ βαρήσῃ τῷ πέρα τοῦ μέτρου τὴν χάριν ἐνδαψιλεύεσθαι, ἐπεὶ καὶ ἡλίου τὴν ἀκτῖνα ὅλην ἀδυνατοῦμεν τοῖς ὀφθαλμοῖς ὑποδέξασθαι.

p. 234. a. Ἀπὸ λόγου λβ΄. Τίς δέ ἐστιν ἡ αὐλὴ ἡ ἐσωτέρα ἡ ἔχουσα τὴν πύλην τὴν βλέπουσαν πρὸς ἀνατολὰς, ἢ τὸ φωτιστήριον τὴν ζωοποιὸν πηγὴν ἔχον, πύλην οὖσαν καὶ εἴσοδον εἰς τὸν παράδεισον ἄγουσαν, ὃς ἐφυτεύθη κατ᾽ ἀνατολάς· ἥτις πύλη, σαββατικοῖς μὲν διὰ νόμου καὶ προφητῶν ἀνεῴγνυτο, καὶ ἀμυδρότερον παρεδείκνυτο· ὡς ἐν νεομηνίᾳ δὲ τῇ κυριακῇ, ἥ τις ἀρχὴ τυγχάνει τῆς ἀναστάσεως, καὶ τῆς νέας ζωῆς, διὰ τῆς εὐαγγελικῆς λατρείας ἀνεπετάσθη περιφανεστερόν τε καὶ τηλαυγέστερον· κυριακὴ δέ ἐστιν ἀληθῶς ἅπας ὁ βίος τῶν μετὰ τὴν Χριστοῦ παρουσίαν ἐν καινότητι ζωῆς περιπατούντων κατὰ τὸν θεῖον ἀπόστολον.

Ἀπὸ λόγου ρς΄. Παιδεύων ἡμᾶς διὰ τούτου τοῦ τύπου σαφῶς, ὡς οὐ δεῖ τὸν τοῖς θείοις θεωρήμασιν ἐμβεβηκότα, καὶ ὥσπερ ἐν νέῳ γενόμενον, καὶ ἔσω τυγχάνοντι τῶν ἀδύτων εἰς τοὐπίσω παλινδρομεῖν, ἀλλ᾽ ὀρεγέσθω τῶν πρόσω, καὶ ἀπὸ πέρατος εἰς πέρας διεξιέναι κατὰ τὸ δυνατὸν, καὶ μετὰ Παύλου λέγειν· τῶν μὲν ὀπίσω ἐπιλανθανόμενος, τῆν δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ θεοῦ.

